TRAGICORVM GRAECORVM

FRAGMENTA

TRAGICORVM GRAECORVM

FRAGMENTA

TRAGICORVM GRAECORVM

FRAGMENTA

RECENSVIT

AVGVSTVS NAVCK

EDITIO SECVNDA

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MDCCCLXXXIX

LIPSIAE: TYPIS B. G. TEVBNERI

ILLVSTRI SCHOLAE PORTENSI

ALMAE MATRI

HVNC LIBRVM

PIO GRATOQVE ANIMO

SACRAVIT

EDITOR

PRAEFATIO

Tricesimus tertius agitur annus ex quo tragicorum poetarum Graecorum fragmenta edidi, quae iam denuo prodeunt locis haud paucis aucta et emendata, ita ut haec secunda editio novi propemodum libri speciem referat.

In consilio quidem et ratione operis nihil fere habui quod mutandum videretur. ante omnia operam dedi ut verba poetarum ad codicum fidem revocata, quatenus fieri posset, emendarentur: id quod in laciniis e nexu divulsis patet esse difficillimum. lectiones librorum attuli potiores, missas plerumque feci leviores discrepantias et deteriorum codicum errores sicut interpolationes sive librariorum sive editorum, quae recto iudicio officerent magis quam prodessent. emendationum vel coniecturarum auctores explorare studui, sed in vasto litterarum ambitu et Petropolitana librorum penuria non dubito quin multa aliis corrigenda reliquerim. suspiciones manifesto vitiosas non refutandas duxi, sed tacendas. ubi corruptorum verborum desideraretur medela probabilis, etiam quae minus arriderent emendandi pericula attuli, quoniam falsis coniecturis interdum via monstratur ad id quod verum sit reperiendum. omnino autem in afferendis criticorum commentis liberalior quam olim fui, ideo potissimum quod cavendum existimavi ne coniecturae dudum propositae identidem tanquam novae repeterentur. testes singulorum locorum diligenter conquirens materiam pridem collectam auxi, neque imitationes putavi neglegendas obvias apud eos scriptores qui tragicum poetam cuius verbis utuntur non ipsi usurpassent. sed exclusi Draconis qui dicitur librum de metris poeticis, Eudociae vel potius Constantini Palaeocappae Violarium, Philemonis Lexicon technologicum, personatum

Plutarchum de nobilitate. Apostolii et Arsenii non feci mentionem nisi ubi lectiones praeberent memoratu haud indignas. ex Antonii Melissa et Maximi Confessoris eclogis ad tragicorum reliquias locupletandas vel emendandas vix ullum posse fructum percipi ut olim suspicatus eram, ita denuo perlustratis istis collectionibus confirmatum vidi. quibus eo cautius utendum putavi quo infirmior est fides editionum quibus adhuc utimur.*) de argumentis singularum tragoediarum quae nossem testimonia pleraque apposui, alia indicavi, item si quid probabiliter coniectum esset vel posset conici, significandum duxi. at qui ex frustulis fortuito servatis et confisi testimoniis haud raro fallacibus oeconomiam perditarum fabularum instaurare temptant, plerumque aedificia struunt solido fundamento destituta ideoque mox collapsura. haec mihi esto excusatio, si Welckeri Tragodumena (*Die Griechischen Tragödien mit Rücksicht auf den epischen Cyclus geordnet*, Bonn. 1839—1841) iusto rarius commemorasse videar. non neglexi equidem viri egregii opus

---

*) Non recte Euripidi (fr. 872) olim tribui iambum

οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενί

nixus Anecd. Oxon. vol. 4 p. 253, 33. ubi quae leguntur derivata esse ex Maximo Conf. docuit C. Wachsmuth *Studien zu den griech. Floril.* p. 140. itaque ab hac editione exclusi versiculum illum Menandreum (Com. 4 p. 195 sive fr. 411 K.) pariter ac Theoctisti verba (prioris edit. fr. 1096 p. 549), *θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο*, quae Euripidea esse perhibet idem Maximus Conf. excerptus in Anecd. Oxon. vol. 4 p. 254, 19. Theodorus Kock tametsi fatetur, priusquam comicorum versus in Maximi Conf. sermonibus latentes in collectionem fragmentorum recipi possint, criticam illius scriptoris recensionem esse exspectandam (Com. Att. fr. vol. 3 p. 755 sq.), tamen Sosicratem duobus locis (fr. 5 et 6) ex isto fonte petitis ditavit: neuter locus aut Sosicratis est aut alius poetae, neque opus erat Maximum Conf. testem adhiberi sententiarum quas Stobaei Flor. 14, 21 et 13, 46 suppeditat. non minus errat Kock ubi eodem Maximo abusus cum Menandri fr. 472 coniungit (v. 8 et 9) verba ab illo loco alienissima, *τὸ γὰρ λέγειν εὖ δεινόν ἐστιν εἰ φέροι βλάβην τινά* (*τινὰ βλάβην* recte Max.), quae ex Euripidis Archelao petita sunt. etiam magis mira sunt quae in Maximo Conf. detexit Gitlbauer (*Philol. Streifzüge* p. 412 sqq.), qui *Χαρικλείας* verba in versus redacta poetae vindicat comico Chariclidi, cum satis notum sit *Χαρίκλειαν* appellari Heliodori Aethiopica.

doctum et ingeniosum, sed raro attuli, cum quaestiones quas ille sibi sumpsit illustrandas, ego ut nimis lubricas detrectarem, in emendandis vero poetarum verbis, quod primarium putavi meum esse officium, nihil fere ille praestitit. si quis tamen ostenderit me iniuriam fecisse Welckero vel aliis philologis tacentem quae recte illi administrassent, delicta ista neglegentiae vel oblivioni vel aliis quibus libuerit causis imputari par erit, modo ne obtrectio mihi crimini detur, quod vitium a meis moribus alienum est.

Opus a nobis susceptum esse tale quod neque ab uno homine neque intra unum saeculum coniunctis multorum studiis rite possit perfici, demonstratione vix indiget. sicut novae tragicorum reliquiae multae et partim egregiae per hos triginta tres annos innotuerunt, ita nova supplementorum seges, quibus sylloge nostra amplificetur, mox succrescet, neque cessabit criticorum contentio, cui plurimas debemus correctiones vel codicum nixas subsidio vel coniectantium acumine repertas. etenim cum alibi tum in hoc litterarum genere dies multa nos edocet, neque ego aut laudi mihi duci cupio si quid suppleverim et in melius mutarim, aut reprehensione dignum arbitror quod plurima expedire non potuerim. utique confido haud irritum fuisse studium in opere laborioso a nobis positum.

In augendis perditarum tragoediarum reliquiis quatenus recte an secus egerim, aliorum esto iudicium: de locis quos consulto omisi, ne aut neglegentiae crimen subeam aut meo arbitrio plus videar tribuisse quam scriptorum testimoniis, pauca dicemus, quibus supplendis inserviet epimetrum huic praefationi subiectum, quo fragmenta in priore editione recepta, in hac exclusa attulimus.

Aeschyli fragmentis G. Dindorf in Poetarum scenicorum editione quinta inseruit

Anecd. Bekk. p. 363, 17 (fr.? 421 p. 126 a): *αἰῶ τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν.* at ipse scripsit Choeph. 350 *αἰῶ*, quod restituerat H. L. Ahrens.

Athen. XIII p. 573 B (fr. 323 p. 122 b): *καταλέξω δέ σοι, Κύνουλκε, Ἰωνικήν τινα ῥῆσιν ἐκτείνας κατὰ τὸν Αἰσχύλου*

περὶ ἑταιρῶν. ubi post *Αἰσχύλου* excidisse *'Αγαμέμνονα* collatis huius fabulae versibus 829 et 916 agnovit Meineke Ath. 4 p. 268.

Etym. M. p. 674, 20 (fr. 367 p. 124 a): *πλάστιγξ· ἡ μάστιξ ἀπὸ τοῦ πλήσσειν παρ' Αἰσχύλῳ*. quae ad Choeph. 290 referenda esse ipse Dindorf concedit Lex. Aeschyl. p. 290.

Eust. Opusc. p. 335, 28 (fr. 347 p. 123 b): *ἐν μετοπώρῳ γὰρ οὐ μόνον καινὸν ἐάν, ὡς ἡ παροιμία, ἄνθος ἀναφυῇ, ἀλλὰ καὶ ἐὰν κατ' Αἰσχύλον ἀρτίδροπος ὀπώρα νεάζουσα τρυγηθῇ*. spectari Sept. 333 probabiliter coni. Schneidewin Philol. 5 p. 367.

Eustathius ubi dicit *Αἰσχύλος πέπλους μελαγχίμους φησίν* (Il. p. 1254, 25), non spectat Aesch. Choeph. 11, ut opinabatur cum aliis Dindorf Lex. Aeschyl. p. 207, sed Eur. Phoen. 372.

Sophoclis non recte perhiberi in Etym. Flor. p. 101 et 156 versum *καὶ τῶν πρὸς εἵλην ἰχθύων ὠπτημένων*, qui alibi Aristophanis esse traditur (Com. 2 p. 1192 sive fr. 627 K.), vix est quod dicamus. Dindorfium miramur tolerasse inter Sophoclea fragmenta locum Suid. v. *σάγμα* (fr. 939 p. 170 b): *καὶ Σοφοκλῆς 'κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι'*, quem Euripideum esse versum (Andr. 617) ipse annotat. quae Wagner huic poetae male obtrusit pleraque taceri par est; sufficiet commemorasse

Schol. Pind. Pyth. 5, 35 (fr. 320 W.): *καὶ Σοφοκλῆς δὲ ἐν τῷ Προμηθεῖ τοῦ Προμηθέως, θέλων λέγειν τῆς φρονήσεως ἀντέχεσθαι καὶ μὴ τῆς μεταμελείας*. ubi ad Sophoclem translata esse quae debebant de Aeschylo (Prom. 86 sq.) dici, intellexit Boeckh de Graec. trag. princ. p. 121.

Euripidea fragmenta repetens Dindorf in Poet. scen. editione quinta ita egit ut meam recensionem parum diligenter suos in usus converteret. ex Wagneri collectione praeter alia debebant haec amoveri.

Anecd. Bekk. p. 323, 20 (fr. 1065): *ἄβιος· ὁ ἀβλαβής, παρὰ τὴν βίαν — ὁ μέντοι Εὐριπίδης ἐπὶ τοῦ δυσβίου ἐχρήσατο τῇ λέξει*. spectatur Ion. 764.

Apostol. 8, 75 p. 452, 3 (fr. 1059): *ἢ φρονεῖν ἔλασσον ἢ δύνασθαι δεῖ μεῖζον*. his verbis *Εὐριπίδου* nomen subicit,

id quod Leutsch docuit, non Apostolius, sed Pantiniana Apostolii editio. frustra igitur *ἢ φρονεῖν ἔλασσον ⟨οὖν⟩ ἢ δύνασθαι δεῖ ⟨σε⟩ μεῖζον* scribi voluit Musgrave, neque consueto acumine usus est Porson Adv. p. 277. fontem verborum habemus in Plutarchi qui dicitur Apophth. Lacon. p. 232 E: *πρὸς Θηβαίους περί τινων ἀντιλέγοντας 'ἢ φρονεῖν' εἶπον 'δεῖ ἔλασσον ἢ δύνασθαι μεῖζον'*. quibus cum verbis cf. Demosth. 13, 34: *ἐγὼ δὲ παραινέσαιμ' ἂν ὑμῖν, καί μοι μηδεὶς ὀργισθῇ, ⟨ἢ⟩ ἔλαττον φρονεῖν — ἢ μείζω δύναμιν παρασκευάζεσθαι.*

Aristot. Phys. 2, 2 p. 194 a 31 (fr. 918): *διὸ καὶ* (*Εὐριπίδης* addit codex F) *ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν 'ἔχει τελευτὴν ἥσπερ οὕνεκ'* (*εἵνεκα* rectius cod. I) *ἐγένετο'*. vitiosa codicis F scriptura deceptus Philoponus in Aristot. Phys. p. 236, 7 p. 237, 29 p. 309, 15 ed. Vit. Euripidi tribuit versum, quem comici esse poetae recte agnovit Meineke vol. 5 p. 123.

Arsenius Viol. p. 179 (fr. 1062): *δελφῖνα λεκάνη οὐ χωρεῖ· Εὐριπίδου.* dubitans Wagner, ut ait, recepit hoc proverbium. haud difficile erat dubitationem istam componere: spectat enim Euripidis mentio ad versum quem statim subicit Arsenius, *δεῦρ' ἔλθ'· ἐς οὖς γὰρ τοὺς λόγους εἰπεῖν θέλω* (Ion. 1521).

Choerob. in Theod. p. 124, 16 sive Anecd. Bekk. p. 1187 (fr. 1079): *ἔστι γὰρ ὁ ζελᾶς τοῦ ζελὰ τῷ ζελά, οὕτω δὲ λέγεται κατὰ Θρᾷκας ὁ οἶνος, καὶ τούτου ἡ δοτικὴ εὑρίσκεται παρ' Εὐριπίδῃ χωρὶς τοῦ Ι· συστεῖλαι γὰρ βουλόμενος τὸ Α οὐ προσέγραψε τὸ Ι, οἷον 'ταὐτὸν ποιεῖ τό τ' Ἀττικὸν τῷ ζελὰ σὺν γὰρ κεραυνοῖς'.* verba quae afferuntur non Euripidis esse, sed Eupolidis (fr. 355 K.) docet codex Marcianus, in quo legi *παρὰ τῷ Εὐπόλιδι* testatur Cobet (v. Gaisf. Etym. M. praef. p. 7).

Eust. Il. p. 129, 15 (fr. 1052): *τούτου δὲ δηλωτικὸν καὶ τὸ 'μὴ πρὸς γενείου μὴ 'ξέλῃ τὰ φίλτατα'.* versus omisso poetae nomine allatus extat in Soph. El. 1208.

Libanius Decl. vol. 4 p. 861, 31 (fr. 1040): *δεῖ δὲ μὴ Εὐριπίδην παραλιπεῖν· πάντως δὲ οὐκ ἀμφισβητήσιμος ἡ σοφία τοῦ ποιητοῦ. τί οὖν ἐκεῖνος φησί; μηδὲν εἶναι προτιμότερον*

φίλου σαφοῦς —. *εἶτ' ἐπειδὴ τοὺς ἀνθρώπους ἑώρα πλοῦτον καὶ τυραννίδα θαυμάζοντας, διαρρήδην φησίν 'οὐ πλοῦτος, οὐ τυραννὶς τοῦδε βέλτιον'*. superstitis fabulae sententia spectatur Or. 1155 sq.

Maximus Conf. vol. 2 p. 684 ed. Comb. (fr. 911): *Εὐριπίδου. βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ γένει. βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.* iidem versus sine lemmate extant in Antonii Mel. 1, 71 p. 985 ed. Mign. prior est Diphili (Com. 4 p. 424 sive fr. 109 K.), alter ignoti nobis poetae novicii.

Philem. Lex. p. 261 sive Georg. Lecap. in Matthaei Lect. Mosq. 1 p. 58 et Anecd. Paris. 1 p. 400, 26 (fr. 1041): *ἀπαλλάττειν καὶ τὸ διατρίβειν καὶ διαγενέσθαι, ὡς παρὰ τῷ Ξενοφῶντι — καὶ παρ' Εὐριπίδῃ 'ἀνάγκη πεινῆν διὰ βίου καὶ ἀθλιώτερον ἀπαλλάττειν' ἤτοι διατρίβειν.* quae Euripidis perhibentur verba scimus esse Iuliani Orat. II p. 85 B.

Sextus Empir. p. 557, 12 (fr. 991): *ὁ γὰρ ὄλβος οὐ βέβαιος ἀλλ' ἐφήμερος ἐξίπτατ' οἴκων, μικρὸν ἀνθήσας χρόνον.* petita haec sunt ex Eur. El. 943 sq., sed in priore versu ad Phoen. 558 Sextus aberravit, quod errorum genus etiam alibi invenitur velut in Soph. fr. 85, 1.

Addo alios quosdam locos male ad Euripidem translatos, quos Wagner non consulto omisit, sed propter incuriam neglexit.

Stob. Ecl. 2, 15, 9 p. 186, 22: *Εὐριπίδου. 'πᾶς ὁ καθ' ἑαυτὸν τεχνολογῶν θαυμάζεται, διακρινόμενος δὲ πρὸς ἑτέρους ἐλέγχεται ὑποβολιμαίαν σύνεσιν ἠμφιεσμένος'.* comici poetae hos esse versus recte agnovit Gaisford.

Niceph. in Synes. p. 404 A: *ὁ δ' Εὐριπίδης συνετώτερος ὢν τὸ τοῦ Προμηθέως ὄνομα εἰς τὸν κοινὸν ἀνάγει δημιουργόν, ἐναργῶς λέγων 'τί ποθ' ὁ Προμηθεύς, ὃν λέγουσ' ἡμᾶς πλάσαι καὶ τἄλλα πάντα ζῷα, τοῖς μὲν θηρίοις ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν; ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι, δειλοὶ πάλιν ἑξῆς εἰσὶ πάντες οἱ λαγοί'.* Philemoni (Com. 4 p. 32) locum vindicat Stob. Flor. 2, 27.

Choeroboscus in Theod. p. 282, 31 ex codice Marciano 489 (v. Gaisf. Etym. M. praef. p. 8) supplendus: *Εὐριπίδης 'γωλεὰ καὶ Φόρκυνος οἰκητήριον'.* Euripidis hunc esse iambum

credidit Lentz Herod. techn. reliq. vol. 2 p. 720, est vero Lycophronis (v. 376), cuius ineptias aliquanto saepius grammatici aliique scriptores novicii usurpant quam ex spicilegio testimoniorum a novissimo editore appositorum quispiam concluserit.*)

Arsenius p. 716, 15 Leutsch.: *φύσει γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις. Εὐριπίδου.* omittit *Εὐριπίδου* nomen Walzii editio (p. 464), cui fidem haberi nolim. in Antonii Mel. *2*, 24 p. 1068 Mign. verba allata tribuuntur Hermogeni, quod verum esse discimus ex Rhet. vol. 3 p. 19, 9. hinc patet irritos fuisse conatus eorum qui Arsenii verba in iambos redigere temptarunt. error autem Arsenii repetendus est ex Theodori Prodromi dialogo cui inscribitur *βίων πρᾶσις ποιητικῶν καὶ πολιτικῶν* (*Notices et Extr.* VIII, 2 p. 129—150), ubi inter alias personas prodeunt Aristophanes et Euripides, atque Euripidi tribuuntur primum versus non nulli ex superstitibus tragoediis vel Luciano desumpti, deinde p. 143 verba illa *φύσει γὰρ ἐχθρὸν κτέ.* hunc igitur auctorem secutus est Arsenius, nos aspernandum iudicamus. ceterum sententiam Hermogenis spectant Marcellinus Rhet. 4 p. 334, 20 Theodorus Prodromus *ἀποδήμου φιλίας* v. 207 Anna Comn. vol. 1 p. 94, 22.

Pauca addo de *minoribus tragicis.* Ioni Wagner obtrusit verba *σειραῖς ἀφύκτοις ὃν διαρθροῖ δακτύλοις* (fr. 65), qui versus est Iohannis Damasceni (Canon. iamb. 2, 57). dixisse Achaeum *Ἀρκάδες ἦσαν βαλανηφάγοι* (fr. 42) vanum est commentum. Diogeni (fr. 4) male tribuuntur duo Euripidis versus. Cratetis fr. 2 a tragoedia alienum esse quivis facile intelleget.

---

*) Ex Crameri Anecd. Oxon. 1 p. 55, 20 Kock Com. Att. fr. vol. 3 p. 520 anquisivit verba de quorum emendatione dubitabat, *τρίτωνος ἡ μαλαψεκάρχαρος κύων.* emendationem facillimam *ἡμάλαψε κάρχαρος* suppeditant Lycophr. 34 et qui hunc versum cum praegresso affert Ioh. Lydus de mens. 4, 46 p. 81, 20. addit Kock etiam gravius esse corrupta quae exstent Cram. Anecd. Oxon. 2 p. 375, 7. agitur illic de *ᾔδη* et *ᾔδειν* formis: *οἱ Ἀττικοὶ διαλύουσιν τὴν ΕΙ δίφθογγον τοῦ πρώτου προσώπου εἰς Ε καὶ Α· — γίνεται ᾔδεα· ἡ δὲ διάλυσις ἀποβάλλει τὸ Ν· οἷον ήνεα ηκεν ζωσαμενι νοσεα χαλκύω τυπεῖσι.* scribendum esse *οἷον ἦν ἔα· 'ἤ κεν ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι'* (Il. *Ε* 887) dudum viderunt alii, primus ut opinor Duentzer Epicorum Gr. fr. vol. 2 p. 116.

Non ausus sum inter tragicos poetas recipere Hermolochum vel Hermodotum, de quo dixerunt Meineke Exerc. in Ath. spec. 1 p. 20 et spec. 2 p. 41 (Ath. vol. 4 p. 110 p. 340 sq.) et Bergk Lyr. ed. alt. p. 1013 sive quartae edit. vol. 3 p. 637. versus enim in Stob. Flor. 98, 66 cum lemmate *Ἑρμολάου* (sic S) vel *Ἑρμολόχου* servati dubito an lyrici existimandi sint cum Meinekio.

Erunt fortasse qui desiderent in hac collectione Ezechielem tragicum, de quo edocti sumus per Clementem Alexandrinum atque Eusebii Praeparationem euangelicam. poetae enim istius *Ἐξαγωγή* quamvis a Graecis tragoediis vehementer distet, tamen aptiorem locum vix inveniet. itaque sicut C. Fr. Mueller de pedibus solutis in tragicorum minorum trimetris iambicis (Berol. 1879) disputans Iudaei huius poetae rationem habuit, ita ego de addendis Ezechielis versibus cogitavi. quo minus exequerer consilium obstabat illud quod Eusebiani operis editio quae sufficiat adhuc desideratur.

Longe maximis difficultatibus obstructum esse sensimus extremum huius libri caput illud quo adespota fragmenta complecti temptavi. moliminis ipsius ea est natura in quo nemo aut sibi aut aliis possit satis facere. nam quo intentiore studio rem administraris, eo proclivius errabis, et quidquid egeris, utique plurimi erunt loci quos alii additos, exclusos alii mallent. diserta testimonia interdum a me spreta fateor. velut exclusi locum Etym. Voss. p. 2103 F: *καὶ τὶς τῶν τραγικῶν φησὶν 'ἑκατογκεφάλα Τυφῶ'*, quae verba cum in Ar. Nub. 336 legantur, errasse grammaticum arbitror. nec recipiendum duxi quod tradit Hesych. 3 p. 164: *νῦν δὲ θεοὶ μάκαρες· τοῦτο φασὶν ἐξόδιον εἶναι τραγῳδῶν 'νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοι ἔστησαν,'* ubi pro *τραγῳδῶν* scribendum esse *ῥαψῳδῶν* docent Eust. Il. p. 239, 19 Zenobius 5, 99 Suidas v. *σὺν δὲ θεοὶ μάκαρες.*

Singula poeseos genera nusquam gentium notis tam certis quam apud Graecos signata esse constat: nihilominus vix cuiquam continget ut ubique dignoscat quid tragoediae debeatur, quid comici sit generis, quid aliunde repetitum. non numquam ex dicendi forma vel metro de poeseos genere coniecturam

facere possumus. sic iambum a Luciano Scyth. c. 9 vol. 1 p. 869 servatum, *ἀνθεῦσαν* (*ἀνθοῦσαν* M) *ἀγαθοῖς πᾶσιν οἷς θάλλει πόλις*, quem spectat Libanius Decl. vol. 4 p. 30, 3: *τοῖς πᾶσιν ἀγαθοῖς ἀνθοῦσαν οἰκεῖτε πόλιν*, propter *ἀνθεῦσαν* formam nolim tragoediae tribui, quod fecit Methner progr. a. 1883 p. 12, sed probabilius arbitror quod Schneidewin Philol. 1 p. 363 coniecit, Archilochi esse versum. item abieci prioris editionis adesp. 113: *τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν*, quem versum habemus in Prov. Milleri p. 353 Diogenian. 8, 11 Phot. Lex. p. 586, 13 Suid. v. *τὴν χεῖρα*, propter Plut. Instit. Lacon. 29 p. 239 A: *ἐπιλέγουσι δὲ καὶ οἱ παροιμιαζόμενοι 'τὰν χεῖρα ποτιφέροντα τὰν τύχαν καλεῖν'.* manifesto falsum est quod Bergk Lyr. ed. tert. p. 1358 et quart. edit. vol. 3 p. 740 conicit, tragicos esse versus qui extant in Plut. Consol. ad Apollon. c. 5 p. 103 F et Macar. Prov. 8, 58:

τροχοῦ περιστείχοντος ἄλλοθ' ἡτέρα
ἁψὶς ὕπερθε γίγνετ', ἄλλοθ' ἡτέρα.

diphthongum enim *AI* neque in trimetris iambicis neque in alio metri genere tragici elidunt.*) versiculus *παχεῖα γαστὴρ* (vel *γαστὴρ παχεῖα*) *λεπτὸν οὐ τίκτει νόον* in Galeni vol. 5 p. 878 Greg. Naz. vol. 2 p. 213 D Sophon. de anima paraphr. p. 8, 21 ed. Hayd. alibi (cf. Leutsch. Paroemiogr. vol. 2 p. 337) obvius, quem ex dramate satyrico repetebat Wagner, tragoediae non convenit: nimirum neque in Odyss. *κ* 240 *νοῦς* neque in Attico poeta *νόος* ferri potest. similiter quod contendit L. Cohn Mus. Rhen. 43 p. 413, verbis *Πελίου τε Μάγνησσαν κόραν* a Cramero Anecd. Oxon. 3 p. 261, 31 ex codice Barocciano editis tragici trimetri partem contineri, propter *κόραν* formam veri dissimile est.

Vbi desunt talia indicia, saepe dubitationes restabunt quas expedire sine testimoniis non possimus. adespoton ab Aristo-

*) Falsis coniecturis debentur *ἔσεσθ'* Aesch. Prom. 835 (quo de loco mira narrat Kock Mus. Rhen. 35 p. 265), *ἵκητ'* et *ἄντομ'* Soph. Oed. R. 76 et 159, al. vitiose traditum invenimus *πειράσομ'* Eur. fr. 953, 44 itemque *γίνετ'* Agath. fr. 29 p. 768 sive Sthenel. fr. 1 p. 762 et alia quaedam: cf. quae dixit Erfurdt in Soph. Ai. p. 514 sqq.

tele Eth. Nicom. 3, 7 p. 1113 b 14 Plat. q. d. de iusto p. 374 A Macar. Prov. 6, 72 servatum, *οὐδεὶς ἑκὼν πονηρὸς οὐδ' ἄκων μάκαρ*, cuius poetae sit nesciremus, nisi de Epicharmo testis adesset Eustratius, ubi *οὐδ' ἄταν ἔχων* legitur, conf. Schneidewin Philol. 8 p. 651. verba *Ἀδραστειδᾶν θάλος*, quae omisso poetae nomine in Etym. M. p. 18, 47 leguntur, non dedecent tragoediam, sunt vero Pindari Olymp. 2, 45. vice versa quod dicit Eustathius Macremb. 10, 12, 4 *Ἔρως ὁ Διὸς παῖς* ita comparatum est ut a quovis pedestris sermonis scriptore dici potuerit, at depromptum est ex tragoedia (Eur. Hipp. 534). item quae Charitonis (3, 10, 6) putantur esse verba, *τοιαύτῃ θεῷ τίς ἂν προσεύχοιτο*, Euripidis sunt (Herc. 1307 sq.). possum plura generis eiusdem afferre, sed quae attuli sufficere arbitror ut intellegamus neminem posse aut agnoscere omnes flosculos tragicos pedestri sermoni intextos aut ubique cavere ne tribuat tragoediae quae ab hoc poeseos genere aliena sint. itaque quae ego proposui adespota ab aliis par erit vel augeri vel purgari. quatenus in adespotis fragmentis et alibi a Wagnero discesserim enarrare huius praefationis angustiis vetamur: sicut autem priori huius operis editioni praemisi observationes criticas (in progr. gymn. Ioach. Berol. a. 1855), ita spero fore ut alteri recensioni subiungam commentationem paulo uberiorem, qua criseos a me factitatae ratio reddatur et quae ad augendas vel emendandas has tragoediae Graecae reliquias nova accesserint collecta proponantur.

In elaborando hoc opere, cuius materia diversissimis ex fontibus erat petenda, quo saepius dolui haud paucorum scriptorum codices optimos aut omnino esse neglectos aut nondum satis accurate collatos, eo magis obstrictum me sentio amicis quibusdam et fautoribus, qui prompta benevolentia mihi succurrerunt.

Plurima et pretiosissima tragicorum Graecorum fragmenta debentur Iohannis Stobaei Anthologio, quo de opere praeclare meritus est Curtius Wachsmuth commentationibus aliquot, quae a. 1882 in libro '*Studien zu den griech. Florilegien*' coniunctae sunt, et editis Anthologii libris duobus prioribus,

qui inscribi solent 'Eclogae physicae et ethicae', Berol. 1884. posteriores eiusdem operis libros edendos qui suscepit Otto Hense quae scire mea interesset liberalissime mecum communicavit partim ab ipso partim a Rudolpho Asmus excerpta. insuper S. Mekler de libri Vindobonensis lectionibus quae ad tragicorum reliquias spectarent me edocuit. sic effectum esse confido ut omnia fere quae ex codicibus Florilegii Stob. ad emendanda tragicorum fragmenta redundent hoc libro contineantur. potissimum autem tres spectavi codices, Vindobonensem Sambuci (S), Escurialensem Mendozae (M), Parisinum 1984 (A), quibus accedit Iohannis Damasceni q. d. florilegium Laurentianum (L), de quo accurate egit Wachsmuth *Stud.* p. 1—44. ceteros libros, veluti Bruxellensem et Vossianum itemque quae codicis instar habetur editionem Trincavellii, ibi potissimum commemoravi ubi melioribus libris destituti essemus. quae ex codice Parisino B attuli, sumpta sunt ex Gaisfordi editione, cuius de fide est quod dubites. ceterum tametsi utilissima nobis fuerunt quae insigni cum aliorum tum Ottonis Hensei liberalitati debemus, tamen fieri non potuit quin ipsum opus quod O. Hense parat nondum prostare aegre ferremus. hinc ortae sunt, ne alia commemorem, in afferendo Stobaei florilegio quaedam molestiae. docuit enim Wachsmuth (*Stud.* p. 45 sqq.) ad Eclogas referenda esse quae in Florilegio tradita sunt capita 80—82: quam ob causam de Euripidis fr. 140 189 439 578 1065 tam Florilegium quam Eclogas attulimus. oblivioni mandandum erat Iohannis Damasceni q. d. florilegium, unde quae olim petita erant pleraque Eclogis restituta sunt a Wachsmuthio: restabant decem loci ad Florilegium referendi, in quibus indicandis Meinekianae editionis paginas et versus attuli. quorum locorum unus ex capite 11 depromptus est (Soph. fr. 869), quinque ex cap. 13 (Eur. fr. 165 adesp. fr. 553 515, 3 554 555), quattuor ex cap. 32 (adesp. fr. 556 Eur. fr. 285, 20 adesp. fr. 557 558).

Ad tragicorum fragmenta a Plutarcho in operibus moralibus servata Gregorius N. Bernardakis codicum a se collatorum lectiones humanissime mihi indicavit, quibus non sine fructu usus sum: didicimus enim inde non nulla quae in primo

editionis Teubnerianae volumine, quod mense Septembri huius anni ad nos pervenit, vir eruditissimus nimio, ut opinor, brevitatis studio ductus reticuit. *)

Athenaei Dipnosophistarum libros X recensuit a. 1887 Georgius Kaibel, de reliquis libris codicis Marciani lectiones quas cognovisse mea interesset, insigni cum liberalitate mihi impertiit.

Scholia in Iliadem post I. Bekkerum edenda suscepit G. Dindorf nec tamen ultra ea quae in cod. Veneto A et Veneto B leguntur progressus est. incohatum a Dindorfio opus continuabit E. Maass, cuius diligentiae et acumini optimam debebimus scholiorum Townleyanorum recensionem. prius volumen, quo scholia in rhapsodias *A—M* continentur, a. 1886 editor dono mihi misit, de posteriore operis parte quae meo operi conducerent per litteras me edocuit.

Ignotus quidam scriptor *περὶ τῆς τοῦ Νείλου ἀναβάσεως* disputans servavit Eur. fr. 228, 1—5 et Aesch. fr. 300. quibus de locis lectiones Florentini codicis archetypi (bibl. Laur. plut. 56 cod. 1, de quo dixit Val. Rose Anecd. Gr. et Graecolat. 1 p. 1 sqq.) consueta cum humanitate nobis enotavit Hieronymus Vitelli, atque idem mea causa de Etymologici M. locis inspexit bibl. Laur. S. Marci codicem 304 et quae E. Miller, cui egregium debemus opus *Mélanges de littérature grecque*, minus recte legerat, benevolentissime correxit.

Denique propitia voluntate adiuverunt me philologi haud pauci suis observationibus vel suspicionibus privatim mecum communicatis, velut H. Diels, A. Gennadius, O. Hense, V. Iernstedt, S. Mekler, Petrus Nikitin, Hugo Stadtmueller, inprimis vero Theodorus Gomperz, qui eximio studio et favore hoc opus prosecutus est.**)

---

*) Defungar uno quo rem illustrem exemplo. in Consol. ad Apollon. c. 21 p. 112 D (sive Eur. fr. 964, 1) abesse a Plutarchi libris *τοῦτο* pronomen olim suspicatus sum et per litteras testatus est Bernardakis, qui in editione Plutarchi *τοῦτο* istud retinens de dissensu codicum nihil annotat.

**) Precibus meis adductus vir amicissimus quae per litteras mecum communicarat publici iuris fecit hoc anno edita commentatione

Omnibus his viris, qui vel rogati vel ultro suam mihi operam commodarunt, gratias ago quam maximas, nec minus obstrictum testor animum plurimis philologis illis qui missis ad me dissertationibus commentationibus libris suis insignem huic operi utilitatem attulerunt.

Quam priori editioni addideram tabulam fragmentorum a Dindorfio in Poetis scenicis a. 1830 collectorum nolui repetere, sed suffeci tabulam qua prioris editionis meae numeri ad hanc alteram editionem revocarentur. cum enim in nova editione multorum fragmentorum sedes esset mutanda, cum haud pauca essent addenda, alia resecanda, pristini fragmentorum numeri servari non poterant, ideoque curandum erat ut quae ex priore editione ab aequalibus essent allata, unius novae editionis ope possent reperiri. qua in re spectandum erat illud quod non nulli, ubi opus meum commemorant, non fragmentorum sed paginarum numeros apponunt. quae cum ita essent, in tabula novae editioni subiuncta praeter fragmentorum numeros attuli paginas, ac primo cuiusque paginae fragmento indicato, ne praeter modum augeretur ambitus indicis, fragmenta ea quorum numeri proxime praegresso fragmento responderent omisi.

Emissurus librum qui per longam annorum seriem mihi curae cordique fuit, haud incommodum arbitror verba quibus prioris editionis praefationem clausi hoc loco repetere. gaudebo equidem, si qui doctrina instructiores vel ingenii acumine

---

cui inscripsit '*Nachlese zu den Bruchstücken der griech. Tragiker*' (*Sitzungsb. der phil.-hist. Cl. der K. Akad. der Wissensch. zu Wien*, vol. CXVI fasc. 1), quam commentationem intellegi volo ubi Gomperzii *Nachl.* attuli. tres alias eiusdem commentationes (*Beiträge zur Kritik und Erklärung griech. Schriftsteller*), quae prodierunt Vindobonae a. 1875 et 1876 (*Sitzungsb.* vol. LXXIX p. 235 sqq., LXXX p. 747 sqq., LXXXIII p. 563 sqq.) *Beitr.* compendio indicantur.

De tragicorum Graecorum minorum et anonymorum fragmentis observationes criticas edidit Rud. Methner tribus partibus, quarum prima dissertatione inaugurali a. 1876 continetur, secunda et tertia duobus programmatis gymnasii Brombergensis a. 1882 et 1883. hinc plerumque dissert et progr. Methneri commemorasse satis habui non addito commentationis titulo.

vel novis usi subsidiis obscura illustrarint, corrupta expedierint, manca suppleverint: at lubrica est via quam ingrediuntur qui poetarum reliquiis operam navarint, neque aliis potius quam sibi quemque par est diffidere.

Scribebam Petropoli mense Novembri a. 1888.

EPIMETRVM

Locos haud paucos in priore editione admissos ab altera editione abesse volui, quorum indicem subicio.

1 Stob. Flor. 20, 13: *Αἰσχύλου* (fr. 443). *'ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι'*. spectatur Prom. 378: *ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι*, unde *ἰατροὶ* Stobaeo reddendum.

2 Antiatt. p. 107, 30: *μὴ νόμισον· ἀντὶ τοῦ μὴ νομίσῃς. Σοφοκλῆς Πηλεῖ* (fr. 454). *καὶ 'μὴ ψεῦσον'*. dixit Sophocles *μὴ ψεῦσον* (fr. 453 ed. alt.): dixisse eundem eadem in fabula *μὴ νόμισον* ab omni probabilitate abhorret, cf. quae dixit Cobet *Λογ. Ἑρμ.* 1 p. 142.

3 Stob. Ecl. 1, 5, 11 p. 172 ed. Heer. (p. 76, 12 Wachsm.): *Σοφοκλέους ἐκ Φαίδρας* (fr. 611). *'περιῶσι' ἄφυκτά τε μήδεα παντοδαπᾶν βουλᾶν ἀδαμαντίναις ὑφαίνεται κερκίσιν αἶσα'*. quae Sophocli tribuuntur verba iungenda esse cum lyrici poetae fragmento quod continuo sequitur, lemma autem *Σοφοκλέους ἐκ Φαίδρας* ad eclogam 13 spectare, verissime agnovit Wilamowitz-Moellendorff *Isyllos von Epidauros* p. 16. at etiam praegressa ecloga 10 eiusdem est lyrici fragmenti quod eclogis 11 et 12 continetur. eclogas 10, 11, 12 manifesto inter se cohaerentes adiutus aliorum emendationibus sic fere restituerim:

> *κλῦτε μοῖραι, Διὸς αἵτε παρὰ θρόνον ἀγχοτάτω θεῶν ἑζόμεναι*
> *περιῶσι' ἄφυκτά τε μήδεα παντοδαπᾶν βουλᾶν*
> *ἀδαμαντίναις ὑφαίνετε κερκίσιν,*
> *Αἶσα ⟨καὶ⟩ Κλωθὼ Λάχεσίς τ', εὐώλενοι Νυκτὸς κόραι,*
> *εὐχομένων ⟨δ'⟩ ἐπακούσατ', οὐράνιαι χθόνιαί τε*
> *δαίμονες πανδείματοι κτἕ.*

ergo a tragoedia alienum est quod Euripidi tribui fr. 620 (ed. alt.), cuius in locum succedet adesp. fr. 503 aut 504.

4 Etym. Vindob. MS.: *φύσις ἡ οὐσία, καὶ τὸ εἶδος. Σοφοκλῆς* (fr. 716) *'ποταπὸς ἦν τὴν φύσιν'*. vide quae dixi in Lex. Vindob. p. 186, 3.

5 Phot. Lex. p. 269, 8: *μιαίνεσθαι καὶ ἐκμιαίνεσθαι· τὸ ὀνειρώττειν. Σοφοκλῆς* (fr. 963). Sophoclis nomen ad praecedentem glossam *μηχανορράφος* probabiliter rettulit Naber. diversam coniecturam fecit Bentley, cf. Fritzsche in Ar. Ran. 753 p. 278.

6 Anecd. Bekk. p. 376, 32: *ἀλλά· ἀντὶ τοῦ ὅταν. Σοφοκλῆς* (fr. 1018). legendum esse cum Brunckio *ἀντὶ τοῦ κἄν* et spectari El. 1013 docemur Lex. Vindob. p. 28, 8.

7 Ar. Ran. 465: *ὦ βδελυρὲ κἀναίσχυντε καὶ τολμηρὲ σύ*. hunc versum, cui simillimus est Pac. 182: *ὦ μιαρὲ καὶ τολμηρὲ κἀναίσχυντε σύ,*

olim Euripidi (fr. 386) tribui nixus Scholio Ven. Ar. Ran. 467 (Eur. fr. 383 huius ed.) et coll. Ar. Com. 2 p. 958: *ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ.* Nub. 1327: *ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.* Com. anon. 4 p. 657: *ὦ προδότι καὶ παραγωγὲ καὶ μύραινα σύ.* at vide quae dixit W. H. van de Sande Bakhuyzen de parodia in comoed. Aristoph. p. 141 sqq.

8 Schol. Ar. Thesm. 870: *'οἶσθ' οὖν ὃ δρᾶσον' Εὐριπίδης Πολυΐδῳ* (fr. 647). Greg. Cor. de dial. p. 17 sq.: *καὶ Εὐριπίδης ἐν Πολυΐδῳ τῷ δράματι 'οἶσθ' οὖν ὃ δρᾶσον;' ἀντὶ τοῦ δράσεις ἐξήνεγκε.* rectius libri non nulli *ἐν Πολυδώρου τῷ δράματι*, nimirum Hecubae v. 225.

9 Anecd. Oxon. vol. 4 p. 253, 33 vel potius Maximus Conf. vol. 2 p. 615 Comb.: *Εὐριπίδου* (fr. 872). *'οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί'.* omisso poetae nomine hunc versum afferunt Hermogenes Rhet. vol. 1 p. 25, 6 Aphthonius ibid. p. 68, 1 anon. ibid. p. 130, 33 Schol. Aphthon. Rhet. vol. 2 p. 592, 15 p. 593, 27 Theodorus Metoch. Misc. 28 p. 184 p. 195 Men. mon. 419 Iohannes Georgides in Boiss. Anecd. 1 p. 69 Manuel Palaeol. Praec. ad fil. 55 p. 82. Latine reddidit Priscianus Praeexerc. p. 433, 1 K.: *non potest inveniri vita hominis carens molestia.* imitatur nescio quis Anecd. Paris. 4 p. 316, 19: *οὐκ ἔστιν εὑρεῖν τῆς ἀλυπίας τέχνην.* Euripidi non tribuunt nisi Antonius Mel. 1, 72 p. 989 Mign. et Maximus Conf., Menandro vindicat allato fabulae titulo Orion Flor. 8, 5 p. 53, 13. plerique testes *ἄλυπον ἐν οὐδενί* praebent, *ἄλυπον οὐδενί* cum non nullis Hermogenis et Aphthonii libris Schol. Aphthon. p. 593, *ἄλυπον οὐδενός* Orion, Ioh. Georg., v. l. in Hermog.

10 Anecd. Oxon. vol. 4 p. 254, 19 vel potius Maximus Conf. vol. 2 p. 634 Comb.: *Εὐριπίδου* (fr. 1096). *'θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο.'* Theocrito locum tribuit Arsenius p. 458, 17 L., ubi legendum *Θεοκτίστου*, cf. Orelli Opusc. sent. vol. 1 p. 404.

11 Lutatius in Stat. Theb. 5, 163 p. 171 Lind.: *circumvolat umbra] et hoc poetice, ut Euripides* (fr. 1104) *'syrseen opersu'.* scribendum *⟨ποτωμένην⟩ ψυχὴν ὑπὲρ σοῦ* (Eur. Or. 676), quod vidit Porson.

12 Phot. Lex. p. 54, 12: *ζύγαστρον· κιβωτός, κυρίως δὲ ἡ ξυλίνη σορός, παρὰ τὸ ἐζυγῶσθαι. οὕτως Εὐριπίδης* (fr. 1110). *ζύγαστρον* nomine usus est Sophocles Trach. 692 et fortasse Euripides Ion. 32.

13 Hesych. 3 p. 267: *πάντα λίθον κινεῖν· παροιμία, ἧς μέμνηται Ἀρίσταρχος* (fr. 6 p. 565). non poeta intellegendus, sed grammaticus.

14 Stob. Ecl. 1, 7, 2 p. 212 Heer.: *Χαιρήμονος* (fr. 20 p. 611). *'τὰ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει'.* lemma *Μενάνδρου Προγάμων* restituit Wachsmuth p. 90, 22.

15 Stob. Ecl. 1, 8, 28 p. 236 Heer.: *Χαιρήμονος* (fr. 21 p. 611 sq.). *'χρόνος δίκαιον ἄνδρα μηνύει ποτέ'.* docet Wachsmuth p. 98 *Χαιρήμονος* lemma in FP eclogae 30 esse appositum. ecloga 28 videtur contineri versus Sophoclis Oed. R. 614: *χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος.*

16 Stob. Flor. 21, 4: *Ἀντιφάνους. 'εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει'.* vitioso edit. Trinc. lemmate deceptus olim Antiphonti (fr. 5 p. 616) hunc versum tribui.

17 Hesych. 1 p. 111: *ἀλάβη· λιγνύς. σποδός. καρκῖνος. ὑπὸ δὲ Κυπρίων μαρίλη.* non recte Carcini (fr. 12 p. 622) poetae memoriam hac in glossa quaesivi.

18 Stob. Flor. 123, 3: *Μοσχίωνος* (fr. 11 p. 635). *'ἐᾶσατ' ἤδη — λαβεῖν'.* vide quae diximus p. 816*.

19 Ex Aristophanis Av. 1321 et Lysistr. 1289 *ἀγανόφρονος ἡσυχίας* verba repetii (adesp. 32). probabilius est lyrici poetae verbis usum esse Aristophanem, cf. van de Sande Bakhuyzen de parod. p. 88.

20 Aristot. Eth. Nicom. 7, 7 p. 1149 b 16: ἡ δ' ἐπιθυμία, καθάπερ τὴν Ἀφροδίτην φασί, 'δολοπλόκου γὰρ Κυπρογενοῦς' (adesp. 51). lyrico poetae recte haec tribuit Bergk ed. quart. vol. 3 p. 729.

21 Diogenianus 8, 11: σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει. χρησμόν τις ἔλαβε 'τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν' (adesp. 113). vide quae dixi p. XV.

22 Eustath. Macr. 6, 15, 2: ὡς δὲ καὶ γυναιξὶ δεινὸν κατὰ τὴν τραγῳδίαν αἵ δι' ὠδίνων γοναί, ὅλαι μητέρες ξυμμαρτυρήσουσιν. male hunc locum admisi (adesp. 129) petitum ex Eur. Phoen. 355, ubi rectius δεινὸν γυναιξὶν legitur.

23 Hephaest. p. 55 de metro choriambico: τετράμετρον δέ 'αἳ Κυθερήας ἐπιπνεῖτ' ὄργια λευκωλένου'. non tragici poetae fragmentum (adesp. 149), sed lyrici (Bergk vol. 3 p. 708).

24 Hesych. 1 p. 28: ἀγνῶτας φίλους· ἀγνώμονας, ἀνεπιστήμονας. lemmate ἀγνῶτας φίλους tragici poetae verba indicari olim putavi (adesp. 161), quam opinionem diluit M. Schmidt, cf. R. Methner progr. a. 1882 p. 18. fortasse legendum ἀγνῶτας· ἀφίλους. ἀγνώμονας· ἀνεπιστήμονας.

25 Hesych. 4 p. 94: συλλαβὰς ὁδοῦ· τοὺς συλῶντας καὶ ἐκδύοντας. glossa corrupta (adesp. 209) fortasse sic est expedienda ut scribamus συλητάς· ὁδου⟨ρούς⟩ τοὺς συλῶντας καὶ ἐκδύοντας. ubi συλητάς debetur Sopingo, σύλλαβ' ὁδούρους coni. M. Schmidt.

26 Stob. Flor. cod. L (vol. 4 p. 180, 17 ed. Mein.): 'οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς· οὐ γὰρ καλὸν τόδ', ἀλλὰ τῇ δίκῃ βαρύ'. recte coniunxi (adesp. 224) versus in Gaisfordi et Meinekii editionibus diremptos, sed immemor fui Eur. Phoen. 526 sq.

27 Orion Flor. 8, 11 p. 54, 5: Φανιέως. 'ἄνθρωπος ὢν ἥμαρτον· οὐ θαυμαστέον'. corrupto lemmate adductus sum ut tragicis adespotis (fr. 261) insererem iambum quem ex Phanio Menandrea Schneidewin p. 92 probabiliter repetit.

28 Plut. de prof. in virtute c. 2 p. 75 F: ἀλλ' ὀρθῶς μὲν εἴρηται τὸ 'πρὸς στάθμῃ πέτρον τίθεσθαι, μήτι πρὸς πέτρῳ στάθμην', οἱ δὲ μὴ τιθέμενοι τὰ δόγματα πρὸς τοῖς πράγμασιν — πολλῶν ἀποριῶν ἐμπεπλήκασι τὴν φιλοσοφίαν. tetrametrum trochaicum, de cuius origine ipse dubitavi (adesp. 298), tragoediae recte abrogat Bernhardy *Grundr. der Griech. Litt.* ed. tert. vol. 1 p. 269, Epicharmo probabiliter adscribit Gomperz *Beitr.* 3 p. 571 sq.

29 Plut. non posse suaviter vivi sec. Epicurum c. 17, 2 p. 1098 E: τῶν δὲ πρὸς τὸ καλὸν ὁρμῶν καὶ τὴν ἐπὶ τῷ καλῷ τιμὴν καὶ χάριν 'οὐκ ἔστιν αὐτῶν μέτρον ⟨ὁ⟩ τοῦ βίου χρόνος'. dubitans admisi haec verba (adesp. 347), quae Menandro tribuit Wyttenbach (cf. Kock Com. Att. fr. vol. 3 p. 614), a poesi omnino aliena censet Cobet Mnem. nov. 1 p. 360.

30 Plut. V. Aristid. c. 4: τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας ἀπεδείκνυε (Aristides) πολλὰ νενοσφισμένους καὶ μάλιστα τὸν Θεμιστοκλέα· 'σοφὸς γὰρ ἀνήρ, τῆς δὲ χειρὸς οὐ κρατῶν'. versum (adesp. 352) quem Euripidis esse coniecit Valckenaer Diatr. p. 220, deberi Eupolidis Δήμοις ostendit Wilamowitz-Moellendorff Herm. vol. 14 p. 483.

31 Schol. Ar. Av. 1647: δεῦρ' ὡς ἔμ' ἀποχώρησον ὅτι ὅμοιον τῷ τόπῳ ἐκείνῳ 'δεῦρ' ἐλθέ· σὺν σοὶ τἄλλα βούλομαι φράσαι'. scribendum δεῦρ' ἔλθ'· ἐς οὓς σοι cum Herwerdeno Exerc. crit. p. 89 et versiculus (adesp. 363) eodem auctore abiciendus coll. Eur. Ion. 1520 sq. adde quae dixit Cobet V. L. p. 596.

32 Schol. Eur. Andr. 100: χρὴ δ' οὔποτ' εἰπεῖν] 'μήποτέ τις ἄνδρα πανόλβιον αὐδήσειε, πρὶν ἴδῃ πῶς ἐκεῖνος ἔχοι ποτὲ πότμον ἀπήμων'.

non tragicum (adesp. 367) sed epicum fragmentum in his verbis recte agnovisse videtur Cobet Coll. crit. p. 235.

33 Eust. Il. p. 811 sq. sive Schol. Il. *K* 360 in Anecd. Paris. 3 p. 12, 27: *δοκεῖ δὲ Ἀττικοῖς φίλος εἶναι ὁ ἐν δυσὶ συλλαβαῖς λαγώς, οὗ καὶ ἡ ἑνικὴ γενικὴ τοῦ λαγώ, καθὰ δηλοῖ ὁ γράψας τὸ 'λαγὼ βίον ζῇς ὁ πρὶν ἄτρομος λέων'.* idem versus extat in Anecd. Paris. vol. 4 p. 268, 34, nisi quod ibi *ζῶν* legitur. male olim tragico poetae (adesp. 373) adscripsi Byzantini hominis fetum.

34 Stob. Ecl. 1, 8, 29 p. 236 Heer.: *'χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται'* (adesp. 429). Chaeremoni versum tribuit Canter. *Φιλήμονος* lemma, quod F in margine praebet adscriptum ita ut ad ecl. tam 28 quam 29 pertinere possit, huc rettulit Wachsmuth p. 98, quem sequitur Kock Com. Att. fr. vol. 2 p. 532.

35 Anecd. Bekk. p. 335, 10: *ἄγανον τὸ κατεαγός, ἡ πρώτη ὀξεῖα· καὶ τοῦτο τραγικώτερον τὸ ὄνομα.* Eust. Il. p. 200, 2: *ἔστι καὶ ἄγανον προπαροξυτόνως καὶ δηλοῖ τὸ κατεαγός· τραγικώτερον δέ, φησί, τὸ ὄνομα.* delevi hoc fragm. (adesp. 486), quoniam *ἄγανον* fide destitutum est, quod docuit Naber Phot. Lex. vol. 1 p. 137.

36 Hesych. 1 p. 187: *ἄνδεργμα· ὁ ἐπὶ τῆς τραγικῆς σκηνῆς παραγόμενος παράκοτος* (*παράκοπος* coni. Guyet). ibid. p. 170: *ἀναδείγματα — τὰ ἐν ταῖς τραγικαῖς σκηναῖς εἴδωλα δεικνύμενα.* temere hinc olim feci adesp. 489.

37 Hesych. 1 p. 351: *βαθμοί· ἴχνη, πόδες. καὶ δίφροι παρὰ τραγικοῖς.* cur abiecerim fragm. (adesp. 491), docebit M. Schmidtii annotatio.

ADDENDA

Aeschyli fr. 2 *ἐξαυστήρ* forma munitur titulo C. I. Att. II 818, 27.

fr. 29 cum Athenaei loco cf., ne plura commemorem, Serv. in Verg. A. 5, 823: *Glaucus Anthedonius piscator — cum captos pisces supra herbam abiecisset et eos recepisse vidisset quam amiserant vitam, intellecta herbarum potentia esu earum in deum mutatus est.*

p. 46* adde haec quae H. Diels indicavit: *οὐκέτι ὑπ' ἄλλων ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλίσκονται* ⟨*τὸ*⟩ *τοῦ λόγου* Themist. Paraphr. Aristot. 1 p. 289, 24. *τοῖς ἑαυτῶν πτεροῖς κατὰ τὴν παροιμίαν ἁλίσκονται* Simpl. in Aristot. Phys. 1 p. 661, 23.

fr. 179, 4 *ἔστιν* scribendum cum Athenaei codice A.

p. 70 in Argum. Aesch. Agam. *Ξενοκλῆς Ἀφιδναῖος* recte scripsit Wilamowitz-Moellendorff.

fr. 217 Hesychio reddendum esse *ἀναρροφεῖ μετὰ ποιοῦ ἤχου* vidit L. Dindorf Thes. L. I, 2 p. 541 B.

p. 79 Aspasii locus, ut docuit H. Diels, est in edit. Heylb. p. 133.

fr. 287 adde Anecd. Bachm. 1 p. 411, 12: *φωλεόν· τὸ παιδευτήριον. ὅθεν καὶ ἀποφώλιοι οἱ ἀπαίδευτοι.*

fr. 300, 4 fortasse *πυρωπὸν* praestat. *πυρωπὸς ἥλιος* Athenaei cod. C.

fr. 301 om. poetae nom. repetit Eust. Il. p. 757, 1 *ἀγαθῆς ἀπάτης* scribens.

fr. 327 ad Ixionem refert Pauw.

fr. 369 *ἄνθρωποι πηλοφύρατοι* dicuntur a Constant. Man. fr. 4, 18 p. 564 Herch.

fr. 448 cf. Sueton. in Milleri *Mél. de litt. gr.* p. 414: χαλιμάς· ἀπὸ τοῦ ἐκ μέθης ἢ μανίας ἢ ἀκολασίας χαλᾶσθαι· χάλις δὲ καὶ ὁ ἄκρατος. Eustathius commemorans Aeschyli σπονδὰς χαλικρήτους spectat fr. 323.

Sophoclis fr. 35 ἐσχάρας λαβὼν ⟨βάθρον⟩ coni. Campbell.

fr. 41 πατὴρ δ' ὑπεσδὺς coni. Diels. iam Musurus χρυσδὺς in χρύσε' εἰσδὺς mutarat. πατὴρ δὲ Χρύσης (ita Ad. Schoell) ἀμφίλινα κρούπαλα ἐσδύς scripsit Hartung.

fr. 85, 7 καὶ πρὸς τ' ἄβατα Plutarchi libri. καὶ πρὸς τὰ βατὰ κἄπωθεν ⟨ὢν⟩· πένης ⟨δ'⟩ ἀνὴρ coni. Bernardakis, πένης δ' ἀνὴρ praeierat Reiske.

fr. 153, 4 παῖδες εὐπαγῆ praecepit Campbell. v. 6 οὔτ' ἀποσπᾶσθαι θέλει coni. Gomperz *Nachl.* p. 6.

fr. 177 adde Anecd. Bachm. 1 p. 412, 28: χαμεύνα· ταπεινὴ καὶ εὐτελὴς κλίνη, ⟨ἡ⟩ καὶ στιβάς.

fr. 199 Crusius Philol. 46 p. 616 huc refert verba Aristophontis Com. 3 p. 357: παλαιστὴν νόμισον Ἀργεῖόν μ' ὁρᾶν.

fr. 202 in Hesychii loco ἐν ᾗ τὴν ἄσην μινύθων τις ἀναιρεῖ coni. R. Ellis *Journal of philol.* IV p. 252.

p. 188 nova fabula Sophoclea Ἴβηρες commemoratur in titulo quem ex schedis Ph. Bonarrotii protraxit G. Kaibel Herm. vol. 23 p. 268 sq., ubi editor docuit apud Rhodios tertio vel quarto a. Chr. saeculo simul actas esse ... ἐα Σοφοκλέους καὶ Ὀδυσσέ⟨α κ⟩αὶ Ἴβηρας καὶ σατυρικὸν Τήλε⟨φον⟩.

fr. 286, 1 χρῶμα agnovit Reiske, id quod S. Mekler me docuit.

fr. 296 ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν item Men. mon. 13.

fr. 323, 1 adde Herodiani q. d. Philetaerum ex codice Vat. 2226 suppletum, cuius verba attulit L. Cohn Mus. Rhen. 43 p. 416: ξυνάρα ἡ ἄκανθα παρὰ Σοφοκλεῖ· οἱ νῦν κυνάραν λέγουσιν. ubi lemma in κυνάρα mutandum, in fine κινάραν scribendum videtur.

fr. 344, 3 μοτοῦ vel μότον plerique Plutarchi libri, νώτον ut videtur Riccardianus.

fr. 345 οἱ πότοι γλυκεῖς coni. H. Stadtmueller.

p. 220 quod Welcker statuit Μυσούς et Τήλεφον titulos esse unius fabulae, refellitur inscriptione paulo antea (add. p. 188) commemorata.

fr. 422, 2 γνῶν τις coni. A. Gennadius.

fr. 434, 1 διὰ ψήκτρας σφ' ὁρῶ Campbell.

fr. 494, 1 πάρεστι malit Campbell.

fr. 593 Herodiani q. d. locus in cod. Vat. 2226 hanc refert formam: ἔξεδρος ὁ μισοπόνηρος· καὶ μὴ ἔστω τις ὢν εἰς ἡμᾶς ἔξεδρον χώραν ἔχων. Σοφοκλῆς σατύροις. scribendum esse ἔξεδρος ὄρνις· ὁ πονηρὸς καὶ μὴ αἴσιος ὢν εἰς ἡμᾶς· 'ἔξεδρον χώραν ἔχων' Σοφοκλῆς β' (δευτέρᾳ) Τυροῖ coni. L. Cohn Mus. Rhen. 43 p. 413.

fr. 603 διδάσκει πολλὰ malim, cf. Solon. fr. 18 Eur. Hipp. 252 Men. mon. 449.

fr. 726 βουλεύεις ⟨λόγον⟩ coni. R. Ellis.

fr. 738 cf. Anecd. Boiss. 3 p. 470: ζημίαν αἱροῦ μᾶλλον ἢ ὅθεν οὐ δεῖ κέρδος.

fr. 758 πρὸς ἅπερ libri plerique. εὐτονώτατοι al.

fr. 799 σκηπτοβάμων Victorius.

fr. 849, 3 κρυφαῖον in θυραῖον mutat H. Stadtmueller.

fr. 863, 1 fortasse τῷ μακρῷ βίῳ praeferendum. impugnat Sophocleam sententiam Euripides Phoen. 528 sq.

fr. 884 ἀγάμητος adiectivum, quod Pollux 3, 47 a novae comoediae poetis quibusdam usurpatum tradit, ab Sophocle alienum videtur. fortasse Σοφοκλῆς nomen repetitum est ex versu praegresso.

p. 339 novum adde fragmentum

907 a

ἄμυννα

Herodiani q. d. Philetaerus ex cod. Vat. 2226 suppl. (quem locum indicavit L. Cohn Mus. Rhen. 43 p. 414): *καὶ ἀμύνεσθαι λέγοντες οὐκέτι τὴν ἄμυνναν ⟨λέγουσιν⟩, εἰ μὴ Θεόπομπος ἅπαξ 'καὶ ἔχειν ἄμυνναν', ὥσπερ καὶ Σοφοκλῆς.*

Euripidis fr. 35, 2 *τὸ δ' ἐκπέφηνεν* coni. Musgrave.

fr. 64 Bruhnii coniecturam praecepit Hartung Eur. rest. 2 p. 235.

fr. 78, 3 *τώμῷ πότμῳ* A. Gennadius.

fr. 148 cum Schol. Plat. consentit fere nec tamen Euripidis mentionem facit Pollux 6, 15. quem locum indicavit Bernardakis.

fr. 157 *εὐτυχὴς* in Ar. Ran. 1182 deteriores libri praebent, omnes libri ibid. v. 1186 sicut Dio Chrys. 64, 6 Schol. Aesch. Sept. 775 Aspasius (quem indicavit Diels) in Aristot. Eth. Nicom. p. 31 ed. Heylb., nec dubito quin *εὐτυχὴς* Euripidi reddendum sit, cui versus tribuitur in Schol. Aesch., cum poetae et fabulae nomen omittant Dio Chrys. et Aspasius.

fr. 164 non lemma, sed poetae nomen om. S.

fr. 220, 3 *ψυχῇ τὰ πολλὰ προσφιλῶν νικώμενοι* coni. H. Weil *Revue crit. d'hist. et de litt.* 1888 p. 339.

fr. 360, 3 *δυσγενέστερον ⟨κλέος⟩* coni. H. Weil.

fr. 415, 4 *γένει βροτῶν τε* in Plutarcho cum cod. D edidit Bernardakis.

fr. 420, 2 *σφάλλονται* Plutarchi libri.

p. 510 v. 4 *ἐξεπαρθενεύθη* coni. A. Gennadius.

fr. 563, 2 *κἀποκλαύσασθαι πάθη* A. Gennadius.

fr. 586, 1 rectius *θυΐαν* scribetur.

fr. 598, 2 *ἔπρεψεν* temptabam.

fr. 608, 1 fortasse *δεινοῖσι τῶν φίλων φίλοι* sufficit (cf. Alexis Com. 3 p. 411 Men. Com. 4 p. 267 Men. mon. 627).

fr. 617, 3 *⟨οὐκ⟩ εἴη σαφής* coni. H. Weil.

fr. 620 ab Euripide alienum esse ostendimus epim. 3 p. XX.

fr. 622 dubito num Euripidis sit. fortasse legendum *Εὔπολις Πόλεσι.* de confusis Euripidis et Eupolidis nominibus cf. Eupol. fr. 355 K. Eur. fr. 13 et 1111. pro *πάρεσμεν* dubito an *παρῆμεν* praeferendum sit.

p. 575 quod Anonymi de comoedia commentario sive Tzetzae Proleg. in Aristoph. reddendum conieci *θωμούς τε*, codicis Athoi scriptura *θημοὺς τὲ μεγάλους* stabilitur.

fr. 860 in Etym. Flor. scripserim *ὡς παρ' Εὐριπίδῃ* (Hec. 151) *'φοινισσομένην αἵματι' εἴρηται.* quae si vera est coniectura, fragmentum abiciemus.

fr. 874, 1 *εὖ σοι παραινῶ μὴ τειχνωμένῃ κακὰ* malim.

fr. 964, 2 *εἰς φροντίδας εἰς συμφορὰς ἐβαλλόμην* Plutarchi libri praebere videntur.

fr. 967, 1 *μέτριον δὲ πῶμ'* Bernardakis.

fr. 1029, 1 adde Men. Com. 4 p. 180: *οὐκ ἔστι μοιχοῦ πρᾶγμα τιμιώτερον· θανάτου* (l. *ψυχῆς*) *γάρ ἐστιν ὤνιον.*

fr. 1059, 2 *δειναὶ δὲ φλογμῶν* coni. H. Stadtmueller.

fr. 1079, 1 et 2 spectasse videtur Menander Com. 4 p. 256: *οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικε, φάρμακον ἄλλ' ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου.*

Ionis fr. 63, 3 p. 745 adde Eust. Il. p. 673, 38: *ὡς εἶναι καὶ νῦν ἀληθῆ τὴν λέγουσαν παροιμίαν ὡς 'βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται'.*

Agath. p. 763 sq. in Plutarchi loco *Ἐράτωνα τουτονὶ* (sic Wyttenb.) *τὰς μὲν ἐν τοῖς μέλεσι παραχρώσεις βδελυττόμενον καὶ κατηγοροῦντα — αὐτὸς δὲ ἡμῖν ὁρᾶτε ὡς ποικίλων — ἐμπέπληκε* requirit Bernardakis Plut. Mor. vol. 1 p. LVIII.

Dicaeogenis fr. 5 p. 776 cf. Nilus in Anecd. Boiss. vol. 4 p. 438: *νόμιζε σαυτῷ τοὺς γονεῖς θεοὺς εἶναι* (l. *εἶναι θεούς*).

Astydam. fr. 8, 4 p. 780 *ἐν ἑκατὸν εὑρεῖν ἔργον ἐστὶν ἄνδρ' ἕνα* R. Ellis *Journal of philol.* IV p. 265.

Dionys. fr. 8 p. 795 non *εὐτυχοῦσι*, sed *τοῖς εὐτυχοῦσι* in Anecd. Boiss. traditum est.

Carcini *Ἀλόπη* p. 797 in Aspasii loco fortasse scribendum *ὑπὸ μεγάλων ἀλγηδόνων* cum Heylbutio p. 133.

Alexandri Aetoli *Ἀστραγαλισταί* (p. 817) satyricum fuisse drama coni. C. Schenkl *Wiener Stud.* X p. 326 sq.

Adesp. fr. 295, 1 *θράσει* malim.

fr. 503 et 504 vide quae dixi epim. 3 p. XX.

fr. 512, 2 *κριτής* P m. sec., *κριταὶ* F P pr. m.

CORRIGENDA

P. 21 v. 7 scr. B (ex corr.) lx *p. 72 v. 6 Σαλαμίνιοι* *p. 82 v. 3 φαγέδαιν'* *p. 111 v. 2 σπαρτῶν)* *p. 153 fr. 103 ann. v. 5* p. 479 *p. 213 fr. 345 ann. v. 6* Gomperz *Nachl.* *p. 265 fr. 552 ann. v. 1* Casaubonum *p. 283 fr. 635 ann. v. 4 μὲν οὖν ὡς* E. A. I. Ahrens. *p. 313 v. 2* fr. 358 *p. 334 fr. 873 ann. v. 4* v. 2 *p. 358 fr. 1025 ann. v. 6* p. 132 *p. 383 fr. 74 ann. v. 7 Κορινθίοις* *p. 387 fr. 91 ann. v. 2 ἄριστον ἀνδρὸς* *p. 402 fr. 147 v. 5* Fritzsche in *p. 407 fr. 166 ann. v. 7* mutabant *p. 409 fr. 175 ann. v. 6 τὸν δεινόν,* *p. 434 fr. 254 ann. v. 3* p. 148 *p. 437 v. 21* adesp. fr. 58. *p. 439 fr. 272 ann. v. 2* Herwerden in Eur. *p. 440 fr. 280 ann. v. 1* Hesych. 1 p. 510: *p. 445 v. 10 κἀγὼ* *p. 463 fr. 342 ann. v. 2 πρὸς* (l. *παρὰ*) *τὸ* *p. 496 fr. 445 ann. v. 1* p. 146: *p. 550 fr. 600 ann. v. 1* (*θράξαι* cod.) *p. 578 v. 14 γίνου θρασύ* *p. 640 fr. 863 ann. v. 2 ἀπρόσωπον ὅταν* *p. 674 fr. 971 ann. v. 6 ἀφεὶς* *p. 685 v. 21 sq.* mor. 31, 9: *p. 709 v. 6 ἐξ ὧτ' Α.* *p. 816 fr. 9 ann. v. 7 κεύπροσή-* *p. 886 fr. 235 ann. v. 4* relegandum *p. 891 fr. 273* Hesych. 4 p. 285: *p. 975 col. 1 v. 19* Heylbut. *p. 990 col. 1 v. extr.* Soph. p. 188 *add.*

AESCHYLVS

ΑΘΑΜΑΣ

Huic fabulae probabiliter adesp. fr. 1 adscribitur.

1

τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης
αἰεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν

Ath. II p. 37 F (Eust. Il. p. 740, 10): *ἦν γὰρ τὸ ἀρχαῖον δύο γένη τριπόδων, οὓς καλεῖσθαι λέβητας συνέβαινεν ἀμφοτέρους, ἐμπυριβήτης ὁ καὶ λοετροχόος· Αἰσχύλος 'τὸν μὲν — στάσιν'· ὁ δ' ἕτερος κρατὴρ καλούμενος.* cf. Ath. VII p. 316 B: *καὶ τρίπουν δὲ λέβητα Αἰσχύλον εἰρηκέναι ἐν Ἀθάμαντι.* Eust. Od. p. 1541, 29: *καὶ τὸν τρίπουν λέβητα παρ' Αἰσχύλῳ.* Hesych. 3 p. 19: *λέβης· χάλκειος ποδονιπτήρ, τρίπους.* v. 1 *τρίπουν ἐδέξατ' οἶκον* C. *εὔθετος λέβης* coni. Emperius Opusc. philol. p. 345 coll. Agam. 444.

2

χαλκοῖσιν ἐξαυστῆρες χειρούμενοι

Etym. M. p. 346, 56: *ἐξαυστήρ· σημαίνει σκεῦός τι. παρὰ τὸ αὔω αὔσω, αὐστὴρ καὶ ἐξαυστήρ. Αἰσχύλος.* ubi *Αἰσχύλος* om. V, *Αἰσχύλος Ἀθάμαντι χαλκέοισιν ἐξαυστῆρες χειρούμενοι* praebet Etym. Flor. p. 116. cf. Hesych. 2 p. 117: *ἐξαυστήρ· κρεάγρα. χαλκέοισιν* cod. Flor., *χαλκοῖσιν* scripsi. *ἐξαυστῆρσιν ἐξαιρούμενοι* coni. Dindorf. *ἐξαυτήρ* formam probat Lehrs de Arist. stud. Hom. ed. alt. p. 291.

3

ἀήτους

Hesych. 1 p. 61: *ἀήτους· μεγάλας. Αἰσχύλος Ἀθάμαντι* (*ἀθάμαντας* cod.).

4

ἀπαρτί

Hesych. 1 p. 228: *ἀπαρτί· ἀπηρτισμένως* (*ἀπαρτιᾶ ἀπαρτισμένος* cod.), *ἀκριβῶς. Αἰσχύλος Ἀθάμαντι.* cf. Anecd. Bekk. p. 210, 23.

ἀπαρτί· ἀπηρτισμένως. item Anecd. Bekk. p. 418, 12: ἀπηρτισμένως· ἀκριβῶς. ubi leg.: ἀπαρτί· ἀπηρτισμένως, ἀκριβῶς.

ΑΙΓΥΠΤΙΟΙ

'Huius tragoediae ab scriptore catalogi commemoratae argumentum non potest dubitari quin caedes fuerit Aegypti filiorum ab Danai filiabus in matrimonium acceptis perpetrata, uno excepto Lynceo, quem Hypermestra servaverat: de quo v. quae Hyginus narrat fab. 168. chorum fabulae ex militibus Aegyptiis compositum fuisse coniecit Hermannus, non ex filiis Aegypti, qui *Αἰγυπτιάδαι* dicendi fuissent. narrationis igitur de Aegypti filiis Danaique filiabus Aeschylus tribus tractavit tragoediis, *Ἱκέτισιν*, *Αἰγυπτίοις*, *Δαναΐσιν*, in eodemque argumento versatam esse *Θαλαμοποιούς* fabulam coniecit Hermannus, qui *Θαλαμοποιοὺς* non diversam ab *Αἰγυπτίοις* fuisse putabat. mihi probabilius videtur *Θαλαμοποιούς*, nomine a choro ducto, quartam fuisse huius tetralogiae fabulam, inverso rerum ordine, quemadmodum in tetralogia Oedipodea tribus tragoediis, *Λαΐῳ*, *Οἰδίποδι*, *Ἑπτὰ ἐπὶ Θήβαις*, quarta addita fuit *Σφὶγξ* fabula, quae secundum rerum ordinem prima esse debebat.' *Dindorf.*

5

Ζαγρεύς

Anecd. Oxon. vol. 2 p. 443, 12 sive Etym. Gud. p. 227, 41: *τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σισύφῳ* —. *ἐν δὲ Αἰγυπτίοις οὕτως* (*ὅν τε* codex Paris.) *αὐτὸν διὰ* (verba *οὕτως αὐτὸν διὰ* om. cod. Ox.) *τὸν Πλούτωνα καλεῖ, τὸν ἀγραῖον τὸν πολυξενώτατον διὰ τῶν κεκμηκότων.* extrema verba ex Suppl. 156—158 repetita esse vidit Larcher. Hermann coniecit *ἐν δὲ Αἰγυπτίοις οὕτως αὐτὸν τὸν Πλούτωνα καλεῖ· ἐν δὲ Ἱκέτισι τὸν Δία τὸν γάιον τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων.*

ΑΙΤΝΑΙΑΙ

Vita Aeschyli p. 4, 15 (Westerm. *Βιογρ.* p. 120, 52): *ἐλθὼν τοίνυν εἰς Σικελίαν Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος ἐπεδείξατο τὰς Αἰτναίας οἰωνιζόμενος ἐντεῦθεν βίον ἀγαθὸν τοῖς συνοικίζουσι τὴν πόλιν.* scripta igitur fabula est circa olymp. 76, 1. chori partes Aetnaeae mulieres egerunt. fortasse huius fabulae est fr. 283. *Αἰτναῖαι γνήσιοι* et *Αἰτναῖαι νόθοι* memorantur in fabularum Aeschylearum catalogo.

6

τί δῆτ' ἐπ' αὐτοῖς ὄνομα θήσονται βροτοί;
σεμνοὺς Παλικοὺς Ζεὺς ἐφίεται καλεῖν.

ἢ καὶ Παλικῶν εὐλόγως μενεῖ φάτις;
πάλιν γὰρ ἥξουσ' ἐκ σκότου τόδ' εἰς φάος.

Macrob. Sat. 5, 19, 17: *di Palici in Sicilia coluntur, quos primus omnium Aeschylus tragicus, vir utique Siculus, in litteras dedit. interpretationem quoque nominis eorum — expressit versibus suis.* ibid. § 24: *Aeschyli tragoedia est quae inscribitur Aetna. in hac cum de Palicis loqueretur, sic ait* '*τί δῆτ' — εἰς φάος*'. v. 1 *τί δή ποτ' αὐτοῖς* coni. Cobet Coll. crit. p. 185, traditam scripturam tuetur Gomperz *Bruchstücke der gr. Trag.* p. 6. v. 2 *σεμνῶς* Herwerden Exerc. crit. p. 6. ΕΦΥΤΑΙ (inter Υ et Τ insertum Ε) P. v. 3 *μένει* ante Schneidewinum. v. 4 ΗΚΟΥCΕΚCΤΟΥC P, *ἵκουσ' ἐκ σκότου* editores. *ἥξουσ'* restituit Burges.

7

Stephanus Byz. p. 496, 9: *Παλική, πόλις Σικελίας — πλησίον δὲ αὐτῆς ἱερὸν Παλικῶν, οἵ εἰσι δαίμονές τινες, οὓς Αἰσχύλος ἐν Αἴτναις γενεαλογεῖ Διὸς καὶ Θαλείας* (*Αἰθαλείας* vel *Αἰθαλίας* coni. Welcker in Simonid. iamb. p. 38) *τῆς Ἡφαίστου.*

8

ποταμοὺς πολυηλακάτους

Schol. LT Il. *Π* 183: *τὸν κάλαμον γὰρ τῶν βελῶν τινὲς ἠλακάτην φασί, καὶ Αἰσχύλος ἐν Αἴτναις τοὺς ποταμοὺς πολυηλακάτους φησί.* potius *τὰ τῶν ποταμῶν χείλη* ab Aeschylo *πολυηλάκατα* dicta fuisse M. Schmidt Philol. vol. 16 p. 162 colligit ex Hesych. 2 p. 272: *ἠλακάτη· δόναξ. ὁμοίως καὶ πολυηλάκατα τὰ τῶν ποταμῶν χείλη.*

9

αἱμοί

Hesych. 1 p. 80: *αἱμοί· δρυμοί. Αἰσχύλος Αἰτναίαις* (*αἰτιναίαις* codex). similiter omisso fabulae nomine Anecd. Bekk. p. 360, 30 Eust. Od. p. 1851, 27 Zon. Lex. p. 69. pro *αἱμοὺς τοὺς δρυμούς* vitiose Eust. *αἵμους τοὺς δρόμους*, Zon. *αἵμους τοὺς δρόσους.*

10

κρείσσονας

Hesych. 2 p. 533: *κρείττονας· τοὺς ἥρωας οὕτω λέγουσιν. δοκοῦσιν δὲ κακωτικοί* (*κακότυχοί* cod.) *τινες εἶναι· διὰ τοῦτο καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι, μή τι βλαβῶσι. καὶ οἱ θεοὶ δέ· Αἰσχύλος Αἰτναίαις* (*αἰτναίας* codex). Phot. Lex. p. 177, 8: *κρείτ-*

τονες· οἱ ἥρωες. δοκοῦσι δὲ κακωτικοὶ εἶναι· δι' ὃ καὶ οἱ τὰ ἡρῷα παριόντες σιωπῶσιν.

11

Iohannes Lydus de mens. p. 274 ed. Has. (p. 116, 6 Bekk.) de Saturno: *καὶ βασιλεῦσαι δὲ αὐτὸν ἡ ἱστορία παραδίδωσιν, ὡς ἔμπροσθεν ἀφηγησάμην, κατά τε τὴν Λιβύην καὶ Σικελίαν ⟨οἰκίσαι τε τοὺς τό⟩πους καὶ ⟨πόλ⟩ιν κτίσαι, ὡς ὁ Χάραξ φησί, τ⟨ὴν τότε μὲν λεγ⟩ομένην Κρονίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὡς ⟨Ἰ⟩σίγον⟨ος περὶ Ἑλλην⟩ικῶν θεῶν καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ* (*ετνη* cod.) *π⟨αραδιδόασιν⟩.* ita lacunas explevit Hase.

ΑΛΚΜΗΝΗ

Non memoratur in fabularum Aeschylearum catalogo.

12

ἀποστάς

Hesych. 1 p. 258: *ἀποστάς· φυγών. Αἰσχύλος Ἰσθμιασταῖς καὶ Ἀλκμήνῃ.* scribendum esse *καὶ Ἀμυμώνῃ* coni. Toup Emend. IV p. 351, *καὶ* . . . . *Ἀλκμήνῃ* ed. M. Schmidt, sicut Euripidis *Ἀλκμήνην* intellegi voluerat Alberti.

ΑΜΥΜΩΝΗ

Apollod. 2, 1, 4, 7 p. 41, 9: *ἀνύδρου δὲ τῆς χώρας* (Argos dicit) *ὑπαρχούσης, ἐπειδὴ καὶ τὰς πηγὰς ἐξήρανε Ποσειδῶν μηνίων Ἰνάχῳ διότι τὴν χώραν Ἥρας* (*Ἀθηνᾶς* libri, corr. Heyne) *ἐμαρτύρησεν εἶναι, τὰς θυγατέρας ὑδρευσομένας ἔπεμψε* (Danaus). *μία δὲ αὐτῶν Ἀμυμώνη ζητοῦσα ὕδωρ ῥίπτει βέλος ἐπὶ ἔλαφον καὶ κοιμωμένου σατύρου τυγχάνει, κἀκεῖνος περιαναστὰς ἐπεθύμει συγγενέσθαι· Ποσειδῶνος δὲ ἐπιφανέντος ὁ σάτυρος μὲν ἔφυγεν, Ἀμυμώνη δὲ τούτῳ συνευνάζεται, καὶ αὐτῇ Ποσειδῶν τὰς ἐν Λέρνῃ πηγὰς ἐμήνυσεν.* Hyginus fab. 169: *Neptunus dicitur fuscina percussisse terram, et inde aquam profluxisse, qui Lernaeus fons dictus est, et Amymonium flumen.* satyricum drama fuit.

13

σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δ' ἐμοί.

Ammonius Valck. p. 37 *γῆμαι* et *γήμασθαι* quo modo differant exponens: *καὶ Αἰσχύλος ἐν Ἀμυμώνῃ* '*σοὶ — γαμεῖν δὲ μή*'. cf. Herodianus qui dicitur *περὶ ἀκυρολ.* in Anecd. Boiss. vol. 3 p. 263 (sive Append. Lex. Vindob. p. 314, 11) et Etym. Gud. p. 125, 7. fabulae nomen om. grammaticus Anecd. Bachm. vol. 2 p. 375, 8.

γαμεῖν δὲ μή Ammon., *γαμεῖν δ' ἐμοί* Anecd. Bachm., *ἐμοὶ δὲ γαμεῖν* Herod., *γαμεῖν δόμος* Etym. Gud.

14

κἄγωγε τὰς σὰς βακκάρεις τε καὶ μύρα

Ath. XV p. 690 C: *καὶ μήποτε οὐκ ἔστι μύρον ἡ βάκκαρις. Αἰσχύλος γὰρ ἐν Ἀμυμώνῃ ἀντιδιαστέλλων φησί 'κἄγωγε — μύρα'.*

15

θρῴσκων κνώδαλα

Hesych. 2 p. 327: *θρώσκων κνώδαλα· ἐκθορίζων καὶ σπερματίζων, γεννῶν. Αἰσχύλος Ἀμυμώνῃ.*

ΑΡΓΕΙΟΙ

Ἀργεῖοι titulus perhibetur in catalogo fabularum Aeschylearum sicut in Etym. M. p. 341, 6. potius *Ἀργείαν* scripsisse Aeschylum arbitratur M. Schmidt Philol. vol. 16 p. 161. de Argia Adrasti filia et Polynicis uxore cf. Diod. 4, 65, 3 Hesiod. fr. 62 Rzach. Hygin. fab. 72 al.

16

καὶ παλτὰ κἀγκυλητὰ καὶ χλῆδον βαλών

Harpocr. v. *χλῆδος* p. 184, 22: *Αἰσχύλος Ἀργείοις* (*ἀργείαις* vel *ἀργίαις* libri) *'καὶ παλτὰ — βαλών'. πάλτ' ἀναγκύλητα* coni. Salmasius.

17

Καπανεύς μοι καταλείπεται
λοιποῖς ἀκέραυνος ἄρθρων
ἐπηλυσίων ἀπέλιπεν

Etym. M. p. 341, 5: *ἐνηλύσια· εὐκίνητα, καὶ ἤλυσιν τὴν ἔλευσιν. Αἰσχύλος ἐν Ἀργείοις 'Καπανεύς — ἀπέλιπεν'. οἱ δὲ τὰ κατασκηφθέντα. οὕτως εἰς τὸ ῥητορικόν. εἰς δὲ τοὺς ἐτυμολόγους εὗρον· ἐνηλύσια λέγεται εἰς ἃ κεραυνὸς εἰσβέβληκεν, ἃ καὶ ἀνατίθεται Διὶ καταιβάτῃ καὶ λέγεται ἄδυτα καὶ ἄβατα.* v. 1 *μου* ed., *μοι* F. v. 2 *ἀρούρων* ed., *ἀρόρων* DFP, *ἄρθρων* M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 361. *ἐνηλυσίων* Stanley. locus corruptissimus. Hesychius 2 p. 97: *ἐνηλύσιος· ἐμβρόντητος, κεραυνόβλητος.* et *ἐνηλύσια· τὰ κατασκηφθέντα χωρία ἐνηλύσια λέγονται. ἔνιοι δὲ εὐκίνητα, παρὰ τὴν ἔλευσιν* (*παρὰ τὴν ἤλυσιν τὴν ἔλευσιν* coni. M. Schmidt).

18

ἀπόσκημμα

Hesych. 1 p. 257: ἀπόσκημμα· ἀπέρεισμα (ἀπέρισμα cod., corr. Alberti). *Αἰσχύλος Ἀργείοις* (sic Meursius, ἀργίας cod.).

19

ἐμμέλεια

Hesych. 2 p. 76: ἐμμέλεια· εἶδος ὀρχήσεως — τραγικὴ δὲ ἡ ὄρχησις. Ἀργυρίοις δὲ Αἰσχύλος ἀντὶ τοῦ σατυρική, ἥ ἐστι σίκινις (σικήνης codex). pro ἀργυρίοις Meursius et alii Ἀργείοις scripserunt, contra ἀκύρως δὲ Αἰσχύλος ἀντὶ τῆς σατυρικῆς Bothe. Hermann Opusc. 7 p. 207 proposuit τραγικὴ δὲ ἡ ὄρχησις· Αἰσχύλος Ἀργείοις. ἦν δὲ καὶ σατυρική, ἥ ἐστι σίκινις.

ΑΡΓΩ

Fabularum Aeschylearum catalogus praebet titulum Ἀργὼ ἢ κωπαστής (ita cod. Med., Ἀργὼ ἢ κωπευστής Ald., Ἀργὼ ἢ κωπευσταί Welcker). satyricum fuisse drama coni. Dindorf.

20

ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερόν, αὔδασον, ξύλον;

Philo Iud. vol. 2 p. 468: οὐδ' ἡ Ἀργὼ ναυαρχοῦντος Ἰάσονος ἐπέτρεπεν ἐπιβαίνειν οἰκέταις μεμοιραμένη καὶ ψυχῆς καὶ λογισμοῦ, φύσις οὖσα φιλελεύθερος· ὅθεν καὶ Αἰσχύλος ἐπ' αὐτῆς εἶπε 'ποῦ — ξύλον'. locum huc rettulit Welcker de Aesch. tril. p. 313. respicit hunc versum Hyginus Poet. astr. 2, 37 p. 400 de loco quo Argo navis facta sit: *Homerus hunc eundem locum iu Thessaliae finibus esse demonstrat. Aeschylus autem, ut non nulli aiunt, a Minerva quandam materiam loquentem eodem esse coniunctam.* cf. Apollod. 1, 9, 16, 6 p. 27, 30: κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον.

αὔδασον formam tueri vult Dindorf exemplis verborum quorundam, de quibus dixit Lobeck in Phryn. p. 204 sq. (cf. quae ipse attuli *Eurip. Stud.* II p. 175), cui opinioni favet unus Euripidis locus (Phoen. 124), obstant alia exempla haud pauca. sententiae convenit quod Hartung proposuit ἱερὸν αὐδῆεν (Cobet Coll. crit. p. 185 sq. αὐδᾶεν) ξύλον (cf. Apoll. Rhod. 4, 581: αὐδῆεν γλαφυρῆς νηὸς δόρυ). at αὐδήεις adiectivum a trimetro tragico alienum. potuit Aeschylus scribere ποῦ δ' ἱερὸν Ἀργοῦς ἐστι φωνῆεν ξύλον, quid scripserit nescimus.

21

Scholl. Apoll. Rhod. 1, 105: *Φερεκύδης δὲ Ποτνιέα* (sic I. G. Schneider, *ποντε˜* L) *ἱστορεῖ τὸν Τῖφυν, ὁ δὲ Αἰσχύλος ἐν τῇ Ἀργοῖ τὸν Τῖφυν Ἶφυν* (*μαρ ιφυν* L) *καλεῖ.* unde *μαρτυρεῖ Ἶφιν καλεῖσθαι* scribi voluit M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 363.

ΑΤΑΛΑΝΤΗ

Vide fabularum Aeschylearum catalogum.

ΒΑΚΧΑΙ

22

τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς
καὶ τἀμπλάκημα τῷ περῶντι τὴν θέμιν.

Stob. Ecl. 1, 3, 26 et 27 p. 57, 5: *Αἰσχύλου Βακχῶν* (lemma om. P, *αἰσχύλου κάκχῶν* F habet in marg.). *'τό τοι — θέμιν'.* Theophilus ad Autol. 2, 37 p. 178: *ὅτι μέλλει ἡ τοῦ θεοῦ κρίσις γίνεσθαι καὶ τὰ κακὰ τοὺς πονηροὺς αἰφνιδίως καταλαμβάνειν, καὶ τοῦτο Αἰσχύλος ἐσήμανεν λέγων 'τὸ κακὸν — θέμιν'.* non cohaerent cum his versibus quae Stobaeus subicit lemmate non adscripto, *ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην κτἑ.* (adesp. fr. 493): eadem cum Aeschyleo loco coniungit Theophilus, usus nimirum hoc florilegio cuius nunc auctor perhibetur Stobaeus. v. 1 *τό τοι* Stobaei P, *τῶ τοι* F, *τὸ* (om. *τοι*) Theoph. v. 2 *καὶ τ' ἀμπλάκημα* Stob., *καὶ τὰ ἀμβλακήματα* (om. *τῷ*) Theoph., *κατ' ἀμπλάκημα* God. Hermann, *καὶ τοὐπίκλημα* Meineke.

ΒΑΣΣΑΡΑΙ

Βασσάραι titulus a plerisque testibus perhibetur, *Βασσαρίδες* in Schol. Ar. Thesm. 135 et Schol. Nic. Th. 288. fuit tetralogiae Lycurgeae fabula secunda, cf. Schol. Ar. Thesm. 135 in fr. 61 allatum. Eratosth. Catast. 24 p. 140 de Orpheo: *τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν, ἐπεγειρόμενός τε τῆς νυκτὸς κατὰ τὴν ἑωθινὴν ἐπὶ τὸ ὄρος τὸ καλούμενον Πάγγαιον* ⟨*ἀνιὼν*⟩ *προσέμενε τὰς ἀνατολάς, ἵνα ἴδῃ τὸν Ἥλιον πρῶτον. ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῷ ἔπεμψε τὰς Βασσαρίδας, ὥς φησιν Αἰσχύλος ὁ ποιητής, αἵτινες αὐτὸν διέσπασαν καὶ τὰ μέλη διέρριψαν χωρὶς ἕκαστον· αἱ δὲ μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς λεγομένοις Λειβήθροις.* Schol. German. p. 84, 11 (cf. p. 152, 1): (Orpheus) *neglegentius Liberum colere coepit solemque Apollinem dixit esse cis* (?) *adsidue nocte in Pangaeo monte ascendens, ut orientem solem videret unde surgeret. Liber in-*

dignatus misit bacchas, ut Aeschylus scribit, quae cum membratim discerpsere. recollectis membris ⟨musae cum⟩ sepelierunt in Libethriis montibus. fortasse huc spectat Schol. Clem. Alex. p. 414, 31: Ὀρφεὺς διασπαραχθεὶς ὑπὸ τῶν Ὀδρυσῶν ἄλλη ὑπόθεσις τραγῳδίας γεγένηται.

23

ὁ ταῦρος δ' ἔοικεν κυρίξειν τιν' ἀρχάν,
φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν.

Hephaest. Enchir. c. 13 p. 82: τὸ δὲ βακχειακὸν σπάνιόν ἐστιν, ὥστε εἰ καί πού ποτε ἐμπέσοι, ἐπὶ βραχὺ εὑρίσκεσθαι, οἷον 'ὁ ταῦρος — νιν'. Choerob. Exeg. in Hephaest. Enchir. p. 84, 3: 'ὁ ταῦρος δ' ἔοικε κερίζειν' Βασσαρῶν (βασάρων vel πασσαλων libri) Αἰσχύλου ἡ χρῆσις. v. 1 κυρίξειν] κηρύξειν meliores Hephaestionis libri. fortasse huc spectat Hesych. 2 p. 558: κυρίξειν ἢ κυρίζειν (κυρίξει ἢ κυρίζη cod.)· κέρασι μάχεσθαι. locum obscurissimum non expedio: τὸν ἀρχόν pro τιν' ἀρχάν temptavit Herwerden Emend. Aeschyl. (Lips. 1878) p. 160, σὺν ὀργᾷ F. G. Schmidt *Krit. Stud.* 1 p. 108. bacchiacus tetrameter qui extat in fr. 341, fortasse huius est fabulae.

24

σκάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ

Schol. Nic. Ther. 288: ψολόεις· τρία σημαίνει ἡ λέξις· ἔστι γὰρ ψολόεν τὸ μέλαν, τὸ σποδοειδές, τὸ λαμπρόν. — καὶ Αἰσχύλος ἐν Βασσαρίσιν 'σκάρφει — ψόλῳ'. σκάρφει KPR, κάρφει V.

25

εἰλλόμενον

Hesych. 2 p. 29: εἰλλόμενον· εἰργόμενον. Αἰσχύλος Βασσάραις (βάσσαρες codex). Simplicius in Aristot. de caelo p. 231 b 22 (p. 505 b 19 ed. Brandis.): τὸ δὲ ἰλλομένην εἴτε διὰ τοῦ Ι γράφοιτο τὸ δεδεμένην δηλοῖ — εἴτε διὰ τῆς ΕΙ διφθόγγου γράφοιτο, καὶ οὕτως εἰργομένην δηλοῖ, ὡς καὶ Αἰσχύλος ἐν Βασσάραις.

ΓΛΑΥΚΟΙ

Duo fuerunt huius tituli dramata, de quibus disputavit Hermann Opusc. vol. 2 p. 59—75. non satis apparet de utra fabula intellegendum sit Argum. Aesch. Pers.: ἐπὶ Μένωνος (olymp. 76, 4 sive a. Chr. n. 472) τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ (ποτνιεῖ add. Schol. rec.), Προμηθεῖ.

ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ

Pausanias 9, 22, 7: *τούτων τε δή ἐστι τῇ Ἀνθηδόνι μνήματα καὶ ἐπὶ τῇ θαλάσσῃ καλούμενον Γλαύκου πήδημα. εἶναι δὲ αὐτὸν ἁλιέα, καὶ ἐπεὶ τῆς πόας ἔφαγε δαίμονα ἐν θαλάσσῃ γενέσθαι καὶ ἀνθρώποις τὰ ἐσόμενα ἐς τόδε προλέγειν, οἵ τε ἄλλοι πιστὰ ἥγηνται καὶ οἱ τὴν θάλασσαν πλέοντες πλεῖστα ἀνθρώπων ἐς τὴν Γλαύκου μαντικὴν κατὰ ἔτος ἕκαστον λέγουσι. Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκεσεν.* Pontium Glaucum Cicero adolescentulus scripsit teste Plut. V. Cic. c. 2: *καί τι καὶ ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασῴζεται, Πόντιος Γλαῦκος, ἐν τετραμέτρῳ πεποιημένον.* Hermann huc refert fr. 402, nec dubito quin huius fabulae sit fr. 284.

26

[*ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν*]

Phryn. Bekk. p. 5, 21: '*ἀνθρωποειδὲς — συζῶν*' *ἐπὶ τοῦ Γλαύκου ἀναφανέντος ἐκ τῆς θαλάσσης. Αἰσχύλος.* neque *ἀνθρωποειδής* neque *θηρίον* tragoediae convenit: recte Dindorf statuit verba *ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν* grammatici esse interpretantis Aeschyleum qui exciderit versum. Aeschylum dixisse *ἀνθρωπόμορφον κῆτος ἐξ ἁλὸς φανέν* coni. Dindorf Philol. 12 p. 189 et 17 p. 720. verbis quae sunt *ὕδατι συζῶν* eo fere adducimur ut *ὕδατι σύννομον* (pro *ἐξ ἁλὸς φανέν*) praeferamus. *συζῶν ἁλί* coni. Heimsoeth parum probabiliter.

27

δαῦλος δ' ὑπήνη καὶ γενειάδος πυθμήν

Etym. M. p. 250, 4: *Δαυλίς — εἴρηται δὲ διὰ τὸ πολὺ δάσος ἔχειν· δαῦλον γὰρ τὸ δασύ. Αἰσχύλος* '*δαῦλος — πυθμήν*'. ubi *δ'* om. libri et *πολιάδος* pro *γενειάδος* praebet cod. Flor. Milleri p. 82. Eust. Il. p. 274, 24: *δαῦλον τὸ δασύ, ἡ προτέρα περισπᾶται· Αἰσχύλος* '*δαῦλος δ' ὑπήνη*'. non *δαῦλος* sed *δαυλός* scribi iubet Herodianus Arcad. p. 53, 7 et 13. Pausan. 10, 4, 7: *τοῖς δέ ἐστιν εἰρημένον ὡς τὸ χωρίον ἔνθα ἡ πόλις* (Daulis) *ᾠκίσθη, παρείχετο συνεχῆ δένδρα, καλεῖσθαι δὲ τὰ δασέα ὑπὸ τῶν πάλαι δαῦλα· ἐπὶ τούτῳ δὲ καὶ Αἰσχύλον τὰ Γλαύκου τοῦ Ἀνθηδονίου γένεια ὑπήνην ὠνομακέναι δαῦλον.*

28

ὁ τὴν ἀείζων ἄφθιτον πόαν φαγών

Anecd. Bekk. p. 347, 24: *ἀπὸ τῆς ζώς* (ed. *ζῶς*) *εὐθείας — γίνεται ἡ αἰτιατικὴ ζών* (ed. *ζῶν*), *καὶ κατὰ σύνθεσιν ἀείζων, ὡς Αἰσχύλος*

Γλαύκῳ ποντίῳ '*ὁ τὴν — φαγών*'. Hesych. 1 p. 51: *ἀείζων* (*ἀειζῶν* cod.)· *φυτὸν ἀειθαλές*.

29

καί γεύομαί πως τῆς ἀειζώου πόας

Anecd. Bekk. p. 347, 29: (*τῆς ζωός δισυλλάβου εὐθείας*) *ἡ γενικὴ ζωοῦ, ἣν Αἰσχύλος κατὰ σύνθεσιν προάγει εἰπών* '*καὶ — πόας*'. Ath. XV p. 679 A: *τῆς ἀειζώου βοτανῆς, ἧς ὁ Ἀνθηδόνιος ἐκεῖνος ἁλιευτὴς ἐμφορηθεὶς δαίμων θαλάσσιος γέγονε* (sic enim locum corruptum probabiliter restituit Meineke).

30

Εὐβοΐδα καμπὴν ἀμφὶ Κηναίου Διὸς
ἀκτήν, κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα

Strab. X p. 447: *ἔστι δὲ καὶ ἅπασα μὲν ἡ Εὔβοια εὔσειστος, μάλιστα δ' ἡ περὶ τὸν πορθμόν, καὶ δεχομένη πνευμάτων ὑποφοράς, καθάπερ καὶ ἡ Βοιωτία —. ὑπὸ τοιοῦδε πάθους καὶ ἡ ὁμώνυμος τῇ νήσῳ πόλις καταποθῆναι λέγεται, ἧς μέμνηται καὶ Αἰσχύλος ἐν τῷ ποντίῳ Γλαύκῳ* '*Εὐβοΐδα — Λίχα*'. v. 1 *καμπὴν*] *καμπτὴν* Bkl, *κάμπτων* coni. Meineke Vind. Strab. p. 166. 'si *καμπτὴν* meliore niteretur auctoritate, suspicari posses *Εὔβοια καμπτὴν* etc.' *Cramer.* v. 2 *αὐτὸν*] *αὐτὴν* CDhis.

31

κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν

Vit. Arat. in Petavii Vranol. p. 269 A (Westerm. *Βιογρ.* p. 53, 26): *Ἀθῆναι μὲν εἰσὶ τῆς Ἀττικῆς, εἰσὶ δὲ καὶ τῆς Εὐβοίας Ἀθῆναι αἱ Διάδες, ὧν μέμνηται ἐν Γλαύκῳ ποντίῳ Αἰσχύλος* '*κἄπειτ*' — *Περσῶν*'. Petavius edidit *εἰσὶ δὲ καὶ τῆς Εὐβοίας Ἀθηναίων Δαΐδαις μέμνηται*, quae correxit Valckenaer Diatr. in Eur. reliq. p. 143 sq. *Διάδας*] *Δαΐδας* ante Valckenarium. *παρ' ἐκ Περσῶν* ante Scaligerum, *παρεκπεσών* coni. Valckenaer. cum fr. 30 hunc versum iungendum esse censet Meineke.

32

καλοῖσι λουτροῖς ἐκλελουμένος δέμας
εἰς ὑψίκρημνον Ἱμέραν δ' ἀφικόμην·

Schol. Pind. Pyth. 1, 152: *Ἱμέρας ποταμὸς Σικελίας, περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ* '*καλοῖσι — ἀφικόμην*'. v. 1 *καλοῖσι*] *θερμοῖσι* coni. Cobet Coll. crit. p. 254. *ἐκλελουμένος* Heyne, *ἐκλέλουμαι* libri. v. 2 *δ'* delet Heyne. fortasse mutato versuum ordine

scribendum *εἰς ὑψίκρημνον δ' Ἱμέραν ἀφικόμην καλοῖσι — δέμας.* Pontio Glauco locum recte adscripsit Hermann. non Herculis, sed Glauci sunt verba.

33

Ξιφίρου λιμήν

Hesych. 3 p. 170: *Ξιφίρου λιμήν· Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ* (*ποντίῳ* correxit Hermann). *ὁ πορθμός· ταῦτα γὰρ πάντα* (*πάντα τὰ* ante Bernhardyum) *περὶ Ῥήγιον* [*ὡρείων*]. lemma scribendum esse *Ξιφωνίου* coni. Bernhardy: *λιμὴν Ξιφώνειος* commemoratur a Scylace p. 21 ed. Muell. extremum vocabulum *ὡρείων* repetendum esse ex alia glossa *ξιφήρης Ὠρίων* (Eur. Ion. 1153) probabiliter coni. M. Schmidt in Hesych. 5 p. 39.

34

κόγχοι μύες κὤστρεια

Ath. III p. 87 A: *τὰς δὲ κόγχας ἔστιν εὑρεῖν λεγομένας καὶ θηλυκῶς καὶ ἀρσενικῶς. — ἀρσενικῶς δ' Αἰσχύλος ἐν ποντίῳ Γλαύκῳ 'κόγχοι μύες κ' ὄστρεια'. ὄστρεια* formam testatur Ath. III p. 92 E: *ὄστρεια δὲ μόνως οὕτως ἔλεγον οἱ ἀρχαῖοι.* quo spectent verba Aeschylea docet Plato Rei publ. X p. 611 D: *οἱ τὸν θαλάττιον Γλαῦκον ὁρῶντες οὐκ ἂν ἔτι ῥᾳδίως αὐτοῦ ἴδοιεν* (malim *γνοῖεν*) *τὴν ἀρχαίαν φύσιν ὑπὸ τοῦ τά τε παλαιὰ τοῦ σώματος μέρη — λελωβῆσθαι ὑπὸ τῶν κυμάτων, ἄλλα τε προσπεφυκέναι, ὄστρεά τε καὶ φυκία καὶ πέτρας.*

35

Πᾶνες

Schol. Eur. Rhes. 36: *Αἰσχύλος δὲ δύο Πᾶνας τὸν μὲν Διὸς ὃν καὶ* (*Διὸς Ἀρκάδος* coni. Vater, *οὗ εἶναι Ἀρκάδα* ego malim) *δίδυμον, τὸν δὲ Κρόνου.* Schol. Theocr. 4, 62: *τοὺς σατύρους πλείους φησίν, ὡς καὶ τοὺς Σειληνοὺς καὶ Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ.* Glaucum pontium intellegit Hermann.

ΓΛΑΥΚΟΣ ΠΟΤΝΙΕΥΣ

In fabularum catalogo non memoratur. de argumento cf. Probus in Verg. Georg. 3, 267 p. 62, 10 ed. Keil.: *Potnia urbs est Boeotiae, ubi Glaucus Sisyphi filius et Meropes, ut Asclepiades in Τραγῳδουμένων libro primo ait, habuit equas, quas adsueverat humana carne alere, quo cupidius in hostem irruerent et pernicius* (*perniciosius* ed., corr. van de Sande Bakhuyzen de parodia in com. Ar. p. 175). *ipsum autem, cum alimenta defecissent, devoraverunt in ludis funebribus Peliae.* Schol. Eur. Or. 318: *Πότνιαι γὰρ χωρίον ἐστὶ Βοιωτίας, ἔνθα*

φαγοῦσαι βοτάνην αἱ Γλαύκου ἵπποι καὶ μανεῖσαι διεσπάσαντο τὸν ἴδιον δεσπότην Γλαῦκον τὸν Βελλεροφόντου πατέρα ἐν τῷ ἐπιταφίῳ Πελίου. Strab. X p. 409: *Πότνιαι, ἐφ' ὧν μυθεύεται τὰ περὶ τὸν Ποτνιέα Γλαῦκον τὸν διασπασθέντα ὑπὸ τῶν Ποτνιάδων ἵππων τῆς πόλεως πλησίον.* huius fabulae Hermann suspicatur esse fr. 326.

36

εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν

Ar. Ran. 1528: *πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποητῇ ἐς φάος ὀρνυμένῳ δότε, δαίμονες οἱ κατὰ γαίας.* ubi Schol.: *παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου* '*εὐοδίαν — χέομεν*'. *πρῶτον* codex Ven., *πρῶτα* ceteri.

37

ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους.

Schol. Plat. p. 904 b 36: *ἀγὼν πρόφασιν οὐκ ἀναμένει. — Αἰσχύλος δὲ φησὶ Γλαύκῳ Ποτνιεῖ* '*ἀγὼν — λελειμμένους*'. non *ἀγὼν* sed *ἄγων* voluisse Aeschylum coni. Herwerden Exerc. crit. p. 2 sq.

38

ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῶν νεκροί,
ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι.

Schol. Eur. Phoen. 1194: *ἄξονές τ' ἐπ' ἄξοσι*] *παρὰ τὸ Αἰσχύλου ἐν Γλαύκῳ Ποτνιεῖ* '*ἐφ' — ἐκπεφυγμένοι*'. v. 1 *ἅρματος*] *ἅρματι* C. *ἅρμα*] *ἅρματα* M. *νεκρῶν νεκροί* ACM, *νεκρῷ νεκρός* BI et Aristophanes qui priore versu utitur Ran. 1403, ubi Schol. cod. Rav.: *ἐκ Γλαύκου Αἰσχύλου. περὶ νεκρῷ νεκρός* coni. Meineke Vind. Aristoph. p. 179. cf. Anth. Pal. 15, 19, 7: *νεκροὶ δ' ἔκειντο περὶ νεκροῖς πεπτωκότες.* v. 2 *ἐμπεφυρμένοι* Valckener, *ἐμπεφυγμένοι* C, *ἐκπεφυγμένοι* ABI et obliterato *γ* M.

39

εἷλκον ἄνω λυκηδόν, ὥστε διπλόοι
λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις.

Schol. LTV Il. *N* 198: *ἑκατέρου τὴν ἄγραν εἰς ἑαυτὸν μετάγοντος, ὡς καὶ Αἰσχύλος περὶ Γλαύκου* '*εἷλκον — μασχάλαις*'. prima verta *εἷλκον ἄνω λυκηδόν* affert Schol. B l. c. cf. Eust. Il. p. 927, 39: *Αἰσχύλος δέ, φασί, μιμησάμενος ἔφη που* '*εἷλκον — φέρουσι*'. Potniensi Glauco locum vindicavit Hermann. v. 1 *εἷλκον δ' ἄνω* Hermann. *λυκηδόν* et *διπλόοι* verba vix sana. v. 2 *φέρουσιν ἀμφὶ*

μασχάλαις] *φέρουσιν* Eust., *φέρουσι γαμφηλαῖς καλήν* coni. Herwerden Exerc. crit. p. 3.

40

εὐφήμοις γόοις

Hesych. 2 p. 236: *εὐφήμοις γόοις· δυσφήμοις, κατὰ ἀντίφρασιν. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ* (*γλαύκοποτνί*.. codex).

41

ἀμφίσωπον

Hesych. 1 p. 165: *ἀμφίσωπον· περίωπον* (*περίοπτον* coni. M. Schmidt), *πάντοθεν ἀναπεπταμένον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ.* Etym. M. p. 91, 12: *ἀμφίσωπον· περίβλεπτον.* de glossae integritate dubitatur: saltem *ἀμφισωπόν* expectaris.

42

ἴτηλον

Hesych. 2 p. 376: *ἴτηλον· τὸ ἔμμονον καὶ οὐκ ἐξίτηλον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ.* Phot. Lex. p. 118, 3: *ἴτηλον· τὸν οὐκ ἐξίτηλον, ἀλλ' ἀνεξάλειπτον. οὕτως Αἰσχύλος.* non *ἴτηλον*, quod inauditum est vocabulum et incredibile, sed *οὐκ ἐξίτηλον* dixisse videtur Aeschylus (cf. fr. 162, 4).

ΔΑΝΑΙΔΕΣ

Disputavit de hac fabula Hermann Opusc. vol. 2 p. 319—336, qui huc referenda esse coniecit fr. 373 et 379.

43

κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος,
ἕως ἐγείρω πρευμενεῖς τοὺς νυμφίους
νόμοισι θέντων σὺν κόροις τε καὶ κόραις

Schol. Pind. Pyth. 3, 27: *τὸ ὑποκουρίζεσθαι ἀοιδαῖς εἶπε διὰ τὸ τοὺς ὑμνοῦντας ἐπευφημιζομένους λέγειν σὺν κόροις* (*κούροις* ed.) *τε καὶ κόραις. Αἰσχύλος Δαναΐσι* '*κἄπειτα — κόραις*'. v. 1 *κἄπειτ' ἄνεισι* Toup Emend. 2 p. 296. v. 2 (ubi *ἕως τ' ἐγείρει πρευμενὴς* coni. Heath) et v. 3 (ubi *θέλγων* coni. Heyne) interpretandi machinas eludunt; medelam desidero. de extremis verbis cf. Hesych. 2 p. 526: *κουριζόμενος· ὑμεναιούμενος, διὰ τὸ γαμουμέναις λέγειν* '*σὺν κόροις τε καὶ κόραις*'. *ὅπερ νῦν παρεφθαρμένως ἐκκορεῖν λέγεται.* ita enim hic locus scribendus.

44

ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
ὄμβρος δ' ἀπ' εὐνατῆρος οὐρανοῦ πεσὼν
ἔδευσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον· 5
δένδρων ὀπώρα δ' ἐκ νοτίζοντος γάνους
τέλειός ἐστι. τῶνδ' ἐγὼ παραίτιος.

Ath. XIII p. 600 B: *καὶ ὁ σεμνότατος δ' Αἰσχύλος ἐν ταῖς Δαναΐσιν αὐτὴν παράγει τὴν Ἀφροδίτην λέγουσαν 'ἐρᾷ μὲν — παραίτιος'*. hinc sua petiit Eust. Il. p. 978, 25: *καί τις Αἰσχύλος, οὐχ ὁ ἐξ Ἀθηνῶν, ἀλλ' Ἀλεξανδρεύς**), *ὡς ἡ κατὰ τὸν Ἀθήναιον ἱστορία δηλοῖ, φησίν 'ἐρᾷ μὲν — Δημήτριον'* (v. 1—5). v. 1 *τρῶσαι* scripturam tueri conatur H. Roehl Herm. 15 p. 615 coll. Hesych. 4 p. 184, qui quod tradit *τρώζειν* (Zon. *τρωέζειν*) esse *ψιθυρίζειν, συνουσιάζειν*, neque Atticum videtur nec sanum (fluxisse suspicor ex Il. *X* 128): *τρῆσαι* pro *τρῶσαι* coni. Grotius, *χρῶσαι* Heath, *πλῆσαι* Meineke in Theocr. p. 452, ego *στρῶσαι* temptabam. v. 3 *εὐνάεντος* Ath., nisi quod *εὐνάεντος* C, unde *εὐνάοντος* Eust., *εὐνασθέντος* Flor. Lobeck Philol. 5 p. 245, potius *εὐνατῆρος* scribendum erat. v. 4 *ἔδευσε* Heath, *ἔκυσε* cod. v. 5 et 7 om. C et Eust. v. 6 *δένδρων τις ὥρα* cod., *δενδρῶτις ὥρα* Hermann, *δένδρων ὀπώρα* Hartung. *γάμου* vulgo, *γάνους* em. Gomperz Mus. Rhen. 13 p. 479.

45

καθαίρομαι γῆρας

Hesych. 2 p. 384: *καθαίρομαι γῆρας· ἐκδύομαι. Αἰσχύλος Δαναΐσι* (*δαΐσι* codex, em. Musurus).

46

Strab. V p. 221 de Pelasgis: *Αἰσχύλος δ' ἐκ τοῦ περὶ Μυκήνας Ἄργους φησὶν ἐν Ἱκέτισιν ἢ Δαναΐσι* (*Ἱκέτισι καὶ Δαναΐσι* Hermann) *τὸ γένος αὐτῶν.*

---

*) Merus error, cuius ansam praebuit Aeschyli Alexandrini locus paulo ante (p. 599 E) ab Athenaeo allatus. similiter falsum est quod habet Eust. Od. p. 1389, 8: *παρὰ Σοφοκλεῖ τὸ 'χρυσώπιδες ἔλλοὶ νήχοντο'*, quem locum qui Sophocleis fragmentis inserendum putarunt, neglegere non debebant verba *ὀψοφαγίστατος καὶ βλακίστατος* ab Eust. Il. p. 867, 61 ex Sophocle prolata: errorem Eustathii arguit Athenaeus VII p. 277 D.

ΔΙΚΤΥΟΥΛΚΟΙ

Δικτυουλκούς Hermann dici suspicatur piscatores Seriphios, in quorum retia inciderit Danae cum Perseo exposita. Persei fabulam in *Φορκίσιν* Aeschylus attigit. *Δικτυουργοί* vitiose scriptum in fabularum catalogo.

47

δικτύου δ' εὐήτρια

Pollux 7, 35: *τὸ δὲ εὐήτριον Αἰσχύλος ἐν Δικτυουλκοῖς εἰ καὶ μὴ ἐπὶ ἐσθῆτος, ἀλλ' οὖν εἴρηκε 'δικτύου δ' εὐήτρια'. δικτύου] κερκίου* cod. A, quia statim *κερκίς* a Polluce subicitur.

48

ὄβρια

Aelianus N. A. 7, 47: *τῶν δὲ ὑστρίχων καὶ τῶν τοιούτων ἀγρίων τὰ ἔκγονα ὄβρια* (adde *καὶ ὀβρίκαλα*) *καλεῖται· καὶ μέμνηταί γε Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι καὶ Δικτυουλκοῖς*. Agam. 143 *θηρῶν ὀβρικάλοισι* poeta dixit, in *Δικτυουλκοῖς* igitur *ὄβρια* dixisse videtur. Photius Lex. p. 314, 23: *ὄβρια καὶ ὀβρίκαλα· τὰ τῶν λεόντων καὶ λύκων σκυμνία. Αἰσχύλος Δικτυουλκοῖς.*

49

θῶσθαι

Hesych. 2 p. 334: *θῶσθαι· δαίνυσθαι* (*δύνασθαι* cod.), *θωνᾶσθαι, εὐωχεῖσθαι. Αἰσχύλος Δικτυουλκοῖς.* lemma corruptum videtur; pro *θωνᾶσθαι* Salmasius *θοινᾶσθαι* scribendum coniecit, *θωρᾶσθαι* cum codice Paris. Etym. M. p. 460, 32 Bast in Greg. Cor. p. 358. ceterum cf. Etym. M. p. 461, 1: *θῶσθαι λέγουσιν οἱ Δωριεῖς τὸ εὐωχεῖσθαι.*

ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ

Bacchi nutrices quas finxerit Aeschylus, ignoramus*). grammatici simpliciter *τροφούς* dicere solent. satyricum fuisse drama coni. Boettiger, trilogiae eiusdem fuerit ac *Σεμέλη*.

*) *Διωνύσοιο τιθήνας* iam Homerus Il. Z 132 memorat nomina non addens. Hyadas dixit Pherecydes in Muelleri Fragm. Hist. vol. 1 p. 84. *Τέρπανδρός γε μὴν ὁ Λέσβιος Νῦσαν λέγει τιθηνηκέναι τὸν Διόνυσον* teste Iohanne Lydo de mens. 4, 38. cf. Diod. Sic. 3, 70 Arrian. Anab. 5, 1, 6 Serv. in Verg. Ecl. 6, 15 al. *Ἰνώ* Lucianus Dial. marin. 9, 1 commemorat, *Ἐρίφην* poeta in Etym. M. p. 372, 4, *Θεσκέραν* Theognostus p. 106, 31. plurima nomina congessit Nonnus Dion. 14, 221—227.

50

Argum. Eur. Med.: *Αἰσχύλος δ' ἐν ταῖς Διονύσου*) τροφοῖς ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα* (*ἑψήσασα* al., *ἀφεψήσασα* coni. Elmsley) *ἐνεοποίησε.* Schol. Ar. Eq. 1321: *ὥσπερ ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν.*

51

βιοτὴν αὔξιμον ἑψιοῦσα

Phot. Lex. p. 47, 11: *ἑψιοῦσα· τροφὰς διδοῦσα χόνδρου καὶ τὰ ἑψητά. Αἰσχύλος τροφοῖς 'βιοτὴν — ἑψιοῦσα'. Ἱππῶναξ.* lemma vitiosum: *ἐμψιοῦσα* recte L. Dindorf (cf. Hesych. 2 p. 83: *ἐμψιοῦσα· ἐρέγματα διδοῦσα*), nisi quod *ἐμψίουσα* scribendum cum Lobeckio Rhem. p. 154. videtur *ἐμψίουσα* Hipponactea esse glossa, cui explicandae admotus fuerit Aeschyli locus fortasse sic scribendus, *βιοτὴν αὔξιμον ἕψουσ'*, i. e. *ἕψουσα.* Photii verba *καὶ τὰ ἑψητά* deleri voluit Naber, *καὶ ψιφά τὰ ἑψητά* scribendum esse coni. M. Schmidt Philol. 18 p. 228.

52

δίκρα ὄψις

Hesych. 1 p. 512: *δίκρα ὄψις· ἡ* (*ἢ* cod.) *διπλῆ. Αἰσχύλος τροφοῖς.* sicut *ὀσφὺς διπλῆ* in Polluc. 1, 190 extat, ita *δίκρα ὀσφῦς* scripsit Hesychii novissimus editor: at *δίκρα* forma probari vix potest, unde *δίκρανος ὄψις* poetam dixisse olim conieci.

53

πεδοίκου χελιδόνος

Hesych. 3 p. 296: *πεδοίκου χελιδόνος· συνοίκου. Αἰσχύλος τροφοῖς* (*αἰσχυλοτρόφοις* codex).

ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ v. ΦΡΥΓΕΣ

ΕΛΕΥΣΙΝΙΟΙ

Plut. V. Thesei c. 29: *συνέπραξε δὲ* (Theseus) *καὶ Ἀδράστῳ τὴν ἀναίρεσιν τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων, οὐχ ὡς Εὐριπίδης ἐποίησεν ἐν τραγῳδίᾳ, μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος· οὕτω γὰρ οἱ πλεῖστοι λέγουσι· Φιλόχορος δὲ καὶ σπονδὰς περὶ*

*) *Διονύσου* nomen ab interpolatore additum esse existimat Guil. Hippenstiel de Graecorum tragicorum principum fabularum nominibus (diss. Marpurg. a. 1887) p. 12.

νεκρῶν ἀναιρέσεως γενέσθαι πρώτας ἐκείνας. ὅτι δ' Ἡρακλῆς πρῶτος ἀπέδωκε νεκροὺς τοῖς πολεμίοις ἐν τοῖς περὶ Ἡρακλέους γέγραπται. ταφαὶ δὲ τῶν μὲν πολλῶν ἐν Ἐλευθεραῖς δείκνυνται, τῶν δ' ἡγεμόνων περὶ Ἐλευσῖνα, καὶ τοῦτο Θησέως Ἀδράστῳ χαρισαμένου. καταμαρτυροῦσι δὲ τῶν Εὐριπίδου Ἱκετίδων οἱ Αἰσχύλου Ἐλευσίνιοι, ἐν οἷς καὶ (*καὶ* post *Ἱκετίδων* transponit Sintenis) *ταῦτα λέγων ὁ Θησεὺς πεποίηται.*

54

ἀοζήσω

Hesych. 1 p. 221: *ἀοζήσω* (*ἀοξήσω* cod.)· *διακονήσω, ὑπουργήσω. Αἰσχύλος Ἐλευσινίοις* (*ἐλευσινίαις* cod.).

ΕΠΙΓΟΝΟΙ

55

λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου
Ἥρας τε . . . .
τὴν δευτέραν δὲ κρᾶσιν ἥρωσιν νέμω
. . . .
τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα.

Schol. Pind. Isthm. 6, 10: *τὸν μὲν γὰρ πρῶτον* (sc. *κρατῆρα*) *Διὸς Ὀλυμπίου ἐκίρνασαν, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος, καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις* '*λοιβὰς — τε*' (v. 1 et 2), *εἶτα* '*τὴν — νέμω*' (v. 3), *εἶτα* '*τρίτον — λίβα*' (v. 4). v. 3 *δὲ* Schuetz, *γε* libri. v. 4 *τρίτην* malim. ceterum cf. Aesch. Agam. 1386: *τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς Ἅιδου* (*Διὸς* recte Enger) *νεκρῶν σωτῆρος εὐκταίαν χάριν.*

56

τιμαλφής

Hesych. 4 p. 157: *τιμαλφής· ἔντιμος, τιμὴν ἀλφάνουσα — Αἰσχύλος δὲ ἐν Ἐπιγόνοις ἐπὶ τοῦ ἐντίμου.*

ΕΥΡΩΠΗ v. ΚΑΡΕΣ

ΗΔΩΝΟΙ

Prima tetralogiae Lycurgeae fabula: vide fr. 61. de mytho. cf. Apollod. 3, 5, 1 et Hygin. fab. 132. commemorat hanc fabulam Demetrius *περὶ ποιημάτων* in Hercul. vol. coll. alt. V fol. 7 (ed. Oxon. I f. 109): *ὁ γ⟨άρ⟩ δὴ Κράτης κατὰ ⟨τ⟩ὸν α⟨ὐτὸν⟩ χρόνον γε⟨γο⟩νὼ⟨ς Αἰσ⟩χύλωι τού⟨το⟩υ διὰ τ⟨ῶ⟩ν Ἠδ⟨ω⟩νῶν ⟨εὐ⟩δοκ⟨ι⟩-*

μή⟨σαντος⟩ . . . . , quem locum restituit Th. Gomperz Mus. Rhen. 32 p. 477, qui conicit Aeschyli successu effectum esse ut Crates (in *Γείτοσιν*) ebrios in scena proponeret, quod in Cabiris fecisse Aeschylum tradit Athenaeus (cf. Meineke Hist. crit. p. 61). Hermann huc referenda suspicatur fr. 342 et 448.

57

σεμνὰ Κοτυτοῦς ὄργι' ἔχοντες,
. . . .
ὃ μὲν ἐν χερσὶν
βόμβυκας ἔχων, τόρνου κάματον,
δακτυλόδικτον πίμπλησι μέλος,
μανίας ἐπαγωγὸν ὁμοκλάν, 5
ὃ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ
. . . .
. . *ψαλμὸς δ' ἀλαλάζει·*
ταυρόφθογγοι δ' ὑπομυκῶνταί
ποθεν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι,
τυπάνου δ' εἰκὼν ὥσθ' ὑπογαίου 10
βροντῆς φέρεται βαρυταρβής.

Strabo X p. 470 sq.: *τῆς μὲν οὖν Κοτυτοῦς* (ita pro *κότυος τῆς* scribendum esse conieci in Obs. crit. de trag. Graec. fragm. p. 2) *ἐν τοῖς Ἠδωνοῖς Αἰσχύλος μέμνηται καὶ τῶν περὶ αὐτὴν ὀργάνων* (*καὶ τῶν — ὀργ.* om. Bklno). *εἰπὼν γάρ* '*σεμνὰ Κότυς ἐν τοῖς Ἠδωνοῖς* (*Αἰσχύλος μέμνηται* addunt CDhi), *ὄρια δ' ὄργαν' ἔχοντες* (*ἔχοντας* Dhinop)' *τοὺς περὶ τὸν Διόνυσον εὐθέως ἐπιφέρει* '*ὃ μὲν — ὀτοβεῖ*' (v. 2—6) *καὶ πάλιν* '*ψαλμὸς — βαρυταρβής*' (v. 7—11). *ταῦτα γὰρ ἔοικε τοῖς Φρυγίοις· καὶ οὐκ ἀπεικός γε, ὥσπερ αὐτοὶ οἱ Φρύγες Θρᾳκῶν ἄποικοί εἰσιν, οὕτω καὶ τὰ ἱερὰ ἐκεῖθεν μετενηνέχθαι. καὶ τὸν Διόνυσον δὲ καὶ τὸν Ἠδωνὸν Λυκοῦργον συνάγοντες εἰς ἓν τὴν ὁμοιοτροπίαν τῶν ἱερῶν αἰνίττονται.* Ath. XI p. 479 B: *καὶ τὰ κύμβαλα δ' Αἰσχύλος ἐν Ἠδωνοῖς κοτύλας εἴρηκεν* '*ὃ δὲ — ὀτοβεῖ*' (v. 6). Schol. BT Η. Ψ 34: *κοτύλας — Αἰσχύλος ἐν Ἠδωνοῖς τὰ κύμβαλα* '*ὃ δὲ — στοβεῖ*' (v. 6). Eust. Il. p. 1282, 60: *Αἰσχύλος καὶ τὰ κύμβαλα κοτύλας φησίν, οἷον* '*χαλκοδέτοις κοτύλαις ὀτοβεῖ*'. v. 1 *κόπτουσ'* Dh, *κόπτους* C, *Κοτυτοῦς* scripsi. verba *ἐν τοῖς Ἠδωνοῖς* librariorum errore hic iterata sunt. *ὄρια* et *ὄργανα* dittographiae sunt obliterati vocabuli *ὄργια*. itaque *σεμνὰ Κοτυτοῦς ὄργι' ἔχοντες* restitui. v. 3 *βομβήκας* Bkoxy. v. 4 *δακτυλόδεικτον* libri, *δακτυλόδικτον* Pauw. cf. Hesych. 1 p. 456: *δακτυλόδικτον· δακτυλωτὸν ἔκπωμα κτλ.*, ubi prioris glossae huc referendae interpretatio excidit,

altera glossa Ionis locum spectat (fr. 1). v. 6 *χαλκοδέτοις* Ath. et Schol. Il., *χαλκοθέοις* Strabonis libri, *χαλκοθρόοις* coni. Maur. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 363 (cf. Naeke Opusc. 1 p. 39). *ὀτοβεῖ*] *ἠχεῖ* Schol. Il. B, *ὀττόβει* Strabonis D, *ὀτόβει* Ch. v. 8 cf. Hesych. 4 p. 133: *ταυρόφθογγοι· παραπλήσια βουσὶ φθεγγόμενοι. ὑπομηκῶνται* Bkno. v. 9 *φοβεροὶ* E, *φομέριοι* B (ex corr.) Ck, *φοβέριοι* Dhilnox. v. 10 *τυμπάνου* codices. *εἰχὼν* B (ex corr.) Llx, *ἠχὼ* kno. *ὑπογέου* CDhims, *ὑπογείου* Bk rectius. v. 10 sq. *χὤσθ' ὑπογαίου βροντῆς τυπάνων ἠχὼ φέρεται βαρυταρβής* coni. Herwerden Exerc. crit. p. 1. v. 11 *φέρεται*] *βρέμεται* Fr. G. Schmidt *Krit. Stud.* 1 p. 108 sq.

58

ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη

Longinus de subl. c. 15, 6: *καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται, 'ἐνθουσιᾷ — στέγη'.* cf. Anecd. Bachm. 1 p. 222, 7: *ἐνθουσιᾷ· ὑπὸ ἐνθέου κατέχεται πνεύματος.* versum huc rettulit Welcker.

59

ὅστις χιτῶνας βασσάρας τε Λυδίας
ἔχει ποδήρεις

Etym. M. p. 191, 5: *λέγονται βασσάραι χιτῶνες οὓς ἐφόρουν αἱ Θρᾴκιαι βάκχαι, καλούμενοι οὕτως ἀπὸ τοῦ βασσαρέως Διονύσου· ἦσαν δὲ ποικίλοι καὶ ποδήρεις. Αἰσχύλος ἐν Ἠδωνοῖς 'ὅστις — ποδήρεις'.* verba *καλούμενοι οὕτως* et *ἦσαν δὲ — ποδήρεις* accesserunt ex Etym. Flor. p. 62 ed. Mill., qui *ἐν Ἠδωνοῖς* pro *ἐνηδόνοις* correxit.

60

τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄλλο ἀβρατεὺς ὃν σθένει

Ar. Av. 276: *τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀριβάτης* (*ὀρειβάτης* libri); ubi Schol.: *παρὰ τὰ ἐξ Ἠδωνῶν Αἰσχύλου 'τί ποτ' ἔσται ὁ μουσόμαντις ἄλλο ἀβρατεὺς ὃν σθένει'.* Suidas v. *μουσόμαντις*: *παρὰ τὸ ἐξ Ἠδωνῶν* (*ἡδονῶν* ABE, *ἡδωνῶν* cet.) *Αἰσχύλου 'τίς ποτ' ἔσται ὁ μουσόμαντις ἄλαλος ἀβρατεύς'.* locus nondum emendatus: *ἀμαλὸς ἀβροβάτης σθένει* (pro *ἄλλο ἀβρατεὺς ὃν σθένει*) proposuit Hermann, ego temptabam *τίς ποτ' ἔσθ' ὁ μουσόμαντις; ἀλλὰ βᾶτε σὺν σθένει.* quae Lycurgi verba esse poterant comites hortantis ut Bacchum invaderent.

61

ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;

Ar. Thesm. 135: *καί σ' ὦ νεᾶνις, ἥτις εἶ, κατ' Αἰσχύλον ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι 'ποδαπὸς — στολή'*; ubi Schol.: *τὴν τετραλογίαν λέγει Λυκουργίαν* (l. *Λυκούργειαν*)· *Ἠδωνούς, Βασσαρίδας, Νεανίσκους, Λυκοῦργον τὸν σατυρικόν. λέγει δὲ* (Lycurgus) *ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συλληφθέντα Διόνυσον 'ποδαπὸς ὁ γύννις;'* integrum versum ex Aeschylo repetitum esse probabiliter coni. Boettiger: maiora molitur Fritzsche in Ar. Thesm. p. 44—47.

62

μακροσκελὴς μὲν ἆρα μὴ χλούνης τις ᾖ

Schol. B Il. *I* 539: *χλούνην οἱ μὲν ἀφριστήν· χλουδεῖν γὰρ τὸ ἀφρίζειν τινὲς Δωριέων ἔλεγον· ἄλλοι δὲ κακοῦργον· καὶ γὰρ τῶν ἀρχαίων ἰαμβοποιῶν τινὰ φάναι 'ἀνὴρ ὅδ' ἑσπέρης καθεύδοντα ἄπουν ἔδησε χλούνην'* (Meinek. Choliamb. p. 121 sq.)· *Ξενοφῶντα* (*Ξενοφάνην* Hermanno duce coni. Bergk Lyr. 2 p. 482) *δὲ γένος τι ἰνδῶν* (*γένος τι ἀκρίδων* coni. Hermann, *γένος τι Σινδῶν* Bergk, *γένος ἐμπίδων* Wecklein *Studien zu Aeschylus* p. 168) *φάναι τὸν χλούνην εἶναι, καθάπερ καὶ παρ' Αἰσχύλῳ ἐν Ἠδωνοῖς 'μακροσκελὴς — ᾖ'*. Eust. Il. p. 772, 53: *ὅτι δὲ καὶ ἐκτομίαν ὁ χλούνης δηλοῖ, οὐ μόνον Αἰσχύλος δίδωσι χρῆσιν, ἀλλὰ καὶ Αἰλιανὸς μάλιστα ἐν τοῖς περὶ προνοίας.* versum quomodo corrigam non habeo, nec probabilis videtur Hermanni suspicio Opusc. vol. 5 p. 13 exposita, qui scribi volebat *ΑΓΓ. μακροσκελὴς μέν. ΛΥΚ. ἆρα μὴ χλούνης τις ἦν;*

63

ἄδασμος

Hesych. 1 p. 41: *ἄδασμος· οὐδένα δασμὸν* (*δεσμὸν* cod.) *ἐκτελοῦσα, οἷον τελοῦσα ἐνοίκιον. Αἰσχύλος Ἠδωνοῖς* (*ἡδονὴν* codex). Phot. Lex. p. 8, 4: *ἄδασμος· οὐδένα δασμὸν ἐκτίνουσα οὐδὲ μερίζουσα δασμὸν τῆς οἰκήσεως. οὕτως Αἰσχύλος.* eadem quae Photius habet leguntur in Anecd. Bekk. p. 342, 24 omissis extremis verbis *οὕτως Αἰσχύλος.*

64

αἰγίς

Hesych. 1 p. 69 et Suidas: *αἰγίζειν· διασπᾶν, ἐκ μεταφορᾶς — ἀπὸ τῶν καταιγίδων. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς* (*ἡδονῇ* Hesychii codex) *καὶ τὰς νεβρίδας* (*νευρίδας* Hesychii cod.) *οὕτω λέγει* (*καλεῖ* Suid.). verba extrema, *Αἰσχύλος — καλεῖ*, in Suidae v. *Ἠδωνίς* inepte repetuntur tanquam *Ἠδωνοί* nominis exemplum.

65

ἀμφίδρομος

Hesych. 1 p. 160: *ἀμφίδρομος. Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα* *καὶ* (*καινὸν* Mus.) *περὶ* (l. *παρὰ*) *τὰ ἀμφιδρόμια, ὡδεὶ* (*ὡς εἰ* Mus.) *ἔλεγες τὸν γενέθλιον. δηλοῖ δὲ καὶ ἐξ ἑκατέρου μέρους θεώμενον ἢ προηγούμενον ἢ ὁρμᾶν δυνάμενον, ὡς Αἰσχύλος ἐν Ἠδωνοῖς* (*ἠδωνές* cod.). videntur duae glossae coaluisse.

66

ἄσσιστα

Hesych. 1 p. 303: *ἄσσιστα· ἔγγιστα. Αἰσχύλος Ἠδωνοῖς* (*ἠδωνῶν* codex). Anecd. Bekk. p. 453, 25: *ἄσσιστα· ἔγγιστα.*

67

ἴκταρ

Erotianus Gloss. Hippocr. p. 79, 14: *ἴκταρ· ἐγγύς, παρὰ τοῖς Ἀττικοῖς, ὡς καὶ Αἰσχύλος — μέμνηται ὁ αὐτὸς τῆς λέξεως καὶ ἐν Ἠδωνοῖς.*

ΗΛΙΑΔΕΣ

Argumentum fuisse Phaethontis temeritatem luctumque sororum coni. G. Hermann (vide Opusc. vol. 3 p. 130—141), quae sententia confirmatur fr. 71. mater Phaethontis apud Aeschylum fuit, id quod ex titulo fabulae apparet, *Ῥόδη* vel *Ῥόδος**): quae fuerit oeconomia fabulae Aeschyleae et qualis Phaethontei mythi forma, explorari vix poterit, cf. G. Knaack Quaest. Phaeth. p. 17—19.

68

Ῥῖπαι μὲν δὴ πατρός

Schol. Soph. Oed. C. 1248: *τὰ ἀπὸ τῶν ὀρῶν φησὶ τῶν προσαγορευομένων Ῥιπῶν — μέμνηται δὲ καὶ Ἀλκμὰν — καὶ ἐν Ἡλιάσιν Αἰσχύλος* '*Ῥιπαὶ μὲν δὴ πατρός*'.

69

. . . ἔνθ' ἐπὶ δυσμαῖς ἴσου
πατρὸς Ἡφαιστοτυκὲς
δέπας, ἐν τῷ διαβάλλει
πολὺν οἰδματόεντα φέρει δρόμου πόρον οὐθεὶς
μελανίππου προφυγὼν 5
ἱερᾶς νυκτὸς ἀμολγόν.

---

*) Schol. Od. ρ 208: *Ἥλιος Ῥόδῃ μιχθεὶς τῇ Ἀσωποῦ παῖδας ἴσχει* (*ἔσχε* G. Knaack Quaest. Phaeth. p. 18) *Φαέθοντα καὶ Λαμπετίην καὶ Αἴγλην καὶ Φαέθουσαν.*

Ath. XI p. 469 F: ὅτι δὲ καὶ ὁ ἥλιος ἐπὶ ποτηρίου διεκομίζετο ἐπὶ τὴν δύσιν Στησίχορος μὲν οὕτως φησὶν — καὶ Αἰσχύλος ἐν Ἡλιάσιν 'ἔνθ — ἀμολγόν'. v. 1 δυσμαῖς ἴσου] δυσμαῖσι τεοῦ Hermann. v. 2 'Ηφαιστοτευχὲς libri, 'Ηφαιστοτυκὲς Hermann. v. 4 corruptissimus. πολὺν οἰδματόεντ' ἀμφίδρομον πόρον εἰς lusit Hermann. φορᾷ pro φέρει et συθεὶς pro οὐθεὶς scribendum esse coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 363.

70

Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανός,
Ζεύς τοι τὰ πάντα χὤτι τῶνδ' ὑπέρτερον.

Clem. Alex. Strom. V p. 718 (Euseb. P. E. XIII p. 681 B): ὅ τε Εὐφορίωνος (sic Eus., ὅ τε Εὐφορίων ὅ τε Clem.) Αἰσχύλος ἐπὶ τοῦ θεοῦ σεμνῶς σφόδρα φησίν 'Ζεύς ἐστιν — ὑπέρτερον'. re vera Aeschyli hos esse versus, non Euripidis aut Euphorionis, de quibus olim cogitaram, docet Philodemus de pietate p. 22 ed. Gomp.: ⟨Αἰσχύλος⟩ δ' ἐν Ἡλιά⟨σιν τὸν⟩ Δία καὶ αἰθέ⟨ρα λέγει κ⟩αὶ γῆν καὶ ⟨οὐρανὸ⟩ν καὶ τὰ πάν⟨τα καὶ ὑπ⟩ὲρ τὰ πάν⟨τα⟩. cf. quae disputavimus *Mél. Gréco-Rom.* II p. 607—609.

71

Ἀδριαναί τε γυναῖκες τρόπον ἕξουσι γόων

Anecd. Bekk. p. 346, 10: Ἀδριαναὶ γυναῖκες. Αἰσχύλος Ἡλιάσιν (ἰλιάσιν cod.) 'Ἀδριαναί — γόων'. Aeschylum Ἀδριηναί scripsisse coni. Hermann. κόρον ἕξουσι γόων Herwerden Exercit. crit. p. 5, ego τορὸν ἥσουσι γόον temptabam.

72

ἀφθονέστερον λίβα

Ath. X p. 424 D: τούτῳ (formae ἀκρατέστερος) ὅμοιόν ἐστι τὸ ἀνιηρέστερον καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου 'ἀφθονέστερον λίβα'. cf. Eust. Il. p. 746, 45: καὶ παρ' Αἰσχύλῳ ἀφθονέστερον. de electro haec verba esse dicta coni. Welcker *Aeschyl. Trilogie* p. 570.

73

Plinius N. H. 37, 31: *Phaethontis fulmine icti sorores luctu mutatas in arbores populos lacrimis electrum omnibus annis fundere iuxta Eridanum amnem, quem Padum vocavimus, electrum appellatum, quoniam sol vocitatus sit* ἠλέκτωρ, *plurimi poetae dixere primique, ut arbitror, Aeschylus Philoxenus Euripides Nicander Satyrus.* 37, 32: *quod Aeschylus in Hiberia, hoc est in Hispania, Eridanum*

esse dixit eundemque appellari Rhodanum, Euripides rursus et Apollonius in Hadriatico litore confluere Rhodanum et Padum, faciliorem veniam facit ignorati sucini in tanta ignorantia orbis. Schol. Bern. in Verg. Georg. 1, 482: *ubi enim Eridanus sit, multi errant* (an *certant* ?). *Eusebius* (l. *Aeschylus* cum Hageno) *ipsum esse Rhodanum propter magnitudinem et cursum rapidissimum.*

ΗΡΑΚΛΕΙΔΑΙ

74

ἐκεῖθεν
ὅρμενος ὀρθόκερως βοῦς ἤλασ' ἀπ' ἐσχάτων
γαίας, ὠκεανὸν περάσας ἐν δέπᾳ χρυσηλάτῳ,
βοτῆράς τ' ἀδίκους κατέκτα δεσπότην τε τρίπτυχον
τρία δόρη πάλλοντα χερσίν· 5
τρία διὰ τῆς σάκη προτείνων τρεῖς τ' ἐπισσείων λόφους
στεῖχεν ἴσος Ἄρει βίαν.

Schol. Aristid., quod subicitur iis quae in Dindorfi editione p. 547, 9—15 leguntur, ex codice Marciano 423 prolatum ab Vd. Wilamowitz-Moellendorff de Rhesi scholiis (Ind. schol. hibern. Gryphisw. a. 1877) p. 13: *ὅτι οἱ τρεῖς ἦσαν ἀδελφοὶ μαρτυρεῖ καὶ Αἰσχύλος ἐν Ἡρακλείδαις αἰνιττόμενός πως καὶ λέγων οὕτως 'ἐκεῖθεν — βιαν' καὶ τὰ ἑξῆς.* partem habemus carminis quo Herculis victoriae celebrabantur (sicut in Eur. Herc. 352 sqq.): agitur de occiso Geryone. plerosque librariorum errores optime correxit editor. v. 2 *ὅρμενος ὀρθοκέρως βοῦς ἤλασεν* cod. *ἐσχατιᾶν* Weil *Revue de philol.* III (a. 1879) p. 32, *ἐσχάτων* cod. v. 3 *γαίης* et *ἐν διπλῆ χρυσηλάτω* cod. v. 4 *κτεῖναι* cod., *ἔκτεινε* Wilamowitz, *κατέκτα* Weil. *δεσποτῶν* cod. *τρίπτυχον* Weil, *τριύτατον* cod., *τρίζυγα τὸν* A. Kiessling. v. 5 *χεροῖν* cod., *χερσί* Wilamowitz, *χερσίν* Weil. v. 6 *τρία διὰ τῆς* verba nondum sanata, *τρία δὲ λαιαῖς* Wecklein, ego *τρία δ' ἕεις* temptabam. *σακου προτείνων τρεῖς δέ τις ειπλοφουσ* cod. v. 7 *εστειχισοσαρη βιαν* cod., *ἔστειχ' ἴσος Ἄρει βίαν* Wilamowitz. *ἔστειχεν ἴσος* Wecklein, *στεῖχεν ἴσος* Weil.

75

οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι.

Stob. Flor. 122, 2: *Αἰσχύλου Ἡρακλειδῶν.* '*οὐ — πείσομαι*'. *πήσομαι* MA.

76

ἀμφιμήτορες

Hesych. 1 p. 163: *ἀμφιμήτορες οἱ ἐκ πολλῶν* (*ἐξ ἄλλων* C. Buresch Consolat. hist. crit. p. 132) *μητέρων γεγονότες ἀδελφοί. Αἰσχύλος Ἡρακλείδαις* (*ἡρακλίδ* .. codex). Suidas: *ἀμφιμήτωρ· ὁ ἑτερομήτωρ. Αἰσχύλος.* Phryn. Bekk. p. 6, 24: *ἀμφιμήτωρ· ὁ ἐξ ἑτέρας μητρὸς ἀδελφός.*

77

ἐπιγλωσσῶ

Hesych. 2 p. 150: *ἐπιγλωσσῶ* (*ἐπιγλώσσω* codex)· *ἐποιωνίζου διὰ γλώττης. Αἰσχύλος Ἡρακλείδαις* (*ἡρακλίδες* codex). eadem forma usus est Choeph. 1045.

ΘΑΛΑΜΟΠΟΙΟΙ

Ἱκέτιδας, Θαλαμοποιούς, Δαναΐδας trilogiam effecisse coni. Hermann, qui de *Θαλαμοποιῶν* argumento haec disputat: '*Aegyptus schickt seine Söhne nach Argos, mit dem Befehl den Danaus umzubringen oder ihm nicht mehr vor Augen zu kommen. Die Aegyptiaden bekriegen den Danaus in Argos, der zu schwach um Widerstand zu leisten ihnen die Töchter verspricht, wenn sie vom Krieg abstehen wollen. Sie nehmen das an; er aber, ihnen misstrauend, befiehlt seinen Töchtern ihre Männer in der Hochzeitnacht zu ermorden; alle vollziehen den Befehl, die einzige Hypermnestra* (potius *Hypermestra*) *ausgenommen*'. cf. Hygin. fab. 168.

78

ἀλλ' ⟨εἶ'⟩ ὅ μέν τις Λέσβιον φατνώματι
κῦμ' ἐν τριγώνοις ἐκπεραινέτω ῥυθμοῖς

Pollux 7, 122: *καὶ ἐκφάτνωμα* (*φάτνωμα* Hermann) *δὲ καὶ κῦμα μέρη ἔργων ἐν Αἰσχύλου Θαλαμοποιοῖς* '*ἀλλ'* — *ῥυθμοῖς*'. v. 1 *εἶ'* addidi. *φάτνωμά τι* ante Bekkerum edebatur. v. 2 *ἐμπεραινέτω* libri, corr. Toup Emend. IV p. 374.

ΘΕΩΡΟΙ Η ΙΣΘΜΙΑΣΤΑΙ

79

καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων

Ath. XIV p. 629 F: *σχήματα δ' ἐστὶν ὀρχήσεως ξιφισμός — σκώψ, σκώπευμα. ἦν δὲ ὁ σκὼψ τῶν ἀποσκοπούντων τι σχῆμα, ἄκραν τὴν ὑπὲρ τοῦ μετώπου κεκυρτωκότων. μνημονεύει Αἰσχύλος ἐν Θεωροῖς* '*καὶ — σκωπευμάτων*'. cf. Hesych. 4 p. 55: *σκωπευμάτων· σχῆμα τῆς χειρὸς πρὸς τὸ μέτωπον τιθεμένης ὥσπερ ἀποσκοπούντων.* Phot. Lex. p. 527, 7: *σκώπευμα· σχῆμα σατυρικόν, ὡς καὶ ὁ σκωπος* (l. *ὁ σκώψ* aut cum Hermanno *ὁ σκοπός*). *οὕτως Αἰσχύλος.* adde fr. 339.

80

ἀποστάς

Hesych. 1 p. 258: *ἀποστάς· φυγών. Αἰσχύλος Ἰσθμιασταῖς* (*ἰσθάσταις* cod.) *καὶ Ἀλκμήνῃ.*

81

ἰαμβίς

Hesych. 2 p. 337: *ἰαμβίς. Αἰσχύλος Θεωροῖς ἢ Ἰσθμιασταῖς. τοῖς κιθαρίζουσιν ὁ αὐλὸς συνῄει, καὶ αἱ τοιαῦται κιθαρίσεις ἐλέγοντο παριαμβίδες.*

82

ψό

Phot. Lex. p. 655, 12: *ψό· ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος. ἔστι δὲ ἀποκομματικὸν λεξείδιον* (sic Dobree, *ἀποκομματικοῦ λεξειδίου* cod.)· *ψόθον γὰρ καλοῦσιν. Ἀριστοφάνης 'πλέω γράσου καὶ ψοθοίου καὶ ῥύπου γε καὶ ψόθου'. Αἰσχύλος Θεωροῖς.* Aeschyli unum videtur *ψό* afferri, quo vocabulo Sophocles quoque fr. 478 usus est. ita Dobree locum intellexit. Aristophanis quae praecedunt, fortasse sic scribenda: *'πλέω ψοθοίου καὶ γράσου' καί 'ῥύπου τε καὶ ψόθου'.*

ΘΡΗΙΣΣΑΙ

Argumentum idem fere fuit quod Sophocleae *Αἴαντος μαστιγοφόρου.* Schol. Soph. Ai. 815: *φθάνει Αἰσχύλος ἐν Θρῄσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας.* chorus fuit captivarum mulierum, cf. Schol. Soph. Ai. 134: *τὸ δὲ τῶν αἰχμαλώτων κηδεμονικὸν μέν, ὡς Αἰσχύλος ἐν Θρῄσσαις, οὐ μὴν εὐπρόσωπον.* Suevern et alii huc referunt adesp. fr. 110.

83

. . . *τόξον ὥς τις ἐντείνων* . .

Schol. Soph. Ai. 833: *κατὰ τὸ ἄλλο σῶμα ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτός, διὰ τὸ τὸν Ἡρακλέα τῇ λεοντῇ αὐτὸν σκεπάσαντα κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι διὰ τὸν γωρυτὸν ὃν περιέκειτο. φησὶν δὲ περὶ αὐτοῦ Αἰσχύλος ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ. τόξον ὥς τις ἐντείνων, πρὶν δή τις, φησί, παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ.* ex his Hermann verba Aeschyli eruere conatus est haec: *ἔκαμψε, τόξον ὥς τις ἐντείνων, ξίφος,* | *πρὶν δὴ παροῦσα δαιμόνων τις εὐφρόνως* | *ἔδειξεν αὐτῷ.* cf. Schol. TV Il. Ξ 404 (similiter Eust. Il. p. 995, 1): *τρωτὸς δὲ ὁ Αἴας ὅλον τὸ σῶμα,*

οὐχ ὡς Αἰσχύλος τὰ περὶ τὴν μασχάλην. Schol. Lycophr. 455: *ὑπὸ τοῦ γωρυτοῦ κρυφθεὶς τόπος τοῦ σώματος τοῦ Αἴαντος τρωτὸς ἦν, τὸ δὲ ἄλλο σῶμα ἄτρωτον· τοῦτον δὲ οἱ μὲν περὶ τὴν κλεῖδα φασὶν εἶναι, οἱ δὲ περὶ τὰ πλευρά, ὡς Αἰσχύλος ἐν Θρῄσσαις φησίν.*

84

τὸ συγκλινές τ' ἐπ' Αἴαντι

Ar. Ran. 1294: '*τὸ — Αἴαντι*'. ubi Schol.: *Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δὲ φησὶν ἐκ Θρῃσσῶν αὐτὸ εἶναι.* Hermann Aeschylum scripsisse coniecit *τὸ συγκλινές τ' ἐπ' Αἴαντι ξίφος. τ'* omittunt libri deteriores.

85

ἄγαις

Hesych. 1 p. 12: *ἀγαῖς* (*ἄγαις* Favorinus)· *ζηλώσεσιν. Αἰσχύλος Θρῄσσαις.*

ΙΕΡΕΙΑΙ

In fabularum catalogo non commemoratur. non *ἱερείας* dixisse videtur Aeschylus, sed *ἱερέας* (cf. Meisterhans *Grammatik der attischen Inschriften* p. 19). Aristot. Eth. Nicom. 3, 2 p. 1111 a 10: *ὃ δὲ πράττει ἀγνοήσειεν ἄν τις, οἷον λέγοντες φασὶν ἐκπεσεῖν αὐτοὺς ἢ οὐκ εἰδέναι ὅτι ἀπόρρητα ἦν, ὥσπερ Αἰσχύλος τὰ μυστικά.* ubi Schol. fol. 40 a: *δοκεῖ γὰρ Αἰσχύλος λέγειν μυστικά τινα ἔν τε ταῖς Τοξότισι καὶ Ἱερείαις καὶ ἐν Σισύφῳ πετροκυλιστῇ καὶ ἐν Ἰφιγενείᾳ καὶ ἐν Οἰδίποδι. ἐν γὰρ τούτοις πᾶσι περὶ Δημήτρας λέγων τῶν μυστικωτέρων* (*μυστικῶν* Schneidewin) *περιεργότερον ἅπτεσθαι ἔοικε. λέγει δὲ καὶ περὶ Αἰσχύλου καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ πρώτῳ περὶ Ὁμήρου, ὡς κινδυνεύοντος ἐπὶ σκηνῆς ἀναιρεθῆναι ἐπὶ τῷ τῶν μυστικῶν περιφέρειν τινὰ δοκεῖν, εἰ μὴ προαισθόμενος κατέφυγεν ἐπὶ τὸν τοῦ Διονύσου βωμόν.* Aelianus V. H. 5, 19: *Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς διακαλυψάμενος τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός· ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας, ἀποβεβληκὼς τὴν χεῖρα.* Clemens Alex. Strom. II p. 461: *Αἰσχύλος τὰ μυστήρια ἐπὶ σκηνῆς ἐξειπὼν ἐν Ἀρείῳ πάγῳ κριθεὶς οὕτως ἀφείθη ἐπιδείξας αὐτὸν μὴ μεμυημένον.* vide quae hac de re disputavit Lobeck Aglaoph. p. 77 sqq. fortasse huius fabulae est adesp. fr. 425.

86

στέλλειν ὅπως τάχιστα· ταῦτα γὰρ πατὴρ
Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα.

Macrob. Sat. 5, 22, 13: *adfirmo doctissimum vatem* (Vergilium dicit) *etiam in hoc Aeschylum eminentissimum tragoediarum scriptorem secutum, qui in fabula quae Latina lingua Sacerdotes inscribitur, sic ait* 'στέλλειν — θεσπίσματα'. Schol. Soph. Oed. C. 793: *δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμούς, ὡς καὶ ἐν Ἰφικλείᾳ φησί, καὶ Αἰσχύλος ἐν Ἱερείαις* 'στέλλειν — Λοξίᾳ'. v. 2 ἐγκαθιεῖ Schol. Soph., ubi θεσπίσματα om.

87

εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν

Ar. Ran. 1274: 'εὐφαμεῖτε — οἴγειν'. ubi Schol. RV: *εὐφημεῖτε μελισσονόμοι· ἐξ Ἱερειῶν Αἰσχύλου.* μελισσονόμα] πολισσονόμοι coni. Lobeck Aglaoph. p. 817 nixus scholio recenti. *εὐφαμεῖτε, πολισσονόμος δόμον Ἀρτέμιδος πρόμος οἰχνεῖ* temptavit Hartung. ex Iphigenia potius verba petita esse suspicatus est Vater Vind. Rhes. p. CLXV.

88

Κασωλάβα

Hesych. 2 p. 420: *Κασωλάβα· οἱ μὲν πόλις, οἱ δὲ κώμη. Αἰσχύλος Ἱερείαις.* cives huius urbis *Κασωλαβῆς* (cf. V. de Wilamowitz-Moellendorff Herm. 18 p. 254) commemorantur identidem in Atticis tributorum catalogis. Cariae fuisse urbem vidit V. Koehler.

ΙΞΙΩΝ

Περραιβίδας et *Ἰξίονα* eiusdem trilogiae fuisse coni. Od. Mueller. Diod. Sic. 4, 69, 3: *Ἀντίων — ἐγέννησεν Ἰξίονα. οὗτος δ', ὥς φασίν, ὑποσχόμενος ἕδνα πολλὰ δώσειν Δηιονεῖ*) ἔγημε τὴν Δηιονέως θυγατέρα Δίαν, ἐξ ἧς ἐγέννησε Πειρίθουν. ἔπειθ' ὁ μὲν Ἰξίων οὐκ ἀπέδωκε τὰ ἕδνα* [*τῇ γυναικί* addunt libri, del. Cobet], *ὁ δὲ Δηιονεὺς τὰς ἵππους ἀντὶ τούτων ἠνεχύρασεν. ὁ δ' Ἰξίων τὸν Δηιονέα μετεπέμψατο ἐπαγγελλόμενος πάντα ὑπακούσεσθαι, καὶ τὸν Δηιονέα παραγενόμενον ἔβαλεν εἰς βόθρον πυρὸς μεστόν. διὰ δὲ τὸ μέγεθος τῆς παρανομίας μηδένα βούλεσθαι καθᾶραι τὸν φόνον· τέλος δὲ ὑπὸ τοῦ Διὸς κατὰ τοὺς μύθους ἁγνισθεὶς ἠράσθη μὲν τῆς Ἥρας καὶ κατετόλμησεν ὑπὲρ συνουσίας λόγους ποιεῖσθαι. ἔπειτα τὸν μὲν Δία εἴδωλον ποιήσαντα τῆς Ἥρας νεφέλην ἐξαποστεῖλαι, τὸν δὲ Ἰξίονα τῇ νεφέλῃ μιγέντα γεννῆσαι τοὺς ὀνομαζομένους κενταύρους ἀνθρωποφυεῖς. τέλος δὲ μυθολογοῦσι τὸν Ἰξίονα — ὑπὸ Διὸς εἰς τροχὸν ἐνδεθῆναι*

---

*) *Ἠιονεῖ* vulgo, *Δηιονεῖ* correxit Cobet Mnem. nov. 2 p. 183 sive Misc. crit. p. 245. eadem est corruptela in verbis quae sequuntur sicut in Schol. Apoll. Rhod. 3, 62.

καὶ τελευτήσαντα τὴν τιμωρίαν ἔχειν αἰώνιον. Welcker Aeschylo vindicandum suspicatur Sophoclis fr. 274.

89

Schol. Pind. Pyth. 2, 39: *τὸν δὲ Ἰξίονα οἱ μὲν Ἀντίονος* (*Ἀντίωνος* al.) *γενεαλογοῦσιν, ὡς Αἰσχύλος, Φερεκύδης δὲ Πεισίωνος, ἔνιοι δὲ Ἄρεος, οἱ δὲ Φλεγύα.* cf. Schol. Apoll. Rhod. 3, 62: *Φλεγύου δὲ υἱὸς Ἰξίων —, Φερεκύδης δὲ Αἴτωνος.* ubi *Φερεκύδης δὲ Πείσωνος, Αἰσχύλος Ἀντίωνος* scribendum esse coni. Wesseling.

90

βίου πονηροῦ θάνατος εὐκλεέστερος.

Stob. Flor. 121, 16: *Αἰσχύλου Ἰξίωνος* (sic A, *αἰσχύλου* om. fabulae titulo S, eclogam om. M). '*βίου — εὐκλεέστερος*'. idem versus legitur in Flor. Monac. 134. ceterum cf. fr. 401, 1.

91

τὸν δ' ἡμίοπον [*καὶ τὸν ἐλάσσονα*]
ταχέως ὁ μέγας καταπίνει.

Ath. IV p. 182 C: *εἰσὶ δ' οἱ αὐλοὶ οὗτοι* (sc. *οἱ ἡμίοποι*) *ἐλάσσονες τῶν τελείων. Αἰσχύλος γοῦν κατὰ μεταφορὰν ἐν Ἰξίονι* (*ἰξίωνι* A) *φησί* '*τὸν δ' — καταπίνει*'. Pollux 6, 161: *ἡμίοπον αὐλὸν Αἰσχύλος.* Hesych. 2 p. 279: *ἡμίοπος αὐλός· ὁ ὑποτεταγμένος τῷ τελείῳ. μεταφορικῶς δὲ ἡμίοπος θράσος* (*ὁ ἐλάσσων* L. Dindorf, *ὁ ῥάρος* S. Mekler). v. 1 *καὶ τὸν ἐλάσσονα* verba del. Bothe, *καὶ τὸν ἐλάσσω* coni. Porson Adv. p. 74.

92

πρευμενὴς ἀλάστορος

Anecd. Oxon. vol. 1 p. 62, 13: *παρὰ δὲ τὸ ἀλαστῶ ῥῆμα ἀλάστωρ — παρῆκται δὲ ἡ εὐθεῖα παρὰ τὴν ἀλάστορος γενικήν· Αἰσχύλος Ἰξίονι* '*πρευμενὴς ἀλάστορος*', *καὶ Φερεκύδης* '*ὁ Ζεὺς δὲ ἱκέσιος καὶ ἀλάστορος καλεῖται*'. suspicabar *Αἰσχύλος Ἰξίονι* ⟨'*μέγαν ἀλάστορον*' *καὶ ἀλλαχοῦ*⟩ '*πρευμενῶς ἀλάστορον*'. cf. Aesch. Eum. 296: *δέχου δὲ πρευμενῶς ἀλάστορα*, et fr. 294.

93

ἱερεῖτιν

Hesych. 2 p. 346: *ἱερείτην· καθαρμοῦ δεομένην, ἱκέτιν. Αἰσχύλος Ἰξίονι.* ubi *ἱερεῖτιν* correxit Musurus, cf. C. Keilii Sched. epigr. (Numburgi 1855) p. 19.

ΙΣΘΜΙΑΣΤΑΙ v. ΘΕΩΡΟΙ

ΙΦΙΓΕΝΕΙΑ

Vide Schol. Aristot. locum p. 28 allatum. Aristophanis Ran. 1270 ex hac fabula sumptum esse putavit Asclepiades (vide fr. 238).

94

οὔτοι γυναιξὶ . . κυδάζεσθαι· τί γάρ;

Schol. Soph. Ai. 722: *κυδάζεται, λοιδορεῖται, ὑβρίζεται — Αἰσχύλος ἐν Ἰφιγενείᾳ* '*οὔτοι — γάρ;*' cf. Suid. v. *κυδάζεται*, ubi *τί γάρ* om. post *γυναιξὶ* videtur addendum esse aut *χρὴ* cum Blomfieldo in Aesch. Agam. p. 29 aut *δεῖ* cum Elmsleio. huc spectat glossa Hesych. 2 p. 547: *κυδάζεσθαι· λοιδορεῖσθαι.*

ΚΑΒΕΙΡΟΙ

Schol. Pind. Pyth. 4, 303: *πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος καὶ Αἰσχύλος Καβείροις* (*κιβήραις* libri, correxit Meursius). Ath. X p. 428 F: *τὸν Αἰσχύλον ἐγὼ φαίην ἂν τοῦτο διαμαρτάνειν· πρῶτος γὰρ ἐκεῖνος, καὶ οὐχ ὥς ἔνιοι φασὶν Εὐριπίδης, παρήγαγε τὴν τῶν μεθυόντων ὄψιν εἰς τραγῳδίαν. ἐν γὰρ τοῖς Καβείροις* (*καβίροις* A) *εἰσάγει τοὺς περὶ τὸν Ἰάσονα μεθύοντας.* hinc probabile est quod Welcker coniecit, Cabiros eiusdem fuisse trilogiae atque *Ὑψιπύλην* et *Ἀργώ*. fortasse huic fabulae tribuendum est Achaei fr. 39.

95

ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ.

Ath. IX p. 373 D: *ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν ἀλλὰ καὶ ὄρνιθα. — Αἰσχύλος Καβείροις* (*καβιροις* A) '*ὄρνιθα — ὁδοῦ*'.

96

μήτε κρωσσοὺς
μήτ' οἰνηροὺς μήθ' ὑδρηλοὺς
λιπεῖν ἀφνεοῖσι δόμοισιν

Pollux 6, 23: *οἰνηρὸς θεράπων παρὰ Ἀνακρέοντι — καὶ Αἰσχύλος* '*μήτε — δόμοισιν*'. Antiatt. p. 115, 3: *ὑδρηροὺς πίθους καὶ οἰνηρούς. Αἰσχύλος Καβείροις* (*καιείροις* codex). v. 1 *μήτ' αὖ* (vel *μηδ' αὖ*) *κρωσσοὺς* Blomfield. v. 2 *ὑδρηλοὺς* scripsi, *ὑδατηροὺς* Poll., *ὑδρηροὺς* Antiatt. v. 3 *λιπεῖν*] *λείπειν* coni. Blomfield, *λείψειν* Lobeck Aglaoph. p. 1207, *λείβειν* Conington, *λήγειν* M. Schmidt Philol. 18 p. 229.

97

Plut. Quaest. conv. 2, 1, 7 p. 632 F: *ποιεῖ δ' εὔχαρι σκῶμμα καὶ μέμψις ἐμφαίνουσα χάριν — εἴ τις ἀντιστρέψας αἰτιῷτο τοὺς Αἰσχύλου Καβείρους ὄξους σπανίζειν δῶμα ποιήσαντας, ὥσπερ αὐτοὶ παίζοντες ἠπείλησαν.* 'Aeschylus Cabiros cum Argonautis comiter conversantes largumque vini proventum gratiose minitantes induxit.' *Lobeck* Aglaoph. p. 1207. verba *ὄξους σπανίζειν δῶμα* probabile est ex Aeschylo esse repetita.

ΚΑΛΛΙΣΤΩ

98

Πανίας βήσσας

Hesych. 3 p. 265: *Πανίας βήσσας· ὡς ἀπὸ* (*ἐπὶ* codex) *τοῦ Πανός. Αἰσχύλος Καλλιστοῖ.* Phot. Lex. p. 377, 17: *Πανιὰς αἶσα· ἀπὸ τοῦ Πανός.*

ΚΑΡΕΣ Η ΕΥΡΩΠΗ

De argumento fabulae paucos abhinc annos edocti sumus frustulo pretiosissimo quod edidit H. Weil, *Un papyrus inédit de la bibliothèque de M. Ambroise Firmin-Didot. Nouveaux fragments d'Euripide et d'autres poètes grecs publiés par M. Henri Weil. 2 planches photoglyptiques. Paris librairie de Firmin-Didot et C^{ie} 1879.* ubi qui p. 18 sqq. leguntur trimetri iambici, quamvis nec fabulae nec poetae nomen sit appositum, tamen dubitari non potest quin ex Aeschylea hac fabula deprompti sint. vitia illius papyri tot ac tanta sunt quae emendationem multis locis respuant: at argumentum fabulae satis probabiliter eruit Fr. Blass Mus. Rhen. 35 p. 86. spectat fabula ad mortem et funus Sarpedonis, qui ab Aeschylo sicut Hesiodo, Bacchylide, Rhesi auctore Iovis et Europae filius, frater Minois et Rhadamanthi perhibetur. scena videtur esse in Lycia: non obstat quod chori partes mandatae sunt Caribus, cum sciamus etiam alibi apud tragicos poetas confundi Asiae gentes, neque improbabile arbitror quod Buecheler Mus. Rhen. 35 p. 94 conicit, Aeschyli Cares spectari a Strab. XIV p. 665: *οἱ ποιηταὶ δὲ μάλιστα οἱ τραγικοὶ συγχέοντες τὰ ἔθνη, καθάπερ τοὺς Τρῶας καὶ τοὺς Μυσοὺς καὶ τοὺς Λυδοὺς Φρύγας προσαγορεύουσιν, οὕτω καὶ τοὺς Λυκίους Κᾶρας.* in prologo vel in primo post parodum episodio conqueritur Europa, cuius verba habemus fr. 99, ademptos sibi duos esse filios, Minoem et Rhadamanthum, ac maxime sollicitam se dicit esse de sorte tertii filii Sarpedonis, qui ad Troiae moenia dimicans in vitae discrimine versetur. chorus virtute Sarpedonis commemorata consolari matrem studet: respondet Europa (fr. 100) fortissimum quemque facillime bello absumi. non vanum fuisse metum

matris fortasse somnio territae, confirmat rerum eventus: Ὕπνος enim et Θάνατος gemelli afferunt cadaver Sarpedonis (cf. Il. *Π* 681—683), cui debitae praestantur exequiae. restat unum quod addamus: quaecunque sciri nunc possunt de fabulae argumento, ea omnia felicissimo acumine divinarat I. A. Hartung in Aesch. fragm. p. 95 sq.

99

ΤΑΥΡΩΤЄΛΙΜΩΞЄΝΙΑΠΑΜΠΟΔΟϹΠΑΡΗΝ
ΤΟΙΟΝΤЄΜЄΝΖЄΥϹΚΛЄΜΜΑΠΡΟϹΒΥΤΟΥΠΑΤΡΟϹ
ΑΥΤΟΥΜЄΝΩΝΑΜΟΧΘΟΝΗΝΟϹΟΝΛΑΒΕΙΝ
ΤЄΙΟΥΝΤΑΠΟΛΛΑΚЄΙΝΑΔΙΑΠΑΥΡΩΛЄΓΩ
ΓΥΝΗΘЄΟΥΜЄΙΧΘЄΙϹΑΠΑΡΘЄΝΟΥϹЄΒΑϹ 5
ЄΜΙΨЄΠΑΙΔΩΝΔЄϹΥΓΗΞΥΝΑΓΩΝЄΙ
ΚΑΙΤΡΙΑΓΩΝЄΙϹΤΟΥϹΓΥΝΑΙΚЄΙΟΥϹΠΟΝΟΥϹ
ЄΚΑΡΤЄΡΗϹΑΑΡΟΥΡΑϹΚΑΙΟΥΚЄΜЄΜΨΑΤΟ
ΤΟΥΜЄΝΞЄΝΑΙΚЄΙΝϹΠЄΡΜΑΓЄΝΑΙΠΑΤΡΟϹ
ЄΚΤΩΝΜЄΓΙϹΤΩΝΔЄΡΞΑΜΗΝΦΥΔЄΥΜΑΤΩΝ 10
ΜΙΝΩΤΕΚΟΥϹΑΡΑΔΑΜΑΝΘΟΝΩϹΠЄΡΑΦΘΙΔΟϹΠΑΙΔΩΝЄ
ΜΩΝ ΑΛΛΑΚЄΜΑΓΑΙϹΤΑΙϹЄΜΑΙϹΖΟΑϹЄΧЄΙΝ
ΤΟΜΗΠΑΡΩΝΤЄΤЄΡΨΙΝΟΥΚЄΧЄΙΦΙΛΟΥϹ
ΤΡΙΤΟΝΔЄΤΟΥΝΟΥΝΦΟΡΝΤΙΖЄΙΝΧЄΙΜΑΖЄΤΑΙ 15
Ϲ̣Α̣ΛΦΗΔΟΝΑΙΑΧΜΗϹΔЄΞΑΡЄΟϹΚΑΘΙΚЄΤΟ
Κ̣ΛЄΟΓΑΡΗΚЄΙЄΝΛΟΤΙϹΛΟΤΙϹΜΑΤΟϹ
ΠΑϹΗϹΥΠЄΡΠЄΡΩΝΤЄϹΑΛΧΙΜΟΥϹΤЄΝΗϹ
ΑΥΧЄΙΔЄΤΡΩΑΝΑϹΤΥΠΑΡΘΗϹΗΒΙΟΝ
ΠΡΟϹΟΥΔЄΔΩΚΑΜΗΤΕῙΜΑΡΓΑ[Ν]ΙΑΔΟΡЄΙ 20
ΑϹΤΥΠЄΡΒΑΡΤΟΝΔΡΑϹΗΤЄΚΑΙΠΑΘΗΚΑΚΟΝ
ΛЄΠΤΗΓΑΡЄΛΠΙϹΙΗΔΗЄΠΙΞΥΡΗΜЄΝΗΙ
ΜΗΠΑΝΤΑΠ̣ΑΙϹΑϹЄΚΧЄΩΠΡΟϹΑΙ̣ΜΑΤЄΙ

Reddidi quae in papyro Didotiano legit Weil (p. 18 sq. et 23), cui dubitatio non restabat nisi paucis de literis quas punctis infra lineam positis distinxi: sed v. 17 primae literae, id quod Buecheler docuit, ΚΑΡ potius quam ΚΛЄ legendae videntur. de emendandis poetae verbis flagitiose corruptis egregie meritus est princeps editor, cui debentur quaecunque non monito lectore mutavimus. Weilium haud pauci critici exceperunt, velut Fr. Blass Mus. Rhen. 35 p. 84—88, Fr. Buecheler ibid. p. 93—96, Th. Gomperz *Wiener Studien* 1880 p. 16—20, Bergk Mus. Rhen. 35 p. 248—255, Th. Kock ibid. p. 272—277, Wecklein Philol. 39 p. 414—418 al., ac denuo ipse Weil locum in disceptationem vocavit *Revue de philol.*

Nouv. sér. IV p. 10—13. coniunctis tot criticorum studiis haec fere debetur Aeschylei loci facies:

ταύρῳ τε λειμὼν ξένια πάμβοτος παρῆν.
τοιόνδε μὲν Ζεὺς κλέμμα πρεσβύτου πατρὸς
αὐτοῦ μένων ἄμοχθον ἤνυσεν λαβεῖν.
ἵν' οὖν τὰ πολλὰ κεῖνα διὰ παύρων λέγω,
γυνὴ θεῷ μειχθεῖσα παρθένου σέβας 5
ἤμειψα, παίδων δ' ἐζύγην ξυνάονι.
καὶ τρισὶ γοναῖσι τοὺς γυναικείους πόνους
ἐκαρτέρησ'· ἄρουραν οὐκ ἐμέμψατο
τοῦ μὴ ἐξενεγκεῖν σπέρμα γενναίου πατρός.
ἐκ τῶν μεγίστων δ' ἠρξάμην φυτευμάτων, 10
Μίνω τεκοῦσα
Ῥαδάμανθυν, ὅς περ ἄφθιτος παίδων ἐμῶν·
ἀλλ' οὐκ ἐν αὐγαῖς ταῖς ἐμαῖς ζόας ἔχει,
τὸ μὴ παρόν τε τέρψιν οὐκ ἔχει φίλοις·
τρίτον δὲ τοῦ νῦν φροντίσιν χειμάζομαι 15
Σαρπηδόν', αἰχμὴ δ' ἐξ Ἄρεως καθίκετο·
Καρῶν γὰρ ἥκει ⟨γαῖαν Ἀγαμέμνων ἄναξ 17a
ἄγων ὅσοι περ Ἑλλάδος⟩ λωτίσματα 17b
πάσης, ὑπερφέροντες ἀλκίμῳ σθένει·
αὐχεῖ δὲ Τρώων ἄστυ πορθήσειν βίᾳ·
πρὸς οὗ δέδοικα, μή τι μαργαίνων δόρει 20
ὑπέρτατον δράσῃ τε καὶ πάθῃ κακόν.
λεπτὴ γὰρ ἐλπὶς ἥδ' ἐπὶ ξυροῦ τ' ἔβην
μὴ πάντα παιδὸς ἐκχέω πρὸς αἵματι.

v. 1 ΠΑΡΗΝ (non ΠΑΡΑΝ) in papyro legi testatur Blass. v. 2 *τοιόνδε δὴ Ζεὺς* malim. v. 3 *ἤνυσεν* Blass, qui de structura Pers. 721 comparat. v. 5 *μειχθεῖσα* scriptura recte se habet, cf. quae Meisterhans *Grammatik der att. Inschr.* p. 25 et 87 attulit. v. 6 *ἤμειψε* et *ἐζύγη* formas, quae papyri scriptura commendantur, servandas ducit Gomperz p. 19. *ξυνωνίᾳ* scripsit Weil, *ξυνῶν γονεῖ* vel quod praefert *ξυνῇ γονῇ* Buecheler, *ξυνάονι* Blass, cui favet Epigr. Kaib. 241 a 3 p. 521: *δυσὶν ζευχθεῖσα φίλοις ξυνάοσι τέκνων.* v. 7 *τρισὶν ἀγῶσι* Weil, *τρὶς πονοῦσα* Blass, rectius *τρισὶ γοναῖσι* Wecklein. mire dictum *τοὺς γυναικείους πόνους*, ubi de puerperae doloribus agitur: requiri arbitror *τοὺς δι' ὠδίνων πόνους*, sicut *δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί* Euripides Phoen. 355 dixit.

v. 8 ἐκαρτέρησ' ἄρουρα κοὐκ ἐμέμψατο Blass, praetuli Schenkelii et Gomperzii coniecturam quamvis incertam. v. 9 τοῦ] τὸ malim cum Blassio. γενναῖον πατήρ coni. Schenkl. v. 10 φιτυμάτων Bergk. v. 11 post τεκοῦσα Blass δεύτερον δ' ἐγεινάμην suppleri voluit, aliquot versus excidisse Buecheler p. 94 et Gomperz p. 18 recte agnoverunt. v. 12 ΡΑΛΑΜΑΝΘΟΝ in papyro legit Weil, ΡΑΔΑΜΑΝΘΟΝ Blass. v. 13 ἀλλ' οὐκ ἐπ' αὐλαῖς ταῖς ἐμαῖς Weil, ἀλλ' οὐκ ἐν αὐγαῖς ταῖς ἐμαῖς Gomperz et Kock. ζόη σφ' ἔχει Weil. εἴληχ' ἐπ' αἴας τέρμασι ζόας ἔχειν Blass. v. 14 τε] δὲ Weil. v. 15 νῦν Blass. χειμάζομαι Blass. v. 16 αἰχμὴ Weil, αἰγὶς Bergk. neutra coniectura locus graviter corruptus sanatur: requirimus εἰ σῶς ἐξ Ἄρεως ἀφίξεται vel similem dicendi formam. v. 17a Καρῶν Buecheler. γαῖαν Ἀγαμέμνων ἄναξ verba supplevit Gomperz, qui v. 17b scripsit θράσει πεποιθὼς Ἑλλάδος λωτίσματος, ubi ego praeferendum duxi ἄγων ὅσοι περ Ἑλλάδος λωτίσματα. v. 18 ὑπερφέροντος Weil et Gomperz. ἀλκίμῳ σθένει Gomperz et Bergk. v. 20 πρὸς ᾧ Kock. ΜΑΡΓΑΓΑΔΟΡΕΙ in papyro legit Weil, id quod supra dedimus Blass. v. 21 ἀνυπέρβατον Weil, ὑπὲρ μόρον vel ὑπὲρ βροτὸν coni. Bergk, ego ὑπέρτατον scripsi. v. 22 ἦδ' ἐπὶ ξυροῦ τ' ἔβην Wilamowitz-Moellendorff, alii alia. v. 23 παιδὸς Buecheler. μὴ πάντ' ἄπαις οὖσ' S. Mekler. incertum est utrum ΑΙΜΑΤΕΙ an ΑΡΜΑΤΕΙ praebeat papyrus.

100

ἀλλ' Ἄρης φιλεῖ
ἀεὶ τὰ λῷστα πάντα τἀνθρώπων στρατοῦ.

Stob. Flor. 51, 26: *Αἰσχύλου Καρῶν.* 'ἀλλ' — στρατοῦ'. v. 2 ἀεὶ τὰ λῷστα] λωτίσματ' ἀεὶ Wecklein Philol. vol. 39 p. 418. πάντα τἀνθρώπων στρατοῦ] πάντ' ἀπανθίζειν στρατοῦ Kidd in Dawesii Misc. crit. p. 298, πάντα λωτίζειν στρατοῦ Herwerden *Revue de philol. Nouv. sér.* IV p. 152, πάντα τἀνθρώπων τρυγᾶν M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 363, παντὸς ἐξαμῶν (ἐξαμᾶν Wecklein) στρατοῦ C. Keil.

101

Μύλασος

Stephanus Byz. p. 461, 16: *Μύλασα, πόλις Καρίας, ἀπὸ Μυλάσου τοῦ Χρυσάορος τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου. λέγεται καὶ Μύλασος* (sic R, *Μύλας* V), *ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ.*

ΚΕΡΚΥΩΝ ΣΑΤΥΡΙΚΟΣ

102

ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας

Pollux 10, 175: *εἶεν δ' ἂν καὶ ἀμφωτίδες ἐκ* (l. ἐν) *τῶν σκευῶν, Πλάτωνός τε εἰπόντος καὶ ἐν Κερκυόνι Αἰσχύλου ʽ ἀμφωτίδες — πέλας ʼ.* cf. Hesych. 1 p. 167: *ἀμφώτιδες· ἃς ἔχουσιν οἱ παλαισταὶ περὶ τοῖς ὠσίν.* Eust. Il. p. 1324, 38: *ἀμφώτιδες κατὰ Παυσανίαν ἃς οἱ παλαισταὶ παρὰ* (l. *περὶ*) *τοῖς ὠσὶν εἶχον.*

103

ἄμβωνες

Hesych. 1 p. 142: *ἄμβωνες· αἱ προσαναβάσεις τῶν ὀρῶν. Αἰσχύλος Κερκυόνι καὶ Σισύφῳ.* Erotian. Gloss. Hippocr. p. 53, 8: *οἱ Ῥόδιοι ἄμβωνας καλοῦσι τὰς ὀφρυώδεις τῶν ὀρῶν ἀναβάσεις· μέμνηται τῆς λέξεως καὶ Αἰσχύλος καὶ Ἀριστοφάνης ὁ γραμματικὸς ἐν ταῖς Ἀττικαῖς λέξεσι.*

104

ἀπεψύχη

Hesych. 1 p. 239: *ἀπεψύχη* (*ἀπεψύχει* codex)· *ἀπεπνευματίσθη. Αἰσχύλος Κερκυόνι σατυρικῷ.*

105

ἀτίσεις

Hesych. 1 p. 314: *ἀτίσεις· ἀτιμάσεις. Αἰσχύλος Κερκυόνι.*

106

εὐλημάτεῖ

Hesych. 2 p. 225: *εὐλημάτεῖ* (*εὐλήματι* cod.)· *λήματος καὶ ἀνδρείας εὖ ἔχει. Αἰσχύλος Κερκυόνι σατυρικῷ.* Photius Lex. p. 35, 4: *εὐλημμάτεῖ· εὖ ἔχει λήμματος καὶ ἀνδρείας.*

107

ὄρον

Harpocr. p. 139, 24: *ὄρον σκεῦός τι γεωργικόν — μήποτε μέντοι τὸ ὄρον παρά τε Αἰσχύλῳ ἐν Κερκυόνι* (*κεραυνῶνι* libri) *καὶ παρὰ Μενάνδρῳ ἐν β' Ἐπικλήρῳ σημαίνει ξύλον τι ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.* eadem fere om. fabulae nomine Photius Lex. p. 349, 18 et Suidas v. *ὄρον.*

ΚΗΡΥΚΕΣ ΣΑΤΥΡΟΙ

108

στενόστομον τὸ τεῦχος

Pollux 10, 68: *εἴρηται δὲ τοὔνομα* (sc. *στενόστομος*) *ἐπὶ ἀμφο-*

ρέως ἐν σατυρικῷ δράματι Κήρυξι τοῖς Αἰσχύλου '*στενόστομον τὸ τεῦχος*'.

109

κατὰ τῆς σισύρνης τῆς λεοντέας

Pollux 10, 186: *φαίης δ' ἂν καὶ σίσυρναν, Αἰσχύλου μὲν ἐν Κήρυξι σατύροις λέγοντος* '*κατὰ — λεοντέας*', *Σοφοκλέους δ' ἐν Μυσοῖς* —. Toup Emend. 2 p. 166 *καὶ τῆς σισύρνης τῆς λεοντείας δορᾶς* proposuit coll. Hesych. 3 p. 25: *λεόντειος δορά· τὸ δέρμα αὐτοῦ.* ubi *λεοντῆ· λέοντος δορά* scribendum coni. M. Schmidt coll. Phot. Lex. p. 214, 21.

110

πυρσοκόρσου λέοντος

Photius Lex. p. 477, 11: *πυρσοκόρσου λέοντος. Αἰσχύλος ἐν Κήρυξι* (*κάρυξι* cod.) *σατύροις.* Hesych. 3 p. 414: *πυρσοκόρσου λέοντος· πυρροκεφάλου, ξανθοτρίχου.*

111

κακοποιεῖν

Antiatt. p. 102, 14: *κακοποιεῖν. Αἰσχύλος Κήρυξιν.*

112

λογγάσω

Pollux 9, 136: *φαῦλον γὰρ τὸ λογγάζειν ἐν τοῖς Κήρυξι τοῖς Αἰσχύλου.* Photius Lex. p. 228, 22: *λογγάσω· στραγγεύσομαι, ὃ ἡμεῖς λαγγάσω καὶ λαγγονεύσω λέγομεν· Αἰσχύλος.* quae Photius subicit, *δὲ ἐξ ὧν τὰ ἀπόγεια δοῦσιν λογγάσια,* e glossa *λογγῶνες* huc irrepsisse vidit Dindorf.

113

νοσσόν

Antiatt. p. 109, 22: *νόσσον, χωρὶς τοῦ Ε. Αἰσχύλος Κήρυξιν.* scripsi *νοσσόν* cum Lobeckio in Phryn. p. 206.

ΚΙΡΚΗ ΣΑΤΥΡΙΚΗ

114

αὐτόφορβος

Hesych. 1 p. 329: *αὐτόφορβος· αὐτοφάγος. Αἰσχύλος Κίρκῃ.* Arcad. p. 88, 4: *τὸ δὲ αὐτόφορβος οἱ πλείους ὀξύνουσι.*

115

ζυγώσω

Hesych. 2 p. 259: *ζυγώσω· δαμάσω, κλείσω, καθέξω. Αἰσχύλος Κίρκῃ σατυρικῇ.* Pausan. Eust. Il. p. 956, 7: *ζυγώσω ἀντὶ τοῦ καθέξω, δαμάσω.* Photius Lex. p. 55, 8: *ζυγώσω· καθέξω, δαμάσω.*

ΚΡΗΣΣΑΙ

Fabulae argumentum fuisse idem quod Sophoclis *Μάντεων* Od. Mueller et alii e fr. 116 coniecerunt.

116

λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις
καὶ μιλτοπρέπτοις βρίθεται ταὐτοῦ χρόνου.

An. II p. 51 D: *μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξίν — ἐν δὲ Κρήσσαις [καὶ τὰ τῆς βάτου] 'λευκοῖς — χρόνου'.* Eust. Il. p. 1254, 25: *Αἰσχύλος* (immo Eur. Phoen. 372) *'πέπλους μελαγχίμους' φησίν· ἕτερος δέ τις μελάγχιμα συκάμινα ἐν τῷ 'λευκοῖς — μελαγχίμοις', ὅ πέρ ἐστι μέλασι, 'καὶ μιλτοπρέπτοις' ἤγουν ἐρυθροῖς 'βρίθεται ταὐτοῦ χροιᾶ'.* Pollux 6, 46: *συκάμινα· ταῦτα δὲ καὶ μόρα Αἰσχύλος ὠνόμακεν, τὰ ἄγρια οὕτως ὀνομάσας τὰ ἐκ τῆς βάτου.* v. 2 *μιλτοπρέπτοις* Eust., *μιλτοπρέποις* Ath. *βρίθεται* fortasse spectat Hesych. 1 p. 399: *βρίθεται· βαρύνεται καρπῷ. χρόνου*] *χροιᾶ* Eust.

117

. . . . . *αὐτορέγμονος πότμου*

Hesych. 1 p. 328: *αὐτορέγμονος πότμου· ὅσον ἑαυτὸν ἔρεξε καὶ κατευθὺς ἑαυτορέγμονος, παρὰ τὸ ὀρέγειν τὴν χεῖρα. Αἰσχύλος Κρήσσαις* (*κρή* τ codex). Hermann scribendum coni. *οἷον ἑαυτοῦ 'ὀρέξεται κατευθὺς αὐτορέγμονος | πότμου'.* probabilius videtur quod L. Dindorf proposuit, *ὅσον ἑαυτὸν ἔρεξε καὶ κατέθυσε. αὐτορέγμονος, παρὰ τὸ ὀρέγειν τὴν χεῖρα.* nam duas grammaticus profert etymologias, alteram qua ducatur ab verbo *ῥέζειν*, alteram qua ab *ὀρέγειν.* hinc vero apparet requiri *ἢ αὐτορέγμονος παρὰ τὸ ὀρέγειν τὴν χεῖρα.*

118

. . . . . *πισσοκωνήτῳ πυρί*

Phot. Lex. p. 430, 24: *πισσοκωνήτῳ πυρί· τῷ εὐκαύτῳ, ἐπεὶ τὰ καιόμενα πυρὶ χρίεται. Αἰσχύλος Κρήσσαις.* Hesych. 3 p. 337: *πισσοκωνήτῳ* (*πισσοκονήτω* cod.) *πυρί· πίσσῃ χρίουσιν, ἵνα τάχιον κατακαίηται. κωνῆσαι δέ ἐστι τὸ περιενεγκεῖν.* ibid. 2 p. 564: *κωνῆσαι*

(*κωνεῖσαι* cod.) *πισσοκοπῆσαι* (*πισσοκωνῆσαι* coni. Salmasius, *πίσσῃ καταχρῖσαι* malim) *καὶ κύκλῳ περιενεγκεῖν. καὶ πισσοκώνητον* (*πισσοκόνιτον* cod.) *μόρον λέγουσιν, ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος Κρήσσαις καὶ Κρατῖνος* (*αἰσχύλος καὶ κρατῖνος κρήσαις* codex, corr. Alberti).

119

ἀτόπαστον

Hesych. 1 p. 315: *ἀτόπαστον* (*ἀτόπλαστον* cod.)· *ἀνείκαστον. τοπάζειν γὰρ τὸ εἰκάζειν, καὶ τὸ ὑποτοπῆσαι* (*ὑπὸ τὸ πονῆσαι* cod.) *δὲ ἐνθένδε λέγεται. Αἰσχύλος Κρήσσαις.*

120

ἐπιξενοῦσθαι

Hesych. 2 p. 162: *ἐπιξενοῦσθαι· μαρτύρεσθαι, πορεύεσθαι. Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ καὶ Αἰσχύλος Κρήσσαις* (*κρήσαις* cod.).

ΚΥΚΝΟΣ (?)

Cycni partes fuisse in Aeschylea quadam fabula docet Aristophanis locus Ran. 963 infra p. 41 allatus. huius nomine inscriptam fuisse fabulam non licet affirmare.

ΛΑΙΟΣ

Aeschylus vicit hac fabula olymp. 78, 1 (ante Chr. n. 467). Argum. Aesch. Sept.: *ἐδιδάχθη ἐπὶ Θεαγενίδου* (*θεαγένους* codex, corr. Franz) *ὀλυμπιάδι οη΄. ἐνίκα Λαΐῳ, Οἰδίποδι, Ἑπτὰ ἐπὶ Θήβας, Σφιγγὶ σατυρικῇ. δεύτερος Ἀριστίας* (*ἀριστίων* codex) *Περσεῖ, Ταντάλῳ, Παλαισταῖς σατυρικοῖς* (l. *σατύροις*) *τοῖς Πρατίνου πατρός. τρίτος Πολυφράσμων Λυκουργείᾳ* (*λυκουργίαι* cod.) *τετραλογίᾳ.*

121

ἀράχνου

Hesych. 1 p. 271: *ἀράχνου, ἀπ' εὐθείας ὁ ἀράχνης. Αἰσχύλος Λαΐῳ.*

122

χυτρίζειν

Schol. Ven. Ar. Vesp. 289: *ἐγχυτριεῖς· ἀπὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς ἀποκτεῖναι χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ καὶ Αἰσχύλος Λαΐῳ* (*λαξω* codex), *καὶ Φερεκράτης.* putandus est Aeschylus, ut ait Hermann, istud verbum de Oedipo dixisse, quem recens natum exponi iusserit Laius.

ΛΕΩΝ ΣΑΤΥΡΙΚΟΣ

123

ὁδοιπόρων δήλημα, χωρίτης δράκων

Stephanus Byz. p. 699, 13: *χώρα — ὅθεν τὸ χωρίτης — Αἰσχύλος ἐν Λέοντι σατυρικῷ* (*σατυρικήν* vel *σατυρικόν* libri) '*ὁδοιπορῶν — δράκων*'. *ὁδοιπόρων* Salmasius Plin. exerc. p. 889 F.

ΛΗΜΝΙΟΙ

Non commemoratur haec fabula nisi in dramatum catalogo.

ΛΥΚΟΥΡΓΟΣ ΣΑΤΥΡΙΚΟΣ

Tetralogiae fuit Lycurgiae, de qua cf. Schol. Ar. Thesm. 135 allatum fr. 61. Aristarcheum huius fabulae *ὑπόμνημα* commemoratur in Schol. Theocr. 10, 18: *Ἀρίσταρχος γὰρ ἐν ὑπομνήματι Λυκούργου Αἰσχύλου τὴν ἀκρίδα φησὶ ταύτην, εἰ προσβλέψει τινὶ τῶν ζῴων, ἐκείνῳ κακὸν γίνεσθαι.*

124

κἀκ τῶνδ' ἔπινε βρῦτον ἰσχναίνων χρόνῳ
καὶ σεμνοκόπτει τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ.

Ath. X p. 447 C: *τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν — μνημονεύει τοῦ πώματος Αἰσχύλος ἐν Λυκούργῳ* '*κἀκ — στέγῃ*'. v. 1 *χρόνῳ* vitiosum, *χρόα* coni. Herwerden Exerc. crit. p. 2. v. 2 *καὶ σεμνοκόπτει*] *καὶ σεμπνοκοπτει* A, *σεμνοκομπεῖν* verbum agnovit Lobeck in Phryn. p. 416, *κἀσεμνοκόμπει* scripsit Dindorf. *στέγῃ*] *τιθείς* ingeniose coni. Herwerden.

125

καὶ τούσδε κημοὺς στόματος

Schol. Ar. Eq. 1150: *Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων* '*καὶ — στόματος*'.

126

ἄκουε δ' ἀν' οὖς ἔχων

Schol. Soph. Oed. C. 674: *ἀνέχουσα· ἄνω ἔχουσα, ὡς ἐν Λυκούργῳ Αἰσχύλος* '*ἄκουε — ἔχων*' *ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων*. cf. Suidas: *ἀν' οὖς ἔχων· ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων*. Hesychius 1 p. 208: *ἄνους· ἀσύνετος. ἀνούτατος· ἄτρωτος ἐκ χειρός. Αἰσχύλος Λυκούργῳ.* ubi leg.: *ἄνους· ἀσύνετος.* ⟨*ἀν' οὖς ἔχων· ἄνω τὸ οὖς*

ἔχων.⟩ *Αἰσχύλος Λυκούργῳ.* ἀνούτατος· ἄτρωτος ἐκ χειρός. similiter ἀν' οὖς ἔχε dixit Theognis 887.

ΛΥΓΡΑ v. ΦΡΥΓΕΣ

ΜΕΜΝΩΝ

Pollux 4, 110: *ὁπότε μὴν ἀντὶ τετάρτου ὑποκριτοῦ δέοι τινὰ τῶν χορευτῶν εἰπεῖν ἐν ᾠδῇ, παρασκήνιον καλεῖται τὸ πρᾶγμα* [*ὡς ἐν Ἀγαμέμνονι Αἰσχύλου*]*· εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ὀνομάζεται, καὶ πεπρᾶχθαι φασὶν αὐτὸ ἐν Μέμνονι* (al. *ἐν Ἀγαμέμνονι*) *Αἰσχύλου.* verba *ὡς ἐν Ἀγαμέμνονι Αἰσχύλου*, quae omittit ed. Wetsteniana, delenda esse iudicat G. Dindorf. respicit hanc fabulam Ar. Ran. 963, ubi Euripidem haec dicentem facit: *οὐδ' ἐξέπληττον αὐτούς, Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.* de argumento cf. Procli Chrestom. p. 458: *Μέμνων δὲ ὁ Ἠοῦς υἱὸς ἔχων ἡφαιστότευκτον πανοπλίαν παραγίνεται τοῖς Τρωσὶ βοηθήσων, καὶ Θέτις τῷ παιδὶ τὰ κατὰ τὸν Μέμνονα προλέγει, καὶ συμβολῆς γενομένης Ἀντίλοχος ὑπὸ Μέμνονος ἀναιρεῖται· ἔπειτα Ἀχιλλεὺς Μέμνονα κτείνει. καὶ τούτῳ μὲν Ἠὼς παρὰ Διὸς αἰτησαμένη ἀθανασίαν δίδωσι.* de morte Memnonis egisse *Ψυχοστασίαν* Aeschyli coni. Hermann, qui huc referenda suspicatur fr. 300 329 405.

127

καὶ μὴν πελάζει καὶ καταψύχει πνοὴ
ἄρκειος ὡς ναύταισιν ἀσκεύοις μολών

Eust. Il. p. 1156, 18: *τὴν ἐκεῖθεν πνοὴν ἄρκιον, εἰς ὃ φέρει ἐκεῖνος χρῆσιν ταύτην 'καὶ μὴν — μολών'.* Anecd. Bekk. p. 445, 18: *καὶ τὴν πνοὴν ἄρκιον 'καὶ μὴν — πνοὴ ἄρκιος'.* Aeschylo locum vindicavit Bergk coll. Hesych. 1 p. 299: *ἀσκεύοις· ψιλοῖς, ἀπαρασκεύοις. Αἰσχύλος Ἀγαμέμνονι*, ubi *Αἰσχύλος Μέμνονι* correxit. Bergkium secuti sunt Naber in Phot. Lex. 1 p. 146 et M. Schmidt, dissentit Wecklein *Studien zu Aeschylus* p. 143. v. 2 *ἄρκιος* libri, *ἄρκειος* Lobeck Paral. p. 35. *ναύτῃσιν* Eust., *ναύταισιν* scripsi.

128

χαλκὸν ἀθέριτον ἀσπίδος ὑπερτενῆ

Anecd. Bekk. p. 353, 11: *ἀθηρής· ἴσως μὲν ὁ ἀτειρὴς* (*ἀτηρὴς* cod.) *ἢ ὁ ἀντερειστικός. Αἰσχύλος Ἀγαμέμνονι* (*Μέμνονι* Wellauer) *'χαλκὸν — ὑπερτενῆ'. ἢ ὁ λαμπρός, ὁ διὰ λαμπρότητα ἀθρούμενος· ἢ ὁ ἀθερίζων καὶ οὐδενὸς ἔχων λόγον διὰ σκληρότητα· ἢ ὁ ὀξύς, παρὰ τοὺς ἀθέρας.* cf. Hesych. 1 p. 63: *ἀθερής· ὁ σίδηρος, ἀτειρής* (*ἀτηρής* cod.), *ὅταν θερίζῃ· ἢ θεριστικός, ἢ ὁ διὰ λαμπρότητα ἀθρούμε-*

νος, ὀξύς, ἢ ἀσταχύων. p. 62: ἀθειρής· ἤτοι ἀτειρὴς ἢ ὁ ἄγαν θεριστικὸς ἢ ὑπέροπτος (l. ὑπερόπτης) ἢ θαυμαστός. Aeschylea verba certam medelam non admittunt: ἀθέριστον ἀσπίδων coni. Blomfield in Aesch. Agam. p. X, ἀθερῆ τόνδ' ἀσπίδος ⟨θ'⟩ M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 363.

129

σὺν δόρει στρατόν

Anecd. Oxon. vol. 1 p. 122, 17: δουρί· πέντε ἔχει δοτικάς. — ἡ δόρει παρ' Αἰσχύλῳ ἐν Ἀγαμέμνονι (Μέμνονι Lehrs in Herod. p. 118) 'σὺν δόρει στρατόν'.

130

γονίας

Hesych. 1 p. 442: γονίας· εὐχερής. Αἰσχύλος Ἀγαμέμνονι (Μέμνονι Wagner).

ΜΥΡΜΙΔΟΝΕΣ

Myrmidones, Nereides, Phryges eiusdem trilogiae fuisse probabiliter statuunt Welcker et alii. 'in Myrmidonibus, quantum colligi potest, Achilles, cum precibus et necessitate victus tandem Patroclum in proelium ire passus esset, isque esset ab Hectore occisus, mortuum deflebat. Nereides pugnam Achillis, qui nova a matre arma accepisset, necemque Hectoris videntur continuisse. in Phrygibus Priamus corpus filii ab Achille redemit.' *Hermann* Opusc. V p. 136. Aeschylum secutus est Accius in Myrmidonibus (Ribbeckii Trag. Lat. p. 137 sq.). Achillem sicut in Phrygibus ita in Myrmidonibus taciturnum fuisse tradit vel potius conicit Schol. Ar. Ran. 911. quem Strabo ex huius fabulae prologo versum affert, ἰὼ Κάικε κτέ., auctore Pauwio ad Μυσούς rettulimus. Euripideum illud βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέσσαρα (fr. 888) Myrmidonibus adscribitur in Scholio recenti Ar. Ran. 1400, cui loco ne hoc quidem tribuendum, ut talorum ludum in Myrmidonibus memoratum credamus.

131

Τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ,
δοριλυμάντους Δαναῶν μόχθους,
οὓς ⟨προπεπωκὼς⟩ εἴσω κλισίας
⟨θάσσεις⟩

Harpocr. p. 159, 8: προπεπωκότες, ἀντὶ τοῦ προδεδωκότες — ἐν ἀρχῇ δὲ τῶν Μυρμιδόνων Αἰσχύλος (αἰσχύλου AB) 'τάδε — κλισίας'.

Ar. Ran. 992: 'τάδε — Ἀχιλλεῦ' (v. 1). ubi Schol.: ἔστι δὲ ἀρχὴ αὕτη *Μυρμιδόνων Αἰσχύλου*. Eust. Od. p. 1941, 46: τὸ δὲ 'ταῦτά γε λεῦσσε, πάτερ φίλε' μεταλαβὼν Αἰσχύλος ἔφη τὸ 'τάδε — Ἀχιλλεῦ' (v. 1), ὃ κεῖται παρὰ τῷ κωμικῷ. v. 3 οὓς εἴσω κλισίας Harpocr., οὓς σὺ προπίνεις εἴσω κλισίας coni. Blomfield, οὓς προπεπωκὼς εἴσω κλισίας Heath. v. 4 θάσσεις addidit Dindorf.

132

Φθιῶτ' Ἀχιλλεῦ, τί ποτ', ἀνδροδάικτον ἀκούων
ἰὴ κόπον, οὐ πλάθεις ἐπ' ἀρωγάν;

Ar. Ran. 1264: 'Φθιῶτ' — ἀρωγάν'; ubi Schol.: ἔστι δὲ ἐκ *Μυρμιδόνων Αἰσχύλου*. Scholion recens: τοῦτο ἀπὸ τῶν πρέσβεων πρὸς Ἀχιλλέα Αἰσχύλος πεποίηκεν· ἔστι δὲ ἐκ Μυρμιδόνων. versum alterum repetit Aristophanes Ran. 1267 1271 1275 1277. cf. Schol. (cod. Barocc.) v. 1267: ἰστέον ὅτι τὸ 'ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν' παίζων πανταχοῦ ἐπιφέρει, κυρίως ἐκείνων τῶν ἰαμβείων ὄν, τοῦ 'Φθιῶτ' Ἀχιλλεῦ'. Schol. v. 1275 (similiter Suidas v. ἰή): ὡς ἐφυμνίῳ δὲ κέχρηται τῷ 'ἰήκοπον οὐ πελάθεις' (ἐπ' ἀρωγάν addit Suidas). verba Φθιῶτ' Ἀχιλλεῦ ad Cinesiam irridendum detorsit Strattis (Com. 2 p. 769) teste Athenaeo XII p. 551 D, qui causam addit parum probabilem, διὰ τὸ ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ 'Φθιῶτα' λέγειν. v. 1 Ἀχιλλεῦ] Ἀχιλεῦ Aristophanis libri deteriores. v. 2 ἰήκοπον libri, ἰὴ κόπον Heath. πλάθεις pro πελάθεις scripsi *Mélanges Gréco-Rom.* III p. 51.

133

δεκέμβολος

Schol. Ar. Av. 1256: τριέμβολον — μήποτε δὲ καὶ πλοίου τις ἦν κατασκευή. καὶ γὰρ δεκέμβολον Αἰσχύλος εἶπε τὴν τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσιν. similiter Suidas v. τριέμβολον.

134

ἀπ' αἰετὸς δὲ ξουθὸς ἱππαλεκτρυὼν
στάζει . . θέντων φαρμάκων πολὺς πόνος

Ar. Pac. 1177: κἆτα φεύγει πρῶτος ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν τοὺς λόφους σείων. ubi Schol. cod. Ven.: τοῦ παρ' Αἰσχύλῳ πολλάκις (l. ἐν Μυρμιδόσι) κληθέντος ἱππαλεκτρυόνος, ὃν ἀεὶ κωμῳδοῦσι λεχθέντα ἐν Μυρμιδόσι (l. πολλάκις) μέμνηται. ἄλλως. ὁ Αἰσχύλος 'ἀπὸ δ' αὖτε — πόνος'. Ar. Av. 800: εἶτ' ἐξ οὐδενὸς μεγάλα πράττει, κἀστὶ νυνὶ ξουθὸς ἱππαλεκτρυών. ubi Schol. v. 799: παρὰ τὰ γραφέντα ἐκ Μυρμιδόνων Αἰσχύλου. Ar. Ran. 932: ΔΙΟΝ. ἐγὼ γοῦν

ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐστιν ὄρνις. ΑΙΣΧ. *σημεῖον ἐν ταῖς ναυσίν, ὠμαθέστατ', ἐνεγέγραπτο.* ubi Schol.: *προείρηται ὅτι ἐκ τῶν Μυρμιδόνων ἐστὶν ἐπὶ νεὼς 'ἐπὶ — ἱππαλεκτρυών'* (v. 1). v. 1 *ἀπὸ δ' αὖτε* Schol. Ar. Pac., *ἐπὶ δ' αἰετὸς* Schol. Ar. Ran., *ἐπ' αἰετὸς δὲ* scripsi. *ἱππαλεκτρυόνας* Aeschyleos commemorat etiam Ar. Ran. 937 (cf. fr. 444). v. 2 *στάζει κηρόθεν τῶν* cod. Ven. secundum Dindorfium, *στάζει κηρ.θέντων* secundum Bekkerum, *στάζει κριθέντων* coni. Hermann.

135

σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπῃδέσω,
ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

Ath. XIII p. 602 E de puerorum amore disserens: *Αἰσχύλος τε καὶ Σοφοκλῆς ἀναφανδὸν ἔφασαν, ὃ μὲν ἐν Μυρμιδόσι 'σέβας — φιλημάτων', ὃ δ' ἐν Κολχίσι κτέ.* Plut. Amator. c. 5 p. 751 C: *πρόσλαβε δὲ τῷ Σόλωνι καὶ τὸν Αἰσχύλον λέγοντα 'σέβας — φιλημάτων'.* v. 2 sine poetae et fab. nom. habet Plutarchus de adul. et amico c. 19 p. 61 A. locum respicit Athenaeus XIII p. 601 A: *καὶ Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὃ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὃ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν παίδων.* item Plat. Sympos. p. 180 A: *Αἰσχύλος δὲ φλυαρεῖ φάσκων Ἀχιλλέα Πατρόκλου ἐρᾶν, ὃς ἦν καλλίων οὐ μόνον Πατρόκλου, ἀλλὰ καὶ τῶν ἡρώων ἁπάντων καὶ ἔτι ἀγένειος, ἔπειτα νεώτερος πολύ, ὥς φησιν Ὅμηρος.* v. 1 *ἅγιον* Ath., om. Plut., *ἁγνὸν* Canter. *οὐκ ἐπῃδέσω* Athen., *οὐ κατῃδέσω* Plut. v. 2 *πυκνῶν*] *πικρῶν* Plut. p. 751.

136

μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία

Lucianus Amor. c. 54 vol. 2 p. 457: *οὐδὲ γὰρ ὁ Πάτροκλος ὑπ' Ἀχιλλέως ἠγαπᾶτο μέχρι τοῦ καταντικρὺ καθέξεσθαι — ἀλλ' ἦν καὶ τῆς ἐκείνων φιλίας μεσῖτις ἡδονή· στένων γοῦν Ἀχιλλεὺς τὸν Πατρόκλου θάνατον ἀταμιεύτῳ πάθει πρὸς τὴν ἀλήθειαν ἀπερράγη, 'μηρῶν — ὁμιλία' κλαίων* (*καλλίω* vel *καλλίων* libri, correxit Dobree). Aeschyleum esse versum iudicavit Porson in Eur. Med. 750, Sophocleum M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 356.

137

καὶ μήν, φιλῶ γάρ, ἀβδέλυκτ' ἐμοὶ τάδε

Anecd. Bekk. p. 321, 22 et Suidas: *ἀβδέλυκτα — ἃ οὐκ ἄν τις βδελυχθείη καὶ δυσχεράνειε. τραγικωτέρα δὲ ἡ λέξις. Αἰσχύλος Μυρ-*

μιδόσιν (*Μυρμ.* om. Anecd. Bekk.) '*καὶ — τάδε*'. similiter Zon. Lex. p. 9, ubi poetae et fabulae nomen om., sicut in Anecd. Paris. vol. 4 p. 85, 23. locum spectat Hesych. 1 p. 6: *ἀβδέλυκτα· ἀμίαντα. φιλῶ γε κἀβδέλυκτ'* Bekker. *ἀβδέλυκτ' ἐμοὶ*] *ἀβδέλυκτά μοι* Anecd. Paris.

138

Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον· τἀμὰ γὰρ διοίχεται.

Ar. Eccl. 392: *Ἀντίλοχ' — διοίχεται.* ubi Schol. (cf. Suid. v. *ἀποίμωξόν με*): *παρὰ τὸ ἐξ Αἰσχύλου Μυρμιδόνων* '*Ἀντίλοχ' — μᾶλλον*'. etiam verba *τἀμὰ γὰρ διοίχεται* ex Aeschylo repetita esse vidit Gataker. v. 1 *τοῦ τεθνηκότος*] *τοῦ τριωβόλου* iocans sufficit Aristophanes. verba sunt Achillis, cui Patrocli interfecti nuntium attulit Antilochus.

139

ὧδ' ἐστὶ μύθων τῶν Λιβυστικῶν κλέος,
πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν
εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος·
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
ἁλισκόμεσθα.

Ar. Av. 808: *ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον·* '*τάδ' — πτεροῖς*' (v. 4). ubi Schol. v. 807: *κατὰ τὸν Αἰσχύλον*] *ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν* '*ὡς — ἁλισκόμεθα*'. *πεποίηκε γὰρ ὁ Αἰσχύλος αἰετὸν τετρωμένον λέγοντα ταῦτα, ἐπειδὴ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἐμπεπαρμένον αὑτῷ.* Schol. v. 808: *ὅλον τοῦτο ἐκ Μυρμιδόνων Αἰσχύλου.* ex Scholiis haec repetit Suidas v. *ταυτὶ μέν* et (quo loco v. 1 om.) v. *οὐχ ὑπ' ἄλλων.* Diogenianus praef. p. 180: *Λιβυκὸς δὲ αἶνος ἀπὸ τοῦ ἔθνους εἰρῆσθαι λέγεται ἀπὸ Λίβυός τινος· οἱ δὲ Κύβισσον εὑρετὴν γενέσθαι τοῦ εἴδους τούτου, ὡς Αἰσχύλος διασαφεῖ* '*ὧδ' — κλέος*' (v. 1). v. 1 *ὧδ'* Diog., *ὡς δὲ* Schol. Ar., *ὅδ'* Suid. *Λιβυστικῶν*] *Λιβυκῶν τὸ* Diog. *κλέος*] *λόγος* Schol. Ar. et Suid. v. 3 *μηχανὴν*] *τὴν μηχανὴν τοῦ* Suidas v. *οὐχ ὑπ' ἄλλων.* v. 4 multi respiciunt. Ath. XI p. 494 B: *καὶ ταῦτα οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς σαυτοῦ πτεροῖς κατὰ τὸν θαυμάσιον Αἰσχύλον ἁλίσκῃ.* Aristides vol. 2 p. 17: *εἰ δ' αὖ βούλει, τὸ τοῦ Αἰσχύλου, τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτοῦ πτεροῖς, ἃ θρυλεῖς ἐν ἐκείνοις τοῖς λόγοις, ἁλίσκῃ.* Dionysius Hal. de admir. vi Demosth. c. 7 vol. 6 p. 971: *τὰ νῦν γὰρ οὐκέτι πόρρω διθυράμβων τινῶν φθέγγομαι· ⟨τάδ' οὐχ ὑ⟩π' ἄλλων, ⟨ἀλλὰ⟩ τοῖς αὑτῶν λόγοις ἁλισκόμεθα ⟨κατὰ τὴν τραγῳδί⟩αν, δαιμονιώτατε Πλάτων* (ita locum

mutilum restituit Porson). Galenus vol. 5 p. 395: καὶ τάχ' οὐχ ὑπ' ἄλλων ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεθα. Philo Iud. vol. 2 p. 501: τὰ δ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμενα, φησὶν ὁ τραγικός. Eust. Il. p. 632, 35: καὶ ταῦτα οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτοῦ, τραγῳδικῶς εἰπεῖν, ἁλισκόμενον πτεροῖς. cf. Suid. v. πάγας (Schol. Aesch. Ag. 822 p. 509 ed. Dind.): καὶ τοῦτο δήπου τὸ Αἰσχύλου, τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν καὶ ἐνσχεθεὶς ταῖς πάγαις, ἃς ἄλλοις ὑφῆκε*). v. 5 ἁλισκόμεθα plerique, ἁλισκόμεσθα Suidas v. ταυτὶ μέν.

140

ὅπλων ὅπλων δεῖ

Ar. Av. 1420: πτερῶν πτερῶν δεῖ· μὴ πύθῃ τὸ δεύτερον. ubi Schol: παρὰ τὸ Αἰσχύλου ἐκ Μυρμιδόνων 'ὅπλων ὅπλων δεῖ'.

141

ἀγρέμονα

Hesych. 1 p. 31: ἄγρεμον (ἀγρέμονα Alberti)· τὸν κάμακα, ἀπὸ τοῦ αἱρεῖν (l. ἀγρεῖν) καὶ λαμβάνειν, ἤγουν ἀγρεύειν· ἢ λαμπάδα, ἢ δόρυ. Αἰσχύλος δὲ Μυρμιδόσιν (μυρμή cod.) ἀγρέμονα τὸν ἐπιμήνιον. 'rectius fortasse scriptum est apud Favorinum Αἰσχύλος ἐν Μυρμιδόσιν. tum nova glossa est ἀγρέμονα τὸν ἐπιμήνιον'. *Hermann.*

142

ἐγκουράδι

---

*) Similiter alii locuti sunt, fortasse et ipsi Aeschyleorum verborum memores. ἠγνόουν ὁ δείλαιος τοῖς ἐμαυτοῦ πτεροῖς ἁλισκόμενος Gregorius Nyss. Epist. 1 in Gallandi Bibl. Patr. vol. 6 p. 626 C. τοῖς ἑαυτοῦ πτεροῖς ἑάλως Procopius Gaz. Epist. 121 p. 581 ed. Herch. τάχ' ἂν γὰρ ἁλοίης τοῖς ἅρμασι τοῖς σαυτοῦ καὶ οὐ τοῖς πτεροῖς Aristides vol. 2 p. 319. τοῖς οἰκείοις πτεροῖς καὶ λόγοις ἁλίσκῃ Aristides vol. 2 p. 624. τοῖς οἰκείοις, ὅ φασίν, ἑαλωκότα πτεροῖς Eust. Od. p. 1800, 25. μόλις μέν, νοῦν δὲ ὅμως ἔσχον ὡς τοῖς οἰκείοις ἑάλωσαν πτεροῖς Ioh. Cantac. Hist. 2, 21 p. 435, 10. τοῖς σοῖς ἁλίσκῃ πτεροῖς μὲν οὖν οὐκ ἂν εἴποιμι, τέως δὲ λόγοις Georg. Pachym. Declam. p. 104. τοῖς οἰκείοις ἁλώσῃ πτεροῖς Schol. Lucian. p. 118. τοῖς ἰδίοις κατὰ τὴν παροιμίαν ἑάλωσαν πτεροῖς Zacharias Mityl. p. 139. ἡττωμένους ἐν ἅπασι καὶ οἰκείοις, τὸ τοῦ λόγου, πτίλοις (πίλοις ed.) ἁλισκομένους Vita Maximi Conf. vol. 1 p. XVIII. οὕτω μὲν οὗτοι σφῶν ἁλίσκονται λόγοις Greg. Naz. vol. 2 p. 188 C. τοῖς οἰκείοις λόγοις ἁλίσκονται Phot. Epist. 43 p. 339. τοῖς ἐμοῖς, τὸ τοῦ λόγου, κατ' ἐμοῦ κέχρηται πτεροῖς Heliodorus 2, 33. τοῖς οἰκείοις γάρ, φησί (sc. Iulianus fr. 9 Hertl.), πτεροῖς κατὰ τὴν παροιμίαν βαλλόμεθα Theodoretus Hist. eccl. 3, 4 vol. 3 p. 921. ἐμοῖς πτεροῖς, ἐβόησεν, ἐγὼ νῦν κατεβλήθην Tzetzes Chil. 9, 168 (cf. Babr. fab. 146 Eberh.).

Hesych. 2 p. 9: *ἐγκουράδες· τὰ ἐν τῷ προσώπῳ στίγματα, καὶ οἱ ἐν ταῖς ὀροφαῖς γραφικοὶ [προσώπων] πίνακες. ἔστι γὰρ κουρὰς ἡ κορυφὴ* (*ὀροφὴ* Struve) *καὶ ὁ γραπτὸς πίναξ. ἐγκούρας δὲ ὁ γεγραμμένος Αἰσχύλος Μυρμιδόσιν. εἰ μὴ ἄρα ἰσοδυναμεῖ, ὡς κότῳ* (*κοτῶ* coni. M. Schmidt) *καὶ ἐνεκότουν παρὰ Σοφοκλεῖ.* ubi *καὶ ὁ γραπτὸς πίναξ ἐν κουράδι λέγεται γεγραμμένος* coni. M. Schmidt. Hesych. 2 p. 525: *κουράς· ἡ ἐν τοῖς ὀροφώμασι* (*ὀροφήμασι* cod.) *γραφή, ὀροφικὸς πίναξ. παρὰ δὲ Αἰσχύλῳ ἐν Μυρμιδόσιν ἀμφιβάλλεται* (*ἀμφιβάλλει* cod., em. Hermann) *ἐνκουράδι. ἔστι δὲ ἐγκουρὰς ὀροφικὸς πίναξ.* 'apparet dubitasse grammaticos, utrum *ἐγκουράδι* an *ἐν κουράδι* scripsisset Aeschylus'. *Hermann.*

ΜΥΣΟΙ

De Aeschylea fabula intellegunt locum Aristotelis Poet. c. 24 p. 1460 a 32: *τούς τε λόγους μὴ συνίστασθαι* (sc. *δεῖ*) *ἐκ μερῶν ἀλόγων, ἀλλὰ μάλιστα μὲν μηδὲν ἔχειν ἄλογον, εἰ δὲ μή, ἔξω τοῦ μυθεύματος, ὥσπερ Οἰδίπους τὸ μὴ εἰδέναι πῶς ὁ Λάιος ἀπέθανεν, ἀλλὰ μὴ ἐν τῷ δράματι, ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ τὰ Πύθια ἀπαγγέλλοντες ἢ ἐν Μυσοῖς ὁ ἄφωνος ἐκ Τεγέας εἰς τὴν Μυσίαν ἥκων.* ubi *ὁ ἄφωνος* dicitur Telephus, cf. Amphis Com. 3 p. 313: *ἔκυψεν ὥσπερ Τήλεφος πρῶτον σιωπῇ. καὶ δικαίως τοῦτό γε· ἅπαντες ἀνδροφόνοι γάρ εἰσιν ἑνὶ λόγῳ.* Alexis Com. 3 p. 467: *δειπνεῖ δ' ἄφωνος Τήλεφος νεύων μόνον πρὸς τοὺς ἐπερωτῶντάς τι.*

143

Ἰὼ Κάικε Μύσιαί τ' ἐπιρροαί

Strab. XIII p. 616: *ῥεῖ δ' ἐκ τοῦ Τήμνου ποταμὸς Μύσιος ἐμβάλλων εἰς τὸν Κάικον ὑπὸ ταῖς πηγαῖς αὐτοῦ, ἀφ' οὗ δέχονταί τινες εἰπεῖν Αἰσχύλον κατὰ τὴν εἰσβολὴν τοῦ ἐν Μυρμιδόσι προλόγου* '*ἰὼ — ἐπιρροαί*'. Macrobius Sat. 5, 20, 16: *uliginosa — universae Mysiae arva, adhiberi potest testis Aeschylus,* '*ἰὼ — ἐπιρροαί*'. poetae et fab. n. om. Schol. Hephaest. p. 176 et qui versum graviter corruptum exhibet Marius Plotius in Keilii Gramm. Lat. VI p. 518, 7. Strabonem aut scripsisse aut debuisse scribere *ἐν Μυσοῖς* vidit Pauw.

144

ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών,
εὐχαῖς δὲ σῴζοις δεσπότας παιωνίαις.

Phot. Lex. p. 344, 19 et Suid. v. *ὀργεῶνες*: — *ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτως καλοῦσιν — ὁ Αἰσχύλος ἐν Μυσοῖς τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων* '*ποταμοῦ — παιωνίαις*'. Harpocr. v. *ὀργεῶνας* p. 139, 4: *οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ*

τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μυσοῖς (μύσταις BC). v. 2 σωίζοις Phot., σώσεις (vel δώσεις et δώσοις) Suid.

145

Οἶος

Stephanus Byz. p. 487, 5: *Οἶος, πολίχνιον Τεγέας. Αἰσχύλος Μυσοῖς.*

ΝΕΑΝΙΣΚΟΙ

Tetralogiae Lycurgeae fabula tertia, cf. fr. 61. *Νεανίσκους* Hermann dici suspicatur iuvenes Edonos recepto novi dei cultu sacra Bacchica celebrantes.

146

αὔρας ὑπηκόοισιν ἐν ψυκτηρίοις

Ath. XI p. 503 C: *Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαι φησὶ ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι. Αἰσχύλος Νεανίσκοις* '*σαύρας — ψυκτηρίοις*'. *αὔρας* pro *σαύρας* scripsit Valckenaer in Eur. Hipp. 199. *ὑπηκόοισιν* A, *ὑποσκίοισιν* C (?), *ὑπηνέμοισιν* requiri arbitror. *ψυκτηρίοισιν* A.

147

ἀρείφατον λῆμα

Hesych. 1 p. 276: *ἀρείφατον λῆμα· ἰσχυρόν, ἀντὶ τοῦ Ἄρει ἐοικός* (*ἀντιάρει ἐοικώς* codex). *Αἰσχύλος Νεανίσκοις.* Etym. M. p. 139, 20: *ἀρείφατος ὁ πολεμικὸς — ἢ ὁ πεφονευμένος.* ubi cod. Flor. in Milleri *Mélanges de litt. gr.* p. 41 addit: *ἔχομεν δὲ τὴν χρῆσιν παρ' Αἰσχύλῳ ἐν Νεανίσκοις· καὶ καρτερικὸς καὶ πολεμικὸς ἀρείφατος.* quae extrema verba facile patet esse grammatici *ἀρείφατος* vocabulum interpretantis.

148

ἀφοίβαστον

Hesych. 1 p. 337: *ἀφοίβατον· ἀκάθαρτον* (*ἀνακάθαρτον* codex). *Αἰσχύλος Νεανίσκοις.* corrigunt *ἀφοίβαντον* sicut scribitur Eum. 237, quae forma mihi vitiosa videtur; potius *ἀφοίβαστον* legendum cum Salmasio.

149

Ὀκτώπας

Phot. Lex. p. 326, 15: *Ὀκτώπαν ποταμὸν Αἰσχύλος διαπέπλακε Νεανίσκοις.* ubi *διαπέπλακε* pro *διαπέπλευκε* scripsit Cobet V. L.

p. 121, *πέπλακε* formam iam Friebel Satyrogr. p. 137 agnoverat, fortasse praestat *ἀναπέπλακε*. Hesych. 3 p. 194: *Ὀκτώπας· ποταμός*.

ΝΕΜΕΑ

Respicitur haec fabula, cuius notitiam uni debemus dramatum catalogo, in Schol. Pind. Nem. prol. p. 9: *τὰ Νέμεα φασὶν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ — ἄλλοι δέ, ὧν ἔστι καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ τῷ Νεμέας παιδί.* Hermanno eiusdem trilogiae Nemea fuisse videtur atque Hypsipyle: cf. Apollod. 3, 6, 4.

ΝΗΡΕΙΔΕΣ

Vide quae de Myrmidonibus diximus p. 42.

150

δελφινοφόρον πεδίον πόντου
διαμειψάμεναι

Schol. Eur. Phoen. 209: *ἀκάρπιστα δὲ πεδία τὴν θάλασσαν φησίν — καὶ Αἰσχύλος Νηρεῖσι 'δελφίνορον — διαμειψάμεναι'.* v. 1 *δελφίνορον* MTAB, *δελφίνηρον* Pal. 343, *δελφινοφόρον* Barnes, ego *δελφινόνομον* malim. *πόντου πεδίον* coni. Valckenaer.

151

ἐναροκτάντας δὲ φθογγ . . . κότος ὑψοῦ
τέλος ἀθανάτων ἀπολείψει

Hesych. 2 p. 86 sq.: *ἐναραφόρος· σκυλοφόρος. 'ἐναροκτάντας — ἀπολέψει'. Αἰσχύλος ἐν Νηρεῖσιν. οἱ ὑπομνηματισταὶ παρὰ τὸ 'οὐχ ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι'* (Od. χ 412), *ἵνα ᾖ ὁ νοῦς, ὁ δὲ ἐναροκτάντας θάνατός μοι* (*θάνατον μὴ* cod.) *ἐπικαυχώμενος τὸ ἐκ τῶν θεῶν τέλος ὑψοῦ ἀπολείψει, τὰ τῶν ἀθανάτων ὕψη, καὶ ἐπὶ τοὺς ἐχθροὺς ἥξει.* Eust. Il. p. 437, 20: *ἐκ τοῦ ἐναίρειν καὶ κτείνειν ἐναροκτάντας ὁ θάνατος.* v. 1 *ἐναροκτάντας δὲ φθόνος αὐχαῖς ἔγκοτος ὑψοῦ* coni. Hermann. v. 2 *ἀπολέψει* cod., *ἀπολείψει* Musurus. Aeschylum addidisse *ἥξει τ' ἐχθρούς* ex Hesychii interpretatione *καὶ ἐπὶ τοὺς ἐχθροὺς ἥξει* collegit Hermann.

152

κάμακος εἶσι κάμακος γλώσσημα διπλάσιον

Schol. Pind. Nem. 6, 85: *δίκρουν γὰρ ὥστε δύο ἀκμὰς* (*αἰχμὰς* Hermann) *ἔχειν καὶ μιᾷ βολῇ* [*ὥστε*] *δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρεῖσι 'κάμακος — διπλάσιον'. κάμακος δ' εἶσιν*

γλώσσημα διπλοῦν (vel *δικροῦν*) coni. Hermann, *εἰσιν κάμακος γλώσσημα διπλοῦν* Bothe. *ἱεὶς* pro *εἰσι* scribi voluit Heimsoeth.

153

λεπτὸς δὲ σινδὼν ἀμφιβαλλέσθω χροΐ

Excerpta ex libris Herodiani technici ed. A. Hilgard p. 22, 31: *σινδών σινδόνος· λέγεται γὰρ καὶ ἀρσενικῶς ἐν Νηρηίσι* (*ἐν νηρήισι* cod.) *παρ' Αἰσχύλῳ 'λεπτὸς — χροΐ'*. Achillis haec esse verba coni. Ed. Hiller coll. Il. *Σ* 343 et 352.

154

ἀθήρ

Hesych. 1 p. 80: *ἀθήρ· ἐπιδορατίς, μεταφορικῶς. Αἰσχύλος Νηρεῖσι* (*νηρεῖ* codex). Eust. Il. p. 1206, 10: *ὅτι δὲ ἀθὴρ καὶ ἐπιδορατὶς λέγεται ἀπὸ μεταφορᾶς τῶν ἀσταχύων, δηλοῦσιν οἱ παλαιοί.* Anecd. Bekk. p. 353, 17: *λέγεται δὲ καὶ ἡ ἐπιδορατὶς ἀθήρ.*

NIOBH

De mytho cf. Hyginus fab. 9 Apollod. 3, 5, 6 Schol. Il. *Ω* 602 Ov. Met. 6, 146 sqq. Niobidarum numerum ex Aeschylo commemorat Scholion Eur. Phoen. 159: *περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς φησὶν Εὐριπίδης ἐν Κρεσφόντῃ 'καὶ δὶς ἕπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν'. ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀριστοφάνης δὲ ἐν Δράμασιν ἢ Νιόβῳ.* Vita Aeschyli p. 3, 10 (Westerm. *Βιογρ.* p. 119, 35): *διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων κωμῳδεῖται παρ' Ἀριστοφάνους* (*παρ' Ἀριστοφάνει* coni. Bergk Hermae vol. 18 p. 483). *ἐν μὲν γὰρ τῇ Νιόβῃ* ⟨*Νιόβη*⟩ (*Νιόβη* addidit Bothe) *ἕως τρίτου μέρους ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη· ἔν τε τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα.* Ar. Ran. 911: *πρώτιστα μὲν γὰρ ἕνα τιν' ἂν καθῖσεν ἐγκαλύψας, Ἀχιλλέα τιν' ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς, πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.* Schol. Aesch. Prom. 436: *σιωπῶσι γὰρ παρὰ ποιηταῖς τὰ πρόσωπα ἢ δι' αὐθάδειαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ Σοφοκλέους**), *ἢ διὰ συμφοράν, ὡς ἡ Νιόβη παρ' Αἰσχύλῳ.* Eust. Od. p. 1941, 1: *καὶ γάρ τοι παρὰ Αἰσχύλῳ κάθηνταί που πρόσωπα σιωπῶντα ἐφ' ἱκανὸν κατὰ σχῆμα ἢ πένθους ἢ θαυμασμοῦ ἤ τινος ἑτεροίου πάθους.* Eust. Il. p. 1343, 62: *ὁ Σικυώνιος Τιμάνθης* (*Σημάνθης* ed.) *τὴν ἐν Αὐλίδι γράφων σφαγὴν*

---

*) Immo *Aeschyli*, quod intellexit Menagius. *Σοφοκλέους* nomen falso delebat Bergk Herm. vol. 18 p. 481 sq.

τῆς Ἰφιγενείας ἐκάλυψε τὸν Ἀγαμέμνονα, ὅπερ καὶ Αἰσχύλος μιμησάμενος τήν τε Νιόβην καὶ ἄλλα πρόσωπα ὁμοίως ἐσχημάτισε. corruptus est locūs Aristotelis Poet. c. 18 p. 1456 a 17: *χρὴ δὲ — μὴ ποιεῖν ἐποποιικὸν σύστημα τραγῳδίαν· ἐποποιικὸν δὲ λέγω τὸ πολύμυθον, οἷον εἴ τις τὸν τῆς Ἰλιάδος ὅλον ποιοῖ μῦθον. ἐκεῖ μὲν γὰρ διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος, ἐν δὲ τοῖς δράμασι πολὺ παρὰ τὴν ὑπόληψιν ἀποβαίνει. σημεῖον δέ, ὅσοι πέρσιν Ἰλίου ὅλην ἐποίησαν καὶ μὴ κατὰ μέρος, ὥσπερ Εὐριπίδης Νιόβην**), *καὶ μὴ ὥσπερ Αἰσχύλος, ἢ ἐκπίπτουσιν ἢ κακῶς ἀγωνίζονται, ἐπεὶ καὶ Ἀγάθων ἐξέπεσεν ἐν τούτῳ μόνῳ.* Ar. Vesp. 579 ad Sophocleam *Νιόβην* rettulerim. verba a Laertio Diogene 7, 28 (Suid. v. *αὔεις*) tradita,

ἔρχομαι, τί μ' αὔεις;

(vitiose *τί με ἄγεις* Stob. Flor. 7, 45, quem locum emendavit Meineke, non minus vitiose *τί με βοᾷς* Lucian. Macrob. 19 vol. 3 p. 222) neque Aeschylo tribui debebant nec Sophocli; Timothei potius esse docet Macho Ath. VIII p. 341 C: *ὁ Τιμοθέου Χάρων σχολάζειν οὐκ ἐᾷ οὐκ τῆς Νιόβης, χωρεῖν δὲ πορθμίδ' ἀναβοᾷ, καλεῖ δὲ μοῖρα νύχιος.* ambiguum est iudicium de glossa Phot. Lex. p. 301, 15: *νοβακκίζειν· τὸ ὀρχούμενον τοῖς δακτύλοις ἐπιψοφεῖν· σεισμὸς Νιόβη*, ubi *νιβατίζειν* coni. Friebel Satyrogr. p. 137 sq. et in fine *Αἰσχύλος Νιόβῃ* cum Ruhnkenio scripsit Naber.

155

Ἴστρος τοιαύτας παρθένους ἐξεύχεται
τρέφειν ὅ θ' ἁγνὸς Φᾶσις

Hephaest. p. 7 etiam in media voce diphthongum nonnunquam corripi docens: *Αἰσχύλος ἐν Νιόβῃ* '*Ἴστρος τοιαύτας παρθένους λοχεύεται*' (v. 1). Priscianus Inst. 1, 52 vol. 1 p. 38, 17: *oe quoque idem patitur* (corripitur) *apud Graecos. Aeschylus* '*Ἴστρος — λοχεύεται*'. eundem versum 1 sine poetae et fabulae nomine afferunt Eust. Od. p. 1665, 38 Gramm. fragm. post Prisciani Inst. librum V ed. Hertz. vol. 1 p. 192 Schol. Soph. Oed. R. 1264 ed. Dind. p. 46, denique teste Herwerdeno (Soph. Oed. R. p. 214) Tzetzes in Aristoph. Plut. 11 et 116. *οἶστρος τοιαύτης παρθένου* deteriores Hephaestionis libri, *οἶστρος τοιάσδε παρθένους* fragm. gramm. *λοχεύεται* plerique, *μαιεύεται* Hephaest. ed. Ald., *μνηστεύεται* Eust., *ἐξεύχεται* et quae accedunt verba unus servavit Choerob. Exeg. in Hephaest. Enchir. p. 41, 10: *ἰστέον δὲ ὅτι οὐχ οὕτως ἔχει πᾶσα ἡ χρῆσις κατὰ τὸ τέλος, ἀλλὰ* '*Ἴστρος τοιαύτας παρθένους ἐξεύχεται τρέφειν ὅ θ' ἁγνὸς Φᾶσις*'.

---

*) Non probari hoc loco Niobam scriptam esse ab Euripide recte iudicavit Valckenaer Diatr. p. 13. *Νιόβην* in *ἢ Θηβαΐδα* mutandum videtur, cf. M. Schmidt *Aristoteles über die Dichtkunst* (Ien. 1875) p. 41.

156

. . θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ.

Plato Rei publ. II p. 380 A (quem locum repetit Eusebius P. E. XIII p. 643 C): οὐδ' αὖ, ὡς Αἰσχύλος λέγει, ἐατέον ἀκούειν τοὺς νέους ὅτι 'θεὸς — θέλῃ', ἀλλ' ἐάν τις ποιῇ ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι, τὰ τῆς Νιόβης πάθη κτέ. Aeschylea verba om. poetae et fabulae nom. afferunt Plut. de audiendis poetis c. 17 p. 17 B de communibus sent. c. 14 p. 1065 E Stob. Flor. 2, 7 (quam eclogam habet Trinc., om. SMA). v. 1 θεὸς μὲν ⟨αὐτὸς⟩ temptabam.

157

ἐφημένη
τάφον τέκνοις ἐπῷζε τοῖς τεθνηκόσιν

Hesych. 2 p. 180: ἐπώζειν· ἐπικαθῆσθαι τοῖς ᾠοῖς. Αἰσχύλος Νιόβῃ μεταφορικῶς 'ἐφημένη — τεθνηκόσιν'. v. 1 ἐφιμένη cod., ἐφημένη Musurus. v. 2 τάφῳ Musurus. ἔπωζε Hesychius, scripsi ἐπῷζε, *lamentabatur*.

158

σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδόν,
Βερέκυντα χῶρον, ἔνθ' Ἀδραστείας ἕδος
Ἴδη τε μυκηθμοῖσι καὶ βρυχήμασιν
ἔρπουσι μήλων, πᾶν δ' ἐρέχθει πέδον.

Strab. XII p. 580: λέγεται δέ τινα φῦλα Φρύγια οὐδαμοῦ δεικνύμενα, ὥσπερ οἱ Βερέκυντες. καὶ Ἀλκμὰν λέγει 'Φρύγιον ηὔλησε μέλος τὸ Κερβήσιον'. καὶ βόθυνός τις λέγεται Κερβήσιος ἔχων ὀλεθρίους ἀποφοράς· ἀλλ' οὗτός γε δείκνυται, οἱ δ' ἄνθρωποι οὐκέθ' οὕτω λέγονται. Αἰσχύλος δὲ συγχεῖ ἐν τῇ Νιόβῃ· φησὶ γὰρ ἐκείνη μνησθήσεται (μνησθήσεσθαι Casaubonus) τῶν περὶ Τάνταλον 'οἷς ἐν Ἰδαίῳ πάγῳ Διὸς πατρῴου βωμός ἐστι' (fr. 162, 2 et 3). καὶ πάλιν 'Σίπυλον Ἰδαίαν ἀνὰ χθόνα' (fr. 163). καὶ ὁ Τάνταλος λέγει 'σπείρω — πέδον'. Plut. de exilio c. 10 p. 603 A: τί γὰρ ἡ πλατεῖα χώρα πρὸς τὸν ἄλυπον βίον; οὐκ ἀκούεις τοῦ Ταντάλου λέγοντος ἐν τῇ τραγῳδίᾳ 'σπείρω — χῶρον' (v. 1 et 2), εἶτα μετ' ὀλίγον λέγοντος 'θυμὸς — ἄγαν' (fr. 159); Plut. cum principibus esse philosophandum c. 3 p. 778 B sine poetae et fab. nom.: 'σπείρω — χῶρον'. v. 3 Ἴδη Casaubonus, Ἴδης libri. v. 4 ἕρπουσι vitiosum, πρέπουσα coni. Wellauer, πρέπουσι H. L. Ahrens, βρέμουσι Casaubonus. ἐρέχθει Cglrvw, ἐρέχθεον Dhi, ἐπιρροθεῖ coni. Goerlitz (v. Spitzn. in

Hom. Il. IV p. CXVI), ἐρέχθεται Meineke Vind. Strab. p. 198 sq., qui tamen πᾶν τ' Ἐρέχθειον πέδον praefert.

159

οὑμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω
ἔραζε πίπτει καί με προσφωνεῖ τάδε·
γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν.

Plut. de exilio c. 10 p. 603 A, quem locum in fr. 158 attulimus. v. 1 θυμὸς δέ ποθ' ἁμὸς libri, οὑμὸς δὲ πότμος Porson.

160

καὶ δόμους Ἀμφίονος
καταιθαλώσω πυρφόροισιν αἰετοῖς

Ar. Av. 1247: ἆρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα μέλαθρα μὲν αὐτοῦ 'καὶ δόμους — αἰετοῖς;' ubi Schol.: καὶ δόμους Ἀμφίονος] ἐκ Νιόβης Αἰσχύλου. ἐξέρριπται (ἐνέρραπται Hermann) δὲ τὸ Ἀμφίονος (δέ τ' ἀμφίονος cod.) ἐκ μονῳδίας (παρῳδίας Hermann). in his quid Aeschyleum sit, quid Aristophanes mutarit, parum constat.

161

μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ,
οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων ἄνοις,
οὐδ' ἔστι βωμὸς οὐδὲ παιωνίζεται·
μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ.

Stob. Flor. 118, 1: Αἰσχύλου Νιόβης (eclogam habet S, om. MA). 'μόνος — ἀποστατεῖ'. Schol. A Il. *I* 158 (cf. Eust. Il. p. 744, 3): ἐν οὐδεμιᾷ πόλει Ἅιδου βωμός ἐστιν. Αἰσχύλος φησὶν 'μόνος — παιωνίζεται' (v. 1—3). versum primum repetit Ar. Ran. 1392, ubi Scholion recens ad v. 1386: τὸ δ' ἑξῆς ἐκ Νιόβης Αἰσχύλου. eundem versum sine fab. nom. afferunt Schol. Soph. El. 139 et Suidas v. θανατῶν, v. μόνος θεῶν, v. πάγκοινος, sine poetae et fab. nom. Schol. Eur. Alc. 55. v. 1 θεῶν γὰρ] γὰρ θεῶν Schol. Soph. et Schol. Eur., θεῶν γε Suidas v. πάγκοινος, θεῶν (γὰρ om.) Suidas v. μόνος θεῶν et Eust. v. 2 οὐδ' — οὐδ' Schol. Il. et Eust., οὔτ' — οὔτ' Stob. οὔτ' ἄν τι θύων οὔτε τι σπένδων coni. Blaydes in Soph. Phil. p. 11. ναοῖς Stob., λάβοις Schol. Il. et Eust., ἄνοις Dobree Adv. 2 p. 30 sq. huc rettulerim Anecd. Bekk. p. 406, 9: ἄνοις· ἀντὶ τοῦ ἀνύοις. Φρύνιχος (grammaticus, nisi fallor). v. 3 οὐ βωμός ἐστιν Stob., οὐδ' ἔστι βωμὸς Schol. Il. et Eust. παιανίζεται coni. Dindorf in Lex. Aeschyl.

162

οἱ θεῶν ἀγχίσποροι
οἱ Ζηνὸς ἐγγύς, ὧν κατ' Ἰδαῖον πάγον
Διὸς πατρῴου βωμός ἐστ' ἐν αἰθέρι,
κοὔπω σφιν ἐξίτηλον αἷμα δαιμόνων.

Plat. Rei publ. III p. 391 E: *πᾶς γὰρ ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι, πεισθεὶς ὡς ἄρα τοιαῦτα πράττουσί τε καὶ ἔπραττον καὶ* '*οἱ θεῶν — δαιμόνων*'. Aeschyleae Niobae haec esse docet qui partem v. 2 et 3 affert, Strabo XII p. 580 (vide fr. 158). v. 1 respicit Phot. Lex. p. 6, 7 sive Anecd. Bekk. p. 332, 25: *ἀγχίσποροι· ἐγγὺς γένους ὄντες* (*ὄντες* om. Phot.). cf. Philo Iud. vol. 2 p. 124: *διὸ καὶ γεγόνασιν ἀγχίσποροι θεοῦ*. vol. 2 p. 338: *ἄνθρωπος — ἀγχίσπορος ὢν θεοῦ*. Synesius Dion. p. 51 C: *παρέδοσαν γὰρ αὐτὰς ἄνδρες ἀγχίσποροι τοῦ θεοῦ*. Damascius in Phot. Bibl. p. 336 b 19 (cf. p. 350 a 9): *τὴν χρυσῆν γενεὰν ἢ τὸ θεῶν ἀγχίσπορον γένος*. idem in Phot. Bibl. p. 338 a 16 (Suid. v. *ἀγχίσπορος* et *πολυήκοος*): *γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου*. Eust. Opusc. p. 357, 27: *θεῖος ἀνὴρ καὶ ἀγχίσπορος ὄντως τοῦ μόνου θεοῦ*. cum v. 1 et 2 cf. Lucianus Enc. Demosth. 13 vol. 3 p. 501: *τῶν ψυχῶν ὅσαι Ζηνὸς ἐγγὺς καὶ θεῶν ἀγχίσποροι, φησὶν ὁ τραγικός*. v. 2 *ὧν κατ' Ἰδαῖον πάγον* Plat., *οἷς ἐν Ἰδαίῳ πάγῳ* Strab.

163

Σίπυλον Ἰδαίαν ἀνὰ
χθόνα

Strab. XII p. 580, vide fr. 158. *Σίπυλον Ἰδαίαν χθόνα* coni. Bothe.

164

Philostr. V. Apoll. 4, 16: *ἀλλὰ σύ, ἔφη* (Achilles), '*Ἀπολλώνιε, σοφοῖς γὰρ πρὸς σοφοὺς ἐπιτήδεια, τοῦ τε τάφου ἐπιμελήθητι καὶ τὸ ἄγαλμα τοῦ Παλαμήδους ἀνάλαβε, φαύλως διερριμμένον*. 'senarius ex Aeschyli Nioba, *σοφοῖς ἐστι γὰρ πρὸς σοφοὺς ἐπιτήδεια*. prudentibus affinia inter se pleraque.' *Morellus* quo auctore nescimus. Aeschylum dixisse *ὡς σοφοῖσι πρὸς σοφοὺς | ἔστι κηδεία* coni. Hermann. Anecd. Barocc. in Musei philol. Cantabr. vol. 2 p. 114 (sive Lex. Vindob. append. p. 324, 6): *κηδεία ἡ ἐπιγαμβρευσις παρ' Αἰσχύλῳ*.

165

ἡμορίς

Hesych. 2 p. 280: ἠμορίς· κενή, ἐστερημένη. *Αἰσχύλος Νιόβῃ.* cf. Phot. Lex. p. 70, 11 et Hesychius: ἤμορος· ἄμοιρος.

166

κάκαλα

Hesych. 2 p. 392: κάκαλα· τείχη. *Αἰσχύλος Νιόβῃ.* cf. Phot. Lex. p. 125, 4: κάκαλον· τεῖχος.

167

κραταίλεως

Hesych. 2 p. 531: κραταίλεων (κραταίλεως recte Schow)· ἡ Νιόβη (*Αἰσχύλος Νιόβῃ* coni. M. Schmidt).

ΞΑΝΤΡΙΑΙ

Schol. Aesch. Eum. 26: νῦν φησὶν ἐν Παρνασῷ εἶναι τὰ κατὰ Πενθέα, ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι. Elmsley in Argum. Eur. Bacch. huc respexisse suspicatur Philostratum Imag. 1, 18: καὶ ἥδε σοι ἡ ἐλάτη χαμαὶ γυναικῶν ἔργον ἐκ Διονύσου μέγα, πέπτωκε δὲ τὸν Πενθέα ἀποσεισαμένη ταῖς βάκχαις ἐν εἴδει λέοντος, αἳ δὲ καὶ ξαίνουσι τὸ θήραμα, μήτηρ ἐκείνη καὶ ἀδελφαὶ μητρός, αἳ μὲν ἀπορρηγνῦσαι τὰς χεῖρας, ἡ δὲ ἐπισπῶσα τὸν υἱὸν τῆς χαίτης. aliter statuit Fritzsche in Ar. Ran. p. 413—417.

168

ὀρεσσιγόνοισι
νύμφαις κρηνιάσιν κυδραῖσι θεαῖσιν ἀγείρω
Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις

Ar. Ran. 1344: *Νύμφαι ὀρεσσίγονοι*, ubi Schol.: ἐκ τῶν Ξαντριῶν *Αἰσχύλου* (ita RV, *Εὐριπίδου* ceteri), φησὶν Ἀσκληπιάδης· εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διαθέντων (διαθέτων codex Θ, διασωθέντων αὐτογράφων Dobree, διασωθέντων Dindorf) ʻνύμφαι ὀρεσιγόνιαι (ὀρεσιγόνιοι V) θεαῖσιν ἀγείρω, Ἰνάχου Ἀργείου ὑπὸ ποταμοῦ παισὶ βιοδώροιςʼ. Plat. Rei publ. II p. 381 D (quem locum repetit Eusebius P. E. XIII p. 645 C): μηδὲ Πρωτέως καὶ Θέτιδος καταψευδέσθω μηδεὶς μηδ᾽ ἐν τραγῳδίαις μηδ᾽ ἐν τοῖς ἄλλοις ποιήμασιν εἰσαγέτω Ἥραν ἠλλοιωμένην ὡς ἱέρειαν ἀγείρουσαν ʻἸνάχου Ἀργείου ποταμοῦ παισὶ βιοδώροιςʼ. Diogenes Epist. 34, 2 p. 248: τῶν τραγῳδοποιῶν οἵτινες Ἥραν τε τὴν Διὸς παράκοιτιν ἔφασαν εἰς ἱέρειαν μεταμορφωθεῖσαν τοιοῦτον βίου σχῆμα ἀναλαβεῖν ʻνύμφαις κρήναισιν κυδραῖς θεαῖς ἀγείρουσαν Ἰνάχου Ἀργείαις ποταμοῦ παισὶν βιοδώροιςʼ. Paus. 8, 6, 6: ὁ δὲ Ἴναχος ἐφ᾽ ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν διὰ τοῦ ὄρους, τοῦτό ἐστιν Ἀργείοις καὶ Μαντινεῦσιν ὅρος

τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ διὰ τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ τούτῳ τὸν Ἴναχον ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν καλοῦσιν Ἀργεῖον. v. 1 et 2 ὀρεσσιγόνοισι νύμφαις κρηνιάσιν Meineke restituit, v. 2 κυδραῖσι Dindorf.

169

ἐκ ποδῶν δ' ἄνω
ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα,
κέκτημα γλώσσης, σκορπίου βέλος λέγω.

Phot. Lex. p. 326, 22 et Suid. v. ὀκτώπουν: — παροιμία γὰρ 'σκορπίον ὀκτώπουν ἀνεγείρεις'. ἐν δὲ ταῖς Αἰσχύλου Ξαντρίαις ἡ Λύσσα ἐπιθειάζουσα ταῖς βάκχαις φησὶν 'ἐκ — λέγω'. v. 3 λύσσης Lobeck in Soph. Ai. 60 p. 103 ed. sec.

170

ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται
οὔτ' ἀστερωπὸν ὄμμα Λητῴας κόρης.

Galenus vol. 17, 1 p. 880: ἐπὶ δὲ τῶν ἀκτίνων δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι Σοφοκλῆς ἐν Κόλχοις —. οὕτω καὶ Αἰσχύλος ἐν Ξαντρίαις 'ἃς — κόρης'. initio ἐξ ἀντιαίαις libri, ἐν Ξαντρίαις ἃς Bentley Epist. ad Millium p. 50. Photius Lex. p. 409, 10: πέμφιξ (πέμψιξ cod.)· πνοή. Αἰσχύλος Ξαντρίαις ἐπὶ τῶν ἀκτίνων. v. 2 ἀστέρων στόμα libri, ἀστερωπὸν ὄμμα Bentley. ceterum huic loco similia sunt quae in Prom. 796 dixit Aeschylus, μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται ἀκτῖσιν οὔτε νύκτερος μήνη ποτέ.

171

κάμακες πεύκης οἱ πυρίφλεκτοι

Pollux 10, 117: τὰς μέντοι λαμπάδας καὶ κάμακας εἴρηκεν ἐν Ξαντρίαις Αἰσχύλος 'κάμακες — πυρίφλεκτοι'.

172

τῶνδε βούλευτις πόνων

Etym. M. p. 595, 40: οὐ μόνον δὲ ἀπὸ βαρυτόνου γίνεται εἰς Ι παρώνυμον, οἷον πλανήτης πλάνητις, ἀλλὰ καὶ ἀπὸ ὀξυτόνου, οἷον βουλευτής βούλευτις, οἷον 'τῶνδε βούλευτις πόνων' ἐν ταῖς Ξαντρίαις. dubitatur utrum Aeschylea fabula indicetur an comoedia Platonis, cf. Meineke Com. 2 p. 646.

ΟΙΔΙΠΟΥΣ

Tetralogiae Oedipodeae fabula secunda, cf. Argum. Aesch. Sept. supra p. 39 allatum. hinc dubitari non potest quin argumentum id fuerit quod in Oedipo Rege tractavit Sophocles. ceterum ut alibi ita hac in fabula perhibetur Aeschylus mystica non nulla evulgasse (vide p. 28).

173

ἐπῇμεν τῆς ὁδοῦ τροχήλατον
σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς
τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν.

Schol. Soph. Oed. R. 733: *περὶ Δαυλίδα φησὶ τὴν σχιστὴν ὁδόν· ὁ δὲ Αἰσχύλος περὶ Ποτνίας οὕτως 'ἐπῇμεν — ἠμείβομεν'.* Oedipo hos versus adscripsit Valckenaer. v. 1 *οὕτως* nescimus utrum grammatici sit an Aeschyli. *ἐπείημεν* cod., unde *ἔπειτ' ἐπῇμεν* coni. Schneidewin. *γῆς ὅροις* (pro *τῆς ὁδοῦ*) Hartung.

ΟΠΛΩΝ ΚΡΙΣΙΣ

Proposuit poeta Aiacem et Vlixem de Achillis armis certantes, quod argumentum ex parva Iliade repetitum esse testatur Aristoteles Poet. c. 23 p. 1459 b 5. eandem rem tractarunt Latini poetae qui Armorum iudicium scripserunt, Pacuvius et Accius. Aeschyleas fabulas *Ὅπλων κρίσιν, Θρήσσας, Σαλαμινίας* eiusdem trilogiae fuisse coni. Welcker. fortasse huc referendum est fr. 350.

174

δέσποινα πεντήκοντα Νηρῄδων κορᾶν

Ar. Ach. 883: *πρέσβειρα πεντήκοντα Κωπᾴδων κορᾶν.* ubi Schol.: *ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου Ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου, ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρεΐδας τις ἐξελθούσας κρῖναι πρὸς τὴν Θέτιν λέγων 'δέσποινα — κορᾶν'. πρέσβειρα* verum videtur. *κορᾶν* R, *χορόν* Ald., *κορῶν* Bentley. quod subicit Aristophanes *ἔκβαθι* et ipsum ex Aeschylo repetitum esse arbitratur W. H. van de Sande Bakhuyzen de parodia in Aristoph. com. p. 24.

175

ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,
τῆς σῆς λέγω τοι μητρός, ἥ σ' ἐγείνατο.

Schol. Soph. Ai. 190: *τὸν δὲ Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν Συνδείπνῳ — καὶ Αἰσχύλος ἐν Ὅπλων κρίσει 'ἀλλ'*

— ἐγείνατο'. v. 2 λέγω τοι] λέγω 'γὼ Hermann, λέγω σοι Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 8.

176

ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη.

Stob. Flor. 11, 8: *Αἰσχύλου Ὅπλων* (ὅπλα M) *κρίσεως* (fabulae nomen om. L). 'ἁπλᾶ — ἔπη'. cf. Euripideum illud ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ Phoen. 469.

177

τί γὰρ καλὸν ζῆν βίον ὃς λύπας φέρει;

Stob. Flor. 121, 23: *Αἰσχύλος ἐν Ὅπλων κρίσει* (sic A, αἰσχύλου nec plura S, ecl. om. M). 'τί — φέρει;' βίον ὃς] βίοτον ὃς Stanley, fortasse ᾧ βίος leg., cf. Men. mon. 291: καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν (οἷς τὸ ζῆν ὕβριν C. I. 3902 *r*) φέρει.

178

χλήδοντα

Etym. Gud. p. 567, 35: χλίδοντα, χλίδην, σωρηδόν, δηλοῖ πλήθους ἔμφασιν. *Αἰσχύλος Ὅπλων κρίσει* (ὁ πλουκρίσει cod.) καὶ χεριδόντα ἀντὶ τοῦ πληθύνοντα. p. 567, 42: καὶ χλίδοντα ἀντὶ τοῦ πληθύνοντα. Hesych. 4 p. 288: χλευδόν· χύδην, σωρηδόν, πληθύοντα. non κεχληδότα, quae erat Hermanni sententia, sed χλήδοντα ex Aeschylo afferri coni. H. L. Ahrens *Beitr. zur Griech. und Lat. Etymol.* 1 p. 184 sq.

ΟΣΤΟΛΟΓΟΙ

Photius Lex. p. 353, 15: ὀστολόγος· παρ' Ἐπιλύκῳ, καὶ δρᾶμα *Αἰσχύλου Ὀστολόγοι*. drama fuit satyricum, trilogiae, ut videtur, eius in qua fuit *Πηνελόπη*.

179

Εὐρύμαχος οὐκ ἄλλος οὐδὲν ἧσσόνως
ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίους ἐμοί·
ἦν μὲν γὰρ αὐτῷ σκοπὸς ἀεὶ τοὐμὸν κάρα
τοῦ δ' ἀγκυλητοῦ κοσσάβιός ἐστι σκοπὸς
ἐκτεμὼν ἡβῶσα χεὶρ ἐφίετο 5

Ath. XV p. 667 C: καὶ *Αἰσχύλος* δ' ἐν *Ὀστολόγοις* ἀγκυλητοὺς λέγει κοττάβους διὰ τούτων 'Εὐρύμαχος — ἐφίετο'. cf. Ath. XI p. 782 E: ἐντεῦθεν νοοῦμεν τοὺς παρ' *Αἰσχύλῳ* ἀγκυλητοὺς κοττάβους.

Eust. Il. p. 344, 24: *οὓς δὴ κοττάβους ἀγκυλητοὺς Αἰσχύλος ἔφη.* Schol. Ar. Pac. 1244: *καὶ ἀγκυλητοὺς* (*ἀγκυληγοὺς* libri) *ἔλεγον κοττάβους.* v. 1 *οὐκ ἄλλος*] *οὗτος ἄλλος* coni. Hermann, *οὐ γὰρ ἄλλος* Meineke Ath. 4 p. 322. mox *ἧσσον* A, *ἥσσονας* VL, *ἡσσόνως* praetuli. v. 2 *αἰνεσίους* PVL, *ἐναισίους* Porson, *ἀνασχετοὺς* Lobeck Paral. p. 506. v. 3 *κότταβος ἀεὶ* libri, *σκοπὸς ἀεὶ* Dobree. *τοῦ μὲν* libri, *τοὐμὸν* Petitus. v. 4 a poeta abiudicat M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 364. v. 5 *ἐκτεμὼν*] *ἐκτενῶς* coni. Wagner. Dobree Adv. 2 p. 352 extremos duo versus hunc in modum refingere conatus est, *τοῖς δ' ἀγκυλητοῖς κοσσάβοις ἐπίσκοπα ὅσσων ἐμῶν ἡβῶσα χεὶρ ἐφίετο.*

180

ὅδ' ἐστὶν ὅς ποτ' ἀμφ' ἐμοὶ βέλος
γελωτοποιόν, τὴν κάκοσμον οὐράνην,
ἔρριψεν οὐδ' ἥμαρτε· περὶ δ' ἐμῷ κάρᾳ
πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη
χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοί. 5

Ath. I p. 17 C (cf. Eust. Od. p. 1828, 28): *Αἰσχύλος γοῦν ἀπρεπῶς που παράγει μεθύοντας τοὺς Ἕλληνας, ὡς καὶ τὰς ἀμίδας ἀλλήλοις περικαταγνύναι. λέγει γοῦν 'ὅδ' ἐστὶν — πνέουσ' ἐμοί'.* Schol. et Tzetz. in Lycophr. 778: *παρ' Αἰσχύλῳ φαίνεταί τις τὸν Ὀδυσσέα τύψας ὀστράκῳ.* ad *Ὀστολόγους* hos versus rettulit Welcker. v. 1 *ὅδ' ἔστ' ἐκεῖνος* coni. Iacobs. *ὅδ' ἐστὶν ὅς ποτ' ἀμφὶ θυμῷ μοι βέλος* Bergk. v. 2 *οὐράνην*] *οὐράνην ἤτοι ἀμίδα* Eust. Pollux 10, 44 (cf. Anecd. Paris. vol. 4 p. 12, 14 et Schol. Hermog. in Rhet. vol. 7 p. 735 sive Anecd. Oxon. vol. 4 p. 60): *ἀμίς, ἣν Σοφοκλῆς ἐν Πανδώρᾳ ἐνουρήθραν καλεῖ καὶ Αἰσχύλος οὐράνην.* Pollux 2, 223: *ἡ δὲ τραγῳδία τὴν ἀμίδα οὐράνην ἐκάλεσεν.* Eust. Opusc. p. 296, 51: *ὅσα καὶ οὐράναις, εἴποι ἂν ἡ τραγῳδία.* verba *τὴν κάκοσμον — κάρᾳ* (v. 2 et 3) recurrunt in Soph. fr. 140. v. 3 cf. Hesych. 3 p. 233: *οὐδ' ἥμαρτεν· οὐκ ἀπέτυχεν.* spectat locum Anonymus *περὶ ποιημάτων* in Hercul. vol. coll. alt. IV fol. 192: *τοῦ δὲ τὴν κά⟨κο⟩σμον οὐράνην* (*αυρανην* ed.) *ἔρρι⟨ψ⟩εν τὸ περὶ τὴν κεφαλὴν τοῦ Ὀδυσσέως ἀμίδα συντετρῖφθαι.* v. 4 *πληγεῖσ'*] *ῥαγεῖσ'* coni. Schneidewin in Aesch. Agam. 1271. v. 5 *μυραρῶν* Ath.

ΠΑΛΑΜΗΔΗΣ

Non memoratur in fabularum indice. Schol. Aesch. Prom. 457 de Aeschyleis verbis *ἔστε δή σφιν ἀντολὰς ἐγὼ ἄστρων ἔδειξα*, haec annotat: *τούτων τὴν εὕρεσιν καὶ Παλαμήδῃ προσῆψεν.* versus tres qui in Prometheo leguntur (459—461),

καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
ἐξηῦρον αὐτοῖς γραμμάτων τε συνθέσεις,
μνήμην ἁπάντων, μουσομήτορ' ἐργάνην,

in Palamede primitus extitisse coni. Kiehl. ad eandem fabulam adesp. fr. 470 rettulit C. Wachsmuth.

181

τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης;

Schol. A Il. *Δ* 319: *ἔκταν — ἐν χρήσει ὁρᾶται Ἀττικοῖς. — Αἰσχύλος δὲ Παλαμήδῃ 'τίνος — βλάβης;'* Nauplii haec esse verba coni. Vater in Eur. Rhes. p. 233.

182

καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκατοντάρχας
ἔταξα, σῖτον δ' εἰδέναι διώρισα,
ἄριστα, δεῖπνα δόρπα θ' αἱρεῖσθαι τρίτα.

Ath. I p. 11 D: *Φιλήμων δὲ φησὶν ὅτι τροφαῖς τέτταρσιν ἐχρῶντο οἱ παλαιοί. — ἔστι δ' ἡ τάξις καὶ παρ' Αἰσχύλῳ τῶν ὀνομάτων ἐν οἷς ὁ Παλαμήδης πεποίηται λέγων 'καὶ ταξιάρχας — τρίτα'.* similiter Eust. Od. p. 1791, 42 qui omisit verba *καὶ ταξιάρχας — ἔταξα* (v. 1 et 2). v. 3 ex Aeschylo afferunt Schol. Il. *B* 308 in Anecd. Paris. vol. 3 p. 7, 15 et p. 154, 6 Schol. AB Il. *B* 381 Schol. Od. *β* 20 Etym. Gud. p. 150, 19 Eust. Il. p. 242, 22 p. 1358, 4 Od. p. 1432, 5 p. 1833, 4. respicit Phrynichus Bekk. p. 23, 23: *ὁ δὲ Αἰσχύλος τρεῖς* (sc. *τροφάς*) *οἶδεν, ἀφελὼν τὴν δειελινήν.* v. 1 *καὶ ταξιάρχας χἀκατοντάρχας στρατῷ* coni. Porson. vitiosam esse terminationem *ας*, ubi requiratur *ους*, censet Wilamowitz-Moellendorff *Aus Kydathen* p. 223. v. 2 *εἰδέναι* num verum sit iure dubitant Gomperz et Kaibel. v. 3 *θ'*] *δ'* Ath., om. Schol. Od. *β* 20 et Etym. Gud. *τρίτα* om. Schol. Il. *B* 381 Etym. Gud. Eust. p. 1833, *τρία* praebet Schol. Il. in Anecd. Paris. vol. 3 p. 7, 15 Eust. p. 1358 1432 1791, *τρία ἢ μάλιστα τρίτα* Eust. p. 242.

ΠΕΝΘΕΥΣ

Argum. Eur. Bacch.: *ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Πενθεῖ.*

183

μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς

Galenus vol. 17, 1 p. 880 de nomine *πέμφιξ* disputans: *ἐπὶ δὲ*

τῆς ῥανίδος ὁ αὐτὸς φησὶν ἐν Προμηθεῖ — καὶ ἐν Πενθεῖ ʽμηδʼ — βάλῃςʼ.

ΠΕΡΡΑΙΒΙΔΕΣ

Περραιβίδας et *Ἰξίονα* eiusdem trilogiae fuisse coni. Od. Mueller. Hecker huc referri iussit fr. 285, Hermann fr. 327. fortasse huius fabulae mentio revocanda est in Hesych. 1 p. 134: *ἀλφινία· ἡ λεύκη* (*λευκὴ* cod.), *Περρεβοί.* ubi ⟨*Αἰσχύλος*⟩ *Περραιβίσιν* scribi vult M. Schmidt 1 p. 224.

184

ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια,
ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα;

Ath. XI p. 499 A: *Αἰσχύλος δʼ ἐν Περραιβίσι φησί ʽποῦ μοι — σκυφώματα;ʼ* Eust. Od. p. 1775, 22: *Αἰσχύλος μὲν σεμνύνει τὸ σκεῦος ἐν τῷ ʽποῦ χρυσότευκτα — σκυφώματαʼ.* Deionei, ut videtur, verba exigentis dona ab Ixione promissa.

185

ἀργυρηλάτοις
κέρασι χρυσᾶ στόμια προσβεβλημένοις

Ath. XI p. 476 C: *Αἰσχύλος δʼ ἐν Περραιβίσι* (*Περραιβοῖς* libri) *τοὺς Περραιβοὺς παρίστησιν ἀντὶ ποτηρίων τοῖς κέρασι χρωμένους διὰ τούτων ʽἀργυρηλάτοις — προσβεβλημένοιςʼ.* eundem locum Eust. Il. p. 917, 63 affert, qui fabulae nomen omittit. v. 2 *προβεβλημένοις* Athenaei C et Eust., *περιβεβλημένοις* coni. Blomfield in Aesch. Pers. p. XXVIII, qui v. 1 ⟨*χρῶνται δʼ ὑποξύλοισιν*⟩ *ἀργυρηλάτοις* scribendum proposuit coll. fr. 286.

186

τέθνηκεν αἰσχρὸς χρημάτων ἀπαιόλῃ

Eust. Il. p. 352, 34: *ἀπὸ τοῦ ῥηθέντος αἰόλλω καὶ ἀπαιόλη γίνεται ἡ ἀπάτη καὶ ἀποστέρησις. Αἰσχύλος ʽτέθνηκεν — ἀπαιόλῃʼ.* Hesych. 1 p. 224: *ἀπαιόλη· ἀπάτη, ἀποστέρησις. Αἰσχύλος Περραιβίσιν* (*περρέβην* codex). Anecd. Bekk. p. 419, 12: *ἀπαιόλη· ἀπάτη ἢ ἀποστέρησις. οἰκτρῶς* vel *οἰκτρὸς* pro *αἰσχρὸς* iure requirit F. G. Schmidt *Krit. Stud.* 1 p. 109 sq.

ΠΗΝΕΛΟΠΗ

187

ἐγὼ γένος μὲν εἰμὶ Κρὴς ἀρχέστατον

Etym. M. p. 31, 6: *αἰδοιέστατος. ἰστέον ὅτι τὸ ἀρχέστατον, ὡς παρὰ Αἰσχύλῳ ἐν Πηνελόπῃ, οἷον ‘ἐγὼ — ἀρχέστατον’, καὶ τὸ αἰδοιέστατον καὶ ἀφθονέστατον ποιητικά εἰσι, κατ’ ἔθος Ἰώνων γινόμενα. — ὤφειλον γὰρ τὰ προειρημένα δικαιότερος εἶναι καὶ αἰδοιότερος καὶ ἀφθονώτερος καὶ ἀρχαιότερος* (l. *ἀρχότερος*). *οὕτω Φιλόξενος εἰς τὸ περὶ συγκριτικῶν.* superlativus *ἀρχέστατος* non ab *ἀρχαῖος*, sed ab *ἀρχός* formatus est, sicut habes *βασιλεύτατος, ἀοιδότατος, κύντατος, ὀΐτερος*, similia. *εἰμὶ μὶ κρῆς* cod. Flor. ‘sunt Vlixis verba cum coniuge colloquentis, cui cum primum in conspectum venisset se unum Cretae principum esse mentitus est Odyss. τ 180.’ *Lobeck* Pathol. elem. vol. 1 p. 337 vel potius Wex in Soph. Ant. vol. 2 p. 80.

ΠΟΛΥΔΕΚΤΗΣ

Memoratur in indice fabularum.

ΠΡΟΜΗΘΗΣ

Vita Aeschyli p. 8, 1 (Westerm. *Βιογρ.* p. 122, 95): *ταύτῃ καὶ ἄριστος εἰς τραγῳδίαν Αἰσχύλος κρίνεται, ὅτι εἰσάγει πρόσωπα μεγάλα καὶ ἀξιόχρεα. καὶ τινὲς ἤδη τῶν τραγῳδιῶν αὐτῷ διὰ μόνων οἰκονομοῦνται τῶν θεῶν, καθάπερ οἱ Προμηθεῖς.* in fabularum indice tres Promethei commemorantur, *δεσμώτης, πυρφόρος, λυόμενος*. quarum fabularum *δεσμώτην* et *λυόμενον* eiusdem trilogiae fuisse testatur Schol. Aesch. Prom. 511. Welcker statuit has fabulas comprehensas esse trilogia, cuius primum locum tenuerit *πυρφόρος*, medium *δεσμώτης*, tertium *λυόμενος*. sequitur Welckerum van de Sande Bakhuyzen de parodia in com. Aristoph. p. 89 sqq., dissentiunt R. Westphal *Prolegomena zu Aeschylus Tragödien* p. 218 sqq. et N. Wecklein in Promethei ed. alt. p. 18 sq., qui primum in trilogia locum tribuunt *δεσμώτῃ*, secundum *λυομένῳ*, tertium *πυρφόρῳ*. ex Argumento Persarum constat olymp. 76, 4 (anno a. Chr. 472) Aeschylum vicisse *Φινεῖ, Πέρσαις, Γλαύκῳ, Προμηθεῖ.* hic Prometheus, cuius cognomen non additur, satyricus fuit: *πυρκαέα* dici e Polluce probabile est. quamquam Canter *πυρφόρον* et *πυρκαέα* eundem esse putavit, G. Dindorf *πυρκαέα* mero errori Pollucis tribuit. fragmenta ita digeremus ut primum afferamus quae nesciamus cuius Promethei sint, deinde *λυομένου, πυρκαέως, πυρφόρου* locos subiciamus. de mytho cf. Apollod. 1, 7, 1:

188

πολλοῖς γάρ ἐστι κέρδος ἡ σιγὴ βροτῶν.

Schol. Aristid. p. 501: *καὶ Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ ‘πολλοῖς — βροτῶν’. βροτῶν* ed. Dind., *βροτοῖς* ed. Frommel p. 190.

in Prometheo superstite non legitur hic versus. quem locum Galenus e Prometheo vincto affert, non dubitavimus ad *λυόμενον* referre, vide fr. 195.

189

χέρσα

Antiatt. p. 116, 7: *χέρσα· τὰ μὴ γεωργούμενα. Αἰσχύλος Προμηθεῖ.*

ΠΡΟΜΗΘΕΥΣ ΛΥΟΜΕΝΟΣ

Schol. Aesch. Prom. 511: *οὔπω μοι λυθῆναι μεμοίραται] ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται, ὅπερ ἐμφαίνει Αἰσχύλος.* Philodemus de pietate ed. Gomp. p. 39: *Αἰσχύλος ἐν τῷ λ⟨υο⟩μέν⟨ῳ Πρ⟩ομηθεῖ* ..... *⟨ὑπ⟩ὸ Διὸς δεδ⟨έσθαι⟩.* ibid. p. 41: *καὶ τὸν ⟨Προμη⟩θέα λύεσθαι ⟨φησὶν⟩ Αἰσχύλος ὅ⟨τι τὸ λ⟩όγιον ἐμή⟨νυσε⟩ν τὸ περὶ Θέ⟨τιδο⟩ς, ὡς χρε⟨ὼ⟩ν εἴ⟨η⟩ τὸν ἐξ αὐτῆς γεν⟨ν⟩ηθέντα κρείτ⟨τ⟩ω κατασ⟨τῆν⟩αι ⟨τ⟩οῦ πατρός· ⟨ὅθεν κ⟩αὶ θνητ⟨ῷ συνοικί⟩ζουσιν α⟨ὐτὴ⟩ν ἀ⟨νδρί⟩.*

190

ἥκομεν . . . .
τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ,
δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι

Arrianus Peripl. Ponti Eux. p. 99, 22 ed. alt. Herch. (in Muelleri Geogr. min. vol. 1 p. 394): *καίτοι Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ· λέγουσι γοῦν αὐτῷ οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι ʻἥκομεν τοὺς σοὺς — ἐποψόμενοιʼ. ἔπειτα καταλέγουσιν ὅσην χώραν ἐπῆλθον ʻπῇ μὲν — Φᾶσινʼ* (fr. 191). eadem Anonymus Peripl. Ponti Euxini et Maeotidis in Muelleri Fragm. histor. vol. 5 p. 184. v. 1 et 2 *ἥκομεν ἄθλους* (deletis verbis *τοὺς σοὺς*) scripsit Bothe. v. 3 *ἐσοψόμενοι* in Arriano ed. Mueller.

191

πῇ μὲν δίδυμον χθονὸς Εὐρώπης
μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν

Arrianus Peripl. Ponti Eux. et Anonymus Peripl. Ponti Eux. et Maeot., quos locos in fr. 190 attulimus. Procopius Hist. Goth. 4, 6 vol. 2 p. 484, 16: *ἀλλὰ καὶ ὁ τραγῳδοποιὸς Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳδίας τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ γῆς τε τῆς* (l. *καλεῖ τῆς τε*) *Ἀσίας καὶ τῆς Εὐρώπης.* v. 1 *πῇ μὲν*] *τῇ μὲν* ed., *ἐπὶ μὲν* Bergk. v. 2 *ἠδ'*] *ἢ δ'* Arrianus, *τῇ δ'* Anon. *Φᾶσιν*] *ποταμὸν* addit Anon.

192

φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν
χεῦμα θαλάσσης,
χαλκοκέραυνόν τε παρ' Ὠκεανῷ
λίμναν παντοτρόφον Αἰθιόπων,
ἵν' ὁ παντόπτας Ἥλιος αἰεὶ 5
χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων
θερμαῖς ὕδατος
μαλακοῦ προχοαῖς ἀναπαύει.

Strabo I p. 33: *φημὶ — τὰ μεσημβρινὰ πάντα Αἰθιοπίαν καλεῖσθαι τὰ πρὸς ὠκεανῷ. μαρτυρεῖ δὲ τὰ τοιαῦτα. ὅ τε γὰρ Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ φησὶν οὕτω* '*φοινικόπεδόν — ἀναπαύει*'. v. 3 *χιλιόκρουνόν τε* coni. Bothe, *χαλκομάραυγόν τε* Hermann, *χαλκοστέροπόν τε* Weil in Aesch. Prom. p. XII. *ὠκεανοῦ* Fr. Wieseler. v. 4 *λίμνην* Dindorf. *πάντων τροφὸν* Lobeck. v. 5 *παντεπόπτας* libri, *παντόπτας* Tyrwhitt, *παντόπτης* Dindorf. v. 7 *θερμαῖς* num ferri possit iure dubitat S. Mekler. v. 8 *προχοαῖς*] *τ'* addunt libri.

193

Cicero Tusc. 2, 10, 23—25: *veniat Aeschylus non poeta solum sed etiam Pythagoreus: sic enim accepimus. quo modo fert apud eum Prometheus dolorem quem excipit ob furtum Lemnium? — affixus ad Caucasum haec dicit:*

Titanum suboles, socia nostri sanguinis,
generata Caelo, aspicite religatum asperis
vinctumque saxis, navem ut horrisono freto
noctem paventes timidi adnectunt navitae.
Saturnius me sic infixit Iuppiter, 5
Iovisque numen Mulciberi adscivit manus.
hos ille cuneos fabrica crudeli inserens
perrupit artus: qua miser solertia
transverberatus castrum hoc furiarum incolo.
iam tertio me quoque funesto die 10
tristi advolatu aduncis lacerans unguibus
Iovis satelles pastu dilaniat fero.
tum iecore opimo farta et satiata adfatim
clangorem fundit vastum, et sublime avolans
pinnata cauda nostrum adulat sanguinem. 15
cum vero adesum inflatu renovatum est iecur,
tum rursum taetros avida se ad pastus refert.
sic hanc custodem maesti cruciatus alo,

quae me perenni vivum foedat miseria.
namque, ut videtis, vinclis constrictus Iovis 20
arcere nequeo diram volucrem a pectore.
sic me ipse viduus pestis excipio anxias,
amore mortis terminum anquirens mali:
sed longe a leto numine aspellor Iovis.
atque haec vetusta saeclis glomerata horridis 25
luctifica clades nostra infixa est corpori,
e quo liquatae solis ardore excidunt
guttae, quae saxa adsidue instillant Caucasi.

ad v. 11 Schuetz refert Hesychii glossam εἰσαφάσματα (fr. 204). v. 10 fortasse spectat glossa Photii Lex. p. 605, 24 Anecd. Bachm. vol. 1 p. 390, 13 Suidae: τρίτῳ φάει· τρίτῃ ἡμέρᾳ.

194

ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς
δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα

Plut. de fortuna c. 3 p. 98 C: οὐκ ἀπὸ τύχης οὐδ' αὐτομάτως περιέσμεν αὐτῶν (sc. τῶν θηρίων) καὶ κρατοῦμεν, ἀλλ' ὁ Προμηθεύς, τουτέστιν ὁ λογισμός, αἴτιος 'ἵππων — ἐκδέκτορα' κατ' Αἰσχύλον. Plut. de sollertia animalium c. 7 p. 964 F: 'ἵππων — γονάς' (v. 1), ὧν ὁ Αἰσχύλου Προμηθεὺς δοῦναι ἡμῖν φησὶν 'ἀντίδουλα καὶ πόνων ἀνδέκτορα'. Porphyrius de abst. 3, 18: 'ἵππων — γονάς' (v. 1), ὥς Αἰσχύλος φησίν, 'ἀντίδουλα καὶ πόνων ἐκδέκτορα' χειρωσάμενοι καὶ καταζεύξαντες. v. 1 ὀχεῖα] ὀχείαν Plut. p. 964 et Porph. v. 2 ἀντίδουλα] ἀντίδωρα Plut. p. 98. ἐκδέκτορα] ἀνδέκτορα Plut. p. 964.

195

εὐθεῖαν ἕρπε τήνδε· καὶ πρώτιστα μὲν
βορεάδας ἥξεις πρὸς πνοάς, ἵν' εὐλαβοῦ
στρόμβον καταιγίζοντα, μή σ' ἀναρπάσῃ
δυσχειμέρῳ πέμφιγι συστρέψας ἄφνω.

Galenus vol. 17, 1 p. 879 sq.: δοκεῖ μὲν γὰρ αὐτὴν (sc. τὴν πέμφιγα) ἐπὶ τῆς πνοῆς Σοφοκλῆς — λέγειν —, Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ 'εὐθεῖαν — ἄνω'. v. 1 ἑρπετὴν δὲ legebatur, v. 2 πρὸς πνοαῖσιν εὐλαβοῦ, v. 4 συστρέψας ἄνω: correxerunt Casaubonus et Bentley. v. 3 βρόμον libri, στρόμβον vel στρόβον Wecklein. τοῦ λυομένου Προμηθέως esse locum patet e fr. 196 et 199.

196

ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον
⟨βροτῶν⟩ ἁπάντων καὶ φιλοξενώτατον,
Γαβίους, ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος
τέμνει δίκελλ' ἄρουραν, ἀλλ' αὐτόσποροι
γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς. 5

Stephanus Byz. v. *Ἄβιοι* p. 7, 5: *Αἰσχύλος τε Γαβίους διὰ τοῦ Γ ἐν λυομένῳ Προμηθεῖ 'ἔπειτα — βροτοῖς'*. v. 1 *ἥξει* libri, *ἥξεις* Stanley, *ἵξει* coni. Meineke. v. 2 *θνητῶν* suppleri voluit Heath, *βροτῶν* Hermann, *ἀπαξαπάντων* scripsit Bothe. v. 3 cf. Schol. AT Il. *N* 6: *Ἀβίων — τούτους Αἰσχύλος Γαβίους φησί.* similiter Eust. Il. p. 916, 24. v. 4 *δικέλλης* libri, *δίκελλ'* Holstenius. *αὐτόσποροι* R, *αὐτοσπόροι* ceteri. v. 5 *γῦαι* R.

197

Schol. Apoll. Rhod. 4, 284: *τὸν Ἴστρον φησὶν ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν. οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλῳ ἐν λυομένῳ Προμηθεῖ λέγοντι τοῦτο.* non recte Schol. Dionys. Per. 10 de Tanai: *Αἰσχύλος δὲ ἐν Προμηθεῖ λυομένῳ καὶ Σοφοκλῆς ἐν Σκύθαις ὑπὸ τούτου διορίζεσθαι φησὶ τὰς ἠπείρους.*

198

ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι

Strab. VII p. 301: *καὶ Αἰσχύλος δ' ἐμφαίνει συνηγορῶν τῷ ποιητῇ φήσας περὶ τῶν Σκυθῶν 'ἀλλ' — Σκύθαι'.* cf. Hesych. v. *ἱππάκη* vol. 2 p. 364.

199

ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν·
ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὢν
μέμψῃ· πέπρωται γάρ σε καὶ βέλη λιπεῖν
ἐνταῦθ'· ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον
ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακός. 5
ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτιρεῖ,
νεφέλην δ' ὑποσχὼν νιφάδι γογγύλων πέτρων
ὑπόσκιον θήσει χθόν', οἷς ἔπειτα σὺ
βαλὼν διώσεις ῥᾳδίως Λίγυν στρατόν.

Strab. IV p. 183: *μεταξὺ γὰρ τῆς Μασσαλίας καὶ τῶν ἐκβολῶν τοῦ Ῥοδανοῦ πεδίον ἔστι τῆς θαλάσσης διέχον εἰς ἑκατὸν σταδίους,*

τοσοῦτον δὲ καὶ τὴν διάμετρον, κυκλοτερὲς τὸ σχῆμα· καλεῖται δὲ Λιθῶδες ἀπὸ τοῦ συμβεβηκότος. μεστὸν γάρ ἐστι λίθων χειροπληθῶν, ὑποπεφυκυῖαν ἐχόντων αὐτοῖς ἄγρωστιν, ἀφ' ἧς ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν. — τὸ μέντοι δυσαπολόγητον Αἰσχύλος καταμαθὼν ἢ παρ' ἄλλου λαβὼν εἰς μῦθον ἐξετόπισε. φησὶ γοῦν Προμηθεὺς παρ' αὐτῷ, καθηγούμενος Ἡρακλεῖ τῶν ὁδῶν τῶν ἀπὸ Καυκάσου πρὸς τὰς ἑσπερίδας 'ἥξεις — στρατόν'. Dionys. Hal. Ant. Rom. 1, 41: δηλοῖ δὲ τὸν πόλεμον τόνδε τῶν ἀρχαίων ποιητῶν Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ. πεποίηται γὰρ αὐτῷ ὁ Προμηθεὺς Ἡρακλεῖ τά τε ἄλλα προλέγων ὡς ἕκαστόν [αὐτῷ] τι συμβήσεσθαι ἔμελλε κατὰ τὴν ἐπὶ Γηρυόνην στρατείαν, καὶ δὴ καὶ περὶ τοῦ Λιγυστικοῦ πολέμου, ὡς οὐ ῥᾴδιος ὁ ἀγὼν ἔσται διηγούμενος· τὰ δὲ ποιήματα ὧδε ἔχει 'ἥξεις — λιπεῖν' (v. 1—3). Hyginus Poet. astr. 2, 6 p. 437: *Aeschylus autem in fabula quae inscribitur* Προμηθεὺς λυόμενος *Herculem ait esse non cum dracone sed cum Liguribus depugnantem. dicit enim quo tempore Hercules a Geryone boves abduxerit iter fecisse per Ligurum fines: quos conatos ab eo pecus abducere manus contulisse et complures eorum sagittis confixisse, sed postquam Herculem tela deficerent, multitudine barbarorum et inopia armorum defessum se ingeniculasse multis iam vulneribus acceptis. Iovem autem misertum filii curasse ut circa eum magna lapidum copia esset, quibus se Herculem defendisse et hostes fugasse. itaque Iovem similitudinem pugnantis inter sidera constituisse.* Schol. Arat. 74: τοῦτον (Herculem) γὰρ Λίβυσι πολεμοῦντα, ἐπιλιπόντων αὐτῷ τῶν τοξευμάτων ἐπὶ γόνυ πεσόντα λίθοις βάλλειν, οὓς αὐτῷ Ζεὺς ὗσεν εὐξαμένῳ. v. 3 μέμψῃ vel πέμψῃ Strabonis libri, μέμψιν Dionysi B. βέλη λιπεῖν] βέλη 'κλιπεῖν Madvig Adv. crit. 1 p. 536. v. 6 οἰκτερεῖ libri: genuinam verbi formam suppeditarunt tituli, cf. quae attuli in appendice Soph. Oed. C. 109. ἀμηχανοῦντά σε Ζεὺς οἰκτερεῖ coni. Meineke, ἀμηχανοῦντά σ' οἰκτερεῖ πατήρ Cobet Misc. crit. p. 123. v. 7 νεφέλην δ' ὑπερσχὼν coni. Casaubonus, νέφη δ' ὑπερσχὼν H. Wolf Anal. Aesch. (diss. Bonn. a. 1881) p. 16. γογγύλων] στρογγύλων deteriores libri. v. 8 sq. συμβαλὼν δηώσει libri, σὺ βαλὼν Salmasius Plin. exerc. p. 42 F, διώσεις Leopardus, διώσει Dobree Adv. 2 p. 105.

200

ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν εὐθύνοι βέλος

Plut. Amator. c. 14 p. 757 E: ὁ δὲ Ἡρακλῆς ἕτερον θεὸν παρακαλεῖ μέλλων ἐπὶ τὸν ὄρνιν αἴρεσθαι τὸ τόξον, ὡς Αἰσχύλος φησίν, 'ἀγρεὺς — βέλος'. ἰθύνοι libri, εὐθύνοι scripsi *Mélanges Gréco-Rom.* V p. 172. fortasse huc spectat Hesych. 1 p. 31: ἀγρεύς· ὁ Πὰν (an Ἀπόλλων?) παρὰ Ἀθηναίοις, ὡς Ἀπολλόδωρος.

201

ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

Plut. V. Pomp. c. 1: *πρὸς Πομπήιον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα σωθεὶς ὑπ' αὐτοῦ καὶ λέγων 'ἐχθροῦ — τέκνον'. τοῦτο* suspectum Hermanno, *κλῦθι* coni. Heimsoeth.

202

Ath. XV p. 674 D: *Αἰσχύλος δ' ἐν τῷ λυομένῳ Προμηθεῖ σαφῶς φησὶν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ ἀντίποινα τοῦ ἐκείνου δεσμοῦ.* Hyginus Poet. astr. 2, 15 p. 457: (Promethea) *non nulli etiam coronam habuisse dixerunt, ut se victorem impune peccasse diceret: itaque homines in maxima laetitia victoriisque coronas habere instituerunt; id in exercitationibus et conviviis perspicere licebit.*

203

ἀρειθύσανοι

Eust. Il. p. 600, 43: *ἀρειθύσανοι κατὰ Παυσανίαν Ἄρεος θύσανοι, οἱονεὶ ἀποσχίσματα, παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ λυομένῳ.* Hesych. 1 p. 279: *ἀρθύσανοι· ἀποσχίσματα καὶ ἀποκλάσματα* (*ἀποσχήματα καὶ ἀποβλαστήματα* cod.). ibid. p. 276: *ἀριθύσανοι* (*ἀρειθύσανοι* litterarum ordine requiritur)· *ἡνίοχοι.* Pausaniae interpretationem reicit Lobeck Pathol. elem. vol. 1 p. 340 sq., qui *ἀρειθυσάνους* vult esse *Ἄρει θύοντας* id est *ἀρειμανεῖς* vel ut Euripides dixit *Ἄρει κατόχους.*

204

εἰσαφάσματα

Hesych. 2 p. 34: *εἰσαφάσματα· εἰσπτήματα* (*εἰς ἀφάσματα, εἰς πτήματα* cod.) *ἀπὸ τοῦ εἰσαφιέναι, ἢ σπαράγματα. Αἰσχύλος Προμηθεῖ λυομένῳ.* cf. fr. 193, 11.

ΠΡΟΜΗΘΕΥΣ ΠΥΡΚΑΕΥΣ

In fabularum indice non memoratur. Pollux 9, 156: *ὁ δ' ἐμπρήσας τάχ' ἂν πυρκαεὺς ὀνομάζοιτο κατ' Αἰσχύλον καὶ Σοφοκλέα οὕτως ἐπιγράψαντας τὰ δράματα, τὸν μὲν τὸν Προμηθέα, τὸν δὲ τὸν Ναύπλιον.* vide quae diximus p. 62.

205

λινᾶ δέ, πίσσα κὠμολίνου μακροὶ τόνοι

Pollux 10, 64: *τῶν δὲ γυμνασίοις προσηκόντων σκευῶν — ὠμό-*

λινον, οὐ Κρατίνου μόνον εἰπόντος τὸ ὠμόλινον, ἀλλὰ καὶ Αἰσχύλου ἐν Προμηθεῖ πυρκαεῖ 'λίνα — τόνοι'. λινάδες P, *λίνα δέ* ceteri, *λινᾶ δέ* Dindorf.

206

ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα
πέμφιξ· πικρὰ γὰρ κοὐ διὰ ζόης ἀτμοί.

Galenus vol. 17, 1 p. 880 de nomine *πέμφιξ* disputans: *ἐπὶ δὲ τῆς ῥανίδος* (*ῥαγίτιδος* ante Gatakerum) *ὁ αὐτὸς* (Aeschylus) *φησὶν ἐν Προμηθεῖ 'ἐξευλαβοῦ — ἀτμοί'.* huc rettulit Conington. v. 1 *προσβάλλῃ* libri, *προσβάλῃ* Casaubonus. v. 2 *κοὐ διὰ*] *καὶ δίχα* coni. Herwerden Emend. Aesch. p. 160.

207

τράγος γένειον ἆρα πενθήσεις σύ γε.

Plut. de utilitate ex inimicis percipienda c. 2 p. 86 F: *τοῦ δὲ σατύρου τὸ πῦρ, ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν, ὁ Προμηθεύς 'τράγος' ἔφη 'γένειον — σύ γε'.* Eust. Il. p. 415, 7: *ἠέλιος — ἀντὶ τοῦ ὦ ἥλιε, ὁποῖον σὺν ἄλλοις καὶ τὸ 'τράγος — σύ γε', ἀντὶ τοῦ ὦ τράγε, πάνυ στερήσῃ γενείου, εἰ τὴν φλόγα φιλήσεις.* Epiphanius Ancor. p. 109 A (vol. 1 p. 208 sq. ed. Dind.): *Ζῆνες δὲ οὐχ εἷς ἢ δύο, ἀλλὰ καὶ τρεῖς καὶ τέσσαρες γεγόνασι τὸν ἀριθμόν. ὁ μὲν γὰρ εἷς αὐτῶν Κρονίδης ὁ προειρημένος — ἄλλος δὲ ὁ τραγῳδὸς ὁ καὶ τὴν χεῖρα αὐτοῦ καύσας· τάχα δὲ θεὸς ὢν ἐπελάθετο ὅτι δάκνει τὸ πῦρ καὶ οὐκ εἶχε τὴν πρόγνωσιν τοῦ λέγοντος τράγῳ τῷ σατύρῳ εὑρόντι πρότερον* (*ὁρῶντι πρῶτον* Meineke Philol. 3 p. 320) *τὸ πῦρ καὶ προσελθόντι φιλῆσαι 'μὴ ἅψῃ, τράγε· ἁψάμενος γάρ μου ἐμπρήσεις τὰ γένεια'.* Aeschylo versum supra scriptum probabiliter vindicavit Stanley.

ΠΡΟΜΗΘΕΥΣ ΠΥΡΦΟΡΟΣ

Schol. Aesch. Prom. 94: *τὸν μυριετῆ*] *πολυετῆ· ἐν γὰρ τῷ πυρφόρῳ τρεῖς μυριάδας φησὶ δεδέσθαι* (*δεδήσεσθαι* coni. Kvíčala, *δεθήσεσθαι* Cobet Mnem. nov. 14 p. 122) *αὐτόν.* potius *ἐν τῷ λυομένῳ* dicendum fuisse existimat Welcker, cui favet Philodemus de pietate ed. Gomp. p. 39: *Αἰσχύλος ἐν τῷ λ⟨υο⟩μέν⟨ῳ Πρ⟩ομηθεῖ ..... ⟨ὑπ⟩ὸ Διὸς δεδ⟨έσθαι⟩.* Hyginus Poet. astr. 2, 15 p. 456: *Prometheum autem in monte Scythiae nomine Caucaso ferrea catena vinxit: quem adligatum ad triginta milia annorum Aeschylus tragoediarum scriptor ait.* haud paucos locos ex hac fabula sumpsisse et in risum vertisse Aristophanem Av. 1470 sqq. 1553 sqq. al. suspicatur van de Sande Bakhuyzen de parodia in com. Ar. p. 96—101.

208

σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια

Gellius 13, 19, 4: *id quoque animadvertimus, apud Aeschylum ἐν τῷ πυρφόρῳ Προμηθεῖ et apud Euripidem in tragoedia quae inscripta est Ἰνὼ eundem esse versum absque paucis syllabis. Aeschylus sic 'σιγῶν — καίρια', Euripides ita 'σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές'.* Aeschyleus versus cum levi discrepantia recurrit in Choeph. 582: *ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν, σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια*, qui locus dubito num integer sit; fortasse legendum *τοῖς καιρίοις γὰρ δεῖ λέγειν τὰ καίρια* (adesp. in Tzetz. Exeg. Il. p. 146, 22). Aeschylus Sept. 619: *φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια.* Sept. 1: *Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια.* Men. mon. 221 cod. Vind.: *ἢ δεῖ σιωπᾶν ἢ λέγειν ἀμείνονα* (malim *ἢ λέγειν τὰ καίρια*).

ΠΡΟΠΟΜΠΟΙ

Alciphr. 3, 48, 1: *ἄφωνος εἴη Λικύμνιος ὁ τῆς τραγῳδίας ὑποκριτής. ὡς γὰρ ἐνίκα τοὺς ἀντιτέχνους Κριτίαν τὸν Κλεωναῖον καὶ Ἵππασον τὸν Ἀμβρακιώτην τοὺς Αἰσχύλου Προπομποὺς τορῷ τινι καὶ γεγωνῷ τῷ φωνήματι χρησάμενος, γαῦρος ἦν καὶ κιττοστεφὴς ἦγε συμπόσιον.* de Licymnio actore Wilamowitz-Moellendorff Observ. crit. in com. Gr. sel. p. 12 sq. accipi vult Aristoph. Av. 1242: *λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς καταιθαλώσῃ σου Λικυμνίαις βολαῖς*, quo loco alii Euripidis Licymnium spectari coniecerunt.

209

δίπολοι

Hesych. 1 p. 520: *δίπολοι· διπλαῖ. Αἰσχύλος Προπομποῖς* (*δίπολοι αἰσχύλος διπλαὶ πρόπόμποις* codex). Aeschylum dixisse *γύαι* vel *ἄρουραι δίπολοι* coni. Hermann.

ΠΡΩΤΕΥΣ ΣΑΤΥΡΙΚΟΣ

Argum. Aesch. Agam.: *ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι κη̅* (*ὀγδοηκοστῇ* Meursius) *ἔτει δευτέρῳ* (anno a. Chr. 458). *πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.* Schol. Ar. Ran. 1124: *τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι, Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι, χωρὶς τῶν σατυρικῶν* (imo *τοῦ σατυρικοῦ*).

210

σιτουμένην δύστηνον ἀθλίαν φάβα,
μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην

Ath. IX p. 394 A: *ἐν δὲ πέμπτῳ περὶ ζῴων μορίων τὴν φάβα οὐκ ὀνομάζει* (Aristoteles), *καίτοι Αἰσχύλου ἐν τῷ σατυρικῷ* (*τραγικῷ* A, corr. Casaubonus) *Πρωτεῖ οὕτω μνημονεύοντος τοῦ ὄρνιθος* '*σιτουμένην — πεπλεγμένην*'. v. 1 *σιτούμενον* coni. Wilamowitz-Moellendorff, ipsum *σιτεῖσθαι* verbum suspectum habet Kaibel. v. 2 *προσπτύοις* A, *πρὸς πτύοις* Casaubonus. *πεπληγμένην* Schweighaeuser.

211

καὶ τὸν ἰχθύων γάρον

Herodianus *π. μον. λέξ.* p. 35, 19: *γάρος. Αἰσχύλος Πρωτεῖ* (*πρῶτ' εἰ* cod.) *σατυρικῷ* '*καὶ — γάρον*'. Ath. II p. 67 C: *ὅτι δ' ἀρσενικόν* (*ἀρσικόν* C) *ἐστι τοὔνομα* (sc. *γάρος*) *Αἰσχύλος δηλοῖ εἰπών* '*καὶ — γάρον*'. Herodianus qui dicitur Philet. p. 437: *ὁ γάρος ἀρσενικῶς*· '*τὸν ἰχθύων γάρον*'.

212

Εἰδώ

Schol. Od. *δ* 366: *Εἰδοθέη, ἀπὸ τῆς εἰδήσεως καὶ ἐπιστήμης τοῦ πατρὸς τὸ ὄνομα· καὶ Αἰσχύλος δὲ ἐν Πρωτεῖ Εἰδοθέαν αὐτὴν καλεῖ.* Etym. Gud. p. 316, 30 e codice Parisino (p. 1445 C) correctum: *κερδώ ὑποκοριστικῶς, ὡς παρ' Αἰσχύλῳ ἡ Εἰδὼ καὶ Ὑψὼ ἀντὶ τοῦ Εἰδοθέα καὶ Ὑψιπύλη.* cf. Anecd. Bekk. p. 857, 9: *τῶν δὲ θηλυκῶν* (sc. *ὑποκοριστικῶν*) *τύποι τρεῖς, ὁ εἰς Ω, οἷον Ὑψὼ Ὑψιπύλη, Εἰδὼ Εἰδοθέα, καὶ Ἀφρὼ ἡ Ἀφροδίτη.* Schol. Ar. Eq. 1068: *κερδώ — ὡς Εἰδοθέα Εἰδὼ καὶ Ὑψιπύλη Ὑψώ.*

213

ἄελπτοι

Hesych. 1 p. 54: *ἄελπτοι· δεινοί, καὶ ἄαπτοι. Αἰσχύλος Πρωτεῖ.* Aeschylus aut *ἄεπτοι* aut *ἄαπτοι* dixisse videtur, atque quae ex Homerico *χεῖρας ἀάπτους* nota est scripturae varietas, fortasse pariter in Aeschyli Proteo extitit.

214

ἄμαλα

Hesych. 1 p. 137: *ἄμαλα· τὴν ναῦν, ἀπὸ τοῦ ἀμᾶν τὴν ἅλα. Αἰσχύλος Πρωτεῖ σατυρικῷ.* corruptum videtur quod extat in Etym. M. p. 75, 22: *ἀμάδα τὴν ναῦν Αἰσχύλος.*

215

ἐπάσω

Hesych. 2 p. 137: *ἐπάσω· ἐκτήσω. Αἰσχύλος Πρωτεῖ σατυρικῷ.* eandem formam in Soph. Oed. Col. 528 revocavi.

ΣΑΛΑΜΙΝΙΑΙ

Σαλαμίνιαι scriptum in fabularum indice. coniciunt *Ὅπλων κρίσιν, Θρῄσσας, Σαλαμινίας* trilogiam effecisse, et Salaminiarum argumentum fuisse Teucri infortunium, quem sine Aiace reversum Telamon Salamine expulerit. fortasse huc respicit Ar. Ran. 1041, qui Aeschylum haec facit dicentem: *ὅθεν ἡμὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐπόησεν, Πατρόκλων, Τεύκρων θυμολεόντων, ἵν' ἐπαίροιμ' ἄνδρα πολίτην ἀντεκτείνειν αὑτὸν τούτοις, ὁπόταν σάλπιγγος ἀκούσῃ.*

216

εἴ μοι γένοιτο φᾶρος ἴσον ἐν οὐρανῷ

Herod. π. μον. λέξ. p. 36, 22 de v. *φάρος* disputans: *οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι — τὸ Α καὶ συστέλλουσι, ὡς παρ' Αἰσχύλῳ ἐν Σαλαμινίαις* (*σαλαμίναις* cod.) '*εἴ μοι — οὐρανῷ*'. similiter Herod. *περὶ διχρόνων* in Anecd. Oxon. vol. 3 p. 295, 15 et Gramm. Herm. p. 444. *ἴσον ἐν οὐρανῷ* Herod. π. μον. λέξ., *ἶσον οὐρανῷ* ceteri. versus obscurus et fortasse corruptus: quod Cobet V. L. p. 395 credit *ἶσον οὐρανῷ* scripsisse Aeschylum, ab omni probabilitate abhorret. *ἴσον ὂν οὐρανῷ* coni. E. A. I. Ahrens.

217

ἀναρροιβδεῖ

Hesych. 1 p. 181: *ἀναροιδοῖ· ἀναροφεῖ* (*ἀναρροιβδεῖ ἀναρροφεῖ* recte Favor.). *Αἰσχύλος Σαλαμινίαις* (*σαλαμῖνες* cod.), *ἀντὶ τοῦ διαπνεῖν* (*ἀναπνεῖ* Meineke Philol. 13 p. 515). *Ὅμηρος δὲ ἀναπίνει καὶ ἀναροφήματα ποιοῦν* (*ποιὸν* M. Schmidt) *ἦχον. καὶ Σοφοκλῆς ἐν Ναυσικάᾳ* (*ἐν ναυσὶ καὶ* cod.) *ἀντὶ τοῦ ἀναρρίπτει.*

218

ἀνήρης

Hesych. 1 p. 200: *ἀνήρης· ἀνδρώδης. Αἰσχύλος Σαλαμινίαις* (*σαλαμῖͮ* codex). Etym. M. p. 108, 5: *ἀνήρης· ἄνανδρος, οἱ δὲ ἀνάρμοστος.* non arbitror extitisse unquam *ἀνήρης* nomen, sed sicut in Soph. Trach. 460 fuerunt qui pro *ἀνὴρ εἷς* legerent *ἀνήρεις* istaque forma *ἀνάνδρους παρθένους* significari vellent, ita ex *ἀνὴρ*

εἶς corruptum esse suspicor quod Aeschylo tribuitur *ἀνήρης*, cuius formae monstrosae interpretationem excogitarunt grammatici veteres eadem libertate qua ex Il. *Δ* 6 effecerunt *διὰ στήτην* esse idem quod *διὰ γυναῖκα*. cf. quae dixit Dindorf Schol. Soph. p. 71.

219

ἔκλογον

Hesych. 2 p. 47: *ἔκλογον· διήγησιν. Αἰσχύλος Σαλαμινίαις* (*ἀσαλαμηνίαις* codex).

220

κανθύλας

Hesych. 2 p. 406: *κανθύλας· τὰς ἀνοιδήσεις. Αἰσχύλος Σαλαμινίαις*. ibid. p. 512: *κονθηλαί· αἱ ἀνοιδήσεις*. genuinam nominis formam ignoramus.

ΣΕΜΕΛΗ Η ΥΔΡΟΦΟΡΟΙ

Σεμέλη ἢ Ὑδροφόρος fabularum index. Schol. Apoll. Rhod. 1, 636: *τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην, ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας*. hinc patet argumentum fabulae fuisse mythum quem tradunt Apollod. 3, 4, 3 et Hyginus fab. 179.

221

Ζεὺς ὃς κατέκτα τοῦτον

Schol. A Il. *Δ* 319 de aoristo *ἔκταν* (cf. Aeschyli fr. 181): *καὶ ἐν Σεμέλῃ ἢ Ὑδροφόροις 'Ζεὺς — τοῦτον'*. Etym. Gud. p. 305, 31: *τὸ τρίτον ἔκτα, οἷον 'Ζεὺς ὃς κατέκτα'*.

222

Ἀμφίδρομος

Hesych. 1 p. 160: *ἀμφίδρομος· Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα καινὸν* (*καὶ* cod.) *περὶ* (l. *παρὰ*) *τὰ ἀμφιδρόμια, ὡσεὶ* (*ὡδει* codex, *η* superscr.) *ἔλεγες τὸν Γενέθλιον*.

223

ἀνταία

Hesych. 1 p. 209: *ἀνταία· ἐναντία, ἱκέσιος. Αἰσχύλος Σεμέλῃ. σημαίνει δὲ καὶ δαίμονα* (*δαιμόνια* Lobeck Aglaoph. p. 121)*· καὶ τὴν Ἑκάτην δὲ ἀνταίαν λέγουσιν ἀπὸ τοῦ ἐπιπέμπειν αὐτά*. cf. Etym. M. p. 111, 49: *ἀνταία καὶ ἡ Ἑκάτη ἐπιθετικῶς. Διογενειανός, ἱκέσιος*.

224

ἄστεκτα

Hesych. 1 p. 304: *ἄστερκτα· τὰ οὐ δυνάμενα κατασχεθῆναι. Αἰσχύλος Σεμέλῃ.* ubi *ἄστεκτα* Guyetus et al. cf. Anecd. Bekk. p. 456, 1: *ἄστεκτα· ἀβάστακτα, ἀνυπομόνητα, οὐ δυνάμενα κατασχεθῆναι.*

ΣΙΣΥΦΟΣ ΔΡΑΠΕΤΗΣ ET ΠΕΤΡΟΚΥΛΙΣΤΗΣ

Σίσυφος δραπέτης memoratur in indice fabularum, de cuius dramatis satyrici, ut videtur, argumento cf. Pherecydes in Schol. Il. Z 153. *Σίσυφος πετροκυλιστής* inter eas fabulas habetur, quibus mysteriorum religionem poeta violarit (cf. Schol. Aristot. locus supra p. 28 allatus): praeterea bis affertur (fr. 233 et 234), plerumque simpliciter *Σίσυφος* laudatur.

225

καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν.
λεοντοβάμων ποῦ σκάφη χαλκήλατος;

Pollux 10, 78: *ἔξεστι δὲ καὶ σκάφην ὀνομάσαι κατ' Αἰσχύλον [που σκάφην] εἰπόντα ἐν Σισύφῳ 'καὶ νίπτρα — χαλκήλατος'.* Pollux 7, 40: *τὸ δὲ τῶν ποδῶν νίπτρον νίπτρα μὲν Αἰσχύλος, Ἀριστοφάνης δὲ ἀπόνιπτρον.* cf. Horatius Sat. 2, 3, 21: *olim nam quaerere amabam, quo vafer ille pedes lavisset Sisyphus aere.*

226

σὺ δ' ὁ σταθμοῦχος εὖ κατιλλώψας ἄθρει

Pollux 10, 20 de nomine *σταθμοῦχος* disputans: *εἴρηται τοίνυν ἐν Αἰσχύλου Σισύφῳ 'σὺ — ἄθρει'.*

227

ἀλλ' ἀρουραῖός τίς ἐστι σμίνθος ὧδ' ὑπερφυής

Aelianus N. A. 12, 5: *ἔτι γὰρ καὶ τοὺς Αἰολέας καὶ τοὺς Τρῶας τὸν μῦν προσαγορεύειν σμίνθον, ὥσπερ οὖν καὶ Αἰσχύλος ἐν τῷ Σισύφῳ 'ἀλλ' — ὑπερφυής'. ἀρουραῖος τίς ἐστι —;* coni. Hermann.

228

Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ . .
χαίρειν

Anecd. Oxon. vol. 2 p. 443, 11 sive Etym. Gud. p. 227, 40: *τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σισύφῳ (ἐν*

σκύφῳ Etym. Gud. et codex Paris. Larcheri in Etym. Orion. p. 213, em. Fiorillo, om. cod. Barocc.) '*Ζαγρεῖ — χαίρειν*'. v. 1 *με*] *μοι* Anecd. Ox. *πατρὶ* supplet Hermann, *Διὶ* Schneidewin. *Ζαγρεῖ μὲν υἱῷ καὶ πολυξένῳ* ⟨*πατρὶ*⟩ proposuit Th. Birt Mus. Rhen. 32 p. 424 sq.

229

. . *καὶ θανόντων ἰσὶν οὐκ ἔνεστ' ἰκμάς*

Etym. Gud. p. 321, 58: *κίκυς· ἡ δύναμις. Ἀπολλόδωρος ἰκμάς — καὶ Αἰσχύλος ἐν Σισύφῳ 'καὶ θανόντων εἰσὶν οὐκ ἐνεστιγμάσει, τὰ σοὶ δ' οὐκ ἔνεστι κίκις οὐδ' αἱμόρρυτοι φλέβες'. θανόντων φησὶν ἀψύχοις*. Etym. in Anecd. Paris. vol. 4 p. 35, 22: *κίκυς ἡ δύναμις. Ἀπολλόδωρος ἐκμά — καὶ Αἰσχύλος ἐν Σισύφῳ 'καὶ θανόντων εἰσιν οὐκέτι ἱμάσι τὰ σοὶ δ' οὐκ ἔστι κίκυς οὐδὲ αἱμόρρυτοι φλέβες'. θανόντων φησὶν ἀψύχων*. Boeckh correxit: *καὶ Αἰσχύλος ἐν Σισύφῳ 'καὶ θανόντων οἶσιν οὐκ ἔνεστ' ἰκμάς'· εἶτα 'σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόρρυτοι φλέβες θανόντι'· ὅν φησιν ἄψυχον*. ego *εἰσὶν* in *ἰσὶν* mutavi et defendi hanc emendationem *Mélanges Gréco-Rom.* IV p. 717—719. *κατθανόντων* pro *καὶ θανόντων* suasit Bamberger Opusc. p. 156.

230

σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόρρυτοι
φλέβες

Etym. Gud. p. 321, 58 et Anecd. Paris. v. 4 p. 35, 22 vide fr. 229.

231

ἄμβωνες

Hesych. 1 p. 142, cf. fr. 103.

232

δίοπος

Erotianus Gloss. Hippocr. p. 62, 2: *διόπῳ· τῷ τῆς νηὸς ἐπιμελητῇ, παρὰ τὸ διοπτεύειν* (fort. *διέπειν*). *Ἀττικὴ δὲ ἡ λέξις κειμένη — παρ' Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ*. Eust. Od. p. 1705, 53: *διέπειν τὸ ἐνεργεῖν λέγει, ὅθεν καὶ δίοπος ὁ οἰκονόμος παρ' Αἰσχύλῳ*.

233

Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων

Schol. Ar. Pac. 73: *μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάν-*

θαροι. μαρτυροῦσιν δὲ οἱ ἐπιχώριοι. — τρόπον δέ τινα καὶ Αἰσχύλος ἐπιχώριος· λέγει δὲ ἐν Σισύφῳ πετροκυλιστῇ ʻ Αἰτναῖός — πόνων'. *πονῶν* coni. Dindorf.

234

θώψεις

Hesych. 2 p. 335: *θώψεις· θωπεύσεις. Αἰσχύλος Σισύφῳ πετροκυλιστῇ* (*σεισύφῳ πετρακυλισθείς* cod.).

ΣΦΙΓΞ ΣΑΤΥΡΙΚΗ

Fabula acta est olymp. 78, 1 (anno a. Chr. n. 467), cf. Argum. Sept. supra allatum p. 39.

235

τῷ δὲ ξένῳ γε στέφανον ἀρχαῖον στέφος,
δεσμῶν ἄριστος ἐκ Προμηθέως λόγον.

Ath. XV p. 674 D: *Αἰσχύλος δ' ἐν τῷ λυομένῳ Προμηθεῖ σαφῶς φησὶν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ —, καίτοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπών ʻτῷ δὲ — λόγον'.* v. 1 *στέφανος* Grotius, *λύγινον* Weil. *ἀρχαῖον πλέκος* Herwerden Exerc. crit. p. 2. v. 2 *προμηθέος* cod. A. *λύγου* Heyne.

236

Σφίγγα δυσαμεριᾶν πρύτανιν κύνα

Ar. Ran. 1287: *Σφίγγα δυσαμερίαν πρύτανιν κύνα πέμπει.* ubi Schol. v. 1286: *Σφίγγα δὲ δυσαμερίαν τὴν ἐπὶ κακῷ* [*χρόνῳ*] *Θηβαίοις φανεῖσαν, πάροχον θανάτου. ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου.* nihil nisi *ἐκ Σφιγγὸς Αἰσχύλου* praebet codex R. *δυσαμεριᾶν* Dindorf, *δυσαμερίαν* libri.

237

κνοῦς

Hesych. 2 p. 499: *κνοῦς· ὁ ἐκ τοῦ ἄξονος ἦχος· λέγεται δὲ καὶ κνοή. καὶ ὁ τῶν ποδῶν ψόφος, ὡς Αἰσχύλος Σφιγγί.*

ΤΗΛΕΦΟΣ

Schol. Ar. Ach. 332: *ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον, ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών.* ad Aeschylum translata esse quae de Euripidis Telepho dici debebant probabiliter coni. Fr. Vater de Soph. Alead. p. 19. originem erroris W. H. van de Sande Bakhuyzen de parodia in com.

Aristoph. p. 9 inde derivat, quod primitus *τὸν τραγῳδοποιόν* in scholio scriptum fuerit, et postea ab homine Euripideae fabulae ignaro Aeschyli nomen additum sit.

238

κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανέ μου παῖ.

Ar. Ran. 1270: '*κύδιστ'* — *παῖ*'. ubi Schol. R: *ἐκ Τηλέφου Αἰσχύλου*. plura alii libri: *Ἀρίσταρχος καὶ Ἀπολλώνιος, ἐπισκέψασθε πόθεν εἰσί. Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου, Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.* de sede Aeschylei versus suam coniecturam Timachidas videtur esse secutus.

239

. . *ἁπλῆ γὰρ οἶμος εἰς Ἅιδου φέρει*

Plat. Phaedon. p. 108 A (Stob. Ecl. 1, 49, 58 p. 434, 26 ed. Wachsm.): *ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει· ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμον φησὶν εἰς Ἅιδου φέρειν, ἡ δ' οὔτε ἁπλῆ οὔτε μία φαίνεταί μοι εἶναι.* Dionys. Hal. Rhet. c. 6, 5 vol. 5 p. 265: *μία γὰρ καὶ ἡ αὐτὴ οἶμος κατὰ τὸν Αἰσχύλον εἰς Ἅιδου φέρουσα.* Clemens Alex. Strom. IV p. 583: *οὐκ ἔστιν οὖν κατὰ τὸν Αἰσχύλου Τήλεφον νοεῖν ἁπλῆν οἶμον εἰς Ἅιδου φέρειν, ὁδοὶ δὲ πολλαὶ καὶ ἀπάγουσαι ἁμαρτίαι.*

240

ἀμφιδεξίοις χερσί

Hesych. 1 p. 159: *ἀμφιδεξίοις χερσί· ταῖς τῶν τοξοτῶν* (*τόξων* codex), *διὰ τὸ ἑκατέραν χεῖρα ἐνεργεῖν ἐν τῷ τοξεύειν. Αἰσχύλος Τηλέφῳ.* Aeschylum *χερσὶν ἀμφιδεξίοις* scripsisse suspicor. interpretatio falsa, ut opinor: cf. *ἀμφιδεξίοις ἀκμαῖς* Soph. Oed. R. 1243.

ΤΟΞΟΤΙΔΕΣ

Mysteria hac fabula profanata esse prodit Schol. Aristot. loco supra allato p. 28. argumentum fuisse Actaeonis mortem probabiliter statuit Hermann, qui *Τοξότιδας* intellexit nymphas Dianae comites. de persona Actaeonis cf. Pollux 4, 141: *τὰ δ' ἔκσκευα πρόσωπα Ἀκταίων ἐστὶ κερασφόρος, ἢ Φινεὺς τυφλὸς κτέ.*

241

οὔπω τις Ἀκταίων' ἄθηρος ἡμέρα
κενὸν πόνον πονοῦντ' ἔπεμψεν ἐς δόμους.

Anecd. Bekk. p. 351, 9: *ἄθηρος ἡμέρα. — ὁ χρησάμενος τῇ φωνῇ καὶ τῇ φράσει Αἰσχύλος ἐστὶν ἐν Τοξότισι* (*τοξότησι* cod.). *πρόσεστι δὲ τὸ σεμνὸν τῆς λέξεως καὶ τὸ πολιτικόν. λέγεται δὲ ἐπὶ Ἀκταίωνος 'οὔ πώ τις — δόμους'. ἐγγράφων χρῶ, φησὶν ὁ Φρύνιχος.* v. 2 *πόνου πλουτοῦντ'* cod., *πόνον πονοῦντ'* Th. Gomperz *Beitr.* 1 p. 236.

242

ἄδων ταῖς ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων αστει μη βλεμμάτων ῥέπει βολή.

Antigonus Hist. mir. c. 115: *τῶν δὲ θηλέων ζώων ῥοπικώτερον φησὶν εἶναι πρὸς τὴν συνουσίαν ἵππον —. φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς τὸ τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν 'ἄδων ταῖς — ρεπιβουλη'. καὶ διαλιπὼν προσέθηκεν 'οὔ με — ἱππογνώμονα'* (fr. 243). v. 1 *ἄδων ταῖς*] *μῶν ταῖσιν* temptabam, *αἰδοῖ γὰρ* coni. Herwerden Exerc. crit. p. 2, *κάτω γὰρ* Blaydes in Soph. Trach. p. 286 sq., alii alia. v. 2 *αστει μη*] *ἀπείροις* Heath. *ρεπιβουλη* cod., *ῥέπει βολή* Salmasius.

243

νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη·
ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα

Antigonus Hist. mir. c. 115 in fr. 242 allatus. Plut. Amator. c. 21, 5 p. 767 B: *καὶ γὰρ ὀρθῶς Αἰσχύλος ἐποίησε 'νέας — γεγευμένη'* (v. 1 et 2). idem de prof. in virtute c. 10 p. 81 D (Anecd. Paris. vol. 1 p. 399, 24): *νέας μὲν γὰρ γυναικός, ὥς Αἰσχύλος φησίν, οὔ τι λανθάνει φλέγων 'ὀφθαλμὸς — γεγευμένη'* (v. 2). v. 3 *ἔχω* Salmasius Plin. exerc. p. 471 D, *ἔγνων* Tollius Fortuit. p. 128. verba *θυμὸν ἱππογνώμονα* sine poetae et fabulae nomine afferuntur in Etym. M. p. 209, 48 et 474, 45. cf. Schol. Soph. Ai. 143: *ἱππογνώμονα τὸν μεγαλογνώμονα.*

244

κύνες διημάθυνον ἄνδρα δεσπότην

Schol. A Il. *I* 593 de verbo *ἀμαθύνειν*: *ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε, περὶ τοῦ Ἀκταίωνος λέγων 'κύνες — δεσπότην'.*

245

Pollux 5, 47: *τὰ μὲν δὴ τῶν Ἀκταίονος κυνῶν ὀνόματα κατὰ*

τὴν *Αἰσχύλου* δόξαν *Κόραξ* Ἅρπυια (ἀραία A) *Χάρων Λυκόττας* (*Λυκιτᾶς* olim edebatur).

246

πεζοφόροις ζώμασιν

Hesych. 3 p. 296: πεζοφόροις ζώμασιν· *Αἰσχύλος Τοξότισιν*, ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων· τινὲς δὲ ποδήρεσι. ζῶμα δὲ τὸ ἔνδυμα. Phot. Lex. p. 405, 15: πεζοφοροῦσιν· ἤτοι πέζαν ἐχόντων τῶν χιτώνων, ἢ τοῖς ποδήρεσιν. Pollux 7, 51: τὸ δὲ ζῶμα ἔστι μὲν ἐπιτήδειον ἐνδῦναι, πέζας δὲ ἔχει, ὡς *Αἰσχύλος* δηλοῖ πεζοφόρα τὰ ζώματα ἀποκαλῶν. 7, 63: οἱ δὲ πεζοφόροι χιτῶνες ἢ οἱ ποδήρεις ἢ οἱ πέζας ἔχοντες.

ΤΡΟΦΟΙ v. ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ

ΥΨΙΠΥΛΗ

Schol. Apoll. Rhod. 1, 769: ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς *Λημνίαις*, *Ἡρόδωρος* ἱστορεῖ ἐν τοῖς *Ἀργοναυτικοῖς*. *Αἰσχύλος* δὲ ἐν *Ὑψιπύλῃ* ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις ἀπείργειν, μέχρι λαβεῖν ὅρκον παρ' αὐτῶν ἀποβάντας (ἀποβᾶσιν L) μιγήσεσθαι αὐταῖς. fabula eiusdem trilogiae fuisse videtur ac *Νεμέα*.

247

Ὑψώ

Vide fr. 212.

248

ἀποκορσωσαμέναις

Hesych. 1 p. 248: ἀποκορσωσαμέναις. ἀποκειραμέναις· κόρσας γὰρ τρίχας. *Αἰσχύλος Ὑψιπύλῃ* (ὑψηπούλη codex).

ΦΙΛΟΚΤΗΤΗΣ

Argum. Soph. Phil.: κεῖται καὶ παρ' *Αἰσχύλῳ* ἡ μυθοποιία. Aspasius in Aristot. Eth. Nic. (VII, 8 p. 1150 b 6) cuius verba edidit Val. Rose in Herm. 5 p. 105: ὁ παρὰ τῷ *Θεοδέκτῃ Φιλοκτήτης* ὑπὸ τῆς ἔχεως πεπαρμένος κρύπτειν βουλόμενος τοὺς περὶ τὸν *Νεοπτόλεμον* μέχρι μέν τινος ἀνέχει (l. ἀντέχει), ὕστερον δὲ οὐχ ὑπομένων τὸ μέγεθος τῶν ἀλγηδόνων φανερὸς γίνεται. τὸν αὐτὸν δὲ τρόπον εἰσήγαγεν αὐτὸν καὶ *Σοφοκλῆς* καὶ *Αἰσχύλος*. trium principum tragicorum Philoctetas inter se comparavit Dio Chrys. Orat. LII, unde haec apponimus. § 4: ἥ τε γὰρ τοῦ *Αἰσχύλου* μεγαλοφροσύνη καὶ τὸ ἀρχαῖον, ἔτι δὲ τὸ αὔθαδες τῆς διανοίας καὶ φράσεως πρέποντα ἐφαίνετο τραγῳδίᾳ καὶ τοῖς παλαιοῖς ἤθεσι τῶν ἡρώων, οὐδὲν ⟨ἔχοντα⟩

ἐπιβεβουλευμένον οὐδὲ στωμύλον οὐδὲ ταπεινόν. § 5: *ἐπεί τοι καὶ τὸν Ὀδυσσέα εἰσήγαγε δριμὺν καὶ δόλιον ὡς ἐν τοῖς τότε, πολὺ δὲ ἀπέχοντα τῆς νῦν κακοηθείας, ὥστε τῷ ὄντι ἀρχαῖον ἂν δόξαι παρὰ τοὺς νῦν ἁπλοῦς εἶναι βουλομένους καὶ μεγαλόφρονας. καὶ οὐδέν γε ἀλλαττούσης τῆς Ἀθηνᾶς προσεδεήθη πρὸς τὸ μὴ γνωσθῆναι ὅστις ἐστὶν ὑπὸ τοῦ Φιλοκτήτου, καθάπερ Ὅμηρος κἀκείνῳ δὴ ἑπόμενος Εὐριπίδης ἐποίησεν· ὥστε τυχὸν ἄν τις ἐγκαλέσαι τῶν οὐ φιλούντων τὸν ἄνδρα, ὅτι οὐδὲν αὐτῷ ἐμέλησεν ὅπως πιθανὸς ἔσται ὁ Ὀδυσσεὺς οὐ γινωσκόμενος ὑπὸ τοῦ Φιλοκτήτου.* § 6: *καὶ μὴν ὁ χορὸς αὐτῷ παραιτήσεως, ὥσπερ ὁ τοῦ Εὐριπίδου, οὐδὲν ἐδεήθη.* § 7: *ἄμφω γὰρ ἐκ τῶν Λημνίων ἐποίησαν τὸν χορόν· ἀλλ' ὁ μὲν Εὐριπίδης εὐθὺς ἀπολογουμένους πεποίηκε περὶ τῆς πρότερον ἀμελείας, ὅτι δὴ τοσούτων ἐτῶν οὔτε προσέλθοιεν πρὸς τὸν Φιλοκτήτην οὔτε βοηθήσειαν οὐδὲν αὐτῷ· ὁ δ' Αἰσχύλος ἁπλῶς εἰσήγαγε τὸν χορόν, ὃ τῷ παντὶ τραγικώτερον καὶ ἁπλούστερον.* § 9: *οὐ τοίνυν οὐδὲ ἐκεῖνο δοκεῖ μοι δικαίως ἄν τις αἰτιάσασθαι, τὸ διηγεῖσθαι πρὸς τὸν χορὸν ὡς ἀγνοοῦντα τὰ περὶ τὴν ἀπόλειψιν τὴν τῶν Ἀχαιῶν καὶ τὰ καθόλου συμβαίνοντα αὐτῷ. οἱ γὰρ δυστυχοῦντες ἄνθρωποι πολλάκις εἰώθασι μεμνῆσθαι τῶν συμφορῶν —. καὶ μὴν ἡ ἀπάτη ἡ τοῦ Ὀδυσσέως πρὸς τὸν Φιλοκτήτην καὶ οἱ λόγοι δι' ὧν προσηγάγετο αὐτόν, οὐ μόνον εὐσχημονέστεροι καὶ ἥρωι πρέποντες ἀλλ' οὐκ Εὐρυβάτῳ ἢ Παταικίωνι, ἀλλ' ὡς ἐμοὶ δοκοῦσι καὶ πιθανώτεροι.* § 10: *τί γὰρ ἔδει ποικίλης τέχνης καὶ ἐπιβουλῆς πρὸς ἄνδρα νοσοῦντα καὶ ταῦτα τοξότην, ᾧ εἴ τις μόνον ἐγγὺς παρέστη, ἀχρεῖος ἡ ἀλκὴ αὐτοῦ ἐγεγόνει; καὶ τὸ ἀπαγγέλλειν δὲ τὰς τῶν Ἀχαιῶν συμφορὰς καὶ τὸν Ἀγαμέμνονα τεθνηκότα καὶ τὸν Ὀδυσσέα ἐπ' αἰτίᾳ ὡς οἷόν τε αἰσχίστῃ καὶ καθόλου τὸ στράτευμα διεφθαρμένον, οὐ μόνον χρήσιμον ὥστε εὐφρᾶναι τὸν Φιλοκτήτην καὶ προσδέξασθαι μᾶλλον τὴν τοῦ Ὀδυσσέως ὁμιλίαν, ἀλλ' οὐδ' ἀπίθανα τρόπον τινὰ διὰ τὸ μῆκος τῆς στρατείας καὶ διὰ τὰ συμβεβηκότα οὐ πάλαι κατὰ τὴν ὀργὴν τοῦ Ἀχιλλέως, ὅθ' Ἕκτωρ παρὰ σμικρὸν ἦλθεν ἐμπρῆσαι τὸν ναύσταθμον.* § 14: *οὐ μόνον δὲ* (Euripides) *πεποίηκε τὸν Ὀδυσσέα παραγιγνόμενον, ἀλλὰ μετὰ τοῦ Διομήδους, Ὁμηρικῶς καὶ τοῦτο.* Accius in Philocteta quem maxime poetam secutus sit nescimus.

249

Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί

Ar. Ran. 1383: ΕΥΡ. *εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος.* ΑΙΣΧ. '*Σπερχειὲ — ἐπιστροφαί*'. ubi Schol.: *βούνομοι*] *ὑπὸ βοῶν καταστρεφόμεναι ἤγουν κατανεμόμεναι. ἔστι δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου.*

250

ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν ἐᾷ.

Suidas: '*ἔνθ' οὔτε — ἐᾷ*'. *ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων τοῦτο λέγεται. φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης.* versu proverbiali utitur Plut. de tranq. animi c. 18 p. 476 B, item Aristaenetus 1, 27: *ἔνθα, φασίν, ἄνεμος οὔτε μένειν οὔτε πλεῖν ἐᾷ.* interpretantur paroemiographi (Diogenianus 4, 88 Greg. Cypr. 2, 47 Greg. Cypr. Leid. 2, 13 Greg. Cypr. Mosq. 3, 20). *οὔτε πλεῖν*] *οὔτ' ἐκπλεῖν* Diogen. et Suid.

251

κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου

Schol. Od. ξ 12: *ὁ δὲ Κράτης τὴν δασύτητα τῶν φύλλων* (ita ex Eust. correxit Thiersch pro *τὴν τῶν δασυτάτων φυτῶν*) *μελάνδρυον φησίν, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ* '*κρεμάσασα — μελανδρύου*'. Eust. Od. p. 1748, 57: *φέρεται δὲ καὶ Αἰσχύλου χρῆσις ἐν Φιλοκτήτῃ* '*κρεμάσας — μελανδρύου*'. *κρεμάσασα τόξον* Schol. Od., *κρεμάσας τόξον* Eust., *κρεμαστὰ τόξα* Hermann, *κρεμάσας τὸ τόξον* Bothe, fortasse *κρεμάσας δὲ τόξον* praeferendum.

252

οὐ γὰρ δράκων ἀνῆκεν, ἀλλ' ἐνῴκισεν
δεινὴν στομάτων ἔκφυσιν ποδὸς βλάβην.

Plut. non posse suaviter vivi sec. Epicurum c. 3 p. 1087 F loco graviter corrupto, ut voluptates esse breves, dolorem diutius perdurare doceat, testem adhibet Aeschylum: *μάρτυς ὁ Αἰσχύλου Φιλοκτήτης ἱκανός*· '*οὐ γὰρ ὁ δράκων*' *φησίν* '*ἀνῆκεν — λαβεῖν*'. v. 1 *ὁ δράκων* libri, *δράκων* Valckenaer Diatr. in Eur. p. 128, *δακὼν* G. A. Hirschig. *ἀνῆκεν*] *ἐνῆκεν* Valckenaer. quae ante *ἐνῴκισε* leguntur verba non Aeschyli, sed Plutarchi esse existimat Madvig Adv. crit. 1 p. 672. v. 2 *στομάτων*] *στομωτὸν* Hermann, *ὀδόντων* exspectes, *ἔκφυσιν* (vel quod Harl. praebet *ἔμφυσιν*) vitiosum, *ἔκπτυσιν* probabiliter coni. Herwerden Exerc. crit. p. 3. *λαβεῖν* vel *λάβεν* libri, *λαβὼν* Valckenaer, *βλάβην* Schneidewin Philol. 4 p. 658.

253

φαγέδαιν' ἀεί μου σάρκας ἐσθίει ποδός

Aristot. Poet. c. 22 p. 1458 b 23: *τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μεταθέντος ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλόν, τὸ δ' εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε* '*φαγέδαινα — ἐσθίει ποδός*', *ὃ δὲ*

ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκεν. φαγέδαινα (vel *φαγάδενα*) *ἥ μου* libri, *φαγέδαινα δή μου* coni. Boeckh, *φαγέδαιναν ἥ μου* Hermann, *φαγέδαν' ἀεί μου* Boissonade. Euripides ubi *θοινᾶται* pro *ἐσθίει* substituit, simul *σάρκας* in *σάρκα* mutavit.

254

ὦ πούς, ἀφήσω σε

Maximus Tyrius XIII p. 241: '*ὦ πούς, ἀφήσω σε*' *ὁ Φιλοκτήτης λέγει. ἄνθρωπε, ἄφες καὶ μὴ βόα μηδὲ λοιδοροῦ τοῖς φιλτάτοις, μηδὲ ἐνόχλει τὴν Λημνίων γῆν.* '*ὦ θάνατε παιάν*' (fr. 255, 1). *εἰ μὲν ταῦτα λέγεις ἀλλαττόμενος κακὸν κακοῦ, οὐκ ἀποδέχομαι τῆς εὐχῆς κτέ.* Aeschylea esse verba *ὦ πούς, ἀφήσω σε*, probabile est ex iis quae subiciuntur, *ὦ θάνατε παιάν*.

255

ὦ θάνατε παιάν, μή μ' ἀτιμάσῃς μολεῖν·
μόνος ⟨γὰρ⟩ εἶ σὺ τῶν ἀνηκέστων κακῶν
ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.

Stob. Flor. 120, 12: *Αἰσχύλου* (sic SA, eclogam om. M). '*ὦ θάνατε — νεκροῦ*'. v. 1 *μή μ' ἀτιμάσῃς μολεῖν*] fortasse praeferendum *πῶς ἂν ἰατρὸς μόλοις* secundum Plut. Consol. ad Apollonium c. 10 p. 106 D: *τοῦτον γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπὼν* '*ὦ θάνατε παιάν,* ⟨*πῶς ἂν*⟩ *ἰατρὸς μόλοις*', ubi *πῶς ἂν* supplevit Cobet N. L. p. 134. cum Plutarchi loco fere concinit Theodorus Metoch. p. 347: *τὸ τοῦ Αἰσχύλου φθέγγεσθαι, ὦ θάνατε παιάν, ἰατρὸς μόλε.* cf. Eur. Hipp. 1373: *καί μοι θάνατος παιὰν ἔλθοι.* v. 2 *γὰρ* om. SA. v. 3 respicit Plut. Consol. ad Apollonium c. 15 p. 109 F, qui sine poetae nomine haec habet: *ἄλγος γὰρ ὄντως οὐδὲν ἅπτεται νεκροῦ.* Soph. Oed. C. 955: *θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.* Eur. Alc. 937: *τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε.*

256

ὀκορνούς

Phot. Lex. p. 326, 9: *ὀκορνους· τοὺς πάρνοπας. Αἰσχύλος Φιλοκτήτῃ. οἱ δὲ Ἴωνες ἀττελέβους.* Hesych. 3 p. 193: *ὀκορνούς· τοὺς ἀττελέβους. καὶ τὰ ἀκριώδη* (*ἀκριδώδη* coni. Guyetus, *ἀκρίδια* Pierson in Moer. p. 316) *οὕτω λέγουσιν.*

257

φαβῶν

Ath. IX p. 394 A: *κἀν Φιλοκτήτῃ δὲ κατὰ γενικὴν κλίσιν φαβῶν εἴρηκεν* (Aeschylus).

ΦΙΝΕΥΣ

Non memoratur in fabularum catalogo. tragoedia acta est olymp. 76, 4. cf. Argum. Aesch. Pers. allatum p. 10. de Hesych. v. *καταράκτης*, quam glossam fuit qui huc referri vellet, v. Soph. fr. 648.

258

καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου
ἐρρυσιάσθη στόματος ἐν πρώτῃ χαρᾷ

Ath. X p. 421 F: *ὁ δ' Εὐριπίδης φησί 'φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα' — Αἰσχύλος τ' ἐν Φινεῖ 'καὶ — χαρᾷ'.* v. 1 *μαργώσῃ γνάθῳ* aut cum Hartungio *μαργώσαις γνάθοις* scripserim. v. 2 *ερρυσιας οἷον* A, *ἐρρυσίαζον* Lobeck, *ἐρρυσιάσθη* Kaibel. *πρώτῃ χαρᾷ* Musurus, *πρωτιοχαραι* A.

259

πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις

Pollux 7, 91: *ἃ δὲ ποδεῖα Κριτίας καλεῖ, εἴτε πίλους αὐτὰ οἰητέον εἴτε περιειλήματα ποδῶν, ταῦτα πέλλυτρα καλεῖ ἐν Φινεῖ* (sic corr. M. Schmidt Philol. 18 p. 228, *φρυνὶ* A, *φοινίσσαις* vulgo, *Φρυξὶ* Bekker) *Αἰσχύλος 'πέλλυτρ' — ἀρβύλαις'.* cf. Pollux 2, 196: *ποδεῖα τοὺς περὶ τοῖς ποσὶ πίλους Κριτίας, ἅπερ Αἰσχύλος πέλλυτρα καλεῖ.* Pollux 10, 50: *πέλλυτρα· οὕτω γὰρ τὰ ποδεῖα Σοφοκλῆς* (immo *Αἰσχύλος*) *καλεῖ.* adde quae dixit M. Schmidt in Hesych. v. *πέλλυτρα.*

260

Philodemus de pietate p. 18: *Αἰσχύλος δ' ⟨ἐν Φινεῖ⟩ καὶ Εὔβυ⟨κος καὶ Τε⟩λέστης ⟨ποιοῦσιν⟩ τὰς Ἁρπ⟨υίας θνῃσκ⟩ούσας ὑπ⟨ὸ τῶν Βορέου παί⟩δων.* ita locum mutilum probabiliter restituit Gomperz.

ΦΟΡΚΙΔΕΣ

Aristoteles Poet. 18 p. 1456 a 2: *τὸ δὲ τερατῶδες* (sic pro *τέταρτον ὀησ* scripsit Schrader), *οἷον αἵ τε Φορκίδες καὶ Προμηθεὺς* (*καὶ οἱ Προμηθεῖς* Bergk Philol. 30 p. 679) *καὶ ὅσα ἐν Ἅιδου.* Phorcides fuisse satyricam fabulam docet titulus Corp. Inscr. Att. II 973, 31. de mytho cf. Schol. Apoll. Rhod. 4, 1515.

261

ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς

Ath. IX p. 402 B: *οἱ περὶ τὴν Σικελίαν κατοικοῦντες ἀσχέδωρον καλοῦσι τὸν σύαγρον. Αἰσχύλος γοῦν ἐν Φορκίσι παρεικάζων τὸν Περ-*

σέα τῷ ἀγρίῳ τούτῳ συί φησιν 'ἔδυ — ὥς'. similiter Eust. Od. p. 1872, 5, qui fabulae nomen om., cf. Anecd. Bekk. p. 457, 21: ἀσχέδωρος παρ' Αἰσχύλῳ. Hesych. 1 p. 310: ἀσχέδωρος· ὁ σύαγρος παρὰ Ἰταλοῖς (l. παρ' Αἰσχύλῳ).

262

Eratosth. Catast. c. 22: Περσεύς. — δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος φησὶν ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐν Φορκίσιν. ἃς (Γραίας coni. Gale, τρεῖς δ' Wilamowitz-Moellendorff) εἶχον προφύλακας αἱ γοργόνες. Hyginus Poet. astr. 2, 12 p. 445: *sed ut ait Aeschylus tragoediarum scriptor in Phorcisi, graeae fuerunt gorgonum custodes.* Schol. Germ. Caes. Caes. Arat. p. 82, 15: *Aeschylus harpen adamantinam a Volcano dicit eum* (Perseum) *accepisse.*

ΦΡΥΓΕΣ Η ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ

De trilogia cuius haec fabula fuisse videatur, cf. p. 42. summa argumenti cognoscitur ex Schol. A Il. X 351, ubi de verbis οὐδ' εἴ κεν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι Δαρδανίδης Πρίαμος haec annotantur: ὑπερβολικῶς λέγει· ὁ δὲ Αἰσχύλος ἐπ' ἀληθείας ἀντίσταθμον χρυσὸν πεποίηκε πρὸς τὸ Ἕκτορος σῶμα ἐν Φρυξίν. (aliud scholion codicis T: ὁ μέντοι Αἰσχύλος Ἕκτορος λύτροις ἀληθὲς αὐτὸ ἐξεδέξατο.) Φρύγες igitur Troiani dicuntur, cf. fr. 271 et 446. Athenaeus I p. 21 F: Ἀριστοφάνης γοῦν, παρὰ δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις, ποιεῖ αὐτὸν Αἰσχύλον λέγοντα (Com. 2 p. 1177) 'τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν', καὶ πάλιν 'τοὺς Φρύγας οἶδα θεωρῶν, ὅτε τῷ Πριάμῳ συλλυσόμενοι (συλλησόμενοι C) τὸν παῖδ' ἦλθον τεθνεῶτα, πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντας'. Achillem poeta diu silentem fecit, cf. Vita Aeschyli p. 3, 11 (Westerm. Βιογρ. p. 119, 36) Ar. Ran. 911 Schol. Aesch. Prom. 436 Eust. Od. p. 1941, 1 Eust. Il. p. 1343, 62, quos locos attulimus p. 50. adde Schol. Ar. Ran. 911: ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ' Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λύτροις (λουτροῖς RVΘ, λύτροις Θ in glossa). quibus subiciuntur recentiora haec, quae om. R: ἄλλως· εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν Ἀχιλλέα ἢ Ἕκτορος λύτροις· ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται. Hermann huic fabulae adscribit fr. 296. in Stobaei Flor. 4, 21 versus πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν lemma habet Αἰσχύλος ἐν Φρυξίν, errore manifesto: perturbatas illo in loco scriptorum notationes in ordinem redigere temptavit Hermann Opusc. vol. 5 p. 159 sq., qui fortasse hac in re verum vidit, quod versum οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν (adesp. fr. 519) Aeschylo tribuit.

263

ἀλλὰ ναυβάτην
φορτηγόν, ὅστις ῥῶπον ἐξάγει χθονός

Pollux 7, 131: *τῷ μέντοι φορτηγῷ ἐπὶ τῶν τὰ φορτία ἀγόντων ἐμπόρων κέχρηται Αἰσχύλος ἐν Φρυξὶν ἢ λύτροις* '*ἀλλὰ — χθονός*'.

264

ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων

Ath. II p. 51 C: *μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος* '*ἀνὴρ — μόρων*'. Eust. Il. p. 211, 16: *πεπαίτερον, ὅπερ ἐστὶν ὡριμώτερον. Αἰσχύλος* '*ἀνὴρ — μόρων*'. Phot. Lex. p. 275, 19: *μόρον· τὸ συκάμινον. Αἰσχύλος.* Meineke contulit Theocr. 7, 120: *ἀπίοιο πεπαίτερος.*

265

διαπεφρούρηται βίος

Hesych. 1 p. 494: *διαπεφρούρηται βίος· Αἰσχύλος Φρυξίν. οἷον ἡ διὰ τοῦ βίου φρουρὰ* (*φθορὰ* codex) *συντετέλεσται, ἢ διελήλυθεν ὁ χρόνος.*

266

καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν
εἴτ' οὖν κακουργεῖν, ἀμφιδεξίως ἔχει
τῷ μήτε χαίρειν μήτε λυπεῖσθαι φθιτούς.
ἡμῶν γε μέντοι Νέμεσις ἔσθ' ὑπερτέρα,
καὶ τοῦ θανόντος ἡ Δίκη πράσσει κότον. 5

Stob. Flor. 125, 7: *Αἰσχύλου Ἕκτορος.* '*καὶ τοὺς — πράσσει κότον*'. v. 1 *εἰ θέλεις* SM, om. A, *εἴτε λῇς* malim. v. 2 *ὃ γοῦν* SMA, *εἴτ' οὖν* Hermann, *ἤγουν* Madvig Adv. crit. 1 p. 206. v. 3 *καὶ* libri, *τῷ* Salmasius. *βροτούς* libri, *φθιτούς* Hermann. v. 5 *κότον*] *τόκον* scripsi in priore edit., quam coniecturum probat Ribbeck *Röm. Tragödie* p. 130. *φόνον* suasit Blaydes in Soph. El. 792 p. 306, *τάφον* Herwerden Emend. Aeschyl. p. 161. *καὶ τοῦ θανόντος εἰ δίκην πράσσει κότος* coni. R. Enger Adnot. ad trag. Gr. fr. p. 26, qui addit haec: '*quem Suidas servavit versum* (*v. παλαιγενές*), *εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι, is huc referendus est et ab Achille pronunciatus videtur, ad quem respondit Priamus ea de qua modo disputavimus oratione*'. nihil in his inest quod ulla probabilitatis specie commendetur.

267

Ἀνδραίμονος γένεθλον . . Λυρνησσίου,
ὅθεν περ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην

Schol. Eur. Andr. 1: *τὴν ἐν Ἀσίᾳ λέγει τὴν Ὑποπλάκιον Θήβην —. ἔνιοι δὲ καὶ τὴν Χρύσην καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν, ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτὴν λέγων 'Ἀνδραίμονος — φίλην'.* v. 1 *γένεθλον ὦ* Hermann, *γένεθλα τοῦ* Bothe, *γένεθλον ἦν* Dindorf. v. 2 *περ ἕκτωρ* M, *παρ' ἕκτορος* GT, *περ Ἕκτωρ σ'* Hermann.

268

ἀγαστά

Hesych. 1 p. 15: *ἀγαστά· ἃ ἄν τις ἀγάσαιτο, οἷον ἀρεστά. Αἰσχύλος Φρυξίν* (*φραξ'* codex). Alberti *ἀγατά* ex litterarum ordine scribendum coniecit.

269

ἀδίοπον

Hesych. 1 p. 46: *ἀδίοπον· ἄναρχον καὶ ἀφύλακτον. Αἰσχύλος Φρυξί. δίοποι γὰρ οἱ τῆς νεὼς φύλακες.* eadem Anecd. Bekk. p. 344, 8 omissis verbis *Αἰσχύλος Φρυξί.* cf. Eust. Il. p. 203, 13: *ἀδίοπος γάρ, φασίν, ὁ ἄναρχος καὶ ἀφύλακτος, ἐπεὶ δίοποι οἱ βασιλεῖς καὶ οἱ διέποντες.*

270

ἀροτόν

Hesych. 1 p. 286: *ἀροτόν· τὸν ὁλκὸν τοῦ Ἕκτορος, ἢ τὸ ἀντίσταθμον. Αἰσχύλος Φρυξί* (*φρυξίς* codex). lemma vitiosum, *ἀντίρροπον* coni. M. Schmidt.

271

ἐπιστροφαί

Hesych. 2 p. 170: *ἐπιστροφαί· διατριβαί, δίαιται. Αἰσχύλος Φρυξίν.* Bergk probabiliter huc refert versum sine poetae nom. ab Eust. Od. p. 1484, 49 traditum, *Κίλιξ δὲ χώρα καὶ Σύρων ἐπιστροφαί.* ac fortasse cum hoc versu iungendum est adespoton fr. 560, ita ut scribamus:

χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα
Κίλιξ τε χώρα καὶ Σύρων ἐπιστροφαί.

272

τιτῆναι

Hesych. 4 p. 160: *τιτῆναι· βασιλίδες* (*βασι*[λδ'] codex). *ἢ Ἕκτορος λύτροις.* post *βασιλίδες* excidisse *Αἰσχύλος ἐν Φρυξὶν* coni. Soping. Hesych. 4 p. 156: *τιήνη· ἡ βασίλισσα.* p. 160: *τίταξ· ἔντιμος ἢ δυνάστης, οἳ δὲ βασιλεύς.*

ΦΡΥΓΙΟΙ

Memoratur in dramatum catalogo. num vera sit tradita lectio dubitat Guil. Hippenstiel de Gr. tragicorum principum fabularum nominibus (dissert. Marpurg. a. 1887) p. 4.

ΨΥΧΑΓΩΓΟΙ

Phryn. Bekk. p. 73, 13: *ψυχαγωγός· οἱ μὲν Ἀλεξανδρεῖς τὸν τῶν παίδων ἀνδραποδιστὴν οὕτω καλοῦσιν, οἱ δ' ἀρχαῖοι τοὺς τὰς ψυχὰς τῶν τεθνηκότων γοητείαις τισὶν ἄγοντας* (l. *ἀνάγοντας*). *τῆς αὐτῆς ἐννοίας καὶ τοῦ Αἰσχύλου τὸ δρᾶμα Ψυχαγωγοί* (*ψυχαγωγός* cod.). fabulae argumentum ex Homeri *Νεκυίᾳ* repetitum fuisse coni. Valckenaer Diatr. p. 286.

273

Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν

Ar. Ran. 1266: '*Ἑρμᾶν — λίμναν*'. ubi Schol.: *Ἑρμᾶν μὲν πρόγονον· ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν.* cf. Fritzsche in Ar. Ran. p. 381.

274

καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων

Pollux 10, 10: *αὐτὸ μὲν γὰρ τοὔνομα τῆς σκευοθήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου Ψυχαγωγοῖς* '*καὶ — ἐρειπίων*'.

275

ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος
ὄνθῳ σε πλήξει νηδύος χειλώμασιν·
ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος
σήψει παλαιὸν δέρμα καὶ τριχορρυές.

Schol. V Od. λ 134: *οἱ νεώτεροι τὰ περὶ Τηλέγονον ἀνέπλασαν τὸν Κίρκης καὶ Ὀδυσσέως, ὃς δοκεῖ κατὰ ζήτησιν τοῦ πατρὸς εἰς Ἰθάκην ἐλθὼν ὑπ' ἀγνοίας τὸν πατέρα διαχρήσασθαι τρυγόνος κέντρῳ. Αἰσχύλος δὲ ἐν Ψυχαγωγοῖς ἰδίως λέγει* '*ἐρρωδιὸς — τριχορ-*

ρυές'. v. 1 ἐρρωδιὸς cod. v. 2 ὅν θ' ὡς ἔπληξεν ἡ δ' υἱὸς cod., ὄνθῳ σε πλήξει Valckenaer Diatr. p. 286, νηδύος Meursius. dubito tamen πλήξει num ferri possit, neque aptum arbitror πλήσει a Meinekio Vind. Aristoph. p. 77 propositum. scripserim ἐρῳδιὸς γάρ ⟨σ'⟩ ὑψόθεν ποτώμενος ὄνθῳ παλάξει. χειλώμασιν] fortasse κενώμασιν legendum. Tiresiae esse verba coni. Valckenaer.

276

σταθεροῦ χεύματος

Phot. Lex. p. 534, 2: σταθερόν — τινὲς καὶ ἐπὶ τοῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς 'σταθεροῦ χεύματος'. eadem Suidas v. σταθερόν, ubi χεύματος A, χρήματος ceteri.

277

Δαῖρα

Schol. Apoll. Rhod. 3, 847: ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ συγκατατίθεται καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, τὴν Περσεφόνην ἐκδεχόμενος Δαῖραν. cf. Hesych. 1 p. 455: Δαῖρα· ἡ αὐτὴ τῇ Δαείρᾳ.

278

δρώπτειν

Hesych. 1 p. 540: δρώπτειν· διακόπτειν ἢ διασκοπεῖν. Αἰσχύλος Ψυχαγωγοῖς. verbum nobis ignotum. suspicari possis priorem interpretationem ad δρύπτειν, alteram ad δρωπάζειν esse referendam.

ΨΥΧΟΣΤΑΣΙΑ

Plutarchus de audiendis poetis c. 2 p. 17 A: ἐπὶ τοῦ Διὸς εἰρηκότος Ὁμήρου 'ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο· ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ· ᾤχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων', τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν ἐπιγράψας Ψυχοστασίαν καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν Θέτιν, ἔνθεν δὲ τὴν Ἠώ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων. Schol. A Il. Θ 70 (cf. Eust. Il. p. 699, 31): κῆρε — τὰς θανατηφόρους μοίρας λέγει· ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχάς, ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἔστιν ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν. Schol. B ibid.: Πορφυρίου. πρὸς Αἰσχύλον Ψυχοστασίαν γράψαντα. Schol. BT Il. Χ 209: κῆρας τὰς μοίρας λέγει, οὐ τὰς ψυχάς, ὡς ἐξεδέξατο φαύλως Αἰσχύλος (ὡς ἐξεδέχετο Αἰσχύλος T). Eust. Il. p. 1266, 37: φασὶ δὲ οἱ παλαιοὶ ἐκ τούτου τοῦ χωρίου πεπλάσθαι — τὴν Ψυχοστασίαν τῷ Αἰσχύλῳ κῆρε

νοήσαντι τὰς ψυχάς, ὡς καθόλου τοῦ Διὸς ψυχὰς ἱστῶντος. Pollux 4, 130: *ἀπὸ δὲ τοῦ θεολογείου ὄντος ὑπὲρ τὴν σκηνὴν ἐν ὕψει ἐπιφαίνονται θεοί, ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν ἐν Ψυχοστασίᾳ. ἡ δὲ γέρανος μηχάνημά ἐστιν ἐκ μετεώρου καταφερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται Ἠὼς ἁρπάζουσα τὸ σῶμα τοῦ Μέμνονος.*

279

ἀνηκίδωτοι

Hesych. 1 p. 199: *ἀνηκίδωτοι* (*ἀνηκίδοτοι* cod.)· *ἄνευ ἀκίδος. Αἰσχύλος Ψυχοστασίᾳ.* Anecd. Bekk. p. 402, 25: *ἀνηκίδωτοι· ἄνευ ἀκίδος.*

280

αὐριβάτας

Hesych. 1 p. 323: *αὐριβάτας. Αἰσχύλος τὸ αὖρι* (*τὸ αὔριον* codex, correxit Pauw) *ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ οὕτως φησὶ τὸ ὄνομα, ταχυβήμων* (*ταχυβήλων* ante Salmasium). cf. Anecd. Bekk. p. 464, 9: *αὐρίβατον· τὸ αὖρι τιθέασιν ἐπὶ τοῦ ταχέως καὶ τάχα, οὐκ ἀπὸ τῆς αὔρας, ἀλλὰ κατά τινα βαρβαρικὴν λέξιν, τάχα δὲ καὶ ἀπὸ τοῦ αὔριον.*

ΩΡΕΙΘΥΙΑ

Non memoratur in fabularum catalogo.

281

. . *καὶ καμίνου σχῶσι μάκιστον σέλας.*
εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον,
μίαν παρείρας πλεκτάνην χειμάρροον
στέγην πυρώσω καὶ κατανθρακώσομαι.
νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος 5

Longinus de subl. c. 3, 1 post lacunam duorum foliorum: '*καὶ καμίνου — γενναῖον μέλος*'. *οὐ τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν καὶ τὰ ἄλλα ἑξῆς· τεθόλωται γὰρ τῇ φράσει καὶ τεθορύβηται ταῖς φαντασίαις μᾶλλον ἢ δεδείνωται.* v. 1 *καὶ μὴ* coni. Toll, *εἰ καὶ* Musgrave. v. 2 *γάρ τιν'*] *γὰρ τὸν* Toup. *μόνον*] *ψόλον* Musgrave, *δόμων* Dobree Adv. 2 p. 31, *δόμον* Gennadius. v. 3 *μίαν*] *βίᾳ* Ruhnken. auctorem versuum prodit Iohannes Sicel. in Rhet. vol. 6 p. 225: *φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ* (Aeschyli) *μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν· οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβεῖα ἐπιλαθόμενος· — λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέστερον ἐν τῷ κα' τῶν Φιλολόγων.*

INCERTARVM FABVLARVM FRAGMENTA

282

κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις

Ar. Ran. 1291: 'κυρεῖν — ἀεροφοίτοις'. Aeschylea esse verba docet loci nexus. falsum est quod Scholia tradunt: *καὶ τοῦτο ἐξ Ἀγαμέμνονος.* ex Sphinge versum repetitum esse coni. Fritzsche, ex Memnone Bergk.

283

ἀναξίαν

Hesych. 1 p. 178: *ἀναξίαν· βασιλείαν. Αἰσχύλος λιανοίαις.* extremi vocabuli incerta est emendatio: *Αἰτναίαις* coni. Alberti, *Νεανίαις* vel *Νεανίσκοις* M. Schmidt.

284

τὴν αἰπεινὴν ζαθέαν Ὤλενον

Steph. Byz. p. 707, 13: *Ὤλενος, πόλις Ἀχαΐας καὶ Αἰτωλίας θηλυκῶς λεγομένη. Αἰσχύλος γραύσιον* (sic cod. Rehd. Par., *τοαύσιον* cod. Voss.) 'τὴν — Ὤλενον'. *πειvὴν* Voss. *ζαθέαν τ'* Paris. in vitiosa scriptura *γραύσιον* titulum fabulae alius alii latere coniecerunt: verum videtur esse assecutus, qui *Γλαύκῳ* (*ποντίῳ*) scribi voluit Hartung Aesch. fragm. p. 115, quocum consentit Wilamowitz-Moellendorff *Isyllos von Epidauros* p. 113 sq.

285

νηριτοτρόφοι

Ath. III p. 86 B: *καλεῖται δ' ὁ ἀναρίτης καὶ ἀνάρτης. — Αἰσχύλος δ' ἐν Πέρσαις τίς ἀνήρει τοὺς νήσους νηριτοτρόφους εἴρηκεν.* verba corrupta *τίς ἀνήρει τοὺς νήσους* emendavit Pappageorgius *Κριτ. καὶ ἑρμην.* p. 10, *τὰς ἀναρίτας* ⟨*τρεφούσας*⟩ *νήσους.* in Persis nihil est quod huc faciat: itaque Blomfield de auctoris nomine errasse Athe-

naeum statuit, A. Hecker Philol. 4 p. 482 *ἐν Περραιβίσιν* proposuit. alii *νηριτοτρόφους νήσους* olim in Persis extitisse suspicantur, cf. quae dixit Wecklein in Aesch. vol. 1 p. 108 et vol. 2 p. 39.

286

ὑπόξυλος

Schol. Hermog. in Rhet. vol. 5 p. 486 (Anecd. Bekk. p. 1073): *ὑπόξυλος — ἐπὶ τῶν λαμπρῶν μὲν ἔξωθεν καὶ ἐπιεικῶν, πονηρῶν δὲ τὰ ἔνδον. Αἰσχύλος ἐν Πέρσαις. μέμνηται καὶ Διογενιανὸς ἐν τῇ λέξει τούτου καὶ Διονύσιος ἐν τῇ ἐκλογῇ τῶν ὀνομάτων, ὅτι* (l. *ὅ τε*) *Μένανδρος ἐν τῇ Περινθίᾳ φησίν 'οὐδ' αὐτός εἰμι σὺν θεοῖς ὑπόξυλος'.* scribendum esse *Αἰσχύλος ἐν Περραιβοῖς* (debebat *Περραιβίσι*) coni. Blomfield, cf. Aesch. fr. 185 et quae dixit Naber in Phot. Lex. vol. 1 p. 26 sq.

287

ἀποφύλιοι ξένοι

Hesych. 1 p. 263: *ἀποφύλιοι ξένοι· οἱ μὴ ἔχοντες φυλήν. Αἰσχύλος σατυρικῷ.* vitiose Anecd. Bekk. p. 439, 12: *ἀποφώλιοι· ξένιοι, οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος.* similiter Suidas et Zon. Lex. p. 237, qui addunt: *ἢ ἀπαίδευτοι· φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες* (*τὰ παιδευτήρια κατὰ Ἴωνας* Zon.). Pollux 3, 56: *ἀποφύλιον τὸν φυλὴν μὴ ἔχοντα.*

288

δέδοικα μῶρον κάρτα πυραύστου μόρον.

Aelianus N. A. 12, 8: *μέμνηται δὲ αὐτοῦ* (sc. *τοῦ πυραύστου*) *καὶ Αἰσχύλος ὁ τῆς τραγῳδίας ποιητὴς λέγων 'δέδοικα — μόρον'.* similiter Prov. Milleri *Mél. de litt. gr.* p. 352 (Zenobius 5, 79) et Suidas v. *πυραύστου.* Iacobs attulit Manuelis Philae carmen vol. 1 p. 164 ed. Mill. v. 465: *ἀλλὰ δεδοικὼς τῶν πυραυστῶν τὸν μόρον ὡς ἀφρόνων ἔλεγχον ἐκ παροιμίας.* proverbium *πυραύστου μόρος* memorat Eust. Il. p. 1304, 8 Od. p. 1547 f. p. 1848, 37 et comm. in Iohannis Damasc. hymnum pentecost. Spicileg. Rom. vol. 5 p. 238. novum vocabulum *πυραυστούμορος* ex Zenobii loco male intellecto finxit Tzetzes in Lycophr. 84 et Chil. 9, 963 et 987. *μῶρον*] *μόρον* Suidas, *μωρόν* ceteri. *πυραύστου*] *πυρκαύστου* coni. Spitzner *Prosodik* p. 99.

289

βοᾶς τοιοῦδε πράγματος θεωρὸς ὢν

Ammonius Valck. p. 69: *θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμ-*

πόμενος, θεατὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων. — Αἰσχύλος ʽβοᾷς — ὤν'. βοᾷς] Θόας coni. Valckenaer, *δρᾷς* Conington.

290

φρὴν ἀγέλαστος ·

Anecd. Bekk. p. 337, 8: *ἀγέλαστος· ὁ μὴ πρὸς γέλωτα ἐπιτήδειος — Αἰσχύλος δὲ φησὶ καὶ ʽφρὴν ἀγέλαστος'.* in Choephoris haec verba quondam extitisse coni. Merkel, cf. Wecklein Aesch. vol. 2 p. 221.

291

θρηνεῖ δὲ γόον τὸν ἀηδόνειον

Anecd. Bekk. p. 349, 7: *ἀηδόνειος θρῆνος. Αἰσχύλος ʽθρηνεῖ — ἀηδόνειον'. ἀηδόνειον] ἀηδόνιον* Blomfield. Hesychius 1 p. 60: *ἀηδόνων (ἀηδόνειος* M. Schmidt)*· ἐπὶ μὲν ὕπνου τὸ ἐλάχιστον, ἐπὶ δὲ λύπης τὸ σφοδρότατον.*

292

ἀκνίσωτος οἶκος

Anecd. Bekk. p. 368, 29: *ἀκνίσωτος οἶκος· ὁ ἄνευ πυρὸς καὶ κνίσης. οὕτως Αἰσχύλος.*

293

. . *ἄκουε τὰς ἐμὰς ἐπιστολάς*

Anecd. Bekk. p 372, 8: *ἄκουε τὰς ἐμὰς ἐπιστολάς· ἀντὶ τοῦ τῶν ἐμῶν ἐπιστολῶν. οὕτως Αἰσχύλος.* Similiter *ἄκουε νῦν καὶ τήνδε τὴν ἐπιστολήν* Cratinus Com. 2 p. 231.

294

μέγαν ἀλάστορον

Anecd. Bekk. p. 382, 30: *ἀλάστορον· ἀντὶ τοῦ ἀλάστορα, ἀπὸ εὐθείας τῆς ὁ ἀλάστορος. ὁ Αἰσχύλος ʽμέγαν ἀλάστορον' εἶπεν.* vide quae diximus in fr. 92.

295

αὐτόκραντον λόγον

Anecd. Bekk. p. 467, 9: *αὐτόκρανον λόγον· τὸν ἐξ ἑαυτοῦ τὸ τέλος ἐπιφέροντα. οὕτως Αἰσχύλος.* potius *αὐτόκραντον* scribendum cum Dindorfio.

296

πᾶσα γὰρ Τροία δέδορκεν Ἕκτορος τύχης διαί.

Anecd. Oxon. vol. 1 p. 119, 12 de *διά* praepositione: *παρὰ δὲ Ἀττικοῖς προσλαμβάνει* (*προλαμβάνει* ed.) *τὸ ἰῶτα καὶ γίνεται διαί, καὶ συντάσσεται γενικῇ καὶ ἰσοδυναμεῖ τῷ ἕνεκα· ʻπᾶσα — διαί' ἀντὶ τοῦ ἕνεκα Ἕκτορος· καὶ ἐν Ἀγαμέμνονι* (448) *ʻἀλλοτρίας διαὶ γυναικός'*. verba *πᾶσα γὰρ κτἑ.* Aeschylea esse recte Cramer coniecit. *δέδουπεν* pro *δέδορκεν* voluit Bernhardy, *δέδοικεν* Dindorf, *δέδυκεν* H. Sauppe Philol. vol. 20 p. 172. *τύχης*] *ψυχῆς* Cobet Mnem. vol. 10 (a. 1861) p. 344 et Haupt Herm. 6 p. 385 sive Opusc. 3 p. 560.

297

ἐν μανοστήμοις πέπλοις

Anecd. Oxon. vol. 1 p. 288, 23: *μανόν, τὸ ἀραιόν· ὡς Αἰσχύλος ʻἐν — πέπλοις'*. eadem fere Etym. M. p. *574, 51 sive p. 1630 ed. Gaisf. Etym. Gud. p. 378, 38 Zon. Lex. p. 1332. cf. Hesych. 3 p. 70: *μανοστήμοις· ἀραιοστήμοις.*

298

ἐτονθόρυζε ταῦρος ⟨*ὡς*⟩ *νεοσφαγής*

Anecd. Oxon. vol. 2 p. 414, 13: *τονθωρύζω — Αἰσχύλος ʻἐτονθώρυζε ταῦρος νεοσφαγής'*. *ἐτονθόρυζε* correxit et *ὡς* addidit Cramer.

299

οὔτοι μ' ἄπειρον τῆσδε τῆς προσῳδίας

Anecd. Oxon. vol. 4 p. 315, 28: *παρ' Αἰσχύλῳ τὴν προσῳδίαν εὑρίσκομεν κειμένην ἐπὶ τῆς προσφωνήσεως, οὐ τῆς μετ' ὀργάνου φωνῆς, ʻοὔτι μ' — προσῳδίας'*. *οὔτοι*] *οὔτι* cod.

300

γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι
Αἰθιοπίδος γῆς, ἔνθα Νεῖλος ἑπτάρους
γαῖαν κυλίνδων πνευμάτων ἐπομβρίᾳ,
ἐν ᾗ πυρωτὸν φέγγος ἐκλάμψαν φλόγα
τήκει πετραίαν χιόνα· πᾶσα δ' εὐθαλὴς 5
Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη
φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

Anonymus de Nilo in Athenaei ed. Dind. p. 165: *καὶ Αἰσχύλος ʻγένος μὲν — στάχυν'*. Schol. Apoll. Rhod. 4, 269: *καὶ Αἰσχύλος*

δὲ καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς ὑπὲρ (*ὑπὸ* L, correxit H. Keil) *τὴν Αἴγυπτον χιονίζεσθαι τόπους καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδίδοσθαι.* Seneca Nat. quaest. IV, 2, 16 (cf. Ioh. Lydus de mens. 4, 68 p. 96, 19): *Anaxagoras ait ex Aethiopiae iugis solutas nives ad Nilum usque decurrere — hoc Aeschylus Sophocles Euripides tradunt.* Aristides vol. 2 p. 443: *Αἰγυπτίων μὲν οἱ μὴ ἀποδημήσαντες οὐδὲ εἶδον χιόνα, ἀλλ' οὐδ' ἑτέρου λέγοντος δύνανται μαθεῖν — οἱ δ' ἐπὶ τῇ τῆς μεσημβρίας ἀρχῇ χιόνος πλέον ἢ θέρμης ἔχουσι, καὶ τί γένοιτ' ἂν τούτου τραγικώτερον ψεῦσμα, ἄν τ' Εὐριπίδης ἄν τ' Αἰσχύλος αὐτὸ συνθῇ;* ibid. p. 460: *οὔτ' αὐτόθεν ὁ Νεῖλος ὁρμᾶται — οὔθ' ὑπὲρ τοὺς καταρράκτας δυνατὸν τὸ ὕδωρ ὑπερβαλεῖν, εἰ μὴ κατ' Αἰσχύλον ὡς ἀληθῶς ἐξ αἰθέρος τις αὐτὸ καταπαλτὸν φέρεσθαι θείη.* v. 1 *γένος* vix sanum, *γάνος* parum probabiliter coni. Deventer. *καὶ μαθὼν* F (cod. Laur. plut. 56, 1), *ἐκμαθὼν* Schweighaeuser. v. 2 *αἰθιόπιδος* F. *ἔνθα νεῖλος ἑπτάρρους* F, corr. Grotius. v. 3 *γαῖαν*] *γάνος* Hermann. *κυλίνδων* F, *κυλίνδει* Salmasius. *ῥευμάτων* Is. Voss, cui Hermann opponit Aristid. vol. 2 p. 450: *ἀπεβλέψαμεν οὖν εἰς τὰ νέφη, καί τις ἔφη τῶν παρόντων 'ταῦτα δὴ τὰ τοῦ Νείλου πνεύματα'.* *ἐπομβρία* F, *ἐπομβρίαις* Stephanus. post v. 3 quaedam excidisse suspicor. v. 4 *ἐν ἧι πυρωτὸν μηνὸς* F, *ἐν ᾗ πυρωτὸν φέγγος* scripsi. *ἐκλάμψαν φλόγα* F, *ἐκλάμψας χθονὶ* nescio quis. v. 5 *πετραίην χίονα* F. v. 7 *ἀγγέλλει* ut videtur F, *ἀντέλλει* Grotius. locum e Memnone aut Psychostasia petitum suspicantur.

301

ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

Anonymus diss. in Orellii Opusc. sent. vol. 2 p. 222: *Αἰσχύλου δὲ ταῦτα 'ἀπάτης — θεός'.* eundem versum Aeschylo tribuunt Stob. Flor. 9, 23 (quam eclogam cum lemmate *τοῦ αὐτοῦ* habent MA, om. S) Schol. Il. *Β* 114 Eust. Il. p. 188, 43: sine poetae nomine habet Eust. Il. p. 480, 43, ubi *ἀγαθῆς* pro *δικαίας* legitur. haud dissimilis est versus in Men. mon. 146: *εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός.*

302

ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου τιμᾷ θεός.

Anonymus diss. in Orellii Opusc. sent. vol. 2 p. 222: *Αἰσχύλου δὲ ταῦτα 'ἀπάτης — θεός'* (fr. 301). *'ψευδῶν — θεός'.* non cohaerere hos versus vidit Gale. *ὅποι τιμῇ* libri ut videtur.

303

μὴ παρασπιστὴς ἐμοὶ
μηδ' ἐγγὺς εἴη

Aristid. vol. 2 p. 379: *μὴ μὲν οὖν ἔμοιγε κατ' Αἰσχύλον μήτε παρασπιστὴς μήτ' ἐγγὺς εἴη ὅστις μὴ φίλος τῷ ἀνδρὶ τούτῳ μηδὲ τιμᾷ τὰ πρέποντα.* Aeschylea verba agnovit Hermann.

304

τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν
πεποικίλωκε κἀποδηλώσας ἔχει
θρασὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ·
ὃς ἦρι μὲν φανέντι διαπαλεῖ πτερὸν
κίρκου λεπάργου· δύο γὰρ οὖν μορφὰς φανεῖ 5
παιδός τε χαὐτοῦ νηδύος μιᾶς ἄπο·
νέας δ' ὀπώρας ἡνίκ' ἂν ξανθῇ στάχυς,
στικτή νιν αὖθις ἀμφινωμήσει πτέρυξ.
ἀεὶ δὲ μίσει τῶνδ' ἄπ' ἄλλον εἰς τόπον
δρυμοὺς ἐρήμους καὶ πάγους ἀποικιεῖ. 10

Aristot. H. A. 9, 49 p. 633 a 19: *μεταβάλλει δὲ καὶ ὁ ἔποψ τὸ χρῶμα καὶ τὴν ἰδέαν, ὥσπερ πεποίηκεν Αἰσχύλος ἐν τοῖσδε· 'τοῦτον δ' — ἀποικίσει'.* cf. Plinius N. H. 10, 86: (formam coloremque) *mutat et upupa, ut tradit Aeschylus poeta.* v. 4 *φαίνοντι* vel *φαίνοντα* libri, *φανέντι* scripsi. *διαπάλλει* libri, *διαπαλεῖ* W. Gilbert Act. soc. phil. Lips. II p. 323. v. 6 *καὐτοῦ* libri. v. 7 *ἵνα καταξανθῇ* libri, *ἡνίκ' ἂν ξανθῇ* Salmasius, *ἡνίκ' ἐξανθῇ* Conington. v. 9 *μισεῖ* libri. *τῶνδ' ἀπαλλαγεὶς τόπων* coni. Heath. v. 10 *ἀποικίσει* libri, *ἀποικιεῖ* Dindorf, *ἐποίχεται* Heath. Sophoclis esse locum e Tereo petitum coni. Welcker, consentit Bernhardy Hist. lit. Gr. II, 2 p. 335 ed. tert.

305

τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται.

Aristot. Rhet. 2, 10 p. 1388 a 7: *τοῖς γὰρ ἐγγὺς καὶ χρόνῳ καὶ τόπῳ καὶ ἡλικίᾳ καὶ δόξῃ φθονοῦσιν. ὅθεν εἴρηται 'τὸ — ἐπίσταται'.* ubi Schol. fol. 37 b 28: *τοῦ Αἰσχύλου τοῦ ποιητοῦ ἐστι 'τὸ — ἐπίσταται'.*

306

διαβρέχεις τἀρτύματα

Ath. II p. 67 F: *ὅτι ἀρτύματα εὕρηται — παρ' Αἰσχύλῳ 'διαβρέχεις τἀρτύματα'.*

307

σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρους,
ὃς ἀστενακτὶ θύννος ὣς ἠνείχετο
ἄναυδος

Ath. VII p. 303 C: *μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος λέγων* '*σφύρας — ἄναυδος*'. *καὶ ἀλλαχοῦ* (fr. 308) '*οὗτος καὶ ὄνομα* (*ὄμμα* C) *παραβαλὼν θύννου δίκην*', *ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος, ὡς Ἀριστοτέλης εἴρηκεν.* v. 1 *κἀπιχαλκεύει λέγων μύδρους* A, *κἀπιχαλκεύειν μύδρους* Iacobs, *κἀπιχαλκεύειν μύδρος* Dobree Adv. 2 p. 316. v. 2 *ὣς* pro *ὡς* Dindorf. *ἠνίχετο* A, *ἠνείχετο* Hermann. v. 3 *ἂν λυδός* A, *ἄναυδος* Musurus.

308

τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην

Ath. VII p. 303 C, quem locum in fr. 307 attulimus. Plut. de sollertia anim. c. 29 p. 979 E: *ἄκουσον ἤδη τὴν ἀριθμητικὴν ἐπιστήμην αὐτῶν* (sc. *τῶν θύννων*)· *πρότερον δὲ ναὶ μὰ Δία τὴν ὀπτικήν, ἣν ἔοικε μηδ' Αἰσχύλος ἀγνοῆσαι· λέγει γάρ που* '*τὸ σκαιὸν — δίκην*'. Aelianus N. A. 9, 42 de thynnis: *ὅτι δὲ τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσιν, τῷ δὲ ἄλλῳ οὐκέτι, καὶ Αἰσχύλος ὁμολογεῖ λέγων* '*τὸ σκαιὸν — δίκην*'. eundem versum ex Aeschylo afferunt Schol. Oppian. Hal. 4, 504 525 Eust. Il. p. 994, 52. *τὸ σκαιὸν*] *οὗτος καὶ* Ath., om. Eust.

309

ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον
τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω. τί γὰρ
ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον;

Ath. IX p. 375 E de nom. *χοῖρος*: *Αἰσχύλος δέ φησιν* '*ἐγὼ δὲ — βέλτιον*' *καὶ πάλιν* (fr. 310) '*λευκός — πυρί*' *καὶ ἔτι* (fr. 311) '*θύσας δὲ — κάτω*'. *ταῦτα δὲ παρέθετο Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου.* v. 1 *εὐθηλούμενον*] *εὐθηλῆ λαβὼν* coni. Blaydes in Soph. El. 1455 p. 258. v. 2 *ἐννοτοῦντι* A, *ἐν ῥοθοῦντι* Dindorf. v. 3 *βέλτιον* libri, *βέλτερον* Burney.

310

λευκός, τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος
ὁ χοῖρος. ἕψου, μηδὲ λυπηθῇς πυρί.

Ath. IX p. 375 E, vide fr. 309. v. 1 partem affert Eust. Il. p. 1286, 21: *εὕρηται δὲ καὶ παθητικὴ μετοχὴ τοῦ τοιούτου ῥήματος* (verbi *ἀφεύω*) *ἐν τῷ* '*λεπτὸς καὶ καλὸς ἠφευμένος*'.

311

θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑός,
ἢ πολλά μ' ἐν δόμοισιν εἴργασται κακὰ
δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.

Ath. IX p. 375 E, vide fr. 309. v. 2 *μ'* Porson in Toup. Emend. vol. 4 p. 477, *γ'* A.

312

αἱ δ' ἑπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι
πατρὸς μέγιστον ἆθλον οὐρανοστεγῆ
κλαίεσκον, ἔνθα νυκτέρων φαντασμάτων
ἔχουσι μορφὰς ἄπτεροι πελειάδες.

Ath. XI p. 491 A: *καὶ Αἰσχύλος δ' ἐκφανέστερον προσπαίζων τῷ ὀνόματι* (Pleiades dicit) *κατὰ τὴν ὁμοφωνίαν 'αἱ δ' ἑπτ' — πελειάδες'. ἀπτέρους γὰρ αὐτὰς εἴρηκε διὰ τὴν πρὸς τὰς ὄρνεις ὁμωνυμίαν.* cf. Schol. A Il. Σ 486: *τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς καταστερισθῆναι φησὶν Αἰσχύλος.* Eust. Od. p. 1713, 4: *καὶ Αἰσχύλος δὲ ἐκφανέστερον προσπαίζων πρὸς τὴν ὁμοφωνίαν ἀπτέρους πελειάδας εἶπεν ἐν πτώσει ὀρθῇ.* v. 3 *ἔνθα*] *ἔνθεν* Herwerden Exerc. crit. p. 9. versus ex Heliadibus petitos esse coni. Butler.

313

χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·
ὅθεν καλεῖν Κουρῆτα λαὸν ᾔνεσαν.

Ath. XII p. 528 C: *τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας· 'χλιδῶν — ᾔνεσαν'.* Eust. Il. p. 1292, 53: *Κουρῆτες δέ, περὶ ὧν εἰς πλάτος προγέγραπται, χλιδῶντα πλόκαμον τρέφοντες ὥστε παρθένου ἁβρᾶς, Κουρῆτες ἐκλήθησαν κουρᾶς ἕνεκεν.* v. 1 *παρθένοις ἁβραῖς*] *παρθένου ἁβρᾶς* C et Eust. v. 2 *λαὸν*] *λοιπὸν* C.

314

εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν

Ath. XIV p. 632 C: *πάντας τοὺς χρωμένους τῇ τέχνῃ ταύτῃ* (sc. *τῇ μουσικῇ*) *σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ Αἰσχύλος ἐποίησεν 'εἶτ' — χέλυν'. κάρτα* pro *καλὰ* metri causa scribendum coni. Butler, *κἆτα* Heath, *κᾆλα* Wecklein Mus. Rhen. 26 p. 639, *σκαιὰ* R. Ellis, *μάλλα* Bergk Lyr. vol. 1 p. 144. *παραπαίων* vix sanum. *καλὰ παρῆν παίων χέλυν* coni. Herwerden Emend. Aeschyl. p. 162.

315

τῷ πονοῦντι δ' ἐκ θεῶν
ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος.

Clemens Alex. Strom. IV p. 586 allato Pindari loco (fr. 227 Bergk.) pergit: ταύτης τῆς ἐννοίας καὶ Αἰσχύλος ἐπιλαβόμενος φησί 'τῷ — κλέος'. τέκνωμα recurrit in Dosiadae Ara Anth. Pal. 15, 26 idemque nomen Hermann, Hartung, Fritzsche coniecturas secuti incertissimas Aeschylo et Euripidi restituendum putarunt. hoc loco aptius videtur σήκωμα, cf. Phalar. Epist. 134: τίς γὰρ ἂν ἕλοιτο σήκωμα τῶν πόνων χωρίς;

316

ἀλλ' ἔστι κἀμοὶ κλῆς ἐπὶ γλώσσῃ φύλαξ.

Clemens Alex. Strom. V p. 661: ἔστι μοι πιστὸν ταμιεῖον ἐπὶ γλώσσας, ἡ ποιητικὴ φησίν, ὅ τε Αἰσχύλος 'ἀλλ' — φύλαξ'. κλῆς] κλεῖς L. ingeniose coniecit Naber Mnem. nov. vol. 9 p. 84 spectari a Clemente Aesch. Agam. 36, ubi nunc perhibetur τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκεν, ipse vero scribi vult κλῆς ἐπὶ γλώσσῃ φύλαξ βέβηκεν, sicut dixit Soph. Oed. Col. 1053: χρυσέα κλῂς ἐπὶ γλώσσᾳ βέβακεν προσπόλων Εὐμολπιδᾶν.

317

οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα
[καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν].

Clemens Alex. Strom. VI p. 739: ἀκήκοα δὲ Αἰσχύλου μὲν λέγοντος 'οἴκοι μένειν — τοῦτον μένειν'. v. 1 sine poetae nomine habet Diogenianus 7, 35. Sophocli (fr. 848) tribuit Stobaeus Flor. 39, 14, ubi δεῖ pro χρὴ legitur. Menander Com. 4 p. 111: οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον, ἢ μηκέτ' εἶναι τὸν καλῶς εὐδαίμονα. Theopompus Com. 2 p. 806: τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα. Cratinus iun. Com. 3 p. 375: πίνειν μένοντα τὸν καλῶς εὐδαίμονα. Menander Com. 4 p. 250: πατρῷ' ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα. versus supra appositos sic scribendos esse suspicabar (*Intelligenzbl. zur Allg. Litt.-Zeit.* 1847 p. 491): *A.* οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα. *B.* καὶ τὸν κακῶς πράσσοντα; *A.* καὶ τοῦτον μένειν. quae si vera est suspicio, videndum an comici poetae habeamus locum, qui tragici sententiam apposuerit et correxerit. cf. Gomperz *Beitr.* 3 p. 579 et F. G. Schmidt *Krit. Stud.* 3 p. 70 sq.

318

τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον

Etym. M. p. 149, 57: ἄρταμος — παρὰ τὸ διαρτάσαι, ὅ ἐστι μερίσαι (διαμερίσαι cod. Flor.) ἢ συναρμόσαι· οὗ μέμνηται Αἰσχύλος 'τοσαῦτα — διάρτασον'. Hesych. 1 p. 497: διάρτασον· διάστειλον. κῆρυξ] κήρυξ ed. Supplicibus hunc versum (950) inseruit G. Burges.

319

ἀσαλὴς μανία

Etym. M. p. 151, 49: ἀσαλής· ἡ ἄφροντις, ἡ μηδενὸς (ὁ ἀφρόντιστος, ἢ ἡ μηδενὸς Etym. Flor. p. 46) φροντίζουσα. εἴρηται δὲ παρὰ τὴν σάλην, ἢ σημαίνει τὴν φροντίδα. ἀσαλής, ὁ ἀμέριμνος. Αἰσχύλος 'ἀσαλὴς μανία'. οὕτως Ἡρωδιανὸς καὶ Ἀπολλόδωρος. καὶ γὰρ ἀσαλέαν ὁ Σώφρων τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ. addit Etym. Flor. quae leguntur in Anecd. Bekker p. 450, 28: ἀσαλὴς μανία· ἡ μηδενὸς φροντίζουσα· σάλη γὰρ ἡ φροντίς. οὕτως Αἰσχύλος. hinc repetitum puto quod Photius Lex. p. 497, 14 habet: σάλα· φροντίς. οὕτως Αἰσχύλος. cf. Hesych. 4 p. 5: σάλα· φροντίς, βλάβη. Suidas: σάλα· ἡ φροντίς.

320

θετὸς υἱός

Etym. Flor. p. 157: θετὸς υἱός· προσποιητός (εἰσποιητός recte Larcher), παρ' Αἰσχύλῳ. cf. Pind. Ol. 9, 62 et Eur. fr. 359, 1.

321

θινὸς ἐμβολὰς ἁλός

Etym. M. p. 450, 37: θίς — ἐπὶ τοῦ σωροῦ θηλυκῶς παρὰ Αἰσχύλῳ 'θινὸς ἐμβολὰς ἁλός'. poetae verba corrupta sunt: θινὸς ἐμβολάδος temptavit Hermann.

322

. . κάπηλα προσφέρων τεχνήματα

Etym. M. p. 490, 12: ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα καλεῖ κάπηλα· 'κάπηλα — τεχνήματα'. eadem Etym. Gud. p. 298, 9 Anecd. Oxon. vol. 2 p. 456, 6 Suidas v. κάπηλος. προσφέρων codex Paris. 2638, προφέρων vel προσφέρονται ceteri.

323

νεοκρᾶτας σπονδάς

Etym. M. p. 537, 46: κρῶ κρήνη καὶ 'νεοκράτας σπονδάς' Αἰσχύλος τὰς νεωστὶ ἐγχυθείσας. cf. Etym. M. p. 541, 31: κρωσσός — παρὰ τὸ κρῶ τὸ ἐπιχέω, τοῦτο δὲ ἐκ τοῦ κερῶ, ubi Flor. Mill. p. 196

Havn. Vossianus p. 1543 D addunt: *οἷον 'κέρασσε δὲ νέκταρ'* (Od. ε 93) *ἀντὶ τοῦ ἐπέχεεν· οὐ γὰρ ὕδατι κιρνᾶται τὸ νέκταρ. καὶ παρ' Αἰσχύλῳ* (*καὶ Σοφοκλῆς* V) *'νεοκραὶ αἱ* (*νεοκρὰς αἱ* F, *νεόκρας* V) *σπονδαί' λέγονται* (*λέγονται* om. V), *τουτέστιν αἱ* (*αἱ* om. V) *νεωστὶ ἐκχυθεῖσαι* (*χυθεῖσαι* V).

324

ἐν διρρυμίᾳ
πῶλοι

Eust. Il. p. 706, 50: *εἴπερ ἦν τέθριππον, καὶ δύο ἂν εἶχε ῥυμούς, ὡς Αἰσχύλος φησὶν 'ἐν διρρυμίᾳ πῶλοι'.*

325

μάχλον ἄμπελον

Eust. Il. p. 827, 31: *οὕτω δὲ καὶ Αἰσχύλου μάχλον, φασίν, ἄμπελον εἰπόντος τὴν ῥεομένην ἡ κωμῳδία μάχλον εἶπε τὸν ὑπὸ κατωφερείας δίυγρον.* cf. Eust. Od. p. 1597, 32: *καὶ Αἰσχύλος, φασί, τὴν ῥεομένην ἄμπελον μάχλον ἔφη.*

326

ὃς εἶχε πώλους τέσσαρας ζυγηφόρους
φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας

Eust. Il. p. 1157, 36: *Αἰσχύλος δὲ φησὶ καὶ τὴν τάφρον αὐλῶνα, ἔνθα καὶ φιμοὺς λέγει αὐλωτοὺς διὰ τὸ κώδωνας, φησί, προσῆφθαι αὐτοῖς, οἷς ἐμφυσῶντες οἱ ἵπποι ὡς φωνὴν σάλπιγγος προΐεντο. γράφει οὖν οὕτως 'ὃς εἶχε — ἐστομωμένας'.* v. 1 *τέτταρας* Eust. v. 2 respicit Pollux 10, 56: *ἐκαλοῦντο δέ τινες καὶ αὐλωτοὶ φιμοὶ διὰ τὸ κώδωνας ἔχειν προσηρτημένους, οἷς ἐγχρεμετίζοντες οἱ ἵπποι ἦχον ἐποίουν προσόμοιον αὐλῷ.* item Hesych. 1 p. 323: *αὐλωτοὶ φιμοί* (*αὐλωτοίφιμοι* cod.)*· οἱ κημοί, διὰ τὸ τοῖς κημοῖς κώδωνας προσῆφθαι, εἰς οὓς ἐμφυσῶντες οἱ ἵπποι φωνὴν σάλπιγγος προΐεντο.* Glauci Potniensis esse locum coniecit Hermann.

327

πρὶν ἂν σταλαγμοῖς αἵματος χοιροκτόνου
αὐτός σε χράνῃ Ζεὺς καταστάξας χεροῖν

Eust. Il. p. 1183, 18: *ἐπιτήδειος ἐδόκει πρὸς καθαρμὸν ὁ σῦς, ὡς δηλοῖ Αἰσχύλος ἐν τῷ 'πρὶν ἂν — χεροῖν'.* v. 1 *παλαγμοῖς* Eust., *σταλαγμοῖς* Pauw. v. 2 *χρᾶναι* Eust., *χράνῃ* Porson. Perrhaebidum hos esse versus coni. Hermann.

328

Αἰθίοπα φωνήν

Eust. Od. p. 1484, 48: τὸ θηλυκὸν τοῦ Αἰθίοψ — ἡ ἐξ Αἰθιόπων. λέγεται δὲ καὶ ὁμοφώνως τῷ ἀρσενικῷ κατὰ τοὺς παλαιούς· Αἰθίοπα γοῦν, φασί, φωνὴν Αἰσχύλος λέγει καὶ (fr. 329) 'πότερα — φανήσεται;'

329

πότερα γυνή τις Αἰθίοψ φανήσεται;

Eust. Od. p. 1484, 48, vide fr. 328. ad Memnonem haec referenda esse coni. Hermann.

330

λεοντόχορτον βούβαλιν νεαίρετον

Eust. Od. p. 1625, 44: Σοφοκλῆς ἔφη γηγενῆ βούβαλιν καὶ Αἰσχύλος 'λεοντοχόρταν — νεαίτερον'. λεοντόχορτον pro λεοντοχόρταν coni. L. Dindorf in Thes., νεαίρετον pro νεαίτερον G. Dindorf.

331

ὡς λέγει γέρον γράμμα

Eust. Od. p. 1923, 60 de σάκος γέρον disputans: λέγει δέ που, φασί, καὶ Αἰσχύλος οὕτω τὸ γράμμα, οἷον 'ὡς — γράμμα' τουτέστι λόγος. Catullus 68, 46: *charta loquatur anus.* Martialis 12, 4, 4: *chartaque dicet anus.* Αἰσχρίων pro Αἰσχύλος scribi voluit M. Schmidt *Zeitschr. f. d. Alterthumsw.* 1856 p. 356. fortasse ὡς λέγει γέροντα γράμματα scripsit Aeschylus. cf. Etym. M. p. 227, 9: γέροντα μῦθον καὶ γέροντα πρᾶγμα, ubi γέροντα γράμματα scripserim (γέρον γράμμα coni. Cobet V. L. p. 605).

332

ἔλα δίωκε μή τι μαλκίων ποδί

Harpocr. p. 123, 12: μαλακίζομεν (μαλακίομεν CGN, μαλκίομεν recte coni. Bekker). Δημοσθένης θ' Φιλιππικῶν φησὶ 'μένομεν καὶ μαλακιζόμεθα'. ἐν ἐνίοις γράφεται μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὄρρον (sic N, ὄρον B, ὅρον AC) φρίττειν. Αἰσχύλος 'ἐλαδίω κεκμῆτι μαλκίων ποδί'. Aeschylea verba restituit Lobeck Pathol. elem. 1 p. 319. pro ἐλαδίω (sic A, ἐλλαδίω cet.) Gronovius ἐν Λαΐῳ scribi voluit. μαλκίων] μαλακίων BCN (cf. quae dixit Cobet V. L. p. 130 sq.). ποδί] ἤτοι πορεία addit codex N.

333

Herodot. 2, 156: *Αἰγυπτιστὶ δὲ Ἀπόλλων μὲν Ὧρος, Δημήτηρ δὲ Ἶσις, Ἄρτεμις δὲ Βούβαστις. ἐκ τούτου δὲ τοῦ λόγου καὶ οὐδενὸς ἄλλου Αἰσχύλος ὁ Εὐφορίωνος ἥρπασε τὸ ἐγὼ φράσω, μοῦνος δὴ ποιητέων τῶν προγενομένων· ἐποίησε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος.* Pausan. 8, 37, 6: *Δήμητρος δὲ Ἄρτεμιν θυγατέρα εἶναι καὶ οὐ Λητοῦς, ὄντα Αἰγυπτίων τὸν λόγον, Αἰσχύλος ἐδίδαξεν Εὐφορίωνος τοὺς Ἕλληνας.*

334

ἄειλα πεδία

Hesych. 1 p. 51: *ἄειλα πεδία· ἀνήλια* (*ἀειλαπεδίας· ἀνήδια* codex). *εἵλη γὰρ ἡ τοῦ ἡλίου αὐγή.* Aeschylea haec esse docuit Bergk ex Anecd. Bekk. p. 347, 32: *ἄειλα· τὰ πολύσκια χωρία, κατὰ στέρησιν τῆς ἕλης. οὕτως Αἰσχύλος.*

335

ἄνω ποταμῶν

Hesych. 1 p. 219: *ἄνω ποταμῶν· παροιμία ἐπὶ τῶν ἐπ' ἐναντία γινομένων. κέχρηνται καὶ Αἰσχύλος καὶ Εὐριπίδης.* Euripides Med. 410: *ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί.*

336

ἄχνη πυρός

Hesych. 1 p. 345: *ἄχνη πυρός· ὁ καπνός. καὶ Ἀριστοφάνης* (Vesp. 92) *οὕτως ἄχνην ὕπνου.* Etym. M. p. 182, 56: *ἄχνη — Αἰσχύλος δὲ τὸν καπνόν, καὶ Ἀριστοφάνης οὕτως ἄχνη ὕπνου.* Suidas: *ἄχναι, λεπτὰ ἄχυρα — καὶ 'ἄχνη πυρός', ὁ καπνός.* Proverb. append. 1, 44: *ἄχνη πυρός, καπνός.*

337

ἀπτῆνα, τυτθόν, ἄρτι γυμνὸν ὀστράκων

Hesych. 3 p. 229: *ὀστράκων. 'ἀπτὴν — ὀστράκων', ἀντὶ τοῦ ᾠῶν· τινὲς δὲ κελύφων. ἀπτὴν ἄτυτθον* cod., *ἀπτῆνα τυτθόν* Salmasius et alii. Aeschyleum esse versum docet Phot. Lex. p. 353, 17: *ὀστράκων· τῶν τοῦ ᾠοῦ. Αἰσχύλος.*

338

ὀπισθοβριθὲς ἔγχος

Hesych. 4 p. 14: *σαυροβριθὲς ἔγχος· ἐκ τοῦ σαυρωτῆρος βαρύ. καὶ Αἰσχύλος 'ὀπισθοβριθὲς ἔγχος' ἔφη.*

339

ὑπόσκοπον χέρα

Hesych. 4 p. 216: ὑπόσκοπον χέρα (ὑποσκεπόνχερα cod.). *Αἰσχύλος.* ὥσπερ οἱ ἀποσκοποῦντες οὕτω κελεύει σχηματίσαι τὴν χεῖρα, καθάπερ τοὺς Πᾶνας ποιοῦσι. σχῆμα δέ ἐστιν ὀρχηστικὸν ὁ σκοπός. cf. fr. 79.

340

Libanius Epist. 175: ἀκούων δὲ *Αἰσχύλου* λέγοντος ἐκ τῶν πόνων τίκτεσθαι ἀρετὰς βροτοῖς. idem Epist. 611: εἰ δ' οὖν καὶ πονοῦντα δεήσει διατελεῖν, *Αἰσχύλος* σε παραμυθείσθω τὰς ἀρετὰς ἐκ πόνων τίκτεσθαι λέγων. idem Epist. 351: εἰ δ' οἴει δεῖν ἃ φαμὲν ποιεῖν, μὴ μέλλε πειθόμενος *Αἰσχύλῳ* καὶ ἔτι πρότερον Ἡσιόδῳ. Aeschyli quae verba fuerint ignoro: ἐκ τῶν πόνων ἔβλαστον ἀρεταὶ βροτοῖς coni. G. Mekler.

341

ὁ κισσεὺς Ἀπόλλων, ὁ βακχεύς, ὁ μάντις

Macrob. Sat. 1, 18, 6: *Euripides in Licymnio Apollinem Liberumque unum eundemque deum esse significans scribit* 'δέσποτα φιλόδαφνε Βάκχε, παιὰν Ἄπολλον εὔλυρε'. *ad eandem sententiam Aeschylus* 'ὁ κισσεὺς — μάντις'. καβαιος vel βακσιος libri, Βακχεῖος Hermann, ego βακχεύς praetuli. versus videtur esse *Βασσαρῶν.*

342

δέσποινα νύμφη, δυσχίμων ὀρῶν ἄναξ

Orion Etym. p. 26, 5: τὰ δὲ εἰς Ξ μὴ ὄντα ἐθνικὰ ὁμοίως λέγεται καὶ ἐπὶ θηλυκῶν. *Αἰσχύλος* 'δέσποινα — ἄναξ'. δυσχίμων ὀρῶν] δυσχείμων ὀρῶν cod. Suidas: ἄναξ θηλυκῶς. οὕτως *Αἰσχύλος.* Edonis haec adscribit Hermann.

343

Pausan. 2, 24, 4: *Αἰσχύλος* δὲ ὁ *Εὐφορίωνος* καλεῖ *Δία* καὶ τὸν ἐν θαλάσσῃ. Aeschylo fuisse *Δία* ἐνάλιον coni. Hermann coll. Proclo in Plat. Cratyl. c. 147 p. 88: ὁ δὲ δεύτερος δυαδικῶς καλεῖται *Ζεὺς* ἐνάλιος καὶ *Ποσειδῶν.* fortasse θαλάσσιον *Δία* dixit Aeschylus, cf. Hesych. 2 p. 297: θαλάσσιος *Ζεύς*· ἐν *Σιδῶνι* τιμᾶται.

344

Philo Iud. de provid. II p. 50 Aucher. (vol. 8 p. 50 Richt.): *si, ut Aeschylus dicit,* '*Iovem ex sceleratorum genere eximit et ab*

iniustis lex', oporteret contrarium esse illum ex iniustis; non ita tamen res se habet. Schneidewin Philol. 6 p. 610 Aeschylea verba hunc in modum temptavit restituere: *τόν τοι Δία | ἐκ τῶν ἀνάγνων ἐξαφαιρεῖται νόμος* (vel *θέμις, δίκη*) *κἀκ τῶν ἀλιτρῶν.*

345

Philo Iud. de provid. II p. 102 Aucher. (vol. 8 p. 88 Richt.): *alias civitates pestilentiae — vacuas ab hominibus reddidere. — quod plenius Aeschylus asserit dicens 'dira lues vacuam maxillam voracem in populos circumferens adimplet mortuorum corpora sepeliendo'.* poetae verba haec fere videmur agnoscere: *λοιμὸς ἄγριος | κενὴν γνάθον μαργῶσαν εἰς λαοὺς πέριξ | φέρων ἔπλησε, σώματ' εὐνάζων νεκρῶν.* paulo aliter Meineke: *δεινὸς δὲ λοιμὸς . . . γνάθον κενὴν | μαργῶσαν ἐν λαοῖσιν ἐνδατούμενος | πίμπλησι θνητῶν σώματ' ἐγκρύπτων ταφαῖς.* adde quae temptarunt Bergk Opusc. philol. vol. 2 p. 55 et Schneidewin Philol. vol. 6 p. 609 vol. 7 p. 400.

346

ζεῦγος τέθριππον

Phot. Lex. p. 52, 20: *ζεῦγος· τὸ ἐκ δυοῖν τινῶν ζευγνύμενον* (l. cum Nabero *ἐζευγμένον*), *ἀλλὰ καὶ τὸ ἐκ πλειόνων· καὶ γὰρ καὶ Ἰσοκράτης 'τέθριππον ζεῦγος' εἶπεν καὶ Αἰσχύλος 'ζεῦγος τεθρίππων'.* eadem fere Etym. M. p. 409, 48, ubi Aeschylea verba a plerisque libris absunt, extant in cod. Flor. Milleri p. 140. *τεθρίππων* libri, *τέθριππον* scripsi in Lex. Vindob. p. XLVIII.

347

ναρᾶς τε Δίρκης

Phot. Lex. p. 286, 8: *ναρᾶς τὲ Δίρκης· ῥευστικῆς· Αἰσχύλος.* ibid. p. 286, 17: *ναρᾶσθαι Δίρκης· ῥευστικῆς· Αἰσχύλος.* vitiose Hesych. 3 p. 138: *ναιρᾶς· νευριστικῆς.* ad Aesch. Sept. 273, ubi *Δίρκης τε πηγαῖς* legitur, hanc glossam olim rettulit H. Weil.

348

ἄτεγκτος παρηγορήμασιν

Phryn. Bekk. p. 6, 13: *ἄτεγκτος παρηγορήμασιν· Αἰσχύλος. δοτικῇ ἀντὶ γενικῆς Ἀττικῷ ἐχρήσατο ἔθει.* cf. Anecd. Bekk. p. 458, 18 et Suid.: *ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν· ὁ μὴ βρεχόμενος μηδὲ προσιέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡσεὶ* (*ὡς ἡ* ed.) *πέτρα ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος διαβρέχεσθαι.* poetam *παρηγορήμασιν ἄτεγκτος* dixisse suspicor.

349

μὴ κακοῖς ἰῶ κακά.

Phryn. Bekk. p. 48, 22: κακοῖς κακὰ ἰᾶσθαι· τὸ ἀποκρύπτειν τὰ φθάσαντα κακὰ τοῖς ἐφεξῆς πραττομένοις κακοῖς. *Αἰσχύλος* 'μὴ — κακά'. fortasse huc spectat Hesych. 2 p. 381: ἰῶ· θεράπευε, ἰάτρευε.

350

ὃ δ' ἐνδατεῖται τὰς ἐμὰς εὐπαιδίας
νόσων τ' ἀπείρους καὶ μακραίωνας βίου,
ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας
παιᾶν' ἐπηυφήμησεν εὐθυμῶν ἐμέ.
κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα 5
ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ·
ὃ δ' αὐτὸς ὑμνῶν, αὐτὸς ἐν θοίνῃ παρών,
αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανὼν
τὸν παῖδα τὸν ἐμόν.

Plat. Rei publ. II p. 383 B (quem locum repetiit Eusebius P. E. XIII p. 647 A): πολλὰ ἄρα Ὁμήρου ἐπαινοῦντες ἄλλα τοῦτο οὐκ ἐπαινεσόμεθα, τὴν τοῦ ἐνυπνίου πομπὴν ὑπὸ Διὸς τῷ Ἀγαμέμνονι, οὐδ' *Αἰσχύλου* ὅταν φῇ ἡ Θέτις τὸν Ἀπόλλω ἐν τοῖς αὑτῆς γάμοις ᾄδοντα ἐνδατεῖσθαι 'τὰς ἑὰς — τὸν ἐμόν'. v. 5—9 attulit Athenagoras Suppl. pro Christ. c. 21 p. 104. v. 7 et 8 Sophocli tribuit Phoebamm. in Rhet. vol. 8 p. 518, eosdem sine poetae nomine habet Plut. de audiendis poetis c. 2 p. 16 E. Latine extremi versus 7—9 redduntur in Anonymi carmine de figuris (Rhet. Lat. min. ed. Halm. p. 64 sive Poet. Lat. min. ed. Baehr. vol. 3 p. 275) 35 sq.: *ipse epulans, ipse exponens* (*exposcens* Baehrens, fort. leg. *exoptans*) *laeta omnia nuptae, ipse patrem prolemque canens, idem ipse peremit.* v. 1 ἐνδαιτεῖσθαι Eusebius. ὁ δ' ἐνδατεῖται Hermann. ἑὰς Plat., ἐμὰς Grotius. v. 2 μακραίωνας βίους Plat., μακραίωνος βίου Euseb., μακραίωνας βίου Bothe. v. 4 παιᾶν'] παιῶν' vel παιὼν v. l. in Plat., παιὼν Eusebius. ἐπευφήμησεν libri. cf. Hesych. 2 p. 145: ἐπευφήμησεν (ἐπεφήμησεν cod.)· ἐν εὐφήμῳ βοῇ εἶπεν. v. 5 τὸ] τοι vel τι Athenag. v. 7 ὁ δ'] ὃν Plut. θοίνῃ] δαίτῃ Plut., γάμοις Phoebammon. Ὅπλων κρίσει locum adscribit Ern. Schneider, quem secutus est Hermann.

351

. . . . . ὅτι νυν ἦλθ' ἐπὶ στόμα

Plat. Rei publ. VIII p. 563 C: οὐκ οὖν κατ' *Αἰσχύλον*, ἔφη,

ἐροῦμεν ὅτι νῦν ἦλθ' ἐπὶ στόμα; Plut. Amator. c. 18 p. 763 B: *ὃ τοίνυν ἐν ἀρχῇ καιρὸν εἶχε ῥηθῆναι μᾶλλον, οὐδὲ νῦν, ἐπεί γ' οὖν ἦλθεν ἐπὶ τὸ στόμα, κατ' Αἰσχύλον, ἄρρητον ἐάσειν μοι δοκῶ.* Themistius Orat. IV p. 52 B: *ἐπειδὴ κατ' Αἰσχύλον νῦν ἦλθεν ἐπὶ στόμα.* pro *νῦν* scripsi *νυν*.

352

θάρσει· πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον.

Plut. de audiendis poetis c. 14 p. 36 B: *ἐπιρρητέον δὲ καὶ τῷ τοῦ Αἰσχύλου 'θάρσει — χρόνον', ὅτι τοῦτό ἐστι τὸ παρ' Ἐπικούρου θρυλούμενον ἀεὶ καὶ θαυμαζόμενον, ὡς οἱ μεγάλοι πόνοι συντόμως ἐξάγουσιν, οἱ δὲ χρόνιοι μέγεθος οὐκ ἔχουσιν. ἄκρον] τἄκρον* Burges in Aesch. Eum. 79, ubi hunc versum inseruit.

353

ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί,
ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.

Plut. Consol. ad Apoll. c. 10 p. 106 C: *ὁ δ' Αἰσχύλος καλῶς ἔοικεν ἐπιπλήττειν τοῖς νομίζουσι τὸν θάνατον εἶναι κακόν, λέγων ὧδε 'ὡς οὐ — κακῶν'.* v. 2 *ὅπερ* malim. *ἴαμα* olim legebatur, *ῥῦμα* meliores libri.

354

ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα

Plut. de Iside et Osir. c. 20 p. 358 E: *εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ ἀφθάρτου φύσεως — λέγουσιν, 'ἀποπτύσαι — στόμα' κατ' Αἰσχύλον. στόμα] τὸ στόμα* libri. cf. Etym. M. p. 118, 31: *ἦν γάρ τι νόμιμον τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον διὰ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. — ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον, Αἰσχύλος μαρτυρεῖ.*

355

. . μιξοβόαν πρέπει
διθύραμβον ὁμαρτεῖν
σύγκωμον Διονύσῳ.

Plut. de *EI* Delphico c. 9 p. 389 A: *ᾄδουσι τῷ μὲν* (Baccho) *διθυραμβικὰ μέλη παθῶν μεστὰ καὶ μεταβολῆς, πλάνην τινὰ καὶ διαφόρησιν ἐχούσης· μιξοβόαν γάρ, Αἰσχύλος φησί, 'πρέπει — Διονύσῳ'· τῷ δὲ* (Apollini) *παιᾶνα.* v. 3 *σύγκοινον* libri, *σύγκωμον* Tyrwhitt in Toup. Emend. vol. 4 p. 426.

356

λαβὼν γὰρ αὐτόθηκτον Εὐβοικὸν ξίφος

Plut. de defectu orac. c. 43 p. 434 A: *τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος, ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν, ὡς Αἰσχύλος εἴρηκε 'λαβὼν — ξίφος'. αὐτόθακτον* ed., *αὐτόθηκτον* legi in codicibus Parisinis testatur L. Dindorf in Thes., *ὑγρόβαπτον* vel *ὑδατόβαπτον* coni. Herwerden Mnem. nov. 5 p. 32 et Emend. Aeschyl. p. 162.

357

ὑψηλὸν ἡβάσασα τεκτόνων πόνον

Plut. de cohib. ira c. 4 p. 454 E: *τὴν φλόγα θριξὶ λαγῴαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ ῥᾴδιόν ἐστιν ἐπισχεῖν, ἐὰν δ' ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων, ταχὺ διέφθειρε καὶ συνεῖλεν 'ὑψηλὸν — πόνον', ὥς φησιν Αἰσχύλος. ἡβήσασα* Heath, *ἀμφιβᾶσα* Paley.

358

οὐδὲ ἄπο αὐτὸν οὐ γὰρ ἐγγύθεν·
γέρων δὲ γραμματεὺς γενοῦ σαφής.

Plut. Quaest. conv. 1, 8, 1 p. 625 D: *οἱ γὰρ πρεσβύτεροι πόρρω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀναγινώσκουσιν, ἐγγύθεν δὲ οὐ δύνανται· καὶ τοῦτο παραδηλῶν ὁ Αἰσχύλος φησίν 'οὐδὲ ἄπο αὐτὸν οὐ γὰρ — σαφής'.* v. 1 *οὐδὲ*] *σὺ δὲ* Heath. *ἰδοῦ δ' ἀποσταδὸν* pro *οὐδὲ ἄπο αὐτὸν* proposuit Hermann. restituere locum graviter corruptum temptarunt Herwerden Exerc. crit. p. 9 et F. G. Schmidt *Krit. Stud.* 1 p. 110.

359

σύ τοί μ' ἔφυσας, σύ με καταίθειν δοκεῖς.

Plut. de monarch. democr. olig. c. 4 p. 827 C: *ἀναγκαζόμενον τὸ Αἰσχύλειον ἀναφωνεῖν, ᾧ πρὸς τὴν τύχην ἐχρῆτο Δημήτριος ὁ πολιορκητὴς ἀποβαλὼν τὴν ἡγεμονίαν, 'σύ τοί — δοκεῖς'.* Plut. V. Demetr. c. 35: *καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον 'σύ τοί — δοκεῖς'. με φυσᾷς* libri ut videtur, *μ' ἔφυσας* olim ed. in Vit. Dem. *με καταίθειν*] *μοι καταίθειν* Vit. codices BC et pr. m. A, *με καταίθειν μοι* codex 1679, *με καταφθιεῖν* (debebat *καταφθίσειν*) coni. Heath, *με καταικιεῖν* E. Rohde *Griech. Roman* p. 278.

360

παῦ' ὕδωρ δίκην πυρός

Plut. de primo frig. c. 14 p. 950 E: ὑπὸ τοὐναντίου φθείρεται τῶν ἀπολλυμένων ἕκαστον ὥσπερ τὸ πῦρ ὑπὸ τοῦ ὕδατος εἰς τὸν ἀέρα. τὸ γὰρ ὕδωρ ὁ μὲν Αἰσχύλος, εἰ καὶ τραγικῶς, ἀλλ' ἀληθῶς εἶπε 'παῦε — πυρός'. ἔπαυσ' ὕδωρ (vel ὕδωρ ἔπαυσ') αὐγὴν πυρός coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 111.

361

ἐξ ὀσφυαλγοῦς κὠδυνοσπάδος λυγροῦ
γέροντος

Plut. Compend. libri adv. Stoicos scripti c. 2 p. 1057 F: γέγονεν ἐκ ῥυσοῦ καὶ ὠχροῦ καὶ κατ' Αἰσχύλον 'ἐξ — γέροντος' εὐπρεπής, θεοειδής, καλλίμορφος. v. 1 καὶ ὀδυνοσπάδος libri.

362

ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν
θνῄσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου,
οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον.

Plut. de vita et poesi Hom. c. 157 vol. 5 p. 1196: Αἰσχύλος μὲν δεύτερος (ἐμμέτρως Wyttenb., quia ἐν δὲ πεζῇ λέξει Δημοσθένης sequitur) λέγων οὕτως ἔφη 'ἀλλ' οὔτε — μόρον'.

363

ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.

Pollux 6, 80: εἴποις δ' ἂν καὶ κοκκίσαι ῥόαν κατὰ Ἀριστοφάνην (Com. 2 p. 1184)· 'ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν'. τουτὶ δὲ τὸ ἰαμβεῖον Ἀριστοφάνης οὐκ ἴδιον ὃν εἴρηκεν, ἀλλ' ὡς Αἰσχύλου.

364

Λιβυρνικῆς μίμημα μανδύης χιτών

Pollux 7, 60: ἡ δὲ μανδύη ὅμοιόν τι τῷ καλουμένῳ φαινόλῃ· τίνων δέ ἐστιν, ὡς μὴ περιεργχώμεθα Κρῆτας ἢ Πέρσας, Αἰσχύλος ἐρεῖ 'Λιβυρνικῆς — χιτών'. Λιβυρνικῆς] λιβυκῆς C. Stephanus Byz. v. Λιβυρνοί p. 415, 10: εὕρηται τὰ Λιβυρνικὰ σκάφη καὶ 'Λιβυρνικὴ μανδύη' εἶδος ἐσθῆτος.

365

σὺ δὲ σπαθητοῖς τριμιτίνοις ὑφάσμασιν

Pollux 7, 78: ὅτι μέντοι καὶ τρίμιτα εἰργάζοντο, Αἰσχύλος δι-

δάσκει φήσας 'σὺ δὲ — ὑφάσμασιν'. cf. Pollux 7, 36: σπάθη, ὅθεν καὶ τὸ σπαθᾶν καὶ ἀσπάθητος χλαῖνα παρὰ Σοφοκλεῖ καὶ 'σπαθητοῖς ὑφάσμασιν'. Hesych. 4 p. 175: τριμίτινα ὑφάσματα· τρίμιτα.

366

ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων

Pollux 7, 167: προσήκοι δ' ἂν βαλανείῳ λουτρὸν καὶ λοῦσθαι· 'λοῦταί γε μὲν δὴ λουτρὸν αὖ τὸ δεύτερον'. καὶ λουτρῶνες, ὡς Ξενοφῶν. καὶ τὸ ὕδωρ τοῦ λουτροῦ λούτριον —. Αἰσχύλος δ' ἂν ἐοίκοι τὰ βαλανεῖα λουτήρια λέγειν· 'ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων.' ita hic locus scribendus est: versus nescio cuius poetae comici λοῦταί γε μὲν δὴ λουτρὸν αὐτὸ δεύτερον (ita libri, αὖ τὸ Bekker) post λουτήρια λέγειν vulgo collocatur. Pollux 10, 46: λουτηρίου τινός, ἐπεὶ καὶ τοῦτο τοὔνομα ἐπὶ — τῶν λουτρῶν Αἰσχύλος εἴρηκεν.

367

ὀστῶν στέγαστρον

Pollux 10, 180: καὶ στέγαστρον δὲ ὅστις ἐθέλοι ὀνομάζειν, ἧπερ ἡ πολλὴ χρῆσις, τὴν στεγαστρίδα διφθέραν, τὸν σκύτινον τοῦτον χιτῶνα, καταφευγέτω ἐπὶ τὸν Αἰσχύλον εἰπόντα 'ὀστέων στέγαστρον'. ὀστῶν scripsi.

368

Probus in Vergil. Georg. 3, 34 p. 57, 22: *Erichthonius ex Electra et Iove nascitur, ut Scilos scriptor tragicus sentit. scilos*] *soilos* P, *Aeschylus* recte Schneidewin.

369

τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή

Proclus in Hesiod. Op. 156: τὸ ἐκ Πανδώρας γένος, ἥτις ἦν κατὰ τὸν Αἰσχύλον 'τοῦ — γυνή'. similiter πλάσματα πηλοῦ homines vocat Ar. Av. 686 et Prometheus *auctor vulgi fictilis* dicitur a Phaedro Fab. 5, 14, 5. cf. O. Schneider Callim. vol. 2 p. 252 sq.

370

μελανστέρφων γένος

Schol. Apoll. Rhod. 4, 1348: στέρφεσι, τοῖς δέρμασιν. — ὅθεν καὶ παρ' Αἰσχύλῳ ἀξιοῦσι γράφειν 'μελαστέρφων γένος', οὐχ ὥς τινες μελανοστέρνων· οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. μελαστέρφων L, μελανοστέρφων apographa, μελανστέρφων scripsi.

371

ὦ Κραναὰ πόλις

Schol. Ar. Ach. 75: *ὦ Κραναὰ πόλις*] *τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν· καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.* fortasse respicitur Aesch. Eum. 1011: *πολισσοῦχοι παῖδες Κραναοῦ.*

372

ἀφρὸς
βορᾶς βροτείας ἐρρύη κατὰ στόμα.

Schol. Ar. Lys. 1257: *παρὰ τῷ Ἀρχιλόχῳ 'πολὺς δ' ἀφρὸς ἦν περὶ στόμα'. — Αἰσχύλος δὲ 'ἀφρὸς — στόμα'.* v. 2 *βορρᾶς* Put., *βορῆς* K. *ἐρρυηκότα* libri, *ἐρρύη κατὰ* Porson.

373

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

Schol. Ar. Nub. 1130: *ἐλέγετο γὰρ ληστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος 'δεινοὶ — Αἰγύπτιοι'.* Schol. Theocr. 15, 48: *ὡς λέγει ὁ Αἰσχύλος 'δεινοὶ — Αἰγύπτιοι'.* eundum versum s. p. nom. habent Stephanus Byz. v. *Αἴγυπτος* Zenob. 3, 37 Diogenian. 4, 35 Gregorius Cypr. cod. Leid. 1, 88 cod. Mosq. 2, 84 Macar. 3, 21 Schol. Aristid. p. 553 Suidas v. *δεινοὶ πλέκειν* Eust. Dionys. P. 232 Eust. Od. p. 1494, 10. *τοι*] om. Greg. Leid., *γε* codex Mosq. Danaidum esse versum coni. Hermann.

374

οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια

Schol. Ar. Nub. 1364: *ἀλλὰ μυρρίνην λαβόντα τῶν Αἰσχύλου λέξαι τι μοι*] *παρὰ τὰ Αἰσχύλου 'οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια'.* verba corruptissima non expedio.

375

ἀμήχανον τέχνημα καὶ δυσέκδυτον

Schol. Eur. Or. 25: *ἡ γὰρ Κλυταιμήστρα χιτῶνα ὕφανεν οὔτε ταῖς χερσὶν οὔτε τῇ κεφαλῇ ἔκδυσιν ἔχοντα —. Αἰσχύλος δὲ φησίν 'ἀμήχανον — δυσέκλυτον'. τεύχημα καὶ δυσέκλυτον* libri, *τέχνημα καὶ δυσέκδυτον* scripsi.

376

Schol. Eur. Phoen. 942: *οἱ περιλειφθέντες τῶν σπαρτῶν, ὡς Αἰσχύλος φησίν, ἦσαν Χθόνιος, Οὐδαῖος, Πέλωρος, Ὑπερήνωρ, Ἐχίων.*

cf. Schol. Eur. Phoen. 670: *εἰσὶ δὲ οὗτοι* <*οἱ*> *ἐξ αὐτῶν* (sc. *τῶν σπαρτῶν* (*ὑπολειφθέντες· Πέλωρ, Ἐχίων, Οὐδαῖος, Χθόνιος, Ὑπερήνωρ, κατὰ δὲ Τιμαγόραν καὶ Κρέων.* nomina ista ab Aeschylo commemorata esse non credo: aut corruptum est *Αἰσχύλος* nomen aut, quod probabilius arbitror, quae ab interpretibus Aeschyli allata legerat grammaticus ad poetam transtulit: de quo errorum genere cf. adesp. fr. 188.

377

οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ

Schol. A Il. Z 239 de nomine *ἔτης*, quod spiritu leni dicendum sit: *παρὰ γοῦν Αἰσχύλῳ οὕτως εὕρομεν* '*οὔτε — ἀνήρ*'. similiter Eust. Il. p. 641, 58. apte comparavit Dindorf Corp. Inscr. vol. 1 p. 26 (sive Inscr. Gr. antiq. 110): *αἴτε Ϝέτας αἴτε τελεστὰ αἴτε δᾶμος.* cf. Bergk Herm. vol. 18 p. 515 et quae ipse attuli *Mélanges Gréco-Rom.* IV p. 682 sq.

378

σπίδιον μῆκος ὁδοῦ

Schol. A Il. *Λ* 754 (cf. Etym. M. p. 271, 19): *οἱ δὲ φασὶν ἐκ πλήρους σπιδέος καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ· καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ* '*σπίδιον μῆκος ὁδοῦ*'. Etym. cod. Voss. p. 780 D: *οἱ δὲ φασὶ σπιδέος πολλοῦ καὶ μακροῦ· σπίζω γὰρ τὸ ἐκτείνω, ὡς καὶ Αἰσχύλος* '*σπίδιον μῆκος ὁδοῦ*'. Eust. Il. p. 882, 58: *συνηγορεῖ δὲ τῇ τοῦ σπιδέος γραφῇ καὶ τὸ παρ' Αἰσχύλῳ* '*σπίδιον πεδίον*'. Hesych. 4 p. 66: *σπιδές· μέγα, πλατύ, εὐρύ. σπίδιον· τὰ αὐτά.*

379

ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας
κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι
εὔξασθε

Schol. B Il. *Ξ* 200 p. 51, 7: *ὁμοίως δὲ καὶ Αἰσχύλος τὰς ἐν κύκλῳ ἑστώσας ἐν ἀπείρονι σχήματι φησὶν ἵστασθαι·* '*ὑμεῖς — εὔξασθε*'. eadem Schol. DE Od. *α* 98. v. 2 *περίστατ'* vel *περίστατε* Schol. Od. locum e Danaidibus depromptum esse suspicabatur Hermann, Supplicibus (v. 212 sq.) obtrusit G. Burges.

380

Schol. TV Il. *Π* 380: *Αἰσχύλος δὲ Ἀχιλλέα σὺν τῇ πανοπλίᾳ φησὶν ὄπισθεν ὁρμήσαντα πηδῆσαι τὴν τάφρον μὴ δείξαντα τὰ* (*τὰ* om. T) *νῶτα τοῖς ἐχθροῖς.* cf. Ar. Ran. 928: *σαφὲς δ' ἂν εἶπεν*

(Aeschylus) οὐδὲ ἓν — ἀλλ' ἢ Σκαμάνδρους ἢ τάφρους ἢ ἐπ' ἀσπίδων ἐπόντας γρυπαιέτους χαλκηλάτους.

381

ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῆσδε καρτερωτέρα;

Schol. BLT Il. Π 542: δίκῃσί τε καὶ σθένεϊ ᾧ] ταῦτα γὰρ σῴζει — Αἰσχύλος 'ὅπου — καρτερωτέρα;' v. 1 δίκαι codex Voss. in Valckenarii Opusc. 2 p. 134. v. 2 τῆσδε Grotius, τῶνδε libri.

382

πάτερ Θέοινε, μαινάδων ζευκτήριε

Schol. Lycophr. 1247: Θέοινος ὁ αὐτός (sc. Bacchus), ὡς Αἰσχύλος 'πάτερ — ζευκτήριε'. eadem fere Tzetzes in Lycophr. 1247. cf. Harpocr. v. Θεοίνια p. 95, 12: τὸν γὰρ Διόνυσον Θέοινον ἔλεγον, ὡς δηλοῖ Αἰσχύλος καὶ Ἴστρος ἐν α' Συναγωγῶν. Hesych. 2 p. 307: Θεοίνια· θυσία Διονύσου Ἀθήνησι. καὶ θεὸς Θέοινος Διόνυσος.

383

Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ

Schol. Pind. Nem. 10, 31: λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν καὶ Αἰσχύλος 'Ἥρα — δάμαρ'.

384

ἐναγώνιε Μαίας
καὶ Διὸς Ἑρμᾶ

Schol. Pind. Pyth. 2, 18: ἐναγώνιος δὲ ὁ Ἑρμῆς ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος φησὶν 'ἐναγώνιε — Ἑρμᾶ'. ἐναγώνιε ⟨παῖ⟩ Μαίας καὶ Διός (deleto Ἑρμᾶ nomine) scribi voluit Cobet Coll. crit. p. 186, ubi displicet alterius dipodiae anapaesticae dactylus subiunctus spondeo (cf. *Mélanges Gréco-Rom.* V p. 208). traditorum verborum metrum stabilitur allato ab H. Weilio loco Agam. 109: κράτος, Ἑλλάδος ἥβας ξύμφρονε ταγῶ sive 127: πόλιν ἅδε κέλευθος, πάντα δὲ πύργων.

385

οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα

Schol. Soph. El. 286: ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος 'οἵ τε — ἐρείσματα'. Schol. TV Il. Ψ 10: Αἰσχύλος 'οἵ τοι — ἰάματα'. οἵ τε] οἱ γὰρ Schol. Soph. codex Vrbinas,

οἱ δὲ Florentinus G, *οἵ τοι* Schol. Il. *ἐρείσματα* Schol. Soph., *ἰάματα* Schol. Il., *ἐρύσματα* coni. Hermann, *ῥαῖσματα* M. Schmidt in Hesych. 5 p. 42, *ἀρτύματα* Wecklein *Berliner philol. Wochenschr.* 1887 p. 329, mihi *κουφίσματα* scribendum videtur, sicut *ἰάματα* et *κουφίσματα* v. l. habes in Men. Com. 4 p. 240.

386

λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει

Schol. Soph. Oed. C. 1047: *τὰ περὶ Ἐλευσῖνα τέλη φησί, καὶ εἴη λαμπάσιν ἀκταῖς ταῖς λαμπαδευομέναις καὶ καταλαμπομέναις καὶ δᾳδουχουμέναις ὑπὸ τῆς μυστικῆς φλογὸς καὶ τῶν ἱερῶν δᾴδων, περὶ ὧν Αἰσχύλος φησίν* '*λαμπραῖσιν — σθένει*'. *ἀστραπαῖσιν* codex L. *λαμπάδων*] *καὶ δᾴδων* nescio quis. *σθένει*] *φλέγει* coni. Herwerden Exerc. crit. p. 5.

387

ἔφριξ' ἔρως δὲ τοῦδε μυστικοῦ τέλους

Schol. Soph. Oed. C. 1049: *τέλη δὲ τὰς τελετάς· καὶ Αἰσχύλος* '*ἔφριξ' — τέλους*'. *ἔρως δὲ*] *ἔρωτι* Brunck, *ἐρῶ δὲ* Dindorf, *ἐρῶσα* Meineke in Soph. Oed. C. p. 212.

388

δέσπον' Ἑκάτη
τῶν βασιλείων πρόδομος μελάθρων

Schol. Theocr. 2, 36: *ἱδρύοντο δὲ αὐτὴν* (sc. *τὴν Ἑκάτην*) *καὶ πρὸ τῶν θυρῶν, ὡς φησὶν Αἰσχύλος* '*δέσποιν' — μελάθρων*'. *πρόδρομος* libri fere omnes. cf. Aristid. vol. 1 p. 27: *ἀλλ' ὦ τῶν βασιλείων πρόδρομος μελάθρων, Αἰσχύλῳ χορὸς ᾖσε, τῶν τε οὐρανίων καὶ πατρῴων καὶ τῶν ἐν τῇ ἡμετέρᾳ μεγίστων.*

389

κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.

Stob. Ecl. 2, 8, 10 p. 155, 2: *Αἰσχύλου.* '*κοινὸν — κεκτημένων*'. idem versus est in Men. mon. 679. *καινὸν* Stobaei P.

390

ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδὼς σοφός.

Stob. Flor. 3, 1: *Αἰσχύλου.* '*ὁ χρήσιμ' — σοφός*'. sic MA, eclogam om. S, editur cum Trinc.: *Αἰσχύλου. ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς. ὁ χρήσιμ' — σοφός.* quorum versuum prior cuius sit poetae nescimus.

391

ἁμαρτάνει τι καὶ σοφοῦ σοφώτερος.

Stob. Flor. 3, 10: *Αἰσχύλου* (sic MA, eclogam om. S). '*ἁμαρτάνει — σοφώτερος*'. *τι* M, *τοι* A.

392

ἦ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων.

Stob. Flor. 4, 16: *Αἰσχύλου.* '*ἦ — ἄφρων*'. Hermann Aeschylo hunc versum abrogat, suspicatur autem Aeschyli esse verba (Stob. Flor. 4, 15 sive adesp. fr. 519),

οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν.

393

κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

Stob. Flor. 18, 13: *Αἰσχύλου.* '*κάτοπτρον — νοῦ*'. omittit poetae nomen Ath. X p. 427 F. cf. Tzetzes in Lycophr. 212: *οἱ οἰνωθέντες τὰ τοῦ λογισμοῦ ἀπόρρητα ἐκφαίνουσιν, ὅθεν καὶ Ἀλκαῖος φησὶν* '*οἶνος γὰρ ἀνθρώποις δίοπτρον*'. *ἐστ'* Ath., *ἐστιν* Stobaei SMA.

394

οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ

Stob. Flor. 27, 2: *Αἰσχύλου* (sic SMA, ⟨*αἰ*⟩*σχίνους* L, *Ἀλέξιδος* Arsenius p. 579, 25 et Trinc.). '*οὐκ — ἀνήρ*'. *πίστις*] *πίστεις* SM Arsen.

395

φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.

Stob. Flor. 29, 21: *Αἰσχύλου* (*Εὐριπίδου* Arsenius p. 712, 13 et Trinc.). '*φιλεῖ — θεός*'. *φιλεῖ δὲ τῷ*] *φιλεῖ* (*φιλοῖ* pr. m.) *δέ τοι, δαιμόνιε, τῶ* et mox *θεοῖς* M, unde scribendum suspicabar,

φίλον δέ τοι,
δαιμόνιε, τῷ κάμνοντι συσπεύδειν θεοῖς.

facit mecum Meineke, qui comici poetae hunc esse locum, Aeschylea autem verba excidisse conicit (Stob. Flor. vol. 4 p. LXIII). aliquanto liberius mutat traditam scripturam F. G. Schmidt *Krit. Stud.* 1 p. 111, *ἐσθλῷ δέ τοι* |. *δεινόν τί πως κάμνοντι συσπεύδει θεός.*

396

καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.

Stob. Flor. 29, 24: *Αἰσχύλου.* '*καλὸν — σοφά*'. *γέροντα* Stob., *γέροντι* Men. mon. 297. cf. Anecd. Boiss. vol. 3 p. 471: *καλὸν δὲ γέροντι μαθεῖν τὸ καλόν.* Philostr. Vit. soph. 2, 2, 9: *καὶ ὁ Μάρκος* '*καλὸν*' *ἔφη* '*καὶ γηράσκοντι τὸ μανθάνειν*'.

397

πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

Stob. Flor. 34, 5: *Αἰσχύλου* (sic SM, ecl. om. A). '*πρὸ — στόμα*'.

398

κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί.

Stob. Flor. 45, 14: *Αἰσχύλου.* '*κακοὶ — ἀνασχετοί*'.

399

τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέραν φρονεῖ,
καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά.

Stob. Flor. 98, 49: *Αἰσχύλου.* '*τὸ γὰρ — σκιά*'. v. 1 *ἐφήμερα* A, *ἐφημέρια* S et Apostol. p. 686, 3, *ἐφ' ἡμέρᾳ* coni. Lobeck in Soph. Ai. ed. alt. p. 444, *ἐφ' ἡμέραν* Dindorf.

400

γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.

Stob. Flor. 115, 10: *Αἰσχύλου.* '*γῆρας — ἐνδικώτερον*'.

401

ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος·
τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι
κρεῖσσον κακῶς πάσχοντα.

Stob. Flor. 121, 17: *Αἰσχύλου* (sic SA, eclogam om. M) '*ζωῆς — πάσχοντα*'. v. 1 *εὐπορώτερος* Stob., *αἱρετώτερος* Men. mon. 193, cf. Xenoph. de re publ. Laced. 9, 1: *αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου.* Polyaen. 4, 6, 5: *τοῦ ζῆν ἀγεννῶς τὸ θνήσκειν ἀνδρείως αἱρετώτερον ἡγούμενος.* Cebetis Tab. c. 38: *αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν.* Artemid. 5, 30: (*ὁ θάνατος*) *αἱρετώτερος ἦν διὰ τὸ ἄπονον τοῦ νοσώδους καὶ ταλαιπώρου βίου.* simillimum huic versui est fr. 90. v. 2 *ἐστὶ μᾶλλον ἢ* libri, *ἐστὶν ἢ* Grotius. v. 3 *κρεῖσσον κακῶς πάσχοντα* addit A, om. S. Euripidis potius quam Aeschyli esse locum coni. L. Dindorf Thes. Gr. L. vol. 8 p. 1177 A.

402

ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται

Strab. VI p. 258: *ὠνομάσθη δὲ Ῥήγιον, εἴθ' ὥς φησιν Αἰσχύλος, διὰ τὸ συμβὰν πάθος τῇ χώρᾳ ταύτῃ· ἀπορραγῆναι γὰρ ἀπὸ τῆς ἠπείρου τὴν Σικελίαν ὑπὸ σεισμῶν ἄλλοι τε κἀκεῖνος εἴρηκεν, 'ἀφ' οὗ — κικλήσκεται'.* Glauco pontio hunc locum adscribit Hermann.

403

Βοῦράν θ' ἱερὰν καὶ κεραυνίας Ῥύπας

Strab. VIII p. 387: *τὴν δὲ χώραν Ῥυπίδα καλουμένην ἔσχον Αἰγιεῖς καὶ Φαριεῖς· καὶ Αἰσχύλος δὲ λέγει που 'Βοῦραν — Ῥύπας'. Βοῦραν καθ' ἱερὰν* Meineke Vind. Strab. p. 127. Photius Lex. p. 492, 10: *Ῥύπες (ῥύπαις* cod.)*· πόλις τῶν Ὠλενίων Ἀχαιῶν. οὕτως Αἰσχύλος.* Hesych. 3 p. 436: *Ῥύπας· τοὺς ἐν* (*ἐπὶ* Wilamowitz-Moellendorff) *τῇ Ἀρκαδίᾳ Ἀχαιούς.* ad *Γλαῦκον πόντιον* Aeschylea verba revocat Wilamowitz-Moellendorff *Isyllos von Epidauros* p. 114.

404

Αἴγινα δ' αὕτη πρὸς νότου κεῖται πνοάς.

Strab. IX p. 393: (Salamis) *ἔχει δ' ὁμώνυμον πόλιν, τὴν μὲν ἀρχαίαν ἔρημον πρὸς Αἴγιναν τετραμμένην καὶ πρὸς νότον, καθάπερ καὶ Αἰσχύλος εἴρηκεν 'Αἴγινα — πνοάς', τὴν δὲ νῦν ἐν κόλπῳ κειμένην. Αἴγινα δ' αὕτη] Αἴαντος ἄστυ* coni. G. Loeschcke de titulis aliquot Atticis quaest. hist. (diss. Bonn. a. 1876) p. 35, *Αἴγινα ταύτῃ* I. Toepffer Quaest. Pisistr. p. 11, *Αἴγινα δ' ἄστει* F. G. Schmidt *Krit. Stud.* 1 p. 112.

405

Strab. XV p. 728: *φησὶ δὲ καὶ Αἰσχύλος τὴν μητέρα Μέμνονος Κισσίαν.* 'videtur hoc fecisse aut in Psychostasia aut in Memnone'. Hermann.

406

ἀγησίλαος

Ath. III p. 99 B: *Σιμωνίδης που ὁ ποιητὴς ἀρίσταρχον εἶπε τὸν Δία καὶ Αἰσχύλος τὸν Ἅιδην ἀγησίλαον.* Hesych. 1 p. 19: *ἀγεσίλαος· ὁ Πλούτων (ἄγες λαός· ὁ πλουτῶν* cod.). cf. Bentley in Callim. ed. Schneid. vol. 1 p. 362 sq.

407

αἰγίζειν

Hesych. 1 p. 69 et Suidas: *αἰγίζειν· διασπᾶν, ἐκ μεταφορᾶς,*

παρ' ὃ καὶ τὸ αἰγίζεσθαι (*αἰκίζεσθαι* Hesych.) *ἀπὸ τῶν καταιγίδων. Αἰσχύλος.* ante *Αἰσχύλος* excidisse verba in Etym. M. p. 27, 30 servata, *αἰγίδες· καταιγίδες οἱ ἄνεμοι*, probabiliter coni. M. Schmidt: quae si vera est suspicio, hoc fragmentum erit omittendum.

408

Αἴνηθος

Steph. Byz. p. 51, 1: *Αἴνηθος, ὄρος. Αἰσχύλος. τὸ ἐθνικὸν Αἰνήθιος. Αἰσχύλου* codex *Π*, *ὄρος Αἰγύπτου* coni. I. Gronov.

409

ἀλαβαστροφόρος

Pollux 7, 177: *καὶ τὸν τὰς ἀλαβάστρους φέροντα Αἰσχύλος εἴρηκεν ἀλαβαστροφόρον.*

410

ἀλεός

Hesych. 1 p. 112: *ἀλαιός· ὁ παλαιός* (*ὁ μάταιος* coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 112), *ἄφρων. Αἰσχύλος.* Dindorf recte *ἀλεός* scripsit, cf. Herod. *π. μον. λέξ.* p. 4, 19 Schol. Ar. Lys. 988 Etym. M. p. 59, 45.

411

ἀλκαθεῖν

Anecd. Bekk. p. 383, 31: *ἀλκάθω καὶ ἀλκάθειν. Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν.* accentum correxit Dindorf.

412

Ἄμφις

Etym. M. p. 93, 51 (cf. Zon. Lex. p. 165): *Ἄμφις. τοῦτο οὐ συγκοπή, ἀλλὰ μετασχηματισμός· ἀπὸ γὰρ τοῦ Ἀμφιάραος Ἄμφις, ὡς παρ' Αἰσχύλῳ.* ibid. p. 159, 31: *καὶ Ἀμφιάραος Ἄμφις.*

413

ἀναγκόδακρυς

Phryn. Bekk. p. 20, 13: *ἀναγκόδακρυς· ὁ πρὸς ἀνάγκην δακρύων καὶ μὴ ἐκ πάθους τινὸς ἢ συμφορᾶς. Αἰσχύλος.*

414

ἀπαίρειν

Phryn. Bekk. p. 6, 16: *ἀπαίρειν· τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης.*

415

ἀπέλλητοι

Anecd. Bekk. p. 421, 5: *ἀπέλλητοι· ἀνταγωνισταί. οὕτως Αἰσχύλος.* glossa corrupta: *ἀναντογώνιστοι* pro *ἀνταγωνισταί* expectari dicit Dindorf in Lex. Aeschyl.

416

ἀρχῆθεν

Anecd. Bekk. p. 450, 4: *ἀρχῆθεν· οὐκ ἔστι παρὰ τοῖς Ἀττικοῖς πλὴν παρ' Αἰσχύλῳ. παρ' Ἡροδότῳ δὲ ἔστι καὶ τοῖς Ἴωσιν.* cf. Phryn. Ecl. p. 93 et Phryn. Bekk. p. 7, 12. idem adverbium in Soph. fr. 122, 3 traditum est.

417

ἆσαι

Anecd. Bekk. p. 450, 30: *ἆσαι· βλάψαι. οὕτως Αἰσχύλος.*

418

ἀσχαδές

Etym. M. p. 161, 15: *ἀσχαδές· ἀκατάστατον. Αἰσχύλος.* cf. Hesych. 1 p. 309: *ἀσχαδές· ἀμετάσχετον.* fortasse utroque loco *ἀκατάσχετον* leg.

419

αὐλῶν

Eust. Il. p. 1157, 36: *Αἰσχύλος δὲ φησὶ καὶ τὴν τάφρον αὐλῶνα.* Hesych. 1 p. 322: *αὐλῶνες· οἱ ἐπ' εὐθείας τόποι. Αἰσχύλος καὶ τὴν τάφρον καὶ τὴν πυράν.*

420

αὖρι

Hesych. v. *αὐριβάτας*, quem locum attulimus in fr. 280. eodem adverbio Sophocles Oed. R. 1089 videtur esse usus.

421

βοῦ

Choerob. in Theod. p. 237, 8 (Anecd. Bekk. p. 1196): *εὑρέθη τοῦ βοῦς ἡ γενικὴ οὐ μόνον βοός, ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ παρὰ τῷ Αἰσχύλῳ.*

422

γρυπαίετος

Ar. Ran. 929: σαφὲς δ' ἂν εἶπεν (Aeschylus) οὐδὲ ἕν — ἀλλ' ἢ Σκαμάνδρους ἢ τάφρους ἢ ἐπ' ἀσπίδων ἐπόντας γρυπαιέτους χαλκηλάτους.

423

ἐδανοῖς

Hesych. 2 p. 14: ἐδανοῖς· βρωσίμοις. *Αἰσχύλος.* cf. ἐδανόν Agam. 1407.

424

εἰλαπίναι

Ath. VIII p. 362 F: τὰς δὲ τοιαύτας εὐωχίας *Αἰσχύλος* καὶ *Εὐριπίδης* εἰλαπίνας ἀπὸ τοῦ λελαπάχθαι.

425

ᾐόνησας

Etym. Flor. p. 151: ᾐόνησας σὺν τῷ Ι ἀντὶ τοῦ ἔλουσας ἢ κατήντλησας· εἴρηται δὲ ἐν τῷ ἐξῃονήθην. Ὦρος (ὧρος cod.) ὁ *Μιλήσιος.* ἡ δὲ χρῆσις παρὰ *Αἰσχύλῳ.*

426

ἠριγένεια

Hesych. 2 p. 288: ἠριγένεια (ἠριγένιαν cod.) — παρ' *Αἰσχύλῳ* ἡ λέαινα (ἡλέ.να cod.) ἠριγένεια, ἢ ἡ ἐν τῷ ἀέρι τίκτουσα ἢ ἡ ἐν τῷ ἔαρι. Aeschylum ἠυγένεια scripsisse coni. M. Schmidt.

427

ἴττυγα

Hesych. 2 p. 376: ἴττυγα· ἐκπληκτικά. *Αἰσχύλος.* glossa corrupta: ἀτυζηλά coni. M. Schmidt.

428

καταφαγᾶς

Pollux 6, 40: παμπόνηρον δὲ καὶ τὸ παρὰ *Μυρτίλῳ* τῷ κωμικῷ καταφαγάς, κἂν *Αἰσχύλος* αὐτὸ ᾖ προειρηκώς. cf. quae dixi Aristoph. Byz. p. 218.

429

κεχρηματίσθαι

Hesych. 2 p. 472: κεχρηματεῖσθαι· πεφρύχθαι. *Αἰσχύλος.* Musurus cum Favorino κεχρηματίσθαι scripsit, κεχρωματίσθαι coni. Dindorf, ⟨κεχρᾶσθαι⟩· κεχρωματίσθαι, πεφύρθαι M. Schmidt.

430

κραταίπιλος

Choerob. in Anecd. Oxon. vol. 2 p. 318, 6 (Anecd. Bekk. p. 1391): *τὰ παρὰ τὸ κρᾶτα διὰ τοῦ ΑΙ γράφεται, οἷον κραταίβιος· κραταίπιλος, ὁ ἰσχυρὸν πίλιον ἔχων παρὰ Αἰσχύλῳ.* cf. Eust. Od. p. 1938, 2: *κατὰ τὴν τεχνικὴν παράδοσιν ἀναλογεῖ τῇ συνθέσει τοῦ κραταιπέδου καὶ τὸ κραταίβιος, κραταίπιλος, κραταίτονος.*

431

Κυνοκέφαλοι

Strabo I p. 43: *Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους — οὐδ' Αἰσχύλου Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους.* VII p. 299: *Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους* (l. *Μακροκεφάλους* cum L. Dindorfio in Thes.) *καὶ Πυγμαίους, — Αἰσχύλον δὲ Κυνοκεφάλους καὶ Στερνοφθάλμους καὶ Μονομμάτους [ἐν τῷ Προμηθεῖ φασὶ] καὶ ἄλλα μυρία.* ubi verba *ἐν τῷ Προμηθεῖ φασὶ* non Strabonis esse sed semidocto lectori deberi vidit Heyne in Apollod. fr. p. 421. *Μονόμματοι* Arimaspi sunt in Aesch. Prom. 805 commemorati, *Κυνοκεφάλων* et *Στερνοφθάλμων* mentionem ad solutum Prometheum referendum esse veri simile arbitror, certum non dixerim.

432

κυντερώτατα

Phot. Lex. p. 188, 20: *κυντερώτατα καὶ κυντατώτατα λέγουσιν. Εὔβουλος Παρμενίσκῳ 'ἀπὸ τῶν ἐκείνου καὶ τὰ κυντατώτατα'. Φερεκράτης Λήροις 'ἔπειτα ἕτερα τούτων ποιοῦντα πολλὰ κυντερώτερα'. καὶ Αἰσχύλος.* quid Aeschylus dixerit parum constat; fortasse significatur *μειζονώτερος* (fr. 434).

433

λάμπουρις

Phot. Lex. p. 206, 18: *λαμπουρίς· ἡ ἀλώπηξ παρ' Αἰσχύλῳ.* scripsi *λάμπουρις* secundum Etym. M. p. 474, 4 sive Etym. Gud. p. 281, 57 et Hesych. 3 p. 11. *λαμπουρίδος* Lycophr. 344 et 1393.

434

μειζονώτερος

Maximus Planudes post Etym. Gud. p. 648, 46 sive in Anecd. Bachm. vol. 2 p. 75, 14: *καὶ τὸ μεῖζον μειζότερον καὶ μειζονώτερον Αἰσχύλος καὶ τὸ ὑπέρτερον ὑπερτερώτερον, καὶ χερειότερον καὶ πλειό-*

τερον καὶ τὸ ῥᾷον ῥήϊτερον. Anecd. Barocc. in Museo philol. Cantabr. vol. 2 p. 114 (quem locum in appendice Lex. Vindob. p. 324 repetii): *βαρεώτερος· ἀπὸ τῆς γενικῆς εἶπον, βαρέως, βαρεώτερος, σπανίως μέντοι· καὶ ἔτι Αἰσχύλος μειζονώτερος ὑπερτερώτερός τε καὶ χερειότερος καὶ ῥήϊτερος καὶ πλειότερος. ὑπερτερώτερα* dixisse Aeschylum Agam. 428, ubi *ὑπερβατώτερα* traditum est, probabiliter coni. H. Weil.

435

ὀμίχματα

Phot. Lex. p. 331, 2: *ὀμαμαιτα· τὰ οὐρήματα. Αἰσχύλος.* lemma correctum ex Hesych. 3 p. 203: *ὀμίχματα· οὐρήματα.* cohaesisse hanc glossam cum fr. 180 probabiliter coni. S. Mekler.

436

οὐρανιζέτω

Phot. Lex. p. 361, 11: *οὐρανιζέτω· πρὸς τὸν οὐρανὸν διικνείσθω. Αἰσχύλος.* Anecd. Bachm. vol. 1 p. 322, 19 et Hesych. 3 p. 242: *οὐρανίζετο* (*οὐράνιζεν τὸ* cod. Bachm.) *πρὸς τὸν οὐρανὸν διικνεῖτο. Αἰσχύλος* (*Αἰσχ.* om. Hesych.).

437

πάλμυδος

Choerob. in Theod. p. 232, 4 (Anecd. Bekk. p. 1408): *πάλμυς πάλμυος· τὸ γὰρ πάλμυδος διὰ τοῦ ΔΟΣ κλιθὲν παρὰ Αἰσχύλῳ* (*παρ' Αἰσχίνῃ* cod. Marc.) *ἡμάρτηται. ἔστι δὲ ὄνομα κύριον* (fort. *Φρύγιον*) *βασιλέως.* editur *πάλαμυς παλάμυος — παλάμυδος*: veram scripturam praebet codex Marcianus. forma *πάλμυδος* si non Aeschylus, certe Hipponax usus est.

438

πεφρασμένος

Phot. Lex. p. 427, 9: *πεφρασμένος· παρεσκευασμένος εἰς τὸ φρασθῆναι, προσεκτικὴν ἔχων διάνοιαν. Αἰσχύλος.* similiter omisso poetae nomine Hesychius 3 p. 329.

439

πρέψαι

Phot. Lex. p. 447, 14: *πρέψαι· τὸ ὁμοιῶσαι* (fort. *ὡμοιῶσθαι*). *Αἰσχύλος.* cf. quae dixit Dindorf in Poet. scen. ed. V ad Aesch. Agam. 1328.

440

στέμβω

Etym. Gud. p. 85, 45 (cf. Etym. Paris. p. 451 B Gaisf. et Anecd. Paris. vol. 4 p. 61, 18): ἀστεμβής — παρὰ τὸ στέμβω, ὃ σημαίνει τὸ κινεῖν συνεχῶς, οὗ μέμνηται Αἰσχύλος. in Aesch. Pers. 571 στέμβοντες suppleri voluit M. Sorof, στέμβονται N. Wecklein.

441

Στερνόφθαλμοι

Strab. I p. 43 et VII p. 299, quos locos attulimus in fr. 431. Στερνοφθάλμους ex Aeschylo item commemorat Tzetzes in Anecd. Oxon. vol. 3 p. 370, 9.

442

στόμις

Eust. Od. p. 1538, 50: στόμις παρ' Αἰσχύλῳ ὁ ὥσπερ στόματι ἀντερείδων χαλινοῖς. Pollux 2, 100: στόμα δὲ εἶπεν Αἰσχύλος τὸν τραχύν (sic Bekker edidit, olim ἄστομον δὲ ἵππον Αἰσχύλος εἴρηκε τὸν τραχύν legebatur: στόμα in στόμιν mutandum esse dixi in Diario Halensi a. 1848 mens. Mart. p. 505). cf. Phryn. Bekk. p. 64, 14: στόμις (στόμης cod.) καὶ βίαιος ἵππος· ὁ μὴ πειθόμενος τῷ χαλινῷ. Phot. Lex. p. 540, 16 et Suidas: στόμις (στομίας Suid.) ἵππος· ἀπειθὴς καὶ βίαιος. Hesych. 4 p. 82: στόμις (στομίς cod.)· ὁ ἀπειθής, μέγα στόμα ἔχων· καὶ τοὺς ἵππους δὲ στομίας λέγουσι τοὺς ἀπειθοῦντας τοῖς χαλινοῖς.

443

σχελίδες

Schol. Ar. Eq. 362: σχελίδας· βοὸς πλευρά· ἢ ἁπλῶς τὰ πλευρικὰ τῶν βοῶν (τῶν κρεῶν Suid. v. σχελίδες), ὡς Αἰσχύλος.

444

τραγέλαφος

Ar. Ran. 937: ΑΙΣΧ. σὺ δ' ὦ θεοῖσιν ἐχθρέ, ποῖ' ἄττ' ἐστὶν ἅττ' ἐποίεις; ΕΥΡ. οὐχ ἱππαλεκτρυόνας (cf. supra fr. 134) μὰ Δί' οὐδὲ τραγελάφους, ἅπερ σύ, ἂν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γράφουσιν.

445

τρισσόζωος

Etym. M. p. 279, 17: δὶς ἡβήσαντα (Lycophr. 156), τουτέστιν ἀναζήσαντα. φησὶ γὰρ μετὰ τὴν κρεουργίαν οἱ θεοὶ τὸν Πέλοπα ἀνεζωοποίησαν· καὶ τρισσόζωος (sic M ut coniecerat Sylburg, τρισόζυος DP) παρὰ Αἰσχύλῳ (verba καὶ τρισσόζωος παρὰ Αἰσχύλῳ om. cod. F). de Aeschylo quae perhibentur eo quo non pertinebant aberrarunt

in Etym. Gud. p. 585, 14: *δίς καὶ τρίς ἐν τῇ συνθέσει ἀποβάλλουσι τὸ Σ, οἷον δίμηνος δίπηχυς τρίπηχυς· σεσημείωται τὸ δισθανέες καὶ τὸ τρίσφυλλον παρὰ Νικάνδρῳ — καὶ τρισόζυος παρ' Αἰσχύλῳ.* hinc facile excusatur quod *τρισοίζυος* falso coni. Lobeck Paral. p. 253, *τρίσοιζυς* non minus infeliciter Dindorf.

446

Φρυγία

Schol. ABL Il. *Β* 862: *οἱ νεώτεροι τὴν Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ δὲ Ὅμηρος οὐχ οὕτως· Αἰσχύλος δὲ συνέχεεν.* similiter Eust. Il. p. 364, 42. probabile est ad Phryges haec referenda esse, cf. fr. 271.

447

φυξίμηλον

Plut. Quaest. Gr. 10 p. 293 A: *τί τὸ φυξίμηλον; τῶν μικρῶν ἐστι καὶ χαμαιζήλων φυτῶν, ὧν ἐπιόντα τοὺς βλαστοὺς τὰ βοσκήματα κολούει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν αὔξησιν. ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ καὶ διαφύγῃ τὸ βλάπτεσθαι ὑπὸ τῶν ἐπιγενομένων, φυξίμηλα καλεῖται. τὸ δὲ μαρτύριον Αἰσχύλου.* Hesych. 4 p. 263: *φυξίμηλα* (*φυξήμηλα* cod.)· *δένδρα τὰ διὰ ὕψος ἐκπεφευγότα ἐσθίεσθαι ὑπὸ τῶν βοσκημάτων.*

448

χαλιμάδες

Schol. Apoll. Rhod. 1, 473: *χαλίκρητον· τὸν ἄκρατον, τὸν χαλῶντα τὰς φρένας. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Αἰσχύλος δὲ καὶ τὰς βάκχας χαλιμίας φησὶ λέγεσθαι.* Etym. M. p. 805, 10: *καὶ τὰς βάκχας χαλιμάδας ἔλεγον, τὰς χαλωμένας πρὸς συνουσίαν.* Hesych. 4 p. 269: *χαλιμάδες· ἀναίσχυντοι καὶ θρασεῖαι.* Suidas: *χαλίμα* (*χαλιμάς* Naeke Choer. p. 217) *ἡ πόρνη, ἀπὸ τοῦ χαλᾶσθαι τὸ σῶμα ἀπὸ* (l. *ὑπὸ*) *μέθης ἢ μανίας.* errare videtur Eust. Od. p. 1471, 2: *εἰ δὲ πρὸς τὰς τοιαύτας διάφοροί τινες ἦσαν αἱ κατ' Αἰσχύλον σπονδαὶ χαλίκρητοι, ζητητέον· τοιαῦται δὲ αἱ ἐπὶ Διονύσῳ* (*Διονυσίῳ* ed.) *κραθεῖσαι· χάλις γάρ, φασίν, ὁ Διόνυσος* (*Διονύσιος* ed.)· *ἐξ ἐκείνου δὲ καὶ ὁ ἄκρατος οἶνος. ὅθεν καὶ χαλιμὰς γυνὴ κατὰ τοὺς παλαιούς, ἡ ὑπὸ μέθης χαλωμένη τὸ σῶμα.*

449

χειμάμυνα

Pollux 7, 61: *τὸ μέντοι χειμερινὸν ἱμάτιον χείμαστρον ἂν λέγοις, καὶ χλαῖναν δὲ παχεῖαν, ἣν χειμάμυναν μὲν Αἰσχύλος, Ὅμηρος δὲ ἀλεξ-*

ἄνεμον κέκληκεν. Eust. Od. p. 1767, 43: *παχεῖαν χλαῖναν — ὁποία τις ἡ μὴ μόνον ἀλεξήνεμος λεγομένη, ἀλλὰ καὶ χειμάμυνα, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ.* Hesych. 4 p. 277: *χειμάμυνα· ἣν Ὅμηρος ἀλεξάνεμον λέγει.* Sophocles (fr. 1008) huius nominis auctor perhibetur in Anecd. Bachm. vol. 1 p. 415, 5.

450

χελιδονίζειν

Schol. Ar. Av. 1680: *καὶ Αἰσχύλος τὸ βαρβαρίζειν χελιδονίζειν φησί.* cf. Aesch. Ag. 1050: *χελιδόνος δίκην ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη.*

451

ψιλῆτος

Schol. A Il. *E* 9: *περὶ δὲ τοῦ ψιλῆτος παρ' Αἰσχύλῳ καὶ τοῦ 'Κουρῆτές τ' ἐμάχοντο' καὶ τοῦ κριτής ἐν τοῖς περὶ ὀνομάτων ἀποδώσομεν τὸν λόγον.* cf. Eust. Il. p. 515, 10: *τὸ ψιλής ψιλῆτος παρ' Αἰσχύλῳ.* Choerob. in Theod. p. 55, 4: *σεσημείωται τὸ Κουρής Κουρῆτος — καὶ τὸ ψιλής ψιλῆτος.*

FRAGMENTA DVBIA ET SPVRIA

452

οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν,
ἣν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.

Ar. Ran. 1431: ΑΙΣΧΥΛΟΣ. *οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν. μάλιστα μὲν λέοντα μὴ ἐν πόλει τρέφειν, ἣν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.* tres istos versus repetunt Anth. Pal. 10, 110 (ubi *Αἰσχύλου* lemma apponitur) et Suid. v. *οὐ χρή* et *σκύμνος*, v. 1 Macarius 6, 71, v. 2 et 3 Plut. Alcib. 16. in Aristophanis loco v. 1 delevit Dindorf. Aeschyli esse v. 1 et 3 probabiliter coni. Hermann.

453

καλῶς τεθνάναι κάλλιον ἂν μᾶλλον ἢ σεσῶσθαι.

Thomas Mag. p. 238, 8: *οὐ λογογράφων τὸ λέγειν 'μᾶλλον πλουσιώτερος' καὶ 'μᾶλλον ἀνδρειότερος' — ποιηταὶ δὲ ὥσπερ καὶ ἕτερ' ἄττα καινοτομοῦσι, καὶ τοῦτο ἔστιν ὅτε ποιοῦσιν. Αἰσχύλος ἐν τοῖς 'Επτὰ ἐπὶ Θήβαις 'καλῶς — σεσῶσθαι'. μᾶλλον ἐνδικώτερος* dixit Aesch. Sept. 673. verba supra apposita cuius scriptoris sint nescimus.

454

οὐκέτ' ἀκταίνω

Phryn. Bekk. p. 23, 12: *ἀκταινῶσαι — Αἰσχύλος 'οὐκέτ' ἀκταίνω' φησί, βαρυτόνως, οἷον οὐκέτι ὀρθοῦν δύναμαι ἐμαυτήν.* Ruhnken respici suspicatus est Eum. 36: *ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν βάσιν.*

455

Zenob. 5, 85: *Σαρδόνιος γέλως· Αἰσχύλος ἐν τοῖς περὶ παροιμιῶν περὶ τούτου φησὶν οὕτως· οἱ τὴν Σαρδὼ κατοικοῦντες, Καρχηδονίων ὄντες ἄποικοι, τοὺς ὑπὲρ τὰ ἑβδομήκοντα ἔτη γεγονότας τῷ Κρόνῳ ἔθυον κτέ.* in archetypo Zenobiano fuisse *Σαρδόνιος γέλως· ⟨μέμνηται ταύτης⟩ Αἰσχύλος ἐν τοῖς ⟨. . . . . . Δήμων δὲ ἐν τοῖς⟩*

περὶ παροιμιῶν κτέ. coni. O. Crusius Anal. crit. ad paroemiogr. Gr. p. 148.

456

δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.

Stob. Ecl. 1, 3, 24 p. 56, 23: *Αἰσχύλου. 'δράσαντι — ὀφείλεται'.* Theophilus ad Autol. 2, 37 p. 176: *Αἰσχύλος ἔφη 'δράσαντι — ὀφείλεται'. γάρ τοι] γάρ τι* Stobaei codex Aug. Aeschyli nomen fortasse errori debetur: certe simillimum est Sophoclis fr. 209. excidisse in Stob. Anthol. verba Aeschylea, *δράσαντι παθεῖν, τριγέρων μῦθος τάδε φωνεῖ* (Choeph. 313 sq.), coniecit M. Schmidt Philol. 16 p. 162.

457

Schol. Eur. Phoen. 175: *Ἡσίοδος φησὶν ἀδελφὴν Ἡλίου εἶναι τὴν Σελήνην —, Αἰσχύλος δὲ καὶ οἱ φυσικώτεροι θυγατέρα, παρ' ὅσον ἐκ* (l. *καὶ*) *τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει ἀμέλει καὶ πρὸς τὰς ἡλιακὰς ὑποστάσεις μεταμορφοῦται ἡ σελήνη.* non *Αἰσχύλος* voluisse videtur grammaticus, sed *Εὐριπίδης*. hic enim putatur a communi Graecorum opinione ita discessisse ut Solis non sororem, sed filiam faceret Lunam, et de uno Euripide intellegendum est Scholion Arati 455 (in *Eur. Stud.* 1 p. 70 a me allatum), ubi *παρὰ τοῖς τραγικοῖς* filia Solis Luna esse dicitur. at quod de Euripide perhibetur vitiosae deberi lectioni sagacissime agnovit et certissimis argumentis evicit C. Badham in Iph. Taur. praef. p. 14 sqq., quo duce Phoen. 175 pro *θύγατερ ἀελίου Σελαναία* scribendum esse *θύγατερ ἁ Λατοῦς* ut olim dixi ita nunc arbitror.

458

Eust. Opusc. p. 335, 28: *ἐν μετοπώρῳ γὰρ οὐ μόνον καινὸν ἐάν, ὡς ἡ παροιμία, ἄνθος ἀναφυῇ, ἀλλὰ καὶ ἐὰν κατ' Αἰσχύλον ἀρτίδροπος ὀπώρα νεάζουσα τρυγηθῇ.* Aeschyleum in his unum videtur *ἀρτίδροπος* petitum ex Sept. 333, ut recte iudicat Schneidewin Philol. vol. 5 p. 367. proverbium *ἄνθος ἐν μετοπώρῳ* memorat Eust. Opusc. p. 308, 63.

459

ἱροπῶτις

Schol. TV Il. *T* 87: *ἠεροφοῖτις — οἷον ἐρεβοφοῖτις. ἔνιοι δὲ ἱροπῶτις παρὰ τὸ Αἰσχύλειον, παρὰ τὸ εἰς ἔριν νεύειν.* disputavit de hoc loco Bergk Progr. univ. Hal. a. 1863, unde haec apponimus: '*verba παρὰ τὸ εἰς ἔριν νεύειν ad Erinnyum veriloquium pertinent. Aeschyli testimonium, ut coniicio, spectabat ad veterem lectionem εἰ-*

αροπῶτις, *nam* ἱροπῶτις *sive* ἱεροπῶτις *nulla omnino vox fuit. scriptum fuit olim:* ἔνιοι δὲ εἰαροπῶτις παρὰ τὸ Αἰσχύλειον (*Eumen. 261:*) ἀλλ' ἀντιδοῦναι δεῖ σ' ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ φεροίμαν βοσκὰν πώματος δυσπότου'. non ex Aeschylo sed ex Homero (Il. *T* 87) repetitas esse Hesychii glossas εἰαροπότης ἠεροπότης ἰαροπότης, quibus αἱμοπότης explicatio apponitur, recte iudicat M. Schmidt Hesych. 4 p. CXV.

460

μάντις

Eust. Il. p. 48, 37: καὶ Αἰσχύλος δέ που, φασί, τὸν ἰατρὸν μάντιν ὀνομάζει. fortasse Eustathius ἰατρόμαντιν voluit, quo nomine saepius Aeschylus usus est.

461

μυχθίζειν

Eust. Il. p. 440, 25: τὸ μυχθίζειν παρά τε Αἰσχύλῳ καὶ ἄλλοις. similiter idem Od. p. 1965, 49. respicere videtur Prom. 743: σὺ δ' αὖ κέκραγας κἀναμυχθίζῃ.

462

ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις

Ar. Ran. 704: τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις. ubi Schol.: Δίδυμος φησὶ παρὰ τῷ Αἰσχύλῳ· ἔστι δὲ ὄντως παρὰ Ἀρχιλόχῳ 'ψυχὰς — ἀγκάλαις'. cf. Aristeas ap. Longin. de subl. c. 10, 4: ὄμματ' ἐν ἄστροισιν, ψυχὴν δ' ἐν πόντῳ ἔχουσιν. Oppian. Hal. 1, 42: θυμὸν ἐν οἴδμασιν αἰὲν ἔχοντες.

463

Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον

Strab. VIII p. 341: ποιητικῷ δέ τινι σχήματι συγκαταλέγειν τὸ μέρος τῷ ὅλῳ φασὶ τὸν Ὅμηρον — καὶ Ἀλκμὰν δέ 'Κύπρον ἱμερτὰν λιποῖσα καὶ Πάφον περιρρύταν', καὶ Αἰσχύλος 'Κύπρου — κλῆρον'. quae repetiit Eust. Il. p. 305, 34. Ἀρχίλοχος pro Αἰσχύλος scribendum esse admodum probabiliter coni. Meineke Vind. Strab. p. 103.

464

χώριζε θνητῶν τὸν θεὸν καὶ μὴ δόκει
ὅμοιον ἑαυτῷ σάρκινον καθεστάναι.
οὐκ οἶσθα δ' αὐτόν· ποτὲ μὲν ὡς πῦρ φαίνεται
ἄπλατος ὁρμῇ, ποτὲ δ' ὕδωρ, ποτὲ γνόφος·

καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερής, 5
ἀνέμῳ νεφέλῃ τε κἀστραπῇ, βροντῇ, βροχῇ.
ὑπηρετεῖ δ' αὐτῷ θάλασσα καὶ πέτραι
καὶ πᾶσα πηγὴ χὕδατος συστήματα·
τρέμει δ' ὄρη καὶ γαῖα καὶ πελώριος
βυθὸς θαλάσσης κὠρέων ὕψος μέγα, 10
ὅταν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου.
πάντα δύναται γάρ· δόξα δ' ὑψίστου θεοῦ.

Clemens Alex. Strom. V p. 727 sq. (Euseb. P. E. XIII p. 689 B): *Αἰσχύλος μὲν ὁ τραγῳδοποιὸς τὴν δύναμιν τοῦ θεοῦ παρατιθέμενος οὐκ ὀκνεῖ καὶ ὕψιστον αὐτὸν προσαγορεύειν διὰ τούτων* '*χώριζε — θεοῦ*'. eundem locum Aeschylo tribuit Iustinus Martyr de monarchia c. 2 p. 130. v. 2 *ὅμοιον ἑαυτῷ* Clem., *ὅμοιον ἑαυτῷ* vel *ὅμοιον σαυτῷ* Iust., *ὅμοιον σαυτῷ* vel *σαυτῷ ὅμοιον* Eus., *ὅμοια σαυτῷ* coni. Iortin. v. 3 *οἶσθα δ'* Clem., *οἶσθά γ'* vel *οἶσθας* Eus., *οἶσθας* vel *οἶσθα δ'* Iust. v. 4 *ὁρμῇ* Eus., si fides Gaisfordo, *ὁρμή* Clem. Iust. *ποτὲ δὲ γνόφος* Clem. v. 6 *κἀστραπῇ*] *καὶ ἀστραπῇ* Clem. v. 8 *καὶ ὕδατος* libri, *χὕδατος* Sylburg. v. 10 *καὶ ὀρέων* Clem. Eus., *καὶ ὀρέων* vel *κὠρέων* Iust. *μέγα*] *ἐπὶ μέγα* ut videtur Eus. v. 11 *ὅταν* Iust., *ἐπὰν* Clem. Eus. v. 12 *δύναται* Iust., *δυνατὴ* Clem. Eus. *δόξα δ'*] *δόξα δὲ* Iust., *δόξα* Clem. Eus. falsarii hos esse versus dudum intellexerunt.

SOPHOCLES

ΑΘΑΜΑΣ Α ET B

Phrixo et Hellae Athamantis et Nephelae liberis insidias struit noverca Ino; Phrixus aureo ariete vectus Colchidem pervenit, Athamas morti destinatus servatur per Herculem. hoc fere Athamantis prioris argumentum fuerit. altera fabula ostendisse videtur Athamantem *καὶ τῶν ἐξ Ἰνοῦς στερηθέντα παίδων* (cf. Apollod. 1, 9, 2 Ath. XIII p. 560 D). Aristoph. Nub. 257: ΣΩ. *τουτονὶ τοίνυν λαβὲ τὸν στέφανον.* ΣΤΡ. *ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες, ὥσπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε.* ubi Scholia: *Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε· προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκεν. ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται Ἀθάμας στεφανηφορῶν ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρίξου. ἄλλως. τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς ὡς σφαγιασθησόμενον, μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν παραγενόμενον Ἡρακλέα καὶ τοῦτον θανάτου ῥυόμενον.* — quae Schol. Pind. Pyth. 4, 288 traduntur, *ταύτην* (sc. Phrixi novercam) *δὲ ὁ Πίνδαρος ἐν ὕμνοις Δημοδίκην φησίν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι Νεφέλην*, erroris haud immunia sunt.

1

καταγνῶναι

Hesych. 2 p. 421: *καταγνῶναι· ἐπιγνῶναι, μέμψασθαι. Σοφοκλῆς Ἀθάμαντι α'.*

2

ἕρκεσι

Hesych. 2 p. 192: *ἕρκεσι· δικτύοις. Σοφοκλῆς Ἀθάμαντι β'.* eadem om. poetae et fabulae nom. Phot. Lex. p. 14, 12.

3

ἑψία

Hesych. 2 p. 249: *ἑψία — ἀπὸ τοῦ ἕπεσθαι· ὁμιλία. Σοφοκλῆς Ἀθάμαντι δευτέρῳ.*

4

ὡς ὢν ἄπαις τε κἀγύναιξ κἀνέστιος

Choerob. in Theod. p. 307, 15 (Anecd. Bekk. p. 1304): *τὸ γύναιξ οὐκ ἠδύνατο ἀρσενικοῦ γένους εἶναι — ἐν δὲ τῇ συνθέσει ἐπειδὴ γίνεται ἀρσενικοῦ γένους, ἀναδέχεται τὴν εἰς ΑΙΞ κατάληξιν, οἷον 'ὡς ὢν ἄπαις τε καὶ ἀγύναιξ καὶ ἀνέστιος' παρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι.*

5

λευκὴν ἡμέραν

Antiatt. p. 106, 33: *λευκὴν ἡμέραν· τὴν ἀγαθήν. Σοφοκλῆς Ἀθάμαντι.* Herodian. ed. Pierson. p. 477: *λευκὴν ἡμέραν διαγαγεῖν, τὴν ἡδεῖαν καὶ ἱλαράν.*

6

ἀγχήρης

Hesych. 1 p. 36: *ἀγχήρης* (*ἀγχηρήνης* cod.)· *ὁ ἐγγύς. Σοφοκλῆς Ἀθάμαντι.* Etym. M. p. 15, 33: *ἀγχήρης· ἐγγύς.*

7

ἔπιπλα

Harpocr. v. *ἔπιπλον* p. 82, 12: *τὰ κατὰ τὴν οἰκίαν σκεύη ἔπιπλα λέγουσι — Σοφοκλῆς Ἀθάμαντι* (*ἀκάμαντι* libri). cf. Soph. Phil. 362: *τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς τά τ' ἄλλ' ὅσ' ἦν*, ubi legendum arbitror *καὶ τἄπιπλα.*

8

ἐπισίγματα

Hesych. 2 p. 170: *ἐπιστήγματα· ἐπικελεύσματα. Σοφοκλῆς Ἀθάμαντι.* recte *ἐπισίγματα* Salmasius, quamquam Hesychius *ἐπιστίγματα* scripsit, quae forma ab Sophoclis aetate aliena est.

9

ἐχρωματίσθη

Hesych. 2 p. 248: *ἐχρωματίσθη· συνεχρώσθη. Σοφοκλῆς Ἀθάμαντι.* cf. Suid.: *ἐχρωματίσθη· χρῶμα ἐδέξατο.*

ΑΙΑΣ ΛΟΚΡΟΣ

Fortasse hanc tragoediam spectat Lucianus de saltat. 46 vol. 2 p. 295: *καθ' ἕκαστον γοῦν τῶν ἐκεῖ* (sc. Troiae) *πεσόντων δρᾶμα τῇ σκηνῇ πρόκειται — ἡ κατὰ Παλαμήδους ἐπιβουλὴ καὶ ἡ Ναυπλίου ὀργὴ καὶ ἡ Αἴαντος μανία καὶ ἡ θατέρου ἐν ταῖς πέτραις ἀπώλεια.*

Welcker fabulae argumentum repetit e Procli Chrestom. p. 461: *Κασσάνδραν δὲ Αἴας Ὀιλέως πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς ξόανον· ἐφ' ᾧ παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βούλονται τὸν Αἴαντα· ὃ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασῴζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου.*

10

καταστίκτου κυνὸς
σπολὰς Λίβυσσα παρδαληφόρον δέρος.

Schol. Ar. Av. 933 (cf. Suid. v. *σπολάς*): *Σοφοκλῆς Αἴαντι Λοκρῷ* '*καταστίκτου — δέρος*'. mox in Scholiis subiciuntur haec (quae Suidas omittit): *τὸ δὲ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Ἀντήνορος οἰκίᾳ.* v. 2 om. fab. nomine habet Pollux 7, 70. de pelle illa cf. Strab. XIII p. 608, quem locum ad Soph. *Ἀντηνορίδας* afferemus.

11

τὸ χρύσεον δὲ τᾶς Δίκας δέδορκεν
ὄμμα, τὸν δ' ἄδικον ἀμείβεται.

Stob. Ecl. 1, 3, 37 p. 59, 2: *Σοφοκλῆς Αἴαντι.* '*τὸ χρύσεον — ἀμείβεται*'. v. 1 *τὰς δίκας* libri. Ath. XII p. 546 B: *καί πού τις καὶ ποιητὴς ἐφθέγξατο* '*Δικαιοσύνας τὸ χρύσεον πρόσωπον*' (Eur. fr. 486) *καὶ πάλιν* '*τὸ χρύσεον ὄμμα τὸ τᾶς Δίκας*'.

12

ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.

Stob. Flor. 98, 48: *Σοφοκλῆς Αἴαντι* (sic MA, *Αἴαντι* om. S). '*ἄνθρωπός — μόνον*'. mero errore ad Aiacem Sophoclis hunc versum translatum esse coni. Leeuwen Comment. de Aiacis Soph. authentia et integr. p. 119.

13

σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ.

Plat. Theag. p. 125 B: *Εὐριπίδης γάρ που φησί* '*σοφοὶ — συνουσίᾳ*'. respicit eundem versum Euripidis nomen apponens Plat. Rei publ. VIII p. 568 A et facit cum Platone Stob. Flor. 48, 5: *Εὐριπίδου.* '*σοφοὶ — συνουσίᾳ*'. dubitat Themistius p. 72 C: *Εὐριπίδης μὲν γὰρ ἢ ὅστις δή ποτέ ἐστιν ὁ ποιήσας* '*σοφοὶ — συνουσίᾳ*', *οὐκ ἦν οἶμαί που πυκνῆς διανοίας.* omittunt auctoris nomen Demetrius Cydon. Epist. 10 in Boissonadii Anecd. nov. p. 280 Agathangelus in Leonis Allatii de Georgiis diatr. p. 303 (sive Fabricii

Bibl. Gr. vol. X p. 667 et *Notices et Extr.* XII, 2 p. 7) Proverb. append. 4, 76 Suid. v. σοφοί Macarius 7, 76 p. 209, 6. Sophocli tribuit Libanius Epist. 33; item qui fabulae nomine addito Platonem erroris arguunt, Gellius 13, 19, 1 Aristid. vol. 2 p. 373 (cuius locum descripsit Photius Bibl. p. 437 a 12) Prov. Milleri *Mél. de litt. gr.* p. 363 (Zenobius 5, 98) Schol. Ar. Thesm. 21 Schol. Plat. p. 936 a 36. τῇ σοφῶν Demetrius Cydon. et Agathang. μετουσίᾳ Demetrius Cyd., ξυνουσίᾳ vel συνουσίᾳ ceteri.

14

τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν;

Prov. Milleri *Mél. de litt. gr.* p. 370 (Zenobius 6, 14): 'τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν;' τὸ 'κεκιθάρικεν' οἷον ἐμαντεύσατο· ὡς φησὶν *Αἰσχύλος* (immo, quod Dindorf vidit, *Σοφοκλῆς*) ἐν *Αἴαντι Λοκρῷ*. Suidas (cf. Plut. Prov. 1, 7 et Macar. 8, 37): 'τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν;' ἀντὶ τοῦ τί σοι ἐμαντεύσατο; τί σοι] τίσιν Macar. τί σοὶ δ' Ἀπόλλων scripserim. κεκιθάρικεν] ἐκιθάρισεν Plut., τεθρίακεν coni. Meineke in Theocr. ed. tert. p. 463. fortasse praeferendum ἐντεθρίακεν coll. Hesych. 2 p. 108: ἐντεθρείωκεν — δηλοῖ δὲ καὶ τὸ βακχεύειν.

15

καὶ πεζὰ καὶ φορμικτά

Schol. Eur. Alc. 446: οὐρείαν χέλυν] — μετὰ λύρας. καὶ παρὰ *Σοφοκλεῖ* ἐν *Αἴαντι Λοκρῷ* 'καὶ πεζὰ καὶ φορμικτά'.

16

Ἑλλάς

Antiatt. p. 97, 4: Ἑλλάς· ὁ ἀνήρ. *Σοφοκλῆς Αἴαντι Λοκρῷ*. cf. οὔθ' Ἑλλὰς οὔτ' ἄγλωσσος Soph. Trach. 1060. τίς Ἑλλὰς ἢ βάρβαρος Eur. Phoen. 1509. δῆμον ἔναιεν Ἑλλάδα Orac. Phlegontis p. 96, 17 Kell., nisi ibi scribendum ὅτε δὴ μόλεν αἶαν cum C. Muellero Fragm. Hist. vol. 3 p. 603.

17

δατούμενος

Schol. Aeschin. p. 65, 7: διαιρούμενος — ὑπομερίζων καὶ διαβάλλων (f. διαλαμβάνων), ὡς *Σοφοκλῆς Αἴαντι* φάσκει δατούμενος· τὸ γὰρ αὐτὸ δύναται. cf. Schneidewin Coni. crit. p. 102.

ΑΙΓΕΥΣ

Argumentum fabulae idem fere atque cognominis Euripideae fuisse coniecit Ahrens, qui a Theseo non diversam fuisse hanc

tragoediam existimat. quod vulgo huc refertur fr. 872 verba Aegei refert, ex Aegeo fabula num petitum sit dubitari potest. fortasse huius fabulae est fr. 819.

18

Ταύρειον πῶμα

Ath. III p. 122 F: *τὸ δὲ Ταύρειον ὕδωρ ὠνόμασεν — Σοφοκλῆς ἐν Αἰγεῖ* (*ἐν γαι* ante Casaubonum) *ἀπὸ τοῦ περὶ Τροιζῆνα ποταμοῦ Ταύρου, παρ' ᾧ καὶ κρήνη τις Ὑόεσσα καλεῖται.* similiter om. fab. nom. Eust. Il. p. 881, 22. cf. Hesychius 4 p. 133: *Ταύρειον πόμα· ἀπὸ αἰγειταύρου ποταμοῦ Σοφοκλῆς Τροιζῆνα πάρα καὶ κτήνη Ὑόεσσα.* quae Athenaei ope correxit Casaubonus, *Ταύρειον πόμα· Σοφοκλῆς Αἰγεῖ, ἀπὸ Ταύρου ποταμοῦ* ⟨*περὶ*⟩ *Τροιζῆνα, παρ' ᾧ καὶ κρήνη Ὑόεσσα.* supererat ut *πῶμα* scriberetur, nisi *στόμα* malis cum M. Schmidtio.

19

κέστρᾳ σιδηρᾷ πλευρὰ καὶ κατὰ ῥάχιν
ἠλοῆσαι πλεῖον

Pollux 10, 160: *καὶ κέστρα δὲ σφύρας τι εἶδος σιδηρᾶς, ὡς ἐν Αἰγεῖ Σοφοκλῆς 'κέστρᾳ — πλεῖον'.* v. 1 respicit Hesychius 2 p. 470: *κεστρίαι σιδηραῖ,* ubi interpretatio excidit. v. 2 *ἠλοῆσαι πλεῖον*] *ἤλαυνε παίων* Casaubonus atque ita edidit Bekker libris opinor invitis, *ὃν ἠλόησα* coni. M. Schmidt, ego *ἤθλησε* (vel *ἤθλησα*) *παίων* malim. utique *πλεῖον* ferri non potest.

20

κλύω μὲν οὐκ ἔγωγε, χωρίτην δ' ὁρῶ

Steph. Byz. v. *χώρα* p. 699, 11: *χωρίτης, ὡς ἀπὸ τοῦ ἕδρα ἑδρίτης, ἑσπέρα ἑσπερίτης. Σοφοκλῆς Αἰγεῖ 'ἐκλύωμεν οὐκ ἔγωγε χωρίτην γ' ὁρῶ'.* ita codex R, correxit Meineke.

21

πῶς δῆθ' ὁδουρὸν ὅμοιος ἐξέβης λαθών;

Schol. Pind. Pyth. 2, 54: *πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν, κυρίως δὲ τοὺς ἐν ὁδῷ κακουργοῦντας· παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν Εὐριπίδης — καὶ Σοφοκλῆς ἐν Αἰγεῖ 'πῶς — λαθών;'* ubi *ὁδουρῶν* cod. Gotting. *ὁδουρὸν οἷος* coni. Valckenaer Animadv. ad Ammon. p. 194, *ὁδουρῶν ὄμματ'* Wakefield Tragoed. del. vol. 2 p. 150, *ὁδουρῶν οἶμον* Kock Veri simil. p. 217 sq., ego *ὁδουρῶν σμῆνος* temptabam.

22

ὥσπερ γὰρ ἐν φύλλοισιν αἰγείρου μακρᾶς,
κἂν ἄλλο μηδέν, ἀλλὰ τοὐκείνης κάρα
κινεῖ τις αὔρα κἀνακουφίζει πτερόν

Schol. Od. η 106: τὰ φύλλα τῆς αἰγείρου — εὐκίνητα ῥᾳδίως καὶ ὑπὸ τυχούσης (l. ὑπὸ τῆς τυχούσης) αὔρας, ὡς Σοφοκλῆς ἐν Αἰγεῖ (ἐναργῶς vel ἐν Ἄργει libri, corr. Heath) 'ὥσπερ — πτερόν'. v. 1 ἐν φύλλοισιν M, εὐφύλλοισιν ceteri. ὡς ἐν θυέλλαισιν γὰρ coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 248. v. 2 τοὐκείνης] τῆς κείνης M. v. 3 κινήσῃς αὔραις ἀνακουφίζει libri, κινεῖ τις αὔρα κἀνακουφίζει Dindorf in Soph. ed. sec. Oxon. a. 1849 (κἀνακουφίζει praeierat Brunck). κλίνει pro κινεῖ substituit Herwerden Exerc. crit. p. 23. πτερόν] πτερῷ M. Schmidt Philol. 18 p. 229 sq., πεσόν Herwerden, ῥέπον F. G. Schmidt, πάλιν Th. Gomperz.

ΑΙΓΙΣΘΟΣ

Satis certa quibus haec fabula stabiliatur testimonia desiderantur.

23

Philodemus de piet. p. 22: ⟨Αἰσχύλος⟩ δ' ἐν Ἡλιά⟨σιν τὸν⟩ Δία καὶ αἰθέ⟨ρα λέγει κ⟩αὶ γῆν καὶ ⟨οὐρανὸ⟩ν καὶ τὰ πάν⟨τα καὶ ὑ⟩πὲρ τὰ πάν⟨τ'· Εὐριπί⟩δης (?) δ' ἐν Μυ⟨σοῖς καὶ⟩ τὸν Δία καὶ ⟨οὐρανὸ⟩ν ἡλιωπόν, ⟨Σοφοκλῆς⟩ δ' Αἰγίσθῳ ⟨οὐρανὸν μ⟩όνον, ἐν Οἰ⟨νεῖ (?) δὲ καὶ τ⟩ὸν Δία.

24

ἀρρύθμων

Hesych. 1 p. 293: ἀρύθμων· ἀσυμφώνων. Σοφοκλῆς αἰγί. (superscr. θω) ita codex, Αἰγίσθῳ correxit Musurus, Αἰγεῖ aut Αἰθίοψι coni. Dindorf, Αἴθωνι Bergk.

ΑΙΘΙΟΠΕΣ

Memnonem, quae fabula in Arg. Soph. Ai. commemoratur, ab Aethiopibus non differre coniecit Heyne.

25

τοιαῦτά τοί σοι πρὸς χάριν τε κοὐ βίᾳ
λέγω· σὺ δ' αὐτὸς ὥσπερ οἱ σοφοὶ τὰ μὲν
δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου.

Ath. III p. 122 C: εὕροι τις ἂν ὑπὸ τῶν ἄλλων ποιητῶν ἢ καὶ

σοφιστῶν ἐν ᾗ δύο γοῦν πονηρῶς εἰρημένα, οἷα παρὰ — Σοφοκλεῖ τὸ ἐν Αἰθίοψιν εἰρημένον '*τοιαῦτά — ἔχον*'. v. 2 sq. Eust. Il. p. 752, 31: *ἔτι δὲ καὶ Σοφοκλῆς γνωματεύσας τὸ* '*σὺ δ' αὐτὸς — ἔχον*'.

26

τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασιν
σφηκοὶ κελαινόρινες

Phot. Lex. p. 22, 15: *ἐσφηκωμένον· ἐσφιγμένον, ἀπὸ τῶν σφηκῶν, οἳ κατὰ μέσον ἐσφιγμένοι· ἔνθεν καὶ ὁ σφήν· Σοφοκλῆς Αἰθίοψι τοὺς ἐσφιγμένους μύρμηκας τῇ σαρκώσει·* '*τετράπτεροι — κελαινόρινες*'. eadem omisso fabulae nomine Etym. M. p. 385, 3, ubi v. 2 *μελαινόρινες* edebatur, sed *κελαινόρινες* D. lucem his verbis attulit S. A. Naber p. 217 sq.: '*Hesych. v. σφηκοί· οὐ κεχυμένοι τῇ σαρκώσει, ἀλλὰ συνεσφιγμένοι. hinc ap. Phot. reposuerim Σοφοκλῆς Αἰθίοψι ⟨σφηκοὺς καλεῖ⟩ τοὺς ἐσφιγμένους μύρμηκας ⟨καὶ οὐ κεχυμένους⟩ τῇ σαρκώσει, opinor in descriptione eorum animalium, de quibus Herodotus 3, 102. horum mentionem fecerit Sophocles in descriptione Mesopotamiae, Memnonis patriae, quam e Phot. v. ὀρθόπτερον verisimile est eum in illa fabula attigisse*'. optime haec disputata sunt, sed corrupta arbitror *καὶ ὁ σφὴν* verba et scripserim *ἔνθεν καλεῖ σφηκοὺς Σοφοκλῆς Αἰθίοψι τοὺς ἐσφιγμένους*.

27

ἄναρκτον

Hesych. 1 p. 181: *ἄναρκτον· ἀνυπότακτον, ⟨οὗ⟩ οὐδεὶς ἦρξε* (*ἦρξαι* codex). *Σοφοκλῆς Αἰθίοψι*.

28

ἀνθοβοσκόν

Hesych. 1 p. 203: *ἀνθοβόσκον· ἀνθοτρόφον. Σοφοκλῆς Αἰθίοψι*.

29

ἀπιστεῖ

Hesych. 1 p. 242: *ἀπιστεῖ· ἀπειθεῖ. Σοφοκλῆς Αἰθίοψιν* (*αἰθίοψ* cod.).

30

ὀρθόπτερον

Phot. Lex. p. 346, 19: *ὀρθόπτερον· Σοφοκλῆς Αἰθίοψιν· ὀρθοὺς ἔχοντα κολωνούς· τὰ γὰρ εἰς ὕψος ἀνέχοντα πτερὰ ἔλεγον· καὶ τὰ περίστῳα.* cf. Hesychius 3 p. 219: *ὀρθόπτερος· μεγάλους κολωνοὺς* (*με-*

γαλώ.ους cod.) *ἔχουσα· πτερὰ γὰρ τὰ εἰς ὕψος ἀνέχοντα. ἢ μεγάλας ἔχουσα περιστῴους* (*πσταοὺς* cod.) *οἰκοδομάς.*

ΑΙΧΜΑΛΩΤΙΔΕΣ

Argum. Soph. Ai.: *τὸ δρᾶμα τῆς Τρωικῆς ἐστι πραγματείας ὥσπερ οἱ Ἀντηνορίδαι καὶ Αἰχμαλώτιδες καὶ Ἑλένης ἁρπαγὴ καὶ Μέμνων* (*Ἀγαμέμνων* codex Paris. 2884). chorum e Troianis mulieribus constitisse probabiliter coniecit Brunck. repetitam Chryseidem fabulae argumentum fuisse suspicantur Ad. Schoell et Bergk.

31

στρατοῦ καθαρτὴς κἀπομαγμάτων ἴδρις

Harpocr. p. 28, 13: *ἀπομάττων — Σοφοκλῆς ἐν Αἰχμαλώτισι* '*στρατοῦ — ἴδρις*' *καὶ πάλιν* '*δεινότατος ἀπομάκτης τε μεγάλων συμφορῶν*'. alter versus non Sophoclis est, sed comici poetae.

32

ἀσπὶς μὲν ἡμὴ λίγδος ὣς πυκνομματεῖ

Pollux 10, 190: *αὐτὸ δὲ τὸ πήλινον, ὃ περιείληφε τὰ πλασθέντα κήρινα, ἃ κατὰ τὴν τοῦ πυρὸς προσφορὰν τήκεται καὶ πολλὰ ἐκείνῳ τρυπήματα ἐναπολείπεται, λίγδος* (*μίλιγδος* libri) *καλεῖται· ὅθεν καὶ Σοφοκλῆς ἔφη ἐν Αἰχμαλώτοις* '*ἀσπὶς — πυκνώματι*'. *ἡμίλιγδος* libri, *ἡμὶν λίγδος* Leopardus, ego *ἡμὴ λίγδος* praetuli. *πυκνώματι* AB, *πυκνὸν πατεῖ* C, *πυκνομματεῖ* Bentley. huc spectat Hesychius 1 p. 434: *γλίδου χοάναι· εἰς οὓς τύπους κατέρχεται τὸ ἐν τῇ χώνῃ διὰ τῶν κεντημάτων. ἦσαν δὲ πήλινοι. Σοφοκλῆς.* cf. 3 p. 38: *λίγδος· τόπος χοάνης, καὶ ἡ θυεία ἐν ᾗ χωνεύουσιν. λιγδοῦ χοάνη· οἱ δὲ τὰ λίκνα τῶν ἀργυρίων* (*ἀχύρων* coni. Kuster).

33

ὑφῃρέθη σοι κάλαμος ὡσπερεὶ λύρας

Schol. Ar. Ran. 231: *κάλαμον καλοῦσι τὸ κέρας, ὡς Σοφοκλῆς ἐν Αἰχμαλώτισι* (*αἰχμαλώτοις* V) '*ὑφῃρέθη — λύρας*'. Pollux 4, 62: *καὶ δόνακα δέ τινα ὑπολύριον οἱ κωμικοὶ ὠνόμαζον ὡς πάλαι ἀντὶ κεράτων ὑποτιθέμενον ταῖς λύραις· ὅθεν καὶ Σοφοκλῆς εἴρηκεν* '*ὑφῃρέθη — λύρας*'. *σοι* schol. Ar., *σου* Poll. *ὡσπερεὶ* Poll., *ὡς περὶ* Schol. Ar.

34

ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.

Schol. Nic. Ther. 18: *ὑποκάτω τῶν λίθων οἱ σκορπίοι κρύπτον-*

ται, ὡς Σοφοκλῆς ἐν Αἰχμαλωτίσιν (αἰχμαλώτοις A) 'ἐν — λίθῳ'. ἐν πᾶσι V. cf. Aelian. de nat. anim. 15, 26: ὑπὸ παντὶ γὰρ λίθῳ καὶ βώλῳ πάσῃ σκορπίος ἐστί. Zenob. 6, 20: ὑπὸ παντὶ λίθῳ σκορπίος· παροιμία, ὑπὸ παντὶ λίθῳ σκορπίος καθεύδει, ubi addiderim μέμνηται ταύτης Σοφοκλῆς ex proxime praegresso proverbio τὸ θερμὸν τοῦ ὀβελοῦ (Soph. fr. 744).

35

καὶ βωμιαῖον ἐσχάρας λαβὼν . .

Stephanus Byz. p. 191, 8: Βωμοί — καὶ βωμός ὁ τόπος τῶν θυσιῶν, ὁ πρὸς τὴν ἐσχάραν διάφορος· ὃ μὲν γὰρ οἰκοδομητός, ἡ δὲ σκαπτή. τὸ τοπικὸν βώμιος καὶ κατὰ παραγωγὴν βωμιαῖος. Σοφοκλῆς Αἰχμαλώτισι 'καὶ — λαβών'. ἐς χέρας coni. Vater. λίθον in fine versus addi vult Meineke.

36

καὶ νησιώτας καὶ μακρὰς Εὐρωπίας

Stephanus Byz. p. 287, 10: Εὐρώπη, ἡ χώρα — λέγεται καὶ Εὐρώπεια καὶ διὰ τοῦ Ι Εὐρωπία παρὰ Σοφοκλεῖ Αἰχμαλώτισι 'καὶ — Εὐρωπίας'. μακρὰς] μακρὰν coni. Brunck, μακρᾶς Ellendt.

37

ταύτην ἐγὼ Κίλλαν τε καὶ Χρύσην . .

Stephanus Byz. p. 697, 1: Χρύση, βαρυτόνως, ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σοφοκλῆς Λημνίαις — καὶ ἐν Αἰχμαλωτίσι 'ταύτην — Χρύσην'. νέμω probabiliter supplet Meineke, cui Apollinis esse verba videntur.

38

εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω

Phot. Lex. p. 643, 8: φαῦλον — τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ μεγάλου. Σοφοκλῆς Αἰχμαλώτισιν 'εἰ — ἔχω'. eadem Etym. M. p. 789, 43 et Suidas v. φαῦλον. adde Schol. Gregor. Naz. ed. in Piccolomini *Studi di filol. gr.* 1 p. 166 et Lex. Vindob. p. 187, 8, ubi fabulae nomen omittitur. interpretatio grammaticorum vix recta.

39

ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα

Schol. Soph. Oed. R. 750 e codice Flor. G a Dindorfio p. 42 editum: βαιός ἰδίως ἀντὶ τοῦ ⟨εἷς⟩ ἐν Αἰχμαλωτίσιν 'ἔπεισα — δεύτερα'. eadem paulo emendatiora Suidas v. βαιαί — βαιός ἰδίως

ἀντὶ τοῦ εἷς, Σοφοκλῆς — καὶ ἐν Αἰχμαλωτίσιν 'ἔσπεισα — δεύτερα'. verba ὥστε δεύτερα in ὥστε δευτέραν ⟨σπονδήν⟩ mutabat Bergk. βαιᾶς κύλικος, εἶτα δευτέρας optime corrigit Herwerden Exerc. crit. p. 13. graviter corruptus est qui huc spectare videtur locus Hesychii 1 p. 353: βαιόν· ὀλίγον, μικρόν. Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ ἀντὶ τοῦ ἄφθονος καὶ πολλός. γράμμα. Βαιθήλ· οἶκος θεοῦ. βαιών· ἐκβαλών. καὶ ἐν Αἰχμαλώτησι βαῖον ἐν Βαρκάθοις ὄχλος Λιβυκός. ubi cf. M. Schmidti annotatio.

40

Μύνου τ' Ἐπιστρόφου τε

Schol. A Il. O 302: τὸ γοῦν Μύνης ὁ μὲν ποιητὴς περιττοσυλλάβως ἔκλινεν —, ὁ δὲ Σοφοκλῆς ἰσοσυλλάβως 'Μύνου τ' Ἐπιστρόφου γε'. similiter omissis poetae verbis Eust. Il. p. 1017, 10. fabulae nomen prodidit Choerob. in Theod. p. 140, 5 (Anecd. Bekk. p. 1399): Μύνης Μύνου καὶ Μύνητος· ὁ μὲν γὰρ Σοφοκλῆς Μύνου ἔκλινεν Αἰχμαλώτησιν εἰπὼν 'Μύνου τί Ἐπιστρέφου γε', ὁ δὲ ποιητὴς ἀναλόγως Μύνητος. γε libri, τε Gaisford.

41

πατὴρ δὲ χρυσδὺς ἀμφίλινα κρούπαλα

Hesych. 1 p. 162: ἀμφίλινα κρούπαλα. Σοφοκλῆς Αἰχμαλώτησι 'πατὴρ — κρούπαλα'. ita codex, cuius aenigma nondum solutum. Χρυσηίδος pro χρυσδὺς proposuit Bergk. πατὴρ δ' ὑπεκδὺς M. Mayer de Eurip. mythopoeia p. 52, qui haec dici suspicatur de Priamo hostium impetum fugiente. Hesych. 2 p. 540: κρούπανα· ξύλινα ὑποδήματα.

42

ἄχνην Λυδῆς κερκίδος

Hesych. 1 p. 345: ἄχνην Λυδῆς (λυδὶς cod.) κερκίδος. Σοφοκλῆς Αἰχμαλώτοις. ἄχνην τὸ ἄκρον κατὰ τὴν ἐργασίαν ἄκρως ἔχον. ἢ ἀπὸ (ἐπὶ cod.) τῆς θαλασσίας ἄχνης· ἔστι γὰρ λαμπρὰ καὶ διαφανής. γράφεται δὲ καὶ ἴχνη. lemma corruptum: genuinam scripturam esse puto ἄχημα Λυδῆς κερκίδος. in fine gl. γράφεται δὲ καὶ ἠχήν corrigendum suspicabar: rectius fortasse M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 541 ista verba ad Herodot. 7, 123 refert coll. Steph. Byz. p. 342, 17: Ἴχναι, πόλις Μακεδονίας. Ἡρόδοτος ἑβδόμῃ. Ἐρατοσθένης δὲ Ἄχνας αὐτήν φησί. nihil iuvat Proverb. append. 1, 44: ἄχνη Λυδῆς κερκίδος· τὸ ἄκρον, ἀπὸ τοῦ τὴν ἐργασίαν ἄκρως ἔχειν, ἢ ἀπὸ τῆς θαλαττίας ἄχνης.

43

Σαρπηδὼν ἀκτή

Herodianus π. μον. λεξ. p. 9, 10: *Σαρπηδών Σαρπηδόνος, εἴτε ὁ ἥρως, εἴτε ἡ πέτρα, εἴτε ἡ ἀκτή, εἴτε ἡ νῆσος· ὡς παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλωτῆσιν εἴρηται Σαρπηδὼν ἀκτή.* cf. Hesych. 4 p. 12: *Σαρπηδὼν ἀκτή· ἀντὶ τοῦ Σαρπηδονία. τόπος δὲ οὗτος Θρᾴκης ἀεὶ κλύδωνας ἔχων καὶ κυματιζόμενος, ἱερὸν Ποσειδῶνος.* Phot. Lex. p. 502, 3: *Σαρπηδὼν ἀκτή· ἄκρα τῆς Θρᾴκης· Κράτης τὴν μεγάλην· καὶ νῆσος πρὸς τῷ Ὠκεανῷ, ἐν ᾗ αἱ Γοργόνες.* similiter Zenob. 5, 86.

44

αἰχμόδετος

Hesych. 1 p. 89: *αἰχμόδετος· αἰχμάλωτος. Σοφοκλῆς Αἰχμαλώτησιν.* rectius *αἰχμόλετος* Etym. M. p. 41, 3: *λέγεται καὶ αἰχμάλωτος καὶ αἰχμόλετος. αἰχμόλετος* dixisse Sophoclem coni. Meineke *Jahrb. f. Philol.* vol. 87 (a. 1863) p. 378.

45

ἀλιτρία

Hesych. 1 p. 124: *ἀλιτροσύνη· ἁμαρτία. καὶ ἀλιτρία Σοφοκλῆς Αἰχμαλώτησιν λέγει.* cf. Anecd. Bekk. p. 377, 6 et Suid.: *ἀλιτρία ἀντὶ τοῦ ἁμαρτία Ἀριστοφάνης* (Acharn. 907).

46

ἀνηκές

Hesych. 1 p. 199: *ἀνηκές· ἀνήκεστον* (*ἀηκές· ἆηκον* codex, ubi *ἀνηκές* Musurus, *ἀνήκεστον* Pierson in Moer. p. 78). *Σοφοκλῆς Αἰχμαλώτησιν.*

47

ἀπειθής

Hesych. 1 p. 230: *ἀπειθής· ἀνυπότακτος, ἄπιστος* (l. *ἄπειστος*). *Σοφοκλῆς Αἰχμαλώτησιν.*

48

ἀρτάνη

Anecd. Bekk. p. 447, 7: *ἀρτάνη κυρίως μὲν ἡ* (*διὰ* addit Ellendt) *τῶν καλῳδίων ἀγχόνη, Σοφοκλῆς δὲ ἐν Αἰχμαλωτίσιν ἐπὶ τοῦ δεσμοῦ.* Hesych. 1 p. 291: *ἀρτάνη· ἡ διὰ καλῳδίων ἀγχόνη,* ⟨*Σοφοκλῆς δ'*⟩ *ἐν Αἰχμαλώτισιν* (*ᾗ αἰχμαλώτησις* cod.) *ἐπὶ τοῦ δεσμοῦ.*

49

ἄσεπτον

Hesych. 1 p. 297: *ἄσεπτον· ἀσεβές. Σοφοκλῆς Αἰχμαλώτοις.* Anecd. Bekk. p. 451, 19: *ἄσεπτον· τὸ ἀσεβές.*

50

ἐμπλεύρου

Hesych. 2 p. 80: *ἐμπλεύρου· ἐνάλλου εἰς* (*ἐναλούεις* cod.) *τὰς πλευράς. Σοφοκλῆς Αἰχμαλώτησιν.*

51

ἐνόπαις

Hesych. 2 p. 112: *ἐνώταις· ἐνωτίοις. τῇ προσῳδίᾳ ὡς φιλόπαις. Σοφοκλῆς Αἰχμαλώτησιν.* Etym. M. p. 344, 47: *ἐνοπαῖς· τοῖς ἐνωτίοις· ἀπὸ τοῦ ⟨ἐν⟩ ταῖς τῶν ὤτων ὀπαῖς κεῖσθαι. Σοφοκλῆς.*

52

ἐπιμάσσεται

Hesych. 2 p. 160: *ἐπιμάσσεται· ἐπαύξεται ἐπὶ πλέον, ἀπὸ τοῦ μάσσονος, ὅ ἐστι μακροτέρου. οἳ δὲ ἐφάψεται, ψηλαφήσει. ἢ οἷον οὐ λιμώσσει, ἀλλὰ καὶ προσεπιμάσσεται πλείω. Σοφοκλῆς Αἰχμαλώτησιν.*

53

Ἴαννα

Hesych. 2 p. 338: *Ἴαννα· ἐν μὲν Αἰχμαλώτησι Σοφοκλέους ἀπέδοσαν Ἑλληνική· ἐπεὶ* (*ἐπὶ* cod.) *Ἴαννας* (*Ἰάονας* Casaubonus, *Ἴᾶνας* L. Dindorf in Thes.) *τοὺς Ἕλληνας λέγουσιν· ἐν δὲ Τριπτολέμῳ ἐπὶ γυναικός, ὡς καὶ ἐν Ποιμέσι. τινὲς δὲ τὴν Ἑλένην. ἐπιεικῶς δὲ οἱ βάρβαροι τοὺς Ἕλληνας Ἴωνας* (*Ἰάονας* vel *Ἴᾶνας* malit M. Schmidt) *λέγουσιν* (*λέγουσι μὲν* codex). *καὶ ἐν Τρωίλῳ βάρβαρον θρήνημα τὸ ἰαί. ἢ ὄνομα γυναικός.*

54

ἱερόλας

Hesych. 2 p. 347: *ἱερόλας· ἴσισυς* (*ἱερεύς* Heringa). *Σοφοκλῆς Αἰχμαλώτοις. ὡς καὶ τὸν γέροντα γεροιδὰν* (*γηρόλαν* coni. Dindorf) *ἢ γεροῦντος* (*ἢ γεροντίαν* Heringa) *λέγει. ἱεροίτας* et *γεροίταν* suasit Pearson.

55

ἱκτορεύσομεν

Hesych. 2 p. 352: *ἱκετορεύσομεν· ἱκετεύσομεν.* ibid. p. 354: *ἰκτερεύσομεν· ἱκετεύσομεν. Σοφοκλῆς Αἰχμαλώτοις. ἱκτορεύσομεν* correxit Is. Voss.

56

στερνόμαντις

Pollux 2, 162: *καὶ στερνόμαντιν Σοφοκλῆς τὸν καλούμενον ἐγγαστρίμυθον.* similiter Schol. Plat. p. 902 b 27: *ἐγγαστρίμυθος δέ ἐστιν ὁ ἐν γαστρὶ μαντευόμενος· τοῦτον καὶ ἐγγαστρίμαντιν, ⟨ὃν⟩ νῦν τινὲς Πύθωνα φασί, Σοφοκλῆς δὲ στερνόμαντιν.* Suidas: *ἐγγαστρίμυθος· ἐγγαστρίμαντις, ὃν νῦν τινες Πύθωνα, Σοφοκλῆς δὲ στερνόμαντιν.* Phot. Epist. 64 p. 368: *Σοφοκλῆς δὲ — στερνόμαντιν μετωνόμασεν.* fabulae nomen prodit Hesychius 2 p. 107: *ἐνστερνομαντίαις· ἐγγαστριμύθοις. Σοφοκλῆς Αἰχμαλώτησιν.* ubi suspicor *στερνομάντιες· ἐγγαστρίμυθοι.*

ΑΚΡΙΣΙΟΣ

Hanc fabulam alii *Ἀκρίσιος ἢ Λαρισσαῖοι*, alii *Ἀκρίσιος ἢ Δανάη* inscriptam fuisse coniecerunt. argumentum fuisse Danaen cum Perseo filio a patre Acrisio in exilium actam suspicatus est Fr. Iacobs.

57

ὡς ἐπιψάλλειν βίδην τε καὶ ξυναυλίαν ⁚ .

Hesych. 1 p. 375: *βίδην· εἶδος. κροῦμα. Σοφοκλῆς Ἀκρ* . . . . *ὡς ἐπιψα^λλ^ βίδηνται καὶ ξυναυλίαν. ἄλλοι βίθυν* (fortasse *βύδην* leg.). *ἐπιψάλλειν* Musurus, *βίδην τε* Maussacus. nisi fallor huc referendus est locus Hesych. 1 p. 405: *βυδοί· οἱ μουσικοὶ ἢ κροῦμά τι. σοφῶς κρησίν* (*Σοφοκλῆς Ἀκρισίῳ* Fungerus).

58

βοᾷ τις, ὤ·
ἀκούετ'; ἢ μάτην ἀλυκτῶ;
πάντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

Stob. Flor. 8, 2: *Σοφοκλέους Ἀκρίσιος.* '*βοᾷ — ψοφεῖ.*' chori notam apponit S. v. 1 sq. *ὤ· ἀκούετ'*] *οὐκ ἀκούετ'* coni. G. H. Mueller Emend. Soph. (Berol. 1878) p. 81, de quo iam Gaisford cogitavit. v. 2 *ἀκούετε* S. *ἢ μάτην ὑλακτῶ* SMA, *ἢ λάσκω μάτην* Porson in Ar. Eq. 1013, *ἢ μάτην κλύω* Halm Lect. Stob. p. 50, *ἢ μάτην καλῶ* Naber Mnem. nov. vol. 9 p. 241, ego *ἢ μάτην ἀλυκτῶ* scripsi, quam coniecturam recepit Meineke. v. 3 *πάντα* SMA, *ἅπαντα* ed.

59

ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς μῆκος χρόνου.

Stob. Flor. 12, 2: *Σοφοκλέους Ἀκρισί* (ita S, *Σοφοκλέους*

Ἀλευάδαις B, eclogam om. MA). '*ἀλλ' — χρόνου*'. *γῆρας* libri, *μῆκος* scripsi. traditam scripturam locis a F. G. Schmidtio *Krit. Stud.* 1 p. 248 allatis muniri non arbitror.

60

δῆλον γάρ· ἐν δεσμοῖσι δραπέτης ἀνὴρ
κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει.

Stob. Flor. 62, 30: *Σοφοκλέους Ἀκρισίῳ*. '*δῆλον — λέγει.*' v. 1 *δῆλον γὰρ ἐν δεσμοῖσι* ed., *δοῦλον γὰρ ἐν δεσμοῖσι* Grotius; malui interpunctionem mutare.

61

ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα
πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει
ἄλλως τε καὶ κόρῃ τε κἀργείᾳ γένος,
αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη.

Stob. Flor. 79, 24: *Σοφοκλέους Ἀκρισίῳ*. '*ῥῆσις — πρέπει*' (v. 1 et 2). Stob. Flor. 74, 28: *Σοφοκλῆς Ἀκρισίῳ*. '*ἄλλως — ἔπη*' (v. 3 et 4). coniunxit hos locos Meineke et v. 3 *κόρῃ* et *κἀργείᾳ* pro *κόρη* et *κἀργεία* restituit. v. 1 *βραδεῖα* F. G. Schmidt *Krit. Stud.* 1 p. 33. v. 2 *τεκόντας καὶ φυτεύσαντας*] *τεκόντας κἀναθρέψαντας* coni. Wagner, *γέροντας καὶ φυτεύσαντας* F. G. Schmidt de ubert. Soph. II p. 29. v. 4 *ἡ σιγή τε*] *σεσίγηται* M pr. A pr., om. v. 3 et 4 S.

62

θάρσει, γύναι· τὰ πολλὰ τῶν δεινῶν, ὄναρ
πνεύσαντα νυκτός, ἡμέρας μαλάσσεται.

Stob. Flor. 108, 56: *Σοφοκλέους Ἀκρισίῳ* (sic MA, *τοῦ αὐτοῦ* nec plura S). '*θάρσει. — μαλάσσεται.*'

63

τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

Stob. Flor. 119, 7: *τοῦ αὐτοῦ* (sc. Sophoclis) *Ἀκρισίῳ*. '*τοῦ — ἐρᾷ.*' cf. Stob. Flor. 115, 9, ubi Cratetis (Com. 2 p. 247) vel Antiphanis (fr. 238 p. 116 Kock.) loco hic versus adhaesit, et Stob. Flor. 116, 39: *Σοφοκλῆς*. '*ζῆν γὰρ — ἐρᾷ.*'

64

τὸ ζῆν γάρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας·
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.

Stob. Flor. 119, 12: *Σοφοκλέους Ἀκρισίου* (sic A, *Ἀκρισίου* om. S). '*τὸ ζῆν — δίς.*' v. 1 *ἥδιον* Meineke *Zeitschr. f. d. Alt.* 1843 p. 293.

65

Ἀκτίτης λίθος

Hesych. 1 p. 110: *ἀκτίτης* (*ἀκτήτις* cod.) *λίθος· ἀπὸ τῆς ἐν Πελοποννήσῳ ἀκτῆς. Σοφοκλῆς Ἀκρισίῳ.* cf. Harpocr. p 10, 5 Anecd. Bekk. p. 370, 9 Suid.: *Ἀκτή· ἰδίως ἐπιθαλαττίδιός τις μοῖρα τῆς Ἀττικῆς, ὅθεν καὶ ὁ 'Ἀκτίτης λίθος'.* fortasse scribendum *Ἀκτῖτις πέτρα*, v. adesp. fr. 467.

66

Μαριεὺς ἀλοιμός

Etym. M. p. 69, 42: *ἀλοιμός· τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις ἀλοιμοὺς ἔλεγον. Σοφοκλῆς 'Μαριεὺς ἀλοιμός'.* Hesych. 1 p. 130: *ἀλοιμός* (*ἄλοιμα* codex)· *χρίσμα τοίχων* (*τειχων* sed supra *ει* scriptis *οι* literis cod.). *Σοφοκλῆς Ἀκρισίῳ.* Anecd. Bekk. p. 385, 9: *ἀλοιμός· τὸ τῶν τοίχων χρίσμα.*

67

ἰλλάδας γονάς

Hesych. 2 p. 356: *ἰλλάδας· γονὰς ἀγελειάς* (*ἀγελαίας* Musurus, *τελείας* M. Schmidt) *καὶ τὰς συστροφάς. Εὐριπίδης Φρίξῳ καὶ Σοφοκλῆς Ἀκρισίῳ.* boves aratores dici a Sophocle *ἰλλάδας γονάς* coniecit L. Dindorf, qui *καὶ τὰς συστροφάς* verba delet.

68

ἄδοξα

Hesych. 1 p. 47: *ἄδοξα· παράδοξα καὶ ⟨ἃ⟩ οὐκ ἄν τις ἐδόξασεν. Σοφοκλῆς Ἀκρισίῳ* (*ἄκρισιν* cod.). Anecd. Bekk. p. 344, 27: *ἄδοξα· τὰ παράδοξα, ἃ οὐκ ἄν τις δοξάσειεν.*

69

ἀνταίαν

Hesych. 1 p. 209: *ἀνταίαν· ἔκτοπον, χαλεπήν. Σοφοκλῆς τισίω* (*Ἀκρισίῳ* Musurus).

70

ἀπόδρομον

Hesych. 1 p. 245: *ἀπόδρομον· ἐλαττούμενον τοῖς δρόμοις, ἢ παλίνδρομον, ἢ μετ' ἐπάνοδον. ἀκρησίῳ.* probabiliter *Σοφοκλῆς Ἀκρισίῳ* scripsit Musurus, nec tamen repugnarim, siquis *παρὰ Κρησί* cum M. Schmidtio maluerit.

71

ἀποφανθείς

Hesych. 1 p. 262: *ἀποφανθείς· ἐν τῷ φανερῷ καταστάς. Σοφοκλῆς Ἀκρισίῳ.* cf. Anecd. Bekk. p. 439, 10: *ἀποφανῶσαι· εἰς τὸ φανερὸν καταστῆσαι* (fr. 919).

72

ἀρώματα

Hesych. 1 p. 295: *ἀρώματα* (*ἀρόματα* cod. invito literarum ordine)· *ἀροτριάματα. καὶ ἀπὸ* (*ἐπὶ* cod.) *τοῦ ἀροῦν τὰ ἄλφιτα οὕτω λέγεται. Σοφοκλῆς Ἀκρισίῳ* (*ἄκρισι* cod.). Anecd. Bekk. p. 450, 23 et Suid.: *ἀρώματα οὐ τὰ θυμιάματα οἱ Ἀττικοὶ καλοῦσιν, ἀλλὰ τὰ ἐσπαρμένα.*

73

ἄστομος

Hesych. 1 p. 306: *ἄστομος· ὁ μὴ δυνάμενος λέγειν. Σοφοκλῆς Ἀκρισίῳ.*

ΑΛΕΑΔΑΙ

Cf. Fr. Vater *die Aleaden des Sophokles* (Berol. 1835), qui mythum fabulae recte agnovisse videtur. Alcidamas Vlixe p. 185: *Ἀλεῷ γὰρ τῷ Τεγέας βασιλεῖ ἀφικομένῳ εἰς Δελφοὺς ἐχρήσθη ὑπὸ τοῦ θεοῦ ὅτι αὐτῷ ἔκγονος ἐκ τῆς θυγατρὸς εἰ γένοιτο, ὑπὸ τούτου δεῖν τοὺς υἱοὺς αὐτοῦ ἀπολέσθαι. ἀκούσας δὲ ταῦτα ὁ Ἄλεως — καθίστησι τὴν θυγατέρα ἱέρειαν τῆς Ἀθηνᾶς εἰπών, εἴ ποτε ἀνδρὶ συγγενήσεται, θανατώσειν αὐτήν. τύχης δὲ γενομένης ἀφικνεῖται Ἡρακλῆς στρατευόμενος ἐπ' Αὐγέαν εἰς Ἦλιν, καὶ αὐτὸν ξενίζει ὁ Ἄλεως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς. ἰδὼν δὲ ὁ Ἡρακλῆς τὴν παῖδα ἐν τῷ νεῷ ὑπὸ μέθης συνεγένετο. ἐπεὶ δὲ κύουσαν αὐτὴν ᾔσθετο ὁ πατὴρ Ἄλεως, μεταπέμπεται τὸν τούτου* (Palamedis) *πατέρα —, ἀφικομένου δὲ τοῦ Ναυπλίου δίδωσιν αὐτῷ τὴν παῖδα καταποντίσαι. ὁ δὲ παραλαβὼν ἦγεν αὐτήν· καὶ ὡς γίνονται ἐν τῷ Παρθενίῳ ὄρει, τίκτει Τήλεφον. ἀμελήσας δὲ ὢν ὁ Ἄλεως αὐτῷ ἐπέστειλεν, ἄγων αὐτὴν ἀπέδοτο καὶ τὸ παιδίον ἐς Μυσίαν Τεύθραντι τῷ βασιλεῖ κτέ.*

74

ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ,
κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.

Stob. Flor. 4, 37: *Σοφοκλέους* (sic Trinc., *ἀλεάδαις* addunt duo Schowii codices, eclogam om. SMA). '*ἐνταῦθα — κακά.*'

75

τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον.

Stob. Flor. 9, 4: *Σοφοκλέους* (*Εὐριπίδου* A) *Ἀλεάδαι* (*ἀλαιάδαι* M, *ἀλωάδαι* A). '*τοῖς* — *ῥάδιον*.'

76

κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.

Stob. Flor. 12, 3: *τοῦ αὐτοῦ* (sc. Sophoclis) *Ἀλεάδς* (ita S, eclogam om. MA). '*κακὸν* — *εὐγενοῦς*.' *καὶ* S, *κοὐ* Gesner.

77

καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.

Stob. Flor. 13, 6: *Σοφοκλέους Ἀλεάδαι* (sic SMA, *ἐξ ἀλεάδων* poetae nomine non iterato L). '*καὶ γὰρ* — *μέγα*.'

78

ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.

Stob. Flor. 33, 3: *Σοφοκλέους Ἀλεάδαις* (*Ἀλέασι* editur cum M, fabulae nomen om. S, eclogam om. A). '*ὦ* — *καλά*'. om. poetae nom. Plut. de garrulitate c. 2 p. 502 E: *εἴπωμεν πρὸς τὸν ἀδόλεσχον* '*ὦ* — *καλά*'. *σιγὴ* M et Plut., *σιωπὴ* S. Menandro versum falso tribuunt Arsenius p. 737, 9 et Trinc., quos secutus est Meineke Com. 4 p. 280.

79

τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἔστι σοι;
τὰ γὰρ περισσὰ πανταχοῦ λυπήρ' ἔπη.

Stob. Flor. 36, 11: *Σοφοκλέους Ἀλεάδαις*. '*τί* — *ἔπη*.'. v. 1 *ἔτι ἔστι* M. *ῥημάτων ἐπαξιοῖς* coni. Herwerden Mnem. nov. 6 p. 280. v. 2 *λυπηρὰ* SM.

80

μὴ πάντ' ἐρεύνα· πολλὰ καὶ λαθεῖν καλόν.

Stob. Flor. 41, 4: *Σοφοκλέους* (sic SM, *τοῦ αὐτοῦ* A) *Ἀλεάδαις*. '*μὴ* — *καὶ λαλεῖν κακόν*'. correxit Blomfield.

81

κοὐκ οἶδ' ὅτι χρὴ πρὸς ταῦτα λέγειν,
ὅταν οἵ τ' ἀγαθοὶ πρὸς τῶν ἀγενῶν
κατανικῶνται,
ποία πόλις ἂν τάδ' ἐνέγκοι;

Stob. Flor. 43, 6: *Σοφοκλέους* (sic MA, *τοῦ αὐτοῦ* S) *Ἀλεάδαι*. '*κοὐκ* — *ἐνέγκοι*;' v. 2 *οἵ γ' ἀγαθοὶ* Valckenaer Diatr. p. 15. *πρὸ* M. *ἀγεννῶν* libri, *ἀγενῶν* Grotius.

82

δοκῶ μέν, οὐδείς· ἀλλ' ὅρα μὴ κρεῖσσον ᾖ
καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν
ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν.

Stob. Flor. 54, 21: *Σοφοκλέους Ἀλεάδων* (sic M, *ἀλεαιάδων* ut videtur A pr. m., eclogam om. S). '*δοκῶ — κλύειν.*' v. 1 *οὐδείς*] *ἀσεβής* vel *ἄθεος* coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 249. v. 3 *ἢ τοὺς θεοὺς σέβοντα* coni. Cobet Mnem. vol. 9 p. 90 et Coll. crit. p. 187, *ἢ δαίμονας τιμῶντα* F. G. Schmidt, *ἢ χρηστὸν αὐτὸν ὄντα* Pappageorgius *Beitr. zur Erklärung u. Kritik des Soph.* I p. 38. fortasse *δοῦλον* in *δειλὸν* mutandum.

83

παῦσαι. καταρκεῖ τοῦδε κεκλῆσθαι πατρός,
εἴπερ πέφυκά γ'· εἰ δὲ μή, μείων βλάβη.
τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.

Stob. Flor. 76, 9: *Σοφοκλῆς Ἀλεάδαις.* '*παῦσαι — κρατεῖ.*' v. 2 *μείζων* SA, *μεῖζον* M, *μείων* Gesner.

84

ὁ δ' εἰ νόθος τις γνησίοις ἴσον σθένει·
ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.

Stob. Flor. 77, 9: *Σοφοκλῆς Ἀλεάδαις.* '*ὁ δ' — φύσιν.*' v. 1 *ὁ δ' εἰ*] *ὁ δὴ* editur libris invitis. *τοῖς γνησίοις* SM, *τις τοῖς γνησίοις* A, *τις γνησίοις* scripsi. *σθένοι* A. v. 2 *γνησίαν* Stob., *τὴν ἴσην* Clemens Alex. Strom. VI p. 741: *Σοφοκλέους δὲ ἐξ Ἀλευάδων* '*ἅπαν τὸ χρηστὸν τὴν ἴσην ἔχει φύσιν*'. scribendum puto:

A. *οὐ δὴ νόθος τις γνησίοις ἴσον σθένει;*
B. *ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.*

85

τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
αὖθις δὲ τιμάς, εἶτα τῆς ὑπερτάτης
τυραννίδος θακοῦσιν ἀγχίστην ἕδραν.
ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν. 5
δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα
καὶ πρὸς τὰ βατά, χὠπόθεν πένης ἀνὴρ
μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.

καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν. 10
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ κἀποκρύπτεσθαι κακά.

Stob. Flor. 91, 27: *Σοφοκλέους Ἀλεάδαι.* 'τὰ χρήματ' — κακά.' v. 1 legitur in Men. mon. 500, eundem ex Sophocle om. fabulae nomine affert Stob. Flor. 94, 8. cf. Plut. de amore prolis c. 5 p. 497 B: *τὸ δὲ ὑπὸ Εὐριπίδου λεγόμενον, τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκειν φίλους δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχειν.* qui hunc locum et Eur. Phoen. 439 confudit. fortasse v. 1 spectat Plaut. Stich. 522: *res amicos invenit.* εὑρίσκει] ἀλφάνει coni. O. Hense Exerc. crit. p. 7. v. 2 αὖθις] εὐθὺς malim. v. 3 τ' ἄγουσιν A, ἄκουσιν SM, θακοῦσιν Salmasius, ταγοῦσιν Bothe, θάκησιν Fr. Vater et Meineke. ἀγχίστην SM, αἰσχίστην A, ἡδίστην B, ἐσχάτην M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 535. v. 4 et 5 ab hoc alienos esse arbitror, cf. O. Hense Lect. Stob. p. 47. v. 5 οἵ τ' ἔχοντες coni. Meineke. v. 6—10 affert Plut. de audiendis poetis c. 4 p. 21 B: *ἐκεῖνα τὰ περὶ τοῦ πλούτου* 'δεινὸς — ἰδεῖν'. v. 6 ξένος Stob., δεινὸς Plut. ἔς τε] πρός τε Plut., ἔσται Stobaei codd., ἔς τε Gesner. τἄβατα] τὰ βατὰ Stobaei codd. v. 7 τὰ βατὰ] βέβηλα Vater, ego τὰ βάσιμα malim, de quo cogitavit Enger Mus. Rhen. 23 p. 537. v. 8 μὴ δ' ἐντυχὼν Stob., οὐδ' ἐντυχὼν Plut., οὐδ' εὐστοχῶν coni. Meineke. μηδ' ἐντυχὼν δύναιτ' ἂν ⟨εὑρίσκειν πόρον. ἐκεῖνος αἰὲν οἶδεν⟩ ὧν ἐρᾷ τυχεῖν proposuit Wecklein Mus. Rhen. 38 p. 136. v. 9 sq. δυσειδῆ σῶμα καὶ δυσώνυμον γνώμην σοφὸν Wecklein Art. Soph. emend. p. 60. v. 10 γλώσσῃ σοφὸν] γῆρας νέον coni. Meineke. v. 11 χαίρειν κοὐ νοσεῖν ἐξουσία coni. Ellendt, χαίρειν κἂν νόσων ξυνουσίᾳ Meineke, ἀφαιρεῖν καὶ νόσων ξυνουσίας O. Hense, χραισμεῖν καὶ νόσους ἐξουσίᾳ Heimsoeth. v. 12 κἀπικρύψασθαι SM, κἀπικρύψεσθαι A, κἀποκρύψασθαι B, κἀποκρύπτεσθαι scripsi. ceterum hunc locum significare videtur Dio Chrysost. 7, 102: *ὃν οὐδεὶς ἐμοὶ δοκεῖν φαίη ποτὲ φιλονεικοῦντα τούτοις τε ἀντειρηκέναι καὶ τοῖς ὑπὸ Σοφοκλέους εἰς τὸν πλοῦτον εἰρημένοις· ἐκείνοις μὲν ἐπ' ὀλίγον, ταῖς δὲ τοῦ Σοφοκλέους ἐπὶ πλέον.*

86

νομὰς δέ τις κεροῦσσ' ἀπ' ὀρθίων πάγων
καθεῖρπεν ἔλαφος . . . .
. . . .
ἄρασα μύξας . . καὶ κερασφόρους
στόρθυγγας εἷρφ' ἔκηλος

Aelianus N. A. 7, 39: ὅσοι λέγουσι θῆλυν ἔλαφον κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας, Σοφοκλέα μὲν εἰπόντα 'νομὰς — ἔλαφος', καὶ πάλιν 'ἄρασα — ἔκηλος'. καὶ ταῦτα μὲν ὁ τοῦ Σοφίλλου ἐν τοῖς Ἀλεάδαις. v. 1 cf. Etym. Gud. p. 317, 12 sive Etym. Paris. p. 1444 E et Zon. Lex. v. κερόεις p. 1186: κεροῦσσα, οἷον 'νόμος δέ τι κεροῦσα'· ⟨Ἡρῳδιανὸς⟩ περὶ παθῶν. Pollux 5, 76: καὶ Ἀνακρέων μὲν σφάλλεται κερόεσσαν ἔλαφον προσειπών, καὶ Σοφοκλῆς κεροῦσσαν τὴν Τηλέφου τροφόν. v. 3 cf. Pollux 2, 72: παρὰ δὲ Σοφοκλεῖ καὶ μύξαι οἱ μυκτῆρες κέκληνται.

87

ἐφυμνεῖς

Hesych. 2 p. 244: ἐφυμνεῖς· ἐπᾴδεις. Σοφοκλῆς Ἀλεάδαις.

88

φρονεῖν

Erotianus Gloss. Hippocr. p. 84, 5: κατεφρόνεε· κατενόει. φρονεῖν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ νοεῖν. — μέμνηται καὶ Σοφοκλῆς ἐν Ἀλεάδαις (ἀχαιάδι libri) καὶ ἐν Ἀμφιαράῳ.

ΑΛΕΞΑΝΔΡΟΣ

De argumento vide Euripidis fabulam cognominem.

89

οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει

Stephanus Byz. p. 139, 19: ἄστυ — ὁ πολίτης ἀστός καὶ ἀστή, καὶ ἀστόν. ἀπὸ τοῦ ἀστός τὸ ἀστίτης. Σοφοκλῆς Ἀλεξάνδρῳ 'οὐ γάρ — πρέπει' καὶ (fr. 90) 'βοτῆρα — γάρ;'

90

βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τί γάρ;

Stephanus Byz. vide fr. 89. βοτήρ appellatur Paris, fratres eius dicuntur ἀστῖται.

91

στείχων δ' ἀγρώστην ὄχλον

Schol. A Il. *E* 158 (cf. Eust. Il. p. 533, 40): τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ (Ἀλεξάνδρᾳ Eust.) 'στείχων δ' ἀγρώστην ὄχλον' παρώνυμον. στείχων δ' Schol., στείχων Eust., στείχοντ' olim ego proposui, στέργω δ' F. G. Schmidt *Krit. Stud.* 1 p. 250.

92

δύσαυλος

Hesych. 1 p. 542: *δύσαυλος· δυσαύλιστος. Σοφοκλῆς Ἀλεξάνδρῳ* (ἀλεξαν^δ codex).

93

Ἐφέσεια

Stephanus Byz. p. 289, 19: *Ἔφεσος — τὸ ἐθνικὸν Ἐφέσιος. εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου· οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς.*

94

θηλάστρια

Hesych. 2 p. 314: *θηλάστρια· τροφός. ἔστι δὲ Ἰακόν. Σοφοκλῆς Ἀλεξάνδρῳ.*

95

μαιεύτριαν

Antiatt. p. 108, 31: *μαιεύτριαν· ἀντὶ τοῦ μαῖαν. Σοφοκλῆς Ἀλεξάνδρῳ.*

96

μνείαν

Antiatt. p. 107, 25: *μνείαν· τὴν μνήνην. Σοφοκλῆς Ἀλεξάνδρῳ.* fabulae nomen om. Phot. Lex. p. 272, 17 et Suid. v. *μνείαν*. fortasse *Ἀλεξάνδρῳ* corruptum est ex *Ἠλέκτρᾳ*, cuius cf. v. 392: *βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;*

ΑΛΗΤΗΣ

Notitia fabulae, cuius argumentum ex Hygini fab. 122 adumbrare conatus est Welcker Tragod. p. 215 sq., uni debetur Stobaeo, ubi constanter *Ἀλείτης* scribitur.

97

ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον
κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρετίς.

Stob. Flor. 3, 8: *Σοφοκλῆς Ἀλείτῃ* (sic MA, eclogam om. S). '*ψυχὴ — εὑρετίς.*' v. 2 *κρεῖττον* A. *εὑρετής* M.

98

βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά.

Stob. Flor. 35, 4: *Σοφοκλῆς Ἀλείτῃ* (sic MA, fabulae nomen om. S). '*βραχεῖ — σοφά.*' *δὲ πολλὰ* SM, *καὶ πολλὰ* A.

99

ἀνὴρ γὰρ ὅστις ἥδεται λέγων ἀεί,
λέληθεν αὐτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

Stob. Flor. 36, 16: Σοφοκλῆς Ἀλείτῃ. 'ἀνὴρ — βαρύς.' v. 1 γὰρ SM, δ' A. λέγειν S. v. 2 αὑτὸν M.

100

ἀλλ' εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,
σήμαιν' ὅτου τ' εἶ χὡπόθεν· τὸ γὰρ καλῶς
πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος.

Stob. Flor. 88, 11: Σοφοκλῆς Ἀλείτῃ. 'ἀλλ' — λόγος.' v. 2 εἶ ὁπόθεν SMA, εἶ χ' ὡπόθεν B, εἶ καὶ πόθεν Gesner. v. 3 λόγος] λόγῳ coni. R. Enger, ψόγος O. Ribbeck *Röm. Trag.* p. 472.

101

ἀλλ' ἀξίως ἔλεξας οὐδὲ μὲν πικρῶς·
γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν
εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον.

Stob. Flor. 89, 8: Σοφοκλῆς Ἀλείτῃ. ἀλλ' — ψόγον.' v. 1 οὐδὲ (οὐδὲν A) μὲν SMA, οὐδ' ἐμοὶ Porson, οὐδὲ μὴν Brunck, fort. οὐδ' ἡμῖν leg. v. 2 καλὸν] λόγων coni. Blaydes in Soph. Phil. 98.

102

τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν
ἢ σμικρὸν ἢ τὸν μηδαμοῦ τιμώμενον;
οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.

Stob. Flor. 105, 42: Σοφοκλέους Ἀλείτης (Ἀλείτης om. S). 'τίς — μένει'. v. 1 τίς δή] τίς ἂν Meineke. contra servata δή particula μέγαν in μέγ' ἂν mutari iubet Cobet Mnem. nov. vol. 5 p. 225. neutram coniecturam probat Gomperz *Bruchstücke der griech. Trag.* p. 11 sq. βροτῶν A, βροτοῦ SM. v. 2 μικρὸν B. ἤτοι μηδαμοῦ τιμώμενον Heath (cf. quae attuli in append. Soph. Ant. 668), ἢ τῶν μηδαμοῦ τιμωμένων Cobet. v. 3 οὐδὲν ἐν ταὐτῷ μένει verba recurrunt in Eur. Ion. 969.

103

δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν ⟨τ'⟩ ἄπο
βλαστόντας εἶτα τούσδε μὲν πράσσειν καλῶς,
τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα

γεγῶτας εἶτα δυστυχεῖς πεφυκέναι.
οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι 5
τάσσειν· ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα,
τοὺς δ' ὄντας ἀδίκους τούσδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν·
κοὐδεὶς ἂν οὕτως ηὐτύχει κακὸς γεγώς. 10

Stob. Flor. 106, 11: *Σοφοκλέους Ἀλείτης. ʻδεινὸν — γεγώς.ʼ* v. 1 *δεινόν γε* Gesner, *δεινὸν* S, *δεινὸν μὲν* MA, *δεινὸν δὲ* B. *τ'* addidit Bergk. v. 2 *βλαστῶντας* M. v. 3 *ἅμα* suspectum. v. 5 *χρῆν* S, *χρῇ* M, *χρὴ* A. *οὕτως* M. *δαίμονα* A. v. 6 *τάσσειν* Gomperz Mus. Rhen. 13 p. 478, *πράσσειν* libri. v. 8 *τούσδε* S, *τοὺς δὲ* M, *τοῖσδε* A. *τὴν ἐπαξίαν* bene coni. Herwerden Exerc. crit. p. 14. v. 10 *εὐτύχει* Trinc., *ηὐτύχει* Heath, *εὐτυχεῖ* S, *εὐτυχῆ εἰ* M, *εὐτυχῆ* A. Euripidis hunc esse locum, non Sophoclis, probabiliter coni. F. G. Schmidt de ubertate orat. Soph. I p. 9.

ΑΛΚΜΕΩΝ

Errore constanti scribitur *Ἀλκμαίων*: restituendum esse *Ἀλκμέων* dudum constat, cf. Euripidis fabulam cognominem. Valckenaer huc referri voluit adesp. fr. 358.

104

εἴθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν
ἐπήβολον καλῶν σε.

Porphyr. Q. Hom. 1: *τὸ δὲ ἐπήβολος σημαίνει τὸν ἐπιτυχῆ καὶ ἐγκρατῆ ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν — Σοφοκλῆς Ἀλκμαίωνι ʻεἴθ' — σεʼ.* Eust. Od. p. 1448, 6: *ἐπήβολος δὲ οὐ ποιητικὴ λέξις, ἀλλὰ Ἀττικὴ κατὰ τοὺς παλαιούς, οἳ καὶ προφέρουσι. Σοφοκλῆς ʻεἴθ' — σεʼ.* v. 1 *εὖ φρονήσαντ'* verba abici vult Cobet Coll. crit. p. 188, ego *εὖ φρενώσαντ'* olim temptavi, *εὐτυχήσαντ'* coni. O. Ribbeck *Röm. Trag.* p. 501, *οὐ φρονήσαντ'* F. G. Schmidt *Krit. Stud.* 1 p. 251, *ἀφρονήσαντ'* Wecklein *Berliner philol. Wochenschr.* 1887 p. 329. *εἰσίδοιμί πως*] *ἐσίδοιμι* Eust. incertum est utrum hunc locum an Aesch. Prom. 444 spectet Eust. Il. p. 625, 38: *οὕτω δὲ καὶ ʻφρενῶν ἐπήβολοςʼ.*

105

αἰνῶ

Hesych. 1 p. 81: *αἰνῶ· παρίημι, παραιτοῦμαι. καὶ ἐπαινῶ. Σοφοκλῆς Ἀλκμαίωνι* (*ἀλμαίωνι* cod.). Anecd. Bekk. p. 358, 28 et Suidas: *αἰνῶ· παραιτοῦμαι. Σοφοκλῆς. καὶ ἐπαινῶ.*

106

ἀραίας

Hesych. 1 p. 269: *ἀραίας· βλαβεράς. Σοφοκλῆς Ἀλκμαίωνι* (*ἀλκμαί* ω codex).

ΑΜΥΚΟΣ ΣΑΤΥΡΙΚΟΣ

De Amyco Bebryciorum rege cf. Apollod. 1, 9, 20 et Hygin. fab. 17. fortasse ex hac fabula petitum est fr. 884.

107

γέρανοι, χελῶναι, γλαῦκες, ἰκτῖνοι, λαγοί

Ath. IX p. 400 B: *τῇ δὲ τὸν λαγὸν ἑνικῇ αἰτιατικῇ ἀκόλουθός ἐστιν ἡ παρὰ Σοφοκλεῖ ἐν Ἀμύκῳ σατυρικῷ πληθυντικὴ ὀνομαστική· ʽγέρανοι — λαγοίʼ*. cf. Eust. Od. p. 1534, 15: *ἐκτίθεται δὲ ὁ δειπνοσοφιστὴς καὶ πληθυντικὸν Σοφόκλειον τὸ λαγοί, οἷον ʽγλαῦκες, ἰκτῖνες, λαγοίʼ*. Gramm. Herm. p. 320 sive Anecd. Paris. vol. 4 p. 245, 24: *τὸ μὲν λαγός — εὕρηται παρὰ Σοφοκλεῖ ʽγλαῦκες, ἰκτῖνοι καὶ* (*ἰκτὶς καὶ* Anecd. Paris.) *λαγοίʼ*. Ath. IX p. 400 C: *λέγουσι δὲ καὶ Ἀττικοὶ λαγός, ὡς Σοφοκλῆς ʽγέρανοι, καὶ κορῶναι γλαῦκες λαγοίʼ*. non *λαγοί* sed *λαγῴ* Sophocli debuisse tribui coni. Meineke Ath. vol. 4 p. 173.

108

σιαγόνας τε δή μαλθακὰς τίθησι

Ath. III p. 94 E: *σιαγόνος δὲ Κρατῖνος — καὶ Σοφοκλῆς Ἀμύκῳ ʽσιαγόνας — τίθησιʼ*. *δή* post *τίθησι* collocari iussit Porson.

ΑΜΦΙΑΡΕΩΣ ΣΑΤΥΡΙΚΟΣ

109

ὁ πινοτήρης τοῦδε μάντεως χορός

Schol. Ar. Vesp. 1510: *πιννοτήρης — καρκίνιόν τί ἐστι σύννομον καὶ ἀεὶ ταύτῃ προσδεχόμενον* (l. *προσεχόμενον*). *Σοφοκλῆς Ἀμφιαράῳ ʽὁ π. — χοροῦʼ*. *πινοτήρης* pro *πιννοτήρης* restituit Dindorf in Poet. scen. ed. quinta cum melioribus Aristophanis libris et compluribus grammaticis. *χορός* pro *χοροῦ* Meineke.

110

ἔνθ᾽ οὔτε πελλῆς οἰὸς ἄγραυλος-βότος

Anecd. Oxon. vol. 1 p. 344, 8: *πολιοῖο· οὐκ ἀγνοοῦμεν τὴν ἀκριβῆ γραφὴν ʽπελιοῖοʼ. — πελιοῦ οὖν παρὰ τὸ πέλλω* (*πελλός*

Schneidewin)· 'ἔνθ' οὔτε πέλλεις οἷ ἄγραυλος βότος' Σοφοκλῆς ἐν Ἀμφιαράῳ σατυρικῷ. Sophoclei versus emendatio incerta. ἐνδύντα πελλῆς ῥινὸν ἀγραύλου βοός coni. Schneidewin Coni. crit. p. 99, ἐνθοῦ τε πέλλης οἷος ἄγραυλον βοτόν Lobeck Act. soc. Gr. II p. 297. unde πελλῆς et οἷος coniecturas adscivi. corruptum βότος, cuius loco βοτήρ coni. Cramer. Erotiani locum quo πελλός ex hac fabula memoratur, afferemus fr. 468.

111

ἔτ' αὖ .... ὥσπερ ἁλιεὺς πληγεὶς .... <φρ>ενῶν διδάσκαλος

Schol. Plat. p. 961 a 25 de proverbio ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει: φασὶ γὰρ ἁλιέα ἀγκιστρεύοντα, ἐπειδὰν σπάσῃ τῷ λίνῳ τὸν ἰχθύν, τῇ χειρὶ προσαγαγόντα κατέχειν, ἵνα μὴ φύγῃ· τοῦτο δὲ συνήθως ποιοῦντα ὑπὸ σκορπίου πληγῆναι καὶ εἰπεῖν (εἶπε ed.) 'πληγεὶς νοῦν φύσεις', καὶ μηκέτι προσάγειν ἐξ ἐκείνου τὴν χεῖρα. κέχρηται τῇ παροιμίᾳ Σοφοκλῆς ἐν Ἀμφιαράῳ σατυρικῷ λέγων 'ἔτ' αὖ .... ὥσπερ ἁλιεὺς πληγεὶς .... ενων διδάσκαλος'. cf. Prov. Milleri *Mél. de litt. gr.* p. 371 (Zenobius 2, 14): ἁλιεὺς πληγεὶς νοῦν οἴσει — μέμνηται αὐτῆς Σοφοκλῆς. in verbis Sophoclis ενων esse φρενῶν agnovit E. A. I. Ahrens. versus restituere conatus est Th. Kock Veri sim. p. 224 hos: σύ γ' ὥσπερ ἁλιεὺς σκορπίου πληγεὶς ὕπο πολλοῖς γενήσει τῶν φρενῶν (vel τοῦ φρονεῖν) διδάσκαλος.

112

ἁγνίσαι

Hesych. 1 p. 26: ἁγνίσαι (ἁγνῆσαι cod.)· ἀποθῦσαι. Βουσίριδι. καὶ διαφθεῖραι. Σοφοκλῆς ἐν Ἀμφιαράῳ. Anecd. Bekk. p. 339, 8: ἁγνίσαι· τὸ θῦσαι. διαφθεῖραι, κατ' ἀντίφρασιν. οὕτω Σοφοκλῆς.

113

ἀλεξαίθριον

Hesych. 1 p. 117: ἀλεξαίθριον· θερμὸν σκέπασμα. Σοφοκλῆς Ἀμφιαράῳ.

114

τρασιά

Zon. Lex. p. 1742: τρασίαι· ὁ τόπος ἔνθα τὰ σῦκα ξηραίνεται, παρὰ τὸ τερσαίνειν τὸ ξηραίνειν. ὁ δὲ Σοφοκλῆς ἐν τῷ σατυρικῷ (ἑτέρῳ cod.) Ἀμφιαράῳ ἐπὶ τῆς ἅλω τέθεικε τὴν λέξιν. eadem Schol. Aeliani N. A. 3, 10. ubi rectius τρασιά, male παρὰ τοῦ τρασαίνειν scribitur et verba τῷ σατυρικῷ omittuntur.

115

φρονεῖν

Erotian. Gloss. Hippocr. p. 84, 5, quem locum attulimus fr. 88.

116

ὠρακιᾶσαι

Schol. Ar. Ran. 481: *ὠρακιᾶσαι δὲ λέγεται τὸ ὑπὸ φόβου ὠχριᾶσαι· ἀπὸ τοῦ τὴν ὥραν αἰκίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ.* Sophoclem dixisse *ὠρακίζειν* coni. Fritzsche in Ar. Ran. p. 210.

117

Ath. X p. 454 F postquam poetarum quorundam locos attulit, quibus homines *ἀγράμματοι* litterarum quas viderint formas describunt, haec addit: *καὶ Σοφοκλῆς δὲ τούτῳ παραπλήσιον ἐποίησεν ἐν Ἀμφιαράῳ σατυρικῷ τὰ γράμματα παράγων ὀρχούμενον.*

ΑΜΦΙΤΡΥΩΝ

Sophoclis vestigia legisse coniciunt Accium.

118

ἐπεὶ δὲ βλάστοι, τῶν τριῶν μίαν λαβεῖν
εὔσοιαν ἀρκεῖ.

Schol. Soph. Oed. C. 390: *εὔσοιαν δὲ φασὶ τὴν εὐθένειαν, καθάπερ καὶ ἐν Ἀμφιτρύωνι* '*ἐπεὶ — ἀρκεῖ*'. v. 1 *μιᾶς* coni. Meineke in Oed. Col. p. 154.

119

ἀμφιτέρμως

Hesych. 1 p. 165: *ἀμφιτέρμως· ἀποτετερματισμένως* (*ἀποτερματισμένως* cod.). *Σοφοκλῆς Ἀμφιτρύωνι.* expectes aut *ἀμφιτερμόνως* aut *ἀμφιτέρμων.*

120

ἄτμητον

Hesych. 1 p. 315: *ἀτραυμάτιστον. Σοφοκλῆς Ἀμφιτρύωνι. ἄτμητον· ἀμέριστον.* probabiliter Salmasius: *ἄτμητον· ἀμέριστον, ἀτραυμάτιστον. Σ. Ἀμφ.*, certe *ἀτραυμάτιστον* litterarum ordini repugnat. an *Σοφ. Ἀμφ.* ad gl. *ἀτμησίφρων· οὐδεμιᾶς τόλμης ἔννοιαν ἔχων*, referendum est?

ΑΝΔΡΟΜΑΧΗ

121

παρασάγγης

Etym. M. p. 652, 13: *παρασάγγαι· τὰ τριάκοντα στάδια παρὰ Πέρσαις· παρ' Αἰγυπτίοις δ' ἑξήκοντα. παρὰ δὲ Σοφοκλεῖ ἐν Ἀνδρομάχῃ ἐπὶ τοῦ ἀγγέλου εἴρηται* (ubi *παρ' Αἰγυπτίοις ξ. Σοφοκλῆς ἐπὶ τοῦ ἀγγέλου λέγει* nec plura praebet F). eadem fere Etym. Gud. p. 452, 31. ubi *ἐν Ἀνδρομάχῳ* legitur. in priore editione *ἐν Ἀνδρομέδᾳ* scribendum conieci: rectius fortasse Welcker Tragod. p. 113 sq. locum refert ad *Ποιμένας*, qua in fabula Andromachae partes fuisse probabile est.

ΑΝΔΡΟΜΕΔΑ

Eratosth. Catast. 16 (cf. Schol. German. Caes. Arat. p. 77, 17 p. 138, 9 p. 138, 21): *Κασσιέπεια. ταύτην ἱστορεῖ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς ἐν Ἀνδρομέδᾳ ἐρίσασαν περὶ κάλλους ταῖς Νηρηίσιν εἰσελθεῖν εἰς τὸ σύμπτωμα, καὶ Ποσειδῶνα διαφθεῖραι τὴν χώραν κῆτος ἐπιπέμψαντα, δι' ἣν πρόκειται τῷ κήτει ἡ θυγάτηρ.* ibid. c. 36: *Κῆτος. τοῦτό ἐστιν ὃ Ποσειδῶν ἔπεμψε* (*ἐπέπεμψε* malim) *Κηφεῖ διὰ τὸ Κασσιέπειαν ἐρίσαι περὶ κάλλους ταῖς Νηρηίσιν· Περσεὺς δ' αὐτὸ ἀνεῖλεν καὶ διὰ τοῦτο εἰς τὰ ἄστρα ἐτέθη ὑπόμνημα τῆς πράξεως αὐτοῦ. ἱστορεῖ δὲ ταῦτα Σοφοκλῆς ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐν τῇ Ἀνδρομέδᾳ.* Hygin. Poet. astrom. 2, 10 p. 443: *Cassiepeia. de hac Euripides et Sophocles et alii complures dixerunt, ut gloriata sit se forma Nereidas praestare. pro quo facto inter sidera sedens in seliquastro constituta est.*

122

ἡμιουτὸν κούρειον ἠρέθη πόλει·
νόμος γάρ ἐστι τοῖς βαρβάροις θυηπολεῖν
βρότειον ἀρχῆθεν γέρος τῷ Κρόνῳ.

Hesych. 2 p. 526: *κουρίον. Σοφοκλῆς Ἀνδρομέδᾳ 'ἡμιουτὸν — Κρόνῳ'.* v. 1 in *ἡμιουτὸν* quid lateat nescimus: *αἱμόρρυτον* coni. Scaliger, *ἐνιαύσιον* O. Hense Exerc. crit. p. 10. *κούρειον* Musurus, *κόριον* cod., qua scriptura servata *ἀζήμιον τὸ κόριον* proposuit Herwerden Exerc. crit. p. 21. v. 2 et 3 *νόμος γάρ ἐστι τοῖσι βαρβάροις Κρόνῳ θυηπολεῖν βρότειον ἀρχῆθεν γένος* coni. Scaliger, *νόμος γάρ ἐστι βαρβάροισι βάρβαρος θυηπολεῖν βρότειον ἀρχῆθεν γέρας Κρόνῳ* O. Hense. v. 3 *ἀρχῆθεν* num recte se habeat iure suo dubitat O. Hense, cf. Aesch. fr. 416. fortasse *ἄχραντον* scribendum. *γέρος* vitiose codex, *γένος* Scaliger, *γέρας* Buttmann Mythol. II p. 41, *θέρος* Gomperz *Bruchst. der griech. Trag.* p. 23.

123

ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα;

Ath. XI p. 482 E: ὅτι δὲ καὶ πλοῖον ἡ κύμβη, Σοφοκλῆς ἐν Ἀνδρομέδᾳ φησίν 'ἵπποισιν — χθόνα;' Eust. Il. p. 1205, 56: τοιοῦτον καὶ Σοφοκλέους τὸ 'ἵπποισιν — χθόνα', τουτέστιν ἱππότης ἥκεις ἢ διὰ πλοίου. cf. Phot. Lex. p. 187, 3: κύνβη· πλοίου εἶδος. Σοφοκλῆς.

124

μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς

Phryn. Epit. p. 374: πρόσφατον· καὶ περὶ τούτου πολλὴν διατριβὴν ἐποιησάμην, ἐπισκοπούμενος εἰ μόνον λέγεται 'πρόσφατος νεκρός' καὶ μὴ 'πρόσφατον πρᾶγμα'. εὑρίσκετο δὲ Σοφοκλῆς ἐν τῇ Ἀνδρομέδᾳ τιθεὶς οὕτω 'μηδὲν — ἐπιστολάς'. lacerum esse locum et μηδὲν φοβεῖσθαι verba esse Phrynichi, non Sophoclis, conicit Naber Mnem. nov. vol. 9 p. 241.

125

ἰδοὺ δὲ φοίνιον
μάσθλητα δίγονον

Etym. M. p. 272, 5: δίγονος μάσθλης, διπλοῦς ἱμάς. — Σοφοκλῆς Ἀνδρομέδᾳ 'ἰδοὺ — δίγονον'. v. 1 φοινὸν libri, φοίνιον Brunck. Hesych. 3 p. 73: μάσθλη καὶ μάσθλης· δέρμα, καὶ ὑπόδημα φοινικοῦν. καὶ ἡνία. διφθέρα. μάσθλη τὰς (corrigunt μάσθλητας) τομουτὰς (τομούς· τὰς Wecklein Mus. Rhen 38 p. 137) ἡνίας καὶ γὰρ ἡ μάσθλη (καὶ γὰρ ἱμάσθλη corr. Bruno Keil Herm. 22 p. 645). Σοφοκλῆς Ἀνδρομέδᾳ καὶ Συνδείπνοις. id. 1 p. 503: δίγονος μάσθλης· ὁ διπλοῦς, ἢ δυσὶ χρώμασι κεχρημένος (κεχριμένος M. Schmidt).

126

αὐτοχείλεσι ληκύθοις

Pollux 10, 120: Σοφοκλῆς δ' ἐν Ἀνδρομέδᾳ αὐτοχείλεσι ληκύθοις (λίθοις codex C) ἔφη, δηλῶν ἀλαβάστους μονολίθους. αὐτολίθοισι ληκύθοις scribi voluit Hemsterhuys, αὐτοκόλλοις ληκύθοις Wakefield Silv. crit. IV p. 50.

127

ἀμφίπρυμνον πλοῖον

Hesych. 1 p. 164: ἀμφίπρυμνον πλοῖον· ἑκατέρωθεν πρύμνας ἔχον. Σοφοκλῆς Ἀνδρομέδᾳ.

128

ἀμβλύσκει

Hesych. 1 p. 141: *ἀμβλύσκει· ἐξαμβλοῖ* (*ἐξαπλοῖ* ante Salmasium). *κυρίως δὲ ἐπὶ ἀμπέλου. καὶ ἐκτιτρώσκει. Σοφοκλῆς Ἀνδρομέδᾳ* (*ἀνδρο* $^{\mu\delta}$ codex). Sophoclem *ἀμβλίσκει* potius aut *ἀμβλώσκει* dixisse recte statuit M. Schmidt.

129

ζευξίλεως

Hesych. 2 p. 256: *ζευξίλεως· ζευκτὸς λαός* (*ζευκτὴς λαοῦ* recte scripsit Ellendt), *ἢ ᾧ ὑπεζευγμένοι εἰσὶ λαοί. Σοφοκλῆς* (*σοφῶς* cod.) *Ἀνδρομέδᾳ*. cf. Phot. Lex. p. 53, 8 (Suid. v. *ζευξίλεως*): *ζευξίλεως· ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί.* Eust. Il. p. 401, 11: *ζευξίλεως εἴρηται παρὰ τοῖς μεθ' Ὅμηρον ὁ βασιλεύς.*

130

οἰήτας

Phot. Lex. p. 317, 7: *οἴητας· τοὺς κωμήτας. Σοφοκλῆς Ἀνδρομέδᾳ.* Hesych. 3 p. 182: *οἰατᾶν· κωμητῶν* (*οἰατάν· κομήτων* cod.). *οἶαι* (*οἱ* cod.) *γὰρ αἱ κῶμαι.* p. 183: *οἰητᾶν· κωμητῶν* (*κομητῶν* cod.).

131

σάρητον

Hesych. 4 p. 6: *σαλητόν· Σοφοκλῆς Ἀνδρομέδᾳ. Ἀντίπατρος* (*ἀντὶ πατρὸς ἢ* cod.) *βαρβαρικὸν χιτῶνα. οἱ δὲ καὶ μεσόλευκον αὐτὸν εἶναι φασί.* ibid. p. 11: *σάρητον· ὁ καὶ σάραπις* (*ὁ σάραπις καὶ* ante M. Schmidtium), *εἶδος χιτῶνος.* Phot. Lex. p. 501, 24: *σάρητον· βαρβαρικὸς χιτών.* Hesych. 4 p. 10: *σάραπις· Περσικὸς χιτὼν μεσόλευκος, ὡς Κτησίας.* Poll. 7, 61: *ὁ δὲ σάραπις, Μήδων τὸ φόρημα, πορφυροῦς μεσόλευκος χιτών.* Phot. Lex. p. 500, 7: *σάραπις· χιτὼν Περσικὸς μεσόλευκος.* Democr. Ephes. ap. Ath. XII p. 525 C: *σαράπεις μήλινοι καὶ πορφυροῖ καὶ λευκοί.*

132

Σιληνοί

Schol. Theocr. 4, 62: *τοὺς σατύρους πλείους φησίν, ὡς καὶ τοὺς Σειληνοὺς καὶ Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ.* Panas duos commemoravit Aesch. fr. 35, unde Sileni duo vel plures Sophocli recte tribuentur.

ΑΝΤΗΝΟΡΙΔΑΙ

Argum. Soph. Ai.: *τὸ δρᾶμα τῆς Τρωικῆς ἐστι πραγματείας ὥσπερ οἱ Ἀντηνορίδαι καὶ Αἰχμαλωτίδες καὶ Ἑλένης ἁρπαγὴ καὶ Μέμνων.* probabiliter huc refertur locus Strabonis XIII p. 608 (cf. Eust. Il. p. 405, 30): *Σοφοκλῆς γοῦν ἐν τῇ ἁλώσει τοῦ Ἰλίου παρδαλέαν φησὶ πρὸ τῆς θύρας τοῦ Ἀντήνορος προτεθῆναι σύμβολον τοῦ ἀπόρθητον ἐαθῆναι τὴν οἰκίαν· τὸν δὲ ἅμα παισὶ μετὰ τῶν περιγενομένων Ἐνετῶν εἰς Θρᾴκην περισωθῆναι κἀκεῖθεν διεκπεσεῖν εἰς τὴν ἐν τῷ Ἀδρίᾳ Ἐνετικήν.* cf. Polyb. 2, 17, 6: *προσαγορεύονται δὲ Οὐένετοι — περὶ ὧν οἱ τραγῳδιογράφοι πολύν τινα πεποίηνται λόγον καὶ πολλὴν διατίθενται τερατείαν.* Accium in Antenoridis Sophoclea fabula usum esse probabile est.

133

ὄρνιθα καὶ κήρυκα καὶ διάκονον

Ath. IX p. 373 D: *ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν, ἀλλὰ καὶ ὄρνιθα. — καὶ Σοφοκλῆς Ἀντηνορίδαις ʽὄρνιθα — διάκονον᾿.*

134

ἀφεψιασάμην

Hesych. 1 p. 334: *ἀφεψιασσάμην· ἀφωμίλησα. Σοφοκλῆς Ἀντηνορίδαις* (*ἀντινορίδαις* codex). Anecd. Bekk. p. 470, 13: *ἀφεψιαίμην· ἀφωμίλησα. οὕτω Σοφοκλῆς.* Eust. Od. p. 1831, 3: *ἀφεψιασάμην ἤτοι ἀφωμίλησα, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ.*

135

ἐκβαβάξαι

Hesych. 2 p. 40: *ἐκβαβάξαι· ἐκσαλεῦσαι. Σοφοκλῆς Ἀντηνορίδαις* (*ἐν τῇ νορίδες* codex).

ΑΤΡΕΥΣ Η ΜΥΚΗΝΑΙΑΙ

136

μὰ τὴν ἐκείνου δειλίαν, ᾗ βόσκεται,
θῆλυς μὲν αὐτός, ἄρσενας δ' ἐχθροὺς ἔχων.

Schol. Eur. Hipp. 307: *εἰώθασιν οἱ εἰρωνευόμενοι κατὰ τῶν ἐχθρῶν ὀμνύναι, ὡς καὶ Σοφοκλῆς ἐν Μυκηναίαις* (ita M, *Μυκήναις* al.) ʽ*μὰ — ἔχων*᾿. v. 2 *ἄρρενας* libri.

137

ἐπισπάσει

Hesych. 2 p. 168: *ἐπισπάσει· ἐπιτεύξεται. Σοφοκλῆς Ἀτρεῖ ἢ Μυκήναις. ἐπὶ* (l. *ἀπὸ*) *τῶν τοῖς λίνοις λαμβανόντων.*

ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ Η ΣΥΝΔΕΙΠΝΟΙ

Satyricum fuisse drama ex fr. 140 luculenter apparet. nihil fuisse nisi Aeschyleae fabulae (*Ὀστολόγων*) *διασκευήν* ex Aeschyli fr. 180 probabiliter colligit Naber Mnem. nov. vol. 11 p. 185, qui affert Quintil. Inst. X, 1, 66: *tragoedias primus in lucem Aeschylus protulit, sublimis et gravis et grandiloquus saepe usque ad vitium, sed rudis in plerisque et incompositus: propter quod correctas eius fabulas in certamen deferre posterioribus poetis Athenienses permiserunt suntque eo modo multi coronati.* de argumento cf. Proclus Chrestom. p. 456: *ἔπειτα καταπλέουσιν εἰς Τένεδον· καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης ὑφ' ὕδρου πληγεὶς διὰ τὴν δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη· καὶ Ἀχιλλεὺς ὕστερος κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα.* Philodemus *περὶ ὀργῆς* p. 66: *παραπεμφθέντες ὑπό τινος ἑστιῶντος ὥσπερ ὁ Σοφοκλέους Ἀχιλλεὺς ἢ κατά τι τοιοῦτο παρολιγωρηθέντες, οὔπω γὰρ ἀδικηθέντες λέγω.* Aristot. Rhet. 2, 24 p. 1401 b 17: *ἢ εἴ τις φαίη τὸ ἐπὶ δεῖπνον κληθῆναι τιμιώτατον· διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ.* hos locos ad *Ἀχαιῶν σύλλογον* spectare omnes consentiunt; quo magis mirum est extitisse qui *Συνδείπνους* (vel *Σύνδειπνον*) ab *Ἀχαιῶν συλλόγῳ* diversam esse statuerent. Athenaeus VIII p. 365 B: *σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου Λυσίας — διόπερ τινὲς καὶ τὸ Σοφοκλέους δρᾶμα κατὰ τὸ οὐδέτερον ἐπιγράφειν ἀξιοῦσιν* ΣΥΝΔΕΙΠΝΟΝ. Cicero Epist. ad Quintum fr. 2, 16, 3: *Συνδείπνους Σοφοκλέους, quamquam a te actam fabellam video esse festive, nullo modo probavi.* ubi *σύνδειπνοι* dicuntur qui comissatorum Sophocleorum licentiam imitati fuerint. ad hanc fabulam revocarim adesp. fr. 35. obiter titulus commemoratur in Schol. B (similiter T) Il. Θ 519: *λέξασθαι — ὅθεν καὶ λογάδες καὶ 'σύλλογος Ἀχαιῶν'.*

138

φορεῖτε, μασσέτω τις, ἐγχείτω βαθὺν
κρατῆρ'· ὅδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς
ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται.

Ath. XV p. 686 A: *τοῖς παισὶ παρακελεύομαι κατὰ τὸν Σοφοκλέα ὅς ἐν Συνδείπνοις* (*Συνδείπνῳ* Dindorf Philol. 30 p. 112) *φησί 'φορεῖτε — ἐργάζεται'.* v. 1 *φυρᾶτε* probabiliter olim coni. Bergk, postea a. 1863 idem *κορεῖτε* suasit. v. 2 *κρητῆρα· ὅδ' ἀνὴρ* cod.

139

οὔτοι γένειον ὧδε χρὴ διηλιφὲς
φοροῦντα κἀντίπαιδα καὶ γένει μέγαν
μητρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.

Ath. XV p. 679 A: καὶ Σοφοκλῆς Συνδείπνοις (συνδειπνοι A) φησὶν οὖσί σοι παραπλησίοις 'οὔτοι — παρόν'. v. 1 διηλιφὲς Casaubonus, διήλειφες cod. καὶ γένει μέγαν] τὴν παρηίδα coni. Wecklein Mus. Rhen. 38 p. 136 sq. v. 3 μητρὸς scripsi, γαστρὸς vulgo. sic γαστρὸς pro ματρὸς traditum est in Stob. Anthol. vol. 2 p. 121, 20.

140

ἀλλ' ἀμφὶ θυμῷ τὴν κάκοσμον οὐράνην
ἔρριψεν οὐδ' ἥμαρτε· περὶ δ' ἐμῷ κάρᾳ
κατάγνυται τὸ τεῦχος οὐ μύρου πνέον·
ἐδειματούμην δ' οὐ φίλης ὀσμῆς ὕπο.

Ath. I p. 17 D: τῶν δ' ἄλλων ποιητῶν ἔνιοι τὰς καθ' αὑτοὺς πολυτελείας καὶ ῥᾳθυμίας ἀνέπεμπον ὡς οὔσας καὶ κατὰ τὰ Τρωικά. Αἰσχύλος γοῦν ἀπρεπῶς που παράγει μεθύοντας τοὺς Ἕλληνας — καὶ Σοφοκλῆς δὲ ἐν Ἀχαιῶν συνδείπνῳ 'ἀλλ' — ὕπο'. quibus subicit p. 17 F: ἀλλ' οὐδ' ὅτε μνηστῆρας εἰσάγει (sc. Homerus) μεθύοντας, οὐδὲ τότε τοιαύτην ἀκοσμίαν εἰσήγαγεν ὡς Σοφοκλῆς καὶ Αἰσχύλος πεποιήκασιν. Eust. Od. p. 1828, 30: καὶ Σοφοκλῆς δέ που, ὡς ὁ Ἀθήναιος καὶ αὐτὸ ἱστορεῖ, φησὶν 'ἀλλ' — ὕπο'. v. 1 et 2 verba τὴν κάκοσμον — κάρᾳ supra in Aesch. fr. 180 legimus. v. 3 πνέον] πλέον Eust. v. 4 ὀσμῆς] ὀδμῆς Eust. ἐδειματούμην suspectum, ἐλεηλατούμην coni. Herwerden Exerc. crit. p. 15.

141

ΟΔ. ἤδη τὰ Τροίας εἰσορῶν ἑδώλια
δέδοικας . . . .
ΑΧ. . . . .
ΟΔ. ἐγῷδ' ὃ φεύγεις· οὐ τὸ μὴ κλύειν κακῶς,
ἀλλ' ἐγγὺς Ἕκτωρ ἐστί· θυμαίνειν καλόν.

Plut. de adulatore et amico c. 36 p. 74 A: ὁ παρὰ Σοφοκλεῖ τὸν Ἀχιλλέα παροξύνων Ὀδυσσεὺς οὐ φησὶν ὀργίζεσθαι διὰ τὸ δεῖπνον, ἀλλ' 'ἤδη' φησί 'τὰ Τροίας — δέδοικας', καὶ πρὸς ταῦτα πάλιν τοῦ Ἀχιλλέως διαγανακτοῦντος καὶ ἀποπλεῖν λέγοντος 'ἐγῷδ' — καλόν'. v. 4 Ἕκτωρ ἐστί·] Ἕκτωρ· ὥστε M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 537. οὐ μένειν editur, θυμαίνειν vel οὐ καίνειν v. l.

142

ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς
ἔνδηλος ἐν σοὶ πανταχοῦ μητρὸς πατήρ.

Schol. Soph. Ai. 190: *τὸν δὲ Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν Συνδείπνῳ* '*ὦ πάντα — πατήρ*'. v. 2 *πανταχοῦ*] *πάντα χῶ* Fr. Vater. *μητρὸς βατήρ* O. Schneider *Zeitschr. f. d. Alt.* 1840 p. 1275 sq. fortasse v. 1 *Σ. πατὴρ* et v. 2 *μητρὸς πόσις* leg.

143

ὡς ναοφύλακες νυκτέρου ναυκληρίας
πλήκτροις ἀπευθύνουσιν οὐρίαν τρόπιν.

Pollux 10, 133: *ναυτικὰ δὲ σκεύη κάλοι — πηδάλια πλῆκτρα, ὡς Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ* '*ὡς — τρόπιν*'.

144

σὺ δ' ἐν θρόνοισι γραμμάτων πτυχὰς ἔχων
νέμ' εἴ τις οὐ πάρεστιν ὃς ξυνώμοσεν.

Schol. Pind. Isthm. 2, 68: *ἀπόνειμον ἀντὶ τοῦ ἀνάγνωθι. Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ* '*σὺ δ' — ξυνώμοσε*'. v. 1 *πτύχας* libri, *πτυχὰς* Toup Append. not. atque emend. in Theocr. p. 25. v. 2 *ἀπόνειμον νέμει τίς οὐ πάρεστι τίς ξυνώμοσε* libri, correxit Bergk, a quo non multum discessit Madvig Philol. 1 p. 671.

145

λάθα Πιερίδων στυγερὰ
κἀνάρατος· ἁ δὲ μνᾶστις
θνατοῖς εὐποτμοτάτα μελέων,
ἀνέχουσα βίου βραχὺν ἰσθμόν.

Stob. Flor. 26, 1: *Σοφοκλέους ἐκ Συνδείπνου.* '*Λάθα — ἰσθμόν*'. v. 1 *Λάθα* ⟨*δὲ*⟩ *Πιερίδων* Schneidewin Philol. 3 p. 122. v. 2 *καὶ ἀνάρατος* SMA, *καὶ ἀνάρετος* Trinc., *καὶ ἀνάρσιος* Heath, *κἀνάρατος* Schneidewin. *ἁ δὲ μνᾶστις* Grotius, *ὠδυνάσεις* libri. v. 3 *θνατοῖς* Grotius, *θανάτοις* libri. *εὐποτμοτάτα* Schneidewin, *εὐποτμότατε* libri. v. 4 *ἰσθμὸν*] *οἶμον* scripserim. alias de his versibus coniecturas protulerunt Herwerden Mnem. nov. 1 p. 312 et Bergk Lyr. ed. quart. vol. 3 p. 101.

146

Ἀζειῶται

Hesych. 1 p. 58: *Ἀζειῶται· ἔθνος τῆς Τρῳάδος. Σοφοκλῆς Συν-*

δείπνῳ. cf. Steph. Byz. p. 32, 3: *Ἀζειῶται, ἔθνος τῆς Τρῳάδος, ὡς Ἑλλάνικος ἐν τοῖς περὶ Λυδίαν λέγει.* Suid.: *Ἀζειῶται· Τρωικὸν ἔθνος.* vitiose Hesych. 1 p. 210: *Ἀξιῶται· ἔθνος Τρῳάδος.* in tributorum catalogis *Ἀζειοί* et *Ἀζειῆς* dicuntur, cf. Boeckh *Staatshaushaltung der Athener* ed. alt. vol. 2 p. 665 sq.

147

βέβηλος

Schol. Soph. Oed. C. 10: *Σοφοκλῆς δὲ ἐν Συνδείπνῳ βέβηλον τὸν ἰδιώτην φησί.* consentit Etym. M. p. 194, 5, ubi *ἐν Οἰδίποδι* edebatur, sed *ἐν Συνδείπνῳ* codices DPM.

148

ἐκκεκώπευται

Hesych. 2 p. 44: *ἐκκεκόπηται· ἐξήρτηται* (*ἐκκεκώπηται· ἐξήρτυται* Is. Vossius). *Σοφοκλῆς Συλλόγῳ.* scribendum esse *ἐκκεκώπευται· ἐξήρτυται κώπαις* coni. Meineke. pro *ἐκκεκώπευται* haud scio an simplex verbum requiratur. cf. Hesych. 2 p. 460: *κεκώπευται στρατός*, quae verba tragico poetae tribuit Meineke Philol. 13 p. 535.

149

ἐπιξενοῦσθαι

Hesych. 2 p. 162: *ἐπιξενοῦσθαι· μαρτύρεσθαι, πορεύεσθαι. Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ καὶ Αἰσχύλος Κρήσσαις.*

150

ἐπισειούσης

Hesych. 2 p. 167: *ἐπισειούσης· ἐπικελευομένης. ἀπὸ τῶν τὰς ἡνίας χαλώντων* (*ἐπιχαλέντων* cod., *ἐπιχαλώντων* Musurus, *χαλώντων* Naber Mnem. nov. 9 p. 241). *Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ.*

151

μάσθλητας

Hesych. 3 p. 73, quem locum attulimus fr. 125. *μάσθλητας τομούς* hac ex fabula afferri coni. Wecklein Mus. Rhen. 38 p. 137.

152

ξυμβόλους

Hesych. 3 p. 172: *ξυμβόλους· τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. — τινὲς δὲ τὰς διὰ τῆς φήμης γινομένας μαντείας — Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ* (*σύλλογον* codex).

ΑΧΙΛΛΕΩΣ ΕΡΑΣΤΑΙ

Respexit hanc fabulam, satyricam ut videtur, Ovidius Trist. 2, 409—412: *est et in obscaenos deflexa tragoedia risus multaque praeteriti verba pudoris habet, nec nocet auctori, mollem qui fecit Achillem, infregisse suis fortia facta modis.*

153

τὸ γὰρ νόσημα τοῦτ' ἐφήμερον κακόν·
ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι.
ὅταν πάγου φανέντος αἰθρίου χεροῖν
κρύσταλλον ἁρπάσωσι παῖδες εὐπαγῆ,
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους· 5
τέλος δ' ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει
οὔτ' ἐν χεροῖν τὸ πῆγμα σύμφορον μένειν.
οὕτω δὲ τοὺς ἐρῶντας αὑτὸς ἵμερος
δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται.

Stob. Flor. 64, 13: *Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς.* '*ἔρωτος γὰρ — προΐεται*'. v. 1 *ἔρωτος γὰρ νόσημα* SMA, *νόσημ' ἔρωτος* B, *ἔρως νόσημα* Grotius, *τὸ γὰρ νόσημα* Dobree. *ἐφήμερον* SMA, *ἐφίμερον* Gaisfordo teste Arsenius, *ἀνήμερον* coll. Mosch. Id. 1, 10 olim temptabam. v. 2 *ἔχοιν δ' ἂν* ex mea coniectura scripsit Meineke. *αὐτὸς* coni. Wagner. v. 3 *χεροῖν* B et Scaliger, *χερσὶν* SMA. v. 4 *παῖδες ἀσταγῆ* Salmasius, ego *παῖδες εὐπαγῆ* scripsi, *παιδιαῖς ἄγη* libri. v. 5 *ποταινίους* B, *ποτ' ἐνίους* SMA. v. 6 *ὁ κρυμὸς* Meineke, qui dubitans ipse *οὔτ' ἀφίεσθαι θέλει* temptabat. *ὅπως*] *ὅτως* M. v. 7 *πῆγμα* Gomperz, *κτῆμα* S. *κτῆμ' ἀσύμφορον* MA. v. 6 sq. *τέλος δὲ κρυμοῖς οὔθ' ὁ παῖς ἀφιέναι οὔτ' ἐν χεροῖν τὸ κτῆμα συμφέρειν θέλει* audacius quam felicius suasit Kock Veri simil. p. 247 sq., nec magis placent aliorum commenta. v. 8 *οὕτω γε* Gesner, *οὕτω δὲ* Meineke, *οὕτω* B, *οὔτε* SMA. v. 9 *δρᾶν καί τι μὴ δρᾶν* Meineke, *ἐρᾶν τε καὶ μὴ* Martin. *προσίεται* Meineke, *προΐεται* libri. hinc v. 8 sq. *οὕτω δὲ τοὺς ἡβῶντας ἄλγος ἱμέρου ἐρᾶν τε καὶ μὴ πολλάκις προσίεται* scribi volebat Kock Veri sim. p. 249. respicit h. l. Zenobius 5, 58: *ὁ παῖς τὸν κρύσταλλον· ἐπὶ τῶν μήτε κατέχειν δυναμένων μήτε μεθεῖναι βουλομένων ἡ παροιμία εἴρηται. μέμνηται αὐτῆς Σοφοκλῆς Ἀχιλλέως ἐρασταῖς.*

154

τίς γάρ με μόχθος οὐκ ἐπεστάτει;
λέων δράκων τε, πῦρ, ὕδωρ.

Schol. Pind. Nem. 3, 60: *διωκομένη γὰρ ὑπ' αὐτοῦ* (Thetis a Peleo) *μετέβαλλε τὰς μορφὰς ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία· ὁ δὲ καρτερήσας περιγέγονε. περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησὶν ἐν Τρωΐλῳ — καὶ ἐν Ἀχιλλέως ἐρασταῖς 'τίς γάρ — ὕδωρ'.* v. 1 *ἐπεστάτει*] *ἐπεστρατεύετο* olim proposui, fortasse praeferenda est Herwerdeni coniectura (Mnem. nov. 6 p. 280) *ἐπεζάρει*, ita quidem ut scribamus *τίς γάρ με* ⟨*τίς με*⟩ *μόχθος οὐκ ἐπεζάρει;*

155

Schol. Ap. Rh. 4, 816: *Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησὶν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν.*

156

[ἢ δορὸς διχόστομον πλᾶκτρον·
δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον
Ἀχιλληίου δόρατος.]

Schol. Pind. Nem. 6, 85: *ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως — ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γὰρ ὥστε δύο αἰχμὰς ἔχειν καὶ μιᾷ βολῇ* [*ὥστε*] *δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. — καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς 'ἢ δορὸς — δόρατος'.* Sophocli locum abiudicat Dobree, unum v. 1 tribuit Heath, cf. Bergk Lyr. 3 p. 720. v. 2 *ἤρεικον* L. Dindorf Thes. Gr. L. 3 p. 1995 C.

157

παπαῖ, τὰ παιδίχ', ὡς ὁρᾷς, ἀπώλεσας.

Phot. Lex. p. 369, 10: *παιδικά — καὶ ἐν τοῖς Ἀχιλλέως δ' ἐρασταῖς δῆλον ὡς οὕτως* (i. e. *ἐπὶ ἀρρένων*) *ἐξείληπται. ἐπιδόντων γάρ τι τῶν σατύρων εἰς τὴν γυναικείαν ἐπιθυμίαν φησὶν ὁ Φοῖνιξ 'παπαῖ — ἀπώλεσας'.* eadem Anecd. Bachm. vol. 1 p. 324, 16 Anecd. Paris. vol. 4 p. 173, 9 Suidas v. *παιδικά. ὁρᾷς*] *ὁρῶ σ'* Anecd. Bachm., *ὁρῶσ'* Anecd. Paris. *ἀπώλεσας*] *ἀπώλεσαν* Anecd. Bachm.

158

σὺ δ', ὦ Σύαγρε, Πηλιωτικὸν τρέφος

Ath. IX p. 401 D: *Σοφοκλῆς μὲν γὰρ ἐν Ἀχιλλέως ἐρασταῖς ἐπὶ κυνὸς ἔταξε τοὔνομα* (sc. *σύαγρος*) *ἀπὸ τοῦ σῦς ἀγρεύειν, λέγων 'σὺ δ' — τρέφος'.* Eust. Od. p. 1872, 12: *Σοφοκλῆς 'σὺ δ' — βρέφος'. τρέφος* Athenaei A, *βρέφος* C Eust. nomen *σύαγρος* ex Sophocle memoratur a Gramm. Herm. p. 320 et Anecd. Paris. vol. 4 p. 245, 20. cf. Nicephorus Gregoras in Matthaei Gloss. min. p. 3 et A.

Kopp *Beitr. zur griech. Excerpten-Litt.* p. 159. hunc versum spectat Steph. Byz. v. *Πήλιον* p. 521, 10: *λέγεται καὶ κτητικὸν Πηλιωτικόν.*

159

γλώσσης μελίσσης τῷ κατερρυηκότι

Schol. Soph. Oed. C. 481: *ὕδατος, μελίσσης*] *ὕδατος καὶ μέλιτος. ἀπὸ γὰρ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ ἐν ἐρασταῖς 'γλώσσης — κατερρυηκότι'.* versus corrupti medelam desidero.

160

ὁ δὲ ἔνθ' ὅπλοις ἀρρῶξιν 'Ηφαίστου τέχνη

Choerob. in Theod. p. 463, 29 (Anecd. Bekk. p. 1267. cf. Anecd. Paris. vol. 1 p. 396, 28): *αἱ μέντοι μεταπεπλασμέναι δοτικαὶ πληθυντικαὶ προπαροξύνεσθαι θέλουσιν — ὑπεσταλμένου τοῦ ἀρῶξιν, ὥσπερ παρὰ Σοφοκλεῖ ἐν 'Αχιλλέως ἐρασταῖς 'ὁ δὲ ἔνθ' — τεχνίτου'. τοῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀρρήκτοις γενόμενον — προπερισπᾶται. ὁ δὲ ἔνθ'*] *ὁ δ' ἔν θ'* coni. Ellendt, *ἐνδύνθ'* Lobeck Paral p. 278. *ἀρῶξιν* Choerob., *ἀρρῶξιν* Lobeck. *τεχνίτου* in *τέχνῃ* mutavit Dindorf. verba *ὅπλοις ἀρρῶξιν* om. p. nom. affert Choerob. in Theod. p. 367, 32: *ἐπὶ τοῦ 'ἄρωξιν ὅπλοις' τὸ ἄρωξιν ἀρσενικὸν ὂν τῷ ὅπλοις τῷ οὐδετέρῳ συνετάγη.*

161

ὀμμάτων ἄπο
λόγχας ἵησιν.

Hesych. 3 p. 203: *ὀμμάτειος πόθος· διὰ τὸ ἐν τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι. 'ἐκ τοῦ γὰρ ἐσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν'. καὶ ἐν 'Αχιλλέως ἐρασταῖς 'ὀμματοπάλογχα φησίν'.* ubi *ὀμμάτων. ἄπο λόγχας* Casaubonus, *ἵησιν* ego restituimus. *ἀφίησιν* vel *ἀφιεὶς* praefert Dindorf. ipsa verba *ὀμμάτειος πόθος* Sophoclis esse vidit Ellendt.

ΔΑΙΔΑΛΟΣ

162

τεκτόναρχος μοῦσα

Pollux 7, 117: *ἐπεὶ δὲ καὶ τοὺς οἰκοδόμους τέκτονας Ὅμηρος καλεῖ, καὶ ἀρχιτέκτων εἴρηται παρὰ Πλάτωνι· βιαία γὰρ ἡ ἐν τῷ Σοφοκλέους Δαιδάλῳ 'τεκτόναρχος μοῦσα'.* fortasse *τεκτονουργὸς* legendum, cf. Hesych. 4 p. 138: *τεκτονουργός· ἀρχιτέκτων.*

163

Schol. Plat. p. 926 a 31 de risu Sardanio: *Σιμωνίδης δὲ ἀπὸ Τάλω τοῦ χαλκοῦ, ὃν Ἥφαιστος ἐδημιούργησε Μίνῳ φύλακα τῆς νήσου ποιήσασθαι, ἔμψυχον ὄντα, τοὺς πελάζοντας φησὶ κατακαίοντα ἀναιρεῖν. ὅθεν ἀπὸ τοῦ σεσηρέναι διὰ τὴν φλόγα τὸν σαρδάνιον φησὶ λεχθῆναι γέλωτα. ὁμοίως καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ.*

164

Schol. Ap. Rh. 4, 1638: *ὁ Τάλως ἐπὶ τοῦ σφυροῦ σύριγγα εἶχεν ὑμένι περιεχομένην. — ὅτι δὲ εἵμαρτο αὐτῷ τελευτῆσαι* (intellege *ῥαγείσης τῆς σύριγγος*) *λέγει Σοφοκλῆς ἐν Τάλῳ* (*ἐν Δαιδάλῳ* Brunck).

165

ἀλλ' οὐδὲ μὲν δὴ κάνθαρος τῶν Αἰτναίων πάντως

Schol. Ar. Pac. 73: *μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. μαρτυροῦσιν δὲ οἱ ἐπιχώριοι. Ἐπίχαρμος — τρόπον δέ τινα καὶ Αἰσχύλος ἐπιχώριος —. Σοφοκλῆς Δαιδάλῳ* '*ἀλλ' οὐ* (*οὐδὲ* V) *μὲν δὴ κάνθαρος τῶν Αἰτναίων πάντως*'. *λέγει δὲ πάντως εἰκάζων εἰς μέγαν.* num Sophoclis haec sint, dubito.

166

γοργάδων

Hesych. 1 p. 442: *γοργάδων· ἁλιάδων. Δαιδάλῳ Σοφοκλῆς.* ibidem: *γοργίδες· αἱ ὠκεανίδες.* cf. Zon. Lex. p. 448: *γοργάδες· αἱ δέσποιναι.*

167

ἐσέφθην

Hesych. 2 p. 201: *ἐσέφθην· ἐσεβάσθην, ἡσύχασα, ᾐσχύνθην. Σοφοκλῆς Δαιδάλῳ* (*παιδάλῳ* codex). Phot. Lex. p. 19, 7: *ἐσέφθην· τὸ ἐσεβάσθην. Σοφοκλῆς.* Choerob. in Theod. p. 489, 21 (Anecd. Bekk. p. 1418): *σημειούμεθα παρὰ Σοφοκλεῖ καὶ παρὰ Πλάτωνι* (Phaedr. p. 254 B) *τὸ ἐσέφθην καὶ τὸ σεφθεῖσα.* idem vitiose *ἐσέβδην* scriptum ex Sophocle affertur in Excerptis ex libris Herodiani techn. p. 27, 4 (Anecd. Oxon. vol. 4 p. 338, 17).

ΔΑΝΑΗ

Vide quae de Acrisio diximus p. 143. satyricam fuisse fabulam coni. Meineke in Oed. Col. p. 275.

168

οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ' ἐπίσταμαι,
τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι.

Schol. Soph. Ai. 1: *πεῖρα γὰρ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ* 'οὐκ — διόλλυμαι'. eadem fere Suidas v. *πεῖρα*. v. 1 *ἓν δ'*] *οὐδ'* Suid. v. 2 *τῆς παιδὸς ὄντως τῆσδ'* Meineke in Oed. Col. p. 274.

169

ἀφροδισίαν ἄγραν

Hesych. 1 p. 339: *ἀφροδισία ἄγρα. Σοφοκλῆς Δανάῃ· γόνοιον μήλων καὶ ἀφροδισίαν ἄγραν οἱ μὲν τοὺς πέρδικας, οἱ δὲ πρὸς τὸν καθαρμὸν ἁρμόζουσιν, τῇ δὲ θηλείᾳ παλεύοντες αἱροῦσιν* (*αἴρουσιν* cod.) *αὐτούς. κακῶς δέ· χοίρῳ γὰρ καθαίρουσι καὶ ἀρνίῳ, ἀλλ' οὐ πέρδικι. λέγει οὖν τὴν τῶν συῶν διὰ τὸ κατωφερὲς* (*καταφερὲς* cod.) *εἶναι τὸ ζῷον πρὸς συνουσίαν· καπρᾶν γέ τοι καὶ κάπραιναν* (*καπραιέναν* cod.) *ἀπὸ τούτου. δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονὴν δηλοῦν· καὶ γὰρ καὶ τοῦτο τὸ ζῷον λίαν ἐπτόηται πρὸς τὰ ἀφροδίσια, ὥστε καὶ εἰς ἑαυτὸ ὑβρίζειν.* Sophoclis integrum afferri versum, *γόνον τε* (quidni *γονήν τε*?) *μήλων κἀφροδισίαν ἄγραν*, coniecit Musurus. dissentit M. Schmidt, qui *γόνοιον μήλων* verba a Diogeniano aliena existimat. nihil prosunt Anecd. Bekk. p. 472, 22: *ἀφροδισία ἄγρα· οἱ πέρδικες, διὰ τὸ τοὺς θηρῶντας τῇ θηλείᾳ ἐπιβουλεύοντας αἱρεῖν αὐτούς.* Eust. Il. p. 1183, 19: *λέγεται δέ, φασί, καὶ ἀφροδισία ἄγρα καθὰ πέρδιξ, οὕτω καὶ σῦς· καὶ γὰρ καὶ ὁ χοῖρος κατωφερὴς εἰς ἀφροδίσια.* Macarius 2, 70: *ἀφροδισία ἄγρα· ἐπὶ τῶν ἔρωτι ἁλισκομένων.*

170

ζῆ, πῖνε, φέρβου.

Antiatt. p. 97, 32: *ζῆ ἀντὶ τοῦ ζῆθι — Σοφοκλῆς Δανάῃ* '*ζῆ, πῖνε, φέρβου*'.

171

αὐθημερόν

Hesych. 1 p. 203: *ἀνθήμερον·* <*τῇ*> *σήμερον ἡμέρᾳ. Σοφοκλῆς Δανάῃ. αὐθήμερον* proposuit Schrevel, *αὐθημερόν* Brunck.

172

βράχιστον

Antiatt. p. 85, 18: *βράχιστον· βραχύτατον. Σοφοκλῆς Δανάῃ.* Hesych. 1 p. 396: *βράχιστον· ἐλάχιστον.*

173

δεδαιμονισμένον

Antiatt. p. 90, 31: *δαιμονίζεσθαι. Σοφοκλῆς Δανάῃ δεδαιμονισμένον ἀντὶ τοῦ τεθεωμένον.*

ΔΙΟΝΥΣΙΑΚΟΣ ΣΑΤΥΡΙΚΟΣ

De vini inventione fabulam egisse et titulus docet et reliquiae quamvis exiles.

174

πόθεν ποτ' ἄλυπον ὧδε
ηὗρον ἄνθος ἀνίας;

Anecd. Bekk. p. 385, 23: *ἄλυπον ἄνθος ἀνίας· εἰ θέλοις εἰπεῖν ἐπί* (l. *περί*) *τινος πράγματος ὃ λύπης ἀπαλλάττει, οὕτως ἂν χρήσαιο ὡς καὶ Σοφοκλῆς ἐν τῷ Διονυσιακῷ σατυρικῷ ἐπὶ οἴνου πρῶτον γευσαμένων τῶν κατὰ τὸν χορὸν σατύρων 'πόθεν — ἀνίας;' ὅλον δὲ τὸ μελύδριον πολιτικὸν ἄγαν γέγονε· μετὰ γὰρ τῆς ἄλλης ἐναργείας λελυμένην ἔχει τὴν ἑρμηνείαν καὶ μεθύουσιν ἁρμόττουσαν.* v. 2 *εὗρον* vulgo. vitiosum arbitror *ἄνθος*, aptius *ἄκος* dici poterat.

175

θωχθείς

Hesych. 2 p. 335: *θωχθείς· θωρηχθείς, μεθυσθείς. Σοφοκλῆς Διονυσιακῷ.* cf. Phot. Lex. p. 99, 13: *θωχθείς· θωραχθείς.*

ΔΟΛΟΠΕΣ

176

εὐναῖος εἴη δραπέτιν στέγην ἔχων

Phot. Lex. p. 36, 12: *εὐναῖος· ἐγκεκρυμμένος. Σοφοκλῆς Δόλοψιν 'εὐναῖος — ἔχων'.* eadem Etym. M. p. 393, 44, ubi *δραπέτιν* D, *δραπέτην* al. cf. Hesych. 2 p. 227: *εὔναιος· λαγώς. Σοφοκλῆς Δόλοψι. καπτηχής* (l. *κατεπτηχώς*). ante *εὐναῖος* ex Hesychio *λαγὼς* suppleri voluit Valckenaer in Eur. Hipp. 1126. *εἴην* pro *εἴη* scripsit Naber.

177

χαμεύνη

Cyrilli Lex. ap. Schow. in Hesych. p. 781: *χαμευνά· ἡ ἐπὶ γῆς κατάκλισις. καὶ τὸ ταπεινὸν κλινίδιον χαμεύνη. Σοφοκλῆς Δόλοψι.*

ΕΛΕΝΗΣ ΑΠΑΙΤΗΣΙΣ

De argumento coniecturam facere possumus ex Schol. A Il. Γ 206: πρὸ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας εἰς Τροίαν ἦλθον πρέσβεις Ὀδυσσεὺς καὶ Μενέλαος ἀπαιτοῦντες Ἑλένην, ἐν οἷς (l. ὧ) τῶν ἄλλων αὐτοὺς μεθ' ὕβρεως διωξάντων μόνος Ἀντήνωρ ξενίζει φιλοφρόνως. cf. Ovid. Met. 13, 200—203: *praedamque Helenamque reposco et moveo Priamum Priamoque Antenora iunctum. at Paris et fratres et qui rapuere sub illo, vix tenuere manus, scis hoc, Menelae, nefandas.* haec fabula significari videtur in Argum. Soph. Ai. (vide supra p. 160), ubi Ἑλένης ἁρπαγή dicitur, falso opinor: erroris ansam dederit Alexidis comoedia, de qua dixit Meineke Com. 3 p. 412.

178

καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με
παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου.

Schol. Eur. Phoen. 301: εἰ γὰρ καὶ Ἑλληνικῶς ἐλάλουν (sc. αἱ Φοίνισσαι), ἀλλ' οὖν γε τὴν πάτριον ἔσῳζον ἀπήχησιν τῆς φωνῆς. ὡς Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει 'καὶ γάρ — λόγου'. v. 1 αὐτὸς Hermann in Eur. Hel. p. XVIII, τραυλὸς Gomperz. v. 2 προσηγορεῖ AMT. ὁρμᾶσθαι CT, ὁρμ^α A, ὁρᾶσθαι M, ὀσφρέσθαι Herwerden Obs. crit. in fragm. com. p. 128. λόγῳ A. locus nondum emendatus.

179

γυναῖκα δ' ἐξελόντες ἢ θράσσει γέννυν
τε ὡς τοῦ μὲν ἕωλον γραφίοις ἐνημμένοις.

Erotian. Gl. Hippocr. p. 77, 3: θράσσει — ὀχλεῖ. ὡς καὶ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει φησί 'γυναῖκα — ἐνημμένοις'. v. 1 γυναῖκα δὲ ζητοῦντες vel γυναῖκα δ' ἐξαιτοῦντες coni. M. Schmidt *Zeitschr. f. d. Alterthumsw.* 1856 p. 535 coll. Aristoph. Com. 2 p. 1132: γυναῖκα δὴ ζητοῦντες (γ. δ' ἐξαιτοῦντες coni. Bergk) ἐνθάδ' ἥκομεν. v. 2 ἕωλον] ἑῶλον C, αἰῶλον F, αἴολον O. nisi gravior est corruptela, suspicari possis τρωτοῦ Μενέλεω γραβίοις ἐνημμένοις. ac Μενέλεων praeiit Bergk, γραβίοις I. G. Schneider in Lexico.

180

ἀναχαιτίζειν

Hesych. 1 p. 186: ἀναχαιτίζειν· ἀπειθεῖν (ἀναπίθειν cod.), ἀναχαλινοῦν. ἀνακρούεται· ἀναποδίζει. κυρίως δὲ ἐπὶ τῶν ἵππων. Σοφοκλῆς Ἑλένης ἀπαιτήσει. Suidas: ἀναχαιτίζει — ἀναχαιτίζειν Σοφοκλῆς τὸ ἀπειθεῖν καὶ ἀντιτείνειν.

181

Strab. XIV p. 643: *λέγει δ' αὐτὸ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει, ὡς* (Calchanti vati) *εἱμαρμένον εἴη ἀποθανεῖν, ὅταν κρείττονι ἑαυτοῦ μάντει περιτύχῃ· οὗτος δὲ καὶ εἰς Κιλικίαν μεταφέρει τὴν ἔριν* (Calchantis et Mopsi) *καὶ τὸν θάνατον τοῦ Κάλχαντος.* cf. ibid. p. 675: *ἤρισαν περὶ τῆς μαντικῆς ὅ τε Κάλχας καὶ ὁ Μόψος· ταύτην τε γὰρ τὴν ἔριν μεταφέρουσιν ἔνιοι, καθάπερ καὶ Σοφοκλῆς, εἰς τὴν Κιλικίαν, καλέσας ἐκεῖνος αὐτὴν Παμφυλίαν τραγικῶς, καθάπερ καὶ τὴν Λυκίαν Καρίαν καὶ τὴν Τροίαν καὶ Λυδίαν Φρυγίαν. καὶ τὸν θάνατον δὲ τοῦ Κάλχαντος ἐνταῦθα παραδιδόασιν ἄλλοι τε καὶ Σοφοκλῆς.*

ΕΛΕΝΗΣ ΓΑΜΟΣ ΣΑΤΥΡΙΚΟΣ

Aristid. vol. 2 p. 399 (quem locum repetit Photius Bibl. p. 438 a 6 et spectat Choricius pro mimis 6, 27 editus in *Revue de philol.* 1 p. 222): *αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς σατύρους τοῦ Σοφοκλέους.* satyri igitur huius fabulae cum Helenam conspexerunt, turpi libidine inflammantur.

182

πέπων ἐρινὸς [ἀχρεῖος ὢν
ἐς βρῶσιν] ἄλλους ἐξερινάζεις λόγῳ.

Ath. III p. 76 D: *Σοφοκλῆς δ' ἐν Ἑλένης γάμῳ τροπικῶς τῷ τοῦ δένδρου* (sc. *ἐρινοῦ*) *ὀνόματι τὸν καρπὸν ἐκάλεσεν εἰπών 'πέπων — λόγῳ'. πέπων δ' ἐρινός εἴρηκεν ἀντὶ τοῦ πέπον ἐρινόν.* cf. Eust. Il. p. 1205, 3: *ῥῆμα ἐρινάζειν παρὰ Σοφοκλεῖ, ἔνθα τὸν καρπὸν τῷ τοῦ δένδρου ἐκάλεσεν ὀνόματι εἰπών 'πέπων — λόγῳ'.* v. 1 *πέπον* Athenaei cod. A, *πέπων* C et Eust. v. 2 *ἐς* Ath. A, *εἰς* Ath. C et Eust. v. 1 *πέπων ἐρινὸς ὢς ἀχρεῖος αὐτὸς ὢν* coni. Porson (*αὐτὸς ὢν ἀχρήιος* Casaubonus), *ἀχρεῖος* deleri iussit Cobet V. L. p. 289, *ἀχρεῖος ὢν ἐς βρῶσιν* verba in suspicionem vocavit Meineke Theocr. ed. tert. p. VII.

183

νένωται

Etym. M. p. 601, 23: *νένοται* (sic FMV, *νένωται* ed.) *ἢ κατὰ συγκοπὴν τοῦ Η ἀπὸ τοῦ νενόηται — ἢ ἀπὸ τοῦ νένωται κατὰ συστολήν. ἔστι γὰρ νῶ ῥῆμα τρίτης συζυγίας ὡς* (*καὶ* rectius F) *παρὰ Σοφοκλεῖ, οἷον Ἑλένης γάμῳ νένωται.* Hesych. 3 p. 148: *νένωται· ἐν νῷ ἔχει.* 'de Sophocle et Anacreonte haud definiam, utrum *νένομαι* scripserint an usitatius *νένωμαι*'. Lobeck Pathol. elem. 2 p. 114. nimirum utramque formam commemorat grammaticus (v.

Herodian. ed. Lentz. 2 p. 253), nec tamen credibile est *νένομαι* formam unquam extitisse.

184

ὀροσάγγαι

Claudii Casilonis *παρὰ τοῖς Ἀττικοῖς ῥήτορσι ζητούμενα* in Milleri *Mélanges de litt. gr.* p. 397 sive Lex. rhet. post Phot. v. *ὀροσάγγης* p. 674, 21: *ὀροσάγγαι μὲν οἱ σωματοφύλακες, ὡς Σοφοκλῆς Ἑλένη⟨ς⟩ γάμῳ καὶ Τρωίλῳ.*

185

πανόν

Phot. Lex. p. 377, 22: *πανόν· ἀπὸ τοῦ πάντα φαίνειν σχηματισθέν* (*σχηματισθέντα* ante Naberum), *κατὰ μεταβολὴν τοῦ Φ. Σοφοκλῆς Ἑλένης γάμῳ.* fortasse haec supplenda sunt ex Eust. Il. p. 1189, 24 (adesp. 160).

ΕΠΙΓΟΝΟΙ

Epigonos et Eriphylen eiusdem fabulae esse titulos probabiliter coniecit Welcker. argumentum quod fuerit, ex titulo potest colligi (cf. Apollod. 3, 7, 2 Diod. Sic. 4, 66 Asclepiades in Schol. V Od. λ 326 al.). Sophoclis vestigia legisse Accium significat Cicero de opt. gen. orat. 6, 18: *Andriam et Synephebos nec minus Terentium et Caecilium quam Menandrum legunt, nec Andromacham aut Antiopam aut Epigonos Latinos reiciunt, immo* (*sed tamen* ante Ribbeckium *Röm. Trag.* p. 489) *Ennium et Pacuvium potius quam Euripidem et Sophoclem legunt.* obscura sunt quae habet Philodemus de musica p. 87 sq.: *τὸ δ' ἐκ τῶν Ἐπιγόνων μέλος* (*ὑπογράφομεν οὐκ ἀπιθανωτέραν ἄλλην διάνοιαν, ἀλλ' ἐῶμεν ὡς οὗτος εἶα μετὰ τῆς ἐπισημασίας τοῦ κωμῳδογράφου*) *μυθικόν ἐστιν.* sed agi de Sophoclea fabula docet p. 18: *Πινδάρῳ γε γραφὲν 'τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθείς' καὶ τὸ Σοφοκλέους ἐν τοῖς Ἐπιγόνοις* .... fortasse huius fabulae sunt adesp. fr. 2 et 3.

186

φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις
νικᾶν ἐπ' αἰσχροῖς ἢ ἐπὶ τοῖς καλοῖς πλέον.

Stob. Flor. 38, 27: *Σοφοκλέους Ἐπίγονοι* (sic M, *τοῦ αὐτοῦ* om. fab. nom. S, *τοῦ αὐτοῦ ἐπίπονοι* A). '*φιλεῖ — πλέον*'. v. 1 *ἡ δύσνοια* Wecklein Mus. Rhen. 38 p. 137.

187

ὦ πᾶν σὺ τολμήσασα καὶ πέρα, γύναι,
κάκιον ἄλλ' οὐκ ἔστιν οὐδ' ἔσται ποτὲ
γυναικός, εἴ τι πῆμα γίγνεται βροτοῖς.

Stob. Flor. 73, 51: *Σοφοκλέους Ἐπίγονοι* (*Ἐπίγονοι* om. S). '*ὦ πᾶν — βροτοῖς*'. v. 1 *γύναι* S, *γυνὴ* MA, *γυνῆς* coni. Meineke, qui v. 2 et 3 a primo dirimi voluit. *ὦ δεινὰ τολμήσασα καὶ δεινῶν πέρα* (del. *γύναι*) scribi malim. v. 3 *εἴ τι*] *ἢ εἴ* (*ἤει* M) *τι* libri.

188

τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ' ἔτι

Schol. Soph. Oed. C. 378: *πολλαχοῦ τὸ Ἄργος κοῖλον φασί, καθάπερ καὶ ἐν Ἐπιγόνοις* '*τὸ κοῖλον — ἔτι*' *καὶ ἐν Θαμύρᾳ* (*Θαμυρία* libri) '*ἐκ μὲν — Ἄργεϊ κοίλῳ*'. vide quae dicentur in fr. 221.

ΕΡΙΣ

189

ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω.

Ath. XIV p. 646 D: *ἴτριον πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον. μνημονεύει αὐτοῦ — Σοφοκλῆς Ἔριδι* '*ἐγὼ — βλέπω*'.

190

εὔωρος γάμου

Hesych. 2 p. 237: *εὔωρος γάμος. Σοφοκλῆς Ἔριδι. ἤτοι ὡραῖος* (*ὥριος* vulgo) *ἢ ὀλίγωρος· οὕτω γὰρ λέγουσι κατὰ ἀντίφρασιν, ὡς ὁ αὐτὸς ἐν Σκυρίαις χρῆται τῷ εὐωριάζειν.* pro *γάμος* legendum esse *γάμου* docet interpretatio *ὀλίγωρος* ceterum falsa.

191

μίαν μίαν

Antiatt. p. 108, 9: *μίαν μίαν· ἀντὶ τοῦ κατὰ μίαν. Σοφοκλῆς Ἔριδι.*

ΕΡΙΦΥΛΗ

Eriphyle Welckero iudice eadem fuit fabula atque Epigoni.

192

⟨ὦ⟩ γλῶσσ', ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχεις;
ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον.

Stob. Ecl. 2, 15, 27 p. 189, 23: *Σοφοκλέους Ἐριφύλῃ*. '*γλῶσσ' — πλέον*'. v. 1 *γλῶσσ' ἐν οἷσιν* L, *ἡ γλῶσσ' ἐν οἷσιν* Brunck, *ὦ γλῶσσ' ἐν οἷοις* Dindorf, *γλῶσσ' ἐν κενοῖσιν* Iacobs Lect. Stob. p. 147, *γλῶσσ' ἐν ἐνεοῖσιν* Bamberger Opusc. p. 163, *γλῶσσ' ἐν νέοισιν* F. G. Schmidt Anal. Soph. p. 51. *ἔχει* Brunck. v. 2 *ὅπου*] *ἐκεῖ* Blomfield, *ὅτων* F. G. Wagner, *ὅτοις* F. G. Schmidt.

193

ὅπου δὲ μὴ τἄριστ' ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ' ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

Stob. Flor. 43, 7: *τοῦ αὐτοῦ* (sic SA, *Σοφοκλέους* M) *Ἐριφύλη*. '*ὅπου — σωτηρίαν*'. v. 1 *τὰ ῥᾷστα* vel *τὰ ῥᾶστα* vel *τὰ ῥᾷστ'* libri, *τἄριστ'* Wyttenbach, *τὰ λῷστ'* Blomfield, *τὰ χρήστ'* Reisig. v. 2 imitatur poeta Il. *Α* 576: *ἐπεὶ τὰ χερείονα νικᾷ*. cf. Boissonad. Anecd. nov. p. 68. v. 3 *ἁμαρτίαι* S, *ἁμαρτίαις* MA.

194

γήρᾳ πρεπόντως σῷζε τὴν εὐφημίαν.

Stob. Flor. 117, 3: *Σοφοκλέους Ἐριφύλη*. '*γήρᾳ — εὐφημίαν*'. eclogam om. S. *προσόντος* editur, *προσηκόντως* A, *προσόντως* M, *προσῆκον* Gaisford, *πρεπόντως* ego scripsi. *εὐβουλίαν* vel potius *εὐρυθμίαν* requirit F. G. Schmidt *Krit. Stud.* 1 p. 251.

195

ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόνης.

Stob. Flor. 1, 1: *Σοφοκλῆς ἐν Ἐριφύλῃ* (sic M, eclogam om. SA). '*ἀρετῆς — μόναι*'. *μόνης* pro *μόναι* restituit Naber Mnem. nov. 9 p. 242.

196

ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται.

Stob. Flor. 7, 7: *Σοφοκλῆς Ἐριφύλῃ* (sic MA, eclogam om. S). '*ἀνδρῶν — μαλάσσεται*'. cf. Men. mon. 31: *ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται*. Sophocli reddiderim *οὐκ ἀλλάσσεται* cum Nabero Mnem. nov. 9 p. 242, cf. F. G. Schmidt *Krit. Stud.* 1 p. 252.

197

πῶς οὖν μάχωμαι θνητὸς ὢν θείᾳ τύχῃ;
ὅπου τὸ δεινόν, ἐλπὶς οὐδὲν ὠφελεῖ.

Stob. Flor. 99, 20: *Σοφοκλέους Ἐριφύλη.* '*πῶς — ὠφελεῖ*'. interpungebatur *πῶς — τύχῃ, ὅπου τὸ δεινὸν ἐλπὶς οὐδὲν ὠφελεῖ*; v. 1 *μάχωμαι* M, *μάχομαι* SA. *θείᾳ* om. S. v. 2 *ἐλπὶς* M. *ὅπου τὸ θεῖον* coni. Kock Veri sim. p. 224. *ὅτῳ τὸ δεινὸν ἐνέπεσ', οὐδὲν ὠφελεῖ* F. G. Schmidt *Krit. Stud.* 1 p. 253.

198

ἄπελθ' ἐκείνης ὕπνον ἰατρὸν νόσου.

Clemens Alex. Strom. VI p. 741: *λάβοις δ' ἂν ἐκ παραλλήλου — Εὐριπίδου μὲν ἐκ τοῦ Ὀρέστου* '*ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου*', *Σοφοκλέους δὲ ἐκ τῆς Ἐριφύλης* '*ἄπελθ' ἐκείνης ὕπνον ἰητρὸν νόσου*'. *ἄπελθ'· ἐκείνης ὕπνος ἰατρὸς νόσου* coni. Valckenaer in Eur. Hipp. p. 313, ubi *ἐκείνης* dubito num ferri possit. fortasse *ἄπελθε· κινεῖς ὕπνον ἰατρὸν νόσου* legendum, cui haud dissimile est *ἐξ ὕπνου κινεῖν δέμας* Eur. Bacch. 690.

199

καὶ γὰρ Ἀργείους δρῶ

Prov. codicis Athoi in Milleri *Mélanges de litt. gr.* p. 363: *καὶ γὰρ Ἀργείους δρῶ· καὶ αὕτη Σοφοκλείου ἐστὶν ἰαμβείου μέρος· πεποίηται γὰρ ἐκείνῳ Ἐριφύλη* (*ἐκεῖ περιφυλῆ* cod.) *πρὸς Ἀλκμαίωνα λέγουσα* '*καὶ γὰρ Ἀργείους δρῶ*'. *μέμνηται ταύτης Ἄλεξις ἐν Μυλωθρῷ* (*μυλόθρῳ* cod.). Proverb. append. 3, 35: *καὶ γὰρ Ἀργείους δρᾷς· αὕτη Σοφόκλειος. πεποίηται γὰρ Ἐριφύλη πρὸς Ἀλκμαίωνα λέγουσα* '*καὶ — δρῶ*'. *εἴρηται δὲ ἐπὶ τῶν ἐκτενῶς πρὸς ὅτι οὖν βλεπόντων καὶ καταπληκτικόν τι δοκούντων ὁρᾶν. οἱ δὲ ἐπὶ τῶν εἰς κλοπὴν ὑπονοουμένων· κωμῳδοῦνται γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ, ὥσπερ καὶ Σοφοκλῆς* ('substitue *Ἄλεξις*' O. Crusius Anal. crit. ad Paroemiogr. Gr. p. 151) *ἐχρήσατο.*

ΕΡΜΙΟΝΗ

Eust. Od. p. 1479, 10: *Σοφοκλῆς δέ, φασίν, ἐν Ἑρμιόνῃ ἱστορεῖ ἐν Τροίᾳ ὄντος ἔτι Μενελάου ἐκδοθῆναι τὴν Ἑρμιόνην ὑπὸ τοῦ Τυνδάρεω τῷ Ὀρέστῃ· εἶτα ὕστερον ἀφαιρεθεῖσαν αὐτοῦ ἐκδοθῆναι τῷ Νεοπτολέμῳ κατὰ τὴν ἐν Τροίᾳ ὑπόσχεσιν· αὐτοῦ δὲ Πυθοῖ ἀναιρεθέντος ὑπὸ Μαχαιρέως, ὅτε τὸν Ἀπόλλω τινύμενος τὸν τοῦ πατρὸς ἐξεδίκει φόνον, ἀποκαταστῆναι αὖθις αὐτὴν τῷ Ὀρέστῃ· ἐξ ὧν γενέσθαι τὸν Τισαμενὸν φερωνύμως οὕτω κληθέντα παρὰ τὴν μετὰ μένους τίσιν, ἐπεὶ ὁ πατὴρ Ὀρέστης ἐτίσατο τοὺς φονεῖς τοῦ Ἀγαμέμνονος.* eadem brevius Schol. Od. *δ* 4. cf. Schol. Eur. Or. 1655, ubi Neoptolemi mors ex Euripide et Pherecyde narratur et haec adduntur: *ταῦτα γενεαλογεῖ καὶ Σοφοκλῆς.* adde Philoclis fr. 2.

200

ἀλλ' ὦ πατρῴας γῆς ἀγυιαίου πέδον

Stephanus Byz. p. 23, 4: *ἀγυιά — τὸ τοπικὸν ἀγυιαῖος. Σοφοκλῆς Ἑρμιόνῃ 'ἀλλ' — πέδον'. ἀγυιαῖον* coni. Meineke.

201

γνωστός

Antiatt. p. 87, 25: *γνωστός· ἀντὶ τοῦ γνώριμος. Σοφοκλῆς Ἑρμιόνῃ.* rectius *γνωτός* scribemus.

ΕΥΜΗΛΟΣ

Εὐμήλῳ Harp., *ἀμήλῳ* Hesychii codex: alios fabulae testes non habemus, neque de argumento titulus coniecturam aperit. *Ἀμύκῳ* scribendum esse coniecit Blomfield, Meineke in Oed. C. p. 189 huc referri voluit fr. 825.

202

ἀσάμινθος

Hesych. 1 p. 79: *αἵματος ἆσαι Ἄρηα (αἱματώσασαι ἄρηας* cod.)· *αἵματος κορέσαι τὸ δόρυ, ἢ αἵματι μολῦναι καὶ χρῶσαι αὐτό. ἄση γὰρ ἡ ῥυπαρία, ὅθεν καὶ ἀσάμινθος (ἀσάμεθα* cod.), *ἐν ᾗ τὴν ἄσην μινύθοντες (μηνύθοντε* cod.) *ἐνεορεῖ (ἐλούοντο* corrigunt). *Σοφοκλῆς Εὐμήλῳ (ἀμήλῳ* codex). post *μινύθοντες* lacunam indicavit M. Schmidt, qui *ἐνεορεῖ* et quae sequuntur verba ad *αἱματῶσαι* glossam revocanda esse suspicatur. quae in Etym. M. p. 797, 7 sine scriptoris nomine afferuntur verba, *φοιβανάτω δέ τις ἀσάμινθον*, Sophocli temere tribuit Bergk Lyr. ed. quart. vol. 3 p. 213.

203

καθελών

Harpocr. p. 104, 18: *καθελών — ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου πέρσιδι καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ.* cf. Phot. Lex. p. 122, 1 (Suid. v. *καθελών* et Zon. Lex. v. *καθελών* p. 1165): *καθελών· Δημοσθένης ἀντὶ τοῦ ἀνελὼν ἤτοι ἀποκτείνας, καὶ Στησίχορος καὶ Σοφοκλῆς.*

ΕΥΡΥΑΛΟΣ

Parthenius Erot. c. 3: *Οὐ μόνον δὲ Ὀδυσσεὺς περὶ Αἰόλον ἐξήμαρτεν, ἀλλὰ καὶ μετὰ τὴν ἄλην, ὡς τοὺς μνηστῆρας ἐφόνευσεν, εἰς Ἤπειρον ἐλθὼν χρηστηρίων τινῶν ἕνεκα τὴν Τυρίμμα θυγατέρα ἔφθειρεν Εὐίππην, ὃς αὐτὸν οἰκείως τε ὑπεδέξατο καὶ μετὰ πάσης*

προθυμίας ἐξένιζε. παῖς δὲ αὐτῷ γίνεται ἐκ ταύτης Εὐρύαλος. τοῦτον ἡ μήτηρ, ἐπεὶ εἰς ἥβην ἦλθεν, ἀποπέμπεται εἰς Ἰθάκην συμβόλαιά τινα δοῦσα ἐν δέλτῳ κατεσφραγισμένα. τοῦ δὲ Ὀδυσσέως κατὰ τύχην τότε μὴ παρόντος Πηνελόπη καταμαθοῦσα ταῦτα καὶ ἄλλως δὲ προπεπυσμένη τὸν τῆς Εὐίππης ἔρωτα, πείθει τὸν Ὀδυσσέα παραγενόμενον, πρὶν ἢ γνῶναί τι τούτων ὡς ἔχει, κατακτεῖναι τὸν Εὐρύαλον ὡς ἐπιβουλεύοντα αὐτῷ. καὶ Ὀδυσσεὺς μὲν διὰ τὸ μὴ ἐγκρατὴς φῦναι μηδὲ ἄλλως ἐπιεικὴς αὐτόχειρ τοῦ παιδὸς ἐγένετο, καὶ οὐ μετὰ πολὺν χρόνον ἢ τόδε ἀπειργάσθαι πρὸς τῆς αὐτὸς αὑτοῦ γενεᾶς τρωθεὶς ἀκάνθῃ θαλασσίας τρυγόνος ἐτελεύτησεν. cui narrationi vetus literator verba ἱστορεῖ Σοφοκλῆς Εὐρυάλῳ adscripsit. cf. Eust. Od. p. 1796, 52: Σοφοκλῆς δὲ ἐκ τῆς αὐτῆς (sc. ex Euippa) Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος. in Parthenii verbis extremis senarium Sophocleum

τρωθεὶς ἀκάνθῃ τρυγόνος θαλασσίας

agnoscere sibi visus est Meineke, qui ad sustentandam coniecturam incertissimam afferre poterat Eust. Il. p. 1308, 60: διὸ καὶ τρυγόνος θαλασσίας κέντρον λέγεται.

ΕΥΡΥΣΑΚΗΣ

Eiusdem tituli tragoediam composuit L. Accius fortasse Sophoclem imitatus.

204

ἀδόξαστον

Hesych. 1 p. 47: ἀδόξαστον· ἀνέλπιστον. Σοφοκλῆς Εὐρυσάκει (εὐρησά codex, κ superscr.). fabulae nomine omisso eadem Anecd. Bekk. p. 344, 28.

ΗΡΑΚΛΗΣ ΕΠΙ ΤΑΙΝΑΡΩΙ ΣΑΤΥΡΙΚΟΣ

E titulis qui citantur, Ἡρακλῆς, Ἡρακλῆς σατυρικός, Ἡρακλεΐσκος, ἐπὶ Ταινάρῳ σάτυροι, Ἐπιταιναρίοις (fr. 210 et 211), probabile est huic dramati inscriptum fuisse Ἡρακλῆς ἐπὶ Ταινάρῳ. 'Hercules in Taenaro ad inferos descendit ad Cerberum in lucem educendum: hinc fabulae satyricae nomen et argumentum.' Toup Emend. vol. 2 p. 558. chori partes Helotibus mandatas fuisse docent Excerpta ex libris Herodiani techn. p. 11, 3 (Eust. Il. p. 297, 37): Εἵλωτες οἱ ἐπὶ Ταινάρῳ σάτυροι. fabulam ab Sophocle sub extremum vitae tempus doctam esse coni. Guil. Hippenstiel de Gr. trag. principum fabularum nom. (diss. Marpurg. a. 1887) p. 17.

205

. . *συνέλεγον τὰ ξύλ', ὡς ἐκκαυμάτων*
μή μοι μεταξὺ προσδεήσειεν

Pollux 10, 110: *προσθετέον δὲ τῷ μαγείρῳ καὶ ξύλα καύσιμα καὶ κληματίδας καὶ ἐκκαύματα, εἰπόντος Σοφοκλέους ἐν Ἡρακλεῖ σατυρικῷ 'συνέλεγον — προσδεήσειεν'.* ubi *ἐκκαύματα* legitur; *ἐκκαυμάτων* idem 7, 110: *φιτροὺς δὲ τούτους λέγει ἡ ποιητικὴ φωνή· ἐκκαύματα δὲ Σοφοκλῆς ἐν Ἡρακλεῖ σατυρικῷ 'συνέλεγον τὰ ξύλ', ὡς ἐκκαυμάτων μή μοι δεήσειεν'.*

206

τρέφουσι κρήνης φύλακα χωρίτην ὄφιν.

Stephanus Byz. p. 699, 12: *χώρα — ὅθεν τὸ χωρίτης — Σοφοκλῆς Αἰγεῖ — καὶ ἐν Ἡρακλεῖ 'στρέφουσι κρήνης φύλλα καὶ χωρίτην ὄφιν'.* ita libri; *ἐν Ἡρακλεῖ σ.* (i. e. *σατυρικῷ*) *τρέφουσι* correxit Iacobs Epist. crit. 1 p. 9, *φύλακα* Tyrwhitt in Toupii Emend. vol. 4 p. 427.

207

Κυκλώπιον τροχόν

Hesych. 2 p. 550: *κύκλους καὶ τροχούς· τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος, ὡς Σοφοκλῆς Ἡρακλεῖ* (*ἡρακλέα* codex) *'κυκλώπιον τροχόν'.*

208

κρεῖσσον θεοῖς γὰρ ἢ βροτοῖς χάριν φέρειν.

Orion Flor. 5, 9 p. 47, 24: *ἐκ τοῦ Ἡρακλεΐσκου σατουρίκης. 'κρεῖσσον — φέρειν'.* eundem versum om. poetae et fabulae nomine habet Flor. Monac. 102.

209

τὸν δρῶντα γάρ τι καὶ παθεῖν ὀφείλεται.

Orion Flor. 6, 6 p. 49, 13: *ἐκ τοῦ Ἡρακλεΐσκου Σοφοκλέους. 'τὸν δρῶντα — ὀφείλεται'.* om. poetae nom. Schol. Pind. Nem. 4, 51: *παρὰ τοῦτο ὁ τραγικός 'τὸν δρῶντά πού τι καὶ παθεῖν ὀφείλεται'.* Arrian. Exp. Alex. 6, 13, 5: *καί τι καὶ ἰαμβεῖον ἐπειπεῖν· τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου, ὅτι τῷ 'τι δρῶντι καὶ παθεῖν ἐστιν ὀφειλόμενον.* pro *τὸν δρῶντα* (vel *τῷ δρῶντι*) Stobaeus et Theophilus *δράσαντι* praebent: vide Aeschyli fr. 456.

210

τοιγὰρ ἰώδη φυλάξαι χοῖρος ὥστε δεσμίων.

Ath. IX p. 375 D: *χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἱππῶναξ — καὶ Σοφοκλῆς Ἐπιταιναρίοις 'τοιγαριώδη φυλάξαι χοῖρος ὥς τε δεσμίων'.* ita libri, a quorum scriptura non ausus sum multum discedere. *τὸν γὰρ ἰώδη* (Cerberum intellegi iubens) suasit Bergk. *χοῖρον ὥστε δεσμίαν* Casaubonus.

211

ἀλαλίαν

Hesych. 1 p. 113: *ἀλαλίαν· πονηρίαν, ἀταξίαν. Σοφοκλῆς Ἐπιταιναρίοις* (*ἐπὶ παιενάροις* codex, em. Casaubonus). 'videntur grammatici hanc fabulam *Ἐπιταιναρίους* dixisse, satyros intelligentes.' G. Dindorf. cf. Epim. Hom. p. 59, 8: *ἐπὶ Ταινάρῳ Ἐπιταινάριος.*

212

ἀργέμων

Hesych. 1 p. 272: *ἀργέμων· τῶν ἐν τοῖς ὀφθαλμοῖς λευκωμάτων· οἱ δὲ ὀφθαλμιῶν* (*ὀφθαλμῶν* codex). *Σοφοκλῆς ἐπὶ Ταινάρῳ σατυρικῷ.* cf. Eust. Od. p. 1430, 60: *ἄργεμα κατὰ Δίδυμον τὰ ἐπὶ ὀφθαλμῶν λευκώματα.*

213

οὐ κωφεῖ

Phot. Lex. p. 359, 25: *οὐκ ὤφιξεν· οὐ βλάπτει. Σοφοκλῆς ἐν ἐπὶ Ταινάρῳ* (*τεράρωι* cod.) *σατύροις.* at Hesychius 3 p. 237: *οὐ κωφεῖ· οὐ βλάπτει, οὐ πηροῖ.* idem 2 p. 566: *κωφεῖ· κακουργεῖ, βλάπτει, κολούει* (*κολύει* cod.), *πηροῖ.* et *κωφητέος· βλαπτέος.* Sophoclem dixisse *οὐ κωφεῖ ξένον* coni. Wecklein Art. Soph. emend. p. 31.

ΗΡΙΓΟΝΗ

Eiusdem tituli tragoediam L. Accius composuit. recte Welcker Tragod. p. 215 sq. agnovit Erigonam intellegendam esse non Icari, sed Aegisthi et Clytaemestrae filiam, de qua disputavit E. Maass Anal. Eratosth. p. 132 sqq. Welcker huc refert fr. 97—103 et fr. 588.

214

ἃ δὲ
δόξῃ τοπάζω, ταῦτ' ἰδεῖν σαφῶς θέλω.

Phot. Lex. p. 595, 9: *τοπάζειν· οἷον στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν — καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ 'ἃ δὲ — θέλω'.* eadem fere Etym. M. p. 762, 13 et Suid. v. *τοπάζειν.*

215

νῦν δ' εἰρὴ ὕποφρος ἐξ αὐτῶν ἕως
ἀπώλεσέν τε καὐτὸς ἐξαπώλετο.

Erotian. Gloss. Hippocr. p. 128, 16: *ὕποφρον· κρυφαῖον, ὡς φησὶν ὁ Ταραντῖνος. μαρτυρεῖ γὰρ ὁ Σοφοκλῆς ἐν Ἠριγόνῃ* (*ἐν σμηριγόνῃ* ante Casaubonum, *ἐν σατυρικῇ Ἠριγόνῃ* coni. Ribbeck *Röm. Trag.* p. 621) *λέγων* '*νῦν δ' — ἐξαπώλετο*'. *μέμνηται ὁ αὐτὸς καὶ ἐν Ἰφιγενείᾳ. καὶ ὁ Ἱπποκράτης δὲ σαφὲς ποιεῖ λέγων* '*οὐθὲν ὅτι καὶ ὕποφρον καὶ ἔχον περὶ αὐτὸ θαλάμας*'. Hippocratis libri (*περὶ τέχνης* c. 10 vol. 6 p. 18 Littr.) praebent *ὕπαφρον*, quod per *ὕπουλον*, *μὴ φανερόν* interpretantur lexicographi (Phot. Hesych.). v. 1 *συνῆψε δῆριν ὕποφρον, ἐξ αὐτῶν ἕως* coni. M. Schmidt Didym. p. 56, *νῦν δῆρις ἦν ὕπαφρος* Herwerden Mnem. nov. 6 p. 280. non dubito quin *ὕπαφρος* requiratur. v. 2 *ἀπώλεσέ τε καὶ αὐτὸς ἐξαπώλετο* olim ed. *καὐτὸς ἀνταπώλετο* malim (cf. Eur. Hel. 106 Suppl. 743 Iph. T. 715 Tro. 97).

ΘΑΜΥΡΑΣ

Atticam nominis formam testatur Cyrillus Anecd. Paris. vol. 4 p. 183, 14: *Θάμυρις κιθαρῳδὸς Θρᾳκικὸς* (*κιθαρὸς Θρᾳκὸς* ed.) *δυσφημος· Ἀττικοὶ δὲ ὁ Θαμύρας* (*Θαμυράς* ed.). *Θαμύρας* formam Plato et alii tuentur. spectat fabula ad certamen Thamyrae cum Musis initum, quae *χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδὴν θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν* (Il. *B* 599 sq.). Ath. I p. 20 F: *Σοφοκλῆς — τὸν Θάμυριν διδάσκων αὐτὸς ἐκιθάρισεν.* Vita Soph. p. 127, 26: *φασὶ δ' ὅτι καὶ κιθάραν ἀναλαβὼν ἐν μόνῳ τῷ* (*μονῳδῷ* coni. Welcker Trag. p. 425) *Θαμύριδί ποτε ἐκιθάρισεν, ὅθεν καὶ ἐν τῇ ποικίλῃ στοᾷ μετὰ κιθάρας αὐτὸν γεγράφθαι.* de persona Thamyrae cf. Pollux 4, 141: *τὰ δ' ἔκσκευα πρόσωπα Ἀκταίων ἐστὶ κερασφόρος, ἢ Φινεὺς τυφλός, ἢ Θάμυρις τὸν μὲν ἔχων γλαυκὸν ὀφθαλμόν, τὸν δὲ μέλανα.* Schol. BL Il. *B* 595: *φασὶ δὲ αὐτὸν τῶν ὀφθαλμῶν τὸν μὲν γλαυκὸν ἔχειν, τὸν δὲ μέλανα.* probabiliter huic fabulae Welcker adscribit fr. 765.

216

Θρῇσσαν σκοπιὰν Ζηνὸς Ἀθῴου

Eust. Il. p. 358, 40: *ὅτι δὲ Θρᾳκικὸς καὶ ὁ Ἄθως — δηλοῖ, φασί, Σοφοκλῆς ἐν Θαμύριδι Θρήισσαν εἰπὼν σκοπιὰν Ζηνὸς Ἀθῴου.* Hesych. 1 p. 66: *Ἀθῷος· ὁ ἐπὶ τοῦ Ἄθω τοῦ ὄρους ἱδρυμένος ἀνδριάς, ὁ Ζεύς.*

217

πηκταὶ δὲ λύραι καὶ μαγάδιδες
τά τ' ἐν Ἕλλησιν ξόαν' ἡδυμελῆ

Ath. XIV p. 637 A de v. *μάγαδις* disputans: *Σοφοκλῆς δ' ἐν Θαμύρᾳ 'πηκταὶ — ἡδυμελῆ'.* Photius Lex. p. 239, 15: *μάγαδις· ψαλτικὸν ὄργανον. οὕτω Σοφοκλῆς.* Hesych. 3 p. 61: *μαγαδίδες* (*μαγαλίδες* cod.)· *ὄργανα ψαλτικά.* v. 1 *μαγαδῖδες* scribit Meineke Com. 3 p. 179.

218

τρίγωνος

Ath. IV p. 183 E: *μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς ἐν μὲν Μυσοῖς — καὶ ἐν Θαμύρᾳ.*

219

πρόποδα μέλεα τάδ' ὅσα κλαίομεν
τρόχιμα βάσιμα χέρεσι πόδεσι

Georg. Choerob. Exeg. in Hephaest. Enchir. p. 60, 17: *τροχαῖος δὲ* (sc. *λέγεται ὁ χορεῖος*), *ἐπειδὴ ὁ Σοφοκλῆς ἐν τῷ Θαμύρᾳ* (*θαμύρ* U, *θαμύριδι* K) *φησί 'πρόποδα — πόδεσι'.* Anonymus Ambrosianus de re metrica in Studemundi Anecd. 1 p. 226, 18: *διὸ καὶ οὕτως κέκληται ὡς ἀπὸ τῶν χορῶν χορεῖος παραγωγῶς. ὁ γοῦν Σοφοκλῆς ἐν τῷ Θαμύρᾳ* (*σοφοκλῆς τὰ θάμυρα* cod.) *φησὶ 'πρόσωδα — πόδεσσιν'.* v. 1 *πρόποδα* Choer., *πρόσωδα* Ambr., *πρόσοδα* temptabam. *τάδ' ὅσα* Choer., *τάδέ σε* Ambr. *κλαίομεν* (sic U, *κλύομεν* K) Choer., *κλαίομαι* Ambr. emendationem desidero. v. 2 *χέρεσι* (*χερσι* U) *πόδεσι* Choer., *χερσὶ πόδεσσιν* Ambr., *χερί τε ποδί τε* proposui in append. Lex. Vind. p. 259.

220

ᾤχωκε γὰρ κροτητὰ πηκτίδων μέλη
λύραι μοναύλοις τε χειμωντεως
ναος στέρημα κωμασάσης.

Ath. IV p. 175 F: *τοῦ δὲ μοναύλου μνημονεύει Σοφοκλῆς μὲν ἐν Θαμύρᾳ οὕτως 'οἴχωκε — κωμασάσης'. Ἀραρὼς δ' ἐν Πανὸς γοναῖς κτἑ.* v. 1 *οἴχωκε* libri, *ᾤχωκε* Herwerden. v. 2 *λύραι* A, *λύρα* ed. spectat hunc locum Pollux 4, 75: *μόναυλος· μέμνηται μὲν αὐτοῦ Σοφοκλῆς ἐν Θαμύριδι, τὸ δὲ εὕρημά ἐστιν Αἰγυπτίων.* proposui olim *λύρα μόναυλοί θ'* (*μόναυλός τε* Wagner), *οἷς ἐχαίρομεν τέως.* quae suspicio si vera sit, huc referri poterit fr. 996. v. 3 *ναός τ' ἔρημος* coni. Wagner. *ναούς τ' ἐρημοῖ πισσοκωνίας Ἄρης* R. Ellis *American journal of philology* II (1881) p. 417. alias coniecturas protulerunt G. Wolff Philol. 16 p. 527, Herwerden Exerc. crit. p. 25, Madvig Adv. crit. 3 p. 56.

221

[*ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον*
Αὐτόλυκον πολέων κτεάνων σίνιν Ἄργεϊ κοίλῳ]

Schol. Soph. Oed. C. 378: *πολλαχοῦ τὸ Ἄργος κοῖλον φασί, καθάπερ καὶ ἐν Ἐπιγόνοις 'τὸ κοῖλον — ἔτι' καὶ ἐν Θαμύρᾳ* (*θαμυρία* cod.) '*ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον Αὐτόλυκον πολέων κτεάνων σίνιν Ἄργεϊ κοίλῳ*'. *Ἐπιγόνοις* et *Θαμύρᾳ* transponi iussit Kirchhoff, ita ut Epigonos intellegeret cyclicum carmen. probarunt hanc suspicionem Dindorf et alii: dissentit Bergk in progr. univ. Hal. a. 1859, qui Argivarum rerum mentionem a Thamyra alienam esse contendit et doctum grammaticum, cui scholion Sophocleum debeatur, si cyclici poetae carmen dicere voluisset, *ὁ τοὺς Ἐπιγόνους ποιήσας* potius quam *ἐν Ἐπιγόνοις* scripturum fuisse existimat. utique offensioni est in cyclico carmine contracta forma *κοῖλος*, cuius loco vetustiores poetas epicos constat *κόιλος* dixisse. sententia vero versuum supra adscriptorum epicam poesin redolet, non scenicam. v. 1 *ἐκ μὲν ἄρα χθονίου* (i. e. *Ἑρμοῦ*) probabiliter coni. Wilamowitz-Moellendorff *Hom. Untersuchungen* p. 345 coll. Schol. Od. τ 432.

222

κάνναβις

Antiatt. p. 105, 27: *κάνναβις. Σοφοκλῆς Θαμύρᾳ, Ἡρόδοτος τετάρτῳ.*

223

ῥηγνὺς χρυσόδετον κέρας,
ῥηγνὺς ἁρμονίαν χορδοτόνου λύρας

Plut. de cohibenda ira c. 5 p. 455 D: *ὀργιζόμεθα καὶ πολεμίοις καὶ φίλοις καὶ τέκνοις καὶ γονεῦσι καὶ θεοῖς νὴ Δία καὶ θηρίοις καὶ ἀψύχοις σκεύεσιν, ὡς ὁ Θάμυρις 'ῥηγνὺς χρ. — λύρας'.* Sophocli locum vindicavit Brunck. v. 2 *ῥηγνὺς δ' ἁρμονίαν* Herwerden in Eur. Ion. p. 184.

224

μουσομανεῖ δ' ἐλάμφθην δακέτῳ ποτὶ δειρὰν
ἔρχομαι δ' ἔκ τε λύρας ἔκ τε νόμων,
οὓς Θαμύρας περίαλλα μουσοποιεῖ.

Plut. non posse suaviter vivi sec. Epicurum c. 11 p. 1093 D: *τὰ Σοφοκλέους περίεισιν ᾄδων 'μουσομανεῖ — μουσοποιεῖ', καὶ νὴ Δία Εὔδοξος καὶ Ἀρίσταρχος καὶ Ἀρχιμήδης.* v. 1 *ἐλάμφθην*] *ἐθάλφθην* coni. Brunck, *ἐμάρφθην* M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856

p. 536. δακέτῳ Brunck, δ' ἂν καὶ τῷ vel δ' ἂν καὶ τὸ libri. 1 sq. ποτὶ δ' οὐρανὸν αἴρομαι ἔκ τε λύρας coni. Herwerden Mnem. nov. 6 p. 280. v. 3 οὖς Θ. περίαλλα Porson in Eur. Med. 284, οὐ Θ. περὶ ἄλλα libri. locus nondum sanatus.

ΘΗΣΕΥΣ

Hanc fabulam alii ab Aegeo, alii a Phaedra diversam fuisse negant.

225

ὀμπνίου νέφους

Phot. Lex. p. 342, 11 et Suidas: ὄμπνιον (ὄπνιον Phot.) νέφος· μέγα, πολύ, ηὐξημένον. Σοφοκλῆς Θησεῖ. Diogenian. 6, 97: ὄμπνιος χείρ, ἡ πλουσία. ὄμπνιον νέφος, μέγα, πολύ, ηὐξημένον. Phot. Lex. p. 335, 9: ὀμπνίου νέφους· μεγίστου. Hesych. 3 p. 206: ὀμπνείου νέφους· μεγάλου, πολλοῦ, ηὐξημένου.

ΘΥΕΣΤΗΣ ΕΝ ΣΙΚΥΩΝΙ ET ΘΥΕΣΤΗΣ ΔΕΥΤΕΡΟΣ

'Prioris dramatis actio transigebatur Sicyone, posterioris Argis. utriusque argumentum colligi potest ex Hygini fab. 88.' Brunck. cf. Dio Chrysost. 66, 6: ὅτι μὲν γὰρ διὰ χρυσοῦν πρόβατον ἀνάστατον συνέβη γενέσθαι τηλικαύτην οἰκίαν τὴν Πέλοπος, οἱ τραγῳδοὶ φασίν. καὶ κατεκόπη μὲν τὰ τοῦ Θυέστου τέκνα, τῇ Πελοπίᾳ δὲ ὁ πατὴρ ἐμίχθη καὶ τὸν Αἴγισθον ἔσπειρεν· οὗτος δ' ἀπέκτεινε μετὰ τῆς Κλυταιμήστρας τὸν Ἀγαμέμνονα — τούτοις δὲ οὐκ ἄξιον ἀπιστεῖν, ἃ γέγραπται μὲν οὐχ ὑπὸ τῶν τυχόντων ἀνδρῶν, Εὐριπίδου καὶ Σοφοκλέους, λέγεται δὲ ἐν μέσοις τοῖς θεάτροις.

226

σοφὸς γὰρ οὐδεὶς πλὴν ὃν ἂν τιμᾷ θεός.
ἀλλ' εἰς θεοὺς ὁρῶντα, κἂν ἔξω δίκης
χωρεῖν κελεύῃ, κεῖσ' ὁδοιπορεῖν χρεών·
αἰσχρὸν γὰρ οὐδὲν ὧν ὑφηγοῦνται θεοί.

Orion Flor. 5, 10 p. 47, 26: ἐκ τοῦ α' Θυέστου. 'σοφὸς — θεοί'. v. 1 om. poetae et fab. nom. habet Floril. Monac. 103, ubi τιμήσῃ pro τιμᾷ legitur. ὃν — θεός] ὃς — θεούς perverse coni. Beynen (cf. quae ego *Mél. Gréco-Rom.* 3 p. 44 sqq. et F. G. Schmidt *Krit. Stud.* 1 p. 253 attulimus). v. 2—4 a primo versu separandos esse recte iudicat Meineke, item dubito num v. 4 cum praegressis cohaereat. utique parum probabiles sunt coniecturae a F. G. Schmidtio propositae, ἀλλ' οἱ θεοί σ' ἄγωσι (vel ὁρμῶσι), κἂν ἔξω δίκης χωρεῖν τάχ' οἴῃ, κεῖσ' ὁδοιπορεῖν χρεών.

227

ἀποπλήκτῳ ποδί

Hesych. 1 p. 254: *ἀποπλήκτῳ ποδί· μανιώδει. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ.*

228

ἀμόρφωτον

Hesych. 1 p. 151: *ἀμόρφωτον· ἀδιατύπωτον. Σοφοκλῆς Θυέστῃ τῷ ἐν Σικυῶνι.*

229

αὐτόμοιρος

Hesych. 1 p. 327: *αὐτόμοιρος* (*αὐτόμαρος* cod.)· *μονόμοιρος. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ* (*σικυωνία* cod.).

230

αὐτόφορτοι

Hesych. 1 p. 329: *αὐτόφορτοι· αὐτοδιάκονοι, κυρίως δὲ οἱ ἐν τοῖς ἰδίοις πλοίοις. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ* (*σικυωνία* cod.).

231

ἐπαίνους

Hesych. 2 p. 132: *ἐπαίνους· τὰς κρίσεις, καὶ τὰς συμβουλίας, καὶ τὰς ἀρχαιρεσίας* (*ἀρχεσίας* cod.). *Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ* (*σικυννίω* cod.). *καὶ ἀλκέοι τοῖς ἐπαινήταισιν* (ita cod.). extremis de verbis suspiciones quasdam protulit Bergk Lyr. ed. quart. vol. 3 p. 187.

232

ἀφωσιωμέναι

Hesych. 1 p. 338: *ἀφοσιωμέναι· ἀνόσιαι, ἄποθεν τοῦ ὁσίου γεγενημέναι. Σοφοκλῆς Θυέστῃ β′.* cf. p. 341: *ἀφωσιωμένε· ἄποθεν τοῦ ὁσίου ἀφωρισμένε.*

233

ἡγόμην

Hesych. 2 p. 264: *ἡγόμην· διῆγον. Σοφοκλῆς Θυέστῃ δευτέρῳ*

234

ἔστι γάρ τις ἐναλία
Εὐβοιὶς αἶα· τῇδε βάκχειος βότρυς

ἐπ' ἦμαρ ἕρπει. πρῶτα μὲν λαμπρᾶς ἕω
κεκλημάτωται χλωρὸν οἰνάνθης δέμας·
εἶτ' ἦμαρ αὔξει μέσσον ὄμφακος τύπον, 5
καὶ κλίνεταί γε κἀποπερκοῦται βότρυς·
δείλῃ δὲ πᾶσα τέμνεται βλαστουμένη
ὀπώρα καλῶς κἀνακίρναται ποτόν.

Schol. Eur. Phoen. 227: *Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῆς ἐν Παρνασῷ, λέγων οὕτως 'ἔστι — ποτόν'.* v. 2 *εὐβοήσασα* libri plerique, *Εὐβοὶς αἶα* L. Dindorf Thes. Gr. L. vol. 3 p. 2201 C, *Εὐβοὶς ἀκτή* Meineke *Jahrb. f. Philol.* vol. 87 p. 375. v. 3 *λαμπρᾶς ἕωι* B, *λαβράσως* A, *λαβρᾶς* H, *λαβραδέω* MT, *λιβρᾶς ἕω* M. Schmidt *Zeitschr. f. d. Alterthumsw.* 1856 p. 536. v. 4 *χλωρὸν* Bergk, *χῶρον* AM, *χῶρος* BI. *οἰνάνθης* Barnes, *εὐάνθης* I, *εὐανθὴς* B, *εὐανθὲς* AMT. v. 5 *ἦμαρ ἄξει* A, *ἦμαράξει* M. *μέσον* libri meliores. v. 6 *πεπαίνεταί τε* ego conieci, *γλυκαίνεταί τε* Meineke in Theocr. p. 183 coll. Xenoph. Oecon. 19, 19, *καὶ κλίνεταί τε* (sic B) Gomperz *Beitr.* 1 p. 239. *κἀποπερκοῦται*] fortasse *κἀπιπερκοῦται* legendum. v. 7 *βλαστουμένη* vitiosum. v. 8 *καλῶς ὀπώρα* Barnes, at ipsum *καλῶς* displicet. temptavi olim *τέμνεται κλάστου* ⟨*χερὶ μέλαιν'*⟩ *ὀπώρα*, ubi *κλάστου χερὶ* (vel *τέχνῃ*) suaserat Meineke in Theocr. p. 419, qui postea mutata sententia proposuit *τέμνεται βλαστοῦ γονὴ ὀπωροκλάστῃ*, ita tamen ut *βλαστοῦ γονὴ* parum sufficere ipse fateretur (Philol. 17 p. 558). ceterum compares Schol. Soph. Ant. 1133: *ἢ τὸ ἐν Εὐβοίᾳ φησὶν ἄλσος ἢ τὸ ἐν Παρνασῷ· ἐν ἀμφοτέροις γὰρ τόποις ἡ ἄμπελος ἢ καθ' ἑκάστην ἡμέραν περὶ μὲν τὴν ἕω βότρυας φέρει, περὶ δὲ τὴν μεσημβρίαν ὄμφακας, ἐτρυγᾶτο δὲ πεπανθεῖσα περὶ τὴν ἑσπέραν.* Steph. Byz. p. 479: *Νῦσαι — δεκάτη ἐν Εὐβοίᾳ, ἔνθα διὰ μιᾶς ἡμέρας τὴν ἄμπελον φασὶν ἀνθεῖν καὶ τὸν βότρυν πεπαίνεσθαι.* Schol. V Il. *N* 21: *ἐν Αἰγαῖς τῆς Εὐβοίας παράδοξα πολλὰ γίνεται. κατὰ γὰρ τὰς ἐτησίους τοῦ Διονύσου τελετὰς ὀργιαζουσῶν τῶν μυστίδων γυναικῶν βλαστάνουσιν αἱ καλούμεναι ἐφήμεροι ἄμπελοι, αἵτινες ἕωθεν μὲν τὰς τῶν καρπῶν ἐκβολὰς ποιοῦνται, εἶτ' αὖ πάλιν βότρυας κτέ.*

235

πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται.

Stob. Ecl. 1, 4, 5 p. 71, 20: *Σοφοκλῆς Θυέστῃ* (lemma hic om. FP, sed infra in textu praebent). *'πρὸς — ἀνθίσταται'.* fortasse respicit hunc versum Plato Sympos. p. 196 D (Stob. Flor. 63, 36): *καὶ μὴν εἴς γε ἀνδρείαν Ἔρωτι οὐδὲ Ἄρης ἀνθίσταται.*

236

ὡς νῦν τάχος στείχωμεν· οὐ γὰρ ἔσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε.

Stob. Flor. 29, 1: *Σοφοκλέους Θυέστῃ.* '*ὡς — ποτε*'. v. 1 *ὥς νυν τάχος* Dindorf. v. 2 *ἀκμαίας* coni. F. G. Schmidt *Krit. Misc.* p. 25. *ἅπτεταί ποτε* SMA, corr. Valckenaer.

237

ἔχει μὲν ἀλγείν', οἶδα· πειρᾶσθαι δὲ χρὴ
[ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν]
ἐκ τῶν τοιούτων χρή τιν' ἴασιν λαβεῖν.

Stob. Flor. 108, 21: *Σοφοκλῆς Θυέστῃ.* '*ἔχει — λαβεῖν*'. eclogam om. S. v. 1 *ἔχει* MA, *ἔχεις* editur. *ἀλγεινὰ* M, *ἀλγεῖν ἃ* A. v. 2 huc relatum ex Stob. Flor. 108, 22 (ubi Eur. Hel. 253 sq. affertur) recte delet Badham. v. 3 *χρή τιν'*] *χρὴ τὴν* MA. *ἴασιν* M. *δή τιν' ἴασιν λαβεῖν* requirit Badham in Eur. Hel. 752, quam coniecturam sequitur F. G. Schmidt *Krit. Stud.* 1 p. 255 ita ut *ἐκ τῶν* in *ἑλκῶν* mutet. *ἐκ τῶν τοιούτων ἔκλυσιν χρηστὴν λαβεῖν* coni. O. Hense *Stud. zu Soph.* p. 223.

238

ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή,
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.

Stob. Flor. 113, 12: *Σοφοκλέους Θυέστῃ* (sic MA, fabulae nomen om. S). '*ἔνεστι — κακῶν*'. v. 1 *κἀν λόγοισιν* malim cum Nabero Mnem. nov. 4 p. 338.

239

καίπερ γέρων ὤν· ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὠ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ.

Stob. Flor. 115, 16: *Σοφοκλέους Θυέστῃ* (fabulae nomen om. S, qui ecl. 15 et 16 uno lemmate *Σοφοκλέους* comprehendit). '*καίπερ — δεῖ*'.

240

ἀκήρυκτον

Hesych. 1 p. 97: *ἀκήρυκτον· ἄγνωστον. ἀφανὲς δὲ Σοφοκλῆς Θυέστῃ.*

241

ἄλογα

Hesych. 1 p. 130: ἄλογα· ἄρρητα. Σοφοκλῆς Θυέστῃ. Anecd. Bekk. p. 385, 16: ἄλογα· ἄρρητα. Σοφοκλῆς.]

242

ἀλωπός

Hesych. 1 p. 136: ἀλωπός· ἀλωπεκώδης, πανοῦργος. Σοφοκλῆς Θυέστῃ Ἰνάχῳ. οἱ δὲ ἀφανὴς (ἀφανεῖς cod.) καὶ κατὰ τὴν πρόσοψιν (πρόσωψιν cod.). Musurus scripsit Σοφοκλῆς Θυέστῃ καὶ Ἰνάχῳ, contra Ἰνάχῳ ad glossam ἀλώπηξ (Soph. fr. 386) retrahi vult M. Schmidt, qui novissima verba, οἱ δὲ ἀφανὴς κατὰ πρόσοψιν (ita enim legendum), ad ἀλαωπός pertinere docuit ex Eust. Od. p. 1392, 33: κεῖται ἐν ῥητορικῷ λεξικῷ ἀλαωπὸς σύνθετος ὁ ἀφανὴς ἢ ὁ τυφλός. cum Hesychio consentit fere Etym. M. p. 75, 5: ἀλωπός· ἀλωπεκώδης καὶ πανοῦργος. οἱ δὲ ἀφελὴς (l. ἀφανὴς) κατὰ πρόσοψιν (καὶ ἀπρόσοψις ante Valckenarium).

243

ἀνταίρουσιν

Hesych. 1 p. 209: ἀντεροῦσιν· ἀντιλέγουσι. Σοφοκλῆς Θυέστῃ. ἀνταίρουσιν Is. Voss ex litterarum ordine correxit.

244

ἀπείρονας

Hesych. 1 p. 231: ἀπείρονας· ἀπειράτους. Σοφοκλῆς Θυέστῃ.

245

ἀπόθεα

Hesych. 1 p. 246: ἀπόθεα· ἄθεα, ἐκτὸς θεῶν. Σοφοκλῆς Θυέστῃ.

246

ἀτελῆ

Hesych. 1 p. 312: ἀτελῆ· ἀδάπανα, οὐκ ἔχοντα τελέσματα. Σοφοκλῆς Θυέστῃ. Paus. ap. Eust. Il. p. 881, 26 (sive Anecd. Bekk. p. 458, 26): ἀτελῆ τὰ ἀδάπανα, ὡς καὶ πολυτελῆ τὰ πολυδάπανα.

247

ἐντέλλω

Antiatt. p. 94, 8: ἐντέλλω· ἀντὶ τοῦ ἐντέλλομαι. Σοφοκλῆς Θυέστῃ.

ΙΝΑΧΟΣ ΣΑΤΥΡΙΚΟΣ

De argumento fabulae cf. Apollod. 2, 1, 3: πολλοὶ τῶν τραγικῶν Ἰνάχου τὴν Ἰὼ λέγουσιν —. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε· φωραθεὶς ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς

βοῦν μετεμόρφωσε λευκήν — Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην κτἑ. satyricam fuisse fabulam intellexit Hemsterhuys in Ar. Plut. p. 248. dissentit Bergk *Griech. Literaturgesch.* 3 p. 441.

248

Ἴναχε νᾶτορ, παῖ τοῦ κρηνῶν
πατρὸς Ὠκεανοῦ, μέγα πρεσβεύων
Ἄργους τε γύαις Ἥρας τε πάγοις
καὶ Τυρσηνοῖσι Πελασγοῖς.

Dionys. Hal. A. R. 1, 25 de Pelasgis et Tyrrhenis: *Σοφοκλεῖ δ' ἐν Ἰνάχῳ δράματι ἀνάπαιστον ὑπὸ τοῦ χοροῦ λεγόμενον πεποίηται ὧδε* '*Ἴναχε — Πελασγοῖς*'. v. 1 *γεννάτορ* A, *^{γεν}νάτορ* B, *νᾶτορ* Meineke in Callim. p. 250 coll. Hesych. 3 p. 137: *ναέτωρ· ῥέων, πολύρρους*, et p. 141: *ναττορέον· πολύρρουν.* v. 4 *Τυρρηνοῖς* Dionys. Hal. libri, *Τυρσηνοῖσι* Schol. Ap. Rh. 1, 580: *ὅτι δὲ καὶ αὐτοὶ οἱ Ἀργεῖοι ἐκαλοῦντο Πελασγοὶ Σοφοκλῆς ἐν Ἰνάχῳ φησί* '*καὶ Τυρσηνοῖσι Πελασγοῖς*'.

249

. . . . ῥεῖ γὰρ ἀπ' ἄκρας
Πίνδου Λάκμου τ' ἀπὸ Περραιβῶν
εἰς Ἀμφιλόχους καὶ Ἀκαρνᾶνας,
μίσγει δ' ὕδασιν τοῖς Ἀχελῴου
. . . .
ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν 5
ἥκει δῆμον τὸν Λυρκείου.

Strab. VI p. 271: *καὶ τὰ περὶ τοῦ Ἰνάχου μύθῳ παραπλήσια·* '*ῥεῖ γὰρ ἀπ' ἄκρας Πίνδου*' *φησὶν ὁ Σοφοκλῆς* '*Λάκμου τ' — Ἀχελῴου*', *καὶ ὑποβὰς* '*ἔνθεν — Λυρκείου*'. — *βελτίων δ' Ἑκαταῖος ὅς φησι τὸν ἐν τοῖς Ἀμφιλόχοις Ἴναχον ἐκ τοῦ Λάκμου ῥέοντα — ἕτερον εἶναι τοῦ Ἀργολικοῦ.* v. 5 *ἐνθένδ' εἰς* (vel *ἐς*) *Ἄργος* codices. v. 6 *ἥκει δῆμον*] *ἵκου δῆμον* vel *δημωνίκου* non nulli libri. mox *Λυρκείου* Tyrwhitt, *Λυρκίου* codices Strabonis et Hesychius 3 p. 57: *Λυρκίου δῆμον· τὸ Ἄργος, ἀπὸ Λύρκου* (*λυρκίου* cod., corr. M. Schmidt) *τοῦ Λυγκέως· ἔστι δὲ καὶ ὄρος καὶ πόλις.*

250

γυνὴ τίς ἥδε γυμνάς; Ἀρκάδος κυνῆ.

Schol. Ar. Av. 1203: *κυνῆ δὲ ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον ὡς ὁ Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ τῆς Ἴριδος·*

'*γυνὴ — κυνῆ*' *γυμνάς* scripsi, *συληνᾶς* RN, *κυληνᾶς* Ald. nec facilius mihi videtur esse neque aptius quod F. G. Schmidt *Krit. Stud.* 1 p. 256 proponit, qui *ἥδε συληνᾶς* in *ἥδ' οὐχ Ἑλλάς* mutari vult. prorsus reicienda est Toupii coniectura (Emend. vol. 2 p. 465), *γυνὴ τίς ἥδε; κυκλὰς Ἀρκάδος κυνῆς*. spectat hunc locum Hesych. 1 p. 282: *Ἀρκὰς κυνῆ· Ἀρκαδικὸς πῖλος* (*ἀρκασκύνη· ἀρκαδικὸς πινός* cod.). *Σοφοκλῆς Ἰνάχῳ*. unde correcta est a Sopingo vitiosa scriptura p. 270: *ἀρασύνη· πύελος*. Eust. Il. p. 302, 26: *ἐν τοῖς Παυσανίου φέρεται ὅτι τε Ἀρκὰς κυνῆ ἐλέγετό τις ἤτοι Ἀρκαδικὸς πῖλος — καὶ ὅτι φελλός τις ἐφέρετο Ἀρκάς*. unde pro *Ἀρκάδος κυνῆ* scribendum arbitror *Ἀρκὰς ἡ κυνῆ*. cui coniecturae favet Aristoph. Av. 1203: *ὄνομα δέ σοι τί ἐστι; πλοῖον ἢ κυνῆ;* IP. *Ἶρις ταχεῖα.*

251

Πλούτωνος ἥδ' ἐπείσοδος

Schol. Ar. Plut. 727: *τὸν Πλοῦτον Πλούτωνα εἶπε παίζων ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν* (f. *ἐκάλουν*) *ὡς Σοφοκλῆς Ἰνάχῳ* '*Πλούτωνος δ'* (*ἥδ'* Porson in Toup. Emend. 4 p. 487) *ἐπείσοδος*'. *καὶ πάλιν* '*τοιόνδ' ἐμὸν — χάριν*' (fr. 261).

252

πανδόκος ξενόστασις

Pollux 9, 50: *μέρη δὲ πόλεως καὶ πανδοκεῖον καὶ ξενὼν καὶ ὡς ἐν Ἰνάχῳ Σοφοκλῆς, πανδόκος ξενόστασις.*

253

Ar. Plut. 806: *ἡ μὲν σιπύη μεστή 'στι λευκῶν ἀλφίτων, οἱ δ' ἀμφορῆς οἴνου μέλανος ἀνθοσμίου κτἑ.* ubi Scholia v. 807: *σιπύη ἡ ἀρτοθήκη. ταῦτα δὲ παρὰ τὰ ἐν Ἰνάχῳ Σοφοκλέους, ὅτι τοῦ Διὸς εἰσελθόντος πάντα μεστὰ ἀγαθῶν ἐγένετο.*

254

σιροὶ κριθῶν

Schol. Demosth. p. 182, 17: *σιροῖς*] *τὰ κατάγεια, Θεόπομπος καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ* '*σιροὶ κριθῶν*'.

255

ξανθὴ δ' Ἀφροδισία λάταξ
πᾶσιν ἐπικτυπεῖ δόμοις

Ath. XV p. 668 B: *διὸ καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ Ἀφροδισίαν εἴρηκε τὴν λάταγα* '*ξανθὴ — δόμοις*'. v. 1 *αλάταξ* A. v. 2 *παισὶν*

libri, *ἅπασι νῦν* Toup, *πᾶσιν* Heath. *ἐπεκύπτει* A, *ἐπεκτύπει* ex mea coniectura edidit Meineke, qui *ἐπικτυπεῖ* praeferendum videri recte iudicat Philol. 19 p. 145.

256

εὐδαίμονες οἱ τότε γέννας
ἀφθίτου λαχόντες [*θείου*]

Schol. Ar. Pac. 531: *Σοφοκλέους μελῶν*] *ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. περιέργως δὲ τινὲς εἰς τὰ ἐν τῷ Ἰνάχῳ περὶ τοῦ ἀρχαίου βίου καὶ τῆς εὐδαιμονίας· 'εὐδαίμονες — θείου'.* v. 1 *γενεᾶς* libri, *γέννας* Bergk. spectat hunc versum Philodemus de piet. p. 51: ⟨*τῆς ἐπ*⟩*ὶ Κρόνου ζω*⟨*ῆς εὐ*⟩*δαιμονεστά*⟨*της οὔσ*⟩*ης, ὡς ἔγραψ*⟨*αν Ἡσί*⟩*οδος καὶ ὁ τὴν* ⟨*Ἀλκμ*⟩*εωνίδα ποή*⟨*σας καὶ*⟩ *Σοφοκλῆς* ⟨'*εὐδαίμο*⟩*νες οἱ τότε* ⟨*γέννας*'⟩ *εἰπών*, quo de loco dixi *Mél. Gréco-Rom.* 2 p. 622 sq. v. 2 *θείου* delendum esse vidit Herwerden Exerc. crit. p. 27. quod Bergk in progr. univ. Halensis a. 1859 contendit, ithyphallicum versum in extrema tantum stropha 'in hoc numerorum genere' apud tragicos concessum esse, ipsius est commentum vanissimum, cf. Soph. Oed. R. 196 sq. 209 sq. Trach. 886 sq. Eur. Med. 990 sq. 996 sq. Orest. 1429 sq. uberius haec persecutus sum *Jahrb. f. Philol.* 105 (a. 1872) p. 803—807.

257

τραχὺς χελώνης κέρχνος ἐξανίσταται

Erotian. Gloss. Hippocr. p. 81, 16: *κερχνώδη — τὰ τραχείας ἀνωμαλίας ἔχοντα. ὡς καὶ Σοφοκλῆς περὶ τῆς ἀποταυρουμένης φησὶν Ἰοῦς* (*ἰχθῦς* ante Elmsleium) '*τραχὺς — ἐξανίσταται*'. *τραχὺς ᾧ* vulgo, *τραχὺς* Elmsley. *χελώνης* corruptum, *κορώνης* M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 536, *τραχὺς δὲ φωνῆς κέρχνος ἐξανίεται* Herwerden Exerc. crit. p. 26.

258

βοῦ

Antiatt. p. 84, 18: *βοῦ· ἀντὶ τοῦ βοός. Σοφοκλῆς Ἰνάχῳ.* Choerob. in Theod. p. 237, 8 (Anecd. Bekk. p. 1196): *εὑρέθη τοῦ βοῦς ἡ γενικὴ οὐ μόνον βοός, ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ παρὰ τῷ Αἰσχύλῳ.*

259

Schol. Ar. Eccl. 80: *τοῦ πανόπτου*] *τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον.* mox de v. 81: *βουκολεῖν δὲ*

ὡς τὴν Ἰὼ ὁ Ἄργος ἐν Ἰνάχῳ Σοφοκλέους. Schol. Aesch. Prom. 574: Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα αὐτὸν (Argum) εἰσάγει.

260

ἐπῄνεσ'· ἴσθι δ', ὥσπερ ἡ παροιμία,
ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.

Stob. Flor. 46, 13: Σοφοκλέους ἐν Ἰνάχῳ (sic S, eclogam om. MA). 'ἐπῄνεσ' — ἀνήρ.'

261

τοιόνδ' ἐμὸν Πλούτων' ἀμεμφίας χάριν

Schol. Ar. Plut. 727, quem locum attulimus fr. 251. τοιάνδ' ἐμοὶ coni. Hemsterhuys, τοιόνδ' ἔχω Fritzsche in Ar. Thesm. 299. τοιάνδ' ἐμοὶ Πλούτων ἀμεμφίας χάριν Bergk neglecta caesura legitima.

262

πατὴρ δὲ ποταμὸς Ἴναχος
τὸν ἀντίπλαστον νόμον ἔχει κεκμηκότων.

Hesych. 1 p. 214: ἀντίπλαστον. Σοφοκλῆς Ἰνάχῳ 'πατὴρ — κεκμηκότων', ἀντὶ τοῦ ἰσόπλαστον, ὅμοιον. v. 2 ἔχει γόμον codex, νόμον ἔχει Porson, νομὸν ἔχει Ellendt.

263

Herod. π. μον. λέξ. p. 35, 11: τὰ γὰρ εἰς ΡΟΣ δισύλλαβα τῷ Α παραληγόμενα ὀξυνόμενα μὲν ἔχει ἐκτεινόμενον τὸ Α, ψαρός, λαρός· ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ· καὶ σασχυτρύνων λάρος εὕτατ' ἐπὶ κῦμα ἐκ ῥοὰς ἐπώμασα λάρος ἀνήρ. ἔνθεν τὸ οὐδέτερον 'λάρον τετυκοίμεθα δόρπον' (Od. μ 283). in codicis scripturis indicandis secuti sumus ea quae prodidit P. Egenolff Mus. Rhen. 35 p. 103. non λαρός, sed ναρός adiectivi Sophoclem auctorem afferri coni. Lehrs; ipsa verba poetae neque a Lehrsio sunt emendata neque ab O. Schneidero Callim. II p. 755 sq.

264

πέλτα δ' ἐρίθων ἀραχνᾶν βρίθει

Anecd. Bekk. p. 442, 5 et Suidas: ἀράχνης· καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ καλλίοις (παρὰ Καλλίᾳ Suidas, debebat παρὰ ἄλλοις). — θηλυκῶς δὲ Σοφοκλῆς Ἰνάχῳ 'πάντα — βρίθει'. πέλτα pro πάντα restituit Meineke Philol. 19 p. 145.

265

ἐπίκρουμα χθονὸς Ἀργείας

Hesych. 2 p. 158: *ἐπίκρουμα· ἐπίπληγμα ἢ ἐπιχάραγμα διὰ τὸ παρωνομάσθαι τῷ ἔργῳ* (*τῷ Ἄργῳ* Toup)· '*ἐπίκρουμα — Ἀργείας*' *Σοφοκλῆς Ἰνάχῳ. ἐπίκρουμ' Ἄργον χθονὸς Ἀργείας* temptavit Bergk *Jahrb. f. Philol.* 107 (a. 1873) p. 37.

266

κυαμοβόλως δικαστήν

Hesych. 2 p. 544: *κυάμῳ πατρίῳ. Σοφοκλῆς Μελεάγρῳ· ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων. διεκλήρουν* (*διεκλήρου* cod.) *δὲ αὐτὰς κυάμῳ καὶ ὁ τὸν* (*καὶ ὅταν* cod.) *λευκὸν λαβὼν ἐλάγχανεν. ἀνάγει δὲ τοὺς χρόνους, ὡς καὶ ἐν Ἰνάχῳ* '*κυαμοβόλως δικιστήν*'. *κυαμοβόλον δικαστήν* Musurus, *κυαμοβόλῳ δικαστῇ* Schow, an *κυαμοβολῶ σε δικαστήν*?

267

χειμῶνι σὺν παλινσκίῳ

Harpocr. p. 143, 9: *παλίνσκιον — Σοφοκλῆς ἐν Ἰνάχῳ* '*χειμῶνι σὺν παλινσκίῳ*', *ἀντὶ τοῦ ζοφερῷ.* cf. Phot. Lex. p. 374, 11 et Suidas: *παλίνσκιον — καὶ Σοφοκλῆς* '*χειμῶνι παλινσκίῳ*'. Phot. Lex. p. 373, 25 et Suidas: *παλινσκίῳ· σκοτεινῷ.* Anecd. Bekk. p. 294, 6: *παλίσκιον* (*παλίσκον* cod.)· *τὸ ὑποσκιαζόμενον ὑπ' ἄλλου. λειμῶνι* pro *χειμῶνι* malit Naber Phot. Lex. vol. 2 p. 48.

268

Γῆ μήτηρ θεῶν

Philodemus de piet. p. 23: *καὶ Σοφοκλῆς ἐ⟨ν Ἰνά⟩χῳ τὴν Γῆν μ⟨ητέ⟩ρα τῶν θεῶν φη⟨σίν⟩, ἐν Τριπτολέμ⟨ῳ δὲ⟩ καὶ Ἑστίαν εἶν⟨αι⟩.* haud dissimile est quod habemus Philoct. 393: *παμβῶτι Γᾶ, μᾶτερ αὐτοῦ Διός.*

269

ἀναιδείας φάρος

Hesych. 1 p. 173: *ἀναιδείας φάρος· πίων. Σοφοκλῆς Ἰνάχῳ· παρὰ τὸ* '*χλαῖνάν τ' ἠδὲ χιτῶνα τά τ' αἰδῶ ἀμφικαλύπτει*' (Il. *B* 262). in *πίων* quid lateat incertum: *χιτών* coni. Iunius, *φάρος ποιόν* Salmasius, *παίζων* vel *παρὰ Ἴωνι* (Auctar. emend. Hesych. p. 12) M. Schmidt.

270

ἀελλόθριξ

Hesych. 1 p. 54: *ἀελλόθριξ· ποικιλόθριξ· ἢ πυρεωροὺς (?) καὶ συνεχεῖς ἔχουσα τὰς τρίχας. παρὰ τὴν ἄελλαν. Σοφοκλῆς Ἰνάχῳ.*

271

ἀλωπός

Hesych. 1 p. 136, quem locum attulimus supra fr. 242. adde quae dicemus de fr. 386.

272

ἄναντα

Hesych. 1 p. 178: *ἄναντα· ἀνωφερῆ, ὑψηλά. τινὲς δὲ τὰ μὴ βεβρεγμένα. Σοφοκλῆς δὲ Ἰνάχῳ τὰ μὴ κεκωλυμένα* (*κεκομμένα* Salmasius), *παρὰ τὸ αἴνειν* (*αἰνεῖν* cod.), *ὅ ἐστι κατακόπτοντα πτίσσειν* (*πῆσιν* cod.).

273

κημός

Schol. Ar. Eq. 1150: *κημὸς — παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ.*

ΙΞΙΩΝ

Fortasse grammatici Sophoclem cum Aeschylo confuderunt, quae Welckeri Trag. p. 402 fuit suspicio.

274

δίψιον

Schol. Ap. Rh. 4, 14: *παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμένον.* cf. Schol. Il. *Δ* 171 in Anecd. Paris. vol. 3 p. 162, 25: *ἢ βλαβερὸν ἀπὸ τοῦ ἴψιον ἢ παρὰ τὸ ἴψαι. Σοφοκλῆς ἐν Ἰξίονι* (*ἐν ἱερίονι* codex Paris.) *δίψιον κατὰ πλεονασμὸν τοῦ Δ. δίψιον ἄτησι βεβολημένον.* ubi *Σοφοκλῆς ἐν Ἰξίονι κατὰ πλεονασμὸν τοῦ Δ δίψιον φησὶ τὸ βεβλαμμένον* corrigendum esse docuit Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 12. improbandum quod olim conieci, epici poetae esse verba *δίψιον ἄτῃσιν βεβολημένον.*

ΙΟΒΑΤΗΣ

Sophocleae fabulae argumentum ignoramus. fieri potest ut huc pertineant quae produntur in Schol. AB Il. Z 155: *Ἄντεια δὲ ἡ Προίτου γυνὴ ἐρασθεῖσα τοῦ Βελλεροφόντου ἐδέετο ὅπως αὐτῇ συνευνασθῇ· ὃ δὲ δεξιούμενος τὸ ὅσιον ἀντέλεγεν. ἡ δὲ Ἄντεια δείσασα μὴ τῷ Προίτῳ προλαβὼν ἐξείποι τοὺς αὐτῆς ἔρωτας, ἔφθασε τὸν Βελλεροφόντην κατείπασα ὡς ἄρα εἴη βεβιασμένη πρὸς αὐτοῦ. ὁ δὲ Προῖτος αὐτόχειρ μὲν οὐκ ἐβουλήθη τὸν Βελλεροφόντην ἀποκτεῖναι,*

πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτως καθ' ἑαυτοῦ κομίζοντα γράμματα. ὁ δὲ πολλοῖς αὐτὸν ἐγγυμνάσας ἄθλοις, ὡς οὐχ ἑώρα φθειρόμενον, ὑπετόπησε τὴν κατ' αὐτοῦ στρατηγηθεῖσαν δεινὴν διαβολήν —, ἔδωκε δὲ αὐτῷ πρὸς γάμον τὴν ἰδίαν θυγατέρα Κασάνδραν καὶ τῆς βασιλείας μοῖράν τινα. — ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν Τραγῳδουμένοις.

275

τὸν Ἀίδαν γὰρ οὐδὲ γῆρας οἶδε φιλεῖν.

Stob. Flor. 119, 6: *Σοφοκλέους Ἰοβάτου* (sic A, eclogam om. SM). '*τὸν — φιλεῖν*'. iambicum trimetrum, *τὸν Ἅιδην γὰρ οὐδ' ὁ γηραιὸς φιλεῖ*, restituendum censet F. G. Schmidt *Krit. Misc.* p. 15 sive *Krit. Stud.* 1 p. 257.

276

ἀφύλλωτον πέτραν

Hesych. 1 p. 341: *ἀφύλλωτον πέτραν· ἄπορον* (*ἄφορον* coni. Toup Emend. vol. 4 p. 326, *ἄσπορον* rectius M. Schmidt), *ἄδενδρον, οἷον λεωπετρίαν. Σοφοκλῆς Ἰοβάτῃ.*

ΙΟΚΛΗΣ

Brunckio *Ἰφικλῆς* vel *Οἰκλῆς* scribendum videbatur: de argumento fabulae nihil scimus.

277

λινορραφῆ τυλεῖα

Pollux 10, 39: *καὶ τύλη δὲ παρ' Εὐπόλιδι ἔστιν ἰάζοντι ἐν τοῖς Κόλαξιν. ἀλλὰ καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ Ἰοκλεῖ λέγοντι 'ἀλλὰ καὶ λινορραφῆ τυλεῖα'.* quae tanquam Sophoclea perhibentur *ἀλλὰ καὶ* verba ut ex praegressis repetita delevit Fritzsche. eundem locum vitiose scriptum affert Pollux 7, 191: *Σοφοκλῆς δ' ἔφη 'κλινοραφῆς τυλία'.*

278

ἀλλ' ἴθι χαίρων καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν

Ar. Eq. 498: '*ἀλλ' ἴθι — ἐμόν*'. ubi Schol.: *παρὰ τὸ Σοφόκλειον ἐξ Ἰοκλέους* (sic V, *ἐξ Ἰολάου* al.). verba *ἀλλ' ἴθι χαίρων* repetit Aristophanes Nub. 510 et Pac. 729, manifesto hunc locum respicit Eq. 548: *ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων, κατὰ νοῦν πράξας, φαιδρὸς λάμποντι προσώπῳ.*

ΙΠΠΟΔΑΜΕΙΑ v. ΟΙΝΟΜΑΟΣ

ΙΠΠΟΝΟΥΣ

Pollux 4, 111: *τραγικὸν δὲ οὐκ ἔστιν* (sc. *ἡ παράβασις*)· *ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. ἐν μέν γε τῇ Δανάῃ τὸν χορὸν τὰς γυναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παρᾴδειν, ἐκλαθόμενος ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας. καὶ Σοφοκλῆς δὲ αὐτὸ ἐκ τῆς πρὸς ἐκεῖνον ἁμίλλης ποιεῖ σπανιάκις, ὥσπερ ἐν Ἱππόνῳ.* parabasin quae proprie dicitur a tragoedia alienam fuisse certissimum est: mulieres de se dicentes masculino genere etiam singularis numeri interdum utuntur, cuius rei exempla attulit Dindorf in Eur. Hipp. 1105. idem hac in fabula factum esse Pollucis locus indicat. chorus igitur e mulieribus constitit. de Hipponoo cf. Apollod. 1, 8, 4.

279

ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι

Stephanus Byz. p. 707, 14: *Ὤλενος, πόλις Ἀχαΐας καὶ Αἰτωλίας θηλυκῶς λεγομένη. — Σοφοκλῆς ἐν Ἱππόνῳ* (ita Meursius, libri *ἱπόνῳ* vel *ἱπύνῳ* vel *ἱππῶνι*) '*ἐξ — κομίζομαι*'.

280

πρὸς ταῦτα κρύπτε μηδέν, ὡς ὁ πάνθ' ὁρῶν
καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος.

Clemens Alex. Str. VI p. 742: *Σοφοκλέους δὲ ἐξ Ἱππόνου* (*ὑπονόου* cod. Ottob.) '*πρὸς — χρόνος.*' Gellius N. A. 12, 11, 6: *propterea versus istos Sophocli prudentissimi poetarum in ore esse habendos dicebat* '*πρὸς — χρόνος*'. eundem locum habet Stob. Ecl. 1, 8, 17 p. 96, 8 lemmate omisso, sed referendum huc esse quod insequenti eclogae adscriptum est *Σοφοκλέους* recte agnovit Wachsmuth. v. 1 *ὁ πάνθ'* Clemens et Stobaei F, *ἅπανθ'* Gellius et Stobaei P.

281

σωτηρίας γὰρ φάρμακ' οὐχὶ πανταχοῦ
βλέψαι πάρεστιν, ἐν δὲ τῇ προμηθίᾳ . . .

Orion Flor. 4, 2 p. 46, 10: *ἐκ τοῦ Ἱππόνου Σοφοκλέους.* '*σωτηρίας — τῇ προμηθείᾳ.*'

282

ἀπαλέξασθαι

Hesych. 1 p. 225: *ἀπαλέξασθαι· ἀποφυλάξασθαι. Σοφοκλῆς*

Ἱππόνῳ. item ἀπαλέξασθαι traditum Soph. Ai. 166, sicut ἀλέξασθαι Il. *N* 475 et alibi (cf. Veitch *Greek verbs* Oxon. 1879 p. 43 et 44).

283

ἀπαρθένευτος

Hesych. 1 p. 227: ἀπαρθένευτος (ἀπαρθίνευτος cod.)· ἀκέραιος, καθαρά. Σοφοκλῆς Ἱππόνῳ. cf. Anecd. Bekk. p. 418, 11: ἀπαρθένευτος· ἀκέραιος, καθαρός.

ΙΦΙΓΕΝΕΙΑ

Sophoclis vestigia fortasse legit Hyginus fab. 98.

284

σὺ δ' ὦ μεγίστων τυγχάνουσα πενθερῶν

Phot. Lex. p. 410, 13 et Suidas: πενθερά· τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ. καὶ πενθερός, ὁ πατήρ. Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει —. Σοφοκλῆς δὲ τὸ ἔμπαλιν· εἶπε γὰρ πενθερὸν τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ. Ὀδυσσεὺς φησὶ πρὸς Κλυταιμήστραν περὶ Ἀχιλλέως 'σὺ δ' — πενθερῶν'. ἀντὶ τοῦ γαμβρῶν. cf. Anecd. Bekk. p. 229, 1 et Etym. M. p. 220, 40: Σοφοκλῆς δὲ τὸν πενθερὸν ἀντὶ τοῦ γαμβροῦ τέθεικεν (λέγει Etym. M.).

285

ὀξηρὸν ἄγγος οὐ μελισσοῦσθαι πρέπει.

Proverb. append. 4, 27: 'ὀξηρὸν — πρέπει'. ἐπὶ τοῦ ἀναξίου. Σοφοκλῆς Ἰφιγενείᾳ. ubi μελιττοῦσθαι editur.

286

νόει πρὸς ἀνδρὶ χρῶμα πουλύπους ὅπως
πέτρᾳ τραπέσθαι γνησίου φρονήματος.

Ath XII p. 513 D: ὁμοίως φησὶ καὶ Σοφοκλῆς ἐν Ἰφιγενείᾳ 'νόει — φρονήματος'. καὶ ὁ Θέογνις 'πουλύποδος νόον ἴσχε πολυπλόκου'. v. 1 νοῦν δεῖ πρὸς ἀνδρὶ coni. Porson *Tracts and misc. crit.* p. 243, νόει παρ' ἀνδρὶ Reiske, νόει πρὸς ἄνδρα Gomperz *Herodot. Stud.* 2 p. 558 et *Nachl.* p. 7. σῶμα libri, χρῶμα Bergk in Theogn. 215. v. 2 πέτραν Gomperz. γνησίου ἐκ φρονήματος C. Keil. audacius egit Pflugk Sched. crit. p. 37 proponens haec, δεινοῦ πρὸς ἀνδρὸς γνῶμα πουλύπου τρόποις παρεκτραπέσθαι γνησίου φρονήματος.

287

τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή.

Stob. Flor. 30, 6: *Σοφοκλέους Ἰφιγενείας.* '*τίκτει — σχολή.*' *θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.* pro *εἰκαία σχολή* (sic S, *εἰ καὶ ἀσχολῇ* MA) scribendum suspicor *ἡ λίαν σφολή.* dissentit F. G. Schmidt *Krit. Stud.* 1 p. 257, qui proponit *τίκτειν γὰρ οὐδὲν ἐσθλὸν εἰκαία φιλεῖ σπουδή.* recte se habere videtur *σχολή*, quod convenit cum titulo Stobaei *περὶ ἀργίας* et apud Sophoclem spectat ad Graecos *ἀπλοίᾳ χρωμένους κατ' Αὐλίδα*, cf. Ribbeck *Röm. Trag.* p. 95. versum alterum cum priore non cohaerere vidit Wagner (cf. adesp. fr. 527).

288

ἀκρουχεῖ

Hesych. 1 p. 107: *ἀκρουχεῖ· ἄκρον ἔχει. Ἄκρον δὲ ὄρος* (*ὄρους* cod.) *τῆς Ἀργείας, ἐφ' οὗ Ἀρτέμιδος ἱερὸν ἱδρύσατο Μελάμπους καθάρας τὰς Προιτίδας, ἤγουν ταῖς χάρισιν. Σοφοκλῆς Ἰφιγενείᾳ.* disputavit de hoc loco Vnger Theb. parad. p. 458 sq. *ἤγουν ταῖς χάρισιν* verba delet M. Schmidt.

289

βασίλη

Hesych. 1 p. 362: *βασίλη· βασίλεια* (*βασιλ, ἡ βασίλεια* cod.). *Σοφοκλῆς Ἰφιγενείᾳ.*

290

πύνδαξ

Hesych. 1 p. 267: *ἀπυνδακῶτος· ἀπύθμενος. Σοφοκλῆς Τριπτολέμῳ. ἐν δὲ Ἰφιγενείᾳ πύνδακα* (*πενδάκα* cod.) *τοῦ ξίφους τὴν λαβὴν ἔφη.* Eust. Il. p. 870, 28: *Σοφοκλῆς δὲ καὶ τὴν λαβὴν τοῦ ξίφους πύνδακα εἴρηκεν, ὥς φησι Παυσανίας.*

291

ὕποφρον

Erotian. Gloss. Hippocr. p. 129, 1, quem locum attulimus fr. 215.

292

Schol. Soph. Oed. C. 793: *δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ τοῦ Διὸς λαμβάνειν τοὺς χρησμούς, ὥς καὶ ἐν Ἰφικλείᾳ* (*Ἰφιγενείᾳ* coni. Guil. Schneider, *Ἰφικλεῖ* dubitans ipse Guil. Hippenstiel de Gr. trag. principum fabularum nominibus, diss. Marpurg. a. 1887 p. 8). *φησὶ καὶ Αἰσχύλος ἐν Ἱερείαις —.*

ΙΧΝΕΥΤΑΙ ΣΑΤΥΡΟΙ

293

ἐνήλατα ξύλα
τρίγομφα διατορεῦσαί σε δεῖται

Pollux 10, 34: *μέρη δὲ κλίνης ἐνήλατα καὶ ἐπίκλιντρον, τὸ μέν γε ἐπίκλιντρον ὑπὸ Ἀριστοφάνους εἰρημένον· Σοφοκλῆς δ' ἐν Ἰχνευταῖς σατύροις ἔφη 'ἐνήλατα — δεῖται'.* de loco corrupto cf. Lobeck in Phryn. p. 178.

294

κἀξορμενίζει κοὐκ ἐπισχολάζεται
βλάστη

Ath. II p. 62 F: *Ἀττικοὶ δ' εἰσὶν οἱ λέγοντες ὅρμενον τὸν ἀπὸ τῆς κράμβης ἐξηνθηκότα. Σοφοκλῆς Ἰχνευταῖς 'κἀξορμενίζει — βλάστη'.* fabulae nomen om. Eust. Il. p. 899, 17. v. 1 *κἀξορμενίζειν οὐκ* Eust. *κοὐκ ἔτι σχολάζεται* Meineke.

295

ῥικνοῦσθαι

Phot. Lex. p. 489, 1 et Suidas: *ῥικνοῦσθαι· τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος. λέγεται δὲ καὶ ῥικνοῦσθαι* (*ῥιγνοῦσθαι* Phot.) *τὸ καμπύλον γίγνεσθαι ἀσχημόνως καὶ κατὰ συνουσίαν καὶ ὄρχησιν κάμπτοντα τὴν ὀσφύν. Σοφοκλῆς Ἰχνευταῖς.* cf. Hesych. 3 p. 429: *ῥικνοῦσθαι· διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι* (*διαφέρεσθαι* cod.) *κατ' εἶδος.* p. 431: *ῥιχνοῦσθαι· κινεῖσθαι ἀσχημόνως.* Pollux 4, 99: *εἴδη δὲ ὀρχημάτων — ῥικνοῦσθαι, ὅπερ ἦν τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν.*

ΙΩΝ

Ionem et Creusam eandem dici fabulam coniecerunt Ad. Schoell et Welcker.

296

πρὸς ἀνδρὸς ἐσθλοῦ πάντα γενναίως φέρειν.

Orion Flor. 7, 10 p. 51, 29: *Σοφοκλέους Ἴωνος. 'πρὸς — φέρειν'.* rectius scribemus *ἐσθλοῦ πρὸς ἀνδρὸς* cum F. G. Schmidtio *Krit. Stud.* 1 p. 258, cui coniecturae favet Choricius Gaz. p. 17: *ἐσθλοῦ γὰρ ἀνδρός, ἡ τραγῳδία φησίν, ἅπαντα φέρειν καλῶς.* Sophoclem imitatus videtur Menander: *καὶ τἀγαθὰ καὶ τὰ κακὰ δεῖ πταίοντα* (l. *μύσαντα*) *γενναίως φέρειν* Com. 4 p. 264. *ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν* Com. 4 p. 293. Menandri vestigia legerunt multi:

χρὴ γὰρ τὰ συμπίπτοντα γενναίως φέρειν Nicetas Eugen. 9, 142. *τὰ δὲ συμβαίνοντα ἀνδρὶ γενναίως δεῖ φέρειν* Vita Aesopi p. 46, 10. *τὰ προσπίπτοντα — γενναίως φέροντες* Dicaearchus q. d. Descr. Graeciae 30 in Muelleri Geogr. min. 1 p. 105. *γενναίως φέροντες τὰ προσπίπτοντα* Hipparch. Stob. Flor. 108, 81 p. 391. *εἰδείην γενναίως φέρειν τὰ προσπίπτοντα* Euseb. Stob. Flor. 1, 85 p. 51. *ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα* Stob. Flor. 108 inscr. *ἐπειρᾶτο μὲν φέρειν τὰ συμβαίνοντα γενναίως* Charit. 5, 9, 8 p. 102, 19. *δεῖ γενναίως τὰ συμβαίνοντα φέρειν* Schol. B Il. Ω 49. *φέρειν τὰ συμβαίνοντα γενναίως ἐχρῆν* (fort. *σε χρή*) Sent. septem sap. (quas edidit Woelfflin) v. 236.

297

ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονος ὄλβους

Stob. Flor. 103, 10: *Σοφοκλέους Ἴωνος* (*Ἴωνος* om. S). '*ἐν — ὄλβους*'. *μόνον*] *μοῦνον* A. *ἐν Διὸς κήποις ἀροῦσι μοῦνον ἄνδρες ὄλβιοι* lusit Heimsoeth, *ἀρύεσθαι* pro *ἀροῦσθαι* coni. Bergk Opusc. philol. 2 p. 712. *κήποις* in *κάποις* mutari vult M. Schmidt coll. Hesych. 2 p. 408: *κάποις· κήποις*.

298

ἀξέστους

Hesych. 1 p. 220: *ἀξέστους· τραχείας. Σοφοκλῆς σιών* (η supra ω) (*Ἴωνι* coni. Schow, *Σίνωνι* Musurus, *Οἰνώνῃ* M. Schmidt).

299

Hesych. 1 p. 283: *χερσεύει. Σοφοκλῆς ἴονι* (οι, ει supra). *κείμενος μὲν βουστάδας αὐλὰς ἐπὶ χέρσου ἢ διὰ χειρῶν ἔχει ἢ οὕτως ἐμβατεύει.* ubi *Σοφοκλῆς Ἴωνι* Musurus, *Σ. Οἰνεῖ* Dindorf, *Σ. Ἴωνι* aut *Σίνωνι* M. Schmidt. de emendando Hesychii loco despero.

KAMIKOI

Καμικοί titulus in libris perhibetur: *Καμίκιοι* substituit Brunck. argumentum erat, ut Brunck intellexit, mors Minois a Cocali filiabus interempti: cf. Schol. A Il. *B* 145 Diod. Sic. 4, 79 Hygin. fab. 44 al. fortasse huc spectat Plut. Thes. c. 16: *καὶ γὰρ ὁ Μίνως ἀεὶ διετέλει κακῶς ἀκούων καὶ λοιδορούμενος ἐν τοῖς Ἀττικοῖς θεάτροις.* Libanius Decl. vol. 3 p. 64: *οὐχ ὁρᾶτε τὸν Μίνω δεινὰ πάσχοντα ἐπὶ τῆς σκηνῆς;* eidem fabulae *Μίνως* inscriptum fuisse viri docti coniecerunt e Clementis Alex. Strom. VI p. 741 (fr. 374).

300

ὄρνιθος ἦλθ' ἐπώνυμος
πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

Ath. IX p. 388 F: τοῦ δὲ ὀνόματος (sc. πέρδιξ) αὐτῶν ἔνιοι συστέλλουσι τὴν μέσην συλλαβήν — πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς. Σοφοκλῆς Καμικοῖς 'ὄρνιθος — πάγοις'. cf. Phot. Lex. p. 413, 15 (Suid. v. Πέρδικος ἱερόν): Σοφοκλῆς δὲ ἐν Καμικοῖς (κωμικοῖς libri) τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα. v. 1 ἦν δ' ἐπώνυμος Meineke. v. 2 κλεινοῖσι Κεκροπιδῶν vel cum S. Meklero κλεινοῖσι Θησειδῶν malim.

301

ἀλίας στραβήλου τῆσδε, τέκνον, εἴ τινα
δυναίμεθ' εὑρεῖν ⟨ὃς διείρειεν λίνον⟩

Ath. III p. 86 D: τῶν στραβήλων (concharum) μνημονεύει καὶ Σοφοκλῆς ἐν Καμικοῖς οὕτως 'ἀλίας — εὑρεῖν'. quo spectarit στραβήλου mentio indicat Zenobius 4, 92 p. 112, 20 (quem locum ex Apollodori Bibliotheca repetitum esse coni. C. Robert de Apollod. Bibl. p. 49): ὁ Μίνως οὖν ἐδίωκε Δαίδαλον καὶ καθ' ἑκάστην χώραν ἐρευνῶν ἐκόμιζε κόχλον καὶ πολὺν ὑπισχνεῖτο δοῦναι μισθὸν τῷ διὰ τοῦ κοχλίου λίνον διείραντι (διείξαντι 'ante Valckenarium), διὰ τούτου νομίζων εὑρήσειν Δαίδαλον. ἐλθὼν δὲ εἰς Κώκαλον, παρ' ᾧ Δαίδαλος ἐκρύπτετο, δείκνυσι τὸν κοχλίαν. ὃ δὲ λαβὼν ἐπηγγέλλετο διείρειν (διέρξειν ante Valckenarium) καὶ Δαιδάλῳ δίδωσιν· ὃ δὲ ἐξάψας μύρμηκος λίνον καὶ τρήσας τὸν κοχλίαν εἴασε δι' αὐτοῦ διελθεῖν. λαβὼν δὲ Μίνως τὸν λίνον διειρμένον (διειργασμένον ante Valckenarium) ᾔσθετο εἶναι παρ' ἐκείνῳ τὸν Δαίδαλον καὶ εὐθέως ἀπῄτει. Κώκαλος δὲ ὑποσχόμενος δώσειν ἐξένισεν αὐτόν· ὃ δὲ λουσάμενος (l. λουόμενος) ὑπὸ τῶν Κωκάλου θυγατέρων ἀνῃρέθη ζέουσαν πίσσαν ἐπιχεαμένων αὐτῷ. hinc v. 2 ὃς διείρειεν λίνον supplevi.

302

. . . . . πισσοκώνητον μόρον

Hesych. 2 p. 564, quem locum in Aesch. fr. 118 attulimus. fuerunt qui Aeschylo vel Cratino haec verba tribuerent. at Aeschylum scimus dixisse πισσοκωνήτῳ πυρί, Cratino tribuitur πισσοκωνίας ἄρην (ubi Ἄρης coni. Bergk, rectius fortasse ἀρήν scribetur coll. Hesych. v. πισσοκωνίας). πισσοκώνητον μόρον in hac de qua agimus fabula dixisse Sophoclem colligi potest ex Zenob. 4, 92 (v. fr. 301). eadem potestate dictum est πισσήρης (vitiose scribitur πισσήρων)

μόρος in oraculo quod prodidit Heraclides Ponticus ap. Ath. XII p. 524 B.

303

τὴν οὔτις ᾔδειν ἐκ θεοῦ κεκρυμμένην

Etym. Flor. p. 143: *ᾔδεισθα· ἀπὸ τοῦ εἴδειν γίνεται κατ' ἔκτασιν ᾔδειν καὶ τὸ Ι* (fort. *τὸ τρίτον*?) *ὁμοίως. Σοφοκλῆς Καμικοῖς* (*κωμικοῖς* cod., *Καμικίοις* corr. Miller) '*τὴν — κεκρυμμένην*', *ἀντὶ τοῦ ᾔδεεν.*

304

πιστοί με κωχεύουσιν ἐν φορᾷ δέμας

Hesych. 2 p. 566: *κωχεύουσιν· ὀχοῦσι, μετεωρίζουσι. πιστοί με Σοφοκλῆς καμίκηι κωχεύουσιν ἐμφοραιδέσμας.* Anecd. Paris. vol. 4 p. 52, 20: *κωχεύουσιν· ὀχοῦσι, μετεωρίζουσι. Σοφοκλῆς κωμικοῖς* '*πιστοί με κωχεύουσιν ἐνφοραὶ δέμας*'. Etym. Gud. p. 360, 5: *κωχεύουσι· ὀχοῦσι, μετεωρίζουσι. πιστοί μ' ὀκωχεύουσιν* M. Schmidt. *ἐν φορᾷ* Dindorf, *ἀμφορεῖ* Ruhnken coll. Hesych. 1 p. 166: *ἀμφορείῳ· φορτίῳ*, ubi *ἀμφορεῖ· τῷ φορείῳ* corrigit (*φορείῳ* cum H. Stephano).

ΚΗΔΑΛΙΩΝ ΣΑΤΥΡΙΚΟΣ

Eust. Il. p. 987, 8: *ὅτε Κρόνος ἐταρταρώθη, ἐξεδόθη τῷ Διὶ παρὰ Τηθύος καὶ Ὠκεανοῦ ἡ Ἥρα, ἐγκύμων μὲν οὖσα, ὡς παρθένος δὲ ὑπονοουμένη. τεκοῦσα δὲ τὸν Ἥφαιστον προσεποιήσατο δίχα μίξεως τεκεῖν καὶ Κηδαλίωνι τῷ Ναξίῳ ἐκεῖνον παρέδωκε διδάξαι χαλκευτικήν.* Lucianus de domo c. 28 vol. 3 p. 206: *Ὠρίων φέρει τὸν Κηδαλίωνα τυφλὸς ὤν, ὃ δ' αὐτῷ σημαίνει τὴν πρὸς τὸ φῶς ὁδὸν ἐποχούμενος, καὶ ὁ Ἥλιος φανεὶς ἰᾶται τὴν πήρωσιν.* quicum cf. Hygin. Poet. astr. 2, 34 p. 486 et al.

305

καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων
ὑπὸ τοῦ δέατος

Herod. *π. μον. λέξ.* p. 30, 28: *ὅ τε Σοφοκλῆς ἐν Κηδεμόνι σατυρικῷ φησί* '*καὶ δή τι — δέατος*', *ἀντὶ τοῦ δέους.* Hesych. 1 p. 464: *δέατος· δέους. Σοφοκλῆς Κηδαλίωνι* (*κιδαλίῳ* codex). v. 1 *πάρεικα τῷ ἀρτυμάτῳ* cod., corr. Dindorf.

306

μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι

Ath. IV p. 164 A: *κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα ἐστὲ*

'*μαστιγίαι κ. ἀλλ.*' cf. Eust. Od. p. 1404, 13: *καὶ τὸ* '*μαστιγίαι κ. ἀλλ.*', *ὃ δὴ ἐκ τῶν τοῦ Σοφοκλέους εἶναι λέγεται.*

307

τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.

Schol. Plat. p. 920 b 38: *λευκὴ στάθμη· ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων —. ἡ γὰρ ἐν τοῖς λευκοῖς λίθοις στάθμη λευκὴ οὐδὲν δύναται δεικνύναι — ὡς Σοφοκλῆς Κηδαλίωνι* '*τοῖς μὲν — στάθμη*'. eadem fere Gregorius Cypr. Leid. 2, 67 Phot. Lex. p. 217, 11 et Suidas v. *λευκὴ στάθμη*. omisso poetae nomine locum affert Eust. Il. p. 1023, 2. de proverbio *ἐν λευκῷ λίθῳ λευκὴ στάθμη* cf. Hesych. v. *λευκὴ στάθμη* vol. 3 p. 29 Zenob. 4, 89 Plut. Prov. 1, 39 p. 327 ed. Gott. v. 1 *μὲν* om. Eust. v. 2 *λευκὴν στάθμην* Eust.

308

ὅτι ἂν τι γίγνηται, τὰ πάντ' ὄνου σκιά.

Phot. Lex. p. 338, 16 et Suidas: *ὄνου σκιά — Σοφοκλῆς Κηδαλίωνι* '*ὅτι ἂν — σκιά*'. *γίγνηται*] *γίνηται* vel *γίνεται* libri. *ὅταν γένηται ταῦτα, πάντ' ὄνου σκιά* coni. Dobree. *τἄλλα* (pro *τὰ*) *πάντ' ὄνου σκιά* M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 537.

309

αὐτοκτίτους δόμους

Hesych. 1 p. 327: *αὐτοκτίστους δόμους· οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταὐτομάτου γεγενημένους· ἢ τοὺς οἰκουμένους. Σοφοκλῆς Κηδαλίωνι.* ubi *αὐτοκτίτους* Salmasius. cf. *πετρηρεφῆ αὐτόκτιτ' ἄντρα* Aesch. Prom. 301. Sophoclem *δόμους αὐτοκτίτους* scripsisse probabile est.

310

τερθρία πνοή

Etym. M. p. 753, 7: *τερθρεία — παρὰ τὸ τερθρεύειν. καὶ τερθρευόμενος. Φερεκράτης Ἀγρίοις, τερθρία μέντοι πνοὴ διὰ τοῦ Ι, ἡ ὀπισθία.* ubi Gaisford: '*παρὰ τὸ — Φερεκράτης*] *π*[ετ] *κεὺ ἑώρʒ* D. *τερθρία πνοή*] *ἀγροῖς τερθρία μέντοι πνοὴ διὰ τοῦ ϊ ἡ ὀπισθία* V. *ἀγροῖς τερθρ*[α]*ι μέντοι πνοὴ διὰ τοῦ ι ἡ ὀπισθία σοφοκλῆς κ*[δ]*ή κενὸν ἑώραʒ* M. locus videtur sumptus ex Cedalione, sed verba non extrico'. pro *ἀγροῖς* idem *Ἀγρίοις* restituit. Sophoclis verba fuisse *τερθρία πνοή* agnovit Dindorf. Pherecratem dixisse suspicor *τερθρευόμενος κενὸν ὡράζει*. de verbo *ὡράζεσθαι* dixit Meineke Com. 2 p. 557.

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

Hanc tragoediam ab Iphigenia non diversam esse statuit Welcker. *Κλυταιμήστρα* scripsi pro recepto *Κλυταιμνήστρα*, quam scripturam vitiosam esse luculentissime demonstravit Pappageorgius. adde quae dixit Vitelli *Berl. philol. Wochenschr.* 1886 p. 955 sq.

311

τὸν δὲ ἀνταῖον περιδινέοντα οὐχ ὁρᾶτε
καὶ δεῖμα προσπαίοντα ἀνταίας θεοῦ

Erotian. Gl. Hippocr. p. 45, 13: *ἀνταῖον θεόν* (*ἀντεόνθεον* ed.)· *τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἄνθρωπον* (*ἀνθρώποις* Welcker). *ἀνταῖον* (*ἀντέον* libri) *δ' ἐκάλουν οἱ παλαιοὶ τὸν σώφρονα* (*τὸν οὐ σώφρονα* Burges, *τὸν κακόφρονα* Wagner), *ὡς καὶ Σοφοκλῆς ἐν Κλυταιμήστρᾳ λέγων* '*τὸν δὲ — ἀνταίας θεοῦ*'. v. 1 *ἄντεον* libri. v. 2 *προσπαίοντα* (sic cod. Cantabr.) vel *προσπέοντα* libri, *προσπνέοντα* ed., *πρόσπαιον τόδ'* coni. Wagner. cf. Hesych. 3 p. 390: *πρόσπαιον· πρόσφατον, νέον. ἀντέας* libri. duo Sophoclis fragmenta afferri statuit Burges in Aesch. Suppl. p. 194, qui scribi voluit, '*τὸν δ' ἄνταιον περιδινεύοντ' ἀχόρευτα*', '*καὶ δεῖμα προσπνέοντ' ἀπ' ἀνταίας θεοῦ*'. item duo Sophoclis testimonia, prius ex Clytaemestra desumptum, ex Polyido (fr. 368) alterum, agnoscere sibi visus est Bergk Opusc. 2 p. 167, qui coniecit '*τὸν δ' ἀνταῖον περιδηνεύοντά θ' ὁρᾶτε*', *καὶ* '*δεῖμα προσπνέοντα τἀνταίας θεοῦ*'. contra Lobeck Pathol. prol. p. 162 proposuit, *τὴν ἄγχιμον δὲ πῦρ δονοῦσαν οὐχ ὁρᾷς καὶ δεῖμα προσπνέουσαν ἀνταίας θεοῦ;*

ΚΟΛΧΙΔΕΣ

Agebat fabula de Iasone Medeae ope arietis aurei vellus repetente, quam rem narrat Apollodorus 1, 9, 23 sqq. cf. Schol. Ap. Rh. 3, 1040: *Σοφοκλῆς δὲ ἐν ταῖς Κολχίσιν εἰσάγει τὴν Μήδειαν ὑποτιθεμένην τῷ Ἰάσονι περὶ τοῦ ἄθλου δι' ἀμοιβαίων.*

312

χαλκοσκελεῖς γὰρ . . . .
. . . ἐκπνέουσι πλευμόνων ἄπο·
φλέγει δὲ μυκτὴρ ὡς . . . . . .

Schol. Pind. Pyth. 4, 398: *τοὺς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ Ἡφαιστοτεύκτους λέγει. καὶ Σοφοκλῆς δὲ χαλκοῦς* (*Σοφοκλῆς δ' ἐν Κολχίσι* coni. Bothe) *βοῦς ἀδερμάτους φησὶν* '*χαλκοσκελεῖς γὰρ ἐκπνέουσι πνευμάτων ἄπο· φλέγει δὲ μυκτὴρ ὡς . . .*' v. 2 *πνευμάτων* libri, *πνευμόνων* Bergk, *πλευμόνων* ego praetuli (cf. *Eurip. Stud.* 1 p. 34). v. 1 et 2 *καὶ τὸ πᾶν ἀδέρματοι πυρὸς φλόγ' ἐκπνέουσι,*

v. 3 ὡς ἰπνὸς σελασφόρος suppleri volebat Bergk, a quo non multum discrepat Herwerden Exerc. crit. p. 19. duo fragmenta in scholiis afferri coni. Pappageorgius *Κριτ. καὶ ἑρμην.* p. 13.

313

ἀπῆξε πέμφιξ ἡλίου σελασφόρου

Galenus vol. 17, 1 p. 879: *νυνὶ δ' ἀρκέσει τοῖς γραμματικοῖς ἀκολουθήσαντα κατὰ τὴν ἐκείνων διάταξιν εἰπεῖν τι περὶ τῶν κατὰ τὴν πέμφιγα σημαινομένων. δοκεῖ μὲν γὰρ αὐτὴν ἐπὶ τῆς πνοῆς Σοφοκλῆς ἐν Κόλχοις λέγειν* '*ἀπῆξε πέμφιξιν οὐ πέλας φόρου*'. *πέμφιξ Ἰονίου πέλας πόρου* vel *π. ἐξ ἔω σελασφόρου* coni. Bentley Epist. ad Millium p. 57 sq., *πέμφιξ ὡς ἰπνοῦ σελασφόρου* G. Hermann Opusc. 4 p. 277, *πέμφιξ ἡλίου σ.* M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 537.

314

κἂν ἐθαύμασας
τηλέσκοπον πέμφιγα χρυσέαν ἰδών

Galenus vol. 17, 1 p. 880: *ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι Σοφοκλῆς ἐν Κόλχοις κατὰ τάδε τὰ ἔπη* '*κἂν — ἰδών*'. v. 1 *ἐθαύμασα* ante Hermannum. v. 2 *τῇδε σκοπῶν* ed., *τηλέσκοπον* Bentley Epist. ad Millium p. 58.

315

ἦ φὴς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν;

Anecd. Bekk. p. 404, 21 et Suidas: *ἀνθυπουργῆσαι· τὸ ἀνταποδοῦναι χάριν. Σοφοκλῆς Κολχίσιν* '*ἦ φὴς — χάριν*'.

316

ὑμεῖς μὲν οὐκ ἄρ' ᾖστε τὸν Προμηθέα

Etym. M. p. 439, 2: *καὶ Σοφοκλῆς Κόλχοις* '*ὑμεῖς — Προμηθέα*', *ἀντὶ τοῦ ᾔδειτε.* cf. Arg. Aesch. Prom.: *κεῖται δὲ ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις.* Promethei unguenti (de quo Ap. Rh. 3, 843 sqq.) mentionem huius *παρεκβάσεως* ansam fuisse probabiliter coni. Welcker Tragod. p. 335.

317

ΑΙ. *ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος;*
ΑΓΓ. *καὶ κρᾶτα φρίξας εὐλόφῳ σφηκώματι*
χαλκηλάτοις ὅπλοισι μητρὸς ἐξέδυ.

Schol. Ap. Rh. 3, 1372: *Σοφοκλῆς δὲ ἐν Κολχίσι πεποίηκε τὸν ἄγγελον τοῦ Αἰήτου πυθομένου* (*πυθόμενον* cod.) *περὶ τῶν προειρημένων* '*ἦ — οὐπιχώριος;*' (v. 1) *λέγοντα* '*καὶ κάρτα — μὴ προσεξέδυ*' (v. 2 et 3). itaque v. 1 est Aeetae, nuntii v. 2 et 3. v. 2 *καὶ κάρτα φρίξας τῶν εὐλόφω σφηκώμενα* cod., *κρᾶτα* Bergk, *φρίξας εὐλόφῳ σφηκώματι* Valckenaer in Eur. Phoen. p. 257 ex Hesych. 4 p. 258: *φρίξας εὐλόφῳ σηκώματι· ἀντὶ τοῦ ἀναφὺς ἄρτιος.* v. 3 *μὴ προσεξέδυ* cod., *μητρὸς ἐξέδυ* Rutgers.

318

[*ἔχοντας εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας*]

Pollux 7, 68: *ἁρμόττοι δ' ἂν ταῖς ζώναις ταύταις — καὶ ἡ ἐν ταῖς Σοφοκλέους Κολχίσιν* (ita codex A, *ζωστῆρσιν* ceteri) *ἐπιζώστρα· λέγει γοῦν* '*ἔχοντας εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας*'. quae tanquam Sophoclea afferuntur, quamvis corrupta videantur (certe *ἔχοντες* expectamus), Sophoclis non sunt.

319

Schol. Ap. Rh. 4, 228: *Σοφοκλῆς δὲ ἐν Κολχίσι φησὶ κατὰ τὸν οἶκον τοῦ Αἰήτου τὸν παῖδα* (sc. *Ἄψυρτον*) *σφαγῆναι.* item Eur. Med. 1334: *κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον τὸ καλλίπρῳρον εἰσέβης Ἀργοῦς σκάφος.*

320

μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα

Ath. XIII p. 602 E: *ὁ δὲ* (sc. Sophocles) *ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος* '*μηροῖς — τυραννίδα*'.

321

καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.

Stob. Flor. 22, 23: *Σοφοκλέους Κολχίδες.* '*καλὸν — ἴσα*'.

322

ἐπαλλαχθεῖσα

Hesych. 2 p. 133: *ἐπαλλαχθεῖσα· ἐπαλλάξασα. Σοφοκλῆς Κολχίσιν.*

323

κυνάρα

Ath. II p. 70 A: *κινάρα· ταύτην Σοφοκλῆς ἐν Κολχίσι* (*κοχλίσι* C) *κυνάραν καλεῖ.*

ΚΡΕΟΥΣΑ

Ab hac fabula non diversam fuisse Ionem coniecerunt.

324

ταῦτ' ἐστὶν ἄλγιστ', ἢν παρὸν θέσθαι καλῶς
αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ φέρων.

Stob. Flor. 4, 38 (eclogam om. SMA, habet Trinc.): τοῦ αὐτοῦ (Κρεούσᾳ addit Schow ex duobus codicibus). 'ταῦτ' — φέρων'. v. 1 ἢν] ἂν Tr. v. 2 αὑτῷ] αὐτῷ Tr. τὴν βλάβην] πημονὴν malim. φέρων] θέλων ego conieci, φρονῶν F. G. Schmidt Sat. crit. p. 7.

325

ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται,
ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστίν, ἀσφαλὴς δ' ὁ νοῦς.

Stob. Flor. 7, 8 (ecl. habent MA, om. S): Σοφοκλῆς Κρέουσα (κρεούσᾳ vel κρεούσα A). 'ὅστις — νοῦς'. v. 1 τόλμης Elmsley in Eur. Med. 388.

326

καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν·
ὅτῳ δ' ὄλεθρον δεινὸν ἀλήθει' ἄγει,
συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.

Stob. Flor. 12, 4: τοῦ αὐτοῦ (sic S, Σοφοκλέους MA) Κρέουσα. 'καλὸν — καλόν'. v. 2 ἀλήθει'] ἡ ἀλήθει' vel ἡ ἀλήθεια (sic M) libri. v. 3 σύγγνωστον M, συγγνωτὸν malim.

327

οὔτε γὰρ γάμον, ὦ φίλαι,
οὔτ' ἂν ὄλβον ἔκμετρον
ἔνδον εὐξαίμαν ἔχειν·
φθονεραὶ γὰρ ὁδοί.

Stob. Flor. 38, 26: Σοφοκλέους Κρέουσα (in fabulae nomine α in η corr. S pr. m.). 'οὔτε — ὁδοί'. v. 1 chori notam praemittit S. ὦ delendum suspicor. φίλαι SMA, φίλε Tr. v. 3 εὔξαιμ' ἂν libri, εὐξαίμαν Seidler.

328

καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,
ὧδ' ἀντέχεσθαι. καὶ γὰρ οἱ μακρὸν βίον

θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
ἀπρὶξ ἔχονται, κἄστι πρὸς τὰ χρήματα
θνητοῖσι τἄλλα δεύτερ'· εἰσὶ δ' οἵτινες 5
αἰνοῦσιν ἄνοσον ἄνδρ'· ἐμοὶ δ' οὐδεὶς δοκεῖ
εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.

Stob. Flor. 91, 28: *Σοφοκλέους Κρέουσα.* '*καὶ μή — νοσεῖν*'. v. 2 *μακρὸν βίον*] *πλοῦτον βαθὺν* expectes. v. 3 *τοὐπικερδαίνειν* coni. Meineke. v. 4 *ἀπρὶξ* M. *κἔστι* MA. *χρήσιμα* A. v. 6 *αἴνουσιν* M. *ἄνδρ'* A, *ἀνδ'* SM. v. 7 *ὢν ἄνουσος* S. Euripidis hos esse versus et Sophoclis locum excidisse coni. Meineke.

329

κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι,
λῷστον δὲ ⟨τὸ⟩ ζῆν ἄνοσον, ἥδιστον δ' ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν.

Stob. Flor. 103, 15: *Σοφοκλέους Κρεούσης* (sic MA, *Κρεούσης* om. S). '*κάλλιστον — ἡμέραν*'. v. 2 *λῷστον δὲ τὸ ζῆν* B, *λώιστον δὲ ζῆν* SMA (in S *ζ* corr. pr. m. ex *ν*), *λῷστον δ' ἀεὶ ζῆν* vel *λῷστον δὲ ναίειν* scripserim. Sophocli Bernhardy *Grundr. der Griech. Litt.* ed. tert. II, 2 p. 335 abrogat hos versus tanquam desumptos ex Theogn. 255 sq.: *κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν, πρῆγμα δὲ τερπνότατον τοῦ τις ἐρᾷ τὸ τυχεῖν.* cum extremis verbis *ἥδιστον δ' ὅτῳ κτέ.* cf. Stob. Flor. 5, 123: *Μενέδημος νεανίσκου τινὸς εἰπόντος* '*μέγα ἐστὶ* (malim *μέγιστον* cum Laert. Diog. 2, 136) *τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ*' *εἶπε* '*πολλῷ μεῖζόν ἐστι τὸ μηδὲ ἐπιθυμεῖν ὧν μὴ δεῖ*'. v. 3 *τυχεῖν πάρεστιν* pro *πάρεστι λῆψις* scribendum videtur.

330

ἄπελθ' ἄπελθε, παῖ· τάδ' οὐκ ἀκουστά ⟨σοι⟩.

Anecd. Bekk. p. 373, 6: *ἀκουστά· ὡς* (*Σοφοκλῆς* addit Dindorf) *ἐν τῇ* (*τῷ* cod.) *Κρεούσῃ* '*ἄπελθ' — οὐκ ἀκουστά*'. *καὶ Εὐριπίδης δὲ πολλάκις· ὁ μέντοι Σοφοκλῆς* (*καὶ* addit Ellendt) *ἀκούσιμα φησί. πολιτικώτερον δὲ λέγει ὁ Φρύνιχος τὸ ἀκουστά μᾶλλον ἢ τὸ ἀκούσιμα.* verba *ἐν τῇ Κρεούσῃ — ἀκουστά* loco suo mota post *Σοφοκλῆς ἀκούσιμα φησί* transponenda esse et pro *τάδ' οὐκ ἀκουστά* scribendum esse *τάδ' οὐκ ἀκούσιμα* coni. Bergk. *σοι* addidit Bekker.

331

ἀνέκτημαι

Hesych. 1 p. 193: *ἀνέκτημαι· ἀνείληφα. Σοφοκλῆς Κρεούσῃ* (*κρεοῦσιν* cod.).

332

ἰσοθάνατον

Pollux 6, 174: *ἐκ δὲ τοῦ ΙΣΟ ἰσόνομος ἰσοτελής —. τὸ δ' ἰσοθάνατον Σοφοκλέους εἰπόντος ἐν Κρεούσῃ οὐ πάνυ ἀνεκτόν.*

ΚΡΙΣΙΣ ΣΑΤΥΡΙΚΗ

Videtur Paridis iudicium intellegendum esse. sed fides tituli uno nititur fr. 333; nam Athenaei libri (fr. 334) *Κρησί* praebent, sicut *Σοφοκλῆς Κρησίν* laudatur apud Hesych. v. *βυδοί*, quem locum ad Acrisium rettulimus (fr. 57).

333

καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι.

Herod. *περὶ διχρ.* in Anecd. Oxon. vol. 3 p. 295, 10: *τὸ φάρος συστέλλον τὸ Α, ὡς παρὰ Σοφοκλεῖ ἐν Κρίσει σατυρικῇ 'καὶ — καλύπτομαι'.* eadem fere Grammaticus Herm. p. 444. titulus fabulae lacuna interceptus est in Herod. *π. μον. λέξ.* p. 36, 24: *κατὰ συστολὴν παρὰ Σοφοκλεῖ ἐν Τηρεῖ 'σπεύδουσαν αὐτήν, ἐν δὲ ποικίλῳ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι'. τῷδ' ὡς ἔχω* coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 258.

334

Ath. XV p. 687 C: *Σοφοκλῆς δ' ὁ ποιητὴς ἐν Κρησὶ* (*Κρίσει* Tyrwhitt) *τῷ δράματι τὴν μὲν Ἀφροδίτην ἡδονήν τινα οὖσαν δαίμονα μύρῳ τε ἀλειφομένην παράγει καὶ κατοπτριζομένην, τὴν δ' Ἀθηνᾶν φρόνησιν οὖσαν καὶ νοῦν, ἔτι δ' ἀρετὴν ἐλαίῳ χριομένην* (ita pro *χρωμένην* leg.) *καὶ γυμναζομένην.*

ΚΩΦΟΙ ΣΑΤΥΡΟΙ

335

Schol. Nic. Ther. 343: *Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς ἀνθρώποις δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν οὐ καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν. ἐφ' οἷς τὸν Δία φασὶν ἐπαινέσαντα φάρμακον αὐτοῖς ἀγηρασίας δοῦναι, τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν ἐπ' ὄνου, τὸν δὲ δίψει τειρόμενον ἐλθεῖν εἰς κρήνην ἣν ἐφύλασσεν ὄφις, καὶ τοῦ ποτοῦ ὀρεγόμενος ἀπέδοτο τοῦ γήρως τὸ φάρμακον. διὸ πάντας μὲν τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτὸν ἀποδυομένους τὸ γῆρας, τὸν δ' ὄφιν τὸν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος, ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖν δίψαν. ἔστι δ' ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς.* eandem fabulam refert Aelianus N. A. 6, 51 haec addens: *τί οὖν; ἐγὼ τοῦ μύθου ποιητής; ἀλλ' οὐκ ἂν εἴποιμι· ἐπεὶ καὶ πρὸ*

ἐμοῦ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς καὶ Δεινόλοχος ὁ ἀνταγωνιστὴς Ἐπιχάρμου καὶ Ἴβυκος ὁ Ῥηγῖνος καὶ Ἀριστέας καὶ Ἀπολλοφάνης ποιηταὶ κωμῳδίας ᾄδουσιν αὐτόν.

336

. . *κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος*

Schol. Ap. Rhod. 1, 972: *λέγεται δὲ ἴουλος καὶ ζῷόν τι, θηρίδιον πολύπουν — Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς σατύροις 'κυλισθεὶς — ἰσόσπριος'.* cf. Hesych. 3 p. 209: *ὄνοσις ὄσπριον* (*ὄνος ἰσόσπριος* Salmasius)· *ἔστι δὲ ζῷον πολύπουν ὀσπρίῳ ὅμοιον, ὃ καὶ ἴουλόν τινες φασίν.* Phot. Lex. p. 337, 17: *ὄνος ἰσόσπριος* (*ὄνοσις ὄσπριος* cod.)· *ζῷον πολύπουν σκωληκῶδες, ὃ συνειληθὲν ὅμοιον κνάμῳ φαίνεται.*

337

Schol. Ap. Rhod. 1, 1126: *Σοφοκλῆς δὲ αὐτοὺς* (Idaeos Dactylos) *Φρύγας καλεῖ ἐν Κωφοῖς σατύροις.* Zenob. 4, 80: *Κέλμις ἐν σιδήρῳ· αὕτη τάττεται ἐπὶ τῶν σφόδρα ἑαυτοῖς πιστευσάντων —. Κέλμις γὰρ εἷς τῶν Ἰδαίων Δακτύλων τὴν μητέρα Ῥέαν ὑβρίσας καὶ μὴ ὑποδεξάμενος ὑπὸ τῶν ἀδελφῶν εὐμενῶς ἐν τῇ Ἴδῃ, ἀφ' οὗ ὁ στερεώτατος ἐγένετο σίδηρος. μέμνηται τῆς ἱστορίας Σοφοκλῆς ἐν* (adde *Κωφοῖς* cum Prov. cod. Ath. in Milleri *Mél. de litt. gr.* p. 370) *σατύροις.* ubi verba *ὑπὸ τῶν ἀδελφῶν — σίδηρος* corrupta sunt aut lacunosa. Strab. X p. 473: *Δακτύλους δ' Ἰδαίους φασί τινες κεκλῆσθαι τοὺς πρώτους οἰκήτορας τῆς κατὰ τὴν Ἴδην ὑπωρείας· — Σοφοκλῆς δὲ οἴεται πέντε τοὺς πρώτους ἄρσενας γενέσθαι, οἳ σίδηρόν τε ἐξεῦρον καὶ εἰργάσαντο πρῶτοι καὶ ἄλλα πολλὰ τῶν πρὸς τὸν βίον χρησίμων, πέντε δὲ καὶ ἀδελφὰς τούτων, ἀπὸ δὲ τοῦ ἀριθμοῦ Δακτύλους κληθῆναι. ἄλλοι δ' ἄλλως μυθεύουσιν —. πάντες δὲ καὶ γόητας ὑπειλήφασι καὶ περὶ τὴν μητέρα τῶν θεῶν καὶ ἐν Φρυγίᾳ ᾠκηκότας περὶ τὴν Ἴδην, Φρυγίαν τὴν Τρῳάδα καλοῦντες.*

ΛΑΚΑΙΝΑΙ

Argumentum fabulae e parva Iliade ductum testatur Aristot. Poet. 23 p. 1459 b 6: *τοιγὰρ οὖν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαί, καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες.* Lacaenas mulieres, quae chorum effecerint, probabiliter intellegunt Helenae comites. videtur propositus fuisse raptus Palladii ab Vlixe et Diomede perpetratus, de quo cf. Procl. Chrestom. ed. Gaisf. p. 460 Schol. B Il. Z 311 al. fortasse huius fabulae est fr. 871.

338

στενὴν δ' ἔδυμεν ψαλίδα κοὐκ ἀβόρβορον.

Pollux 9, 49: ἔστι δὲ ἡ ψαλὶς εἶδος οἰκοδομήματος, ᾗ που καὶ Σοφοκλῆς ἐν Λακαίναις λέγει 'στενὴν — ἀβάρβαρον'. ἀβόρβορον pro ἀβάρβαρον Blomfield, cf. Servius in Verg. A. 2, 166: *Diomedes et Vlixes, ut alii dicunt, cuniculis, ut alii, cloacis ascenderunt arcem et occisis custodibus sustulere simulacrum.*

339

θεοὶ γὰρ οὔποτ', εἴ τι χρὴ βροτὸν λέγειν,
ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείων ὕβριν
ξυναινέσονται· ταῦτα μὴ μάχου βίᾳ.

Priscianus Inst. XVIII 197 vol. 2 p. 302, 15: *Attici* ἄρχω τοῦδε καὶ τόδε, ἐπὶ τοῦ κατάρχω. *Sophocles* Λακαίναις 'θεοὶ — βίᾳ'. v. 2 κατ' Ἀργείων coni. Ellendt Lex. Soph. 1 p. 927, κατ' Ἀργείους libri. v. 3 ΞΥΝΑΙΝЄCŌΤΑΤΑΥΤΑ VR, συναινέσονται· ταῦτα Madvig Philol. 1 p. 671 sq.

340

ἐν ᾗ παύσετ' ἀμερῶν μόχθων τε καὶ δανοτῆτος

Herod. π. μον. λέξ. p. 40, 12: τὸ μέντοι παρὰ Σοφοκλεῖ ἐν Λακαίναις δανοτής εἰρημένον (εἰρημένος cod., cf. Egenolff in Mus. Rhen. 35 p. 104), 'ἐν ᾗ — δανοτῆτος', ὑγιῶς ἂν ἔχοι εἰ παρ' ὄνομα σχηματισθείη. nec δανοτής nomen aliunde cognitum est nec verba Sophoclea possumus restituere. ἐν ᾗ] ἐν ᾧ coni. Lehrs, ἤδη Herwerden Exerc. crit. p. 12. παύσετ'] παύσεσθ' Lobeck in Buttmanni Gramm. 2 p. 419, παύσεται Bergk, παύσαιτ' Dindorf. ἀμερίων ed., ἀργαλέων Lobeck, ἀμερῶν cod., ἀμέτρων malim. μόχθων τε καὶ] μόχθων τότε καὶ Lobeck, μόχθων καὶ Herwerden. δανοτῆτος] δανότητος Lehrs, πλανότητος Lobeck, ἀδρανότητος Bergk, δαϊοτῆτος Duentzer et Herwerden.

ΛΑΟΚΟΩΝ

De mytho docte et sagaciter disputavit C. Robert *Bild und Lied* p. 192 sqq. Sophocleae fabulae argumentum iis contineri videtur quae ex Arctino tradit Proclus Chrestom. ed. Gaisf. p. 460 sq.: τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται (sc. οἱ Τρῶες) ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. ἐν αὐτῷ δὲ δύο δράκοντες ἐπιφανέντες τὸν Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν· ἐπὶ δὲ τῷ τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην.

341

λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ
σμύρνης σταλαγμούς, βαρβάρους εὐοσμίας.

Harpocr. p. 5, 1: *ἀγυιᾶς — εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὥς φασι Κρατῖνος καὶ Μένανδρος. καὶ Σοφοκλῆς ἐν τῷ Λαοκόωντι* (libri plerique *λακώων* vel *λακόων* vel *λακώνων*, *λαοκόωντι* ut videtur Palat.) *μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησί 'λάμπει — εὐοσμίας'.* similiter Anecd. Bekk. p. 332, 6 Suidas v. *ἀγυιαί* Zon. Lex. v. *ἀγυιᾶς* p. 20, qui fabulae nomen omittunt. cf. Hesych. 1 p. 35: *ἀγυιεύς· ὁ πρὸ τῶν θυρῶν ἑστὼς βωμὸς ἐν σχήματι κίονος.* v. 2 *σταλαγμοῖς βαρβάρους* Harpocrationis libri fere omnes.

342

Πόσειδον, ὃς Αἰγαίου μέδεις
πρῶνας ἢ γλαυκᾶς μέδεις
εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι στομάτων.

Ar. Ran. 665: ΔΙΟΝ. *Πόσειδον.* ΞΑΝΘ. *ἤλγησέν τις.* ΔΙΟΝ. *ὃς Αἰγαίου πρῶνας ἢ γλαυκᾶς μέδεις ἁλὸς ἐν βένθεσιν.* ubi Scholia: *παρὰ τὸ Σοφοκλέους ἐκ Λαοκόωντος 'Πόσειδον — στομάτων'.* v. 1 *ὃς Αἰγαίους ἔχεις* Bergk, *ὃς Αἰγαίου νέμεις* Fritzsche in Ar. Ran. p. 259. v. 2 *γλυκᾶς* V. *μεδέεις* V Θ. v. 3 *εὐανέμους* V. *σπιλάδεσι* V Θ. *στομάτων* corruptum, *ἐπωπῶν* coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 547, *θοάζων* H. Henning, *πολεύων* Herwerden Exerc. crit. p. 13, *σκοπέλων* Kock Veri sim. p. 165 sq.

343

Servius in Verg. A. 2, 204 de anguibus qui Laocoontem petunt: *horum sane draconum nomina Sophocles in Laocoonte dicit.* quae nomina significentur hoc loco nescimus, fortasse *Πόρκης* et *Χαρίβοια* (cf. C. Keilii Anal. epigr. p. 191 n.). utique vero incredibile est anguium nomina ab Sophocle esse commemorata. cf. quae diximus in Aesch. fr. 376.

344

νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ
πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων κεραυνίου
νῶτον καταστάζοντα βύσσινον φάρος,
κύκλῳ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν·

συνοπάζεται δὲ πλῆθος οὐχ ὅσον δοκεῖς, 5
οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας Φρυγῶν.

Dionys. Hal. 1, 48 p. 121: *Σοφοκλῆς μὲν ὁ τραγῳδοποιὸς ἐν Λαοκόωντι δράματι μελλούσης ἁλίσκεσθαι τῆς πόλεως πεποίηκε τὸν Αἰνείαν ἀνασκευαζόμενον εἰς τὴν Ἴδην, κελευσθέντα ὑπὸ τοῦ πατρὸς Ἀγχίσου κατὰ τὴν μνήμην ὧν Ἀφροδίτη ἐπέσκηψε, καὶ ἀπὸ τῶν νεωστὶ γενομένων περὶ τοὺς Λαοκοωντίδας σημείων τὸν μέλλοντα ὄλεθρον τῆς πόλεως συντεκμηραμένου. ἔχει δὲ αὐτῷ τὰ ἰαμβεῖα ἐν ἀγγέλου* (*ἀγγέλωι* B, *ἄλλῳ* vulgo, corr. Kiessling) *προσώπῳ λεγόμενα ὧδε* '*νῦν δ' — Φρυγῶν*'.' cf. Procli locus p. 211 allatus. v. 1 *Αἰνείας* libri. v. 2 *κεραύνιον* coni. Reiske. v. 3 om. p. et fab. nom. affert Plut. de virtute et vitio c. 2 p. 100 D: *τοῦ δὲ Ἀγχίσου τὸ σῶμα ἰχῶρα πονηρὸν ἐξεδίδου* '*νώτου — φάρος*'. v. 4 *κυκλεῖ* vulgo, *κυκλοῖ* B, *κύκλῳ* Reiske. *παμπληθίαν*] *παγκληρίαν* coni. Bergk, ego *παμπησίαν* malim. v. 5 *συνοπάζεται*] *συμπλάζεται* meliores libri. *δὲ*] *γὰρ* Bergk. *πλῆθος οὐχ ὅσον*] *πλῆθός οἱ πόσον* Herwerden Exerc. crit. p. 12. v. 5 sq. *δοκεῖ σοι* libri, *δοκεῖς οἳ* Reiske. v. 6 *τῆσδ'* A, *τοῖσδ'* ceteri libri.

345

πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς.

Stob. Flor. 29, 38: *Σοφοκλέους Λαοκόωντος* (sic MA, *τοῦ αὐτοῦ* S). '*πόνου — γλυκεῖς*'. *μεταλλαγχθέντος* A. *κόπου μεταλλαχθέντος* coni. Ellendt Lex. Soph. vol. 2 p. 89, *μόχθου δ' ἀπαλλαχθέντος* Meineke in Stob. Flor. vol. 4 p. LXIII, ego *πότμου μεταβληθέντος* temptabam. *οἱ λόγοι γλυκεῖς* vel *ἡ μνήμη γλυκύ* coni. Dobree Adv. 2 p. 358, *οἱ γόοι γλυκεῖς* Gomperz *Nachkl.* p. 7.

346

μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.

Stob. Flor. 29, 37: *Σοφοκλέους Λαοκόωντος* (sic S, eclogam om. MA). '*μόχθου — λόγος.*' *μόχθου*] *πόνου* coni. Meineke in Stob. Flor. vol. 4 p. LXIII.

347

καταρράκτης

Hesych. 2 p. 432: *καταράκτης* (*καταρράκτης* Musurus)· *ὀχετός, ῥύαξ. καὶ ὁ ἀετός. Σοφοκλῆς Λαοκόωντι* (*λαοκόοντι* cod.). *καὶ τὰς ἁρπυίας ἐν Φινεῖ* (*καὶ ταρπυίας ἐν φίνῃ* cod.).

ΛΑΡΙΣΑΙΟΙ

De argumento cf. Schol. Ap. Rh. 4, 1091: *αὐτὸς δὲ* (Perseus) *ἔβη εἰς Λάρισσαν καὶ ἀφικόμενος Ἀκρίσιον ἀναγνωρίζει καὶ σὺν αὐτῷ*

ἕπεσθαι εἰς Ἄργος πείθει. καὶ ὅτε δὴ ἔμελλον ἰέναι, συντυγχάνει ἀγῶνι νέων ἐν τῇ Λαρίσσῃ, καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα καὶ λαβὼν τὸν δίσκον δισκεύει. — ὁ δὲ δίσκος τροχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου τιτρώσκει αὐτόν· καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ καὶ αὐτὸν κατατίθεται Περσεὺς καὶ οἱ Λαρισσαῖοι πρόσθεν τῆς πόλεως, καὶ αὐτοῦ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι. similiter Apollod. 2, 4, 4. ceterum cf. quae de Acrisio annotavimus p. 143.

348

πολὺν δ' ἀγῶνα πάγξενον κηρύσσεται,
χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν
καὶ κοῖλα χρυσόκολλα καὶ πανάργυρα
ἐκπώματ', εἰς ἀριθμὸν ἑξήκοντα δίς.

Ath. XI p. 466 B: ὁ δὲ παρὰ Σοφοκλεῖ ἐν τοῖς Λαρισαίοις Ἀκρίσιος καὶ αὐτὸς ἐκπώματα ὅσα πλεῖστα εἶχεν, ὥς φησιν ὁ τραγικός 'πολὺν δ' — δίς'. v. 1 πάγξενα κηρύσσεται libri, πάγξεν' ἀνακηρύσσεται Bothe, πάγξενον κ. Guil. Schneider. v. 3 et 4 ex Athenaeo repetiit Eust. Il. p. 1319, 48.

349

καί μοι τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ
ἀγχοῦ προσῆψεν Ἔλατος ἐν δισκήματι.

Stephanus Byz. p. 257, 4: Δώτιον, πόλις Θεσσαλίας — ὁ πολίτης Δωτιεύς. Σοφοκλῆς Λαρισαίοις 'καί μοι — δισκήματι'. v. 2 προσῆψεν] προσῇξεν scribendum suspicor. ἐλα.ος codex extrita litera quae Montefalconio τ esse videbatur, ἐλαφρὸς olim ed., Ἔλατος restituit Bergk.

350

μηδὲ τῷ τεθνηκότι
τὸν ζῶντ' ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον

Stob. Flor. 125, 11: Σοφοκλέους Λαρισσαίων. 'μηδὲ — θανούμενον'. v. 1 μηδὲ] χρὴ δὲ Gesner. contra ἐπαυχεῖν v. 2 coni. Tyrwhitt.

351

ὡς καὶ τύραννον πᾶς ἐπεύξεται φυγεῖν.

Hesych. 4 p. 336: ὥς — Σοφοκλῆς δὲ Λαρισσαίοις ἀντὶ τοῦ λίαν. 'ὡς καὶ τύραννι πᾶς ἐγγίζεται φυγεῖν.' ita editur, de codicis scriptura non constat. τύραννον Brunck. ἐγγίζεται] ἐφίεται Grotius, ἐπεύξεται ego temptavi, ἐθίζεται Meineke Philol. 19 p. 720. alias

emendandi vias inierunt M. Schmidt Philol. 8 p. 112 et F. G. Schmidt *Krit. Stud.* 1 p. 26.

352

Κρανειάτης

Stephanus Byz. p. 381, 14: *Κράνεια, χωρίον Ἀμβρακιωτῶν — τὸ ἐθνικὸν Κρανειάτης ὡς Μαλειάτης* (*μαρειάτης* libri), *ὡς φησὶ Σοφοκλῆς Λαρισαίοις* (*λαρισαῖος* libri).

ΛΗΜΝΙΑΙ

Lemniae mulieres ab virorum caede recentes Argonautarum adventu sollicitantur, quos primum armorum vi arcere student, deinde hospitio excipiunt. Schol. Ap. Rhod. 1, 769: *ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις, Ἡρόδωρος ἱστορεῖ ἐν τοῖς Ἀργοναυτικοῖς. — Σοφοκλῆς δὲ ἐν ταῖς Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτοὺς συνάψαι φησίν.* fabulae duas extitisse editiones indicat Stephanus Byz. v. *Δώτιον* (fr. 354).

353

ὦ Λῆμνε Χρύσης τ' ἀγχιτέρμονες πάγοι

Stephanus Byz. p. 696, 16: *Χρύση, βαρυτόνως, ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σοφοκλῆς Λημνίαις ' ὦ — πάγοι'. Χρύσης*] *χρύσις* R.

354

Φερητίδης τ' Ἄδμητος ἠδ' ὁ Δωτιεὺς
Λαπίθης Κόρωνος

Stephanus Byz. p. 257, 5: *Δώτιον, πόλις Θεσσαλίας — ὁ πολίτης Δωτιεύς. Σοφοκλῆς Λαρισαίοις — καὶ ἐν Λημνίαις προτέραις ' Φερητίδης — Κόρωνος'.* verba petita sunt ex recensu Argonautarum, cf. Schol. Pind. Pyth. 4, 303: *πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος καὶ Αἰσχύλος ἐν Καβείροις.*

355

ἄπλατον ἀξύμβλητον ἐξεθρεψάμην

Anecd. Bekk. p. 413, 14 et Etym. M. codex Voss. p. 327 C Gaisf.: *ἀξύμβλητον· ὥστε μηδενὶ ἀπαντῆσαι. Σοφοκλῆς ' ἄπλαστον ἀξύμβλητον ἐξεθρεψάμην* (*ἐξεθρ.* om. Etym. Voss)'. eadem fere Eust. Od. p. 1405, 58. fabulam indicat Hesych. 1 p. 221: *ἀξύμβλητον* (*ἀξύβλητον* cod.)· *ὃ μηδενὶ ἀπαντᾶν* (*ἀπαντᾷ ἢ* cod.) *δυνατόν, ἢ ἀσυνάντητον. Σοφοκλῆς Λημνίαις.* pro *ἄπλαστον* Bergk *ἄπλατον* reposuit, *ἀπέλαστον* coni. Meineke.

356

ταχὺ δ' αὐτὸ δείξει τοὔργον ὡς ἐγὼ σαφῶς

Schol. Plat. p. 965 b 14: *παροιμία, αὐτὸ δείξει, ἐπὶ τῶν ἀπιστούντων τι μὴ γενέσθαι. — μέμνηται δὲ αὐτῆς καὶ Σοφοκλῆς ἐν Λημνίαις οὕτως* '*ταχὺ — σαφῶς*'. *τάχ' αὐτὸ* coni. Meineke. *ὡς λέγω, σαφῶς* Burges in Eur. Tro. 304 p. 31, *ὡς ἐγὼ σοφός* Boissonade, *ὡς ἐγὼ σαφής* Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 18, *ὡς ἔχει, σαφῶς* Herwerden Exerc. crit. p. 17, *ὡς ἔχω, σαφῶς* Wecklein Art. Soph. em. p. 53, *ὡς δοκῶ, σαφῶς* Meineke.

357

ἀσάλπικτον ὥραν

Hesych. 1 p. 296: *ἀσάλπικτον ὥραν· τὸ μεσονύκτιον. ἑσπέρας γὰρ καὶ ὄρθρου ἐσάλπιζον. Σοφοκλῆς Λημνίαις.* Anecd. Bekk. p. 450, 26: *ἀσάλπιγκτον ὥραν· τὸ μεσονύκτιον. οὕτω Σοφοκλῆς. ἀσάλπικτον* formam probat L. Dindorf Thes. Gr. L. 7 p. 45 A.

ΜΑΝΤΕΙΣ Η ΠΟΛΥΙΔΟΣ

De Polyido fabulam egisse docent fr. 358 et 359. hinc *Μάντεις* et *Πολύιδος* titulis idem drama significari statuit Brunck, quod eo probabilius est, cum fr. 363 a Bergkio huc relatum Polyidi historiam ab Sophocle tractatam demonstret. argumentum igitur fabulae fuerit Glaucus a Polyido in vitam revocatus (cf. Hygin. fab. 136, quem locum in Eurip. Polyido afferemus).

358

ὁρῶ πρόχειρον Πολυίδου τοῦ μάντεως

Etym. Paris. post Etym. Gud. p. 1011 (p. 1921 B Gaisf.) et Cyrill. in Anecd. Paris. vol. 4 p. 188, 29 sive Etym. Gud. p. 474, 27: *Πολύιδος οὕτω καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει* (*ὑπὸ Ἀριστοφάνους* Anecd. Paris.)· *μαρτυρεῖ δὲ καὶ Φιλόξενος. καὶ Σοφοκλῆς δ' ἐν Μάντεσι συνέστειλεν* '*ὁρῶ — μάντεως*', *καὶ πάλιν* '*οὐκ ἔστιν εἰ μὴ Πολυίδῳ τῷ Κοιράνου*'. cf. Etym. M. p. 681, 25: *Πολύειδος — ἐν ἄλλοις δὲ διὰ τοῦ Ι συνεσταλμένον, ὡς παρὰ Σοφοκλεῖ* '*ὁρῶ — μάντεως*', *καὶ πάλιν ὁ αὐτός* (*ὁ αὐτός* om. F) '*οὐκ ἔστιν εἰ μὴ Πολυίδῳ τῷ κοιράνῳ*'. *Χοιροβοσκός. πρόχειρον*] *πρὸ χειρῶν* Etym. M., ubi tamen *προχείρων* M. *Πολυίδου*] *πολυίδ*ος M.

359

οὐκ ἔστιν εἰ μὴ Πολυίδῳ τῷ Κοιράνου

Etym. Paris. ceterique grammatici, quos fr. 358 attulimus.

Πολυΐδῳ] *πολυΐδων* Cyrill., *πολυΐδην* Etym. Gud. et Paris. *τῷ κοιράνῳ* Etym. Paris., quae verba ceteris locis varias corruptelas subierunt, *τῷ Κοιράνου* Welcker, quam suspicionem confirmat scriptura codicum quorundam in Etym. ed. Gaisf. *τῶ κοινϊνάχου* vel *ἶ κοιϊνάνου*.

360

ψυχῆς ἀνοῖξαι τὴν κεκλῃμένην πύλην

Anecd. Oxon. vol. 1 p. 226, 8: *κλείω, ὅπερ οἱ Ἴωνες κλήω διὰ τοῦ Η καὶ Θουκυδίδης καὶ τραγικοί. καὶ Σοφοκλῆς ἐν Μάντεσι* '*ψυχῆς — πύλην*'. *οἱ κωμικοὶ δὲ διὰ διφθόγγου. κεκλισμένην* ed. Cramer, *κεκλῃμένην* in codice legi testatur Ludwich *Aristarchs Hom. Textkritik* 2 p. 656.

361

ξανθὸς Φαμενὸς Τειρεσίου παῖς

Herod. *π. μον. λέξ.* p. 8, 35 de nominibus in *ΝΟΣ* oxytonis: *Φαμενός. Σοφοκλῆς Μάντεσι* (*μάντεσσι* codex) '*ξανθὰς — παῖς*'. *ξουθὸς* ed. pr., *ξανθὸς* Bergk de comoed. ant. p. 129, *ξυνετὸς* Lehrs, *ξανθὰς* codex teste Petro Egenolff (v. Mus. Rhen. 35 p. 100). fortasse *Ξάνθης Φαμενὸς* ⟨*καὶ*⟩ *Τειρεσίου* leg., cf. Schol. Eur. Phoen. 834: *Πείσανδρος ἱστορεῖ ὅτι Ξάνθῃ Τειρεσίᾳ γαμηθεῖσα ἐποίησε παῖδας τέσσαρας, φαινέηφερ σεκέρδην* (*Φαμενὸν Φρασικέρδην*?) *Χλῶριν Μαντώ*.

362

τὰς μαλλοδέτας κύστεις

Schol. Eur. Phoen. 1256: *τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ καὶ ἐτήρουν πῶς ῥαγήσεται —. Σοφοκλῆς ἐν Μάντεσι* '*τὰς μ. κ.*' *μαλλοδέτας* AM, *μαλλοδετεῖς* B, *μαλλοδέτους* Valckenaer.

363

πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν,
ἔπειτα φοινίξαντα γογγύλον μόρον,
ἔπειτα γῆρας λαμβάνει σφ᾽ Αἰγύπτιον.

Anecd. Bekk. p. 361, 20: *Αἰγύπτιον γῆρας·* '*πρῶτον — Αἰγύπτιον*'. *Σοφοκλῆς*. Ath. II p. 51 D: *μόρα δὲ τὰ συκάμινα — Σοφοκλῆς* '*πρῶτον — μόρον*' (v. 1 et 2). cf. Eust. Il. p. 835, 9: *διγενὲς καὶ τὸ μόρον. καὶ ἀρσενικὸν μὲν αὐτοῦ ἐν τῷ* '*πρῶτον — μόρον*', *ὃ δηλοῖ συκαμίνου καρπόν*. v. 1 *μὲν* om. Anecd. Bekk. *ἀνθοῦντα* om. Eust. v. 2 *γογγύλων* Anecd. Bekk., *στρογγύλον* Eust. probabiliter M. Schmidt huc refert Hesych. 1 p. 439: *γογγύλον· στρογ-*

γύλον, σκληρόν, et γόγγων· μωρός. v. 3 ἔπειτα ex versu 2 repetitum, τέλος δὲ ego olim proposui, rectius πέπονα δὲ coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 258. λαμβάνει σφ' Herwerden Mnem. nov. 6 p. 281, λαμβάνεις cod. locum huc rettulit Bergk coll. Hygin. fab. 136: *Polyidus Cocrani filius Bizanti* (*Abantidae* coni. Friebel, *dubitantibus* M. Schmidt) *monstrum demonstravit; eum arbori* (*rubi* coni. Muncker, *colore* M. Schmidt) *moro similem esse; nam primum album est, deinde rubrum, cum permaturuit nigrum.*

364

τοὺς γλαμυροὺς κατὰ φορβάν

Schol. Ar. Ran. 588: γλάμων] — ἄλλοι δὲ τὸν λημῶντα καὶ δίυγρον τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν Μάντεσιν (μάντεσσιν R) ἐπί τινων ὀρνέων 'τοὺς — φορβάν'. κατὰ φορβάν] καταφορβᾶν R. cf. Suidas (quicum fere consentit Zon. Lex. p. 438): γλάμων· ὁ ἀκάθαρτος. καὶ Σοφοκλῆς ἐπὶ ὀρνέου 'τοὺς — φορβάν'.

365

οὔτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.

Stob. Flor. 29, 25: Σοφοκλέους Μάντεων. 'οὔτοι — πόνου.' ἥξει corruptum, coniecturae multae prolatae sunt, velut οὔτοι γ' ἐφίξει suasit Valckenaer in Eur. Phoen. p. 217, οὐδέποτ' ἐφίξει Cobet N. L. p. 295, οὔτοι καθίξει Bamberger Opusc. p. 163, οὔτοι ποθ' ἕξει Reisig, οὔτοι ποθ' ἅψει O. Schneider. qui in Stobaeo accedit versus, μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν, Euripidis est ex Telepho petitus (fr. 701).

366

ἦν μὲν γὰρ οἰὸς μαλλός, ἦν δ' ἀμπέλου
σπονδή τε καὶ ῥὰξ εὖ τεθησαυρισμένη·
ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὀλαῖς
λίπος τ' ἐλαίας καὶ τὸ ποικιλώτατον
ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον. 5

Clemens Alex. Strom. IV p. 565: κατὰ τὴν παλαιὰν ἐκείνην ἀπηνθισμένην προσφοράν, περὶ ἧς ὁ Σοφοκλῆς γράφει 'ἦν — ὄργανον'. Porphyr. de abst. 2, 19: καὶ Σοφοκλῆς διαγράφων τὴν θεοφιλῆ θυσίαν φησὶν ἐν τῷ Πολυείδῳ 'ἦν μὲν — ὄργανον'. Schol. Eur. Phoen. 114: ὀργάνοις δὲ τοῖς ἔργοις, — καὶ (l. ὡς) Σοφοκλῆς 'ξουθοῦ — ὄργανον' (v. 5). v. 1 ἦν δ' ἀμπέλου Porph., ἦν δ' ἀμπέλων Clem., ἦν δὲ κἀμπέλων Sylburg, ἦν δὲ κἀμπέλου Grotius, ego ἦν δ' εὐάμπελος vel ἦν δὲ Βακχίου malim. v. 2 ἐντεθησαυ-

ρισμένη Casaubonus. v. 3 *παγκαρπία* Clem., cf. Hesych. 3 p. 266: *πανκαρπία· πανσπερμία. ὀλαῖς* Brunck, *ὅλαις* Clem., *ὅλαις* vel *ὅλαις* Porphyrii libri. v. 4 *ἐλαίου* Clem. v. 5 *ξουθῆς*] *ξανθῆς* Clem., *ξουθοῦ* vel *ξοῦφον* Schol. Eur.

367

ὁ πρόσθεν ἐλθὼν ἦν ἀραῖός μοι νέκυς.

Hesych. 1 p. 269: *ἀραῖον* (*ἀραιόν* cod.)· *κατάρατον, ὡς* (*ἢ* cod.) '*ὁ πρόσθεν ἐλθὼν ἠνάραιός μοι νέκυς*'. *οἷον ἀρὰν προσετρίβετο καὶ κατευχήν* (*καὶ κατ' εὐχῆς* vulgo). *Σοφοκλῆς Πολυείδῳ.*

368

ἀνταίας

Hesych. 1 p. 208: *ἀνταίας· πολεμίας, ἐχθρᾶς. Σοφοκλῆς Πολυείδῳ.* cf. fr. 311.

ΜΕΛΕΑΓΡΟΣ

Argumentum Sophocleae fabulae ex verbis Apollodori 1, 8, 3: *οἳ δὲ φασὶν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι κτέ.* repeti vult Preller *Griech. Mythol.* ed. sec. vol. 2 p. 305, cf. Max. Mayer de Eur. mythopoeia p. 77. huc referendum videtur quod tradit Plinius N. H. 37, 40 de electro: *Sophocles — ultra Indiam fieri dixit e lacrimis meleagridum avium Meleagrum deflentium.* Schol. A Il. *I* 575: *ἐντεῦθεν Σοφοκλῆς ἐν τῷ Μελεάγρῳ τὸν χορὸν ἀπὸ ἱερέων παρήγαγεν.* Brunck huic fabulae adscribit fr. 1006.

369

συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύας
ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά.

Lucianus Symp. c. 25 vol. 3 p. 437: *τὸ κατὰ τὸν Οἰνέα ἐννόησον· ὄψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν τοὺς ἄλλους θεοὺς ἑστιῶν. φησὶ δὲ περὶ αὐτῶν — Σοφοκλῆς* '*συὸς — θεά*'. v. 1 *γύας* Cobet Coll. crit. p. 203, *γύαις* libri. ad Meleagrum hos versus rettulit Brunck.

370

ἰξοφόρους δρύας

Hesych. 2 p. 362: *ἰξοφόρους δρύας· τὰς ἰξὸν φερούσας. Σοφοκλῆς Μελεάγρῳ.* Il. *Ξ* 398 *δρυσὶν ἰξοφόροισιν* (pro *ὑψικόμοισιν*) scripsisse Agathoclem tradit Eust. Il. p. 994, 40.

371

κυάμῳ πατρίῳ

Hesych. 2 p. 544, quem locum attulimus fr. 266.

372

ἀντίβοιον

Hesych. 1 p. 212: *ἀντίβοιον· ἰσόβοιον, ἀντὶ βοὸς καθαγιαζόμενον. Σοφοκλῆς Μελεάγρῳ.*

373

ὀπισαμβώ

Prov. Milleri *Mélanges de litt. gr.* p. 369: *ὀπισάμβω· ταύτην ὁ Χρύσιππος τάττει κατὰ τῶν ἐπὶ τὸ χεῖρον ἐν τοῖς πράγμασι προβαινόντων ἀεὶ παρὰ τὸ ὀπίσω βαίνειν· μέμνηται τοῦ ὀνόματος Σοφοκλῆς ἐν Μελεάγρῳ.* similiter om. fabulae nomine Prov. Vat. 3, 36 sive Bodl. 754. cf. Plut. prov. 1, 3: *ὀπισάμβρω· ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἐν τοῖς πράγμασι προβαινόντων ἀεὶ παρὰ τὸ ὀπίσω βαίνειν.* Eust. Il. p. 862, 5: *ἐν δὲ κατὰ στοιχεῖον λεξικῷ καὶ ὀπισαμβὼ εὕρηται ἡ εἰς τοὐπίσω ἀναχώρησις.*

ΜΕΜΝΩΝ v. ΑΙΘΙΟΠΕΣ

ΜΙΝΩΣ

Fabulam ab uno Clemente Alexandrino laudatam coniecerunt eandem esse atque Camicos vel Daedalum; probabiliter, nisi Clementis locus vitium traxit.

374

οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.

Clemens Alex. Strom. VI p. 741: *Σοφοκλέους δὲ ἐν Μίνῳ 'οὐκ — τύχη'.*

ΜΟΥΣΑΙ

Sophoclea fabula *Μοῦσαι* inscripta commemorari videtur in catalogo librorum quem post alios edidit V. Koehler Corp. Inscr. Att. II 992 I 25. unde huc referre possis fr. 380.

ΜΥΚΗΝΑΙΑΙ v. ΑΤΡΕΥΣ

ΜΥΣΟΙ

De Teuthrante Mysiae rege et Telepho (cf. Hygin. fab. 100) drama egisse coni. Welcker, qui eandem fabulam ab Hesychio *Τήλεφον* dici arbitratur. *Μυσοί* Sophocleae ut opinor fabulae titulus est in Corp. Inscr. Att. II 992 I 24. Philodemo de pietate p. 22

(quem locum attulimus p. 136) ⟨*Σοφοκ*⟩[*λ*]*ῆς δ' ἐν Μυσοῖς* reddendum esse censet Wilamowitz-Moellendorff Anal. Eur. p. 161.

375

ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ κἂν βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

Stob. Flor. 26, 4: *τοῦ αὐτοῦ* (sic SA, *Σοφοκλέους* M) *Μυσῶν.* '*ὡς — κακῶν*'. v. 1 *κἂν βραχὺν* Cobet Mnem. 9 p. 116, *καὶ βραχὺν* libri. v. 2 *χρόνων* A.

376

ἄμοχθος γὰρ οὐδείς· ὁ δ' ἥκιστ'
ἔχων μακάρτατος.

Stob. Flor. 98, 23: *Σοφοκλέους Μυσῶν.* '*ἄμοχθος — μακάρτατος.*' v. 1 *ἥκιστα* libri.

377

Ἀσία μὲν ἡ σύμπασα κλῄζεται, ξένε,
πόλις δὲ Μυσῶν Μυσία προσήγορος.

Strab. VIII p. 356 docens *πόλις* nomen de terra a poetis dici: *Σοφοκλῆς δ' ἐν Μυσοῖς* '*Ἀσία — προσήγορος*'. v. 1 *ξένε*] *ξεῖνε* libri fere omnes. v. 2 *Μυσίᾳ* Dindorf.

378

πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε
Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδίᾳ.

Ath. IV p. 183 E: *μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς ἐν μὲν Μυσοῖς οὕτως* '*πολὺς — συγχορδίᾳ*', *καὶ ἐν Θαμύρᾳ.* Ath. XIV p. 635 C: *Σοφοκλῆς ἐν Μυσοῖς* '*πολὺς — συγχορδίᾳ*'. v. 1 *τε* om. altero loco A. v. 2 *Λύδης* priore loco, *αὐδῆς* altero loco A. *ἐφύμνει* altero loco.

379

ψαλίδας, τιάρας καὶ σισυρνώδη στολήν

Pollux 10, 186: *φαίης δ' ἂν καὶ σίσυρναν, Αἰσχύλου μὲν ἐν Κήρυξι σατύροις λέγοντος —, Σοφοκλέους δ' ἐν Μυσοῖς* '*ψαλίδας — στολήν*'. *ψέλλια, τιάρας* coni. Bergk. respicit hunc versum Hesych. 4 p. 34: *σισυρνώδης στολή* (l. *σισυρνώδη στολήν*)· *τὸν ἐκ τῆς σισύρνης στολισμόν.*

380

ἄβολον ἵππον

Antiatt. p. 83, 22: *ἄβολον ἵππον. Σοφοκλῆς Μυσοῖς* (*μούσαις* cod.).

381

ἀφθίτους γνώμας

Hesych. 1 p. 335: *ἀφθίτους γνώμας· ἀμετατρέπτους. Σοφοκλῆς Μυσοῖς.*

382

ἀποβάθρα

Hesych. 1 p. 243: *ἀποβάθρα· ἀποβατηρία, ἢ κλῖμαξ νεώς. Σοφοκλῆς Μυσοῖς.* Anecd. Bekk. p. 426, 18: *ἀποβάθρα· ἀποβατήρια. οὕτω Σοφοκλῆς.*

383

ἀποσύρει

Hesych. 1 p. 259: *ἀποσύρει· ἀποσπᾷ. Σοφοκλῆς Μυσοῖς.* lemma *ἀποδρύφει* ante *ἀποσύρει* excidisse probabiliter coni. M. Schmidt ex Etym. M. p. 127, 19: *ἀποδρύφει* (al. *ἀποδρύφοι*, quae Homerica est glossa)· *ἀποσπᾷ, ἀποσύρει.*

384

ἀπύρου

Hesych. 1 p. 267: *ἀπύρου· ἀθύτου. Σοφοκλῆς Μυσοῖς.*

385

ἀστραφής

Hesych. 1 p. 307: *ἀστραφής· σκληρός. Σοφοκλῆς Μυσῶν.*

ΜΩΜΟΣ ΣΑΤΥΡΙΚΟΣ

Sophoclis et Achaei *Μῶμον* confudit Choeroboscus in Theod. p. 376, 18.

386

ἀλωπεκίαι

Hesych. 1 p. 136: *ἀλώπηξ· ὄρχησίς τις. καὶ ἀλωπεκίαι* (*ἀλωπεκία* Soping, *ἀλωπεκιᾷ* Ellendt Lex. Soph. 1 p. 91) *μώμων ὡς Σοφοκλῆς, ὅπερ ἐστὶ ἐν σώματι πάθος γενόμενον.* pro *μώμων ὡς Σοφοκλῆς* scribendum esse *ὡς Σοφοκλῆς Μώμῳ* coni. Soping. dissentit M. Schmidt, qui *καὶ ἀλωπεκίαι* et *ὅπερ — γενόμενον* verbis eiectis scribi vult *ἀλώπηξ· ὁ ῥαχίτης μυών, ὡς Σοφοκλῆς Ἰνάχῳ* (fr. 242).

387

ἄμφιον

Hesych. 1 p. 163: *ἀμφίον· ἔνδυμα. Σοφοκλῆς Μώμῳ.* Anecd. Bekk. p. 389, 10: *ἄμφιον· ἔνδυμα, ἱμάτιον.* Sophoclem dixisse *χρυσεοπήνητον ἄμφιον* coni. Hemsterhuys ex Eust. Od. p. 1421 extr.: *πηνίον δέ ἐστιν ὁ μίτος, ἐξ οὗ καὶ ʽχρυσεοπήνιτον ἄμφιονʼ.* nomen *ἄμφιον* habetur in Corp. Inscr. Att. III 60, 4.

388

ἀναστῦψαι

Hesych. 1 p. 184: *ἀναστῦψαι· ἐπᾶραι τὸ αἰδοῖον, ἢ στυγνάσαι* (*στῦσαι* coni. M. Schmidt). *Σοφοκλῆς Μώμῳ* (*μωμῶ* cod.). e comicis poetis *ἀναστῦψαι* memorat Pollux 2, 176.

389

ἄνθρωσκε

Hesych. 1 p. 204: *ἄνθρωσκε· ἄνω θρῶσκε, ὀρχοῦ* (*ὀρχούς* cod.). *Σοφοκλῆς Μώμῳ* (*κώμῳ* cod.).

390

ἀποσκόλυπτε

Hesych. 1 p. 257: *ἀποσκόλυπτε· ἀπολέπιζε* (*ἀπολέπιζον* cod.) *καὶ ἀποκόλουε. φασὶ καὶ τὸν περιτετμημένον τὸ αἰδοῖον ἀπεσκολυμμένον* (*ἀπεσκολυμένον* cod.). *Σοφοκλῆς Μώμῳ.* Anecd. Bekk. p. 435, 25: *ἀποσκολύψαι· ἀφελεῖν τὸ δέρμα, ἢ ἀπογυμνῶσαι. Σοφοκλῆς δὲ τὸ ἀποκόλουε ἐν Μενελάῳ* (*Σοφοκλῆς δὲ ἀποσκόλυπτε τὸ ἀποκόλουε ἐν Μώμῳ* corr. Ellendt). Anecd. Bekk. p. 423, 1: *ἀπεσκόλυπτε· κυρίως τὸ δέρμα ἀφήρει, ἤδη δὲ καὶ τὸ ἐγύμνου.*

391

ἅρπην

Anecd. Bekk. p. 446, 12: *ἅρπην· δρέπανον. Σοφοκλῆς Μώμῳ* (*νόμῳ* cod.) *σατυρικῷ.*

ΝΑΥΠΛΙΟΣ ΚΑΤΑΠΛΕΩΝ ET ΝΑΥΠΛΙΟΣ ΠΥΡΚΑΕΥΣ

Nauplium *καταπλέοντα* commemorant Scholia Plat., Hesychius, Stephanus Byzantius (fr. 392—395). argumenti summam repetiverim ex verbis Schol. Eur. Or. 432: *λίθοις φονεύεται ὁ Παλαμήδης· Ναύπλιος δὲ ἀκούσας ἧκεν εἰς Ἴλιον δικάσαι τὸν φόνον τοῦ παιδός.* huic dramati adscripserim fr. 399 et 400. *Πυρκαεὺς* Nauplii argumentum cognoscitur ex Hygini fab. 116: *Ilio capto et divisa praeda Danai cum domum redirent, — ad saxa Capharea naufra-*

gium fecerunt. — noctu cum fidem deorum implorarent, Nauplius — tanquam auxilium eis afferret, facem ardentem eo loco extulit quo saxa acuta et locus periculosissimus erat. illi — naves eo duxerunt, quo facto plurimae earum confractae sunt militesque plurimi cum ducibus tempestate occisi sunt membraque eorum cum visceribus ad saxa illisa sunt: si qui autem potuerunt ad terram natare, a Nauplio interficiebantur. cf. Schol. Eur. Or. 432 et al. huius fabulae fr. 402 et 404 esse suspicor. eodem referri vult M. Schmidt glossam Hesych. 1 p. 251: *ἀπολοίμιον φανόν· τὸν ἐπὶ δόλῳ.* praeter Herodianum et Hesychium (fr. 396—398) tradit Pollux 9, 156: *ὁ δ' ἐμπρήσας τάχ' ἂν πυρκαεὺς ὀνομάζοιτο κατ' Αἰσχύλον καὶ Σοφοκλέα οὕτως ἐπιγράψαντας τὰ δράματα, τὸν μὲν τὸν Προμηθέα, τὸν δὲ τὸν Ναύπλιον.*

392

Ζεῦ πανσίλυπε καὶ Διὸς σωτηρίου
σπονδὴ τρίτου κρατῆρος

Schol. Pind. Isthm. 6, 10: *τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον, καθὰ καὶ Σοφοκλῆς ἐν Ναυπλίῳ 'Ζεῦ — κρατῆρος'.* Schol. Plat. p. 921 b 21: *τρίτον τῷ Διὶ σπένδεταί τε καὶ ὁ κρατὴρ τρίτος τίθεται. Σοφοκλῆς Ναυπλίῳ 'Ζεῦ — κρατῆρος'.* cf. Schol. Plat. p. 916 a 22: *τὸ τρίτον τῷ σωτῆρι] ἐκ μεταφορᾶς εἴρηται τοῦ* (malim *ἐκ τοῦ*) *ἐν ταῖς συνουσίαις ἔθους. Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι.* Phot. Lex. p. 604, 25: *τρίτου κρατῆρος· τοῦ σωτῆρος, ὃν καὶ τέλειον ἔλεγον.* Hesych. 4 p. 178: *τρίτος κρατήρ. Σοφοκλῆς Ναυπλίῳ καταπλέοντι. ἐν ταῖς συνουσίαις ἐκερνῶντο κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος.*

393

ἀλλ' ἀσπιδίτην ὄντα ⟨καὶ⟩ πεφαργμένον

Stephanus Byz. p. 135, 5: *Ἀσπίς — τὸ δὲ ἀσπιδίτης καὶ ἀσπιδοῦχος Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι 'ἀλλ' — πεφραγμένον'. ⟨καὶ⟩ 'ὡς — τοξεύμασι'* (fr. 394). *πεφαργμένον* pro *πεφραγμένον* restituit Dindorf, *καὶ* particulam inseruit Meineke.

394

ὡς ἀσπιδοῦχος ἢ Σκύθης τοξεύμασιν

Stephanus Byz. v. fr. 393. utrum Nauplii an alius fabulae sit versus, dubitat Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 13.

395

ἐπίκοτα

Hesych. 2 p. 157: *ἐπίκοτα· ἐπίμομφα* (*ἐπίμορφα* cod.), *ἃ πᾶς ἄν τις* (*ἅπασαν τίς* cod.) *μέμψαιτο. Σοφοκλῆς Ναυπλίῳ καταπλέοντι* (*ναυκλίω καὶ πλέοντι* cod.).

396

καὶ πεσσὰ πεντέγραμμα καὶ κύβων βολαί

Pollux 9, 97: *ἐπειδὴ δὲ ψῆφοι μέν εἰσιν οἱ πεττοί, πέντε δ' ἑκάτερος τῶν παιζόντων εἶχεν ἐπὶ πέντε γραμμῶν, εἰκότως εἴρηται Σοφοκλεῖ 'καὶ πεσσὰ πεντέγραμμα καὶ κύβων βολαί'.* Eust. Od. p. 1397, 29: *Σοφοκλῆς 'καὶ πεσσὰ πεντάγραμμα καὶ κύβων βολαί'.* verba *καὶ πεσσὰ πεντάγραμμα* ex Sophocle affert Orion Etym. p. 127, 1: eadem om. poetae nomine Etym. M. p. 666, 18 et Eust. Od. p. 1396, 60. fabulae nomen servavit Hesych. 3 p. 325: *πεσσὰ πέντε γράμματα καὶ κύβων βολάς. Σοφοκλῆς Ναυπλίῳ πυρκαεῖ. παρ' ὅσον πέντε γραμμαῖς ἔπαιζον.* non *πεντάγραμμα* sed *πεντέγραμμα* scribendum esse docet Cobet N. L. p. 775 sq., cf. Aelius Dionys. ap. Eust. Od. p. 1417, 32 et Gomperz *Bruchst. der griech. Trag.* p. 27 sq.

397

ναύκληρον πλάτην

Hesych. 3 p. 141: *ναύκληρον πλάτην· ναυτικήν. Ναυπλίῳ πυρκαεῖ.*

398

κάτω κρέμανται σπίζ' ὅπως ἐν ἕρκεσιν

Herod. *π. μον. λέξ.* p. 31, 23: *τὰ εἰς ΖΑ λήγοντα θηλυκά, εἰ ἔχοι πρὸ τέλους δίχρονον, συνεσταλμένον αὐτὸ ἔχει, ὡς τὸ ῥίζα, σχίζα, σπίζα· ἔστι δὲ εἶδος ὀρνέου. Σοφοκλῆς ἐν Ναυπλίῳ* (*ἀύπνῳ* cod., em. Schaefer in Eur. Hec p. 98) *πυρκαεῖ 'κάτω — ἕρκεσι'. κάτω*] *ἄκατοι* olim coni Bergk, postea idem suasit ⟨*καὶ*⟩ *κάτω* ⟨*κάρα*⟩ Lyr. vol. 3 p. 597. *σπίζ' ὅπως* Dindorf, *σπίζα τέως* cod.

399

οὗτος δ' ἐφηῦρε τεῖχος Ἀργείων στρατῷ,
σταθμῶν ἀριθμῶν καὶ μέτρων εὑρήματα
τάξεις τε ταύτας οὐράνιά τε σήματα.

κἀκεῖν' ἔτευξε πρῶτος ἐξ ἑνὸς δέκα
κἀκ τῶν δέκ' αὖθις ηὗρε πεντηκοντάδας 5
ὃς χίλι' εὐθὺς ὃς στρατοῦ φρυκτωρίαν
ἔδειξε κἀνέφηνεν οὐ δεδειγμένα.
ἐφηῦρε δ' ἄστρων μέτρα καὶ περιστροφὰς
ὕπνου φύλαξι πιστὰ σημαντήρια
νεῶν τε ποιμαντῆρσιν ἐνθαλασσίοις 10
ἄρκτου στροφάς τε καὶ κυνὸς ψυχρὰν δύσιν.

Achilles Tatius Isag. ad Phaen. in Petavii Vranol. p. 122 B: *Σοφοκλῆς δὲ Παλαμήδει ἀνατίθησιν· λέγοντα γὰρ Ναύπλιον εἰσάγει* '*οὗτος — δύσιν*'. codicis V(aticani 191) lectiones indicavit H. Keil Philol. vol. 1 p. 157 sq., codicem L(aur. 28, 44) secutus est Victorius (nisi quod v. 9 *σημάντρια* edidit), Victorii exemplum repetiit Petavius. v. 1 *ἐφεῦρε* libri. *οὗτος δὲ τεύχη ἐφεῦρεν* dubitans ipse coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 259. v. 2 *σταθμ ἀριθμῶν* V, *στάθμη δ' ἀριθμῶν* L, *στάθμην ἀριθμῶν* Boissonade, *σταθμῶν ἀριθμῶν* Salmasius, *σταθμῶν τ' ἀριθμῶν* Herwerden Exerc. crit. p 14. *εὑρήματα* vix sanum: *ὁρίσματα* coni. L. Dindorf in Thes. Gr. L. vol. 7 p. 2103 A, *σοφίσματα* Meineke *Jahrb. f. Philol.* 87 p. 381. ceterum cf. Philostr. Heroic. p. 142: *πρὸ γὰρ δὴ Παλαμήδους — οὐδὲ νόμισμα ἦν οὐδὲ σταθμὰ καὶ μέτρα οὐδὲ ἀριθμεῖν* (*ἀριθμοί* E). v. 3 post v. 8 transponendum esse coniecit Scaliger. *τάξεις τε πάσας* coni. Herwerden. v. 4 *πάντων δ' ἔτευξε πρῶτος* Herwerden. *κἄπειτ' ἔταξε πρῶτος ἐς ζεῦγος δέκα* F. G. Schmidt. *πρῶτος* in *πρῶτον* mutabat L. Dindorf. v. 5 *εὗρε* libri. v. 6 *ὅς χιλια εὐθὺς* V, *καὶ χιλιοστῦς* temptabam. *ὃς στρατοῦ*] *καὶ στρατοῦ* Gomperz. *στρατοῦ* V, *στρατῶ* L. v. 7 et 8 verba *ἔδειξε* et *ἐφηῦρε* (*ἐφεῦρε* libri) fortasse sedem mutarunt. v. 9 *φύλαξι πιστὰ* Wagner, *φυλαξ οα* V, *φυλάξεις στιθόα* L, *φύλαξιν ἐσθλὰ* Keil, *φύλαξι στιλπνὰ* M. Schmidt. v. 10 *ναῶν* libri, *νεῶν* Blomfield. *πυμαντῆρσιν* V, *πημαντῆρσιν* L, *ποιμαντῆρσιν* Heath. v. 11 *στροφάς τε καὶ* L, *στροφ καὶ* V. turbatum versuum ordinem restituere conatus est Th. Gomperz *Beitr.* 1 p. 240 hunc in modum: v. 2, 7 (*ἐφηῦρε κἀνέφηνεν*), 8 (*ἔδειξε δ' ἄστρων*), 3, 9—11, 1 (*αὐτὸς δ' ἐφηῦρε*), 4, 5, 6 (*καὶ χιλιοστῦς καὶ στρατοῦ*), ubi discrepantes a nostra editione scripturas apposui. dubitari potest utrum ex Nauplio an ex Palamede locus depromptus sit, cf. fr. 438.

400

ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι

Phot. Lex. p. 150, 9: *κατουλάδα. Σοφοκλῆς Ναυπλίῳ* '*ἐπεύχομαι — κατουλάδι*'. *τὴν κατίλλουσαν καὶ κατείργουσαν. — οἳ δὲ τῇ*

πανωλέθρῳ ἐσομένῃ τοῖς Ἕλλησιν — ἢ ζοφώδη. Schol. Ap. Rhod. 4, 1695: *ἡ σκοτεινὴ νὺξ κατουλάς* (*κατουλάξ* L) *καλεῖται — παρὰ Σοφοκλεῖ ἐν Ναυπλίῳ 'νυκτὶ* (adde *τῇ*) *κατουλάδι'.* Hesych. 2 p. 449: *κατουλάδα· τὴν κατίλλουσαν καὶ εἴργουσαν. βέλτιον δὲ τὴν κατόλεθρον* (*πανώλεθρον* coni. M. Schmidt) *καὶ συστροφὰς ἔχουσαν ἀνέμων.*

401

τῷ γὰρ κακῶς πράσσοντι μυρία μία
νύξ ἐστιν, εὐπαθοῦντα δ' ἡμέρα φθάνει.

Stob. Flor. 104, 3: *Σοφοκλέους Ναυπλίου* (*Ναυπλίου* om. S). '*τῷ — θανεῖν.*' v. 2 *εὖ παθόντα ἡ 'τέρα* (sic S, *ἡτέρα* M, *εἶθ' ἑτέρα* A) *θανεῖν* libri. *εὖ παθόντα δ' ἡ 'τέρα φθάνει* coni. Heath, *εὐπαθοῦντι δ' οὐκ ἔρως θανεῖν* sententiae convenire dixit Meineke in Stob. Flor. 4 p. LXXXI, *εὖ παθόντα δ' ἡμέρα φθάνει* Th. Gomperz *Beitr.* 1 p. 241, *εὐπαθοῦντα δ' ἡμέρα φθάνει* F. G. Schmidt *Krit. Stud.* 1 p. 259 sq.

402

πάγας ὑποπύρους

Aristid. vol. 1 p. 421: *ποίας Ναυπλίου πάγας ὑποπύρους, ὡς ἔφη Σοφοκλῆς, ἄξιον τῇ πυρκαϊᾷ ταύτῃ παραβαλεῖν;*

403

ἀνόρεος πόλεμος

Hesych. 1 p. 207: *ἀνόρεος πόλεμος· ἀνδρεῖος, ὁ πρὸς τοὺς ἄνδρας. Σοφοκλῆς Ναυπλίῳ.*

404

νυμφικὸν Ἐλύμνιον

Schol. Ar. Pac. 1126: *Καλλίστρατος φησὶ τόπον Εὐβοίας τὸ Ἐλύμνιον. Ἀπολλώνιος δὲ ναὸν φησὶν εἶναι πλησίον Εὐβοίας. νυμφικὸν δέ τινες αὐτὸ φασίν, ὅτι ὁ Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφοκλῆς 'πρὸς πέτραις Ἐλυμνίαις', καὶ ἐν Ναυπλίῳ 'νυμφικὸν Ἐλύμνιον'.* suspicor verba *πρὸς πέτραις Ἐλυμνίαις* ac fortasse haec sola ex Sophoclis Nauplio petita esse.

405

ὁλκία

Pollux 10, 134: *καὶ ὁλκία δὲ τὰ πηδάλια ἐν Ναυπλίῳ ὠνόμασε* (Sophocles) *παρὰ τὸ Ὁμήρου 'ξεστὸν ἐφόλκαιον'. ὁλκεῖα* coni. Dindorf.

ΝΑΥΣΙΚΑΑ Η ΠΛΥΝΤΡΙΑΙ

Ath. I p. 20 F: ἄκρως δὲ ἐσφαίρισεν (Sophocles), ὅτε τὴν Ναυσικάαν καθῆκε. Eust. Il. p. 381, 10: Σοφοκλῆς περιάδεται — δεινὸς εἶναι σφαιρίσαι, ὡς ἡ κατ' αὐτὸν ἐδήλωσε δραματικὴ Ναυσικάα. Eust. Od. p. 1553 sq.: ἐπεμελήθησαν ὕστερον σφαιριστικῆς, πόλεων μὲν κοινῇ Λακεδαιμόνιοι — ἰδιωτῶν δὲ Σοφοκλῆς ὁ τραγικός, ὃς καὶ ὅτε, φασί, τὰς Πλυντρίας ἐδίδασκε, τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης ὑποκρινόμενος, ἰσχυρῶς εὐδοκίμησεν. argumentum fabulae ex Odysseae libro sexto repetitum est. probabiliter huc referunt fr. 713.

406

πέπλους τε νῆσαι λινογενεῖς τ' ἐπενδύτας

Pollux 7, 45: ἐπενδύτης — ληπτέον αὐτὸ ἐκ τῶν Σοφοκλέους Πλυντριῶν 'πέπλους — ἐπενδύτας'.

407

ἀναρροιβδεῖ

Hesych. 1 p. 181, v. Aeschyli fr. 217.

408

λαμπήνη

Pollux 10, 52: ἔστι δὲ τοὔνομα ἡ λαμπήνη ἐν τῇ Σοφοκλέους Ναυσικᾷ. cf. Hesych. 3 p. 11: λαμπήνη· εἶδος ἁμάξης ἐφ' ἧς ὀχοῦνται. ἔνιοι ἀπήνη (λαπήνη coni. M. Schmidt). ἢ ἅρμα ἁμάξης (ἢ εἶδος ἁρμαμάξης Salmasius) περιφανοῦς βασιλκῆς.

ΝΙΟΒΗ

Schol. T Il. Ω 602 (quocum consentit fere Eust. Il. p. 1367, 22): ἡ δὲ συμφορὰ αὐτῆς (sc. Νιόβης), ὡς μέν τινες ἐν Λυδίᾳ, ὡς δὲ ἔνιοι ἐν Θήβαις. Σοφοκλῆς ⟨δὲ⟩ τοὺς μὲν παῖδας ἐν Θήβαις ἀπολέσθαι, νοστῆσαι ⟨δὲ⟩ αὐτὴν εἰς Λυδίαν. Lutat. in Stat. Theb. 6, 124 p. 203: *Niobe secundum Homerum duodecim filios habuit, Sophocles autem dicit eam quatuordecim habuisse.* Schol. Eur. Phoen. 159: καὶ Σοφοκλῆς ἐν Νιόβῃ ἑπτὰ φησὶν αὐτὰς εἶναι (sc. filias Niobes) καὶ τοὺς ἄρσενας. Sophocleam fabulam respicere videtur Ar. Vesp. 579: κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει πρὶν ἂν ἡμῖν ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας. ubi Scholia: τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος —. καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην ἢ Σοφοκλέους ἢ Αἰσχύλου. Valckenaer huc rettulit adesp. fr. 7.

409

ἦ γὰρ φίλη ἐγὼ τῶνδε τοῦ προφερτέρου

Schol. B Il. *E* 533 et Schol. E Od. *θ* 186 de forma *ἦ* *eram* ab veteribus Atticis usurpata: *καὶ παρὰ Σοφοκλεῖ ἐν τῇ Νιόβῃ ʻἦ γὰρ — προφερτέρουʼ. ἦν γὰρ* Schol. Od.

410

ὦ ἀμφ' ἐμοῦ στεῖλαι

Plut. Amator. c. 17, 3 p. 760 D: *τῶν μὲν γὰρ τοῦ Σοφοκλέους Νιοβιδῶν βαλλομένων καὶ θνησκόντων ἀνακαλεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον ἢ τὸν ἐραστήν, ʻὦ ἀμφ' ἐμοῦ στεῖλαιʼ. Κλεόμαχον δὲ τὸν Φαρσάλιον ἴστε δήπουθεν ἐξ ἧς αἰτίας ἐτελεύτησεν κτέ.* post *ὦ* videntur verba non nulla excidisse. *ἀμφ' ἐμοὶ* coni. Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 19. ceterum huc spectat Ath. XIII p. 601 A: *Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὃ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὃ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν παίδων.*

411

δερμηστής

Harpocr. p. 54, 25: *δερμιστής — Δίδυμος μὲν ἀποδίδωσι τὸν σκώληκα οὕτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ, ἐν ζ' τῆς ἀπορουμένης λέξεως, Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος τὸν ὄφιν ἀπέδωκε. μήποτε δὲ μᾶλλον ἂν εἴη ὅστις τὰ δέρματα ἐσθίει.* Anecd. Bekk. p. 240, 14: *δερμηστής· οἳ μὲν φασὶν εἶδος σκώληκος, ὃ κατεσθίει τὰ δέρματα, Ἀρίσταρχος δὲ ὄφεως εἶδος.* Hesych. 1 p. 475: *δερμιστής· ὁ σκώληξ ἢ ὁ σὴς* (*ἢ ὁσκὺς* cod.) *ὁ τὰ δέρματα ἐσθίων. Ἀρίσταρχος ὄφιν.*

412

ἔλυμοι

Ath. IV p. 176 F: *τοὺς γὰρ ἐλύμους αὐλούς, ὧν μνημονεύει Σοφοκλῆς ἐν Νιόβῃ τε κἀν Τυμπανισταῖς, οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους.*

413

κρόκος

Schol. Soph. Oed. C. 684: *κἀν τῇ Νιόβῃ ὁ Σοφοκλῆς τὸν κρόκον ἄντικρυς τῇ Δήμητρι ἀνατίθεται.*

ΝΙΠΤΡΑ v. ΟΔΥΣΣΕΥΣ ΑΚΑΝΘΟΠΛΗΞ

ΞΟΑΝΗΦΟΡΟΙ

Titulus suspectus est.

414

Schol. Aesch. Sept. 304: *εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται.* haec e Laocoonte repetita esse credibile est, vide fr. 344.

ΟΔΥΣΣΕΥΣ ΑΚΑΝΘΟΠΛΗΞ Η ΝΙΠΤΡΑ

Sophoclis vestigia legit Pacuvius in Niptris (cf. Ribbeck *Röm. Trag.* p. 270 sqq.). Cicero Tusc. 2, 21, 49: *non nimis in Niptris ille sapientissimus Graeciae saucius lamentatur vel modice potius: pedetemptim, inquit, et sedato nisu, ne succussu arripiat maior dolor. Pacuvius hoc melius quam Sophocles; apud illum enim perquam flebiliter Vlixes lamentatur in volnere.* hinc intellegitur Photii et Suidae *Νίπτρα* (fr. 421) idem esse drama quod ceteris dicitur *Ὀδυσσεὺς ἀκανθοπλήξ*, cuius argumentum fuit Vlixes *ἀκάνθῃ τρυγόνος θαλασσίας* (cf. quae ex Parthenio et Eust. supra p. 178 attulimus) a Telegono filio vulneratus et occisus. qua de re alii alia tradunt, cf. Eust. Od. p. 1676, 44 Hygin. fab. 127 Argum. Odyss. in Schol. ed. Dind. p. 6. huic fabulae Brunck adscripsit fr. 777 et 880. eodem auctore huc rettulerim locum Aristotelis Poet. 14 p. 1453 b 33: *ἔστιν δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν, ὥσπερ ὁ Σοφοκλέους Οἰδίπους. τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος· ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷον ὁ Ἀλκμέων ὁ* (*ὁ Ἀλκμαίων ὁ* Victorius, *ὁ ἀλκμαίωνος* cod.) *Ἀστυδάμαντος ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ.*

415

ποδαπὸν τὸ δῶρον ἀμφὶ φαιδίμοις ἔχων
ὤμοις;

Schol. Dionys. Thr. p. 872, 21 et Anecd. Oxon. vol. 4 p. 330, 8: *Σοφοκλῆς οὖν* (*οὖν* om. ed. Bekk.) *ἐν Ὀδυσσεῖ ἀκανθοπλῆγι τῷ* (*δὲ* addit ed. Bekk.) *ποδαπός ἀντὶ τοῦ ποῖος χρησάμενος ἀκυρολογεῖ* (*ἀκριβολογεῖ* male ed. Bekk.) '*ποδαπὸν — ὤμοις*'. v. 1 *τὸ δῶρον* verba vix sana, *πέλωρον* coni. M. Schmidt (cf. fr. 416), *τόδ' ὤμοις* (unum in versum verbis contractis) Wecklein Mus. Rhen. 38 p. 137.

416

ὤμοις ἀθηρόβρωτον ὄργανον φέρων

Schol. HV Od. λ 128: ἀθηρηλοιγόν — Σοφοκλῆς ἀπεδέξατο τῆς ἀθήρης κίνηθρον, λέγων οὕτως 'ὤμοις — φέρων'. Eust. Od. p. 1675, 52: Σοφοκλῆς δέ, φασί, παραφράζων τὸ Ὁμηρικὸν φησὶν 'ὤμοις — φέρων'. fabulam prodit Hesych. 1 p. 64: ἀθηρόβρωτον ὄργανον· τὴν τορύνην ἤ (ἢ cod.) τὴν ἀθήραν (ἀ. θηρὰν cod.) ἀνακινοῦσι. Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι (ἀκανθοπλήγει cod.). ποδαπὸν πέλωρον ἀμφὶ φαιδίμοις ἔχων ὤμοις ἀθηρόβρωτον ὄργανον φέρεις; fr. 415 et 416 coniungens suasit M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 537.

417

Δωδῶνι ναίων Ζεὺς ὁ νάιος βροτῶν

Stephanus Byz. p. 248, 2 allatus ad fr. 422. ὁμίος cod., ὁμέστιος Tennulius, ὁ μαντεῖος Herwerden Exerc. crit. p. 16, ὁμόγνιος Meineke Oed. Col. p. 149, ὁ νάιος secundum Dodonaeos titulos Wilamowitz-Moellendorff *Homer. Untersuch.* p. 196, cf. Valckenaer Opusc. 2 p. 129.

418

τὰς θεσπιῳδοὺς ἱερέας Δωδωνίδας

Stephanus Byz. p. 248, 21: Δωδώνη — τῆς μέντοι Δωδώνης Δωδωναῖος — τὸ θηλυκὸν Δωδωνίς ἀπὸ τοῦ Δωδώνη, ὡς Παλλήνη Παλληνίς. — Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι 'τὰς — Δωδωνίδας'. ἱερίας non recte coni. Valckenaer in Eur. Phoen. 1475.

419

νηδὺς ἐλαιάεσσα

Hesych. 2 p. 57: ἐλαιάεσσα νηδύς (ἐλαιάδεσσαν ἡδύς cod.). Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι. ἤτοι λαιάεσσα, ἀντὶ τοῦ σκαιά, ἀγρία (σκαιάγρια cod.)· ἢ ἀπὸ τοῦ ληίζεσθαι, πάντα ληιζομένη καὶ κατεσθίουσα· ἢ ἀπὸ τοῦ ἐλαίου, λιπαρά (λιτρά cod.). Phot. Lex. p. 298, 1: νηδὺς ἐλαιάεσσα (νηδύς· ἐλαῖα ἔσσα cod.)· ἐπὶ Κύκλωπος· Σικελή· ἀπὸ Ὕβλης τῆς ἐλαιηρᾶς. Hesych. 3 p. 153: νηδὺς ἐλαιάεσσα· ἀπὸ μέρους μιᾶς πόλεως τῆς ἐλαιηρᾶς Ὕβλης. Sophoclem scripsisse νηδὺς δ' ἐλαιάεσσα ac fuisse qui νηδὺς δὲ λαιάεσσα legerent probabiliter coni. L. Dindorf Thes. Gr. L. 2 p. 659 A.

420

εἰ μέν τις οὖν ἔξεισιν· εἰ δὲ μή, λέγε.

Schol. Il. Α 137 in Anecd. Paris. vol. 3 p. 5, 3 et p. 274, 31: Σοφοκλῆς ἐν ἀκανθοπλῆγι 'εἰ μέν — λέγε'. Eust. Il. p. 66, 34: καὶ Σοφοκλῆς 'εἰ μέν — λέγε'.

421

τὴν παρουσίαν
τῶν ἐγγὺς ὄντων

Phot. Lex. p. 400, 6 et Suidas: *παρουσία — καὶ ἐπὶ τοῦ παρεῖναι δὲ τάσσεται, ὡς καὶ ἐν τοῖς Νίπτροις Σοφοκλέους* '*τὴν — ὄντων*'.

422

νῦν δ' οὔτε μ' ἐκ Δωδῶνος οὔτε Πυθικῶν
γυ· . . τις ἂν πείσειεν

Stephanus Byz. p. 247 sq.: *Δωδώνη — λέγεται καὶ Δωδών, ἧς τὴν γενικὴν Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι* '*νῦν — πείσειεν*', *καὶ δοτικὴν* '*Δωδῶνι — βροτῶν*' (fr. 417). v. 1 *εἰς* codex, *ἐκ* Meineke. v. 2 *γυνή* coni. Montefalconius, *μυχῶν* Conington, ego *γυάλων* temptabam. *γῆρύς τις ἂν πείσειεν ἐξ ἑδωλίων* vel *προφῆτις ἂν πείσειεν ἐκ δόμων φάτις* proposuit Meineke.

423

καὶ τὸν ἐν Δωδῶνι παῦσον δαίμον' εὐλογούμενον

Iohannes Alex. de acc. p. 12, 3: *Δωδώνη Δωδῶνι· ὁ* (l. *ὡς*) *Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι* '*καὶ τὸν — δαῖμον συλογούμενον*'. ubi *δαίμον' εὐλογούμενον* correxit Bloch, *παῦσον* in *πᾶσι* mutandum suspicor.

ΟΔΥΣΣΕΥΣ ΜΑΙΝΟΜΕΝΟΣ

'Argumentum fuit Vlixes furorem simulans, ne ad Troiam navigare cogeretur, et a Palamede fraudis convictus'. Brunck. cf. praeter alios Hygin. fab. 95.

424

πάντ' οἶσθα, πάντ' ἔλεξα τἀντεταλμένα·
μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχύς.

Schol. Pind. Isthm. 6, 87: *σύντομοι δὲ οὐ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ* '*πάντ' — βραχύς*'. v. 2 *μύθους γὰρ Ἀργ. συντέμνειν ἔφυν* coni. Herwerden Exerc. crit. p. 10, *συντέμνειν φιλεῖ* idem *Jahrb. f. Philol. Suppl.* 13 p. 31, *μύθους — συντέμνω βραχεῖς* Wecklein *Philol. Anz.* 11 p. 19.

425

κρεκτοῖσι νόμοις

Hesych. 2 p. 323: *θρεκτοῖσι νόμοις· ἀντὶ τοῦ τροχαίοις* (*τρο-*

χαῖος cod.). *Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ. ἔνιοι δὲ κρεκτοῖσι* (*κρεκτοῖς* cod.). recte iudicat L. Dindorf in Thes. *κρεκτοῖσι* veram esse lectionem, sicut *ὀξύκρεκτον νόμον* dixit Aesch. Cho. 822.

426

ἐμπερής

Hesych. 2 p. 79: *ἐμπερής· ἔμπειρος. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ.*

427

ἠμάλαψε

Hesych. 1 p. 276: *ἠμαλάψαι· κρύψαι, ἀφανίσαι. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ.* scribendum *ἠμάλαψεν· ἔκρυψεν, ἠφάνισε.* cf. Phot. Lex. p. 68, 3: *ἠμάλαπτεν· ἔκρυπτεν, ἠφάνιζεν.*

428

θριάζειν

Hesych. 2 p. 324: *θριάζειν· φυλλολογεῖν, ἐνθουσιᾶν, ἐνθουσιάζειν. Εὐριπίδης Λικυμνίῳ καὶ Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ.*

429

μαγμόν

Phot. Lex. p. 240, 10: *μάγνον. Σοφοκλῆς Ὀδυσσεῖ·* [*τὸν μέγαν,*] *τὸν ἀπομάσσοντα καὶ καθαίροντα.* pro *μάγνον* scribendum esse *μαγμόν* coni. Schleussner coll. Hesych. 3 p. 62: *μαγμόν· τὸ καθάρσιον.* quod sequitur *τὸν μέγαν* delet Ellendt, alii *τὸν μαγέα* vel *τὸν μάγον* scribendum coniciunt. ad *Ὀδυσσέα μαινόμενον* spectare Photii glossam probabile est, non certum.

ΟΙΝΕΥΣ (?)

Hanc fabulam in duabus Hesychii glossis, *ἄλυτον* et *χερσεύει*, agnoscere sibi visus est G. Dindorf, quam opinionem veram esse non spoponderim. nec satis certo stabilitur *Οἰνεύς* Sophocleae fabuleae titulus loco Philodemi de piet. p. 22, quem locum attulimus p. 136.

ΟΙΝΟΜΑΟΣ Η ΙΠΠΟΔΑΜΕΙΑ

Hippodamiam a Stobaeo laudatam (fr. 431) non diversam esse ab Oenomao vidit Brunck. de argumento fabulae cf. Hygin. fab. 84 Schol. A Il. *B* 104 al. Accius in Oenomao nescimus utrum Sophoclis an Euripidis vestigia presserit. Sophoclea in fabula Oenomai personam egit Aeschines orator, unde dictus est a Demo-

sthene de cor. § 242 *αὐτοτραγικὸς πίθηκος, ἀρουραῖος Οἰνόμαος.* cf. Hesych. 1 p. 287: *ἀρουραῖος Οἰνόμαος· Δημοσθένης Αἰσχίνην οὕτως ἔφη, ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον* (*σοφοκλῆς τὸν οἰνόμο.ον* cod.). similiter Anecd. Bekk. p. 184, 3 p. 211, 32. plura hac de re Vitae Aeschinis in *Βιογρ.* p. 266, 19 et inprimis p. 269, 26: *Δημοχάρης δ' ὁ ἀδελφιδοῦς Δημοσθένους — φησὶν Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ* (*τραγῳδοῦ* recte Wagner) *τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα αἰσχρῶς πεσεῖν καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου — καὶ μετὰ Σωκράτους καὶ Σιμύλου τῶν κακῶν ὑποκριτῶν ἀλᾶσθαι κατ' ἀγρούς.* adde Demosth. de cor. § 180, quo de loco cf. Hermogenes Rhet. vol. 3 p. 350 cum Scholiis Maximi Plan. vol. 5 p. 541 sq.

430

ἡ μὲν ὡς ἵ θάσσονα,
ἡ δ' ὡς ἵ τέτοκε παῖδα

Apollonius de pronom. p. 70 B de forma *ἵ* disputans: *ἀξιοπιστότερός τε ὁ Σοφοκλῆς μάρτυς χρησάμενος ἐν Οἰνομάῳ 'ει μεν ωσει θασσονα ειδωσ ειτεκοι παιδα'.* Schol. T Il. *X* 410: *τινὲς τὸ ὡσεὶ διὰ τοῦ I γράφουσι καὶ δασύνουσιν, ἀντωνυμίαν ἐκδεχόμενοι τρίτου προσώπου ἀντὶ τοῦ ὡς αὐτή. ἀλλ' οὐ χρῆται αὐτῇ ὁ ποιητής. Σοφοκλῆς Οἰνομάῳ 'ἡ μὲν ὡσεὶ θάσσονα ἡ δὲ ὡσιτέξου παῖδα'. ἔστιν οὖν δίφθογγον.* poetae verba restitui voluit Dindorf ita ut scriberet *ἡ μὲν ὡς ἵ θάσσον', ἡ δ' ὡς ἵ τέκοι παῖδα*, addens 'loquitur de duabus matribus, quarum sui utraque filii celeritatem praedicabat'. *παῖδ' ἡ μὲν — τέκοι* coni. Bergk. at *ἵ* pronominis brevem esse vocalem testatur Apollonius p. 71 A, itaque *τέτοκε* pro *τέκοι* scribendum erat cum Cobeto Coll. crit. p. 191.

431

ὅρκου δὲ προστεθέντος ἐπιμελεστέρα
ψυχὴ κατέστη· δισσὰ γὰρ φυλάσσεται,
φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν.

Stob. Flor. 27, 6: *Σοφοκλέους Ἱπποδαμείας.* '*ὅρκου — ἁμαρτάνειν*'. v. 1 *προστεθέντος* Gesner, *προτεθέντος* libri. v. 2 *φυλάττεται* A. v. 3 *καὶ εἰς* M.

432

Σκυθιστὶ χειρόμακτρον ἐκδεδαρμένος

Ath. IX p. 410 C: *χειρόμακτρον δὲ καλεῖται ᾧ τὰς χεῖρας ἀπεμάττοντο ὠμολίνῳ — Σοφοκλῆς Οἰνομάῳ 'Σκυθιστὶ — ἐκκεκαρμένος'.*

ἐκδεδαρμένος pro *ἐκκεκαρμένος* restituit Herwerden Exerc. crit. p. 21. Hesych. 4 p. 52: *Σκυθιστὶ χειρόμακτρον· οἱ Σκύθαι τῶν λαμβανομένων πολεμίων* (*πόλων ὧν* cod., emend. Porson) *τὰς κεφαλὰς ἐκδέροντες ἦσαν* (*ἐκδ. τοῖς δέρμασιν* coni. Lennep) *ἀντὶ χειρομάκτρων ἐχρῶντο.* cf. Schol. Pind. Isthm. 4, 92: *τὸν Ἀνταῖον φησὶ τῶν ξένων τῶν ἡττωμένων τοῖς κρανίοις ἐρέφειν τὸν τοῦ Ποσειδῶνος ναόν· τοῦτο γὰρ ἱστοροῦσι τὸν Θρᾷκα Διομήδην ποιεῖν — οἳ δὲ Οἰνόμαον, ὡς Σοφοκλῆς.*

433

τοίαν Πέλοψ ἴυγγα θηρατηρίαν
ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει·
ᾗ θάλπεται μὲν αὐτός, ἐξοπτᾷ δ' ἐμέ,
ἴσον μετρῶν ὀφθαλμόν, ὥστε τέκτονος
παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών. 5

Ath. XIII p. 564 B: *Σοφοκλῆς δέ που περὶ τοῦ κάλλους τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειαν φησί* '*τοιάνδ'* — *κανών*'. v. 1 *τοίαν Πέλοψ ἴυγγα* Valckenaer in Eur. Hipp. 468, atque *ἴυγγα* praebet P, *τοιάνδ' ἐν ὄψει λύγγα* A. *λύγγα* in *λίγγα* mutandum censebat Erfurdt, quamquam Hesychius 3 p. 47: *λύγξ — τόξον.* v. 3 *ἥ θ' ἅλλεται* A, *ἐνθάλπεται* coni. Ruhnken, *ἐκθάλπεται* Boissonade, *ᾗ θάλπεται* Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 21 sq. mox *δέ με* libri, *δ' ἐμέ* Brunck. v. 4 *μετρῶν* pro *μέτρον* vel *μέτρων* scripsit Casaubonus. v. 5 *πρίοντος* coni. Wecklein, *ἴσχοντος* vel *τιθέντος* Herwerden Lucubr. Soph. p. 77.

434

διὰ ψήκτρας σ' ὁρῶ
ξανθὴν καθαίρονθ' ἵππον αὐχμηρᾶς τριχός.

Pollux 10, 55: *τὴν δὲ ψήκτραν — Σοφοκλῆς ἐν Οἰνομάῳ* '*διὰ — τριχός*'.

435

γενοίμαν αἰετὸς ὑψιπέτας,
ὡς ἀμποταθείην ὑπὲρ ⟨αἰθέρος⟩ ἀτρυγέτου
γλαυκᾶς ἐπ' οἶδμα λίμνας.

Ar. Av. 1337: '*γενοίμαν — λίμνας*'. ubi Scholia: *γενοίμαν ἀετός*] — *ἐν τοῖς Καλλιστράτου· ταῦτα ἐξ Οἰνομάου τοῦ Σοφοκλέους.* v. 1 *ἀετὸς* libri. v. 2 *ἂν ποταθείην* vulgo, *ἀμποταθείην* Blaydes in Oed. C. 1081. *αἰθέρος* addidit Kock.

436

λήθουσι γάρ τοι κἀνέμων διέξοδοι
θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

Laert. Diog. 4, 35 (cf. Suid. v. *διέξοδοι* et Zon. Lex. v. *διέξοδος* p. 517): *πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν ἔφη* (Arcesilaus) '*λήθουσι γάρ — παρῇ*'. *ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου τοῦ Σοφοκλέους.* eosdem versus om. p. et fab. n. habet Plut. Quaest. conv. VIII, 1, 5 p. 718 A. v. 1 *πλήθουσι* Plut., *λήθουσι* Laert. Diog., quod verum esse ostendit Th. Gomperz *Nachl.* p. 7—10. v. 2 *τόκος παρῇ*] *παρῇ τόκος* Plut.

ΠΑΛΑΜΗΔΗΣ

De argumento cf. Hygin. fab. 105, quem locum afferemus in Euripidis Palamede.

437

εὔφημος ἴσθι μοῦνον ἐξορμωμένη

Ammon. de diff. vocab. p. 76: *ἴσθι καὶ γίνωσκε διαφέρει. — τάσσουσι δὲ ὅμως καὶ ἐπὶ τοῦ ἰδίου* (*γίνου* Valckenaer) *τὸ ἴσθι. Σοφοκλῆς ἐν Παλαμήδῃ* '*εὔφημος — ἐξορμωμένη*'. *ἀντὶ τοῦ γίνου.* verba *Σοφοκλῆς ἐν Παλαμήδῃ* vulgo omissa addit codex Musei Britannici.

438

οὐ λιμὸν οὗτος τῶνδ' ἔπαυσε, σὺν θεῷ
εἰπεῖν, χρόνου τε διατριβὰς σοφωτάτας
ἐφηῦρε φλοίσβου μετὰ κόπον καθημένοις,
πεσσοὺς κύβους τε τερπνὸν ἀργίας ἄκος;

Eust. Il. p. 228, 6: *Παλαμήδους ἐπινοησαμένου κυβείαν καὶ πεττείαν ἐν Ἰλίῳ εἰς παραμύθιον λιμοῦ κατασχόντος τὴν στρατιὰν λίθος ἐκεῖ ἐδείκνυτο, καθὰ Πολέμων ἱστορεῖ, ἐφ' οὗ ἐπέσσευον. τῆς δὲ τοιαύτης ἐπινοίας τοῦ Παλαμήδους καὶ τῆς εὑρέσεως δὲ τοῦ χρόνου, ἣν καὶ αὐτὴν ἐκεῖνος ἐσοφίσατο, μάρτυρα παράγουσι Σοφοκλῆν, ὃς ἐν δράματι ὁμωνύμῳ τῷ εὑρετῇ Παλαμήδῃ φησίν· 'οὐ λιμὸν — ἄκος;'* v. 1 *τόνδ'* Eust., *τῶνδ'* Scaliger, *τῶνδ'* vel *τοῖσδ'* Herwerden. *ἔπαυσε* Herwerden Mnem. nov. 6 p. 281, *ἀπῶσε* Eust. v. 3 *ἐφεῦρε* Eust. *κόπον* Salmasius, *κοπὴν* Eust. v. 4 iterum apponit Eust. Od. p. 1397, 9: *ὁ δὲ τὰ περὶ Ἑλληνικῆς παιδιᾶς γράψας* (Suetonius, cf. Fresenius de *λέξεων* Aristoph. et Suet. excerptis Byz. p. 88) *διαφορὰν καὶ αὐτὸς εἰδὼς κύβων καὶ πεσσῶν — παράγει Σοφοκλέους μὲν ἐκ Παλαμήδους — τὸ* '*ἐκεῖνος ἐφεῦρε πεσσοὺς — ἄκος*'. ad Nauplium hos versus

rettulit Brunck propter fr. 399, quod Palamedi adscribit Fr. Vater de Soph. Alead. p. 27 sq.

439

ἄκεστρον

Hesych. 1 p. 96: *ἀκεστρόν· φάρμακον. Σοφοκλῆς Παλαμήδῃ.*

440

δροπά

Hesych. 1 p. 537: *δροπά· δρεπτά. Σοφοκλῆς Παλαμήδῃ* (*παλαμήδι* cod.). cf. Suidas: *δρωπακίζω — δρωπτὰ γὰρ τὰ δρεπτά.* ubi non nulli libri cum Zon. Lex. p. 572 *δρωπά.* scribendum esse *δρωπτά· δρεπτά* coni. G. Dindorf in Thes. Gr. L. 2 p. 1700 B, *ἄδροπα· ἄδρεπτα* Blomfield. probabilius est quod M. Schmidt arbitratur, *δροπά* ex *ὠμόδροπα* vel simili adiectivo esse decurtatum.

ΠΑΝΔΩΡΑ Η ΣΦΥΡΟΚΟΠΟΙ

Fabulae, ut videtur, satyricae duplicem titulum prodidit Hesychius (fr. 445). de argumento cf. Hygin. fab. 142. probabiliter G. Hermann huc refert fr. 760.

441

καὶ πρῶτον ἄρχου πηλὸν ὀργάζειν χεροῖν

Erotian. Gloss. Hippocr. p. 6, 4 (Schol. Hippocr. vol. 5 p. 480): *ὀργασμός, ὁ μαλαγμός. μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ* (*πανδάρω* libri) *λέγων* '*καὶ — χεροῖν*'. *ἄρχου*] *ἄρχον* libri quidam, *ἀργὸν* Ruhnken, *ἀρχὸν* Huschke in Fab. Aesop. ed. Lips. a. 1810 p. CCVI et C. L. Struve Opusc. sel. 2 p. 365. Phryn. Bekk. p. 53, 31: *ὀργάζειν πηλόν· τὸ διαβρέχειν. οὕτω γὰρ τὸ ὑγραίνειν οἱ ἀρχαῖοι λέγουσι.* Pollux 7, 165: *λέγεται δὲ καὶ πηλὸν ὀργάζειν.* cf. fr. 719.

442

καὶ πλῆρες ἐκπιόντι χρύσεον κέρας
τρίψει γέμοντα μαλθακῆς ὑπ' ὠλένης.

Ath. XI p. 476 C: *καὶ τῶν ποιητῶν δὲ πολλοὶ παράγουσι πίνοντας τοὺς ἀρχαίους κέρασι — καὶ Σοφοκλῆς Πανδώρᾳ* '*καὶ πλῆρες — ὠλένης*'. v. 1 *ἐκπιόντα* coni. Wagner et Herwerden Mnem. nov. 6 p. 281. v. 2 *γέροντα* Adam et Herwerden, *τένοντα* Emperius Opusc. p. 350. *ὑπ' ὠλένης* P, *ὑπο λαίνης* A.

443

βλιμάζειν

Erotian. Gloss. Hippocr. p. 19, 3 (Schol. V Hippocr. vol. 5 p. 204): *ἐβλιμάσθη — παρὰ τὸ βλίσσειν, ὅ ἐστι μαλάττειν, ὡς Ἀριστοφάνης ἐν Ὄρνισι φησίν 'εἶτα λαβόντες πωλοῦσ' ἀώρους, ἐπ' ὠνοῦνται βλιμάζοντες'* (Av. 530). *ὁμοίως καὶ Σοφοκλῆς μέμνηται τῆς λέξεως ἐν Πανδώρᾳ.* Schneidewin suspicatur Sophoclem citari de verbo *βλίσσειν* (fr. 710).

444

ἐνουρήθρα

Pollux 10, 44: *ἀμίς, ἣν Σοφοκλῆς ἐν Πανδώρᾳ ἐνουρήθραν καλεῖ.* eadem fere Anecd. Paris. vol. 4 p. 12, 13 et Schol. Hermog. vol. 7 p. 735 (Anecd. Oxon. vol. 4 p. 60). *ἐνουρήθραν* Pollux et Schol. Hermog., *ἐνουρῆθρον* Anecd. Paris.

445

χήλευμα

Hesych. 2 p. 472: *κεχήλωμ⟨αι⟩ πόδας· δέδεμαι συνερραμμένος* (*συνερραμένος* cod.) *τοὺς πόδας· χηλεύειν γὰρ τὸ ῥάπτειν — καὶ χήλευμα* (*χήλωμα* Brunck) *τὸ ὀπήτιον* (*τὸ σπήτιον* cod., emend. M. Schmidt et G. Dindorf). *Σοφοκλῆς Πανδώρᾳ ἢ Σφυροκόποις.* Pollux 7, 83: *ὀπήτια δὲ καὶ ὀπητίδια, ἃ καὶ χηλεύματα ἐκάλουν οἱ ποιηταί.* lemma glossae Hesychianae scribendum esse *κεχήλευμαι πόδας* arbitratur Dindorf, quae verba ex tragoedia petita censet.

ΠΕΛΙΑΣ

Πελίαν eandem esse fabulam ac *Ῥιζοτόμους* coniecit Boettiger: God. Hermann titulum corruptum existimans *ἐν Πηλεῖ* pro *ἐν Πελίᾳ* scribendum esse suspicatus est.

446

λευκὸν αὐτὴν ὧδ' ἐπαίδευσεν γάλα

Erotian. Gloss. Hippocr. p. 108, 8: *παιδικὸν πάθος· παιδείαν νῦν τὴν παιδοτροφίαν. ὅθεν καὶ Σοφοκλῆς ἐν Πελίᾳ φησί 'λευκὸν — γάλα'. λευκὸν* (*λευκὴν* Cobet Mnem. 9 p. 84) *γὰρ αὐτὴν* Brunck, *οὐ λευκὸν αὐτὴν* Welcker, *λύκειον αὐτὴν* ego temptabam. *ὅδ' ἐπαίδευσε* libri, *οὐκ ἐπαίδευσεν* Brunck et Cobet, *ὧδ' ἐπαίδευσεν* Welcker.

ΠΗΛΕΥΣ

Argumentum videtur fuisse Peleus ab Archandro et Architele Acasti filiis pulsus. Schol. A Eur. Tro. 1128: *ὁ μὲν Εὐριπίδης*

ὑπὸ Ἀκάστου φησὶν ἐκβεβλῆσθαι τὸν Πηλέα· εἰσὶ δὲ οἵ φασιν ὑπὸ τῶν δύο αὐτοῦ παίδων, Ἀρχάνδρου καὶ Ἀρχιτέλους, κατὰ τὸν καιρὸν (*σκανὸν* A, corr. L. Dindorf) *ὃν ἔμελλον Ἕλληνες ἐξ Ἰλίου ἐπανιέναι, ἐξεληλάσθαι καὶ ἐλθόντα εἰς ἀπάντησιν τῷ Νεοπτολέμῳ προσελθεῖν διὰ χειμῶνα τῇ Κῷ τῇ νήσῳ καὶ ξενισθέντα ὑπὸ Μόλωνός τινος Ἄβαντος ἐκεῖ καταλύσασθαι τὸν βίον.* Horatius Epist. 2, 3, 95: *et tragicus plerumque dolet sermone pedestri Telephus et Peleus, cum pauper et exul uterque proicit ampullas et sesquipedalia verba.* Aristot. Poet. c. 18 p. 1456 a 2: *τραγῳδίας δὲ εἴδη εἰσὶ τέσσαρα· τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη. ἡ μὲν πεπλεγμένη — ἡ δὲ παθητική — ἡ δὲ ἠθική, οἷον αἱ Φθιώτιδες καὶ ὁ Πηλεύς.*

447

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γεροντάγωγῶ κἀναπαιδεύω πάλιν·
πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

Clemens Alex. Strom. VI p. 748: *Σοφοκλέους ἐν τῷ Πηλεῖ 'Πηλέα — ἀνήρ'.* v. 1 *Αἰάκειον* pro *Αἰάκιον* scripsit Sylburg. v. 2 *καὶ ἀναπαιδεύω* (om. *πάλιν*) Clem. et quidam Tryphonis libri. expressit hunc versum Ar. Eq. 1099: *καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ γεροντάγωγεῖν κἀναπαιδεύειν πάλιν.* ubi Scholia: *ὅλον δὲ τὸ ἰαμβικὸν παρῴδησεν ἀπὸ τοῦ Πηλέως Σοφοκλέους.* Trypho Rhet. vol. 8 p. 741 (cf. Moschop. Opusc. p. 78): *ὡς παρὰ Σοφοκλεῖ 'γεροντάγωγῶ κἀναπαιδεύω πάλιν'.* Cocondrius Rhet. vol. 8 p. 784: *καὶ Σοφοκλῆς ἀπὸ τοῦ παιδαγωγῶ γεροντάγωγῶ.* cf. Com. anon. vol. 4 p. 674: *γεροντάγωγῶν κἀναμισθαρνεῖν διδούς.*

448

τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς.

Stob. Flor. 121, 9 (ecl. habent SA, om. M): *Σοφοκλέους Πηλέως* (*Πηλέως* om. S). *'τὸ μὴ — κακῶς'.* similiter in Pirithoo fr. 596 Euripides: *οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς;*

449

ὀμορροθῶ, συνθέλω,
συμπαραινέσας ἔχω

Ar. Av. 851: *'ὀμορροθῶ — ἔχω', προσόδια μεγάλα σεμνὰ προσιέναι θεοῖσιν· ἅμα δὲ προσέτι χάριτος ἕνεκεν προβάτιόν τι θύειν.* ubi Scholia: *ὀμορροθῶ] Σοφοκλέους ἐκ Πηλέως· ἀντὶ τοῦ τὸ αὐτὸ φρονῶ.* quid Sophocles dixerit parum constat.

450

ἴτω δὲ Πυθιὰς βοά.

Ar. Av. 857: ἴτω ἴτω, ἴτω δὲ Πυθιὰς βοὰ τῷ θεῷ. ubi Scholia: Πυθιὰς βοά] — καὶ τοῦτο δὲ ἐκ Πηλέως. Sophoclis Peleum dici docet annotatio v. 851 adscripta (fr. 449). ἴτω ἴτω δὲ Πυθιὰς βοᾷ θεῷ scripsisse Sophoclem coni. Bentley.

451

βοάσομαί τἄρα τὰν ὑπέρτονον

Ar. Nub. 1154: βοάσομαί τἄρα τὰν ὑπέρτονον βοάν. ἰώ, κλάετ' ὠβολοστάται κτλ. ubi Scholia: παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου (Σοφοκλέους V). eadem verba Phrynichus Com. vol. 2 p. 598 expressisse traditur.

452

βασιλεὺς χώρας τῆς Δωτιάδος

Stephanus Byz. p. 257, 9: Δώτιον, πόλις Θεσσαλίας — ὁ πολίτης Δωτιεύς — τὸ θηλυκὸν — Δωτιάς, ὡς Ἰλιάς τοῦ Ἰλιεύς. Σοφοκλῆς ἐν Πηλεῖ 'βασιλεὺς — Δωτιάδος'.

453

μὴ ψεῦσον, ὦ Ζεῦ, μή μ' ἕλῃς ἄνευ δορός.

Ar. Thesm. 870: μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος. ubi Scholia: σύνηθες τὸ σχῆμα. Μένανδρος 'οἶσθ' ὃ ποίησον'. Σοφοκλῆς Πηλεῖ 'μὴ ψεῦσον — δορός'. respicit Antiatt. p. 107, 30: μὴ νόμισον ἀντὶ τοῦ μὴ νομίσῃς. Σοφοκλῆς Πηλεῖ καὶ 'μὴ ψεῦσον'. Sophoclis et Aristophanis versus confudit Suidas v. ψεῦσον.

454

καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν

Harpocr. p. 134, 5: ξηραλοιφεῖν — τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι — Σοφοκλῆς Πηλεῖ (πῆλε AB) 'καὶ — πτυχῶν'. cf. Hesych. v. ξηραλοιφεῖν vol. 3 p. 170.

455

Κυκνῖτις

Stephanus Byz. p. 392, 5: Κυκνῖτις (χώρα Θεσσαλίας addi iubet Meineke), ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφοκλῆς ἐν Πηλεῖ.

456

λιποψυχεῖν

Antiatt. p. 106, 13: *λιποψυχεῖν· Σοφοκλῆς Πηλεῖ.*

ΠΛΥΝΤΡΙΑΙ v. ΝΑΥΣΙΚΑΑ

ΠΟΙΜΕΝΕΣ

Summam argumenti indicare videtur Proclus Chrestom. ed. Gaisf. p. 456: *ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες, καὶ θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος· ἔπειτα Ἀχιλλεὺς αὐτοὺς τρέπεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος.* probabiliter Welcker huc rettulit fr. 725 et 743, Pappageorgius fr. 818. 'fabula ex illo genere fuit, quod satyrorum locum tenebat'. *G. Hermann* Philol. vol. 2 p. 135.

457

Schol. Lycophr. 529: *ἱστορεῖ δὲ Σοφοκλῆς ἐν Ποιμέσιν ὑπὸ τοῦ Ἕκτορος ἀναιρεθῆναι τὸν Πρωτεσίλεων.* eadem Tzetzes in Lycophr. 530.

458

ἡδὺ ξανῆσαι καὶ προγυμνάσαι χέρα.

Phot. Lex. p. 307, 18 et Suidas: *ξανῶ· κοπιάσω. Σοφοκλῆς Ποιμέσιν· Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαι φησίν* '*ἡδὺ — χέρα*'. cf. Hesych. 3 p. 168: *ξανῆσαι· κοπιᾶσαι.* Photius Lex. p. 307, 14 et Suidas: *ξανήσει· κοπιάσει.* hoc loco positum *ἡδὺ* num ferri possit dubitat Hilberg *Princip der Silbenwägung* p. 215.

459

βοὴν Κυκνῖτιν

Stephanus Byz. p. 392, 6: *Κυκνῖτις — Σοφοκλῆς ἐν Πηλεῖ. καὶ ἐν Ποιμέσι* '*βοὴν Κυκνῖτιν*'. *βοὴν* corruptum videtur.

460

καὶ μὴ ὑβρίζων αὐτίκ' ἐκ βάθρων ἕλω
ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός

Hesych. 3 p. 437: *ῥυτῆρι κρούων. ὁ Κύκνος λέγει* '*καὶ μὴ — ὑπτίου πόλος*'. *ἔνιοι δὲ οὐκ ἐπὶ τοῦ Κύκνου ἀλλ' ἐπὶ τῶν πολεμίων, ὥστε εἶναι τὸν λόγον, φεύγοντας αὐτοὺς τῷ ὑπτίῳ ποδὶ τοὺς ἰδίους γλουτοὺς ποιήσω τύπτειν.* Sophoclis nomen servavit Photius Lex. p. 493, 13: *ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός. Σοφοκλῆς.* v. 1 *καὶ μὴν* Brunck. *ὑβρίζοντ'* coni. Wagner. *ἕλω*] *σ' ἑλῶ* Brunck, *ὅλῳ* M. Schmidt coll. Apostol. 12, 63: *ὅλῳ ποδί· ἐπὶ τῶν ταχέως τι*

ποιούντων, ὁμοία τῇ ʻ ὅλῳ ῥυτῆρι'. probabilior videtur Meinekii sententia, qui in Oed. Col. p. 211 sq. *ῥυτῆρα ποδός* dici existimat calceum, sicut *παράρυμα ποδός* fr. 484 de solea pedes tegente dictum sit. v. 2 *κρούσω* coni. Blaydes in Oed. C. 900. *γλουτὸν* om. Hesychius. *πόλος* Hesychius, *ποδός* Phot. *Ποιμέσι* fragmentum adscripsit Welcker.

461

ἑωθινὸς γάρ, πρίν τιν' αὐλιτῶν ὁρᾶν,
θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα
εἶδον στρατὸν στείχοντα παραλίαν πέτραν.

Harpocr. p. 130, 16: *Νάννιον — Ἀπολλόδωρος ἐν τῷ περὶ ἑταιρῶν Αἶγα λέγεσθαι φησὶ ταύτην τὴν ἑταίραν διὰ τὸ Θαλλὸν τὸν κάπηλον καταφαγεῖν· ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες, καὶ Σοφοκλῆς Ποιμέσιν* (*πύλεσιν* AC, *πύλαισιν* B) *ʻ ἑωθινὸς — πέτραν'.* Ath. XIII p. 587 A: *ὅ γε Σοφοκλῆς ἐν Ποιμέσιν ὅτι θαλλοφαγεῖ τὸ ζῷον φησὶν οὕτως ʻ ἑωθινὸς — ἄκραν'.* v. 1 *αὐλητῶν* Harp. et Ath., *αὐλήτην* (*τὸν τοῦ κόπρου ἐπιμελούμενον τῶν προβάτων*) Hesychius 1 p. 322, *αὐλιτῶν* coni. Bekker, cf. Meineke in Steph. Byz. p. 146. *περᾶν* pro *ὁρᾶν* bene coni. Meineke *Jahrb. f. Philol.* vol. 87 (a. 1863) p. 383. v. 2 *χιμαίρᾳ* Ath., *χίλια* vel *χιλίαις* Harp. *νεοσπάδα* Casaubonus, *νεόπαιδα* Harp., *νεὸς* (vel *νέος*) *παῖδα* Ath. v. 3 *εἶδον*] *ἴδον* Ath. *πέτραν* Harp., *ἄκραν* Ath.

462

ἔνθ' ἡ πάροικος πηλαμὺς χειμάζεται,
πάραυλος Ἑλλησποντίς, ὡραία θέρους
τῷ Βοσπορίτῃ· τῷδε γὰρ θαμίζεται.

Ath. VII p. 319 B: *πηλαμύς — μνημονεύει αὐτῶν καὶ Σοφοκλῆς ἐν Ποιμέσιν ʻ ἔνθ' — θαμίζεται'.* v. 1 *ἔνθ' ἡ* C, *εἰθ' ἡ* A. respicit Hesych. 3 p. 331: *πηλαμύς, διὰ τοῦ Υ, ἰχθὺς ἐν Πόντῳ.* Phot. Lex. p. 428, 12: *πηλαμύς διὰ τοῦ Υ.* v. 2 *πάροικος* Ath., *πάραυλος* restituit Bergk ex Hesych. 3 p. 278: *πάραυλος. ʻπάραυλος Ἑλλησπόντου ὥρα θέρους'. ἡ κατὰ τὸ θέρος ἀκμάζουσα.* v. 3 *τῷδε*] *τῇδε* Ellendt Lex. Soph. 2 p. 268. Hesychius 2 p. 299: *θαμίζεται· ὁμιλεῖ.*

463

κημοῖσι πλεκτοῖς πορφύρας φθείρει γένος

Schol. Ar. Eq. 1150: *κημός — πλέγμα τι ἐκ σχοινίων γινόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν —. ἐν αὐτοῖς δὲ τούτοις ἐστὶ καὶ τὸ δέλεαρ, ὡς φησὶν Ἡρῳδιανὸς παρατιθέμενος τὰ Σοφοκλέους ἐκ Ποιμένων ʻ κημοῖσι — γένος'.* cf. Hesych. 2 p. 475: *κημός· πλεκτὸν ἀγγεῖον, ἐν ᾧ λαμβάνουσι τὰς πορφύρας.*

464

τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

Plut. V. Agidis c. 1: οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν 'τούτοις — κλύειν'. ad Ποιμένας locum rettulit Brunck.

465

τειχέων καὶ δὴ τοὺς Ποσιδείους
. . θριγκοὺς ἀποσεισαμένη

Herod. π. μον. λέξ. p. 11, 4: ὁμοίως δὲ καὶ ἀρσενικῶς κτητικῶς Ποσίδειος (ποσείδιος cod.) ὡς Ἡράκλειος ἆθλος. Σοφοκλῆς Ποιμέσι 'τυχῶν — ἀποσεισαμένη'. v. 1 τυχῶν cod. Havn., τειχὼν Vind., τειχέων Dindorf, τοίχων ego proposui. ποσειδίους libri. v. 2 initio mutilus videtur, nisi cum Lehrsio ἀποσεισαμένη θριγκούς scribendum. ⏑ ⏑ — καὶ δὴ τοὺς Ποσιδείους | τοίχων θριγκοὺς ἀποσεισαμένη coni. Ahrens Philol. 23 p. 7.

466

κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου

Suidas: ἀμφήμερον· τὸν ἀμφημερινὸν πυρετόν. Σοφοκλῆς Ποιμέσι 'κρυμὸν — ἀμφημέρου'.

467

λόγῳ γὰρ ἕλκος οὐδὲν οἶδά που τυχεῖν

Schol. Soph. Ai. 581 (e cod. Flor. G editum a Dindorfio p. 90): οὐκ ἔστιν ἰατροῦ σοφοῦ ἐπῳδαῖς χρῆσθαι τοῦ τραύματος ἤδη τομῆς δεομένου. καὶ ἐν Ποιμέσι 'λόγῳ γὰρ ἕλκος οὐδὲν οἶ π̊ τυχεῖν'. eadem Suidas v. θρηνεῖν ἐπῳδάς, ubi Sophoclis versus sic scribitur, λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά που χανόν. certa versus medela desideratur. οἶδά πω μύσαν Meineke (πω cum Dindorfio), οἶδά πω χανὸν ⟨μεμυκέναι⟩ Gomperz, οἶδά που τυχὸν ⟨τομῆς⟩ Pappageorgius de schol. Soph. p. 20, οὐλοῦται χανόν F. G. Schmidt *Krit. Stud.* 1 p. 260. ego olim proposui οἶδ' ἄκους τυχεῖν (vel τυχόν).

468

κυνὸς πελλῆς τε μηκάδος βοὸς ῥηνέων

Erotian. Gloss. Hippocr. p. 109, 7: πελλόν· ὑπόφαιον. ἀγνοοῦντες δέ τινες γράφουσι πέλιον ὡς καὶ Σοφοκλῆς ἐν Ποιμέσι καὶ ἐν Ἀμφιαράῳ φησί 'κυνὸς πέλλης τε μηκάδος βοὸς ῥηνέων. ex Amphiarai loco aliunde noto (vide fr. 110) apparet verba κυνὸς κτἑ.

esse *Ποιμέσιν* adscribenda. ante *ὡς* quaedam verba excidisse recte statuit Klein. Sophoclem scripsisse *αἰγός τε πελλῆς μηκάδος* coni. Duentzer Philol. 3 p. 138. *βοὸς ῥηνέων*] *ῥινὸν βοός* Brunck, *βοῦ τ' ἄρσενος* Lobeck Paral. p. 344.

469

Ἴδης δή ποτε μηλοτρόφοι
ἄγενναι τὴ ει τὴν τῆς Ἴδης
τριολύμπιον ἅρμα

Schol. M Eur. Andr. 276: *ὁ Μαίας τε καὶ Διὸς τόκος· ὁ Ἑρμῆς. μέμνηται δὲ τῆς ἱστορίας ἐκείνης ἔνθα ⟨περὶ⟩ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῷ Πάριδι. τοιαῦτά ἐστι καὶ τὰ παρὰ Σοφοκλεῖ ἐν τοῖς Ποιμέσιν 'Ἴδης — ἅρμα'.* v. 1 *δήποτε* Cobet, *δήπογε* cod. de verbis extremis cf. Hesych. 4 p. 175: *τριολύμπιον ἅρμα· τὸ ἐκ τριῶν Ὀλυμπιάδων ἐζευγμένον.* cetera obscura et incerta. coniecturas adhuc prolatas taceri praestat, melius quam alii rem gessit God. Hermann Philol. 2 p. 135.

470

Βερέκυντα βρόμον

Hesych. 1 p. 372: *Βερέκυντα βρόμον* (*βερεκύντα βόμον* cod.)· *Φρύγιον αὐλόν. Σοφοκλῆς Ποιμέσιν.*

471

Φοινικίοις γράμμασι

Hesych. 4 p. 251: *Φοινικίοις γράμμασι. Σοφοκλῆς Ποιμέσιν. ἐπεὶ δοκεῖ Κάδμος αὐτὰ ἐκ Φοινίκης* (*ἐν φοίνικος* ante Gronovium) *κεκομικέναι.*

472

ἰὼ βαλλήν

Sextus Empir. p. 672, 26: *οἱ παρὰ τῷ Σοφοκλεῖ ποιμένες 'ἰὼ βαλλήν' λέγοντες ἰὼ βασιλεῦ λέγουσι Φρυγιστί.* Hesych. 1 p. 356: *βαλλήν· βασιλεύς, Φρυγιστί.*

473

ἀναλῶσαι

Hesych. 1 p. 177: *ἀναλῶσαι· ἀφανίσαι. ποιμένεσιν.* ita codex: *Σοφοκλῆς Ποιμέσιν* corr. Soping et alii.

474

βαρίβας

Antiatt. p. 84, 11: *βᾶρις· κατ' οἰκίας καὶ πλοίου. Σοφοκλῆς ἐν Ποιμέσι βαρίβαν λέγει τὸν ναύτην ἢ τὸν τῆς βάρεως ἐπιβεβηκότα.* Hesych. 1 p. 361: *βαρυδάνιν, βαρύδαν· τὸν ναυσιβάτην, ἐν ναυσὶν ἐλθόντα.* ubi *βαριβάτην, βαρίβαν* nondum cognito Sophoclis loco coni. Soping. dixisse Sophoclem *βαρίβαν λεών* de exercitu Graecorum navibus Troiam profecto arbitratur L. Dindorf.

475

Γραῖκες

Stephanus Byz. p. 212, 20: *Γραικός, ὁ Ἕλλην — Γραῖκες δὲ παρὰ Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες, καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν.* Antiatt. p. 88, 1: *Γραικός· ὁ Ἕλλην.* cf. fr. 983.

476

Ἴαννα

Hesych. 2 p. 338, quem locum attulimus fr. 53.

477

παρασάγγαι

Claudii Casilonis *παρὰ τοῖς Ἀττικοῖς ῥήτορσι ζητούμενα* in Milleri *Mélanges de litt. gr.* p. 397 sive Lex. rhet. post Phot. p. 674, 27: *σαγγάνδαι* (l. *ἀστάνδαι*) *δὲ οἱ ἀποστελλόμενοι καλοῦνται. Σοφοκλῆς δὲ ἐν Ποιμέσι καὶ Εὐριπίδης ἐν Σκυρίαις παρασάγγας αὐτοὺς κεκλήκασιν.* cf. Hesych. 3 p. 276: *παρασαγγιλόγῳ· οἱ Πέρσαι τοὺς διαγγέλλοντας οὕτω λέγουσι.* ubi *παρασάγγῃ λόγῳ* scribendum conieci, rectius *παρασάγγῃ· ἀγγέλῳ* proposuit Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 23, cf. Soph. fr. 121.

478

ψό

Herod. *π. μον. λέξ.* p. 46, 18: *παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν εἴρηται τὸ ψό.* Etym. M. p. 405, 32: *τὸ ψό ἐν Ποιμέσι Σοφοκλέους ἐπίφθεγμα.* Anecd. Oxon. vol. 1 p. 118, 14: *τὸ γὰρ ψό παρὰ τῷ Σοφοκλεῖ ποιμενικὸν ἐπίφθεγμα.* ibid. p. 343, 24: *τὸ ψό ἐπίφθεγμα παρὰ Σοφοκλεῖ.*

ΠΟΛΥΙΔΟΣ v. ΜΑΝΤΕΙΣ

ΠΟΛΥΞΕΝΗ

Schol. Eur. Hec. 3: *τὰ περὶ τὴν Πολυξένην ἔστι καὶ παρὰ Σοφοκλεῖ εὑρεῖν.* hanc fabulam Ruhnkenio iudice respexit Longinus de subl. c. 15, 7: *ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου — πεφάντασται καὶ κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων ἐπὶ*

τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου. 'inducebatur Achillis umbra, quodque apud Euripidem narratur initio Hecubae, id Sophocles spectatorum subiecerat oculis.' *Brunck.* cf. Hygin. fab. 110. Aristotelem ubi inter tragoedias e parva Iliade derivatas Ἀπόπλουν commemorat de hoc dramate cogitasse suspicatur Welcker; locus exstat Poet. 23 p. 1459 b 7: ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον Ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, Πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ Ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες.

479

σὺ δ' αὖθι μίμνων τήνδ' ἀν' Ἰδαίαν χθόνα
ποίμνας Ὀλύμπου συναγαγὼν θυηπόλει.

Strab. X p. 470: ὁ δ' οὖν Σοφοκλῆς ποιήσας τὸν Μενέλαον ἐκ τῆς Τροίας ἀπαίρειν σπεύδοντα ἐν τῇ Πολυξένῃ, τὸν δ' Ἀγαμέμνονα μικρὸν ὑπολειφθῆναι βουλόμενον τοῦ ἐξιλάσασθαι τὴν Ἀθηνᾶν χάριν, εἰσάγει λέγοντα τὸν Μενέλαον 'σὺ — θυηπόλει'. v. 1 σὺ] σοῦ Cdh. αὖθι vitiosum, αὖτε proposui *Eur. Stud.* 2 p. 9. τὴν (vel τοῦ) κατ' Ἰδαίαν χθόνα libri, που κατ' Ἰδαίαν χθόνα Xylander, τῇδ' ἐπ' Ἰδαίᾳ χθονί Ellendt Lex. Soph. 1 p. 829, τήνδ' ἀν' Ἰδαίαν χθόνα Pappageorgius Κριτ. καὶ ἑρμ. p. 23 sq.

480

ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς
λιποῦσα λίμνης ἦλθον, ἄρσενας χοὰς
Ἀχέροντος ὀξυπλῆγας ἠχούσας γόους.

Porphyrius in Stob. Ecl. 1, 49, 50 p. 419, 4: Ἀχέρων δὲ καὶ Ἀχερουσία λίμνη ταὐτόν, ὡς καὶ Σοφοκλῆς ἐν Πολυξένῃ τὴν Ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν 'ὦ τὰς — χοάς', ⟨ἀπαίωνας ἀκτὰς⟩ τὰς τῶν νεκρῶν λέγων παιῶν' οὐκ ἐχούσας δὲ ⟨χοὰς⟩ τὰς οὐδὲν ἐκτρεφούσας. v. 1 ὦ τὰς libri, ἀκτὰς Iacobs. ἀπαίωνάς τε Canter, ἀπ' αἰῶνάς τε FP. μελαμβαθεῖς F, μελαμβαφεῖς P, μελαμφαεῖς coni. Valckenaer in Eur. Phoen. 1017. v. 2 ἦλθον ἄρσενας χοάς, quae verba in FP post γόους (v. 3) leguntur, transposuit Heyne. ἄρσενας ῥοὰς coni. Meineke in Oed. Col. p. 203. v. 3 ἠχούσας Grotius, ἠχοῦσα FP.

481

οὐ γάρ τις ἂν δύναιτο πρῳράτης στρατοῦ
τοῖς πᾶσιν εἶξαι καὶ προσαρκέσαι χάριν·
ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος·

βροτοῖς ⟨δ'⟩ ἂν ἐλθὼν ἐς λόγον δίκην ὄφλοι. 5
πῶς δῆτ' ἔγωγ' ἂν θνητὸς ἐκ θνητῆς τε φὺς
Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος;

Stob. Flor. 49, 13: τοῦ αὐτοῦ (sic SA, σοφοκλέους M) Πολυξένῃ. 'οὐ γάρ — σοφώτερος;' v. 1 πρωρατὴς ed., πρωρατης sine accentu S, πρώρτῇ A, πρῳράτης Dindorf. v. 2 πᾶσιν εἶξαι Wecklein Art. Soph. em. p. 18, πᾶσι δεῖξαι libri. v. 4 ἐξ ἐπόμβρων S, ἐξεπόμβρων M, ἐξ ἐπομβρῶν A, ἐξεπομβρῶν Grotius, ἔστ' ἐπομβρῶν scripserim cum Herwerdeno Lucubr. Soph. p. 77, qui apte comparat Theogn. 26: οὐδὲ γὰρ ὁ Ζεὺς οὔθ' ὕων πάντεσσ' ἁνδάνει οὔτ' ἀνέχων. verbo ἐξεπομβρῶν Tzetzam Chil. 3, 59 usum esse annotat Dindorf. v. 5 δ' addit Dobree Adv. 2 p. 53. ἂν ἐλθὼν ἐς λόγον δίκην Dobree, ἀνελθὼν ἐς δίκην λόγων libri. v. 6 ἔγωγ' ἂν θνητὸς O. Hense duce Meinekio, qui ἐκ non debebat in ὢν mutare, ἐγὼ θνητός γ' ἂν SM, ἐγὼ θνητός γ' ὢν A. v. 7 εὐφρονεῖν S.

482

ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους

Schol. Ap. Rhod. 2, 1121: νύχθ' ὑπὸ λυγαίην] τὴν σκοτεινήν —. Σοφοκλῆς Πολυξένῃ 'ἀπ' — νέφους'. κνέφους coni. Meineke.

483

χιτών σ' ἄπειρος ἐνδυτήριος κακῶν

Etym. M. p. 120, 48: ἄπειρος — λέγει δὲ Ὧρος ὅτι σημαίνει τὸ ἄπειρος καὶ χιτῶνα διέξοδον μὴ ἔχοντα, ὡς παρὰ Σοφοκλεῖ ἐν Πολυξένῃ 'χιτών — κακῶν'. Philoponus in Aristot. Phys. 3, 4 p. 390, 20 Vit.: τὸν κύκλον ἄπειρον φαμὲν τῷ μὴ ἔχειν πέρατα, καὶ 'χιτῶνα ἄπειρον' φασὶ τὸν μὴ ἔχοντα διαίρεσιν.

484

παράρυμα ποδός

Hesych. 3 p. 276: παραρύμα. Σοφοκλῆς Πολυξένῃ 'παράρυμα ποδός', ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ ἅρματος (εἵματος vel ῥάμματος coni. Toll) πρὸς κάλλος. τινὲς δὲ σχοινίον ἐν ταῖς ναυσίν· οἳ δὲ ὑπόδημα. Phot. Lex. p. 389, 1: παράρυμμα ποδός· τὰ ὑποδήματα τὰ ῥυόμενα τοὺς πόδας.

*485

Harpocr. p. 92, 23: ἠκρωτηριασμένοι —· ἀντὶ τοῦ λελυμασμένοι· οἱ γὰρ λυμαινόμενοί τισιν εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα, ὡς καὶ Σοφοκλῆς Πολυξένῃ.

ΠΡΙΑΜΟΣ

486

γλαρίδες

Pollux 7, 118: *καὶ λατύπους δὲ Σοφοκλῆς, ὅπου καὶ ἐργαλεῖα τῶν λατύπων ὀνομάζει λείας καὶ γλαρίδας.* Pollux 10, 147: *οἰκοδόμου σκεύη λεῖαι, γλαρίδες, ὡς Σοφοκλῆς ἐν Πριάμῳ.*

487

λατύποι

Pollux 7, 118. vide fr. 486.

488

λεῖαι

Pollux 7, 118 et 10, 147. vide fr. 486.

489

χυτρίζειν

Schol. Ar. Vesp. 289: *ἐγχυτριεῖς, ἀπὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς ἀποκτεῖναι* (*τὸ ἐκτιθέναι* recte H. Weil in Aesch. Sept. p. X) *χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ.* Hesych. 4 p. 302: *χυτρίζειν· ἐν χύτρᾳ ἐκτιθέναι* (*τιθέναι* cod.).

ΠΡΟΚΡΙΣ

De mytho cf. Pherecydes in Schol. V Od. *λ* 321 et Ovid. Metam. 7, 694—862.

490

. . *κολασταὶ κἀπιτιμηταὶ κακῶν*

Pollux 9, 140: *τὰ μὲν σκληρὰ τὰ δὲ μᾶλλον πρὸς ἕτερα πλὴν τοῦ ἐπιτιμητοῦ, ᾧ κέχρηται Σοφοκλῆς εἰπὼν ἐν τῇ Πρόκριδι 'κολασταὶ — κακῶν'.* eadem nomina coniunxit Eur. Suppl. 255: *τούτων κολαστὴν κἀπιτιμητήν, ἄναξ.*

ΡΙΖΟΤΟΜΟΙ

Argumenti indicium praebent Macrobii verba fr. 491 allata, unde videtur Medea proposita fuisse *κτανεῖν πείθουσα Πελιάδας κόρας πατέρα.* qua de re v. Apollod. 1, 9, 27 Hygin. fab. 24 al. fortasse huc referenda sunt fr. 446 et 746. item Hesychii glossam, *κυκλάμινος· πόα τις ὑπὸ τῶν ῥιζοτόμων,* ex Sophoclis *Ῥιζοτόμοις* petitam esse coni. M. Schmidt 2 p. 549.

491

ἡ δ' ἐξοπίσω χερὸς ὄμμα τρέπουσ'
ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς
χαλκέοισι κάδοις δέχεται . .
. . . .
. . . . *αἱ δὲ καλυπταὶ*
κίσται ῥιζῶν κρύπτουσι τομάς, 5
ἃς ἥδε βοῶσ' ἀλαλαζομένη
γυμνὴ χαλκέοις ἤμα δρεπάνοις

Macrobius Sat. 5, 19, 9: *haec res nonne quaestione digna est, unde Vergilio aeneae falces in mentem venerint? ponam itaque Vergilianos versus, mox et inde Sophoclis quos Maro aemulatus est. 'falcibus et messae ad lunam quaeruntur aenis pubentes herbae nigri cum lacte veneni'. Sophoclis autem tragoedia id de quo quaerimus etiam titulo praefert; inscribitur enim* Ῥιζοτόμοι. *in qua Medeam describit maleficas herbas secantem, sed aversam, ne vi noxii odoris ipsa interficeretur, et sucum quidem herbarum in cados aeneos refundentem, ipsas autem herbas aeneis falcibus exsecantem. Sophoclis versus hi sunt* 'ἡ δ' ἐξοπίσω — δέχεται' (v. 1—3) *et paulo post* 'αἱ δὲ — δρεπάνοις' (v. 4—7). v. 1 ομμασι τρεπουσα P. v. 3 καδιος P. v. 4 καλυπταὶ Valckenaer Diatr. p. 167, καλυπτραι P. v. 5 κρύπτουσι τομάς] κρυπτουσιν (om. τομάς) P. v. 6 ὀλολυζομένη coni. Ellendt. v. 7 γυμνὴ] πρυμνὰς Herwerden Exerc. crit. p. 19 coll. Il. *M* 149. δρεπανοις τομας P, τομάς del. Bentley (v. Mus. Rhen. 36 p. 325) et Valckenaer.

492

Ἥλιε δέσποτα καὶ πῦρ ἱερόν,
τῆς εἰνοδίας Ἑκάτης ἔγχος,
τὸ δι' Οὐλύμπου πωλοῦσα φέρει
καὶ γῆς ναίουσ' ἱερὰς τριόδους,
στεφανωσαμένη δρυῒ καὶ πλεκτοῖς 5
ὠμῶν σπείραισι δρακόντων.

Schol. Ap. Rhod. 3, 1214: ὅτι δράκουσι καὶ δρυΐνῳ κλάδῳ στέφεται ἡ Ἑκάτη καὶ Σοφοκλῆς ἐν Ῥιζοτόμοις τὸν χορὸν πεποίηκε λέγοντα 'Ἥλιε — δρακόντων'. v. 2 ἐνοδίας L. v. 3 Ὀλύμπου L, Οὐλύμπου Valckenaer. πολοῦσα L, πωλοῦσα H. Keil, πάλλουσα Dobree Adv. 2 p. 53. πόλ⟨ον οὐράνιον θύ⟩ουσα φέρει M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 540. v. 4 ναίουσα L. v. 5 δρυσὶ L, δρυῒ Ellendt. πλείστους L, πλεκτοῖς Valckenaer. v. 6 ὦμοι σπείρουσι δράκοντας L, ὠμῶν σπείρῃσι δρακόντων Valckenaer Diatr. p. 167.

493

κόρον ἀιστώσας πυρί

Hesych. 1 p. 87: *ἀιστώσας· διαχέας καὶ τήξας. Σοφοκλῆς Ῥιζοτόμοις 'κόρον ἀιστώσας* (*ἱστώσας* cod.) *πῦρ'*. ubi *κηρὸν ἀιστώσας πυρί* coni. Kuster, qui *αἰστώσας* scribere poterat.

ΣΑΛΜΩΝΕΥΣ ΣΑΤΥΡΙΚΟΣ

De argumento dramatis cf. Apollod. 1, 9, 7 et Hygin. fab. 61.

494

τάδ' ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος,
τῷ καλλικοσσαβοῦντι νικητήρια
τίθημι καὶ βαλόντι χάλκειον κάρα.

Ath. XI p. 487 D: *καλεῖται δὲ μάνης καὶ τὸ ἐπὶ τοῦ κοττάβου ἐφεστηκός, ἐφ' οὗ* (*ἀφ' οὗ* ante Bentleium) *τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον· ὅπερ ὁ Σοφοκλῆς ἐν Σαλμωνεῖ* (*σαλμωνι* A) *χάλκειον* (*χαλκεῖον* ante Dindorfium) *ἔφη κάρα λέγων οὕτως 'τάδ' — κάρα'*. v. 2 *καλλικοτταβοῦντα* libri. v. 2 sq. *νικητήρι' ἃ τίθημι* coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 540, *νικητήρια τιθέμενα* Enger Adnot. ad trag. Gr. fr. p. 22. v. 3 *καὶ βαλόντι*] *τῷ βάλλοντι* malim. *χαλκεῖον* ante Dindorfium.

495

καὶ τάχ' ἂν κεραυνία
πέμφιξ σε βροντῆς καὶ δυσοσμίας βάλοι

Galenus vol. 17, 1 p. 879: *καὶ ὁ αὐτὸς* (Sophocles, cuius allatum erat fr. 313) *ἐν Σαλμωνεῖ σατύροις 'καὶ τάχ' ἂν — λάβοι'*. v. 1 sq. *κεραύνια πέμφιξι* libri, *κεραυνία πέμφιξ σε* Dobree. v. 2 *δυσοσμία* Madvig, an *δυσομβρίας*? *βάλοι* Bentley Epist. ad Mill. p. 59, *λάβοι* libri. alia temptavit Herwerden Exerc. crit. p. 26.

496

πέμφιγι πᾶσαν ὄψιν ἀγγέλῳ πυρός

Galenus vol. 17, 1 p. 881, ubi de nomine *πέμφιξ* disputatur: *ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος ἐν Σαλμωνεῖ σατύροις παρὰ Σοφοκλεῖ 'πέμφιγι — πυρός'*. *πᾶσαν*] *πλήσας* G. Hermann. *ὀψιαγέλων* ed., *ὄψιν ἀγγέλῳ* Bentley Epist. ad Mill. p. 59.

497

Καρικοὶ τράγοι

Hesych. 2 p. 413: *Καρικοὶ τράγοι· ὡς εὐτελῶν ὄντων. Σοφοκλῆς Σαλμωνεῖ. εἰ μὴ ἄρα ὑποσυγχέων* (*εἶπε συγχέων* Meineke) *τοὺς Κιλικίους.*

498

θῆμα

Hesych. 2 p. 315: *θῆμα· θήκη, τάφος, ἀνάθημα* (*ἄνθημα* cod.). *Σοφοκλῆς Σαλμωνεῖ* (*σαλμονεῖ* cod.).

ΣΙΝΩΝ

De Sinonis dolo quo Troianos fefellerit, omnia nota sunt: cf. Verg. Aen. 2, 57—198 et 233—265 Hygin. fab. 108 al. Sophoclei dramatis notitiam unus servavit Hesychius, cuius glossam fortasse huc referendam exhibuimus fr. 298.

499

αἰθύσσειν

Hesych. 1 p. 77: *αἰθύσσειν· ἀνασείειν. Σίνωνι Σοφοκλῆς.* ibid. p. 173: *ἀναιθύσσω* (*ἀναιθύσω* cod.)· *ἀνασείω. Σοφοκλῆς Σίνωνι* (*σινώμη* cod.). Anecd. Bekk. p. 360, 21: *αἰθύσσειν· ἀνασείειν, ἀνακαίειν.*

500

ἄρρητον

Hesych. 1 p. 289: *ἄρρητον· ἄφραστον, ἀνιστόρητον, ἀπόρρητον, ἄφωνον, αἰσχρόν. Σοφοκλῆς Σίνωνι* (*σίννωνι* cod.). cf. ibid. p. 279: *ἄρητον· βλαβερόν, πολυχρόνιον. Σοφοκλῆς συνώνυμον ὕστερος.*

501

ἐνθρίακτος

Hesych. 2 p. 99: *ἐνθρίακτος· ἐνθουσιῶν καὶ ἐνθέακτος* (*ἐνθεαστικός* coni. M. Schmidt). *Σοφοκλῆς Σίνωνι.*

ΣΙΣΥΦΟΣ

Sophoclis Sisyphum errori deberi coni. Welcker Trag. p. 402.

502

χαρίτων τριζύγων

Hesych. 2 p. 256: *ζεῦγος τριπάρθενον· Εὐριπίδης Ἐρεχθεῖ. καὶ Σοφοκλῆς Σισύφῳ ‘χαρίτων ζυγῶν’. Ἀριστοφάνης Ὥραις καταχρηστικῶς ἐπὶ τῶν τριῶν* (*ἐπὶ τὸ γ* cod.) *τὸ ζεῦγος ἔθηκε ‘ζεῦγος τρίδουλον’* (*τριδούλων* cod.). *χαρίτων τριζύγων* restituit Musurus, sicut *τριζυγέες χάριτες* Macedonius Anth. Pal. 11, 27 dixit, *τριζύγοις θεαῖσι* Eur. Hel. 357.

ΣΚΥΘΑΙ

Ex Argonautarum fabula dramatis argumentum petitum esse docent reliquiae; nihil docet quem Welcker huc rettulit locus Sergii Explanat. in Donat. Gramm. Lat. vol. 4 p. 490, 21 ed. Keil.: '*aliam scripsit Medeam Sophocles, item in alio furoris actu aliam Euripides, aliam diversi scriptores*'. Sophocleam Medeam ipse grammaticus videtur finxisse.

503

οὐ γὰρ ἐκ μιᾶς κοίτης ἔβλαστον, ἀλλ' ὃ μὲν Νηρηίδος
τέκνον ἄρτι βλάστεσκεν, ἣν Ἰδυῖα πρίν ποτε
Ὠκεανοῦ κόρη τίκτεν

Schol. Ap. Rhod. 4, 223: *ἐν δὲ τοῖς Σκύθαις ὁ Σοφοκλῆς ἑτερομήτορα τῆς Μηδείας τὸν Ἄψυρτον λέγει· 'οὐ γὰρ — τίκτεν'*. v. 1 *κοίτης* delendum coni. Valckenaer, *οὐ μιᾶς κοίτης ἔβλαστον* proposuit Ellendt. v. 2 *Εἰδυῖα* L, *Ἰδυῖα* Valckenaer Diatr. p. 224, qui tetrametros trochaicos voluit restitui. Idyiam Medeae matrem facit Hesiodus Theog. 958—62; quicum consentiet Sophocles, si cum deterioribus duobus libris *τὴν δ'* (pro *ἣν*) scripseris. Schol. Ap. Rhod. 3, 242: *Διονύσιος δὲ ὁ Μιλήσιος* (sc. *λέγει*) *Ἑκάτην μητέρα Μηδείας καὶ Κίρκης, ὡς προείρηται, Σοφοκλῆς Νέαιραν μίαν τῶν Νηρηίδων, Ἡσίοδος δὲ Ἰδυῖαν.* ad iambos verba supra adscripta revocat Bergk,

οὐ γὰρ ἐκ μιᾶς
κοίτης ἔβλαστον, ἀλλ' ὃ μὲν Νηρηίδος
τέκνον ⟨Νεαίρας⟩ ἄρτι βλαστάνεσκε, τὴν δ'
Ἰδυῖα πρίν ποτ' Ὠκεανοῦ ἔτικτεν πατήρ,

ubi v. 4 *τίκτει* praetulerim.

504

Schol. Ap. Rhod. 4, 284: *Ἑκαταῖος δὲ — ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδὲ διὰ Τανάιδος ἔπλευσαν* (*ἐκπλεῦσαι* coni. H. Keil), *ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον, ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ.* Schol. Dionys. Per. 10 p. 323, 23: *Αἰσχύλος δὲ ἐν Προμηθεῖ λυομένῳ καὶ Σοφοκλῆς ἐν Σκύθαις ὑπὸ τούτου* (sc. *Τανάιδος*) *διορίζεσθαι φησὶ τὰς ἠπείρους.*

505

κρημνούς τε καὶ σήραγγας ἠδ' ἐπακτίας
αὐλῶνας

Ath. V p. 189 D: *καλοῦσι δ' ἀρσενικῶς τοὺς αὐλῶνας — οἱ δὲ ποιηταὶ θηλυκῶς. — Σοφοκλῆς Σκύθαις 'κρημνούς — αὐλῶνας'*. v. 1

ἠδ' ἐπακτίους coni. G. Hermann, *ἠδὲ ποντίας* Blaydes in Soph. Trach. p. 31. apte Abresch contulit Verg. Georg. 3, 276: *saxa per et scopulos et depressas convalles.*

506

οὐκ ἀψάλακτος

Hesych. 1 p. 347: *ἀψάλακτος· ἀκίνητος, ἀψηλάφητος, ἀκράτητος. Σκύθαις* (*σκύθαν* cod.) *Σοφοκλῆς*. Phot. Lex. p. 359, 5: *οὐκ ἀποψάλακτος· οὐκ ἀκρότητος οὐδὲ ἀρράπιστος.* Hesych. 4 p. 305: *ψαλακτόν· οὐκ ἀνεύρητον* (*ἀνερεύνητον* Musurus). Anecd. Bekk. p. 475, 31: *ἀψάλλακτον· ἀψηλάφητον.*

507

ἀχιλλείων

Erotian. Gloss. Hippocr. p. 55, 16: *ἀχιλληΐδες· κριθῶν εἶδος, ὧν μέμνηται καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς.* Hesych. 1 p. 344: *ἀχιλλείων* (*ἀχιλλίων* cod.) *Ἱππεῦσιν Ἀριστοφάνης* (v. 819) *καὶ Σοφοκλῆς Σκύθαις ἀχιλλείων* (*ἀχιλλίων* cod.). [*εἰσὶ δὲ καὶ Ἀχιλλέως δρόμοι περὶ ταύτην τὴν νῆσον.*] *ἔνιοι δὲ τῶν λευκῶν. τινὲς δὲ σπόγγων φασίν, οἷς τοὺς ὀφθαλμοὺς ἀποψῶνται.* verba *εἰσὶ δὲ* — *νῆσον* ad praegressam glossam *Ἀχίλλειον πλάκα* (adesp. fr. 202) revocanda esse Kuster et alii dudum viderunt.

508

βυθίζων

Hesych. 1 p. 405: *βυθίζων· ποντίζων ἐν βυθῷ. Σκύθαι* (*σκῦθαι* cod., *Σκύθαις* M. Schmidt). Sophoclis dici *Σκύθας* agnovit Schow.

ΣΚΥΡΙΟΙ

Σκύριοι plerique testes, *Σκύριαι* bis Hesychius. de argumento cf. Hygin. fab. 96 et Philostr. iun. Imag. 1. Brunck probabiliter Sophocli adscripsit versus sine poetae nomine a Plutarcho ex Scyriis allatos, adesp. fr. 9.

509

ἀνεμώδης (*Σκῦρος*)

Philostr. iun. Imag. 1: *Σκῦρος — ἣν ὁ θεῖος Σοφοκλῆς ἀνεμώδεα καλεῖ.*

510

φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.

Stob. Flor. 51, 24: *Σοφοκλῆς Σκυρίοις* (sic MA, fabulae nomen om. S). '*φιλεῖ — νέους*'.

511

ἢ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,
οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων
πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν.
λεπταῖς ἐπὶ ῥιπῖσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι 5
ἢ ἔσωσαν ἀκέρδαναν ἢ διώλεσαν.

Stob. Flor. 59, 3: *Σοφοκλέους Σκυρίων.* '*ἢ ποντοναῦται — διώλεσαν*'. v. 1 *ἢ* SM, om. A. *φεῦ, ποντοναυτῶν ὡς ταλαίπωρον γένος* coni. Meineke, *τῶν ποντοναυτῶν τοι ταλαίπωρον γένος* F. G. Schmidt *Krit. Stud.* 1 p. 260. v. 2 *θεῶν νέμων*] *βροτῶν γέμων* coni. Meineke, *τύχη χάριν* Enger. v. 2 sq. *οὔτε τις θνητῶν πόνων πλείστων ποτ'* F. G. Schmidt. v. 3 *πλοῦτον* Heath. *νείμειεν* Brunck, *νείμειαν* libri. *ἀξίαν πόνων* Enger. v. 4 *ἐπιρροπῆσιν* SM, *ἐπὶ ῥοπῆσιν* A, *ἐπὶ ῥιπῖσιν* Meineke*). v. 6 *ἧς ὡς ἂν* (*ὡσὰν* M) SMA, *ἢ 'σωσαν* Porson Adv. p. 215. *ἢ κέρδαναν* SMA, *ἀκέρδαναν* Meineke Stob. Flor. 4 p. LXXI. suspectum dicit hoc fragmentum Bernhardy *Grundr. d. Gr. Litt.* II, 2 p. 336 ed. tert.

512

οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζόη.

Stob. Flor. 116, 28: *Σοφοκλέους Σκυρίων* (*Σκυρίων* om. S). '*οὐδὲν — ζωή*'. *ζόη* Porson, *ζωή* SMA.

513

ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν·
νῦν δ', ὦ γεραιέ, ταῦτ' ἀνηνύτως ἔχει
[τὸν ἐν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν]· 5
κἀμοὶ γὰρ ἂν πατήρ γε δακρύων χάριν
ἀνῆκτ' ἂν εἰς φῶς.

Stob. Flor. 124, 17: *Σοφοκλέους ἐκ Σκυρίων* (sic S, *σοφοκλέους σκυρίωνι* M, *σοφοκλέους σκυρίων* A). '*ἀλλ' εἰ — εἰς φῶς*'. v. 3

---

*) De mensura nominis cf. Herodianus *π. διχρόνων* Anecd. Oxon. vol. 3 p. 299, 10 (p. 371 Lehrs.): *τὸ μέντοι καρίς καὶ ῥιπίς ἡ μὲν κοινὴ συνήθεια ἐκτείνει, ἡ δὲ τῶν Ἀθηναίων διάλεκτος συστέλλει.* hoc est, *καρίδος* et *ῥιπίδος* Atticae linguae proprium est, *καρῖδος* et *ῥιπῖδος* eidem non negatum. de *καρῖδος* res notissima, de *ῥιπῖδος* hoc loco docemur.

ἧττον libri. v. 4 γεραὶ M. v. 5 interpolatoris esse recte iudicat Herwerden Exerc. crit. p. 10. τὸν ἐν Bergk, τὸν μὲν SM, τὸ μὲν A. v. 6 καί μοι libri. πατήρ γε B ut videtur, πατήρ τε ceteri libri.

514

ἀποστιβής

Hesych. 1 p. 258: ἀποστιβής (ἀποστίβ·· cod.)· ἀποπεφοιτηκώς, οὐ τὴν αὐτὴν τρίβον στείβων, τουτέστι φοιτῶν. Σοφοκλῆς Σκυρίαις (κυρίαις cod.). ἀποστίβης scripsit Musurus, ἀποστιβής Brunck, ἄπο στίβου coni. M. Schmidt.

515

αὐτόσσυτον

Hesych. 1 p. 328: αὐτόσυτον· αὐτοκέλευστον. Σοφοκλῆς Σκυρίοις (ἀκυρίοις cod.). Anecd. Bekk. p. 467, 31: αὐτόσσυτον· αὐτοκέλευστον. οὕτω Σοφοκλῆς.

516

ἀχρήματον

Hesych. 1 p. 346: ἀχρήματον (ἀχρήματα cod.)· ἀδάπανον. Σοφοκλῆς Σκυρίοις.

517

εὐωριάζειν

Hesych. 2 p. 237: εὔωρος γάμος (cf. fr. 190) — ὡς ὁ αὐτὸς ἐν Σκυρίαις χρῆται τῷ εὐωριάζειν. ibid.: εὐωριάζειν· ὀλιγωρεῖν, μὴ ἔχειν φροντίδα, παρακούειν.

ΣΥΝΔΕΙΠΝΟΙ v. ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ

ΣΦΥΡΟΚΟΠΟΙ v. ΠΑΝΔΩΡΑ

ΤΑΝΤΑΛΟΣ

518

βιοτῆς μὲν γὰρ χρόνος ἐστὶ βραχύς,
κρυφθεὶς δ' ὑπὸ γῆς κεῖται τεθνεὼς
τὸν ἅπαντα χρόνον.

Stob. Flor. 121, 3: Σοφοῦ ταντᾶ (ita S, eclogam om. MA). 'βιοτῆς — χρόνον'. chori notam apponit S. v. 2 κρυφθεῖσα ὑπὸ S, κρυφθεὶς δὲ ὑπὸ Gesner, κρυφθεὶς δ' ὑπὸ Grotius. τεθνεὼς Cobet Mnem. 9 p. 147 et Coll. crit. p. 192, θνητὸς vulgo.

ΤΕΥΚΡΟΣ

Argumentum fabulae dubium esse vix potest. Velleius Pat. 1, 1:

Teucer non receptus a patre Telamone ob segnitiam non vindicatae fratris iniuriae Cyprum appulsus cognominem patriae suae Salamina constituit. Romanos inter poetas qui hanc materiam tractavit Pacuvius fortasse Sophoclis vestigia pressit. Welcker huc refert fr. 666, alii Cic. Tusc. 5, 37, 108 (v. adesp. fr. 318) et Soph. fr. 808. obscura sunt quae Aristoteles habet Rhet. 2, 23 p. 1398 a 4: *διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ Τεύκρῳ· ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν· οὐ φάσκοντος δέ, εἶτα, εἶπεν, σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης;* et 3, 15 p. 1416 b 1: *κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὰ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ· ἡ γὰρ Ἡσιόνη ἀδελφή· ὃ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι* (*καὶ ὅτι αὐτὸς* coni. Ad. Roemer) *οὐ κατεῖπε τῶν κατασκόπων.*

519

ὡς ἄρ', ὦ τέκνον, κενὴν
ἐτερπόμην σου τέρψιν εὐλογουμένου
ὡς ζῶντος· ἡ δ' ἄρ' ἐν σκότῳ λήθουσά με
ἔσαιν' ἐρινὺς ἡδοναῖς ἐψευσμένον.

Stob. Flor. 122, 10: *Σοφοκλέους Τεύκρου.* '*ὡς ἄρ' — ἐψευσμένον*'. v. 3 *ἡ δ'*] *ἢ δ'* M. *λήθουσά με* Pappageorgius *Beiträge* p. 39 sq., *λαθοῦσά με* vulgo. v. 4 *ἔσαιν'* SA, *ἔσεν'* M. *ἐρινὺς* M, *ἐρινῦς* S, *ἐριννὺς* A.

520

οὐρανοῦ δ' ἄπο
ἤστραψε, βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.

Ar. Nub. 583: *κἀποιοῦμεν δεινά· βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.* ubi Scholia: *παρὰ τὰ ἐν Τεύκρῳ Σοφοκλέους* (*παρὰ τῷ ἐν Σοφοκλέους Τεύκρῳ* V) '*οὐρανοῦ — ἀστραπῆς*'. v. 1 sq. *οὐρανοῦ ἀπήστραψε* V.

521

Κυχρεῖος πάγος

Stephanus Byz. p. 399, 20: *Κυχρεῖος πάγος* (*πόλις* R), *περὶ Σαλαμῖνα. Σοφοκλῆς Τεύκρῳ.*

ΤΗΛΕΦΟΣ ΣΑΤΥΡΙΚΟΣ

Telephum satyricam fuisse fabulam ope tituli in schedis Ph. Bonarrotii inventi docuit Kaibel Herm. 23 p. 269.

522

ἀείφρουρος

Hesych. 1 p. 53: ἀειφόρος· ἀειθαλής. Σοφοκλῆς Τηλέφῳ. ἀειφροῦρος· ἀεὶ διαμένων, ἀειλάλης (ubi priori labda superscr. ϑ). has glossas in unum coniungit Porson in Dobreei Aristoph. p. 21, ἀείφρουρος· ἀεὶ διαμένων, ἀειθαλής. Σοφοκλῆς Τηλέφῳ. adstipulatur Cobet N. L. p. 343 et Coll. crit. p. 192, ac favet Porsono ipse Hesych. 1 p. 89: αἴφρουρος· αἰθάλη. Σοφοκλῆς, ubi ἀειφόρος· ἀειθαλής corrigi voluit Alberti.

ΤΗΡΕΥΣ

Terei fabula omnibus nota: vide inprimis Ov. Met. 6, 411—676 Conon. Narrat. 31, adde Tzetz. in Hes. Op. 566, qui subicit: γράφει δὲ περὶ τούτου Σοφοκλῆς ἐν τῷ Τηρεῖ δράματι. primus Sophocleae fabulae meminit Ar. Av. 100: ΠΙΣΘ. τὸ ῥάμφος ἡμῖν σου γελοῖον φαίνεται. ΕΠΟΨ. τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα. ubi Scholia: ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπορνιθωμένον καὶ τὴν Πρόκνην. non dubito quin eodem spectet Libanius Decl. vol. 4 p. 369 sq.: καλῶς ἄρα οἱ τραγῳδοὶ ταῦτα ἐδίδασκον, τὸν Τηρέα, τὴν Πρόκνην. inter Romanos poetas tragicos Terea scripserunt Livius et Accius, inter Graecos primus Sophocles, deinde Philocles (cf. Schol. Ar. Av. 281: ὁ Σοφοκλῆς πρῶτον τὸν Τηρέα ἐποίησεν, εἶτα Φιλοκλῆς), item Carcinus, quibus adde comicos poetas Cantharum Anaxandridem Philetaerum. Welcker coniecit verba τοῦτον δ' ἐπόπτην ἔποπα κτέ. (supra p. 95) non Aeschyli esse, sed ex Sophoclis Tereo repetita.

523

Ἥλιε, φιλίπποις Θρῃξὶ πρέσβιστον σέλας

Schol. A Il. O 705: φίλιππος μὲν τῆς μέσης δασυνομένης τὸ προσηγορικόν· οὕτως γὰρ καὶ ἐν Τηρεῖ Σοφοκλέους ἀναγινώσκομεν 'ἥλιε — σέλας'. Φίλιππος δὲ ψιλῶς ὁ Μακεδών. σέλας] σέβας probabiliter Bothe.

524

νῦν δ' οὐδέν εἰμι χωρίς. ἀλλὰ πολλάκις
ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,
ὡς οὐδέν ἐσμεν. αἳ νέαι μὲν ἐν πατρὸς
ἥδιστον, οἶμαι, ζῶμεν ἀνθρώπων βίον·
τερπνῶς γὰρ ἀεὶ παῖδας ἀνοία τρέφει. 5
ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' ἔμφρονες,
ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα
θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο,
αἳ μὲν ξένους πρὸς ἄνδρας, αἳ δὲ βαρβάρους,

αἵ δ' εἰς ἀληθῆ δώμαθ', αἵ δ' ἐπίρροθα. 10
καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία,
χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.

Stob. Flor. 68, 19: *Σοφοκλέους Τηρεῖ.* '*νῦν δ' — ἔχειν*'. v. 1 *νῦν δ'*] *σοῦ δ'* coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 542. *νῦν δ' οὐ .δίειμι χωρὶς* coni. Cobet Coll. crit. p. 193, *νῦν δ' οὐ δίειμι* (vel *νῦν δ' οὐ λέγω*) *νεωρὲς* F. G. Schmidt *Krit. Stud.* 1 p. 264, *νῦν δ' οὐ δίειμι πρῶτον* Wecklein. v. 2 *ταύτην* A. *ἐμεμψάμην δὴ* (pro *ἔβλεψα ταύτῃ*) Cobet, *ἔψεξα ταὐτῇ* F. G. Schmidt. v. 3 *αἱ νέαι* libri. *μὲν ἐν πατρὸς* Valckenaer in Adon. Theocr. p. 322, *μὲν γὰρ πάρος* Scaliger, *μὲν γὰρ πατρὸς* SMA, *μὲν γὰρ ἐν πατρὸς* B. v. 4 *οἶμαι*] *οἴκῳ* Wagner, *ἀεὶ* Meineke. v. 5 *ἀεὶ*] *οἶμαι* Meineke. *παῖδας* F. G. Schmidt, *πάντας* vulgo. *ἡ ἄνοια* libri. v. 6 *δ'* om. SMA pr. m., inseruit A sec. m. *ἔμφρονες* Dobree Adv. 2 p. 54, *εὔφρονες* libri, *ἔμφρονα* Nikitin. v. 7 *διεμπολούμεθα* ante Valckenaerium. v. 10 *ἀληθῆ* (sic SMA) ineptum, *ἀήθη* B, *σαλευτὰ* coni. Iacobs, *ἀλιτρὰ* Schneidewin (qui *δώματ' ἠδ' ἐπίρροθα* proposuit Philol. 2 p. 755), *ἄκληρα* Herwerden Exerc. crit. p. 22, alii alia. fortasse huc spectat Hesych. 2 p. 166: *ἐπιρρόθητα· ἐπίψογα.* ubi scripserim *ἐπίρροθα· τὰ ἐπίψογα.* Euripidis potius quam Sophoclis hos esse versus existimat F. G. Schmidt *Krit. Stud.* 1 p. 263 (cf. eiusdem libri 2 p. 477).

525

πολλά σε ζηλῶ βίου,
μάλιστα δ' εἰ γῆς μὴ πεπείρασαι ξένης.

Stob. Flor. 39, 12: *Σοφοκλέους Τηρέως.* '*πολλά — ξένης.*' v. 2 *κάλλιστα* SMA, *μάλιστα* Brunck.

526

ἀλγεινά, Πρόκνη, δῆλον· ἀλλ' ὅμως χρεὼν
τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν.

Stob. Flor. 108, 58: *Σοφοκλέους Τηρεῖ* (sic MA, lemma om. S). '*ἀλγεινὰ — φέρειν*'. v. 2 *τὰ θεῖα*] *τὰ θνητὰ* proposui *Jahrb. f. Philol.* vol. 85 (a. 1862) p. 186, quam coniecturam sequitur Meineke Oed. C. p. 319 sq.

527

σπεύδουσαν αὐτήν, ἐν δὲ ποικίλῳ φάρει

Herod. *π. μον. λέξ.* p. 36, 23: (*φάρος*) *κατὰ συστολὴν* (*κατὰ στολὴν ἐν* cod.) *παρὰ Σοφοκλεῖ ἐν Τηρεῖ* (*ἐντείνει* cod.) '*σπεύδουσαν — ποικίλῳ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι*'. ubi extrema verba *τῷδ'*

ὡς ἐμῷ καλύπτομαι alius loci sunt (fr. 333). cf. Herod. π. διχρ. in Anecd. Oxon. vol. 3 p. 295, 12: τὸ φάρος συστέλλον τὸ *Α*, ὡς παρὰ Σοφοκλεῖ ἐν Κρίσει σατυρικῇ — καὶ ἐν Τηρεῖ 'σπεύδουσαν — φάρει'. fabulae nomen et verba σπεύδουσαν αὐτήν om. Grammaticus Herm. p. 444.

528

φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος.

Stob. Flor. 10, 25: Σοφοκλέους Τηρεῖ. 'φιλάργυρον — γένος'.

529

θάρσει· λέγων τἀληθὲς οὐ σφαλῇ ποτε.

Stob. Flor. 13, 5: Σοφοκλέους ἐκ Τηρέως (ita O. Hense, ἐκ τειρεσίου poetae nomine non iterato L, εὐρι^π τηρεῖ S, σοφοκλέους τηρεῖ MA). 'θάρσει — ποτέ'. σφαλῇ L, σφάλλῃ SMA.

530

ἄνους ἐκεῖνος· αἱ δ' ἀνουστέρως ἔτι
ἐκεῖνον ἠμύναντο καρτερόν.
ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν
μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,
ἰατρός ἐστιν οὐκ ἐπιστήμων ἀκῶν. 5

Stob. Flor. 20, 32 et 33: Σοφοκλέους Τηρεῖ. 'ἄνους — ἐπιστήμων κακῶν'. eclogam om. MA, habet cum lemmate S, ubi v. 3—5 cum praegressis cohaerent. v. 1 ἀνούστερ' ἔτι S, ἀνούστεραι πολὺ coni. Gaisford, ἀνουστέρως ἔτι Cobet V. L. p. 156. v. 2 καρτερόν] καρτερώτερον Grotius, κατὰ τὸ καρτερόν Porson, πρὸς τὸ καρτερόν Bamberger Opusc. p. 164, κυντερώτατα R. Ellis *American journal of philol.* II p. 420 coll. Aesch. fr. 432. v. 4 μεῖζον recte se habere ostendit Gomperz *Bruchst. der griech. Trag.* p. 36 sq. v. 5 ἀκῶν Gomperz, κακῶν S.

531

θνητὰ φρονεῖν χρὴ θνητὴν φύσιν,
τοῦτο κατειδότας ὡς οὐκ ἔστιν
πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων
ταμίας ὅτι χρὴ τετελέσθαι.

Stob. Flor. 22, 22: τοῦ αὐτοῦ (sc. Sophoclis) Τηρεῖ (τοῦ αὐτοῦ ἀγηρεῖ S, τοῦ αὐτοῦ ἀγήρει A, σοφοκλέους ἄγηρει M, σοφοκλέους τηρεῖ B, Σοφ. α' Τυροῖ vel Τυροῖ α' coni. M. Schmidt Philol. 18

p. 230). 'θνητὰ — τετελέσθαι'. chori notam praemittit S. v. 1 θνητὴν δὲ φύσιν χρὴ θνητὰ φρονεῖν Grotius, aequo iure θνητὴν δὲ φρονεῖν χρὴ θνητὰ φύσιν temptare possis; sed fortasse sufficit pro θνητὴν φύσιν scribere θνητοὺς φύντας cum Meinekio vel cum O. Hensio θνητὴν γενεάν.

532

ἓν φῦλον ἀνθρώπων μί' ἔδειξε πατρὸς   στρ.
καὶ ματρὸς ἡμᾶς ἁμέρα τοὺς πάντας· οὐδεὶς
ἔξοχος ἄλλος ἔβλαστεν ἄλλου.
βόσκει δὲ τοὺς μὲν μοῖρα δυσαμερίας,   ἀντ.
τοὺς δ' ὄλβος ἡμῶν, τοὺς δὲ δουλείας ⏑ – –
– ⏑ ⏑ – ζυγὸν ἔσχ' ἀνάγκας.

Stob. Flor. 86, 12: Σοφοκλῆς Τηρεῖ. 'ἐν φύλων — ἀνάγκης'. strophae et antistrophae notas v. 1 et 4 addidi. v. 1 ἐν φυλων S, ἐν φύλων MA, ἓν φῦλον Bergk. v. 2 ματρὸς MA, μητρὸς S. ἡμᾶς Dindorf, ἡμέας libri. ἁμέρα] ἀδονὰ coni. Herwerden Lucubr. Soph. p. 79. v. 5 et 6 lacunam indicavi, fortasse ἐν αὐλαῖς ἀλλοτρίαις addendum. v. 6 ἔσχ' pro ἔσχεν scripsi. ἀνάγκας Brunck, ἀνάγκης libri. aliter metrum restituere conatur H. Gleditsch *Cantica der Soph. Trag.* p. 227. adde quae proposuit Badham in Eur. Iph. Taur. praef. p. 12.

533 534

τὰν γὰρ ἀνθρώπου ζόαν   στρ.
ποικιλομήτιδες ἆται
πημάτων πάσαις μεταλλάσσουσιν ὥραις.
ἀλλὰ τῶν πολλῶν καλῶν   ἀντ.
τίς χάρις, εἰ κακόβουλος   5
φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον;

Stob. Flor. 98, 45: Σοφοκλέους Τηρεῖ. 'τὰν — ὥραις' (v. 1—3). chori notam praemittit S. v. 1 τὰν δ' ἀνθρώπου ζωὰν (ζωαν sine accentu S) SMA, τὰν γὰρ ἀνθρώπου ζόαν Bergk. v. 2 ἄται M. v. 3 μεταλλάσουσιν S. μεταλλάσσουσιν αὔραις coni. Burges in Eur. Tro. 101 p. 9, μεταλλάσσουσι μορφαῖς rectius Lehrs *Popul. Aufs.* p. 227. v. 4—6 om. fabulae nomine servavit Plut. de audiendis poetis c. 4 p. 21 B: ἀντιπαραθήσει πολλὰ τῶν Σοφοκλέους, ὧν καὶ ταῦτά ἐστι 'γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ' (fr. 751) καὶ 'οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονοῖ' (fr. 752) καὶ 'ἀλλὰ — πλοῦτον'. locum huc rettulit Bergk metri indicio nixus. v. 6 φροντὶς ἐκστρέψει coni. Bergk, φροντὶς ἀντρέψει Herwerden Exerc. crit. p. 23, ἐκστρέφει φροντὶς Gleditsch *Cantica* p. 228.

535 536

οὐ χρή ποτ' ἀνθρώπων μέγαν ὄλβον ἀπο- στρ.
βλέψαι· τανυφλοίου γὰρ ἰσαμέριος ⟨φύλ-
λοισιν⟩ αἰγείρου βιοτὰν ἀποβάλλει.

ζώη τις ἀνθρώπων τὸ κατ' ἦμαρ ὅπως ἀντ.
ἥδιστα πορσύνων· τὸ δ' ἐς αὔριον αἰεὶ 5
τυφλὸν ἕρπει ‒ ◡ ◡ ‒ ◡ ◡ ‒ ‒

Porphyr. in Stob. Flor. 105, 57 (ecl. om. S): ἥ τε γὰρ αἴγειρος, ὥς φασιν ἄλλοι τε καὶ Πλούταρχος, φιλοπενθὴς καὶ ἀτελὴς πρὸς καρπογονίαν. διὸ καὶ Σοφοκλῆς ἔν τισι (fortasse leg. ἐν Τηρεῖ) φησὶν 'οὐ χρή — ἀποβάλλει' (v. 1—3). v. 1 ἄνθρωπον Gleditsch *Cantica* p. 227. v. 1 sq. ἀποβλέψαι] ἔπι βλέψαι Gleditsch. v. 2 τανυφλίου M. v. 2 sq. ἰσαμέριος ὅστις libri, ἰσαμεριός τις Bergk, ἰσαμέριος φύλλοισιν Gleditsch, quae coniectura quamvis incerta saltem sententiae verborum convenit. v. 4—6 Stob. Flor. 98, 46: ἐν ταὐτῷ (sic S, ecl. om. MA). 'ζώοι — ἕρπει'. v. 4 ζώη pro ζώοι Wagner. v. 5 ἅδιστα G. Wolff in append. ad Oed. R. 510. v. 5 sq. τὰ γὰρ αὔριον ὡς ἐς τυφλὸν ἕρπει Gleditsch. eiusdem cantici hos locos esse vidit Bergk.

537

αἴγλη

Hesych. 1 p. 70: αἴγλη· χλιδών (αἰγληχίδων ante Scaligerum). Σοφοκλῆς Τηρεῖ. [χιτών] καὶ πέδη παρὰ Ἐπιχάρμῳ ἐν Βάκχαις. delendum esse χιτών probabiliter coni. M. Schmidt.

538

Aristot Poet. c. 16 p. 1454 b 36: εἴδη δὲ ἀναγνωρίσεως, πρώτη μὲν ἡ ἀτεχνοτάτη — ἡ διὰ τῶν σημείων — δεύτεραι δὲ αἱ πεποιημέναι ὑπὸ τοῦ ποιητοῦ, διὸ ἄτεχνοι· οἷον — ἐν τῷ Σοφοκλέους Τηρεῖ ἡ τῆς κερκίδος φωνή. huc spectare videtur fr. 804.

ΤΡΙΠΤΟΛΕΜΟΣ

Triptolemus curru a draconibus vecto orbem terrarum emetiens Cereris dona hominibus impertit et Eleusinia sacra instituit. qua de re v. Hygin. fab. 147 Apollod. 1, 5, 2 Serv. in Verg. G. 1, 19. videtur Sophocles, ut ait Iul. Schoenemann de lexicographis antiquis qui rerum ordinem secuti sunt quaest. praecurs. (Hannov. 1886) p. 118, Triptolemum apud Carnabontem regem periclitatum finxisse. obiter fabulam Sophocleam commemorat Strabo I p. 27, ubi dicit Homerum in rebus geographicis diligentiorem esse quam posteriores

poetas: *τόν γε Τριπτόλεμον τὸν Σοφοκλέους ἢ τὸν ἐν ταῖς Βάκχαις ταῖς Εὐριπίδου πρόλογον ἐπελθόντα καὶ παραβαλόντα τὴν Ὁμήρου περὶ τὰ τοιαῦτα ἐπιμέλειαν, ῥᾷον ἦν αἰσθέσθαι τὴν ὑπερβολὴν ἢ τὴν διαφοράν. — ὁ μὲν τὸν Διόνυσον ἐπιόντα τὰ ἔθνη φράζων, ὁ δὲ τὸν Τριπτόλεμον τὴν κατασπειρομένην γῆν, τὰ μὲν πολὺ διεστῶτα συνάπτουσιν ἐγγύς, τὰ δὲ συνεχῆ διασπῶσι.* Welcker praeter alios locos huc referri voluit fr. 753 874 985.

539

δράκοντε θαιρὸν ἀμφιπλὶξ εἰληφότε

Etym. M. p. 395, 13: *πλίγμα τὸ διάστημα τῶν ποδῶν. Σοφοκλῆς Τριπτολέμῳ ʻδράκοντα δ' αἶρον ἀμφιπλὶξ εἰληφότες* (*εἰληφότε* DV)'. Rufus Ephes. de partibus hom. p. 32: *τὸ δὲ μεταξὺ ὀσχέου καὶ ὑποστήματος καὶ μηροῦ πλιχάδα* (*πληχάδα* ed., sc. *Ἀθηναῖοι καλοῦσι*), *καὶ τὸ διαβαίνειν διαπλίσσειν* (*διαπλήσσειν* ed.) *καὶ τὸ περιβάδην ἀμφιπλίξ* (*ἀμφιπλήξ* ed.). *Σοφοκλῆς δὲ καὶ ἐπὶ δρακόντων ἐποίησε ʻθαιρὸν ἀμφιπλὴξ εἰληφότε', ὥσπερ ἂν εἰ ἔφη περιβεβηκότε* (*περιβεβληκότε* ed.) *τὸν θαιρόν.* cum Rufo consentit fere Pollux 2, 172, ubi *ἀμφιπλὶξ εἰληφότα* legitur. Hesychius 2 p. 297: *θαιρός — ἄξων. Σοφοκλῆς Τριπτολέμῳ.* Eust. Il. p. 914, 34: *θαιρός ὁ ἄξων παρὰ Σοφοκλεῖ.* Schol. Ar. Ach. 217 (cf. Greg. Cor. de dial. p. 548 Suid. v. *ἀπεπλίξατο* et *πλίξ*): *τὸ περιβάδην ἀμφιπλίξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ*

540

θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους.

Schol. Pind. Ol. 11, 1: *καὶ Σοφοκλῆς ἐν Τριπτολέμῳ ʻθὲς δ' ἐν — λόγους'. θὲς δ' ἐν* Scaliger (v. Valckenaer. Animadv. ad Ammon. p. 76), *οὐδ' αἱ* Vrat. A, *σὺ δ' ἐν* coni. Meineke, *θοῦ δ' ἐν* ego praefero.

541

τὰ δ' ἐξόπισθε χειρὸς εἰς τὰ δεξιὰ
Οἰνωτρία τε πᾶσα καὶ Τυρσηνικὸς
κόλπος Λιγυστική τε γῆ σε δέξεται.

Dionys. Hal. Antiq. 1, 12 vol. 1 p. 34: *μαρτυρεῖ δέ μου τῷ λόγῳ Σοφοκλῆς μὲν ὁ τραγῳδοποιὸς ἐν Τριπτολέμῳ δράματι. πεποίηται γὰρ αὐτῷ Δημήτηρ διδάσκουσα Τριπτόλεμον, ὅσην χώραν ἀναγκασθήσεται σπείρων τοῖς δοθεῖσιν ὑπ' αὐτῆς καρποῖς διεξελθεῖν. μνησθεῖσα δὲ τῆς ἑῴου πρῶτον Ἰταλίας, ἥ ἐστιν ἀπὸ ἄκρας Ἰαπυγίας μέχρι πορθμοῦ Σικελικοῦ, καὶ μετὰ τοῦτο τῆς ἀντικρὺ ἁψαμένη Σικελίας ἐπὶ τὴν ἑσπέριον αὖθις Ἰταλίαν ἀναστρέφει καὶ τὰ μέγιστα τῶν οἰκούντων τὴν παράλιον ταύτην ἐθνῶν διεξέρχεται, τὴν ἀρχὴν ἀπὸ*

τῆς Οἰνωτρῶν οἰκήσεως ποιησαμένη. ἀπόχρη δὲ ταῦτα μόνα λεχθέντα τῶν ἰαμβείων, ἐν οἷς φησί 'τὰ δ' ἐξόπισθε — δέξεται'. v. 2 *Τυρρηνικὸς* libri.

542

χρῆσταί δέ σ' ἐνθένδ' αὖθις

Schol. Soph. Oed. C. 504: *χρῆσται μ' ἐφευρεῖν] χρείη ἔσται κατὰ συναλιφὴν χρῆσται —. καὶ ἐν Τριπτολέμῳ 'χρῆσταί δέ σ' ἐνθένδ' αὖτις'.*

543

Plinius N. H. 18, 65: *hac fuere sententiae Alexandro magno regnante, cum clarissima fuit Graecia atque in toto orbe terrarum potentissima, ita tamen ut ante mortem eius annis ferre CXLV Sophocles poeta in fabula Triptolemo frumentum Italicum ante cuncta laudaverit, ad verbum translata sententia 'et fortunatam Italiam frumento canere candido'.*

544

Ἰλλυρὶς γονή

Hesych. 2 p. 356: *Ἰλλυρὶς γονή· ἀντὶ τοῦ Ἰλλυρὶς γενεά* (sic Musurus, *γονέα* cod., unde *Ἰλλυρὶς γονῆ· ἀντὶ τοῦ Ἰλλυρὶς γονέα* scripsit M. Schmidt). *γράφεται δὲ καὶ γυνή. ὁ δὲ Καλλίστρατος γύη ἀντὶ τοῦ γῆ· χρῶνται γὰρ οὕτως. Σοφοκλῆς Τριπτολέμῳ.* non *τὴν γύην*, sed *τὸν γύην* tragicos dicere docuit Elmsley in Eur. Heracl. 839.

545

Καρχηδόνος δὲ κράσπεδ', ἣν ἀσπάζομαι

Schol. Eur. Troad. 221: *τινὲς φασὶ καὶ τὴν Ῥώμην καὶ τὴν Καρχηδόνα ἐπὶ τῆς πρώτης ὀλυμπιάδος κτισθῆναι. Σοφοκλῆς δὲ ἐπὶ τῶν καιρῶν Τριπτολέμου οἰκισθῆναι τὴν Καρχηδόνα, ἐν οἷς φησί 'Καρχηδόνος — ἀσπάζομαι'. κράσπεδ' ἣν* Bergk, *κράσπεδ.ν* A, *κράσπεδες* N. coniecturam a Cobeto propositam, *κράσπεδ' ἔστ'. B. ἀσπάζομαι*, parum esse probabilem ostendit I. van Leeuwen Comment. de Aiacis Soph. authentia p. 38.

546

σιλφίου λειμών

Hesych. 4 p. 30: *σιλφίου λειμών. Σοφοκλῆς περὶ γῆς (περὶ τῆς* Prov. cod. S, *ἐπὶ γῆς* coni. Meineke) *ἐν Λιβύῃ τὸ σίλφιον φερούσης· οἱ δὲ εἶδός τι τῆς Λιβύης τὸ (τὸ* om. S) *σίλφιον.* fabulae nomen prodidit Proverb. cod. S (Paris. suppl. gr. 676, cf. L. Cohn *zu den Paroemiogr.* in *Breslauer philol. Abhandl.* II, 2 p. 71): *σιλφίου λειμών.*

Σοφοκλῆς Τριπτολέμῳ περὶ τῆς ἐν Λιβύῃ κτέ. cf. Proverb. append. 4, 70: *σιλφίου λειμών· εἶδός τι τῆς Λιβύης σίλφιον.*

547

καὶ Χαρναβῶντος ὃς Γετῶν ἄρχει τὰ νῦν

Herod. *π. μον. λέξ.* p. 9, 30: *Χαρναβῶν. Σοφοκλῆς Τριπτολέμῳ 'καὶ Χαρναβῶντος ὅτι τῶν ὅς γε* (*ὅστις τῶν ὧδε* cod. Vind.) *ἄρχει τὰ νῦν'.* correxerunt Od. Mueller et Lobeck. Hyginus Poet. astr. 2, 14: *hunc* (Ophiuchum) *complures Charnabonta dixerunt nomine Getarum regem, qui sunt in Mysia regione, fuisse: qui eodem tempore regno est potitus quo primum semina frugum mortalibus tradita esse existimantur. Ceres enim cum sua beneficia largiretur hominibus, Triptolemum, cuius ipsa fuerat nutrix, in curru draconum collocatum — iussit omnium nationum agros circumeuntem semina partiri —, qui cum pervenisset ad cum quem supra diximus Getarum regem, ab co primum hospitaliter acceptus, deinde — insidiis captus — pene perdidit vitam. Charnabontis enim iussu cum draco unus eorum esset interfectus, — Ceres eo venisse ct ereptum adolescenti currum dracone altero subiecto reddidisse, regem — poena non mediocri affecisse narratur.*

548

ἦλθεν δὲ δαὶς θάλεια, πρεσβίστη θεῶν.

Hesych. 1 p. 455: *δαίς· Σοφοκλῆς 'ἦλθε δὲ δαὶς θηλει.. πρέσβις τῇ θεῶν'. ἡ δι' ἐράνων εὐωχία. ἔνιοι δὲ τὰς μούσας. Τριπτολέμῳ.* in Sophoclis versu *θάλεια* Kuster, *πρεσβίστη* Musurus restituerunt.

549

οὐδ' ἡ τάλαινα δοῦσα ταριχηροῦ γάρου

Pollux 6, 65: *γάρος, ὡς Σοφοκλῆς 'οὐδ' ἡ — γάρου'.* Herodianus qui dicitur Philetaer. p. 437: *ὁ γάρος ἀρσενικῶς 'τὸν ἰχθύων γάρον'* (Aesch. fr. 211) *καὶ γάρον τὸν ἰχθύειον Σοφοκλῆς.* fabulae nomen prodit Ath. II p. 67 C: *Σοφοκλῆς Τριπτολέμῳ 'τοῦ ταριχηροῦ γάρου'. οὐδὲν ἡ τάλαινα δοῦσα τοῦ ταριχηροῦ γάρου* coni. Meineke Com. 2 p. 178, *σὺ δ' ἡ τάλαινα δὸς ταριχηροῦ γάρου* Bergk.

550

ἄμαλλαι

Hesych. 1 p. 138: *ἄμαλλα* (*ἄμαλλαι* Alberti)· *δράγματα, δέσμη* (*δέσμει* cod.) *τῶν ἀσταχύων. Σοφοκλῆς Τριπτολέμῳ.*

551

κνήμη μελίνης

Harpocr. p. 125, 26: *μελίνη — ὀσπρίου ἐστὶ σπέρμα, καὶ ἀρσενικῶς λέγουσι· θηλυκῶς δὲ Σοφοκλῆς Τριπτολέμῳ* (*τριπτολέμου* vel *τριπολέμου* libri Bekkeri) '*κνήμη* (*μνήμου* al.) *μελίνης*'. Phot. Lex. p. 255, 25 et Suid. v. *μελίνη: Σοφοκλῆς μὲν γὰρ καὶ Ἡρόδοτος καὶ Ξενοφῶν θηλυκῶς εἶπον μελίνη* (*μελίνην* non nulli Suidae codd.). corruptum *κνήμη*: temptabam *κνήκου*. saltem Hesychius 2 p. 497: *κνῆκος — εἶδός τι σπέρματος· καὶ πυρός.*

552

ὀρίνδην ἄρτον

Ath. III p. 110 E: *ὀρίνδου* (*ὀρνίδου* ante Causabonum) *δ' ἄρτου μέμνηται Σοφοκλῆς ἐν Τριπτολέμῳ, ἤτοι τοῦ ἐξ ὀρύζης γενομένου ἢ ἀπὸ τοῦ ἐν Αἰθιοπίᾳ γινομένου σπέρματος, ὅ ἐστιν ὅμοιον σησάμῳ.* Hesych. 3 p. 219: *ὀρίνδην· ἄρτον παρὰ Αἰθίοψι. καὶ σπέρμα παραπλήσιον σησάμῃ* (*σισάμῃ* cod.), *ὅπερ ἕψοντες* (*ἑψῶντες* cod.) *σιτοῦνται. τινὲς δὲ ὄρυζαν.*

553

βρῦτον δὲ τὸν χερσαῖον οὐ δυεῖν

Ath. X p. 447 B: *τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον* (*βρύτον* libri hic et infra) *τινὲς καλοῦσιν, ὡς Σοφοκλῆς ἐν Τριπτολέμῳ 'βρῦτον — δυεῖν'. καὶ Ἀρχίλοχος κτἑ.* verba *οὐ δυεῖν* corrupta, *οἶδ' ὑηνίαν* coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 540, *οὐ* ⟨*φίλον*⟩ *πιεῖν* G. Knaack *Jahrb. f. Philol.* 135 p. 319.

554

ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ.

Pollux 10, 79: *τὴν δ' ἀπύθμενον κύλικα ἐν Τριπτολέμῳ Σοφοκλῆς ἀπυνδάκωτον ὠνόμασεν· 'ἀπυνδάκωτος — κύλιξ'.* Hesych. 1 p. 267: *ἀπυνδάκωτος* (*ἀπυνδακῶτος* cod.)*· ἀπύθμενος. Σοφοκλῆς Τριπτολέμῳ.* Schol. Il. *Λ* 634 in Anecd. Paris. vol. 3 p. 16, 11: *πυθμὴν λέγεται καὶ πύνδαξ, ὅθεν καὶ παροιμία παρὰ Σωκράτει* (*Σοφοκλεῖ* Cramer) '*ἀπυνδάκωτος — κύλιξ*'. sine poetae nomine eundem versum attulerunt Theophrastus Demetrii de eloc. 114 Etym. M. p. 133, 50 Eust. Il. p. 870, 27.

555

εἰς ὀρθὸν φρονεῖν

Antiatt. p. 92, 1: *εἰς ὀρθὸν φρονεῖν· ἀντὶ τοῦ καλῶς φρονεῖν. Σοφοκλῆς Τριπτολέμῳ.* Priscian. Inst. 18, 202 vol. 2 p. 305, 16:

illi εἰς ὀρθὸν φρονῶ et εἰς ταύτην πρόθεσιν. Sallustius: in hunc modum disseruit pro 'hoc modo'.

556

ἀφράσμων

Hesych. 1 p. 339: ἀφράδμων· ἀσύνετος, ἀμαθής. Σοφοκλῆς Τριπτολέμῳ. ἀφράσμων· ἀσύνετος. pro ἀφράδμων, quod litterarum ordini repugnat, legendum ἀφράσμων. cf. Anecd. Bekk. p. 472, 13: ἀφράσμων· ἀσύνετος. Σοφοκλῆς.

557

ἕλκη

Hesych. 2 p. 67: ἕλκη· λῦπαι. Σοφοκλῆς Τριπτολέμῳ.

558

Ἑστία

Philodemus de pietate p. 23: καὶ Σοφοκλῆς ἐ⟨ν Ἰνά⟩χῳ τὴν Γῆν μ⟨ητέ⟩ρα τῶν θεῶν φη⟨σίν⟩, ἐν Τριπτολέμῳ δὲ καὶ Ἑστίαν εἶ⟨ναι⟩.

559

ζευγηλάτης

Antiatt. p. 97, 33: ζευγηλάτης. Σοφοκλῆς Τριπτολέμῳ. Hesych. 2 p. 256: ζευγηλάτης· μεταβάτης, ἡνίοχος. cf. fr. 794.

560

Ἴαννα

Hesych. 2 p. 338, quem locum attulimus fr. 53.

ΤΡΩΙΛΟΣ

Schol. A Il. Ω 257: ὅτι ἐκ τοῦ εἰρῆσθαι ἱππιοχάρμην τὸν Τρωΐλον οἱ νεώτεροι ἐφ' ἵππου διωκόμενον ἐποίησαν. Schol. T: ἐντεῦθεν Σοφοκλῆς ἐν Τρωΐλῳ φησὶν αὐτὸν ὀχευθῆναι ὑπὸ Ἀχιλλέως ἵππους γυμνάζοντα παρὰ τὸ Θυμβραῖον καὶ ἀποθανεῖν. ubi ὀχευθῆναι in λογχευθῆναι mutat Welcker coll. Eust. Il. p. 1348, 23: Τρωΐλον ἱππιοχάρμην, ὃν φασὶν ἵππους ἐν τῷ Θυμβραίῳ γυμνάζοντα λόγχῃ πεσεῖν ὑπ' Ἀχιλλέως. inter comicos poetas Troilum composuit Strattis, qua comoedia Sophocleum drama lusisse videtur; cf. Meineke Hist. crit. p. 233, qui suspicatur versum Strattidis (Com. 2 p. 778),

ἦ μήποτ', ὦ παῖ Ζηνός, ἐς ταὐτὸν μόλῃς,

ex Sophocle ductum esse, cf. van de Sande Bakhuyzen de parod. p. 105.

561

ἔγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους
τῇ παντομόρφῳ Θέτιδι συμπλακείς ποτε.

Schol. Pind. Nem. 3, 60: *περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς* (Thetidis) *καὶ Σοφοκλῆς φησὶν ἐν Τρωίλῳ* '*ἔγημεν ὡς — ποτε*'. v. 2 *πανταμόρφῳ* BV, *ποντομόρφῳ* D, *παντομόρφῳ* tacite Heath. mox legendum suspicor *συμπλακεὶς πατήρ*.

562

τὸν ἀνδρόπαιδα δεσπότης ἀπώλεσα

Schol. Pind. Pyth. 2, 121: *ὑπὲρ τὴν νεότητα βουλεύῃ. καὶ Σοφοκλῆς ἐπὶ τοῦ Τρωίλου* '*τὸν — ἀπώλεσα*', *παῖδα μὲν τῇ· ἡλικίᾳ, ἄνδρα δὲ τῷ φρονήματι. δεσπότην* coni. Blomfield. Hesychius 1 p. 189: *ἀνδρόπαις· ἀνδρούμενος ἤδη παῖς* (sic M. Schmidt, *πως* cod.), *ἢ ἀνδρὸς φρόνησιν ἔχων παῖς* (*φρόνησιν ἔχοντες* cod.). *Σοφοκλῆς Τρωίλῳ*.

563

σκάλμῃ γὰρ ὄρχεις βασιλὶς ἐκτέμνουσ᾽ ἐμούς

Pollux 10, 165: *ξίφους δὲ ὄνομα ἔοικεν εἶναι βαρβαρικὸν ἡ σκαλμή, Σοφοκλέους εἰπόντος ἐν Τρωίλῳ* '*σκαλμῇ — ἐμούς*'. *σκάλμῃ* cum Arcad. p. 110, 2 Dindorf, *σκαλμῇ* Bergk.

564

πρὸς ναρὰ καὶ κρηναῖα χωροῦμεν ποτά.

Etym. M. p. 597, 45: *ναρόν, τὸ ὑγρόν — Σοφοκλῆς Τρωίλῳ* '*πρὸς — ποτά*'. cf. Etym. Gud. p. 409, 1 Orionis Etym. p. 110, 2. *ναρὰ δὲ* libri plerique, *ναρὰ καὶ* M. in codice F Sophoclis verba hanc referunt formam, *πρὸς ναρῶν* (supra *ῶ* scr. *ὸ*) *δὲ κρῆν* (supra *ν* scr. *α*) *ἀναχωροῦσει* (supra *σει* scr. *μεν*) *ποτά.*

565

καταρβύλοις χλαίναις

Hesych. 2 p. 432: *καταρβύλοις χλαίναις* (*καταρβύλοι χλαίνας* cod., correxit Musurus)· *ποδήρεσιν, ὥστε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι. Σοφοκλῆς Τρωίλῳ.* cf. p. 385: *καθάρβυλος χλανίς· ποδήρης ἕως τῶν ἀρβυλῶν* (*ἀβύλων* cod.).

566

. . . *πλήρη μασχαλισμάτων*

Suid. v. *ἐμασχαλίσθη*: *Σοφοκλῆς ἐν Τρωΐλῳ πλήρη μασχαλισμάτων εἴρηκε τὸν μασχαλισμὸν καὶ ἐν Ἠλέκτρᾳ ἐμασχαλίσθη.* verba multis et violentis coniecturis temptata: fortasse sufficit *καὶ* post *εἴρηκε* suppleri, ut *πλήρη μασχαλισμάτων* et *τὸν μασχαλισμόν* e Troilo afferantur. *ἐμασχαλίσθη* legitur El. 445. ex schedis Siebenkeesii Harles in Fabric. Bibl. Gr. vol. 2 p. XVI haec protulit 'Electra et Troilus citantur in Msc. Angelicae Bibliothecae, *μασχαλισθήσῃ ποτέ*'. locus a Siebenkeesio indicatus concinit, ut opinor, cum Apostol. 11, 4.

567

ἐλαιοῦται θρίξ

Hesych. 2 p. 57: *ἐλαιοῦται θρίξ· Σοφοκλῆς Τρωΐλῳ. Ἀρίσταρχος ῥυπαίνεται, βέλτιον δὲ λαμπρύνεται.*

568

ἀμάσεται

Hesych. 1 p. 111: *ἀμάσεται· ἀπὸ τῆς ἀμήσεως, οἱονεὶ σφάξει* (*σφάξαι* cod.). *Σοφοκλῆς Τρωΐλῳ* (*τροίλῳ* cod.). depravatum esse *ἀμάσεται* ex *αἱμάσσεται* vel *ἀμύσσεται* vel simili verbo coni. M. Schmidt.

569

ἀπέσκη

Hesych. 1 p. 235: *ἀπέσκη· τόξον ἀπέσκη. ἔνιοι δὲ γυμνὰ θήκης* (*θήκαις* cod.) *τόξα. Σοφοκλῆς Τρωΐλῳ* (*τρώλῳ* cod.). cf. Anecd. Bekk. p. 422, 33: *ἀπέσκη· γυμνὰ θήκης τόξα.* Sophoclem scripsisse *τόξ' ἀπεσκῆ* coni. M. Schmidt ex Hesych. 3 p. 325 sive Phot. Lex. p. 425, 27: *πεσκέων· δερμάτων.*

570

ἄπιστος

Hesych. 1 p. 242: *ἄπιστος· ἀπαράπιστος, ἀπειθής. Σοφοκλῆς Τρωΐλῳ.* rectius scripseris *ἄπειστος· ἀπαράπειστος* cum Bernardo.

571

ἄσας

Hesych. 1 p. 297: *ἄσας· βλάψας, ἔβλαψας. Σοφοκλῆς Τρωΐλῳ.* fortasse *ἔβλαψας* delendum.

572

ἀσόλοικον

Hesych. 1 p. 301: *ἀσόλοικον* (*ἀσόλυκον* cod.)*· ἥμερον, προσηνές, οὐ βάρβαρον. Σοφοκλῆς Τρωΐλῳ.*

573

ἕρκη

Hesych. 1 p. 192: ἕρκη· ὅπλα. Σοφοκλῆς Τρωΐλῳ.

574

ἰαί

Hesych. 2 p. 338 v. Ἴαννα, quem locum attulimus fr. 53.

575

ἰήιος

Hesych. 2 p. 349: ἰήιος — καὶ θρῆνον σημαίνει, ὡς Σοφοκλῆς Τρωΐλῳ καὶ Ἴων Εὐρυτίδαις (εὐρύτιδες cod.), ὡς αἴλινον, ἰάλεμος (αἰλίνων ἰάλεως cod.).

576

μέλλει

Plat. Rei publ. VIII p. 566 D: τί δ' οὐ μέλλει; ubi Schol. p. 936 a 31: μέλλει· ἔοικε, φαίνεται, δοκεῖ, ὡς νῦν· παρὰ δὲ Σοφοκλεῖ Τρωΐλῳ μένει. Hesych. 3 p. 88: μέλλει· φαίνεται, ἔοικε, δοκεῖ. ἢ μένει.

577

ὀροσάγγαι

Claudii Casilonis παρὰ τοῖς Ἀττικοῖς ῥήτορσι ζητούμενα in Milleri *Mélanges de litt. gr.* p. 397 sive Lex. rhet. post Phot. p. 674, 21: ὀροσάγγαι μὲν οἱ σωματοφύλακες, ὡς Σοφοκλῆς Ἑλένη⟨ς⟩ γάμῳ καὶ Τρωΐλῳ.

578

σακκοδερμηστής

Phot. Lex. p. 497, 3 et Anecd. Bachm. vol. 1 p. 361, 9: σακοδερμήτης (σακοδερμίτης Phot.). Σοφοκλῆς Τρωΐλῳ. οἱ μὲν τὸν ὄφιν, οἱ δὲ σκώληκα τὰ δέρματα διεσθίοντα· ἄμεινον δὲ τὸν ἐπὶ τῷ δέρματι χαλκὸν ἔχοντα, παρ' ὅσον τὰ σάκη ἐπίχαλκα. similiter omissa Sophoclis mentione Hesych. 4 p. 8 v. σακκοδερμιστής. cf. quae attulimus in fr. 411.

ΤΥΜΠΑΝΙΣΤΑΙ

Eiusdem tituli comoediam scripsit Autocrates, v. Meinek. Com. vol. 1 p. 270 vol. 2 p. 891. de argumento non constat. glossam Hesych. 2 p. 510: κομίζεται· νομίζεται, λέγεται. ὅπερ ἐστὶν ἐν (ἢ cod.) Τυμπανιστρίαις, quam Sophocli vindicabat Pricaeus, Autocrati tribuere mavult Kock Com. Att. fr. 1 p. 806.

579

φεῦ φεῦ, τί τούτου χάρμα μεῖζον ἂν λάβοις
τοῦ γῆς ἐπιψαύσαντα κᾆθ' ὑπὸ στέγῃ
πυκνῆς ἀκοῦσαι ψακάδος εὑδούσῃ φρενί;

Stob. Flor. 59, 12: *Σοφοκλέους Τυμπανιστῶν* (*τῶν πανιστῶν* M). '*τί τούτου — φρενί*'. v. 1 sine poetae et fab. n. affert Plut. V. Aemilii Pauli c. 1 (vol. 1 p. 468 ed. Sint.), v. 2 et 3 Cicero ad Att. 2, 7, 4: *cupio istorum naufragia ex terra intueri; cupio, ut ait tuus amicus Sophocles* '*κἂν ὑπὸ — φρενί*'. v. 1 *φεῦ φεῦ* om. Stob. *λάβοις*] *λάβοις ποτέ* Stob., unde *τί τοῦδε* (pro *τούτου*) *χάρμα μεῖζον ἂν λάβοις ποτὲ* scribi voluit Valckenaer Diatr. p. 194. v. 2 *τῶ γῆς* Stobaei S. *ἐπιψαῦσαί τε* Blomfield. *καὶ ὑπὸ στέγῃ* Stob., *κἂν ὑπὸ στέγῃ* Cic., *καὶ στέγης ὕπο* Heath, *κᾆθ' ὑπὸ στέγῃ* Meineke. v. 3 *πυκνᾶς ἀκούειν ψακάδος* Cic.

580

ἡμεῖς δ' ἐν ἄντροις, ἔνθα Σαρπηδὼν πέτρα

Herod. *π. μον. λέξ.* p. 9, 11: *Σαρπηδών Σαρπηδόνος, εἴτε ὁ ἥρως, εἴτε ἡ πέτρα, εἴτε ἡ ἀκτή, εἴτε ἡ νῆσος· ὡς παρὰ Σοφοκλεῖ — ἐν Τυμπανισταῖς* '*ἡμεῖς — πέτρα*'. *ἄστροις* codex, *ἄντροις* Bergk.

581

Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος

Stephanus Byz. p. 680, 14: *Χαλδαῖοι — εἰσὶ δὲ καὶ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σοφοκλῆς Τυμπανισταῖς* '*Κόλχος — ἔθνος*'.

582

ἄδημον

Hesych. 1 p. 44: *ἄδημον· οὐκ ἔνδημον ὄντα. Σοφοκλῆς Τυμπανισταῖς.*

583

ἀνετῶς

Hesych. 1 p. 197: *ἀνετῶς· ἀνατεταμένως* (*ἀνατεταλμένως* cod.). *Σοφοκλῆς Τυμπανισταῖς.*

584

ἀντιστρέφω

Hesych. 1 p. 215: *ἀντιστρέφω· ἀνταξιῶ. Σοφοκλῆς Τυμπανισταῖς.*

585

δράκαυλος

Etym. M. p. 287, 14 et Suidas: *δράκαυλος. Σοφοκλῆς Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ παρ' αὐταῖς αὐλίσαι τὸν δράκοντα ταῖς Κέκροπος θυγατράσιν· ἢ ὅτι συναυλίζονται κατὰ τὸ εἰκὸς Κέκροπι ὄντι διφυεῖ· ἢ ὅτι συναυλίζεται μία τῷ ἐν τῇ ἀκροπόλει δράκοντι, προσημερεύουσα τῇ θεῷ.* similiter Hesychius v. *δράκαυλος* 1 p. 534. pro *δράκαυλος* in Etym. M. libri plerique praebent *δραύκαλος*, *δραύκαλος* (καυ supra) habet D.

586

ἔλυμοι

Ath. IV p. 176 F, cuius locum attulimus fr. 412.

587

Schol. Soph. Ant. 980 de Phineo: *μετὰ δὲ τὸν Κλεοπάτρας θάνατον ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου, κατὰ δὲ τινὰς Εἰδοθέαν τὴν Κάδμου ἀδελφήν, ἧς καὶ αὐτὸς Σοφοκλῆς μνημονεύει ἐν Τυμπανισταῖς· ἥτις ἐξ ἐπιβουλῆς τυφλώσασα τοὺς Κλεοπάτρας παῖδας ἐν τάφῳ καθεῖρξεν.* pronomen *ἧς* ad *Ἰδαίαν* esse referendum probabiliter coni. G. Wolff Philol. 28 p. 343 ex Schol. Apoll. Rhod. 2, 178: *Σοφοκλῆς δὲ (λέγει) ὅτι (Φινεὺς) τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν Ὄαρθον (ἐτύφλωσε Παρθένιον* H. Keil) *καὶ Κράμβον (Κάραμβιν* Holstenius) *πεισθεὶς διαβολαῖς Ἰδαίας τῆς αὐτῶν μητρυιᾶς.*

ΤΥΝΔΑΡΕΩΣ

Qui ex Tyndareo afferuntur versus fortasse ad *Ἀλήτην* referendi sunt cum Welckero Tragod. p. 216.

588

οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας
ἀνδρός, πρὶν αὐτῷ παντελῶς ἤδη βίος
διεκπεραθῇ καὶ τελευτήσῃ βίον.
ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ
πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις, 5
ὅταν μεταστῇ καὶ θεοῖς δοκῇ τάδε.

Stob. Flor. 105, 3: *Σοφοκλέους Τυνδάρεως. 'οὐ χρή — τάδε'.* v. 2 *βίος*] *χρόνος* coni. Blomfield, *τρίβος* F. G. Schmidt de ubert. Soph. II p. 28. videtur potius insequentis versus exitus vitiosus esse. v. 3 *διεκπεραθῇ* scripsi, *διεκπερανθῇ* vulgo. *τελευτήσας φανῇ*

coni. Schneidewin Philol. 3 p. 89, τελευτήσῃ καλῶς Heimsoeth *Krit. Stud.* p. 159, τελευτήσαντ' ἴδῃς olim Meineke, qui postea (*Jahrb. f. Philol.* vol. 87 p. 379) v. 2 et 3 παντελῶς ἤδη βίου — τελευτηθῇ χρόνος proposuit. v. 4 κὠλίγῳ] κόλίγω S, καὶ ὀλίγῳ M, κἂν ὀλίγω A, κοὐ μακρῷ coni. Bergk. κὠλίγῳ πόνῳ Meineke Philol. 13 p. 524, κὠλίγου χρόνου Enger. v. 5 πᾶν πλουτον S, πᾶν πλοῦτον MA, πάμπολλον vel πάμπλουτον Gesner. δόσις] μένος coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 265. v. 6 δοκεῖ A. iunioris poetae hunc esse locum censet Bernhardy *Grundr. der Gr. Litt.* II, 2 p. 335 ed. tert.

ΤΥΡΩ Α ET Β

Duas huius tituli fabulas Sophocles scenae commisit, quarum differentiam rimari nunc non licet. argumentum aut utriusque aut alterius fabulae adumbrat Apollod. 1, 9, 8: *Ποσειδῶν δὲ εἰκασθεὶς Ἐνιπεῖ συγκατεκλίθη αὐτῇ* (sc. *Τυροῖ*), *ἡ δὲ γεννήσασα κρύφα διδύμους παῖδας ἐκτίθησιν. — ἱπποφορβὸς ἀμφοτέρους τοὺς παῖδας ἀνελόμενος ἔθρεψε καὶ τὸν μὲν — Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα. τελειωθέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα καὶ τὴν μητρυιὰν ἀπέκτειναν Σιδηρώ· κακουμένην γὰρ γνόντες ὑπ' αὐτῆς τὴν μητέρα ὥρμησαν ἐπ' αὐτήν, ἡ δὲ φθάσασα εἰς τὸ τῆς Ἥρας τέμενος κατέφυγε, Πελίας δὲ ἐπ' αὐτῶν τῶν βωμῶν αὐτὴν κατέσφαξε.* cf. Schol. Eur. Or. 1691: *ὁμοίως καὶ ἐν Τυροῖ* (*τύροις* plerique libri) *Σοφοκλέους ἀναγνωρισμὸς κατὰ τὸ τέλος γίνεται.* Aristot. Poet. c. 16 p. 1454 b 25: *ἐν τῇ Τυροῖ διὰ τῆς σκάφης* (sc. *ἡ ἀναγνώρισις γίγνεται*). hanc *σκάφην* ridet Aristophanes (v. Soph. fr. 596). personam quam Tyro in scena habuerit commemorat Pollux 4, 141: *τὰ δ' ἔκσκευα πρόσωπα Ἀκταίων ἐστὶ κερασφόρος — ἡ Τυρὼ πελιδνὴ τὰς παρειὰς Σοφοκλεῖ· τοῦτο δ' ὑπὸ τῆς μητρυιᾶς Σιδηροῦς πληγαῖς* (l. *πληγεῖσα*) *πέπονθεν.*

589

θεανὴ νόσος

Hesych. 2 p. 303: *θεανὴ νῆσος· ἡ ἐκ θεοῦ, θεία. Σοφοκλῆς τυροία ροιτοῦ* (i. e. *Σοφοκλῆς Τυροῖ α'*). pro *νῆσος* recte *νόσος* coni. Soping, nec potest ferri *θεανή*, quod in *θεία* mutat Dindorf.

590

ἔχθημα

Hesych. 2 p. 247: *ἔχθιμα· μισήματα. Σοφοκλῆς τυράννοις* (*Τυροῖ* Pierson in Moer. p. 436, debebat *Τυροῖ α'*). *ἐχθήματα* pro *ἔχθιμα* suasit Alberti, *ἔχθημα· μίσημα* Kuster cum Phot. Lex. p. 45, 21 et Suid.

591

καρπομανής

Hesych. 2 p. 415: *καρπομανής· εἰς κόρον* (*καρπομανής· ἡ καρπῷ* coni. Blaydes Ai. p. 43) *ἐξυβρίζουσα. Σοφοκλῆς τυριλάω* (i. e. *Τυροῖ α΄*).

592

μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα·
σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων.

Stob. Flor. 109, 2: *Σοφοκλέους Τυροῦς* (sic MA, *Τυροῦς* om. S, *Τυροῦς β΄* ed.). '*μὴ σπεῖρε — πρέπον*'. v. 1 *μὴ σπεῖρ' ἐς ἄλλους* F. G. Schmidt *Krit. Stud.* 1 p. 267. v. 2 *πρέπων* B, *πρέπον* SMA.

593

ἀρχή· τίς ⌊*ὄρνις*⌋ *οὗτος ἔξεδρον χώραν ἔχων;*

Ar. Av. 275: *νὴ Δί' ἕτερος δῆτα χοὗτος ἔξεδρον χώραν ἔχων.* ubi Scholia: *ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς ἀρχή* (*ἐκ τοῦ Σοφοκλέους ἀρχή* V) '*τίς ὄρνις — ἔχων;*' errant qui *τίς ὄρνις οὗτος κτἑ.* Sophocleae fabulae initium fuisse arbitrantur: potius *ὄρνις* delendum, *ἀρχή* corruptum, fortasse ex *ἄθρει*. nihil iuvat Herodiani qui dicitur Philetaer. p. 435: *ἔξεδρος .... καὶ μὴ ἔστω πῶς ὢν εἰς ἡμᾶς ἔξεδρον χώραν .... ἐν Σατύροις.* ubi extrema verba Pierson correxit *ἔξεδρον χώραν ἔχων· Σοφοκλῆς ἐν Τυροῖ.*

594

ἐρρηνοβοσκός

Phot. Lex. p. 17, 7: *ἐρρηνοβοσκός· ὁ προβατοβοσκός, ἐν Τυροῖ β΄ Σοφοκλέους· ἴσως ἀπὸ τοῦ ἀρήν.* Etym. M. p. 377, 22: *ἐρρηνοβοσκός· ὁ προβατοβοσκός; ἐν Τυροῖ β΄ Σοφοκλῆς.* Hesych. 1 p. 278: *ἀρηνοβοσκός· προβατοβοσκός. Σοφοκλῆς Τυροῖ β΄* (*τυροίκω* cod.). *γράφεται δὲ ἐρρηνοβοσκός, διά τε τοῦ Ε καὶ τῶν δύο Ρ.* Hesych. 1 p. 276: *ἀρενοβοσκός· προβατοβοσκός.* cf. Eust. Il. p. 799, 36: *ἀρηνοβοσκός, ὁ προβατοβοσκὸς κατὰ Παυσανίαν —, ἐν δὲ ἀνωνύμῳ ῥητορικῷ λεξικῷ καὶ ἐρενοβοσκός ὁ αὐτὸς φέρεται διὰ τοῦ Ε.* quid scripserit Sophocles nescimus. quod olim conieci *ἐρημοβοσκός* dudum reieci. nimirum oves appellatas esse *ἔρημα* nemo perhibet nisi grammatici quidam falsa Homerici loci (Il. *E* 140) interpretatione decepti. nec magis ferri potest *ἐρεμμοβοσκός*. facilius *ἀρνοβοσκός* vel *ῥηνοβοσκός* formae fidem invenient ab Wagnero et Bergkio propositae.

595

Schol. Aesch. Prom. 128: *μηδὲν φοβηθῇς· φιλία γὰρ ἥδε τάξις*] *ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν.* — *ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τυροῖ β'* (sic M, *τηροῖ* RV omisso *β'*, ex quo Stephanus *Τηρεῖ* fecit).

596

Ar. Lysistr. 138: *οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσὶν αἱ τραγῳδίαι; οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.* ubi Scholia (v. 138): *εἰς τὴν Σοφοκλέους δὲ Τυρὼ ταῦτα συντείνει ἐκθεῖσαν τὰ τέκνα εἰς σκάφη* (l. *ἐν σκάφῃ*), et mox (v. 139) *οὐδὲν ἐσμὲν εἰ μὴ συνουσιάζειν καὶ τίκτειν· ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.* Sophocleam fabulam respici verissime intellexerunt grammatici, ipsum locum Sophoclis ignorarunt. quem fortasse servavit Stobaeus Flor. 98, 1: *ὡς οὐδέν ἐσμεν πλὴν σκιαῖς ἐοικότες* (fr. 859, 2).

597

αὕτη δὲ μάχιμός ἐστιν ὡς κεχρημένη
σαφῶς σιδήρῳ καὶ φοροῦσα τοὔνομα.

Aristot. Rhet. 2, 23 p. 1400 b 17: *ἄλλος* (sc. *τόπος*) *ἀπὸ τοῦ ὀνόματος, οἷον ὡς ὁ Σοφοκλῆς 'σαφῶς — τοὔνομα'* (v. 2). ubi Schol. fol. 47 a 16: *ἅ φησιν ὁ βιάζων* (*ὁ παίζων* coni. Herwerden Lucubr. Soph. p. 79) *πρὸς τὴν Σιδηρώ 'αὕτη — τοὔνομα'.* Eust. Il. p. 158, 24: *κατὰ τὴν παροιμιαζομένην Σιδηρὼ θρασεῖαν ἐκείνην γυναῖκα φορεῖν τὸ οἰκεῖον ὄνομα.* Eust. Od. p. 1940, 57: *ὅτι δὲ καὶ θρασύτητος λάλημά ἐστιν ὁ σίδηρος, δηλοῖ Ἀριστοτέλης ἐν τῇ κατ' αὐτὸν ῥητορικῇ φάμενος γυναῖκα θρασεῖαν τὴν Σιδηρὼ τὸ οἰκεῖον φορεῖν ὄνομα.* v. 2 *Σιδηρὼ* Aristot. libri plerique, *σιδήρῳ* cod. A[c] et Schol. *φέρουσα* pro *φοροῦσα* Schol. *ὡς κεκλημένη σαφῶς Σιδηρὼ καὶ φρονοῦσα τοὔνομα* coni. Cobet Coll. crit. p. 198 et Mnem. nov. 12 p. 112, *ὡς καὶ χρωμένη ἀφόβως σιδήρῳ καὶ φοροῦσα τοὔνομα* F. G. Schmidt *Krit. Stud.* 1 p. 269. Aristotelis locum huc rettulit Brunck.

598

κόμης δὲ πένθος λαγχάνω πώλου δίκην,
ἥτις συναρπασθεῖσα βουκόλων ὕπο
μάνδραις ἐν ἱππείαισιν ἀγρίᾳ χερὶ
θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο,
σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν 5

ἴδῃ σκιᾶς εἴδωλον αὐγασθεῖσ' ὑπὸ
κουραῖς ἀτίμως διατετιλμένης φόβης.
φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτίρειέ νιν
πτήσσουσαν αἰσχύναισιν οἷα μαίνεται
πενθοῦσα καὶ κλαίουσα τὴν πάρος φόβην. 10

Aelianus N. A. 11, 18: *θήλειαν δὲ ἵππον εἰς ἀφροδίσια λυττήσασαν πάνυ σφόδρα παῦσαι ῥᾳδίως ἔστιν* (*ῥᾴδιόν ἐστιν* coni. Hercher), *ὡς Ἀριστοτέλης λέγει, εἴ τις αὐτῆς ἀποκείρειε τὰς κατὰ τοῦ τένοντος τρίχας· αἰδεῖται γὰρ — κατηφήσασα ἐπὶ τῇ αἰσχύνῃ. τοῦτό τοι καὶ Σοφοκλῆς αἰνίττεται ἐν τῇ Τυροῖ τῷ δράματι· πεποίηται δέ οἱ αὕτη λέγουσα καὶ ἃ λέγει ταῦτά ἐστιν* '*κόμης δὲ — πάρος φόβην*'. cf. 2, 10: *οἱ βουλόμενοι ἡμιόνους σφίσι γενέσθαι ἀποθρίσαντες τῆς ἵππου τὴν χαίτην — τοὺς ὄνους ἐπάγουσιν· ἡ δὲ ὑπομένει τὸν ἄδοξον ἤδη γαμέτην πρῶτον αἰδουμένη. καὶ Σοφοκλῆς δὲ ἔοικε μεμνῆσθαι τοῦ πάθους.* adde Plut. Amator. c. 9, 12 p. 754 A. v. 2 *ξυναρπασθεῖσα* malim. v. 3 *μάνδραισιν ἱππείαισιν* ante Brunckium. v. 5 *πλαθεῖσα* Reiske, *σπάσουσα* G. Hermann Opusc. 3 p. 359 sq. v. 6 *αὐγασθεῖσά που* coni. Meineke Men. p. 571, *αἰκισθεῖσ' ὑπὸ* Haupt, *αὐγασθεῖσ' ὕδωρ* Wecklein Mus. Rhen. 38 p. 137. v. 7 *διατετιλμένη φόβην* coni. Ellendt Lex. Soph. 1 p. 424. v. 8 sq. in libris graviter corrupti. *οἰκτείρειέ νιν* vulgo. v. 9 *αἰσχύνῃσιν* libri ut videtur.

599

προστῆναι μέσην
τράπεζαν ἀμφὶ σῖτα καὶ καρχήσια

Ath. XI p. 475 A de nomine *καρχήσιον*: *Σοφοκλῆς δὲ Τυροῖ* '*προστῆναι μέσην — καρχήσια*', *πρὸς τὴν τράπεζαν φάσκων προσεληλυθέναι τοὺς δράκοντας καὶ γενέσθαι περὶ τὰ σιτία καὶ τὰ καρχήσια.* Macrobius Saturn. 5, 21, 6: *Sophocles in fabula quae inscribitur Tyro* '*πρὸς* ΓΗΝΔΕΙΜΙ ΤΡΑΠΕΖΑ *ἀμφὶ — καρχήσια*'. v. 1 *προσστῆναι* coni. Schweighaeuser, *προσπτῆναι* Bergk. v. 2 *σιτία τὰ* Athenaeus, *σῖτα* Macrobius.

600

πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.

Stob. Flor. 20, 29: *Σοφοκλῆς ἐν Τυροῖ* (*ἐν τύρ̄* S, *ἐν τύρω* MA). '*πόλλ' — ὁρᾷ*'.

601

μήπω μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς.

Stob. Flor. 105, 21: *Σοφοκλῆς ἐν Τυροῖ* (sic MA, *ἐν Τυροῖ* om. S). '*μήπω — ἴδῃς*'. Prov. Milleri *Mél. de litt. gr.* p. 381:

μήπω — ἴδῃς. ἐπὶ τῶν θαυμαζόντων τοὺς τὰ μεγάλα ὑπισχνουμένους· οὐ γάρ ἐστι πρὶν ἀποθανόντα ἴδῃς, ἀλλὰ πρὶν εἰς τέλος ἀγαγόντ' ἴδῃς, μὴ θαυμάσῃς τὸν μεγάλα καυχώμενον. eundem versum om. poetae et fabulae nomine habent Cic. Epist. ad Att. 4, 8 a, 1 Schol. B Il. Θ 5 p. 342, 11 Iohannes Chumnus Epist. 5 in Boissonadii Anecd. nov. p. 215. adde parodiam Eumenis, de qua Plut. Regum et imperat. apophth. p. 184 B: *ὁ δὲ Εὐμένης φιλοφρόνως ἀσπασάμενος αὐτὸν* (Attalum fratrem) *καὶ πρὸς τὸ οὖς εἰπὼν 'μὴ σπεῦδε γῆμαι, πρὶν τελευτήσαντ' ἴδῃς', οὐδὲν ἄλλο — οὔτ' εἶπεν ὕποπτον οὔτε ἐποίησεν.* verbis *μήπω μέγ' εἴπῃς* utitur Plato Sophist. p. 238 A, *μηδὲν μέγ' εἴπῃς* dixit Soph. Ai. 386 eumque secutus Gregorius Naz. vol. 2 p. 6 B p. 157 D. *μέγ'*] *μέγαν* Stobaei SMA et quidam Ciceronis libri. *πρὶν τελευτήσας τύχῃς* parum probabiliter coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 269, qui paroemiographo Milleri fortasse nimium tribuit.

602

τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.

Stob. Flor. 99, 19: *Σοφοκλέους Τυροῦς* (sic MA, fabulae nomen om. S). *'τίκτουσι — δυσθυμίαι'.* Antiatt. p. 89, 19: *δυσθυμία. Σοφοκλῆς Τυροῖ.*

603

γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή.

Stob. Flor. 115, 8: *Σοφοκλέους Τυροῦς* (sic MA, fabulae nomen om. S). *'γῆρας — τριβή'.*

604

ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός.

Stob. Flor. 46, 6: *Σοφοκλέους Τυροῖ* (sic A, *τυρῷ* S, *τυρῶ* M). *'ἄκων — κακός'.* cf. Senec. Herc. Oet. 886: *haud est nocens quicumque non sponte est nocens.*

605

σίτοισι παγχόρτοισιν ἐξενίζομεν

Ath. III p. 99 F de verbo *χορτάζειν*: *Σοφοκλῆς τε ἐν Τυροῖ 'σίτοισι — ἐξενίζομεν'. σίτοισι* Porson, *οἱ τοῖσι* A. *πανχόρτοισιν* A.

606

πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται
οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων
τὸ λίαν κακός· βροτῷ δὲ πιστὸν οὐδέν.

Stob. Flor. 87, 3: *Σοφοκλῆς Τυροῖ* (*τυρῶ* S, *τυρῶ* MA). '*πολλῶν — οὐδέν*'. chori notam apponit S. verba poetae graviter sunt corrupta. v. 1 *πολλῶν*] *οὐ πολὺ* Herwerden Lucubr. Soph. p. 79 sq. *παμπληθίᾳ* coni. Blomfield, fortasse *πολυπληθείᾳ* praestat, cf. Thes. Gr. L. 6 p. 1408 D. v. 2 *ἐσθλῶς* M, *ἐσθλὸν* Herwerden. v. 2 sq. *ἀχρείων τὸ*] *ἀχρείων ἄπο* Iacobs. v. 3 *τὸ λίαν*] *πάλιν* coni. Meineke, *ἀεὶ* Wecklein Art. Soph. em. p. 60. *κακόν· σπορᾷ δὲ* Herwerden.

607

Διονύσου τοῦ ταυροφάγου

Ar. Ran. 357: *μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη*, ubi Schol. (Suid. v. *ταυροφάγον*): *εἴρηται δὲ παρὰ τὸ Σοφοκλέους ἐκ Τυροῦς* '*Διονύσου τοῦ ταυροφάγου*'. cf. Phot. Lex. p. 571, 13 (Etym. M. p. 747, 49 Suid.): *ταυροφάγον· τὸν Διόνυσον Σοφοκλῆς ἐν Τυροῖ*. Hesych. 4 p. 133: *ταυροφάγος· ὁ Διόνυσος*.

608

ἤνεγκον

Antiatt. p. 98, 11: *ἤνεγκον· ἐπὶ πρώτου προσώπου. Σοφοκλῆς Τυροῖ, Ἀριστοφάνης Θεσμοφορίαις*.

ΥΒΡΙΣ ΣΑΤΥΡΙΚΗ

609

λήθην τε τὴν πάντ' ἀπεστερημένην
κωφὴν ἄναυδον

Stob. Flor. 26, 3: *Σοφοκλέους Ὕβρεως σατύρου* (sic MA, *σατύρου* om. S). '*λήθην — ἄναυδον*'. v. 1 *τὴν πάντ'* SMA, ⟨*καὶ*⟩ *τὴν πάντ'* Gesner, *τὴν ἅπαντ'* Wagner, *τὴν* ⟨*τὰ*⟩ *πάντ'* Gomperz.

610

ἐσθίειν ἐθέλων τὸν δέλφακα

Ath. XIV p. 657 A: *δέλφακα δὲ ἀρσενικῶς εἴρηκε — Σοφοκλῆς Ὕβρει* '*ἐσθίειν — δέλφακα*'. *θέλων* probabiliter coni. Dindorf.

ΤΑΡΟΦΟΡΟΙ

611

ὄχοις Ἀκεσταίοισιν ἐμβεβὼς πόδα

Phot. Lex. p. 366, 14: *ὄχος Ἀκεσσαῖος· ἐδόκουν αἱ Σικελικαὶ ἡμίονοι εἶναι σπουδαῖαι· ἡ γὰρ Ἄκεσσα Σικελικὴ πόλις. Σοφοκλῆς*

Ὑδροφόροις. versus Sophocleus alienam sedem occupavit, cf. p. 365, 1 (quae descripsit Suidas): *ὄχανον· ὅθεν ἡ ἀσπὶς κρατεῖται τῇ χειρί. 'ὄχοις Ἀκεσταίοισιν ἐμβεβαὼς* (*ἐμβεβὼς* Suidae cod. A, ubi *ἐμβαὼς* et *ἐμβεβαὼς* al.) *πόδα'.* Hesych. 1 p. 96: *Ἀκεσταῖοι ὄχοι· Σικελικὰ ὀχήματα.* ibid.: *ἀκεσταὶ φρένες ἐσθλῶν — λέγεται δὲ καὶ ὀχήματα Σικελικά, ἀπὸ πόλεως Σικελίας.* 3 p. 249: *ὄχος Ἀκεσταῖος* (*ἀκέσταις* cod.)· *ἐπεὶ αἱ Σικελικαὶ ἡμίονοι σπουδαῖοι. ἦν δὲ Ἀκέστη* (*Ἄκεστος* ante M. Schmidtium) ⟨*πόλις*⟩ *Σικελίας.* Stephanus Byz. p. 59, 10: *Ἀκέστη, πόλις Σικελίας — τὸ ἐθνικὸν Ἀκεσταῖος.*

612

πολύκοινον Ἀμφιτρίταν

Schol. Soph. Ant. 1: *τὸ δὲ κοινὸν ὁ Σοφοκλῆς συνεχῶς ἐπὶ τοῦ ἀδελφοῦ τίθησιν, οἷον καὶ ἐν ταῖς Ὑδροφόροις τέταχεν· 'πολύκοινον Ἀμφιτρίταν' ἀντὶ τοῦ πολυάδελφον.* Hesych. 2 p. 503: *κοινός — ἀδελφός. Σοφοκλῆς Ἀντιγόνῃ — καὶ ἐν Ὑδροφόροις* (*ὑδροφό.. οις* cod.) *'πολύκοινον* (*πολύκωμον* cod.) *Ἀμφιτρίτην'.* 3 p. 357: *πολύκοινον· πᾶσι κοινόν.* dixisse Sophoclem *πολύκοιτον Ἀμφιτρίταν* coni. M. Seyffert in Ai. 1194 p. 121.

613

Βακχᾶς

Schol. Soph. Phil. 1199: *ἔστι μέντοι λαβεῖν καὶ βροντᾶς ἀντὶ τοῦ βροντήσας* (fort. *βροντητής*), *καθάπερ καὶ ἐν Ὑδροφόροις τὸν Διόνυσον εἶπε Βακχᾶν ἀντὶ τοῦ Βακχευτάν.*

ΦΑΙΑΚΕΣ

Welcker huc referenda suspicatur fr. 777 et 880.

614

καὶ βορᾶς ἀρτύματα

Ath. II p. 67 F: *ὅτι ἀρτύματα εὕρηται παρὰ Σοφοκλεῖ 'καὶ βορᾶς ἀρτύματα'.* locus huc relatus propter Antiatt. p. 82, 32: *ἀρτύματα· οὐχ ἡδύσματα. Σοφοκλῆς Φαίαξιν.* eodem nomine usus est Sophocles fr. 305 et 643.

615

ἀποσημῆναι

Antiatt. p. 83, 21: *ἀποσημῆναι· ἀντὶ τοῦ δηλῶσαι. Σοφοκλῆς Φαίαξιν.*

ΦΑΙΔΡΑ

Argumentum notum ex Euripidis Hippolyto. Welcker huic fabulae adscribit fr. 225. quinque versus a Stobaeo Flor. 63, 25 allatos rectius Euripidi tribuit Clemens Alex. Strom. VI p. 745 (cf. Eur. fr. 431).

616

οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας
τέρπειν, ὅπου γε μὴ δίκαια τέρψεται.

Stob. Flor. 17, 2: *Σοφοκλέους Φαίδρᾳ* (sic MA, *τοῦ αὐτοῦ φα* . . . S). '*οὐ — τέρψεται*'. eundem locum cum lemmate *ἐκ τῆς Φαίδρας* servavit Orion Flor. 6, 7 p. 49, 15. v. 2 *ὅπου μὴ καὶ* Stob., *ὅπου γε* Orion, *ὅπου γε μὴ* Schneidewin. *τέρπεται* Orion. Hippolyti sunt verba.

617

ἀπέπτυσεν λόγους

Hesych. 1 p. 234: *ἀπέπτυσε λόγους· ἀπεμύξατο τοὺς λόγους, ἀντὶ τοῦ ἀπεστράφη. Σοφοκλῆς Φαίδρᾳ.* Phryn. Bekk. p. 28, 8: *ἀποπτύσαι λόγους· ἀπορρῖψαι καὶ μὴ προσέσθαι.* similiter Aesch. Eum. 303: *ἀλλ' ἀποπτύεις λόγους.*

618

σύγγνωτε κἀνάσχεσθε σιγῶσαι· τὸ γὰρ
γυναιξὶν αἰσχρὸν δεῖ γυναῖκ' ἀεὶ στέγειν.

Stob. Flor. 74, 16: *Σοφοκλῆς ἐν Φαίδρᾳ.* '*σύγγνωτε — στέγειν*'. v. 2 *ἐν γυναικὶ δεῖ* S, *ἐν γυναικὶ χρῆ* M, *σὺν γυναικὶ δεῖ* A, *ἐν* (*σὺν* Ellendt) *γυναιξὶ δεῖ* Grotius, *εὖ* (*σὺν* Meineke) *γυναῖκα δεῖ* olim ego, *τὴν γυναῖκα δεῖ* Cobet Coll. crit. p. 198, *χρὴ* (*δεῖ* F. G. Schmidt *Krit. Stud.* 1 p. 269 sq.) *γυναῖκ' ἀεὶ* H. Vitelli *Mélanges Graux* p. 99.

619

αἴσχη μέν, ὦ γυναῖκες, οὐδ' ἂν εἷς φύγοι
βροτῶν ποθ', ᾧ καὶ Ζεὺς ἐφορμήσῃ κακά·
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.

Stob. Flor. 108, 53: *Σοφοκλέους Φαίδρᾳ.* '*αἴσχη — φέρειν*'. v. 2 *ᾧ καὶ* SMA, *ᾧ γε* Brunck. *ἐφορμήσῃ* SM, *ἐφορμήσοι* A.

620

τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμήσας βροτῶν
οὐκ ἔστιν οὗτος ὅντιν' εὑρήσεις ἕνα.

Stob. Flor. 105, 39: *Σοφοκλέους Φαίδρᾳ.* '*τὸ δ' εὐτυχοῦν — ἕνα*'. ecl. om. S. v. 1 *τὸ δ' εὐτυχοῦντα* M, *τὸ δ' εὐτυχεῖν* A, *τὸν δ' εὐτυχοῦντα* Grotius, *τὸν εὐτυχοῦντα* Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 28, *σὺ δ' εὐτυχοῦντα* R. Enger Adnot. ad trag. Gr. fr. p. 23, *διευτυχοῦντα* Cobet Coll. crit. p. 198, *τοὺς δ' εὐτυχοῦντας* Wecklein *Philol. Anz.* 11 p. 20, *πᾶν εὐτυχοῦντα* F. G. Schmidt *Krit. Stud.* 1 p. 270. *πάντ' ἀριθμῆσαι* MA, *πάντ' ἀριθμήσας* Grotius, *πάντας ἀθρήσας* F. G. Schmidt. v. 2 *οὗτος* MA, *ὄντως* Gesner, *οἶκος* (vel *ὀρθῶς* et antea *βροτόν*) F. G. Schmidt. de restituendo loco despero: sed v. 1 pro *ἀριθμεῖν* verbo potius *ἐρευνᾶν* requiro.

621

οὔτοι γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν
κακῆς ἀνὴρ κτήσαιτ' ἂν οὐδὲ σώφρονος
κρεῖσσον· παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

Stob. Flor. 69, 14: *Σοφοκλῆς Φαίδρᾳ.* '*οὕτω — λέγει*'. v. 1 *οὔτοι* F. G. Schmidt Sat. crit. p. 8 sive *Krit. Stud.* 1 p. 271 (eandem emendationem a. 1867 Th. Gomperz mecum communicaverat), *οὕτω* libri. v. 2 fortasse *λῄσαιτ' ἂν* leg., cf. Hesiodi Op. 702 et Simonidis Amorg. fr. 6. v. 3 *μεῖζον κρεῖσσον* S, sed *μεῖζον* del. pr. m.

622

οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν.

Stob. Flor. 43, 5: *Σοφοκλέους Φαίδρᾳ.* '*οὐ γάρ — πόλιν*'. Schol. Lucian. p. 154: *λὰξ πατήσας — ὡς καὶ ἐν τραγῳδίᾳ Σοφοκλῆς* '*οὐ γάρ — πόλιν*'. v. 1 *γένοιντ' ἂν* Stobaei S, *γένοιτ' ἂν* M, *γένοιτο* A. *ἀσφαλεῖς πόλεις* (*ἀσφαλὴς πόλις* corr. m. pr.) Stob. S, *ἀσφαλὴς πόλεις* M, *ἀσφαλὴς πόλις* A. ceterum cf. Eur. Suppl. 447: *πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν ἰσχυρὰ πόλις.* Ar. Av. 829: *καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις.* v. 4 *χερσὶν* Schol. Luc., *χεροῖν* Stobaei SMA, *χειροῖν* Gesner. *κέντρα*] *ἔργα* Schol. Luc.

623

ἀλλ' εἰσὶ μητρὶ παῖδες ἄγκυραι βίου.

Anecd. Bekk. p. 338, 16: ἄγκυραι· ἐκ μεταφορᾶς αἱ ἀσφάλειαι. Σοφοκλῆς 'ἀλλ' — βίου'. Hesych. 1 p. 24: ἄγκυραι· μεταφορικῶς αἱ ἀσφάλειαι. Σοφοκλῆς Φαίδρᾳ (φαῖδραι cod.). Suidas v. χαλάσω: ἄγκυρα μεταφορικῶς ἀπὸ τῶν νηῶν ἡ ἀσφάλεια, ὡς Σοφοκλῆς ἐν Φαίδρᾳ καὶ Εὐριπίδης ἐν Ἑκάβῃ.

624

ἔζης ἄρ' οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών;
⟨ΘΗΣ.⟩ οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.

Stob. Ecl. 1, 5, 13 p. 77, 4: Σοφοκλῆς Φαίδρᾳ (lemma habet F, om. P). 'ἔζης — βιάζεται'. vivus inferos adiit Theseus, cuius nomen v. 2 praemisi. v. 1 ἄρ'] ἄρα FP.

625

ἔσαινεν οὐρᾷ νῶτα κυλλαίνων κάτω

Hesych. 2 p. 551: κυλλαίνων (κυλαίνων cod.) κάτω. Σοφοκλῆς Φαίδρᾳ. τὰ ὦτα καταβαλών, ἥπερ (ἅπερ cod.) οἱ σαίνοντες (κύνες add. Hemsterh.) ποιοῦσιν. 'ἔσται ἐπουρανὼτικυθλάννων καὶ τό'. ἔσαινεν οὐρὰν Hemsterhuys, ἔσαιν' ἐπ' οὐρὰν Iensius, ἔσαινεν οὐρᾷ Brunck. ὦτα Hemsterh., τὦτα Brunck, τότε Herwerden Exerc. crit. p. 24, νῶτα Naber Mnem. nov. vol. 4 p. 436 et vol. 9 p. 243, μ' ὦτε E. Hiller in Libro misc. ed. a soc. philol. Bonn. p. 39. κάτω Hemsterhuys. de Cerbero agi recte agnovit Fr. Leo de Senecae trag. obs. crit. p. 179.

626

ἀελλάδες φωναί

Etym. M. p. 19, 53: ἄελλα· συστροφὴ ἀνέμου — καὶ ἄελλαι (ἀελλάδες codex Leidensis) φωναί, παρὰ Σοφοκλεῖ ἐν Φαίδρᾳ.

627

ἄγος

Hesych. 1 p. 30: ἄγος· ἅγνισμα, θυσία (θυσίας cod.). Σοφοκλῆς Φαίδρᾳ. Anecd. Bekk. p. 330, 31: ἄγος — σημαίνει δὲ καὶ ἅγνισμα καὶ θυσίαν.

628

ἄκλεπτοι

Hesych. 1 p. 99: ἄκλεπτοι· οὐ παραλογιζόμενοι, ἀληθεῖς. Σοφοκλῆς Φαίδρᾳ (φαίδραις cod.).

629

αὐτομόλως

Hesych. 1 p. 328: αὐτομόλως· προδοτικῶς. Σοφοκλῆς Φαίδρᾳ. eadem Anecd. Bekk. p. 466, 7 et Suid. v. αὐτομόλως, sed omissis verbis Σοφοκλῆς Φαίδρᾳ, quae verba loco suo mota esse suspicor et referenda ad glossam Hesychianam quae paulo post subicitur αὐτόπαιδα (fr. 925).

630

ἀψεφές

Hesych. 1 p. 347: ἀψεφές· ἀφρόντιστον. Σοφοκλῆς Φαίδρᾳ. Anecd. Bekk. p. 476, 1: ἀψεφές· ἀφρόντιστον. οὕτω Σοφοκλῆς.

631

μεμωλυσμένη

Hesych. 3 p. 135: μῶλυς· ὁ ἀμαθής. Σοφοκλῆς δὲ Φαίδρᾳ μεμωλυσμένη, παρειμένη. dubito num sana sit tradita scriptura.

ΦΘΙΩΤΙΔΕΣ

Ethicae tragoediae Phthiotidas adscribit Aristoteles Poet. c. 18, quem locum attulimus p. 239. Elmsley huc referri voluit fr. 1005, Blaydes adesp. fr. 363.

632

νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ
καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά.

Stob. Ecl. 2, 31, 16 p. 204, 19: Σοφοκλέους Φθιωτίδων (φοιωτδ cod. L). 'νέος — μακρά'. v. 1 cf. Men. mon. 373: νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε. v. 2 μακράν coni. Meineke. qui accedit in Stob. versus, ἀεί τι βούλου χρήσιμον προσμανθάνειν, a praegressis separandus est.

633

γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ.

Gellius N. A. 13, 19, 3: *versus non minus notus* 'γέρων — ἐγώ' *et in tragoedia Sophocli scriptus est cui titulus est* Φθιώτιδες (φιλοτιδες ante Casaubonum) *et in Bacchis Euripidi* (v. 193).

634

ἡ πατροκτόνος δίκη
κέκλητ' ἂν αὐτῷ

Anecd. Bekk. p. 128, 5: *ὁ ἂν σύνδεσμος συντάσσεται* — (sc. *εὐκτικοῖς*) *παρακειμένοις καὶ ὑπερσυντελικοῖς. Σοφοκλῆς Φθιώτισιν* '*ἦ — αὐτῷ*'. v. 2 *κέκλῃτ' ἂν* Cobet N. L. p. 224, *κέκλητ' ἂν* ed.

ΦΙΛΟΚΤΗΤΗΣ Ο ΕΝ ΤΡΟΙΑΙ

De mytho cf. Procl. Chrestom. p. 459: *Ὀδυσσεὺς λοχήσας Ἕλενον λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τούτου, Διομήδης ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει· ἰαθεὶς δὲ οὗτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλεξάνδρῳ κτείνει, καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες.*

635

ὀσμῆς μου ὅπως μὴ βαρυνθήσεσθέ μου

Priscian. Inst. 18, 169 vol. 2 p. 284, 7: *βαρύνομαι τούτου καὶ ὑπὸ τούτου καὶ τούτῳ. Σοφοκλῆς ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ* '*ὀσμῆς μου ὅπως μὴ βαρυνθήσεσθέ μου*', *ἀντὶ τοῦ ὑπὸ τῆς ὀσμῆς. μου ὅπως*] *μόνον ὡς* cod. Paris., *μόνον ὅπως* Porson, E. A. I. Ahrens. haud dissimilis est superstitis Phil. 890: *μὴ βαρυνθῶσιν κακῇ ὀσμῇ πρὸ τοῦ δέοντος.*

636

ἀλλ' ἔσθ' ὁ θάνατος λῷστος ἰατρὸς νόσων.

Stob. Flor. 120, 7: *Σοφοκλέους Φιλοκτήτου* (sic A, fabulae nomen om. S, ecl. om. M). '*ἀλλ' — νόσων*'. *λοῖσθος* SA, *λῷστος* scripsi.

637

μέλη βοῶν ἄναυλα καὶ ῥακτήρια

Hesych. 3 p. 420: *ῥακτηρίοις κέντροισιν· ἀντὶ τοῦ ταῖς κώπαις, διὰ τὸ ἀράττεσθαι* (*ῥάττεσθαι* M. Schmidt). *καὶ ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ* '*μέλη — ῥακτήρια*', *ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη. μέλι βοῶν ἄνανδα* cod., *μέλη* em. Musurus, *ἄναυλα* Bergk. verba *ῥακτηρίοις κέντροισιν* et ipsa, nisi fallor, Sophoclea sunt, sed fabulae alius.

638

δράκοντα

Hesych. 1 p. 534: *δράκοντα· τὸ κηρύκιον. Σοφοκλῆς Φιλοκτήτῃ.* apte M. Schmidt conferri iubet quae dixit Preller Philol. 1 p. 521.

639

δρυοπαγῆ στόλον

Hesych. 1 p. 538: *δρυοπαγῆ στόλον* (*δρυοπαγήστολον* cod.)· *τὸν πάσσαλον. Σοφοκλῆς Φιλοκτήτῃ.* Eust. Od. p. 1726, 16: *δρυοπαγὴς*

στόλος ὁ δρύινος πάσσαλος· στόλους γάρ, φασίν, ἔλεγον τὸ ἀπεξυσμένα, διὰ τὸ συνεστάλθαι.

640

ζηλῶ

Hesych. 2 p. 257: *ζηλῶ· μακαρίζω. Σοφοκλῆς Φιλοκτήτῃ ἐν Τροίᾳ.*

ΦΙΝΕΥΣ Α ET Β

Idaeam (vel Idotheam) Phinidarum novercam in Tympanistis Sophocles commemoravit (fr. 587) sicut Phinidas a noverca oculis privatos Ant. 970. de duplicis Phinei argumento coniecturas fecit G. Wolff Philol. 28 p. 344. adde quae dixit W. H. van de Sande Bakhuyzen de parodia in comoed. Aristoph. (Trai. ad Rh. 1877) p. 185 sqq.

641

οὐδ' ἂν τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ

Stephanus Byz. p. 179, 7: *Βόσπορος — τὸ ἐθνικὸν Βοσπόριος — Σοφοκλῆς δ' ἐν Φινεῖ πρώτῳ διὰ διφθόγγου τὴν πρὸ τέλους φησὶ τὸ κτητικόν* (*κύριον* ante Gavelium) '*οὐδ' ἂν — ὕδωρ*'. cf. Etym. M. cod. Voss. p. 590 E Gaisf., ubi fabulae nomen om.

642

ἀχάλκευτα τρύπανα

Hesych. 1 p. 342: *ἀχάλκευτα τρύπανα· τὰ φρύγια* (*φρύγανα* coni. Bergk *Jahrb. f. Philol.* 117 p. 36) *πυρεῖα. Σοφοκλῆς Φινεῖ δευτέρῳ* (*φηνεῖ βω* cod.).

643

ἀρτύμασι

Hesych. 1 p. 293: *ἀρτύμασι· τοῖς πρὸς τὴν θυσίαν εὐτρεπιζομένοις. Σοφοκλῆς φιμεῖ* with ω above, ita cod., *Φινεῖ βω* (i. e. *δευτέρῳ*) coni. Schow.

644

ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
'Ασκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.

Ar. Plut. 635: *ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.* ubi Scholia librorum deteriorum: *ἐκ Φινέως Σοφοκλέους ὁ στίχος.* in codice Veneto ad v. 636 '*'Ασκληπιοῦ παιῶνος εὐμενοῦς τυχών*' adscriptum: *ἀντὶ τοῦ εὐμενεστάτου. ταῦτα δὲ ἐκ τοῦ Φινέως Σοφοκλέους ἔλαβεν.*

utrumque versum ex Sophocle desumptum esse statuit cum aliis W. H. van de Sande Bakhuyzen de parodia in com. Ar. p. 185. cf. Cobet Coll. crit. p. 199, qui attulit Sext. Empir. p. 658, 14: *Φύλαρχος δὲ ἐν τῇ ἐνάτῃ* (sc. *Ἀσκληπιὸν λέγει κεκεραυνῶσθαι*) *διὰ τὸ τοὺς Φινέως υἱοὺς τυφλωθέντας ἀποκαταστῆσαι χαριζόμενον αὐτῶν τῇ μητρὶ Κλεοπάτρᾳ τῇ Ἐρεχθέως* (*θυγατριδῇ* addendum aut *τῇ ἀπ' Ἐρεχθέως* scribendum esse coni. Leo Sternbach Melet. Gr. 1 p. 145).

645

βλέφαρα κέκληταί γ' ὡς [*καπηλείου θύραι*]

Pollux 7, 193: *τὸ δὲ τῶν καπήλων ἐργαστήριον καπηλεῖον εἰρήκασιν οἱ κωμῳδοδιδάσκαλοι, καὶ τὸ κωμῳδούμενον ἐν Σοφοκλέους Φινεῖ 'βλέφαρα — θύραι'. γ'*] *δ'* A. verba *ὡς καπηλείου θύραι* comici poetae esse suspicor. Sophocles quid dixerit incertum: *βλ. κέκληταί γ' ὡς ἀφ' ἡλίου θύραι* coni. C. Holzinger *Zeitschr. f. d. österr. Gymn.* 1878 p. 19, *βλ. κέκληται τἀνδρὸς ὡς Ἅιδου πύλαι* Gomperz, *βλ. κέκληταί γ' ὡς ἀνήλιοι πύλαι Ἅιδου* F. G. Schmidt *Krit. Stud.* 1 p. 271.

646

νεκρὸς τάριχος εἰσορᾶν Αἰγύπτιος

Ath. III p. 119 C de v. *τάριχος*: *Σοφοκλῆς τ' ἐν Φινεῖ 'νεκρὸς — Αἰγύπτιος'.*

647

ἀπενώτισαν

Hesych. 1 p. 233: *ἀπενώτισαν· ἀπέστρεψαν τὰ νῶτα. Σοφοκλῆς Φινεῖ* (*φι*ν cod.).

648

καταρράκται

Hesych. 2 p. 432: *καταράκτης· ὀχετός, ῥύαξ. καὶ ὁ ἀετός. Σοφοκλῆς Λαοκόωντι* (*λαοκόοντι* cod.). *καὶ ταρπυίας ἐν φίνῃ.* extrema verba Musurus coniecit fuisse *καὶ τὰς ἁρπυίας ἐν Φινεῖ.* contra *καὶ ἡ ἅρπυια Αἰσχ. Φινεῖ* scribi vult W. H. van de Sande Bakhuyzen de parodia in comoed. Aristoph. p. 189.

649

κηρίωμα

Hesych. 2 p. 477: *κηρίομα* (*κηρίωμα* Salm.)· *ὀμίλημα* (*ἡ λήμη* coni. G. Dindorf in Thes.). *ἔστι γὰρ τὸ κηρίον, ᾧ* (*ὃν* cod.) *προσεικάζει τοὺς ὀφθαλμοὺς τῶν Φινειδῶν* (*φινιδῶν* cod.). huc rettulit Perger.

650

μάστακας

Eust. Od. p. 1496, 53: ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηνται καὶ μάστακες αἱ ἀκρίδες, καὶ λέγεται κεῖσθαι τοῦτο παρὰ Σοφοκλεῖ ἐν Φινεῖ. Phot. Lex. p. 248, 18: μάστακας· τὰς ἀκρίδας. Σοφοκλῆς.

ΦΟΙΝΙΞ

651

κύναρος ἄκανθα πάντα πληθύει γύην

Ath. II p. 70 A: κινάρα. ταύτην Σοφοκλῆς ἐν Κολχίσι κυνάραν καλεῖ, ἐν δὲ Φοίνικι 'κύναρος — γύην'. Eust. Od. p. 1822, 17: ἀπὸ κυνὸς λέγεται συντεθεῖσθαι παρὰ Σοφοκλεῖ καὶ ἡ κύναρος ἄκανθα, ἡ καὶ κυνάρα. Ath. II p. 70 C: Δίδυμος δ' ὁ γραμματικὸς ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ κύναρος ἄκανθα 'μήποτε' φησὶ 'τὴν κυνόσβατον λέγει διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν'. πληθύνει coni. Dindorf Lex. Soph. p. 403.

652

ὑπόστασις

Socrates Hist. eccl. 3, 7 p. 176 B: Εἰρηναῖος δ' ὁ γραμματικὸς ἐν τῷ κατὰ στοιχεῖον 'Αττικιστῇ καὶ βάρβαρον ἀποκαλεῖ τὴν λέξιν (sc. ὑπόστασιν) — παρὰ μὲν γὰρ Σοφοκλεῖ ἐν Φοίνικι ἐνέδραν σημαίνειν τὴν ὑπόστασιν, παρὰ δὲ Μενάνδρῳ τὰ καρυκεύματα. his usus est Iul. Pollux Hist. phys. p. 376: τὸ δὲ τῆς ὑποστάσεως σπανίως μὲν ηὕρηται, ἐπὶ δὲ τοῦ νῦν σημαινομένου οὐχ εὕρηται ὅλως παρά τινι· παρὰ γὰρ μὲν Σοφοκλέους, φασίν, ἐπὶ τῆς ἐνέδρας εἴρηται.

653

φορβὰς γυνή

Eust. Il. p. 1088, 35: φορβὰς γυνή, παρὰ Σοφοκλεῖ, φασίν, ἐν Φοίνικι ἡ πολλοῖς προσομιλοῦσα τροφῆς χάριν. repetita haec sunt ex Suetonio περὶ βλασφημιῶν, v. Milleri *Mél. de litt. gr.* p. 414, ubi φορβάς legitur interpretatione non addita.

ΦΡΙΞΟΣ

Mythum in Hygini Poet. astr. 2, 20 p. 466 repperisse sibi visus est Welcker.

654

ὅρια κελεύθου τῆσδε γῆς προαστίας

Stephanus Byz. p. 140, 1: ἄστυ — προαστία γῆ ἐν Φρίξῳ Σοφοκλέους 'ὅρια — προαστίας'.

655

κυνηδὸν ἐξέπραξαν κνυζούμεναν

Etym. Gud. p. 330, 43: *κνυζῶ — ἐξ οὗ καὶ τὸ κνυζηθμός — καὶ πάλιν Σοφοκλῆς Φρίξῳ* (ita cod. Paris. 2636 in Anecd. Paris. vol. 4 p. 73, 32, *φρίζω* cod. Gud.) '*κυνηδὸν ἐξέπραξαν κνυζόμενον* (*κνιζούμενον* cod. Paris.)'. *κυνηδὸν ἐσπάραξαν* coni. Dobree, *κυνηδὸν ἐξέκραξαν ὡς κνυζώμενοι* Blomfield. Phot. Lex. p. 187, 3 et 4: *κύνβη· πλοίου εἶδος. Σοφοκλῆς. κυνηδόν· ὡς κύων.* ubi *κύμβη· πλοίου εἶδος. κυνηδόν· ὡς κύων. Σοφοκλῆς*, suasit Blomfield.

656

ἀφελής

Antiatt. p. 83, 23: *ἀφελής. Σοφοκλῆς Φρίξῳ.*

ΦΡΥΓΕΣ

Titulum fabulae vitiosum esse dixit Bergk Mus. Rhen. 35 p. 254. de Schol. Aesch. Prom. 436 vide Aeschyl. fr. p. 50.

657

τοὺς εὐγενεῖς γὰρ κἀγαθούς, ὦ παῖ, φιλεῖ
Ἄρης ἐναίρειν· οἱ δὲ τῇ γλώσσῃ θρασεῖς
φεύγοντες ἄτας ἐκτός εἰσι τῶν κακῶν·
Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λωτίζεται.

Stob. Flor. 8, 5: *Σοφοκλέους Φρυγῶν.* '*τοὺς εὐγενεῖς — κακῶν λογίζεται*'. v. 2 *συναίρειν* SMA, *ἐναίρειν* B m. sec., *ἀναιρεῖν* Valckenaer Diatr. p. 226. v. 3 *ἐκτός εἰσι πημάτων* scripserim. v. 4 sine poetae et fab. nomine in Schol. BL Il. *B* 833 legitur. *οὐδένα* Schol. Il. *ληίζεται* Schol. Il., *λογίζεται* Stob., *λωτίζεται* C. Keil et Conington. similiter *flos delibatus populi* dicitur ab Ennio.

ΧΡΥΣΗΣ

Sophoclis vestigia legisse videtur Pacuvius in Chryse, cuius fabulae argumentum Naeke Opusc. vol. 1 p. 91 coniecit ab Hygino fab. 121 traditum esse. fortasse huc referendum est fr. 668.

658

ὦ πρῷρα λοιβῆς Ἑστία, κλύεις τάδε;

Schol. Ven. Ar. Vesp. 846: *τῇ γὰρ Ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι. καὶ Σοφοκλῆς ἐν Χρύσῃ* '*ὦ πρῷρα — τάδε;*' *ἐστι*

(pro *Ἑστία*) cod. Ven. verba prima om. fabulae nomine afferuntur in Schol. Pind. Nem. 11, 5: *καὶ Σοφοκλῆς 'ὦ πρῶρα λοιβῆς Ἑστία'*.

659

. . μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ

Schol. Ar. Av. 1240: *τοῦτο φησὶ παρὰ τὸ Σοφόκλειον ἐν Χρύσῃ* (*Σοφόκλειον χρυσῇ* libri, correxit Fritzsche) *'μακέλλῃ — ἐξαναστραφῇ'*. Aristophanis verba haec sunt, *ὅπως μή σου γένος πανώλεθρον Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ Δίκη.*

660

τοιοῦτος ὢν ἄρξειε τοῦδε τοῦ κρέως

Schol. Ar. Ran. 191: *κρεῶν — Ἀρίσταρχος φησὶν ἐπὶ τῶν σωμάτων λαμβάνεσθαι πολλάκις, καὶ παρὰ τῷ Σοφοκλεῖ ἐν Χρύσῃ 'τοιοῦτος — κρέως'. ἄρξειε* cod. Θ, *ἄρξει* RV.

661

ἐγὼ μίαν μὲν ἐξιονθίζω τρίχα

Apollonius Lex. Hom. p. 91, 34: *ἰονθάδος — τὰς γὰρ τῶν τριχῶν ῥίζας ἰόνθους* (*ἰονθοὺς* cod.) *λέγει Σοφοκλῆς ἐν Χρύσῃ 'ἐγὼ — τρίχας'*. cf. Hesych. 2 p. 126: *ἐξιονθίζω* [*ἐξιονδίζω*] *τρίχα· ἐκδίδωμι. ἔστι γὰρ ἴονθος ῥίζα τριχῶν ἢ ⟨τὸ⟩ ὑπερέχον* (*ὑπερέχων* cod.). *μίαν μὲν*] *μέλαιναν* coni. Lehrs de Arist. stud. Hom. p. 154, *βίᾳ μὲν* Wagner. *τρίχα* Hesych., *τρίχας* Apoll., utra scriptura praeferenda sit non liquet: *μίαν μὲν τρίχας* probat Bergk Lyr. ed. quart. vol. 3 p. 711.

662

ἐσχάρα

Ammon. Valck. p. 34: *παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει — καὶ Σοφοκλῆς ἐν Χρύσῃ.* Eust. Od. p. 1564, 32: *Σοφοκλῆς δὲ καὶ ἀντὶ βωμοῦ οἶδεν ἐσχάραν.*

INCERTARVM FABVLARVM FRAGMENTA

663

ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν
καὶ μή γε πλείω τῶνδ' ἔχειν δυσφημίας.

Ar. Eq. 83: βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν. ubi Schol. v. 84: ἔστι γοῦν ἀπὸ Σοφοκλέους Ἑλένης 'ἐμοὶ — δυσφημίας'. v. 1 affert Suidas v. νῷιν: περὶ Θεμιστοκλέους οὖν Σοφοκλῆς φησίν 'ἐμοὶ — πιεῖν'. ταύρου γ' ἐκπιεῖν Schol. Ar., ταύρειον πιεῖν Suidas et Ar. v. 2 μήτε cod. Θ, μή γε ceteri libri, μή τι Dindorf, μὴ ἔτι Cobet Coll. crit. p. 200. πλεῖον cod. Θ, πλείω ceteri, πλείους Cobet. videtur locus ad Ἑλένης ἀπαίτησιν referendus esse.

664

φενακίζειν

Gramm. cod. Darmstad. in Act. Monac. vol. 2 p. 515: ἔστι δὲ τὸ φενακίζειν εἰπεῖν καὶ περὶ τοὺς φήληκας· Σοφοκλῆς ἐν Ἰάμβῃ· καὶ φήληκας δὲ φαμὲν πλανῶντας (πλανῶνας cod., correxit Werfer) τὴν ὄψιν ὡς πεπείρους. titulus fabulae corruptus: ἐν Νιόβῃ coni. Hermann Opusc. vol. 3 p. 41, mihi ἐν Ἀμύκῳ videtur legendum.

665

ἄλυτον

Hesych. 1 p. 134: ἄλυτον· ἀκατάλυτον, ἀκατάπαυστον. Σοφοκλῆς ἰνεῖ. corruptum fabulae nomen: Ἰνοῖ scripsit Musurus, Αἰγεῖ coni. Blomfield, Οἰνεῖ Dindorf, Ἠλέκτρᾳ Meineke in Oed. Col p. 253 sq., mihi Ἴωνι probabilius videtur.

666

τοὺς δ' αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ
τοιούσδ' ἴδοις ἂν οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι·

ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν
πλάστιγγ' ἐρείσῃ τοῦ βίου παλίντροπον, 5
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.

Stob. Flor. 114, 6: Σοφοκλέους Οἰδίποδι (sic MA, οἰ S). 'τοὺς δ' — εἰρημένα'. v. 1 ἂν SMA, αὖ B. v. 2 τοίουσδιδοις S, τοίους διδοῖς M. v. 3 καλῶς vitiosum. κακῶ M. v. 5 πλάστιγγ' Ellendt, μάστιγ' SMA. πάλιν τρόπον S, παλίρροπον Meineke *Jahrb. f. Philol.* 87 p. 378. Latine locum interpretatus est Cicero Tusc. 3, 29, 71: *itaque Oileus ille apud Sophoclem, qui Telamonem antea de Aiacis morte consolatus esset, is cum audivisset de sui, fractus est. de cuius commutata mente sic dicitur:*

nec vero tanta praeditus sapientia
quisquam est, qui aliorum aerumnam dictis adlevans
non idem, cum fortuna mutata impetum
convertat, clade subita frangatur sua,
ut illa ad alios dicta et praecepta excidant.

hinc in Stobaeo Οἰλεῖ pro Οἰδίποδι coni. Grotius. Welcker ad Teucrum versus rettulit.

667

ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

Schol. Aristid. p. 85: Σοφοκλέους ὃν ἐν Οἰδίποδι τοῦτο εἰς παροιμίαν ἐπεκράτησε τὸ 'φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι'. ibid. p. 681: ὥσπερ καὶ τὸ 'φίλου — φίλοι' Σοφοκλέους ὃν παροιμιῶδες γέγονε. hanc scripturam praeivit Aristides vol. 1 p. 180: οὐ γὰρ ἐκποδὼν εἶναι κατέδειξε φίλον κακῶς πράξαντος. ibid. p. 436: τὸ παλαιὸν ῥῆμα ἐξηλέγχθη ψευδῶς ἔχον, τὸ κακῶς πραξάντων λήθην εἶναι παρὰ τοῖς φίλοις. ceteri quotquot omisso poetae et fabulae nomine versum afferunt, ἀνδρὸς κακῶς πράσσοντος (vel πράττοντος) scribunt: vide Schol. Soph. El. 188 (cf. Suid. v. οἰκονομῶ et ὑπερίσταται) Schol. Eur. Phoen. 402 Schol. Eur. Andr. 976 Zenob. 1, 90 Diogenian. 1, 79 (cod. Vind. 1, 45) Greg. Cypr. 1, 60 (cod. Mosq. 1, 57) Macar. 2, 6 Men. mon. 32 Suid. v. ἀνδρὸς γέροντος et ἐκποδών Michael. Acomin. vol. 2 p. 85, 1. ex Euripidis Oedipo versum petitum esse coni. Vnger Parad. Theb. pg. 374 secundum Schol. Aristid. p. 85: at in Schol. Eur. Phoen. 402 huic versui παρὰ τὸ Φιλοκτήτου verba praemittuntur.

668

τὰς Ἑκαταίας μαγίδας δόρπων

Pollux 6, 83: ἔστι μέντοι καὶ τὸ τῆς μαγίδος ὄνομα παρὰ Σοφοκλεῖ ἐν χρήσει 'τὰς Ἑκαταίας μαγίδας δόρπων'. cf. 10, 81: ὡς παρὰ

Σοφοκλεῖ εἴρηται '*τὰς — δόρπων*'. Helladius in Phot. Bibl. p. 533b 10: *ἡ μαγὶς ἀντὶ τῆς τραπέζης Αἰγύπτιον δόξει καὶ παντελῶς ἔκθεσμον· Ἐπίχαρμος δὲ ὁ Δωριεὺς καὶ Κερκίδας ὁ μελοποιὸς ἐπὶ τῆς αὐτῆς διανοίας ἐχρήσαντο τῇ λέξει, καὶ μὴν καὶ ὁ Ἀττικὸς Σοφοκλῆς.* Phot. Lex. p. 240, 5: *μαγίδες· μᾶζαι, καὶ τὰ τῇ Ἑκάτῃ συντελούμενα δεῖπνα. οὕτως Ἀριστοφάνης* (*οὕτω Σοφοκλῆς* requirit L. Cohn de Aristoph. Byz. et Suetonio Tranq. Eustathi auctoribus p. 296). in Pollucis loco *χρήσει* corruptum videtur, *Κρίσει* coni. Brunck, *Χρύσῃ* Dindorf.

669

τὸ πρὸς βίαν
πίνειν ἴσον πέφυκε τῷ διψῆν κακόν.

Ath. X p. 428 A: *καὶ ὁ Σοφοκλῆς δὲ ἐν σατυρικῷ φησὶν ὡς ἄρα* '*τὸ πρὸς — βίᾳ*'. v. 2 *πίνειν ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ* A, emendavit Meineke. *κακὸν* deleri volebat Bothe, qua coniectura admissa *βίᾳ* in *ἄγαν* vel cum F. G. Schmidtio de ubert. Soph. II p. 20 in *λίαν* erit mutandum.

670

ἀρραγὲς ὄμμα

Hesych. 1 p. 289: *ἀρραγὲς ὄμμα· οὐ δακρῦον. ᾧ τρόπῳ φαμὲν* '*κατερράγη μου δάκρυον*'. *Σοφοκλῆς σατυρίκῳ* (*σατυρικῷ* Casaubonus, *Τυροῖ β̄ῳ* coni. M. Schmidt).

671

μισῶ μὲν ὅστις τἀφανῆ περισκοπεῖ

Achilles Tat. Isag. ad Phaen. in Petavii Vranol. p. 121 A: '*μισῶ — περισκοπεῖ*', *φησὶν ὁ Σοφοκλῆς.* sententia loci quae fuerit divinare licet ex Ennio in Ribbecki Trag. Rom. fragm. ed. alt. p. 42: *quod est ante pedes nemo spectat, caeli scrutantur plagas.* cf. Eupolis Com. 2 p. 490: *ἀλαζονεύεται μὲν ἀλιτήριος περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει.* Aristoph. Com. 2 p. 1190: *ὃς τὰ μὲν ἀφανῆ μεριμνᾷ, τὰ δὲ χαμᾶθεν ἐσθίει.* Plat. Theaet. p. 174 A: *ὥσπερ καὶ Θαλῆν ἀστρονομοῦντα, ὦ Θεόδωρε, καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ Θρᾷττά τις ἐμμελὴς καὶ χαρίεσσα θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν.* Antipater Sidon. Anth. Pal. 7, 172: *τὰ κατ' αἰθέρα λεύσσων τοὺν ποσὶν οὐκ ἐδάην πῆμα κυλινδόμενον.*

672

πᾶς προσκυνεῖ δὲ τὸν στρέφοντα κύκλον ἡλίου

Achilles Tat. Isag. ad Phaen. in Petavii Vranol. p. 122 E: *Σο-*

φοκλῆς δὲ εἰς Ἀτρέα τὴν εὕρεσιν (τῆς ἀστρονομίας) ἀναφέρει λέγων 'πᾶς — ἡλίου'. ex Atreo haec petita esse coniecerunt. pro στρέφοντα videtur τρέφοντα requiri, cf. Aesch. Agam. 633: πλὴν τοῦ τρέφοντος ἡλίου χθονὸς φύσιν.

673

πῶς ἂν οὐκ ἂν ἐν δίκῃ
θάνοιμ' ἄν;

Anecd. Bekk. p. 128, 28: καὶ δὶς καὶ τρὶς χρῶνται αὐτῷ (sc. τῷ ἄν) ἐν μιᾷ συντάξει, ὡς παρὰ Σοφοκλεῖ εὕρηται 'πῶς ἂν — θάνοιμ' ἄν;'

674

ἀείζως γενεά

Anecd. Bekk. p. 347, 25: ἀείζων — Σοφοκλῆς δὲ τὴν εὐθεῖαν εἶπεν 'ἀείζως γενεά'.

675

ἀείζων ἕλκος

Anecd. Bekk. p. 347, 30: ἀείζων πένθος ἐρεῖς, ὡς Σοφοκλῆς ἀείζωον ἕλκος. pro ἀείζωον scribendum esse ἀείζων vidit Burges, qui probabiliter coniecit spectari Aeschyleum locum Suppl. 988, ubi ἄχθος ἀείζων libri praebent.

676

ἀθέμιστα καὶ ἀνόσια δρᾶν

Anecd. Bekk. 353, 5: ἀθέμιστα καὶ ἀνόσια δρᾶν Δείναρχος εἶπε καὶ Σοφοκλῆς. quae poetae verba fuerint nescimus, fortasse ἀνόσια κἀθέμιστα δρᾶν.

677

τίσις δ' ἄνωθεν εἶσιν αἱματορρόφος

Anecd. Bekk. p. 362, 22: αἱματορρόφον. Σοφοκλῆς 'τίσω δ' ἄνωθεν ἐστὶν ἢ αἱματορρόφος'. versum restituit Bekker. ἔνερθεν pro ἄνωθεν coni. Burges in Aesch. Eum. 263.

678

ἀκόλαστον σῶμα

Anecd. Bekk. p. 367, 20: ἀκόλαστος ὄχλος Εὐριπίδης (Hec. 607) εἶπεν, ἀκόλαστον δὲ σῶμα Σοφοκλῆς. dixisse Sophoclem ἀκόλαστον στόμα coni. Cobet N. L. p. 428 secundum Eur. Or. 10: ἀκόλαστον ἔσχε γλῶσσαν. dissentit Gomperz *Nachl.* p. 44.

679

σπουδὴ γὰρ ἡ κατ' οἶκον ἐγκεκρυμμένη
οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη.

Anecd. Bekk. p. 373, 2: *ἀκουσίμη· ἀντὶ τοῦ ἀκουστή. Σοφοκλῆς* '*σπουδὴ γὰρ — ἀκουσίμη*'. v. 1 *σπουδὴ* teste Bekkero cod., *σπονδὴ* ed. Brunck, *κραυγὴ* coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 272, *ποῦ δὴ* ego temptabam. v. 2 *προσθυραῖον* cod., *πρὸς θυραίων* Brunck.

680

ἐξαίρετον τίθημι τὴν ἀκουσίαν.

Anecd. Bekk. p. 373, 14: *ἀκουσία· τὸ πρᾶγμα. Σοφοκλῆς* '*ἐξαίρετον — ἀκουσίαν*'.

681

ἀντάρης νυκτερὶς ὄψεσιν

Anecd. Bekk. p. 407, 12 et Suidas: *ἀντάρης νυκτερὶς ὄψεσιν φησὶ Σοφοκλῆς. ἀντήρης νυκτέραις ὄψεσιν* coni. Ellendt parum probabiliter, nec magis rem expediit Lobeck Pathol. prol. p. 267.

682

Anecd. Bekk. p. 414, 3: *ἄορνος λίμνη* (*λιμήν* cod.) *περὶ Τυρσηνίαν. φησὶ δὲ καὶ ἐν Κύμῃ τῇ Χαλκιδικῇ ἄορνον λίμνην εἶναι, περιπεφυκότων δὲ πολλῶν δένδρων μηδὲν εἰς αὐτὴν ἐμπίπτειν τῶν ἀποπιπτόντων φύλλων. εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν τῇ Τυρσηνίᾳ λίμνῃ Σοφοκλῆς ἱστορεῖ.* similia praebent omissa Sophoclis mentione Eust. Od. p. 1667, 63 et Etym. M. p. 115 extr.

683

ῥήξασα κίρκους

Anecd. Oxon. 1 p. 223, 11: (*κρίκος*) *ἐν ὑπερθέσει κίρκος.* '*ῥήξασα κίρκους*' *παρὰ Σοφοκλεῖ.*

684

οἴμοι λέλημμαι

Anecd. Oxon. 1 p. 268, 25: *τὸ παθητικὸν λέλημμαι. Σοφοκλῆς* '*οἴ μοι λέλημμαι*'.

685

ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίοις

Anecd. Oxon. 4 p. 329, 20: *τὸ ἐτήρ παρὰ τὸ ἔτος. Σοφοκλῆς* '*ἐτῆρας ἄμνους θεοῖς ἐρέξας ἐπακτίοις*'. *γράφεται δὲ καὶ εὔειρας. θεοῖς ἔρεξ'* L. Dindorf Thes. Gr. L. 3 p. 2150 A, *θεοῖσι ῥέξ'* Meineke.

686

βαρὺς βαρὺς ξύνοικος, ὦ ξένοι, βαρύς

Anonymus (fort. Philodemus) περὶ ποιημάτων in Herc. vol. coll. alt. IV f. 120 (quem locum repetiit et supplevit Goettling Opusc. acad. p. 229): καλῶς ἔχειν ἢ κακῶς τὸν ἦχον ποεῖν· καλῶς μὲν ⟨ὡς⟩ παρὰ Σοφοκλεῖ βαρὺς βαρὺς σύνοικο⟨ς, ὦ⟩ ξένοι, βα⟨ρ⟩ύς, οὐ διὰ τὴν ⟨ἐπέ⟩νθεσιν, ὥς τινες ⟨βούλονται⟩ τῷ ⟨βαρὺ⟩ς ξύνοικος, ὦ ξένοι, βαρὺς βαρύς. primum βαρυσυνοικοσ, deinde βαρυσ ξενοικοσ papyrus praebere dicitur, unde βαρὺς ξύνοικος scripsi. omittunt poetae nomen qui eundem versum spectant. Apollonius de synt. 1, 2: ἐν οἷς δὶς τὸ αὐτὸ στοιχεῖον παραλαμβάνεται, ἔλλαβεν ἔννεπε — ἀλλὰ καὶ λέξις· ‘μῶσ’ ἄγε, μῶσα λιγεῖα’, ‘βαρὺς βαρὺς σύνοικος’. Phoebamm. in Rhet. vol. 8 p. 516: ἡ δὲ ἐπίζευξις τὸ αὐτὸ παρονομάζει συνημμένως, ὡς τὸ — ‘βαρὺς βαρὺς σύνοικος’. Iohannes Sicel. in Rhet. vol. 6 p. 338 (ubi de epanalepsi agitur): καὶ ἄλλως ‘βαρὺς σύνοικος, ὦ φίλοι, βαρύς’. pro ξένοι Ioh. Sicel. praebet φίλοι, qui frequens est librariorum error (cf. Od. ϑ 546 Eur. Hec. 19 Cycl. 288 al.).

687

Antiphanes (Com. 3 p. 3) in Ath. IX p. 396 B:

καὶ πρῶτα μὲν
αἴρω ποθεινὴν μᾶζαν, ἣν φερέσβιος
Δηὼ*) βροτοῖσι χάρμα δωρεῖται φίλον·
ἔπειτα πνικτὰ τακερὰ μηκάδων μέλη,
χλόην (χλόῃ Kock) καταμπέχοντα σάρκα νεογενῆ.

his versibus tragici poetae tumorem ludi facile erat coniectura assequi; Sophoclis rideri locum apparet ex iis quae subiciuntur, τί λέγεις; — τραγῳδίαν περαίνω (ita Casaubonus, παραινῶ A) Σοφοκλέους. verba ἣν φερέσβιος — δωρεῖται (v. 2 et 3) Sophoclis esse coni. Gomperz *Nachl.* p. 12.

688

οὐ γάρ τι νόθος τῷδ' ἀπεδείχθην,
ἀμφοῖν δὲ πατὴρ αὐτὸς ἐκλήθη·
Ζεὺς ἐμὸς ἄρχων, θνητῶν δ' οὐδείς.

Aristot. Eth. Eud. 7, 10 p. 1242a 37: ἡ δὲ τῶν ἀδελφῶν (sc. φιλία) πρὸς ἀλλήλους ἑταιρικὴ μάλιστα ἡ κατ' ἰσότητα. ‘οὐ γάρ τι — ἐμὸς ἄρχων’. ταῦτα γὰρ ὡς τὸ ἴσον ζητούντων λέγεται. v. 1 ἀπεδείχθη ante Casaubonum. v. 2 αὐτὸς legebatur. v. 3 θνητῶν δ' οὐδείς addidit Bergk e Philonis Iud. vol. 2 p. 448, unde

---

*) Ita Casaubonus, δημήτηρ A.

auctorem loci cognoscimus: *ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον οὐδὲν τῶν Πυθοχρήστων διαφέρον 'θεὸς ἐμοὶ* (*ἐμὸς* cod. Med.) *ἄρχων, θνητῶν δὲ οὐδὲ εἷς'.*

689

ἀνακειμένῳ μέσον εἰς τὸν αὐχέν' εἰσαλοίμην

Ath. I p. 23 D: *κατακεῖσθαι δὲ λέγεται καὶ κατακεκλίσθαι. — ἔστι δὲ εὑρεῖν καὶ ἐπὶ τῆς ἐννοίας ταύτης σπανίως τὸ ἀνακεῖσθαι. σάτυρος παρὰ Σοφοκλεῖ τοῦτο φησὶν ἐπικαιόμενος* (*ἐπιμαινόμενος* coni. Kaibel) *τῷ 'Ηρακλεῖ 'ἀνακειμένῳ — εἰσαλοίμην'.* Herculis ad Taenarum esse locum coniecit Brunck. respicere huc videtur Aristides vol. 2 p. 405: *ἤδη δέ τις καὶ σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ 'Ηρακλεῖ, εἶτά γ' ἔκυψε προσιόντος κάτω.*

690

ὦ γλῶσσα, σιγήσασα τὸν πολὺν χρόνον,
πῶς δῆτα τλήσῃ πρᾶγμ' ὑπεξελεῖν τόδε;
ἦ τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον,
ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον.

Ath. I p. 33 C: *'ὦ γλῶσσα — ἀνάκτορον', φησὶ Σοφοκλῆς.* v. 2 *ὑπεξελθεῖν* C, *ἐπεξελθεῖν* Brunck, *ὑπεξελεῖν* Heimsoeth *Krit. Stud.* p. 92. v. 4 *ἀνακτόρων* Welcker, *ἀνάκτορι* Meineke.

691

⟨κακὸν⟩ τὸ μεθύειν πημονῆς λυτήριον

Ath. II p. 40 A: *Σοφοκλῆς δὲ φησί 'τὸ μεθύειν πημονῆς λυτήριον'. ⟨ἔστιν⟩ τὸ μεθύειν* coni. Herwerden Exerc. crit. p. 29, *⟨κακὸν⟩ τὸ μεθύειν* Cobet Coll. crit. p. 201.

692

καρύαι μελίαι τε

Ath. II p. 52 B: *τὸ δὲ δένδρον καρύα παρὰ Σοφοκλεῖ 'καρύαι μελίαι τε'.*

693

θάρσει· μέγας σοι τοῦδ' ἐγὼ φόβου μοχλός.

Ath. III p. 99 D: *Σοφοκλῆς δέ που ὁ ποιητὴς τὸν φύλακα μοχλὸν φόβου* (*μοχλόν που* A, corr. Kaibel) *ὠνόμασεν ἐν τούτοις 'θάρσει — μοχλός'.* exscripsit Eust. Od. p. 1944, 26.

694

ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα.

Ath. III p. 99 D: *κἂν ἄλλοις δὲ τὴν ἄγκυραν ἰσχάδα κέκληκε* (sc. *Σοφοκλῆς*) *διὰ τὸ κατέχειν τὴν ναῦν· 'ναῦται — ἰσχάδα'.* Anonymus (fortasse, ut Gomperz *Nachl.* p. 12 sq. probat, Philodemus) *περὶ ποιημάτων* in Hercul. volum. coll. alt. IV f. 137 et VI f. 154: *ὅταν Σοφοκλῆς εἴπῃ 'ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα'.*

695

χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει,
σαίνοντες οὐραίοισι τὴν κεκτημένην.

Ath. VII p. 277 B: *κατὰ γὰρ τὸν Σοφοκλέα 'χορὸς — οὐραίοισι' οὐ τὴν κεκτημένην ἀλλὰ τὰς λοπάδας.* v. 1 om. poetae nom. affert Clem. Alex. Strom. VI p. 787: *χορὸς δὲ ἀναύδων ἰχθύων ἐπερρεθείη, ἡ μοῦσα ἡ τραγικὴ εἴρηκέν που.* Bergk *χορὸς δὲ μύνδων* scribi voluit ex Etym. M. p. 595, 1. v. 2 *σαίνοντες* Brunck, *σαίνουσιν* AC. fortasse *οὐραίαισι* scribendum, sicut *σαίνων τ' οὐραίῃ* dixit Oppian. Hal. 5, 479.

696

διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ
οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς.

Ath. X p. 433 E: *τὸ δίψος — ἐπιθυμίαν ἐμποιεῖ τῆς περιττῆς ἀπολαύσεως. διὸ καὶ ὁ Σοφοκλῆς φησί 'διψῶντι — διδούς'.* cum v. 1 cf. Eur. Med. 298: *σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφά* et Ar. Thesm. 1130: *σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφά.* v. 2 *ἢ πιεῖν* Casaubonus, *μὴ πιεῖν* AC. *τι δούς* pro *διδούς* coni. Leo Sternbach Melet. crit. 1 p. 146 sq. Sophoclis nomen corruptum esse et comici potius poetae perhiberi versus censet van de Sande Bakhuyzen de parodia in com. Ar. p. 135.

697

⟨κακὴ⟩ κακῶς σὺ πρὸς θεῶν ὀλουμένη,
ἣ τὰς ἀρύστεις ὧδ' ἔχουσ' ἐκώμασας.

Ath. XI p. 783 sq.: *λέγουσι δὲ καὶ πρόχουν ἄρυστιν. Σοφοκλῆς 'κακῶς — ἐκώμασας'.* v. 1 *κακὴ* addidit Meineke, qui v. 2 *ὧδ' ἑλοῦσ' ἐκόμπασας* proposuit in Ath. vol. 4 p. 214.

698

φίλη γὰρ ἡ Θεωρίς

Ath. XIII p. 592 B: *Σοφοκλῆς δ' ὁ τραγῳδοποιὸς ἤδη γέρων*

ὧν ἠράσθη Θεωρίδος τῆς ἑταίρας — τῆς δὲ Θεωρίδος μνημονεύει ἔν τινι στασίμῳ (*στασίμως* A) *οὕτως 'φίλη γὰρ ἡ Θεωρίς'.* si haec ipsa sunt Sophoclis verba, necessario aliter intellegenda sunt quam intellexit Athenaeus. ac fortasse *θεωρίς* eo significatu poeta dixit quo dictum fuisse testatur Hesychius 2 p. 312: *θεωρίδες· αἱ περὶ τὸν Διόνυσον βάκχαι.* nihil iuvat Hermesianactis locus corruptissimus ap. Ath. XIII p. 598 D.

699

θυμῷ δ' οὔ τις φαιδρὰ χορεύει
τάρβους θυγάτηρ.

Ath. XV p. 688 A: *καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τοῦ φόβου ποιεῖ λεγούσας 'θυμῷ — θυγάτηρ'.* v. 1 *οὔ τις* A, *οὐκέτι* Brunck, *οὔ τοι* Dindorf, *ἐλπὶς* Bamberger Opusc. p. 165. *θυμῷ δ' οὐκέτι καρδία | χορεύει τάρβους θυγάτηρ* Meineke.

700

ἴκτινος ὣς ἔκλαγξε παρασύρας κρέας

Choerob. in Theod. p. 278, 27: *ἡ ἴκτινα αἰτιατική — οὐκ ἔστιν ἀπὸ τῆς ἴκτιν εὐθείας, — ἀλλ' ἔστιν ἴκτινος ἡ εὐθεῖα, ὡς παρὰ Σοφοκλεῖ 'ἴκτινος ὡς ἔκλαγξεν παρὰ συρὰν κρέας'.* cf. Etym. M. p. 470, 103 sive p. 1345 ed. Gaisf. (Etym. Flor. Milleri p. 167) et Zon. Lex. v. *ἴκτινα* p. 1100, quibus locis scribitur *ἴκτινος ἔκλαγξε* (*ἔκραξε* cod. Havn. et Zon.) *παρασύρας κρέας.*

701

φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι,
ἀλλ' ἀγρίαις φύσαισι φορβειᾶς ἄτερ.

Cic. ad Att. 2, 16, 2: *Cnaeus quidem noster iam plane quid cogitet nescio, 'φυσᾷ γὰρ — ἄτερ'.* Longinus de subl. c. 3, 2: *φλοιώδης γὰρ ἀνὴρ καὶ φυσῶν κατὰ τὸν Σοφοκλέα μικροῖς μὲν αὐλίσκοισι, φορβεῖας δ' ἄτερ.* Orithyiae Sophocleae hos versus adsignat Buecheler Mus. Rhen. 39 p. 274: num vero Orithyiam scripserit Sophocles, iure dubitant G. Wolff Philol. 28 p. 343 sq. et Wilamowitz-Moellendorff Herm. 10 p. 334.

702

γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν

Clemens Alex. Paedag. III p. 286: *ἁβροδίαιτον ἐπονειδίζων νεανίαν ὁ Σοφοκλῆς λέγει 'γυναικομίμοις — ἐσθήμασιν'. ἐμπρέπεις* P ut coniecerat Pierson, *ἐμπρεπεῖς* ceteri libri. Clementi Euripideum

versum *γυναικομίμῳ διαπρέπεις μορφώματι* (fr. 185, 3) obversatum esse probabiliter coni. Bergk.

703

πρὸς δ' οἷον ἥξεις δαίμον' ὡς ἔρωτα,
ὃς οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν
οἶδεν, μόνην δ' ἔστερξε τὴν ἁπλῶς δίκην.

Clemens Alex. Strom. II p. 494: *εὖ γοῦν ἡ τραγῳδία ἐπὶ τοῦ Ἅιδου γράφει* '*πρὸς δ' οἷον — ἁπλῶς δίκην*'. Plut. Amator. 17, 20 p. 761 F: *μόνῳ θεῶν ὁ Ἅιδης Ἔρωτι ποιεῖ τὸ προσταττόμενον· καίτοι πρός γε τοὺς ἄλλους, ὥς φησι Σοφοκλῆς,* '*οὔτε τοὐπιεικὲς — δίκην*' (v. 2 et 3). Eust. Opusc. p. 305, 11: *εἰ καὶ μηδεμίαν χάριν οἶδε θάνατος κατὰ τὸν τραγῳδόν* (v. 2 sq.). v. 1 *ὡς ἔρωτα*] *ἐξερῶ τάχα* ego temptabam, *ὦ γέρον, τάχα* coni. Herwerden Exerc. crit. p. 29, *ὡς στερρόν τινα* R. Enger Adnot. ad. trag. Gr. fr. p. 23 (similiter dudum Iacobs in Philostr. Imag. p. 595). v. 3 *οἶδε μόνην* Plut., *ᾔδει μόνον* Clem. *δὲ στέρξαι* Plut., *δ' ἔστεργε* Clem.

704

καὶ τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι,
σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεί,
σκαιοῖς δὲ φαῦλον κἂν βραχεῖ διδάσκαλον.

Clemens Alex. Strom. V p. 659: *Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητής φησί που* '*καὶ τὸν — διδάσκαλον*', *τὸ φαῦλον ἐπὶ τοῦ ἁπλοῦ τάσσων.* v. 2 et 3 Plut. de Pythiae orac. c. 25 p. 406 F: *εὖ γὰρ εἰδέναι χρὴ τὸν θεόν, ὥς φησι Σοφοκλῆς,* '*σοφοῖς — διδάσκαλον*'.

705

Θήβας λέγεις μοι τὰς πύλας ἑπταστόμους,
οὗ δὴ μόνον τίκτουσιν αἱ θνηταὶ θεούς.

Dicaearch. q. d. Descr. Gr. in Muelleri Geogr. min. vol. 1 p. 103: *αἱ δὲ γυναῖκες αὐτῶν* (Thebanorum) *τοῖς μεγέθεσι, πορείαις, ῥυθμοῖς εὐσχημονέσταταί τε καὶ εὐπρεπέσταται τῶν ἐν τῇ Ἑλλάδι γυναικῶν. μαρτυρεῖ Σοφοκλῆς* '*Θήβας — θεούς*'. v. 1 *τὰς πύλαις ἑπταστόμους* Salmasius in Solin. p. 102, *ταῖς πύλαις ἑπταστόμους* Brunck, ego *καὶ πόλισμ' ἑπτάστομον* scribendum duco coll. Eur. Bacch. 919.

706

μύω τε καὶ δέδορκα κἀξανίσταμαι
πλεῖον φυλάσσων αὐτὸς ἢ φυλάσσομαι.

Dionys. Hal. de comp. verb. c. 9 vol. 5 p. 50: *οἷάπερ ἐστὶν ἐν τοῖς μέτροις τὰ Σοφόκλεια ταυτί 'μύω τε — φυλάσσομαι'. ἐνταῦθα γὰρ ὁ δεύτερος στίχος ἐκ δυοῖν σύγκειται κώλων.* v. 1 *κλύω τε* Herwerden Lucubr. Soph. p. 82. *καὶ ξυνίσταμαι* Reg. 1 et Colb. v. 2 *πλέον* Dindorf.

707

πύλης ἄναξ θυρωρέ

Etym. Flor. in Milleri *Mélanges de litt. gr.* p. 32: *ἄναξ — σημαίνει καὶ τὸν φύλακα, ὡς παρὰ Σοφοκλεῖ, οἷον 'πύλης ἄναξ θυρωρέ'.*

708

Ἄθως σκιάζει νῶτα Λημνίας βοός.

Etym. M. p. 26, 16: *Ἄθως· ἀκρωτήριον Θρᾴκης. Σοφοκλῆς 'Ἄθως — βοός'.* Schol. Theocr. 7, 76: *Σοφοκλῆς 'Ἄθως σκιάζει νῶτα Λημνίας ἀλός'.* ibidem paulo post scriptum *Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός.* eundem versum proverbialem omisso poetae nomine attulerunt Plut. de facie in orbe lunae c. 22, 6 p. 935 F Schol. LV Il. Ξ 229 Eust. Il. p. 980, 46 Suid. v. *Ἄθως* Zon. Lex. v. *Ἄθως* p. 58 Macar. 1, 46 Greg. Cypr. 1, 73 (cod. Mosq. 1, 70) Anecd. Paris. vol. 4 p. 96, 18. *σκιάζει*] *καλύπτει* Suid. Greg. Cypr. Macar., *καλύψει* Plut. *νῶτα*] *ὦτα* Schol. Il., *πλευρὰ* Plut. Suid. Greg. Cypr. Macar. *βοός*] *ἀλός* Schol. Theocr. Brunck ad Lemnias versum rettulit.

709

τρύχει καλυφθεὶς Θεσσαλικῆς ἀπληγίδος

Etym. M. p. 123, 13: *ἀπληγίς· τὸ ἁπλοῦν ἱμάτιον — Σοφοκλῆς 'τρύχει — ἀπληγίδος'.* Strab. XI p. 530: *καὶ τὴν ἐσθῆτα δὲ τὴν Ἀρμενιακὴν Θετταλικὴν φασίν, οἷον τοὺς βαθεῖς χιτῶνας οὓς καλοῦσιν Θετταλικοὺς ἐν ταῖς τραγῳδίαις, καὶ ζωννύουσι περὶ τὰ στήθη καὶ ἐφαπτίδας, ὡς καὶ τῶν τραγῳδῶν μιμησαμένων τοὺς Θετταλούς. τρύφει* (supra *φ* scr. *χ*) Etym. cod. Flor. *θεσσαλλικῆς πληγίδος* idem. Sophoclem *Θεσσαλῆς* scripsisse probabiliter coni. Dindorf.

710

ἢ σφηκιὰν βλίσσουσιν εὑρόντες τινά

Etym. Voss. p. 577 F ed. Gaisf. (Etym. Flor. Mill. p. 66): *βλιμάζειν — λαμβάνεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ τὰ κηρία τῶν μελισσῶν τρυγᾶν, ὡς Ἀριστοφάνης* (Eq. 794) *'ἀλλὰ καθείρξας αὐτὸν βλίττεις'. καὶ Σοφοκλῆς 'ἢ σφηκίαν — τινά'. βλίττουσιν* libri, *βλίσσουσιν* Dindorf, *βλίζουσιν* Ellendt. ad Pandoram (vide fr. 443) locum refert Schneidewin.

711

ἐγὼ δὲ χερσὶν ἄγραν βρίακχον

Etym. M. p. 213, 26: *βρίακχος· θηλυκῶς, ἡ βάκχη. Σοφοκλῆς* '*ἐγὼ δὲ χερσὶν ἄγραν βρίακχον*'. *εἴρηται δὲ ἡ βριαρῶς ἰακχάζουσα. ἔχω* Hemsterhuys. *ἀγρίαν* Brunck.

712

οἷος γὰρ ἡμῶν δημόκοινος οἴχεται

Etym. M. p. 265, 24: *δημόκοινος — ὁ ἐκ τοῦ δήμου τὸ φονεύειν κληρωθείς. Σοφοκλῆς* '*οἷος — οἴχεται*'. *ἡμῖν* Bothe. cf. Hesych. 1 p. 482: *δημόκοινος· δημόσιος βασανιστής, πόρνος, καὶ δήμιος.*

713

. . *τὸ δ' ἔγχος ἐν ποσὶν κυλίνδεται*

Etym. M. p. 313, 3: *ἔγχος — ὁ δὲ Σοφοκλῆς τὴν σφαῖραν ἔγχος κέκληκεν, οἷον* '*τὸ δ' ἔγχος ἐν ποσὶ κυλίνδεται*', *καὶ τὸ πῦρ, οἷον* '*ἔγχος ἱέμενος*', *τὸ τὴν ὁρμὴν ἔχον.* referunt hunc locum ad Nausicaam.

714

ἔγχος ἱέμενος

Etym. M. p. 313, 5, quem locum attulimus fr. 713. verba corrupta, fortasse *ἔγχους μένος* leg.

715

πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται

Etym. M. p. 490, 5: *κάπηλος — ἐκ τοῦ παρὰ Σοφοκλεῖ* (*παρασοφοκλέους* F) '*πολὺς — τυρβάζεται*'. eadem Etym. Gud. p. 298, 3 et Anecd. Oxon. vol. 2 p. 455, 30. cf. Suid. v. *κάπηλος* et Hesych. v. *πηλός.*

716

γράμμα κηρύκειον

Etym. M. p. 511, 55: *κηρύκειον — τὸ τοῦ κήρυκος, ὡς παρὰ Σοφοκλεῖ* '*γράμμα κηρύκειον*'. eadem Etym. Gud. p. 320, 24.

717

μύρῳ λευγαλέα

Etym. M. p. 561, 28: *λευγαλέον· τὸ ὑγρόν. παρὰ Σοφοκλεῖ*

'μύρῳ λευγαλέῳ' (μύρω λευγαλέ ων M). scripsi λευγαλέα cum Phot. Lex. p. 216, 16: λευγαλέα· διάβροχος. οὕτω Σοφοκλῆς. cf. Hesych. 2 p. 427: καταλευγαλέα· κάθυγρος, καταληλιμμένη. Schol. A Il. Υ 109: ὅτι λευγαλέοις οὐ διύγροις, ὡς οἱ νεώτεροι. ceterum pro λευγαλέα Campbell apte coni. μυδαλέα (cf. δάκρυσι μυδαλέα El. 166). locus referendus erit ad fr. 334.

718

ὕβρις δέ τοι
οὐπώποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο,
ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ πάλιν φθίνει.

Etym. M. p. 601 sq.: νεῖκος· ἡ φιλονεικία, παρὰ τὸ νέοις ἐοικέναι. — Σοφοκλῆς 'ὕβρις — φθίνει πάλιν'. v. 2 ἡβήσει τῷ σώφρονι ἵκετο ante Piersonum. ἥβης in ὥρας mutandum esse coni. F. G. Schmidt Sat. crit. p. 31 et *Krit. Stud.* 1 p. 272 sq. v. 3 φθίνει πάλιν edebatur, πάλιν φθίνει D, πάλιν φθείνει M.

719

θέλοιμι πηλὸν ὀργάσαι

Etym. M. p. 629, 35 et Etym. Gud. p. 432, 53: ὀργάσαι τὸ πηλοποιῆσαί ἐστι καὶ ὑγρῷ ξηρὸν μῖξαι. Σοφοκλῆς 'θέλοιμι πηλὸν ὀργάσι (ὀργάσασθαι Etym. Gud.)'. Hesych. 3 p. 216: ὀργάσαι· ἑτοιμάσαι. καὶ 'τὸν πηλὸν ὀργάσαι' φασίν, ὅ ἐστιν ἑτοιμάσαι, φυρᾶσαι, βρέξαι, ἀναδεῦσαι. Pandorae esse locum probabilitur coniciunt e fr. 441.

720

προσῆλθε μητρὶ καὶ φυταλμίῳ πατρί

Etym. M. p. 803, 4: φυτάλιμος — Σοφοκλῆς 'προσῆλθε μητρὶ καὶ φιταλιμῷ (φυταλιμῷ VD) πατρί'.

721

οὐχ ὅπου λαμπάδες εὐνούχοισιν ὄμμασιν

Etym. Sorb. ed. Gaisf. p. 1131 A (Anecd. Bekk. p. 1376): εὐνοῦχοι· οἱ τὴν εὐνὴν ἔχοντες, ὡς γεοῦχοι. εὐνούχους δὲ Σοφοκλῆς καὶ τοὺς ὀφθαλμοὺς τοὺς εὔνεις καὶ ὕπνου μὴ μετέχοντας (μετασχόντας ed. Bekk.), τουτέστι τηροῦντας (temptabam πηροὺς ὄντας) 'οὐχ ὅπου — ὄμμασιν'. εὐνούχοισιν ed. Gaisf., εὐνούχοις Bekker. poetae verba restituere non possum.

722

ζῶντι ποδὶ χρώμενος

Eust. Il. p. 1237, 22: *καὶ οὔπω δέος εἰς ἀλίβαντα καταπεσεῖν αὐτόν* (Achillem), *ζῶντι ποδὶ χρώμενον, ὥς φησὶ Σοφοκλῆς.* scripsisse Sophoclem *χλωρῷ ποδὶ χρώμενον* coni. Bergk ex Hesych. 4 p. 290: *χλωροπέδῳ νεαρῷ*, ubi *χλωρῷ πέδῳ* corr. L. Dindorf Thes. Gr. L. 8 p. 1536 D. sic *γόνυ χλωρόν* Theocr. Id. 14, 69 dixit, atque *χλωρόν τε* (pro *καὶ ζῶντα*) *καὶ βλέποντα* Aesch. Agam. 677 ex Hesychio restitutum est a Toupio. ceterum cf. Soph. fr. 903.

723

κοκκυβόας ὄρνις

Eust. Od. p. 1479, 44 (*κοκκύζειν* de galli cantu dictum): *ὑποβάλλει δὲ τοιοῦτον νοῦν καὶ Σοφοκλῆς, φασίν, ἐν τῷ 'κοκκοβόας ὄρνις'. κοκκυβόας* emendavit Bothe.

724

γηγενῆ βούβαλιν

Eust. Od. p. 1625, 44: *λέγει δὲ καὶ* (sc. *Ἀριστοφάνης ὁ γρ.*) *ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη 'γηγενῆ βούβαλιν'.*

725

ψακαλοῦχοι
μητέρες αἶγές τ' ἐπιμαστίδιον
γόνον ὀρταλίχων ἀναφαίνοιεν.

Eust. Od. p. 1625, 49: *ψάκαλα — ὅθεν καὶ φησὶ* (sc. *Ἀριστοφάνης ὁ γρ.*) *παρὰ Σοφοκλεῖ 'ψακαλοῦχοι — ἀναφαίνοιεν'.* v. 2 *αἶγες μητέρες τ'* Eust, *μητέρες αἶγές τ'* Dindorf. cf. Eust. Il. p. 777, 62 (Schol. Il. *I* 601 in Anecd. Paris. 3 p. 242, 33): *ψάκαλα, τὰ ἔμβρυα — ὅθεν καὶ ψακαλοῦχοι μητέρες παρὰ Σοφοκλεῖ.* Hesych. 4 p. 305: *ψακαλοῦχοι· ψακάδας ἔχουσαι. εἰσὶ δὲ ἔμβρυα.* v. 3 *πόνον ὀρταλίχων* probabiliter coni. R. Ellis coll. Aesch. Ag. 54, ubi *γόνον ὀρταλίχων* suasit Musgrave. ad *Ποιμένας* locum refert Welcker.

726

. . σὺ γὰρ γέροντα βουλεύεις

Eust. Od. p. 1923, 61: *γέρον γράμμα, τουτέστι λόγος. λέγει δέ, φασί, καὶ Σοφοκλῆς πληθυντικῶς 'σὺ — βουλεύεις'.* fortasse *σὺ γὰρ γέρων γέροντα βουλ.*, ut audacia dictionis mitigetur. in fine versus *ἄγαν* suppleri vult Naber Mnem. nov. 9 p. 244.

727

Μολοσσικαῖσι χερσὶν ἐντείνων πέδας

Georg. Choerob. Exeg. in Hephaest. Enchir. p. 60, 23: *τοὺς δὲ μηκίστους τὸ παλαιὸν μολοσσοὺς ἐκάλουν, ὡς Σοφοκλῆς ʽμολοσσῆσι χερσὶν ἐκτείνων πέλας' ἀντὶ τοῦ μεγάλαις.* Anonymus Ambrosianus de re metrica in Studemundi Anecd. 1 p. 227, 1: *τὰ μεγάλα μολοσσικὰ ἐκάλουν· Σοφοκλῆς ʽμολοσσικαῖσι χερσὶν ἐκτείνων χεῖρας'.* pro *ἐκτείνων πέλας* (vel *χεῖρας*) reposui *ἐντείνων πέδας.* ceterum *Μολοσσικαὶ χεῖρες* sunt non *magnae*, sed *Molossorum hominum manus*, cf. quae dixi in Lex. Vindob. append. p. 260.

728

ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βάλῃς

Harpocr. p. 147, 17: *παρακρούεται ἀντὶ τοῦ ἐξαπατᾷ. — μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι ἢ μετροῦντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν, καὶ ὡς Σοφοκλῆς που ʽὡς — βάλῃς'.* *χειρὸς* vel *χεῖρα* libri, *χεῖλος* Salmasius. cf. Hesych. 4 p. 332: *ὡς μήτε κροῦσαι μήθ' ὑπὲρ χεῖλος βαλεῖν· παροιμία ἐπὶ τοῦ συμμέτρου τασσομένη.*

729

. . . *οὐ σκέπαρνος οὐδὲ πρίονος*
πληγαί

Herod. *π. μον. λέξ.* p. 34, 3: *παρὰ Σοφοκλεῖ ʽὁ σκέπαρνος — πληγαί'.* v. 1 *ὁ* cod., *οὐ* Bloch.

730

οὔτι τοι μέτρον μάτας

Herod. *π. μον. λέξ.* p. 42, 24: *μάτη· ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ ʽοὔτι τοι μέτρον μάτας'.* in Soph. Ai. ante v. 870 haec verba ⟨*μάλ'*⟩ *οὔτι τοι μέτρον μάτας* inseri voluit G. Wolff.

731

ἐγὼ δ' ἐρῶ σοι δεινὸν οὐδέν, οὔθ' ὅπως
φυγὰς πατρῴας ἐξελήλασαι χθονός,
οὔθ' ὡς ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενὲς
πράξας ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται,
οὔθ' ὡς πρὸ Θηβῶν ὠμοβρὼς ἐδαίσατο 5
τὸν Ἀστάκειον παῖδα διὰ κάρα τεμών.

Herodianus qui dicitur *περὶ σχημάτων* p. 58, 1 (Rhet. vol. 8 p. 601): *ἀστεϊσμὸς δέ ἐστι προσποίησις πιθανὴ τοῦ μὴ λέγειν ἢ μνημονεύειν ἡμᾶς ἃ λέγομεν, ὡς παρὰ Σοφοκλεῖ εἰσῆκται λέγων ὁ Ὀδυσσεὺς τῷ Διομήδει 'ἐγὼ δ' ἐρῶ — τεμών'.* v. 1 *σε δεινὸν* Cobet Coll. crit. p. 202, *σ' ὄνειδος* F. G. Schmidt *Krit. Stud.* 1 p. 273. cum v. 2 cf. Soph. Oed. Colon. 1292: *γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς.* Eur. Hel. 90: *φυγὰς πατρῴας ἐξελήλαμαι χθονός.* v. 3 *οὐδ' ὡς* libri, *οὔθ' ὡς* Brunck. *ὁ Τυδεὺς*] *ὁ* om. Ven. *συγγενοῦς* Brunck. v. 4 *πράξας* Herwerden Obs. crit. in fragm. com. p. 128, *κτείνας* libri. v. 5 *οὔθ'* Havn., *οὐδ'* ceteri. *ὠμοβρὼς* Brunck, *ὠμοβρῶτα* vel *ὠμοβρότως* libri. ad *Ἀχαιῶν σύλλογον* hos versus recte videtur rettulisse Brunck.

732

Λυδία λίθος σίδηρον τηλόθεν προσηγάγου

Hesych. 2 p. 286: *Ἡρακλεία λίθος· ἣν ἔνιοι μαγνῆτιν λέγουσιν, οὐκ ὀρθῶς· διαλλάττουσι ⟨γάρ⟩, καὶ ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλεία ἐστίν, ἡ δὲ ἑτέρα παραπλήσιος ἀργύρῳ. — κέκληται δὲ οὕτως ἀπὸ Ἡρακλείας τῆς ἐν Λυδίᾳ* (*τῆς ἐλύδιε* cod.) *πόλεως· διὸ καὶ Σοφοκλῆς Λυδίαν λίθον αὐτὴν καλεῖ.* cf. 3 p. 53: *Λυδία* (*λυδεία* cod.) *λίθος· ἡ βασανίζουσα τὸν χρυσόν.* ibid.: *Λυδικὴ λίθος σίδηρον τηλόθεν προσηγάγου. αὕτη γὰρ τὸν σίδηρον ἐπισπᾶται, ἡ δὲ μαγνῆτις διαπατᾷ* (*διασπᾶσαι* cod., corr. Heindorf) *τὴν ὄψιν, ὡς δοκεῖν* (*δοκεῖ* cod.) *ἀργύριον εἶναι.* Sophocli versum vindicavit Buttmann.

733

ὀμμάτειος πόθος

Hesych. 3 p. 203, quem locum attulimus fr. 161.

734

ῥακτηρίοις κέντροισιν

Hesych. 3 p. 420, quem locum attulimus fr. 637.

735

σειρίου κυνὸς δίκην

Hesych. 4 p. 17: *σειρίου κυνὸς δίκην. Σοφοκλῆς τὸν ἀστρῷον κύνα· ὁ δὲ Ἀρχίλοχος τὸν ἥλιον, Ἴβυκος δὲ πάντα τὰ ἄστρα.* Archilochi et Ibyci mentio quo spectet, aliunde tenemus (cf. Bergk. Lyr. ed. quart. vol. 2 p. 399 et vol. 3 p. 237).

736

. . *σεμνὰ τῆς σῆς παρθένου μυστήρια*

Hesych. 4 p. 20: *σεμνὰ τῆς σῆς παρθένου μυστήρια. Σοφοκλῆς. τὰ ἄρρητα καὶ ἀνεξήγητα μυστήρια.* Phot. Lex. p. 503, 22: *σεμνά· τὰ ἄρρητα μυστήρια· οἱ δὲ ἐπὶ τοῦ ἡσύχου καὶ καταστύγνου.* ⟨*τὰ*⟩ *σεμνὰ* vel ⟨*ὡς*⟩ *σεμνὰ* supplet Wagner. apte M. Schmidt comparat carminis ithyphallici ab Ath. VI p. 253 D proditi v. 5: *χὴ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια.*

737

Iohannes Sicel. in Rhet. vol. 6 p. 225: *φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ* (Aeschyli) *μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν· οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβεῖα ἐπιλαθόμενος· διὸ καὶ Σοφοκλῆς μιμεῖται* (*οὐ μιμεῖται* coni. Ruhnken, an *μέμφεται* leg.?). *λέγει δὲ περὶ τούτων ἀκριβέστερον Λογγῖνος ἐν τῷ κα΄ τῶν Φιλολόγων.* spectare haec videntur ad *Τυμπανιστάς* vel *Φινέα* Sophoclis (cf. G. Wolff Philol. 28 p. 343).

738

ζημίαν λαβεῖν ἄμεινόν ἐστιν ἢ κέρδος κακόν.

Lex. Vindob. p. 96, 4: *ζημίαν λαβεῖν· ἀντὶ τοῦ ζημιωθῆναι. Σοφοκλῆς· ἄμεινόν ἐστι ζημίαν λαβεῖν ἢ κέρδος κακόν.* tetrametrum trochaicum restituerunt Meineke et M. Schmidt. huc spectat Phot. Lex. p. 53, 25: *ζημίαν λαβεῖν· ἀντὶ τοῦ ζημιωθῆναι. οὕτως Σοφοκλῆς.* quo cum loco consentit, sed *οὕτως Σοφοκλῆς* verba om. Antiatt. p. 98, 7. haud dissimilis est anonymi in sententiis septem sapientum (quas edidit Woelfflin *Sitzungsb. der philos.-philol. u. hist. Cl. der Akad. d. Wissensch. zu München* 1886 II p. 289 sqq.) v. 99: *πρόκρινε κέρδους τοῦ πονηροῦ ζημίαν.* cf. Stob. Flor. vol. 1 p. 88, 1 p. 116, 2 Mein.

739

ὅτι γὰρ φύσις ἀνέρι δῷ,
τόδ' οὔποτ' ἂν ἐξέλοις.

Libanius Decl. vol. 3 p. 365: *τὴν αὐτὴν τῷ Σοφοκλεῖ φωνὴν ἀφιείς· λέγει γὰρ δή που κἀκεῖνος 'ὅτι — ἐξέλοις'.*

740

Menander Rhet. vol. 9 p. 156 de hymnis *διαπορητικοῖς* disputans: *ὥσπερ καὶ τὴν Τύχην Σοφοκλῆς ὕμνησε διαπορῶν γένει.*

741

Philodemus de pietate p. 36 ed. Gomp.: *νοσοῦντα πεποι⟨ή⟩κασι*

τ<ὸν> Ἡρακλέ<α> — καὶ μα<νίᾳ> κατά<σ>χετον (ita legendum esse vidit G. Schmid Philod. p. 9), <ὡς> Σοφοκλῆς <καὶ Ε>ὐριπίδης.

742

ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω.

Hellad. in Phot. Bibl. p. 530 a 15: *ὁ στίχος ὁ καὶ παροιμιαζόμενος ʻὅρκους — γράφωʼ ἐστὶ μὲν Σοφοκλέους, τοῦτον δὲ παρῳδήσας ὁ Φιλωνίδης* (Com. 2 p. 423) *ἔφη ʻὅρκους δὲ μοιχῶν εἰς τέφραν ἐγὼ γράφωʼ. οἱ δὲ τὰς γυναῖκας σκώπτοντες φασὶν ʻὅρκους ἐγὼ γυναικῶν εἰς οἶκτον* (*γυναικὸς εἰς οἶνον* Xenarchus Com. 3 p. 620) *γράφωʼ.* Macar. 6, 48: *ὅρκους γυναικὸς εἰς ὕδωρ χρὴ γράφειν. Σοφοκλέους αὕτη ἐστίν.* cf. Phryn. Bekk. p. 55, 17: *ὅρκον γυναικὸς εἰς ὕδωρ χρὴ γράφειν. ὅτι ἀπιστεῖν γυναικὶ δεῖ ὀμνυούσῃ.* Catull. 70, 3: *mulier cupido quod dicit amanti in vento et rapida scribere oportet aqua.* Men. mon. 25: *ἀνδρῶν δὲ φαύλων* (*ἀνδρῶν δʼ ἀπίστων* Excerpt. Vindob. 16 in Stob. Flor. 4 p. 291, 9) *ὅρκον εἰς ὕδωρ γράφε.* Iulian. p. 286 C: *ἐγὼ δὲ τοὺς μὲν ὅρκους αὐτοῦ, τὸ τῆς παροιμίας, οἶμαι δεῖν εἰς τέφραν γράφειν.* Ioh. Georgides in Boiss. Anecd. 1 p. 96: *χρὴ τὴν μὲν ἔχθραν εἰς ὕδωρ γράφειν, ἵνα ταχέως ἀφανίζηται, τὴν δὲ φιλίαν εἰς χαλκόν, ἵνα διὰ παντὸς μένῃ.*

743

ῥάχοισιν ὀρχάδος στέγης

Phot. Lex. p. 484, 13: *ῥάχοι· αἱ μυρίκιναι ῥάβδοι. ʻῥάχοισιν ὀρχάδος στέγης.ʼ Σοφοκλῆς δὲ* (*λέγει* corr. M. Schmidt in Hesych. 3 p. 225 gl. 1372) *τοὺς φραγμοὺς τῆς ποίμνης.* ad *Ποιμένας* locum refert Welcker.

744

τὸ θερμὸν τοῦ ὀβελοῦ

Phot. Lex. p. 593, 3 et Suidas: *τὸ θερμὸν τοῦ ὀβελοῦ· ἐπὶ τῶν αἱρουμένων* (*ἀναιρουμένων* Phot.) *τὰ χείρονα ἀντὶ τῶν κρειττόνων. ἡ παροιμία ἀπὸ τῶν ἀπείρως δρασσομένων κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων. μέμνηται αὐτῆς* (*ταύτης* Zenob.) *Σοφοκλῆς.* eadem fere Zenobius 6, 19. ubi cum subiciatur ʻ*ὑπὸ παντὶ λίθῳ σκορπίος*ʼ *παροιμία*, vide an verba *μέμνηται ταύτης Σοφοκλῆς* loco suo mota sint et revocanda ad Sophoclis fr. 34.

745

. . ἄμισθος ὁ ξένος πορεύεται

Phryn. Bekk. p. 14, 21: *ἄμισθος. Σοφοκλῆς ʻἄμισθος — πορεύεταιʼ.*

746

Plinius N. H. 21, 153: *Sophocles enim poeta venenatum id dicit* (sc. trifolium). fortasse in Ῥιζοτόμοις.

747

ἔργου δὲ παντὸς ἥν τις ἄρχηται καλῶς,
καὶ τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν.

Plut. de audiendis poetis c. 1 p. 16 A: ἀρχὴ γὰρ αὕτη παιδεύσεως· 'ἔργου — ἔχειν' κατὰ τὸν Σοφοκλέα. respicere videtur Antiphon soph. fr. 134: πρῶτον, οἶμαι, τῶν ἐν ἀνθρώποις ἐστὶ παίδευσις· ὅταν γάρ τις πράγματος κἂν ὅτου οὖν τὴν ἀρχὴν ὀρθῶς ποιήσηται, εἰκὸς καὶ τὴν τελευτὴν ὀρθῶς γίγνεσθαι.

748

στενωπὸς Ἅιδου καὶ παλιρροία βυθοῦ

Plut. de audiendis poetis c. 2 p. 17 C: καὶ οὔθ' Ὅμηρος οὔτε Πίνδαρος οὔτε Σοφοκλῆς πεπεισμένοι ταῦτα ἔχειν οὕτως ἔγραψαν 'ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί' (Pind. fr. 130) καὶ 'παρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην' (Od. ω 11) καὶ 'στενωπὸς — βυθοῦ'. παλίρροια libri.

749

τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν ἴῃ.

Plut. de audiendis poetis c. 4 p. 21 A: καὶ τοῦ Σοφοκλέους 'τὸ κέρδος — ψευδῶν εἴη'· καὶ μὴν σοῦ γε ἀκηκόαμεν ὡς 'οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι'. ἴῃ Brunck, εἴη libri.

750

οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.

Plut. de audiendis poetis c. 4 p. 21 A, vide fr. 749. οὐκ ἐκφέρουσι coni. Meineke *Jahrb. f. Philol.* vol. 87 p. 379.

751

γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ.

Plut. de audiendis poetis c. 4 p. 21 B: πρὸς δ' ἐκεῖνα τὰ περὶ τοῦ πλούτου 'δεινὸς γὰρ ἕρπειν — εὔμορφόν τ' ἰδεῖν' (fr. 85), ἀντιπαραθήσει πολλὰ τῶν Σοφοκλέους, ὧν καὶ ταῦτά ἐστι 'γένοιτο — ἀνήρ' καὶ 'οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονοῖ' καὶ 'ἀλλὰ τῶν πολλῶν — πλοῦτον' (fr. 534).

752

οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονεῖ.

Plut. de audiendis poetis c. 4 p. 21 B, vide fr. 751. *φρονοῖ* libri plerique, *φρονεῖ* Riccard. ut coni. Cobet Coll. crit. p. 203.

753

ὡς τρὶς ὄλβιοι
κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη
μόλωσ' ἐς Ἅιδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ
ζῆν ἔστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.

Plut. de audiendis poetis c. 4 p. 21 F: *δεῖ δὲ τῷ Διογένει καὶ πρὸς τὸν Σοφοκλέα χρήσασθαι· πολλὰς γὰρ ἀνθρώπων μυριάδας ἐμπέπληκεν ἀθυμίας περὶ τῶν μυστηρίων ταῦτα γράψας 'ὡς — κακά'.* v. 1 *τρισόλβιοι* vulgo, *τρὶς ὄλβιοι* scripsi. v. 3 *μόνοισιν εὖ* coni. R. Prinz Mus. Rhen. 29 p. 358. v. 4 *πάντα δὴ κακά* Herwerden Exerc. crit. p. 17. Triptolemi esse locum coni. Welcker. Brunck huc refert fr. 805.

754

τυφλὸς γάρ, ὦ γυναῖκες, οὐδ' ὁρῶν Ἄρης
συὸς προσώπῳ πάντα τυρβάζει κακά.

Plut. de audiendis poetis c. 6 p. 23 C: *τοῦ δὲ Σοφοκλέους λέγοντος 'τυφλὸς — κακά' τὸν πόλεμον ἔστιν ὑπακοῦσαι.* omisso poetae nomine hos versus apponit Plut. Amator. c. 13, 14 p. 757 B. v. 2 *καλά* coni. Reiske.

755

οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.

Plut. de audiendis poetis c. 8 p. 27 F: *οὐ πάνυ γὰρ ἀληθὲς τὸ τοῦ Σοφοκλέους λέγοντος 'οὐκ — καλά'.* idem versus sine lemmate in Stob. Flor. 5, 5 legitur, sed a libris SMA abest. *οὐκ ἔστ' ἀπ' ἀρχῶν μὴ καλῶν τέλη καλά* scite coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 273. *ἀπ' ἔργων* in *ἐπ' ἔργων* mutari malit Wecklein.

756

μολυβδὶς ὥστε δίκτυον κατέσπασεν

Plut. de prof. in virtute c. 1 p. 75 B: *εἰ μηδεμίαν αἱ προκοπαὶ ποιοῦσι τῆς ἀφροσύνης ἄνεσιν, ἀλλ' ἴσῳ σταθμῷ πᾶσιν ἡ κακία περιτιθεμένη* (*περιθεμένη* ante Emperium) *'μολυβδὶς — κατέσπασεν'.* auctorem prodit Etym. M. p. 590, 8: *μόλιβος καὶ μόλυβδος. εἰ μὲν τὸ Ι ἔστιν, τὸ Δ οὐκ ἔστιν· οἷον 'καὶ μόλιβος ὥστε δίκτυον* (*δικτον* F)

κατῆγε' (κατήγαγε coni. Sylburg), Σοφοκλῆς. cf. Piers. in Moer. p. 257.

757

ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῆν

Plut. de prof. in virtute c. 4 p. 77 B: ὅτῳ δ' ἔρωτος δῆγμα παιδικῶν (παιδικοῦ Valckenaer) προσῆν, μέτριος ἂν σοι φανείη καὶ πρᾶος ἐν τῷ παρεῖναι καὶ συμφιλοσοφεῖν. Sophoclis esse versum docet Plut Quaest. conv. 1, 2, 6 p. 619 A: οὐ μόνον ὅσοις ἔρωτος δῆγμα (παιδικοῦ addit Wyttenbach) πρόσεστιν, ὥς φησι Σοφοκλῆς, ἀλλὰ καὶ τοὺς ἐπὶ γυναιξὶ καὶ τοὺς ἐπὶ παρθένοις δακνομένους. cf. Plut. (fr. p. 45, 37) in Stob. Flor. 64, 32: τὰ δὲ ἐρωτικὰ δήγματα, κἂν ἀποστῇ τὸ θηρίον, οὐκ ἐξανίησι τὸν ἰόν, ἀλλὰ ἐνιδροῖ τὰ ἐντὸς σπαράγματα.

758

πρὸς ἅσπερ οἱ μαργῶντες ἐντονώτατοι

Plut. de prof. in virtute c. 13 p. 84 B: ἡ δὲ προκοπὴ τὰς ὑπερβολὰς πρότερον καὶ τὰς ὀξύτητας τῶν παθῶν ἀνίησι, 'πρὸς ἅσπερ — ἐντονώτατοι' κατὰ τὸν Σοφοκλέα.

759

τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ
ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην.

Plut. de fortuna c. 2 p. 98 A: εὐβουλίας τοίνυν μὴ οὔσης — ἐλήρησεν εἰπὼν ὁ Σοφοκλῆς ὅτι πᾶν τὸ ζητούμενον ἁλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον, καὶ πάλιν αὖ τὰ πράγματα διαιρῶν 'τὰ μὲν — ᾐτησάμην'. v. 1 εὑρετὰ] ἕτερα non nulli libri.

760

βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς,
οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς
λίκνοισι προστρέπεσθε ⟨καὶ⟩ παρ' ἄκμονι
τυπάδι βαρείᾳ . . . .

Plut. de fortuna c. 4 p. 99 A: ὅτι γὰρ βραχέα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν ἔργων αἱ τέχναι συντελοῦσι δι' αὐτῶν, καὶ οὗτος ὑποδεδήλωκε 'βᾶτ' εἰς ὁδὸν — προστρέπεσθε' (v. 1—3). eadem verba poetae nomen et ipse omittens affert Clemens Alex. Protr. p. 78, ubi v. 2 sq. ἐργάτιν θεὸν στατοῖσι λίκνοις προτρέπεσθε libri praebent. Sophoclis esse locum docet Plut. Praec. gerendae rei publ. c. 5, 8 p. 802 B: τὴν γὰρ Ἐργάνην οὗτοι μόνον θεραπεύουσιν, ὥς φησι Σοφοκλῆς, οἱ παρ' ἄκμονι τυπάδι βαρείᾳ

καὶ πληγαῖς ὑπακούουσαν ὕλην ἄψυχον δημιουργοῦντες. unde *καὶ παρ' ἄκμονι τυπάδι βαρείᾳ* addidit Gataker Adv. p. 494 G. Pandorae locum tribuit G. Hermann Opusc. 7 p. 331, qui proponit

λίκνοισι προστρέπεσθε, τὴν παρ' ἄκμονι
τυπάδι βαρείᾳ καὶ κόποις ὑπήκοον
ἄψυχον ὕλην δημιουργοῦντες χεροῖν.

v. 1 respicit Hesych. 4 p. 279: *χειρῶναξ* (*χειρόναξ* cod.) *λεώς· ὁ χειροτέχνης.* Pollux 2, 151: *καὶ χειρώνακτες παρὰ Σοφοκλεῖ.* v. 2 respicere videtur Hesych. 1 p. 443: *γοργῶπιν· φ⟨οβ⟩ερόφθαλμον.* v. 3 respicit Hesych. 3 p. 21: *λείκνοισι προτρέπεσθαι· λεῖκνα ἱστάντες προσάγεσθαι· ἅ ἐστι κανᾶ, ἐφ' οἷς τὰ λήια ἐπετίθετο, ἅπερ εἰσὶ καρποὶ πύρινοι.* utrum *λίκνοισι* an *λείκνοισι* praeferendum sit nescio, cf. quae O. Schneider Callim. vol. 1 p. 148 attulit. v. 4 respicit Hesych. 4 p. 186: *τυπάδι· σφύρα.*

761

σὺ δ' ἄνδρα θνητὸν εἰ κατέφθιτο στένεις,
εἰδὼς τὸ μέλλον οὐδὲν εἰ κέρδος φέρει;

Plut. Consol. ad Apollonium c. 11 p. 107 B: *κρεῖττόν ἐστι τὸ τεθνάναι τοῦ ζῆν. ὁ γοῦν Σιμωνίδης —, Σοφοκλῆς δέ 'σὺ δ' — φέρει;'*

762

οὐ κόσμος, οὔκ, ὦ τλῆμον, ἀλλ' ἀκοσμία
φαίνοιτ' ἂν εἶναι σῶν τε μαργότης φρενῶν.

Plut. coniug. praec. 26 p. 141 E: *ταῖς Λυσάνδρου θυγατράσιν ὁ τύραννος ὁ Σικελικὸς ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν· ὁ δὲ Λύσανδρος οὐκ ἔλαβεν εἰπών 'ταῦτα τὰ κόσμια καταισχυνεῖ μου μᾶλλον ἢ κοσμήσει τὰς θυγατέρας'. πρότερος δὲ Λυσάνδρου Σοφοκλῆς τοῦτο εἶπεν 'οὐ κόσμος — φρενῶν'.*

763

εὔκαρπον Κυθέρειαν

Plut. coniug. praec. 42 p. 144 B: *καλῶς τὴν 'Αφροδίτην ὁ Σοφοκλῆς εὔκαρπον Κυθέρειαν προσηγόρευσε.* Plut. Amator. c. 13, 8 p. 756 E: *ζείδωρον γὰρ αὐτὴν* (sc. *'Αφροδίτην*) *'Εμπεδοκλῆς, εὔκαρπον δὲ Σοφοκλῆς ἐμμελῶς πάνυ καὶ πρεπόντως ὠνόμασαν.*

764

σὺ δὲ σφαδᾴζεις πῶλος ὣς εὐφορβίᾳ·
γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης . .

Plut. Quaest. Rom. 71 p. 280 F: *διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι — καὶ ἄνθρωποι· ὥς που καὶ Σοφοκλῆς πεποίηκε* '*σὺ δὲ — πλήρης*'. v. 1 *σφαδάζεις* libri. v. 2 *πλήρης* ⟨*βορᾶς*⟩ coni. E. A. I. Ahrens, *πλήρης* ⟨*ἀεί*⟩ Cobet Coll. crit. p. 203 et p. 496.

765

οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα φίλα.

Plut. de *EI* Delphico c. 20 p. 394 B: *Σοφοκλῆς δὲ καὶ τῶν ὀργάνων ἑκατέρῳ προσνέμων ἑκάτερον δῆλός ἐστι διὰ τούτων* '*οὐ — φίλα*'. *οὐ νάβλα* Brunck, *οὐ ναῦλα* vel *ἐν αὐλᾷ* libri. malim *φίλη* cum Schneidewino in Aesch. Agam. p. 124. fortasse huc spectat Phot. Lex. p. 285, 7: *νάβλα· εἶδος ὀργάνου* (adde *μουσικοῦ* ex Hesych. 3 p. 136). Thamyrae probabiliter versum adscribit Welcker.

766

Plut. de oraculorum defectu c. 9 p. 414 E: *πολλὰ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηδέν· ὥστε θνῄσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὔ, κατὰ τὸν Σοφοκλέα.*

767

οὑμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην.

Plut. de oraculorum defectu c. 15 p. 417 F: *ὅσας — λέγουσι — πλάνας θεῶν κρύψεις τε καὶ φυγὰς καὶ λατρείας, οὐ θεῶν εἰσιν ἀλλὰ δαιμόνων παθήματα καὶ τύχαι —, καὶ οὔτε Αἰσχύλος εἶπεν* '*ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεόν*', *οὔτε ὁ Σοφοκλέους Ἄδμητος* '*οὑμὸς δ' — μύλην*'.

768

ἄκομπ' ἀλοιδόρητά τε
ἐρρηξάτην ἐς κύκλα χαλκέων ὅπλων

Plut. de cohibenda ira c. 10 p. 458 E: *καὶ τὸν Νεοπτόλεμον ὁ Σοφοκλῆς καὶ τὸν Εὐρύπυλον ὁπλίσας ἐκόμπασ' ἀλοιδόρητα, φησίν, ἐρρηξάτην — ὅπλων.* v. 1 *ἄκομπ' ἀλοιδόρητά τε* correxit Badham (v. Cobeti Coll. crit. p. 513). v. 2 medelam desidero.

769

τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν.

Plut. de cohibenda ira c. 16 p. 463 D: *ὁ δὲ Σοφοκλῆς λέγων ὅτι* '*τὰ πλεῖστα — βροτῶν*' *ἄγαν ἔοικεν ἡμῖν ἐπεμβαίνειν.* de fraterno amore c. 8 p. 481 F: *παντὸς ἅπτεται γένους φιλίας ἡ φαυλό-*

της καὶ κατὰ τὸν Σοφοκλέα 'τὰ πλεῖστα — βροτῶν'. aut φωρῶν aut φωράσεις vitiosum esse conicit F. G. Schmidt *Krit. Stud.* 1 p. 274, qui τὰ πλεῖστα δ' ἐφορῶν αἰσχρὰ φωράσεις βροτῶν aut τὰ πλεῖστα φωρῶν αἴσχρ' ἐφευρήσεις βροτῶν scribi malit.

770

πικρὰν πικρῷ κλύζουσι φαρμάκῳ χολήν.

Plut. de tranquillitate animi c. 7 p. 468 B: ὥσπερ οἱ Σοφοκλέους ἰατροὶ 'πικρὰν χολὴν κλύζουσι φαρμάκῳ πικρῷ. om. poetae nom. Plut. de cohibenda ira c. 16 p. 463 F: οὐχ ὥσπερ οἱ ἰατροὶ 'πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολήν'. adde Plut. de facie in orbe lunae c. 7 p. 923 F: τίς ἔφην, ὦ Θέων, εἴρηκε τῶν τραγικῶν ὡς ἰατροὶ 'πικρὰν πικροῖς κλύζουσι φαρμάκοις χολήν'; ἀποκριναμένου δὲ τοῦ Θέωνος ὅτι Σοφοκλῆς, καὶ δοτέον, εἶπον, ὑπ' ἀνάγκης ἐκείνοις. hinc restitui id quod supra scriptum est.

771

οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ κακῶς λέγεις.

Plut. de garrulitate c. 4 p. 504 C: ὁ μὲν γὰρ Σοφοκλέους Νέστωρ τὸν Αἴαντα τραχυνόμενον τῷ λόγῳ πραΰνων ἠθικῶς τοῦτο εἴρηκεν 'οὐ — λέγεις'. Plut. Praec. gerendae rei publ. 14, 13 p. 810 C: πολιτικῶς δὲ καὶ ὁ Νέστωρ ὁ τοῦ Σοφοκλέους ἀποκρίνεται λοιδορούμενος ὑπὸ τοῦ Αἴαντος 'οὐ — λέγεις'. ex Achivorum convivio versum repetitum esse probabiliter coni. Brunck.

772

οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος.

Plut. de garrulitate c. 19 p. 511 F: ἐν ταῖς τῶν πέλας ἐρωτήσεσι σαυτὸν ἔθιζε σιωπᾶν μέχρις οὗ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν· 'οὐ γάρ — τέλος', ὥς φησι Σοφοκλῆς.

773

ἔπεισας, ἐξέθωψας

Plut. de vitioso pudore c. 3 p. 530 A: ὥς φησιν ἡ παρὰ τῷ Σοφοκλεῖ μετανοοῦσα πρὸς τὸν μοιχόν 'ἔπεισας, ἐξέθωψας'. Hesych. 2 p. 118: ἐξέθωψεν· ἐξεθώπευσεν.

774

βαρεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ
μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου·
πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός.

Plut. Quaest. conv. 1, 8, 1 p. 625 D: *ἐνδηλότερον δὲ Σοφοκλῆς τὸ αὐτὸ* (quod Aesch. fr. 348 dicit) *περὶ τῶν γερόντων 'βραδεῖα — τυφλός'*. v. 1 *βαρεῖα* Herwerden Exerc. crit. p. 29 (cf. eiusdem Plutarch. et Lucian. p. 24), *βραδεῖα* libri. v. 2 *κωφουμένου* Kock Veri sim. p. 226 sq., *ῥύπου πλέῳ* Naber (v. Herwerdeni Lucubr. Soph. p. 82).

775

φίλιπποι καὶ κερουλκοί,
σὺν σάκει δὲ κωδωνοκρότῳ παλαισταί

Plut. Quaest. conv. 2, 5, 2 p. 640 A: *καὶ Σοφοκλῆς εἴρηκέ που περὶ τῶν Τρώων ὡς 'φίλιπποι — παλαισταί'*. v. 2 *δὲ κωδωνοκρότῳ*] *κωδωνοκρότῳ δὲ* Bergk. memoriae errore a Plutarcho Euripidea verba (fr. 935) Sophocli tribui coni. Vater in Eur. Rhes. p. CXXIX.

776

ἅπαντα τἀγένητα πρῶτον ἦλθ' ἅπαξ.

Plut. Quaest. conv. 8, 9, 3 p. 732 D: *τοῦ Σοφοκλέους ἐπὶ τῶν ὅτι μὴ πρότερον ἦν ἀπιστουμένων εἰ γέγονε νῦν, οὐ φαύλως εἰπόντος 'ἅπαντα τὰ γένη τὸ* (*ἅπαντα τἀγέννητα* Valckenaer) *πρῶτον ἦλθ' ἅπαξ'*. Artemid. 4, 59: *ἀνὴρ πένης ἔδοξε λέγειν τοῦτο τὸ ἰαμβεῖον 'ἅπαντα τἀδόκητα* (*πάντα τὰ ἀδόκητα* L) *πρῶτον ἦλθ' ἅπαξ'· θησαυρὸν εὗρε καὶ ἐπλούτησε.*

777

Σειρῆνας εἰσαφ⟨ικόμην⟩
Φόρκου κόρας θροοῦντε τοὺς Ἅιδου νόμους.

Plut. Quaest. conv. 9, 14, 6 p. 745 F: *καθάπερ Σοφοκλέους Ὀδυσσεὺς φησὶ Σειρῆνας εἰσαφικέσθαι Φόρκου κόρας αἰθροῦντος* (al. *ἀθρυῦντος*) *τοὺς Ἅιδου νόμους*. v. 1 *εἰσαφικόμην* et v. 2 *θροοῦντε* scripsit Lobeck in Soph. Ai. p. 352 ed. alt. Brunck ad Niptra locum refert, ad Phaeaces Welcker.

778

κἀπὶ Κυρβάντεσι χορεύσατε

Plut. Amator. c. 16, 8 p. 758 F: *τὸ δὲ βακχεῖον ἐκ Διονύσου· 'κἀπὶ Κυρβάντεσι χορεύσατε', φησὶ Σοφοκλῆς.*

779

φίλων τοιούτων οἱ μὲν ἐστερημένοι
χαίρουσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν.

Plut. Amator. c. 23, 3 p. 768 F: *ἀλλ' ὡς ἀληθῶς κατὰ τὸν Σοφοκλέα 'φίλων — φυγεῖν'.* om. p. nomen Plut. de amicorum multit. c. 3 p. 94 D: *τῶν δ' ἀνεξετάστως παραρρυέντων ὥσπερ νομισμάτων ἀδοκίμων ἐλεγχομένων 'οἱ μὲν ἐστερημένοι — φυγεῖν'.*

780

λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς
χαλκός· χρόνῳ δ' ἀργῆσαν ἤμυσεν στέγος.

Plut. an seni res publ. gerenda sit c. 15 p. 792 A: *'λάμπει γὰρ — στέγος', ὡς φησὶ Σοφοκλῆς.* ibid. c. 8 p. 788 B: *'λάμπει γὰρ — χαλκός'*, ubi poetae nomen om., et Plut. de latenter vivendo c. 4, 5 p. 1129 C: *'λάμπει γὰρ — ἀργῆσαν ἤμυσεν' οὐ μόνον 'στέγος', ὡς φησὶ Σοφοκλῆς, ἀλλὰ καὶ ἦθος ἀνδρὸς οἷον εὐρῶτα καὶ γῆρας ἐν ἀπραξίᾳ δι' ἀγνοίας ἐφελκόμενον.* v. 1 *εὐπρεπὴς] εὐγενὴς* p. 1129.

781

δεινὸν τὸ τᾶς Πειθοῦς πρόσωπον

Plut. de Herodoti malign. c. 1 p. 854 F: *ἀλλὰ δεινὸν τὸ τᾶς Πειθοῦς πρόσωπον, ὡς φησὶν ὁ Σοφοκλῆς, μάλιστα δὲ ὅταν ἐν λόγῳ χάριν ἔχοντι καὶ δύναμιν τοσαύτην ἐγγένηται, τάς τ' ἄλλας ἀτοπίας καὶ τὸ ἦθος ἀποκρύπτειν τοῦ συγγραφέως.* non Sophoclis, sed Plutarchi esse *δεινὸν* adiectivum censet Cobet Coll. crit. p. 528. dissentit F. G. Schmidt *Krit. Stud.* 1 p. 274, qui *δεινὸν* in *σαῖνον* mutari vult, Plutarchea autem quae sequuntur verba vitiosa iudicat.

782

. . . τιθασὸν χῆνα καὶ περιστερὰν
οἰκέτιν ἐφέστιόν τε

Plut. de solertia anim. c. 2 p. 959 E: *ἔλαφοι δὲ — ἐσθιόμενοι προβάτων καὶ κυνῶν ἐνιαχοῦ καὶ ἵππων κρέα προυξένησαν· 'τιθασὸν δὲ χῆνα καὶ περιστερὰν ἐφέστιον οἰκέτην τε' Σοφοκλῆς οὐχ ὡς γαλαῖ καὶ αἴλουροι τροφῆς ἕνεκα διὰ λιμόν, ἀλλ' ἐφ' ἡδονῇ — κατακόπτοντες ὅσον ἐστὶ τῇ φύσει φονικὸν καὶ θηριῶδες ἔρρωσαν.* ubi traditum *οἰκέτην* in *οἰκέτιν* mutavit Stephanus, *οἰκέτιν ἐφέστιον* suasit Wagner; ante *Σοφοκλῆς* videtur *ὡς* excidisse. respicit Pollux 3, 82: *οἱ μέντοι ποιηταὶ καὶ τοὺς ἄλλους οἰκείους οἰκέτας ὠνόμαζον, ὅπου γε καὶ 'περιστερὰν οἰκέτιν'.*

783

. . . εὖ γὰρ καὶ διχοστατῶν λόγος
σύγκολλά τ' ἀμφοῖν ἐς μέσον τεκταίνεται.

Plut. de solertia anim. c. 37 p. 985 C: *ἀλλὰ ἡμῖν γε πάλαι τὸ τοῦ Σοφοκλέους δεδογμένον ἐστὶν 'εὖ — τεκταίνεται'.* v. 2 *συγκολλᾶτ'* libri, *σύγκολλά τ'* Porson. *ἐς μέσον ἀμφοῖν* libri plerique, *ἀμφοῖν ἐς μέσον* Harl. et Athous.

784

γραίας ἀκάνθης πάππος ὣς φυσώμενος

Plut. non posse suaviter vivi sec. Epicurum c. 19 p. 1100 C: *ὑπὸ χαρᾶς ἤρθη κατὰ τὸν Σοφοκλέα 'γραίας — φυσώμενος'.*

785

πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα

Plut. V. Alex. c. 7: *ὡς μείζονος οὖσαν πραγματείας καὶ κατὰ τὸν Σοφοκλέα 'πολλῶν — ἅμα'.* eundem versum om. poetae nom. habet Plut. Amator. c. 21, 10 p. 767 E.

786

ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.

Plut. V. Artax. c. 28: *καθόλου μὲν οὖν ἴσως τὸ Σοφόκλειον 'τάχεῖα — ὁδοιπορεῖ'· λεία γάρ τις ἡ πορεία καὶ κατάντης ἐπὶ τὸ βουλόμενον.*

787

ἀλλ' οὑμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ
τροχῷ κυκλεῖται καὶ μεταλλάσσει φύσιν,
ὥσπερ σελήνης ὄψις εὐφρόνας δύο
στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ,
ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα 5
πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
χὥταν περ αὑτῆς εὐπρεπεστάτη φανῇ,
πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται.

Plut. V. Demetr. c. 45: *ἦν οὖν ὁ Σοφοκλέους Μενέλαος εἰκόνα ταῖς αὑτοῦ τύχαις παρατίθησιν, 'ἀλλ' οὑμὸς — μηδὲν ἔρχεται', ταύτῃ μᾶλλον ἄν τις ἀπεικάσαι τὰ Δημητρίου πράγματα.* v. 1 *ἐν κυρτῷ θοῶς* coni. Kock Veri sim. p. 245. v. 3 *σελήνης ὄψις* Gomperz *Bruchst. der griech. Trag.* p. 12 sq., *σελήνης δ' ὄψις* libri. *εὐφρόναις* libri, *εὐφρόνας* Brunck, *εὐφρόνα* Dindorf. v. 5—8 om. poetae nom. apposuit Plut. Quaest. Rom. 76 p. 282 B et de curiosit. c. 5 p. 517 D. v. 5 *ἀλλ' ἐξ*] *ὡς ἐξ* Plut. Mor. p. 282, *πῶς ἐξ* p. 517. v. 5 sq. usus est Tzetzes in Hesiod. Op. 780: *κἂν ἐξ ἀδήλου πάλιν ἔρχεται νέα πρόσωπα καλλύνουσα καὶ πληρουμένη.* v. 7 *εὐγενεστάτη*

vulgo, *εὐπρεπεστάτη* in Plut. p. 517 praebet codex D, ut coniecerunt Ritschl Opusc. 1 p. 739 et F. G. Schmidt Anal. Soph. et Eur. p. 51. v. 8 *κἀπὶ μηδὲν*] *κεἰς τὸ* Plut. V. Demetr., quae lectio praeferenda videtur.

788

καὶ τὰν νέορτον ἇς ἔτ' ἄστολος χιτὼν
ὡραῖον ἀμφὶ μηρὸν
πτύσσεται Ἑρμιόναν.

Plut. Lycurgi et Numae comp. c. 3: *τοῦ παρθενικοῦ χιτῶνος αἱ πτέρυγες οὐκ ἦσαν συνερραμμέναι κάτωθεν, ἀλλ' ἀνεπτύσσοντο καὶ συνανεγύμνουν ὅλον ἐν τῷ βαδίζειν τὸν μηρόν. καὶ σαφέστατα τὸ γινόμενον εἴρηκε Σοφοκλῆς ἐν τούτοις* '*καὶ τὸν — Ἑρμιόναν*'. v. 1 *νέορτον* Valckenaer, *νεοργὸν* vel *νεουργὸν* libri. *ἇς ἔτ'* Auratus, *ἄσετ'* libri. v. 2 *θυραῖον* libri, *ὡραῖον* Gomperz Mus. Rhen. 13 p. 479.

789

ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
κείνου ἐστὶ δοῦλος· κἂν ἐλεύθερος μόλῃ.

Plut. V. Pomp. c. 78 (Zonar. Annal. 10, 10): *μεταστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν εἶπε Σοφοκλέους ἰαμβεῖα* '*ὅστις — μόλῃ*'. Plut. Regum et imperat. apophthegm. p. 204 E: *τὸ τοῦ Σοφοκλέους εἶπεν* '*ὅστις — μόλῃ*'. Appian. B. civ. 2, 85: *τοσοῦτο δ' ἐκ τῶν Σοφοκλέους ἰαμβείων πρὸς ἑαυτὸν ἀνενεγκὼν* '*ὅστις — μόλῃ*' *ἐνέβαινεν εἰς τὸ σκάφος.* Dio Cass. 42, 4: *⟨ἐξῆλθε⟩ τοσοῦτον μόνον εἰπὼν* '*ὅστις — μόλῃ*'. Macar. 6, 50: '*ὅστις — μόλῃ*'. *Σοφοκλέους καὶ αὕτη.* Plut. de audiendis poetis c. 12 p. 33 D: *καὶ ὁ Ζήνων ἐπανορθούμενος τὸ τοῦ Σοφοκλέους* '*ὅστις — μόλῃ*', *μετέγραφεν* '*οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ*'. Laert. Diog. 2, 82: *εἰπόντος πρὸς αὐτὸν* (Aristippum) *Διονυσίου* '*ὅστις — μόλῃ*', *ὑπολαβὼν* '*οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ*'. v. 1 *γὰρ ὡς*] *δὲ πρὸς* Plut. et Zon., *πρὸς* Macar.

790

ὦ θεοί, τίς ἆρα Κύπρις ἢ τίς ἵμερος
τοῦδε ξυνήψατο;

Plut. V. Timol. c. 36: *τῶν δὲ Τιμολέοντος ἔργων — οὐδὲν ἔστιν ᾧ μὴ τὰ τοῦ Σοφοκλέους* (*τιμοκλέους* BM), *ὡς φησὶ Τίμαιος, ἐπιφωνεῖν ἔπρεπεν* '*ὦ θεοί — ξυνήψατο;*' v. 1 *ὦ θεοί*] *ὦ θεά* BM.

791

ὀρθόκερως φρίκη

Pollux 2, 31: παρὰ Σοφοκλεῖ 'ὀρθόκερως φρίκη' οἷον ὀρθόθριξ. Phot. Lex. p. 346, 5: ὀρθόκερως· ὀρθόθριξ. Σοφοκλῆς. Hesych. 3 p. 218: ὀρθόκερως (ὀρθοκέρως cod.)· ὀρθόθριξ. Hesych. 4 p. 258: φρίκη· ψῦχος, τρόμος.

792

ἕως ὅτου κριθώσης ὄνου

Pollux 7, 24: τὸ μέντοι ὑπερεμπεπλῆσθαι — κριθιᾶν ἀπὸ τῶν ὑποζυγίων· Αἰσχύλος μὲν γὰρ εἴρηκε — Σοφοκλῆς δὲ 'ἕως ὅτου (ὅτε A) κριθώσης ὄνου'. ἕως ὅτου κριθῶσαν οἶνου coni. Buttmann Lexil. 2 p. 174, ἕως ὅτου ψαύσειε κριθώσης ὄνου G. Hermann.

793

ἀσπάθητον χλαῖναν

Pollux 7, 36: σπάθη, ὅθεν καὶ τὸ σπαθᾶν καὶ τὸ 'ἀσπάθητος χλαῖνα' παρὰ Σοφοκλεῖ καὶ 'σπαθητοῖς ὑφάσμασιν' (Aesch. fr. 365). cf. Hesych. 1 p. 301: ἀσπάθητον χλαῖναν· τὴν δοράν, παρ' ὅσον οὐχ ὕφανται. Eust. Il. p. 787, 7: ἐν τοῖς τοῦ Παυσανίου φέρεται ὡς τὴν δορὰν ἀσπάθητόν τινες εἶπον χλαῖναν, ὅ ἐστιν ἀνύφαντον. Anecd. Bekk. p. 453, 18: ἀσπάθητον χλαῖναν· ἀνύφαντον.

794

ποππύζεται ζευγηλατρίς

Pollux 7, 185: βοηλάται βουφορβοί, βουκάπηλοι, ζευγηλάται· Σοφοκλῆς δ' ἔφη 'ποππύζεται ζευγηλατρίς'. ad Triptolemum (cf. fr. 559) haec refert Bergk.

795

βομβεῖ δὲ νεκρῶν σμῆνος ἔρχεταί τ' ἄνω

Porphyr. de antro nymph. c. 18: ἃς (sc. τὰς ψυχάς) ἰδίως μελίσσας οἱ παλαιοὶ ἐκάλουν — ὅθεν καὶ ὁ Σοφοκλῆς οὐκ ἀνοικείως ἐπὶ τῶν ψυχῶν ἔφη 'βομβεῖ — ἄνω'. ἔρχεταί τ' ἄλλη olim ed., ἔρχετ' ἄνω cod. M, ἔρχεταί τ' ἄνω Hercher.

796

Ἀλφεσίβοιαν ἣν ὁ γεννήσας πατήρ

Priscian. de metris Terentii 23: *Sophocles teste Seleuco profert quaedam contra legem metrorum, sicut in hoc* 'Ἀλφεσίβοιαν — πατήρ'. *hic quoque iambus a trochaeo incipit.* Sophocles nisi scripsit Ἀλφησίβοιαν, tacite geminavit liquidam, ut ait Lobeck in Ai. 210. ⟨τὴν⟩ Ἀλφεσίβοιαν coni. Heath Not. p. 95 a. ad defendendam

scripturam a Seleuco traditam Dindorf attulit similia iamborum initia, Ἱππομέδοντος Aesch. Sept. 488, Παρθενοπαῖος Aesch. Sept. 547 et fortasse Eur. Suppl. 889, φαιοχίτωνες Aesch. Choeph. 1049, denique quod maxime insolens est εἶεν ἀκούω Aesch. Choeph. 657 et Ar. Pac. 663. cf. quae dixit Wilamowitz-Moellendorff *Hom. Untersuch.* p. 325.

797

Schol. Ap. Rh. 4, 269: *καὶ Αἰσχύλος δὲ καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς ὑπὲρ* (*ὑπὸ* L, corr. H. Keil) *τὴν Αἴγυπτον χιονίζεσθαι τόπους καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδίδοσθαι.* Seneca Natur. quaest. IV, 2, 16 (cf. Ioh. Lydus de mens. 4, 68 p. 96, 19): *Anaxagoras ait ex Aethiopiae iugis solutas nives ad Nilum usque decurrere — hoc Aeschylus Sophocles Euripides tradunt.*

798

ὦ Κραναὰ πόλις

Schol. Ar. Ach. 75: *ὦ Κραναὰ πόλις*] *τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν· καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.*

799

ὁ σκηπτροβάμων αἰετός, κύων Διός

Schol. Ar. Av. 515: *δέον εἰπεῖν ἐπὶ τοῦ σκήπτρου εἶπεν ἐπὶ τῆς κεφαλῆς. οὕτω γὰρ ὁ Πίνδαρος 'εὕδει δ' ἀνὰ σκάπτρῳ Διὸς αἰετός', καὶ Σοφοκλῆς 'ὁ σκηπτροβάμων — Διός'. ἀετὸς* G.

800

σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ.

Schol. Ar. Eq. 1068: *λαίθαργοι κύνες λέγονται αἱ λάθρᾳ προσιοῦσαι καὶ δάκνουσαι. — παρὰ δὲ τὴν παροιμίαν ἔπαιξε 'σαίνεις — εἶ'.* similiter Schol. Ar. Eq. 1031 Suid. v. *λαίθαργος* et *σαίνεσθαι*. Sophoclem versus auctorem esse tradit Suetonius in Milleri *Mélanges de litt. gr.* p. 417: *λήθαργος· λαθροδήκτης κύων. Σοφοκλῆς 'σαίνουσα δάκνειν καὶ κύων λήθαργος εἶ'.* item Eust. Od. p. 1493, 34: *λάθαργος πλεονασμῷ τοῦ ἰῶτα γινόμενος λαίθαργος, δηλοῖ μὲν κύνα, τροπικῶς δὲ σημαίνει καὶ ἐπίβουλον ἄνθρωπον κρύφα βλάπτοντα — Σοφοκλῆς 'σαίνουσα δάκνεις καὶ κύων λαίθαργος εἶ'.* cf. Phryn. Bekk. p. 50, 30: *λάθαργος κύων· ὁ λάθρᾳ προσαλλόμενος καὶ χωρὶς ὑλακῆς δάκνων.* Hesych. 3 p. 32: *λήθαργος — κύων ὁ προσσαίνων μέν, λάθρᾳ δὲ δάκνων.* Herodian. Piers. p. 471 (Lob. p. 464): *λήθαργος δὲ κύων ὁ κρύφα δάκνων.* Etym. M. p. 558, 38 (cf. Etym. Gud. p. 360, 52): *λαίθαργος κύων· ὁ λαθραίως δάκνων.*

801

Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν
καὶ πανσανίαν καὶ ἀτρείδαν.

Schol. Ar. Nub. 1163: *λυσανίας — πρὸς δὲ τὴν ὀνοματοποιίαν τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα* ʽ*Ζεὺς — ἀτρείδαν*ʼ. eadem fere Suid. v. *λυσανίας*. v. 1 *νόστον ἄγοι τὸν* Suid., *ἄνοτος ἄγοιτο* Schol. Ar. ed. Ald., quae si codicum est scriptura, probabilius *αὐτὸς ἄγοι τὸν* correxeris. *νικομάχαν*] *νικόμαχον* malim.

802

πρὸς πέτραις Ἐλυμνίαις

Schol. Ar. Pac. 1126, quem locum attulimus fr. 404.

803

οὔτ᾽ ἄλλο φῖτυ πρῷον

Schol. Ar. Pac. 1164: *φῖτυ*] *στέρμα — καὶ Σοφοκλῆς* ʽ*οὔτ᾽ ἄλλο σπέρμα φῖτυ πρῷον*ʼ *λέγει, ὅ ἐστι πρώιμον καὶ ὥριμον. σπέρμα* delevit Bergk.

804

ἐπειγομένων κερκίδος ὕμνοις, ἣ τοὺς εὕδοντας ἐγείρει

Schol. Ar. Plut. 541: *Σοφοκλέους τὸ ἡμιστίχιον* ʽ*ἐπειγομένων — ἐγείρει*ʼ. *οὐ κερκίδοις ὕμνους* cod., *κερκίδος ὕμνοις* Dindorf. Aristophanis parodia haec est: *στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας ἐγείρει.* cf. Eupolis Com. 2 p. 437: *μήποτε θρέψω παρὰ Περσεφόνῃ τοιόνδε ταῶν, ὃς τοὺς εὕδοντας ἐγείρει.* Aristoph. Com. 2 p. 1123: *σπυρὶς οὐ σμικρὰ καὶ κωρυκίς, ἣ καὶ τοὺς μάττοντας ἐγείρει.* in Sophocleis verbis *ἐπειγομένων* corruptum, *ἐπεγειρομένων* coni. Bergk, *ἐπαναιρομένων* Kock Com. Att. fragm. 1 p. 266. fortasse Terei est locus (cf. fr. 538).

805

Schol. Ar. Ran. 344: *λειμὼν γὰρ ἀνάκειται καὶ ἄνθη ἀνειμένα τοῖς μύσταις ἐν τῷ πεδίῳ. δηλοῖ δὲ καὶ Σοφοκλῆς.* cf. fr. 753.

806

παῖδας γὰρ οὓς ἔφυσ᾽ ἀναλώσας ἔχει

Schol. Eur. Med. 33: *ἀτιμάσας ἔχει*] *Ἀττικῶς ἀντὶ τοῦ ἠτίμασε. — καὶ Σοφοκλῆς* ʽ*παῖδας — ἔχει*ʼ. *καὶ πάλιν* ʽ*εὐφημίαν μὲν πρῶτα*

κηρύξας ἔχω'. Welcker comparat Accii verba p. 165 ed. Ribb., *natis sepulcro ipse est parens.*

807

εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω.

Schol. Eur. Med. 33, vide fr. 806. Schol. Eur. Or. 451: *μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε] Ἀττικῶς ἀντὶ τοῦ ἀπόλαβε τὰ κατὰ σαυτὸν μόνον φυλάσσων. ὅμοιόν ἐστι τῷ* (τὸ M) '*εὐφημίαν — ἔχω*'.

808

ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς
ἐν χειρὶ θήγει, ἐν τάχει δ' ἀμβλύνεται.

Schol. Eur. Or. 490: *συνελθοῦσα τῷ γήρᾳ σου ἡ ὀργὴ ἀπαίδευτόν σε ποιεῖ· ὡς καὶ Σοφοκλῆς* '*ὀργὴ — ἀμβλύνεται*'. v. 2 *σὺν τάχει* Matthiae. ex multis coniecturis de hoc versu prolatis duae commemoratione dignae videntur: *ἀκαρεὶ* (*ἀκαρῆ* Gomperz *Nachl.* p. 15) *τέθηκται, σὺν τάχει δ' ἀμβλύνεται* voluit R. Enger Adnot. ad trag. Gr. fr. p. 24, *ταχεῖ' ἐθήχθη καὶ ταχεῖ' ἀμβλύνεται* Wecklein Mus. Rhen. 36 p. 141. de Telamone in Teucro tragoedia haec dicta esse coni. Ribbeck *Röm. Trag.* p. 228.

809

ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.

Schol. Eur. Or. 603: *οἷς δὲ μὴ πίπτουσιν εὖ] ἀντὶ τοῦ ἀπαντῶσιν· εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων. καὶ Σοφοκλῆς* '*ἀεὶ — κύβοι*'. versum proverbialem omisso poetae nomine multi afferunt, ut Schol. Aesch. Ag. 33 Zenob. 2, 44 Diogenian. 1, 58 Greg. Cypr. 1, 18 Macar. 1, 37 Stob. Ecl. 1, 3, 32 p. 58, 7 Suidas v. *ἀεί*, denique qui proverbium tragicum esse testatur Eust. Il. p. 1084, 1 et Od. p. 1397, 18. *γὰρ εὖ] τρὶς ἓξ* Macarius 1, 38. fortasse hunc versum spectat Alexis Com. 3 p. 399: *τοιοῦτο τὸ ζῆν ἐστιν ὥσπερ οἱ κύβοι· οὐ ταὔτ' ἀεὶ πίπτουσιν.*

810

εἴθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα

Schol. Eur. Rhes. 105: *εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος· ἔμπαλιν ὁ Σοφοκλῆς* (*ὁ σοφός* cod., corr. Cobet) '*εἴθ' — ἴσα*'. *ἔργα δρῶν λόγοις ἴσα* malim.

811

δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα.

Schol. Hesiod. Theog. 30: *ἡ δάφνη ἐνεργεῖ πρὸς τοὺς ἐνθουσια-*

σμούς. Σοφοκλῆς 'δάφνην — στόμα' καὶ Λυκόφρων 'δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα'.

812

ἐγὼ κατ' αὐτόν, ὡς ὁρᾷς, ἐξέρχομαι.

Schol. A Il. *Α* 423: χρῶνται δὲ καὶ πλείονες ἄλλοι τῶν ποιητῶν τῇ κατά ἀντὶ τῆς ἐπί. Σοφοκλῆς 'ἐγὼ — ἐξέρχομαι'.

813

Schol. A Il. *Β* 649: νῦν μὲν ἑκατόμπολιν τὴν Κρήτην, ἐν Ὀδυσσείᾳ δὲ ἐνενηκοντάπολιν. — ἐν Ὀδυσσείᾳ δὲ τὸ ἀκριβὲς ἐξενήνοχεν, ὡς παρὰ Σοφοκλεῖ. ad Oed. Col. 718, τῶν ἑκατομπόδων Νηρῄδων, haec spectare coni. Dindorf Schol. Il. vol. 2 p. 385.

814

ὃς μὴ πέπονθε τἀμά, μὴ βουλευέτω.

Schol. BT Il. *Ι* 453: ὁ γάρ τι πταίσας πάντως καὶ φυλάττεται. καὶ Σοφοκλῆς 'ὃς — βουλεύεται'. βουλεύηται B, βουλεύεται T, βουλευέτω Bekker.

815

Ἑρμαῖον κάρα

Schol. A Il. *Ν* 791: τὰ διὰ τοῦ ΑΙΟΣ τρισύλλαβα ἔχοντα τὴν πρώτην συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν προπερισπᾶσθαι θέλει, χερσαῖος — Ἑρμαῖος· ὅθεν τὸ Ἑρμαῖον κάρα παρὰ Σοφοκλεῖ. fortasse leg. Ἑρμαῖον ὄρος ex Soph. Phil. 1459.

816

ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ

Schol. V Il. *Ο* 102: μέτωπον — ἰάνθη] Σοφοκλῆς 'ὡς ἂν — χαρᾷ'. cf. Schol. Ar. Lys. 8: τοξοποιεῖν ἀντὶ τοῦ ἐσκυθρωπακέναι — Ὅμηρος (Il. *Ο* 102) 'οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν ἰάνθη' καὶ Σοφοκλῆς 'ὡς ἂν — χαρᾷ'. quae descripsit Suidas v. τοξότης, ubi ἰάνθη pro ἐκταθῇ ex versu Homerico irrepsit.

817

οὐ πώποθ' ὑμᾶς συμβαλεῖν ἐπίσταμαι

Schol. BLV Il. *Π* 142: ἐπίστατο] ἠδύνατο. καὶ Σοφοκλῆς 'οὐ — ἐπίσταμαι'. οὔ ποθ' B.

818

ἐν τοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις
ἥδιον ἂν χωροῖμεν ἢ παντὶ σθένει.

Schol. T Il. Σ 274: *σθένος τὴν δύναμιν, ὅ ἐστι τὴν στρατιάν.* — *καὶ Σοφοκλῆς* '*ἐν τοῖσιν — σθένει*'. v. 1 *ἐν τοῖσιν* cod., *σὺν τοῖσιν* Schneidewin Coni. crit. p. 101, *Ἐνετοῖσιν* Hecker Comm. crit. de Anthol. Gr. (Lugd. Bat. 1843) p. 320, *ὀλίγοισιν* Cobet Coll. crit. p. 204, contra *Σοφοκλῆς ἐν Ποιμέσιν·* ⏑ – ⏑ *ἵπποις τοῖσιν* proposuit Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 29 sq. *ἐκλελεγμένοις* (vel *ἐκλελημμένοις*) Schneidewin, *ἐκλελειμμένοις* cod. v. 2 *ἴδιον εἰ χωρῶμεν* cod., *ἥδιον* E. A. I. Ahrens, *χωροῖμεν* ego correximus, *ἥδιον ἂν χωροῖμεν* Gomperz *Beitr.* 1 p. 244, *ἴδωμεν εἰ χωρῶμεν* Schneidewin, *Ἴλιον ἔσω χωρῶμεν* Wagner, *εἰς Ἴλιον χωρῶμεν* Bergk Mus. Rhen. 35 p. 250, *ῥᾷον μόνοι χωροῦμεν* F. G. Schmidt *Krit. Stud.* 1 p. 277.

819

ὃς παρακτίαν
στείχων ἀνημέρωσα κνωδάλων ὁδόν.

Schol. Pind. Isthm. Prol. p. 350: *τὸν τῶν Ἰσθμίων ἀγῶνα οἱ μὲν ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διαθεῖναι φασὶ τὸν Θησέα ἀνελόντα αὐτὸν ὅτε περ καὶ τοὺς ἄλλους, ὥς φησὶ Σοφοκλῆς λέγων περὶ αὐτοῦ* '*ὃς — ὁδόν*'. v. 2 *ἀνημέρωσε* scribendum videtur. ex Theseo hunc locum repetitum esse coni. Heyne, ex Aegeo E. A. I. Ahrens.

820

μέν' εἰς σοφιστὴν ἐμόν

Schol. Pind. Isthm. 5, 36: *σοφιστὰς — ἔλεγον τοὺς ποιητάς. Σοφοκλῆς* '*μέν' — ἐμόν*'. Schol. TV Il. Ο 410 (Eust. Il. p. 1023, 13): *τὸν κιθαρῳδὸν σοφιστὴν Σοφοκλῆς καὶ τὸν ῥαψῳδὸν Εὔπολις.* Hesych. 4 p. 61: *σοφιστήν· πᾶσαν τέχνην σοφίαν ἔλεγον, καὶ σοφιστὰς τοὺς περὶ μουσικὴν διατρίβοντας καὶ τοὺς μετὰ κιθάρας ᾄδοντας. μένεις σοφιστὴν ἐσμόν* coni. M. Schmidt Mus. Rhen. 26 p. 215.

821

ἤδη γὰρ ἕδρᾳ Ζεὺς ἐν ἐσχάτῃ θεῶν

Schol. Pind. Nem. 10, 57: *κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ ἀντὶ τοῦ πρώτου* '*ἤδη γὰρ ἕδρᾳ Ζεύς*' *φησίν* '*ἐν ἐσχάτῃ θεῶν*', *ἀντὶ τοῦ ἐν τῇ πρώτῃ. ἤδη γὰρ ἕδρα* libri, *ἔχει γὰρ ἕδραν* Brunck, *ἧσται γὰρ ἕδρᾳ* Heimsoeth. *ἐσχα͞* libri, *ἐσχάτῳ* ed. Rom., *ἐσχάτῃ* Heimsoeth.

822

λύσω γάρ εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι.

Schol. Pind. Ol. 1, 97: *ἔνιοι δὲ ὅτι τρία λέγεται κοινῶς καὶ τὰ πρὸς τὸν θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς 'λύσω — οἴσομαι'.* cf. Zenob. 6, 11 (Prov. Mill. p. 355 sq.): *τὰ τρία τῶν εἰς θάνατον — τῷ καταγινωσκομένῳ θάνατον τρία προσεφέρετο, ξίφος βρόχος κώνειον.* Men. Com. 4 p. 281: *ἓν γάρ τι τούτων τῶν τριῶν ἔχει κακῶν.* Ath. IV p. 157 D: *ὑμῖν δὲ φθόνος οὐδεὶς ἑλέσθαι ἕν τι τῶν τριῶν ἔχειν κακῶν.* Sophocleum *λύσω* a Perseo in Andromeda dictum suspicatur Ellendt Lex. Soph. vol. 2 p. 43.

823

ὠνὴν ἔθου καὶ πρᾶσιν ὡς Φοῖνιξ ἀνὴρ
Σιδώνιος κάπηλος.

Schol. Pind. Pyth. 2, 125: *οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς 'ὠνὴν — κάπηλος'.* v. 2 *Σιδώνιος* delebat Meineke, *παλιγκάπηλος* (pro *Σιδώνιος κάπηλος*) coni. Gomperz *Nachl.* p. 16.

824

χῶρος γὰρ αὐτός ἐστιν ἀνθρώπου φρενῶν,
ὅπου τὸ τέρπον καὶ τὸ πημαῖνον φύει·
δακρυρροεῖ γοῦν καὶ τὰ χαρτὰ τυγχάνων.

Schol. Pind. Pyth. 4, 213: *γίνεται τοῦτο, ἐπειδὰν ὑπέρμετρος χαρὰ ἐπιπέσῃ, ὥστε ἀκουσίως δακρύειν. Σοφοκλῆς 'χῶρος — τυγχάνων'.* v. 1 *αὐτός ἐστιν* Bamberger Opusc. p. 164, *οὗτός ἐστιν* libri. *ἔστ' ἐν ἀνθρώπου φύσει* scripserim. v. 2 *ὅσπερ* Conington. *τέρπον* Cobet Coll. crit. p. 213, *τερπνὸν* libri. *πημαῖνόν σφ' ἔφυ* Herwerden Mnem. nov. 6 p. 288, *πημαῖνον φρένα* malim. v. 3 *καὶ τὰ χαρτὰ* Conington, *καὶ τὰ καὶ τὰ* libri.

825

ὦ γῆ Φεραία, χαῖρε, σύγγονόν θ' ὕδωρ
Ὑπέρεια κρήνη, νᾶμα θεοφιλέστατον.

Schol. Pind. Pyth. 4, 221: *Ὑπέρεια δὲ κρήνη ἐν ταῖς Φεραῖς, ὡς Σοφοκλῆς 'ὦ γῆ — θεοφιλέστατον'.* ex Eumelo hos versus petitos esse coni. Meineke Oed. Col. p. 189.

826

μηδ' αἰόλιζε ταῦτα

Schol. Theocr. 1, 56: *αἰολίζω γὰρ τὸ ἀπατῶ. καὶ Ἱεροκλῆς (Σο-*

φοκλῆς Toup) 'μηδ' αἰόλιζε ταῦτα'. Anecd. Bekk. p. 361, 2: αἰολίζειν· τὸ ποικίλλειν. οὕτω Σοφοκλῆς. Hesych. 1 p. 82: αἰολίζειν· ποικίλλειν.

827

. . πάνσοφον κρότημα Λαέρτου γόνος

Schol. Theocr. 15, 48: κεκροτημένοι] — ἡ δὲ μεταφορα ἀπὸ τοῦ κεκροτημένου χαλκοῦ. καὶ Σοφοκλῆς 'πάνσοφον — γόνος'. ⟨τὸ⟩ πάνσοφον Brunck. κρότημα] κρότημ' ὁ Blaydes in Soph. Phil. 366. huc spectare videtur Hesych. 2 p. 540: κρότημα ἐπὶ τῶν δολίων τάσσεται. tum Λαρτίου malim.

828

εἰς Αἶαν πλέων

Stephanus Byz. p. 37, 1: Αἶα, πόλις Κόλχων — ἔστι δὲ καὶ Θετταλίας ἄλλη, ἧς μέμνηται Σοφοκλῆς, τῆς μὲν προτέρας λέγων 'εἰς Αἶαν πλέων', τῆς δὲ δευτέρας οὕτως 'ἔστιν — παγκληρία' (fr. 829).

829

ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία

Stephanus Byz. p. 37, 2. vide fr. 828. παγκηρία codex Perusinus.

830

Ἀνακτόρειον τῆσδ' ἐπώνυμον χθονός

Stephanus Byz. p. 92, 18: Ἀνακτόριον, Ἀκαρνανίας πόλις — τὸ ἐθνικὸν Ἀνακτόριος — Σοφοκλῆς δὲ φησὶ διὰ τοῦ ΕΙ (διὰ τοῦ Ι libri) 'Ἀνακτόριον — χθονός'. eadem fere Etym. Voss. p. 267 D Gaisf.

831

τί μέλλετ' Ἀρτακῆς τε καὶ Περκώσιοι;

Stephanus Byz. p. 127, 19: Ἀρτάκη, πόλις Φρυγίας — τὸ ἐθνικὸν Ἀρτακηνός, Σοφοκλῆς δὲ ἀπὸ τοῦ Ἀρτακεύς εἶπε 'τί — Περκώσιοι;' Ἀρτακεῖς ante Dindorfium.

832

πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς φῶς ἄγει.

Stob. Ecl. 1, 8, 1 p. 93, 18: Σοφοκλέους. 'πάντ' — ἄγει'. εἰς τὸ φῶς ἄγει coni. Grotius. rectius scribemus πάντ' ἐκκαλύπτων χρόνος ἀεὶ πρὸς φῶς ἄγει. cf. Philem. Com. 4 p. 61: χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος (πάντ' ἀεὶ πρὸς φῶς Kock Att. Com. fr. vol. 2 p. 530) ἄγει. Men. mon. 459: πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς

φῶς (εἰς τὸ φῶς Meineke) φέρει. Vit. Aesopi p. 48, 5: πάντα δὲ τὰ καλυπτόμενα ὁ χρόνος εἰς φῶς ἄγει. Aelian. fr. 62 ed. Teubn.: ὃ δὲ χρόνῳ ὕστερον ἐφωράθη τῷ πάντα ἐκκαλύπτοντι.

833

ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα κρυπτόντων θεῶν
μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν.

Stob. Ecl. 2, 1, 4 p. 4, 5: Σοφοκλέους. 'ἀλλ' — σκοπῶν'.

834

ἀμνήμονος γὰρ ἀνδρὸς ὄλλυται χάρις.

Stob. Ecl. 2, 46, 6 p. 260, 18: Σοφοκλέους. 'ἀμνήμονος — χάρις'. eclogam servavit L, ubi errore librarii lemma ad praegressum Anaxandridis versum adscriptum est.

835

σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται.

Stob. Flor. 2, 18: Σοφοκλέους. 'σκαιοῖσι — διόλλυται'. eclogam praebent MA, om. S.

836

⟨A.⟩ ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.
⟨B⟩ ἀλλ' ἡ φρόνησις ἀγαθὴ θεὸς μέγας.

Stob. Flor. 3, 14: Σοφοκλέους. 'ἐσθλοῦ — ὠφελεῖν' (v. 1). Flor. 3, 15: 'ἀλλ' — μέγας' (v. 2). utramque eclogam om. SMA, habet Trinc., qui Σοφοκλέους lemma non apponit nisi priori versui, quem Sophocli tribuit Arsenii cod. Mosq., v. 2 ⟨τ⟩οῦ αὐτοῦ lemma addit cod. Voss. coniunxit hos versus et personarum vices indicari iussit Meineke in Stob. Flor. 4 p. LIII. v. 2 ἀγαθὴ] ἡ ἀγαθὴ ed.

837

ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,
ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ.

Stob. Flor. 4, 1: Σοφοκλέους. 'ἀλλ' οἱ — τἀφανῆ'. v. 1 ὡς οἱ κακῶς malim. v. 2 τἀφανῆ MA (ecl. om. S), sed τἀμφανῆ in A corr. m. sec.

838

ὡς δυσπάλαιστον ἀμαθία κακόν.

Stob. Flor. 4, 5: Σοφοκλέους. 'ὡς δυσπέλαστον ἡ ἀμαθία κα-

κόν'. *δυσπάλαιστον* correxi. *ἡ ἀμαθία* ed., *ἀμαθία* libri, sed in A superscr. *ἡ* fortasse pr. m., *ἐστιν ἀμαθία* Grotius.

839

ἡ δὲ μωρία
μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ.

Stob. Flor. 4, 17: *Σοφοκλέους*. '*ἡ δὲ — ἔφυ*'. eundem locum s. p. n. habet Proverb. append. 3, 12, ubi *δὲ* et *τῆς* omittitur.

840

χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε.

Stob. Flor. 5, 14: *Σοφοκλέους* (sic MA, *σοφοκλέους ἐξ αἴαντος* L, ubi sequitur ecl. 13). '*χαίρειν — ποτε*'. *χρή*] *δεῖ* Trinc. cf. Men. mon. 544: *χαίρειν ἐπ' αἰσχροῖς οὐδέποτε χρὴ πράγμασιν.*

841

οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει.

Stob. Flor. 8, 11: *Σοφοκλέους*. '*οὐ — ξυλλαμβάνει*'. *συλλαμβάνει* M.

842

αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ.
ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος.

Stob. Flor. 13, 9: *Σοφοκλέους* (sic SMA, *σοφίλου* L). '*αἰδὼς — σύμμαχος*'. v. 2 *τὠγκαλοῦντι* coni. Cobet V. L. p. 19.

843

τί ταῦτ' ἐπαινεῖς; πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
ἥσσων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενός·
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην
ἄκων ἀκούειν οὓς ἑκὼν εἶπεν λόγους.

Stob. Flor. 18, 1: *Σοφοκλέους*. '*τί ταῦτ' — οὓς ἑκὼν εἶπεν κακῶς*'. verba *πᾶς γὰρ οἰνωθεὶς κτἑ.* om. p. nom. affert Clemens Alex. Paed. II p. 181: *πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ κατὰ τὴν τραγῳδίαν* '*ἥσσων — ἅπερ ἑκὼν εἶπεν κακῶς*'. v. 1 *οἰνωθείς* forma ex Sophocle affertur ab Eust. Il. p. 692, 12 (Schol. Il. *H* 472 in Anecd. Paris. 3 p. 228, 15). v. 2 *ἧσσον* Stobaei S. v. 3 et 4 habet Plut. de utilitate ex inimicis percipienda c. 5 p. 89 A: '*φιλεῖ*' *γὰρ ὁ τοιοῦτος κατὰ τὸν Σοφοκλέα* '*γλῶσσαν ἐκχέας — λόγους*'. v. 3 respicit Nicephorus Greg. Hist. Byz. 31, 28 vol. 3 p. 366, 6: *μάτην ἐκχέας*

κατὰ τὸν σοφὸν Σοφοκλέα .ὴν ἄτοπον γλῶτταν. v. 3 φιλεῖ δὲ] φιλεῖ τε Clem. πολλὴν γλῶσσαν Stob., πολλὴν γλῶτταν Clem., γλῶσσαν Plut., ἄτοπον γλῶτταν Niceph. Greg. v. 4 οὓς Plut. Stob., ἅπερ Clem. εἶπεν Stob. Clem., εἴπῃ Plut. λόγους Plut., κακῶς Stob. Clem.

844

κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,
σιγᾶν ἀνάγκη, κἂν καλὸν φορῇ στόμα.

Stob. Flor. 24, 4: Σοφοκλέους. 'κλέπτων — στόμα'. v. 2 φορῇ Cobet Mnem. 9 p. 116, φέρῃ SMA.

845

ἦ δεινὸν ἆρ' ἦν, ἡνίκ' ἄν τις ἐσθλὸς ὢν
αὑτῷ συνειδῇ

Stob. Flor. 24, 6: Σοφοκλέους. 'ἦ δεινὸν — συνείδῃ'. eclogam habet S, om. MA. v. 1 ἆρ' ἦν] ἦν ἄρ' Cobet Coll. crit. p. 206. v. 2 αὑτῷ συνείδῃ S. μητρὸς ἢ πατρὸς κακά (ex Eur. Hipp. 425) suppleri vult Cobet. ad sententiae integritatem deesse quidquam negat F. G. Schmidt *Krit. Stud.* 1 p. 277, qui v. 1 ἦ κλεινὸν εὕρημ' scribi vult.

846

ὅρκοισι γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν
.ὠδῖνα παίδων· ἀλλ' ἐπὰν λήξῃ κακοῦ,
ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται
πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη.

Stob. Flor. 28, 1: Σοφοκλέους. 'ὅρκοισι — νικωμένη'. v. 2 ἐπ' ἂν libri, ἐπὴν Hermann, ἐπεὶ Ellendt Lex. Soph. 1 p. 663.

847

ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς.

Stob. Flor. 28, 5: Σοφοκλέους. 'ὅρκος — βαρύς'. φηλήτῃ B m. sec. teste Gaisfordo, φιλητῇ L, φιλήτηι S, φιλητὴ M, φιλήτη A.

848

οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα.

Stob. Flor. 39, 14: Σοφοκλέους. 'οἴκοι — εὐδαίμονα'. eclogam cum lemmate habent MA, om. S. vide quae diximus in Aeschyli fr. 317.

849

μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος·
κλῇθρον γὰρ οὐδὲν ὧδ' ἂν εὐπαγὲς λάβοις,
γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

Stob. Flor. 41, 3: *Σοφοκλέους. 'μή μοι — διέρχεται'.* v. 1 *μὴ μὴ* coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 542, *μὴ ἄλλοις* F. G. Schmidt. an *μή τῳ* scribendum? *μηδὲν*] *οὐδὲν* A. v. 2 *κλεῖθρον* libri. *ὡς δ' ἂν* libri, *ὧδ' ἂν* M. Schmidt. *εὐπετὲς* SMA, *εὐστεγὲς* coni. G. Hermann, *εὐπαγὲς* vel *εὐερκὲς* Cobet Mnem. 9 p. 89 et Coll. crit. p. 206. v. 3 *κρυφαῖον οὐδὲν*] *δι' οὗ κρυφαῖον* Cobet. *οὐ διέρχεται* in *οὗ διέρχεται* mutat Gomperz *Nachl.* p. 16. violentas medelas proponit F. G. Schmidt *Krit. Stud.* 1 p. 278.

850

ὅπου γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων,
οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

Stob. Flor. 43, 11: *Σοφοκλέους. 'ὅπου — πόλις'.* v. 1 *φύσαντες* Pierson Veris. p. 133, *φυλάσσοντες* SMA.

851

νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.

Stob. Flor. 43, 25: *Σοφοκλέους. 'νόμοις — καλόν'. τοῖσιν ἐγχώροις* Grotius, *τοῖσιν ἐγχωρίοις* SMA, *τοῖς ἐγχωρίοις* Men. mon. 372. Bentley scripsit *τοῖς ἐπιχωρίοις*, quod probans Meineke Menandro versum tribuit cum Arsen. p. 545, 11. ceterum cf. Gnomol. cod. Vrbin. *N* 3 p. 440: *νόμοις ἕπεσθαι τοῖς βροτοῖς κλέος μέγα.* Men. mon. 580: *νόμοις ἕπεσθαι πάντα δεῖ τὸν σώφρονα.*

852

πολλῶν καλῶν δεῖ τῷ καλόν τι μωμένῳ·
μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος.

Stob. Flor. 45, 11: *Σοφοκλέους. 'πολλῶν — κλέος'.* v. 1 *πολλῶν καλῶν* ineptum, *πολλῶν παλῶν* infelicissime coni. Bamberger Opusc. p. 164, *πόνων καλῶν* volebat Gomperz *Beitr.* 1 p. 246, mihi *πολλῶν πόνων* praeferendum videtur (cf. *Mélanges Gréco-Rom.* 3 p. 291 et quae dixit Cobet Mnem. nov. 2 p. 106 sq.). *καλόν τι μωμένῳ* scripsi, *καλῶς τιμωμένῳ* SMA.

853

γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν.

Stob. Flor. 54, 3: *Σοφοκλέους*. '*γνῶμαι — χερῶν*'. *χειρῶν* A. corrigendum arbitror *γνῶμαι πλέον σθένουσιν ἢ κράτος χερῶν*.

854

εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος.

Stob. Flor. 62, 33: *Σοφοκλέους*. '*εἰ — ἐλεύθερος*'. *τὸ σῶμα* malim, cf. Greg. Naz. vol. 2 p. 215 A: *εἶναι γὰρ εἶναι τἀνδρός, ὡς ἀκούομεν, τὸ σῶμα δοῦλον, τὸν τρόπον δ' ἐλεύθερον.*

855

ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον,
ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος.
ἔστιν μὲν Ἅιδης, ἔστι δ' ἄφθιτος βία,
ἔστιν δὲ λύσσα μανιάς, ἔστι δ' ἵμερος
ἄκρατος, ἔστ' οἰμωγμός. ἐν κείνῃ τὸ πᾶν 5
σπουδαῖον, ἡσυχαῖον, εἰς βίαν ἄγον.
ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι
ψυχή· τίς οὐχὶ τῆσδε δεύτερος θεοῦ;
εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει,
χέρσου δ' ἔνεστιν ἐν τετρασκελεῖ γονῇ· 10
νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν,
ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.
τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν;
εἴ μοι θέμις, θέμις δὲ τἀληθῆ λέγειν,
Διὸς τυραννεῖ πλευμόνων, ἄνευ δορός, 15
ἄνευ σιδήρου· πάντα τοι συντέμνεται
Κύπριδι τὰ θνητῶν καὶ θεῶν βουλεύματα.

Stob. Flor. 63, 6: *Σοφοκλέους*. '*ὦ παῖδες — θεῶν βουλεύματα*'. initium loci om. p. nom. affert Plut. Amator. c. 13 p. 757 A: *ἀλλ' ἀπὸ μιᾶς σκηνῆς ἀκούομεν* '*Ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ*' (Eur. Dan.) *καὶ πάλιν αὖ ὧδε* '*οὐ Κύπρις μόνον — λύσσα μαινάς*' (v. 1—4). v. 2 *πάντων* Stob., *πολλῶν* Plut. *πολλῶν δυνάμεων ἐπώνυμος* coni. Meineke *Jahrb. f. Philol.* 87 p. 377. v. 3 *ἔστιν μὲν αἰδώς* coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 542. contra *βία* in *βίος* mutari voluit Bothe. v. 4 *μανιάς* Porson, *μανίας* Plut., *μαινάς* Stob., at in Stobaei S prius *α* ex *αν* correctum videtur pr. m. v. 5 *ἄκραντος* Bothe, *εὔκρατος* Herwerden Lucubr. Soph. p. 80. v. 6 *ἡσύχαιον* S, *ἡσύχιον* in *ἡσύχαιον* pr. m. corr. M, *ἡσύχιον* A. *εἰς*] *ἐς* MA. *σπουδαῖόν ἐστι, γαῦρον, ἐκ βίας ἄγον* coni.

F. G. Schmidt *Krit. Stud.* 1 p. 280. v. 7 ἐντήκεται] ἀνθάπτεται Meineke Com. 4 p. 660. v. 7 sq. ἐντήκεται γὰρ τλημόνων, ὅσοις ἔνι, ψυχῇ F. G. Schmidt, ψυχῇ etiam Hartung. v. 8 ψυχή] πνοή Meineke. τίς] τῆς A pr. m. οὐχὶ Grotius, οὔτι SMA. τῆσδε δεύτερος θεοῦ scripsi, τῆσδε τῆς θεοῦ βορός SM, τῆς (om. τῆσδε) θεοῦ βορός A. v. 9 πλωτῶν Arsen. fortasse πλωτῶν γένη legendum. v. 10 χέρσου δ' ἔνεστιν ἐν scripsi, ἔνεστι δ' ἐν χέρσου vulgo. χέρσōυ ex dativo correctum pr. m. S. γονῇ] γένει A. v. 11 τοῦ κείνη M, ποικίλοις Herwerden Exerc. crit. p. 18, qui malit ναίει δ' ἐν οἰωνοῖσι ποικιλοπτέροις. v. 12 spurium censet Herwerden. ἐν φηρσίν coni. Meineke. v. 13 παλεύουσ' ἐκτὸς ἐκβάλλει φρενῶν F. G. Schmidt. v. 14 εἰ μὴ A. v. 17 Κύπριδι Herwerden, Κύπρις vulgo. Euripidis hos esse versus, non Sophoclis, cui a Stobaeo tribuuntur, consentiunt mecum Herwerden, Meineke, F. G. Schmidt, A. Kalkmann de Hippolytis Eur. quaest. nov. p. 42, ac favent huic suspicioni Plutarchea verba ἀπὸ μιᾶς σκηνῆς, unde Danaes Euripideae esse locum colligimus. Clemens quidem Alex. Strom. V p. 717 ὁ μὲν Σοφοκλῆς — ἐκβοᾷ et mox Εὐριπίδης δὲ ἐπὶ τῆς αὐτῆς σκηνῆς τραγῳδῶν: Plutarchum eodem dicendi genere usum esse non crediderim.

856

τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ
γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ;

Stob. Flor. 67, 5: Σοφοκλέους. 'τίς δ' — χλιδῇ;' eclogam habent MA, om. S.

857

κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή

Stob. Flor. 73, 54: Σοφοκλέους. 'κατ' — γυνή'. ecl. habent MA, om. S.

858

πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον.

Stob. Flor. 96, 9: Διφίλου. 'πενία δὲ — βίον'. 96, 10: Σοφοκλέους. 'πενία δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος. πενίας γὰρ οὐδεὶς ἐστι μείζων πολέμιος'. lemmata transposuit Brunck. v. 1 πενία] σπάνις malim. συγκραθεῖσα Gesner, δυσκραθεῖσα SMA. v. 2 μετέστρεψεν Herwerden Mnem. nov. 6 p. 80.

859

ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γενός,
ὡς οὐδέν ἐσμεν πλὴν σκιαῖς ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρωφώμενοι.

Stob. Flor. 98, 1: *Σοφοκλέους* (sic S, lemma om. MA). '*ὦ — ἀναστρεφόμενοι*'. v. 1 *ὦ θνητὸν* Gesner, *ὦ θνητῶν* SMA, *μοχθηρὸν* F. G. Schmidt *Krit. Stud.* 1 p. 281. *ταλαίπωρον* MA, *ταλαιπώρων* S. v. 2 *ἐοικότες* SA, *ἑοικότες* M, *εἰκότες* Gesner. *σκιαῖσιν εἰκότες* Pierson in Moer. p. 148. v. 3 *ἀναστρεφόμενοι* SMA, *ἀναστρωφώμενοι* coni. Gesner et sic B, si fides Gaisfordo. fortasse huc spectat Philo Iud. vol. 2 p. 308: *τὰ δὲ μηδαμῇ χρήσιμα τῷ βίῳ οὐδὲ ζῆν εἶναι λυσιτελές, περιττὸν ἄχθος ὄντα γῆς, ὥς εἶπέ τις.* ceterum cf. fr. 596.

860

οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν.

Stob. Flor. 98, 43: *Σοφοκλέους.* '*οὐ γὰρ — κακῶν*'. eclogam habent MA, om. S. *ἄνευ κακοῦ* Men. mon. 692.

861

στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει
σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην.

Stob. Flor. 108, 51: *Σοφοκλέους.* '*στέργειν — τύχην*'. v. 1 *τἀκπεσόντα* (quod in S ex *τὰ προσόντα* corr. m. pr.) SMA, *τἀμπεσόντα* Gesner. *καὶ θέσθαι*] non debuisse *κεὖ θέσθαι* conici docuit Porson in Eur. Phoen. 1422. nec ferri potest *κἀνθέσθαι* quod voluit Meineke *Jahrb. f. Philol.* 87 p. 378. *πρέπει* substitutum esse in locum *καλῶς* adverbii conieci *Mélanges Gréco-Rom.* 4 p. 719 sq. et facit mecum F. G. Schmidt *Krit. Stud.* 1 p. 282. v. 2 om. poetae nom. habet Hesychius 2 p. 545: *κυβευτήν.* '*σοφὸν κυβευτήν, ἀλλὰ μὴ στενὴν τυχεῖν*'. *τὸν τοῖς κύβοις χρώμενον· ἐπιστήμην γάρ τινα ἐδόκουν τὸ δεξιῶς χρῆσθαι· ἐπιστημονικωτέραν τὴν πεττείαν τῆς κυβείας ἐνόμιζον.*

862

ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.

Stob. Flor. 110, 14: *Σοφοκλέους.* '*ἐλπὶς — βροτῶν*'. idem versus omisso poetae nomine exstat in Schol. Eur. Phoen. 396 Proverb. append. 1, 59 Men. mon. 42 sic scriptus, *αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.* Sophoclem imitatur Eur. Phoen. 396: *αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.*

863

πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά,
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

Stob. Flor. 116, 29: '*πάντ' — κεναί*'. Sophoclis esse locum docet Clemens Alex. Protr. p. 73: *ἕπεται τοιγαροῦν ὑμῖν κατὰ τὸν Σοφοκλέα τὰ ἐπίχειρα τῆς ἐκλογῆς*, '*νοῦς φροῦδος — κεναί*' (v. 2). v. 1 *μακρῷ*] *βαθεῖ* hoc loco et Oed. R. 1112 corrigendum, quamquam *μακρὸν γῆρας* recurrit in Stob. Flor. 101, 21 Polyaen. 8, 15 Lucian. Macrob. c. 23 vol. 3 p. 225. v. 2 *ἔργ'* Stob., *ὦτα* Clem.

864

οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς
θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.
προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα.

Stob. Flor. 117, 4: *Σοφοκλέους* (sic SM, *τοῦ αὐτοῦ* A). '*οὐκ ἔστι — μέγα*'. v. 1 *ἐν οἷς ὁ νοῦς*] *ὅσοις ὁ νοῦς* Blaydes Oed. C. 1751, *ὅσοισι νοῦς* Heimsoeth *Krit. Stud.* p. 193. v. 2 graviter corruptus necdum sanatus. *προμηθίᾳ ξύνεστιν εὖ τεθραμμένος* coni. Bergk, *θείῳ ξύνεστιν ἱμέρῳ τεθραμμένος* Meineke, *θείῳ ξύνεστιν ἐν φάει τεθραμμένος* Heimsoeth, *ἐσθλαῖσίν ἐστιν ἡδοναῖς τεθραμμένος* Herwerden Lucubr. Soph. p. 81, *ὁσίᾳ ξύνεστιν εὐμαρῶς τεθραμμένος* ipse temptabam. v. 3 a praegressis dirimunt Bergk et Meineke.

865

ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν,
μῶρος πέφυκε· τῇ τύχῃ μέλει τάδε.
ὅταν δ' ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ,
οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγοι μολών.

Stob. Flor. 118, 12: *Σοφοκλέους*. '*ὅστις — μολών*'. eclogam habet S, om. MA. v. 2 *μωρὸς* S. v. 3 *δ'* Grotius, *γὰρ* S. v. 4 *ἐκφύγῃ* S, *ἐκφύγοι* Halm Lect. Stob. p. 57, *ἐκφύγοις* Dindorf.

866

ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
ἢ δειλός ἐστιν ἢ δυσάλγητος φρένας.

Stob. Flor. 121, 21: *Σοφοκλέους*. '*ὅστις — φρένας*'. eclogam habent SA, om. M.

867

⟨A.⟩ *θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει.*
⟨B.⟩ *ἥξεις, ἐπείγου μηδέν, εἰς τὸ μόρσιμον.*

Stob. Flor. 122. 11: *Σοφοκλέους.* '*θανόντι — μόρσιμον*'. v. 2 *ἥξεις* S, *ἥρξης* M, *ἔρξεις* A. *μόρσιμον*] *μόνημον* M. personarum notas libri omittunt.

868

χρόνος δ' ἀμαυροῖ πάντα κεἰς λήθην ἄγει.

Stob. Flor. 126, 8: *Σοφοκλέους.* '*χρόνος — ἄγει*'. eclogam cum lemmate habet M et primitus habuit S, ubi genuina scriptura erasa est. versus recurrit in Men. mon. 545. haud dissimilis est versus Aeschylo suppositus Eum. 286: *χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.*

869

τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου.

Stob. Flor. (11) cod. L (vol. 4 p. 242, 8 ed. Mein.): *Σοφοκλέους.* '*τἀληθὲς — λόγου*'. *ἰσχύειν λέγω* ego conieci, *ἰσχύει λόγῳ* Conington, *ἰσχύειν φιλεῖ* F. G. Schmidt *Krit. Stud.* 1 p. 273.

870

ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονὸς
νυκτός τε πηγὰς οὐρανοῦ τ' ἀναπτυχὰς
Φοίβου τε παλαιὸν κῆπον

Strab. VII p. 295: *οὐδὲ γὰρ εἴ τινα Σοφοκλῆς τραγῳδεῖ περὶ τῆς Ὠρειθυίας λέγων ὡς ἀναρπαγεῖσα ὑπὸ Βορέου κομισθείη* '*ὑπέρ τε — κῆπον*', *οὐδὲν ἂν εἴη πρὸς τὰ νῦν.* v. 3 *τε* del. G. Hermann. *Φοίβου παλαιὸν σηκόν* coni. Gomperz, qui comparat adesp. fr. 424. ad *Τυμπανισταί* locum refert G. Wolff Philol. 28 p. 344.

871

νὴ τὼ Λαπέρσα, νὴ τὸν Εὐρώταν τρίτον,
νὴ τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς.

Strab. VIII p. 364: *τὴν δὲ Λᾶν οἱ Διόσκουροί ποτε ἐκ πολιορκίας ἑλεῖν ἱστοροῦνται, ἀφ' οὗ δὴ Λαπέρσαι προσηγορεύθησαν· καὶ Σοφοκλῆς λέγει που* '*νὴ τὼ — θεούς*'. ad Lacaenas locum rettulit Meursius. v. 1 *τὸν*] *τὰν* A. v. 2 *σπάρταν* A. versuum ordinem invertendum arbitror.

872

ἐμοὶ μὲν ὥρισεν πατὴρ
ἀκτὰς ἀπελθεῖν τῆσδε γῆς . . . .
πρέσβεια νείμας· εἶτα . . . Λύκῳ

τὸν ἀντίπλευρον κῆπον Εὐβοίας νέμει·
Νίσῳ δὲ τὴν ὅμαυλον ἐξαιρεῖ χθόνα 5
Σκείρωνος ἀκτῆς· τῆς δὲ γῆς τὸ πρὸς νότον
ὁ σκληρὸς οὗτος καὶ γίγαντας ἐκτρέφων
εἴληχε Πάλλας.

Strab. IX p. 392: τὴν δ' εἰς τέτταρα μέρη διανομὴν ἄλλων ἄλλως εἰρηκότων ἀρκεῖ ταῦτα παρὰ Σοφοκλέους λαβεῖν· φησὶ δ' ὁ Αἰγεὺς ὅτι ὁ πατὴρ ὥρισεν ἐμοὶ μὲν ἀ⟨πελθεῖ⟩ν εἰς ἀκτὰς τῆσδε γῆς πρεσβεῖα νείμας· ⟨εἶτ⟩α Λύκῳ 'τὸν ἀντίπλευρον — Πάλλας' (v. 4—8). primos tres versus exhibui quales Meineke Vind. Strab. p. 129 sq., qui v. 2 προσεσπέρους et v. 3 δευτέρῳ suppleri voluit. πατὴρ δ' ἀπελθεῖν ὥρισ' εἰς Ἀκτὴν ἐμοὶ πρεσβεῖα νείμας τῆσδε γῆς· τῷ δ' αὖ Λύκῳ coni. Brunck. v. 4 νέμων edebatur, μων in cod. A suppletum m. sec., νέμει Coraes. v. 5 ὅμαυλον] ὅμαυδον et ὅμαλον al. v. 6 Σκίρωνος malim (cf. C. I. 7723). Aegeo fabulae locus vulgo adscribitur parum probabiliter.

873

ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις
αὐτοῖσιν ὅπλοις καὶ τετραόρῳ δίφρῳ.

Strab. IX p. 399: ἐνταῦθα δέ που καὶ τὸ Ἀμφιαράειον ἔστι τετιμημένον ποτὲ μαντεῖον, ὅπου φυγόντα τὸν Ἀμφιάρεων, ὥς φησὶ Σοφοκλῆς, 'ἐδέξατο — δίφρῳ'. v. 1 num sanus sit dubitat Hilberg *Princip der Silbenwägung* p. 229. v. 29 τετραόρῳ Herwerden Exerc. crit. p. 16, τετραορίστῳ vel τετρωρίστῳ vel τετραρίστῳ libri.

874

ὅθεν κατεῖδον τὴν βεβακχιωμένην
βροτοῖσι κλεινὴν Νῦσαν, ἣν ὁ βούκερως
Ἴακχος αὑτῷ μαῖαν ἡδίστην νέμει,
ὅπου τίς ὄρνις οὐχὶ κλαγγάνει; . .

Strab. XV p. 687: παρὰ Σοφοκλεῖ δέ τις ἔστι τὴν Νῦσαν καθυμνῶν ὡς τὸ Διονύσῳ καθιερωμένον ὄρος· 'ὅθεν — κλαγγάνει;' καὶ τὰ ἑξῆς. v. 3 αὑτῷ μαῖαν] αὐτῷ μαῖαν CDFh, αὐτόμαιαν (vel potius αὐτομαῖαν) coni. Meineke. Triptolemo locum adscribit Welcker.

875

θαυμαστὰ γὰρ τὸ τόξον ὡς ὀλισθάνει

Suidas: ὡς· λίαν — Σοφοκλῆς 'θαυμαστὰ — ὀλισθάνει'.

876

θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.

Theophilus ad Autol. 2, 8 p. 74: *ὁ γοῦν Σοφοκλῆς ἀπρονοησίαν ἐν ἑτέρῳ λέγει 'θεοῦ — βροτός'.* eundem versum sine lemmate habet Stob. Ecl. 1, 3, 7 p. 53, 16 et Men. mon. 251. *πληγὴν*] *παγίδας* coni. Heimsoeth *Krit. Stud.* p. 70, cf. Nicet. Chon. p. 342, 14: *μὴ ἐξεῖναί τινι τὰς πάγας ὑπεραλέσθαι ἢ τὸ ἀμφίβληστρον διεκδῦναι ὃ ἡ ἄνωθεν ἐξέτεινε πρόνοια.* Theophyl. arch. Bulg. Epist. 46 p. 82: *πρὸς πᾶν ὁδηγοῖο καλόν, τὰς τοῦ πονηροῦ παγίδας ὑπερπηδῶν. ὑπεκπηδᾷ* coni. Herwerden Obs. crit. in fragm. com. Gr. p. 129.

877

εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.

Theophilus ad Autol. 2, 37 p. 180: *καὶ ὁ Σοφοκλῆς 'εἰ — δεῖ'.* poetae nomen omittunt Stob. Ecl. 1, 3, 48 a p. 61, 4 (quod enim olim adscribebatur lemma *Σοφοκλῆς Αἴαντι* librorum fide caret) et Schol. Dionys. Thr. p. 965, 28. *δείν' ἔδρασας* Stob., *δεινὰ ὀρέξας* (vel *ὁ ῥέξας*) Theoph., *δεινὰ δέδρακας* Schol. Dionys. Thr. *σε δεῖ*] *ἔδει* Schol. Dionys. Thr., *σ' ἔδει* coni. Vsener. quae Stobaeus allato versui subicit, *Δίκας δ' ἐξέλαμψεν ὅσιον φάος* (adesp. fr. 500), separanda esse agnovit Seidler de versibus dochm. p. 22.

878

οἱ γὰρ γύνανδροι καὶ λέγειν ἠσκηκότες

Tryph. *περὶ τρόπων* in Rhet. vol. 8 p. 741 (Moschop. Opusc. p. 78): *ὅταν ἐπὶ συνθέτων ἐναλλάξῃ ὀνομάτων τις τὸ καθωμιλημένον, ὡς παρὰ Σοφοκλεῖ 'οἱ γὰρ — ἠσκηκότες' ἀντὶ τοῦ οἱ ἀνδρόγυνοι.* similiter Polybius Sardianus *περὶ σχημάτων* in Rhet. vol. 8 p. 612.

879

θεοῦ τὸ δῶρον τοῦτο· χρὴ δ' ὅσ' ἂν θεοὶ
διδῶσι, φεύγειν μηδέν', ὦ τέκνον, ποτέ.

Vita Hom. c. 158 in Plut. Mor. ed. Wytt. vol. 5 p. 1197: *πάλιν δὲ τὸ Ὁμήρου 'οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα' Σοφοκλῆς παρέφρασεν εἰπὼν 'θεοῦ — ποτέ'.*

880

ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς·
πολλοὶ γὰρ ὠδύσαντο δυσμενεῖς ἐμοί.

Vita Soph. p. 131, 93 ed. Westerm.: *παρετυμολογεῖ δὲ* (Sophocles) *καθ' Ὅμηρον καὶ τοὔνομα τοῦ Ὀδυσσέως 'ὀρθῶς — ἐμοί'.*

v. 1 *ἐπώνυμος κακῶν* Blaydes Soph. Ai. 430 p. 319. v. 2 *ὠδύσαντο*] *ὠδύσσαντο* et *ὀδύσσαντο* al. *δυσσεβεῖς* vulgo, *δυσμενεῖς* scripsi. Niptris locum adscribit Brunck, Phaeacibus Welcker.

881

ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον,
τὰ πρῶτα μὲν σχολαῖον, εἶτα δ' εὔτονον

Zenobius 2, 65: *Βοιώτιος νόμος· ἐπὶ τῶν τὰς μὲν* (*μὲν* om. S) *ἀρχὰς ἠρεμούντων, ὕστερον δὲ τοῖς κακοῖς* (*τοῖς κακοῖς* om. S) *ἐπιτεινόντων, ὥς φησι* (*ὥς φησι* om. S) *Σοφοκλῆς* '*ὅταν — νόμον*' (v. 1). v. 1 *ἀείδῃ* S. v. 2 accessit ex S (cod. Paris. suppl. gr. 676, cf. L. Cohn *Zu den Paroemiogr.* in *Breslauer philol. Abhandl.* II, 2 p. 70). *εἶτα δ' εὔτονον* Gomperz *Nachl.* p. 17, *εὔτονος ἀεί* S.

882

ἄβρωτος

Pollux 6, 39: *ἄβρωτος δὲ ὁ νῆστις παρὰ Σοφοκλεῖ, καὶ ἀβρωσία ἡ ἀσιτία. ἀβρώς* videtur esse corrigendum cum Cobeto Mnem. 8 p. 244.

883

ἀγάζεις

Anecd. Bekk. p. 336, 6: *ἀγάζεις· ἀντὶ τοῦ θρασύνεις. Σοφοκλῆς.*

884

ἀγάμητος

Anecd. Bekk. p. 336, 7: *ἀγάμετος· ἀντὶ τοῦ ἄγαμος. Σοφοκλῆς.* recte *ἀγάμητος* sive e coniectura sive e codice edidit Brunck. cf. Hesych. 1 p. 13: *ἀγάμητος· ἄγαμος ἄβυξ*, ubi *ἄζυξ* coni. Salmasius, ⟨*Σοφοκλῆς*⟩ *Ἀμύκῳ* M. Schmidt.

885

ἀγάσματα

Anecd. Bekk. p. 325, 22 et Suidas: *ἀγάσματα· σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.* Hesych. 1 p. 14: *ἀγάσματα· σεβάσματα.* Sophocles fortasse non *ἀγάσματα* dixit, sed *ἀγαστά.*

886

ἄγχαζε

Anecd. Bekk. p. 340, 22: *ἄγχαζε· ἀντὶ τοῦ ἀναχώρει. οὕτω Σοφοκλῆς.* Hesychius 1 p. 35: *ἄγχαζε· ἀναχώρει.*

887

ἀγωγεύς

Photius Lex. p. 6, 23 et Anecd. Bekk. p. 340, 26: *ἀγωγεύς· ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. οὕτω Σοφοκλῆς.* Hesych. 1 p. 38: *ἀγωγεύς· ὁ ἱμάς.*

888

ἀγωνοθήκη

Pollux 3, 141: *Σοφοκλῆς δὲ τὴν ἀγωνοθεσίαν ἀγωνοθήκην μοχθηρῶς ἐκάλεσεν.*

889

ἀδηφαγοῦσα

Phot. Lex. p. 9, 22: *ἀδηφάγοι· ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο — ἔφη δὲ καὶ ἀδηφαγοῦσα Σοφοκλῆς.* scripserim *ἔφη δὲ καὶ ἀδηφάγον νόσον Σοφοκλῆς* cum Nabero coll. Phil. 313.

890

ἀδικόχειρας

Anecd. Bekk. p. 343, 11: *ἀδικότροπος ἐρεῖς καὶ ἀδικοχρήματος, ὡς Κράτης, καὶ ἀδικόχειρας, ὡς Σοφοκλῆς.*

891

ἀδρέπανον

Hesych. 1 p. 48: *ἀδρέπανον· [ἄδρεπτον] θεοῖς ἀνακείμενον. Σοφοκλῆς.* suspectum mihi est *ἄδρεπτον.* fortasse spectatur Trach. 200: *ὦ Ζεῦ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις,* ubi conicere possis *ἀδρέπανον λειμῶν' ἔχων,* nisi vero Hesychii glossa exuit genuinam formam, *⟨ἄτομον·⟩ ἀδρέπανον, θεοῖς ἀνακείμενον.*

892

ἀδρῦναι

Anecd. Bekk. p. 345, 13: *ἀδρῦναι· ἀδρὸν καὶ μέγα ποιῆσαι. Σοφοκλῆς.*

893

ἄζειν

Anecd. Bekk. p. 348, 17: *ἄζειν· τὸ στένειν. Σοφοκλῆς.* Hesych. 1 p. 58: *ἄζειν· στενάζειν ἢ ἐκπνεῖν διὰ στόματος.* eadem forma usus videtur Euripides Phoen. 1551.

894

Ἀζησία

Anecd. Bekk. p. 348, 26: *Ἀζησία· οὕτως ἡ Δημήτηρ παρὰ Σοφοκλεῖ καλεῖται. οἱ δὲ τὴν εὐτραφῆ.* Hesych. 1 p. 59: *Ἀζησία· ἡ Δημήτηρ, ἀπὸ τοῦ ἀζαίνειν τοὺς καρπούς.* Suid.: *Ἀζησία ἡ Κόρη, Ἀμαία δὲ ἡ Δημήτηρ.* Zenob. 4, 20: *ἱστορεῖ Δίδυμος ὅτι Ἀμαία μὲν ἡ Δημήτηρ παρὰ Τροιζηνίοις προσαγορεύεται, Ἀζησία δὲ ἡ Κόρη.* corruptum esse *Ἀζησία* ex *Αὐξησία* coni. C. O. Mueller Aeginet. p. 171.

895

ἀθαυμάστως

Anecd. Bekk. p. 353, 4: *ἀθαυμάστως Σοφοκλῆς εἶπεν.*

896

Αἰαντία

Stephanus Byz. p. 37, 13: *Αἰανῖτις, Ναβαταίων χώρα — τὸ ἐθνικὸν Αἰανῖται — Σοφοκλῆς δὲ Αἰαντία γράφει δίχα τοῦ Ν.* scribendum esse *δίχα τοῦ Ι* coni. Gronovius et Westermann, ille *Ἀανῖτιν*, hic *Αἰαντίς* ex Sophocle afferri ratus.

897

αἱματῶσαι

Anecd. Bekk. p. 360, 18: *αἱματῶσαι· ἀντὶ τοῦ φονεῦσαι. Σοφοκλῆς.*

898

ἀκαιρία

Anecd. Bekk. p. 367, 15: *ἀκληρία· ἀντὶ τοῦ ἀτυχία. οὕτω Σοφοκλῆς.* scribendum esse *ἀκαιρία* vidit F. G. Schmidt *Krit Stud.* 1 p. 282, qui attulit Demosth. 1, 24.

899

ἀκολουθία

Anecd. Bekk. p. 367, 32: *ἀκολουθία· ἡ ἀκολούθησις. Σοφοκλῆς.*

900

ἀκουσείων

Anecd. Bekk. p. 369, 13: *ἀκουσείων ἀντὶ τοῦ ἀκουσόμενος. Σοφοκλῆς.* cf. p. 372, 14: *ἀκουσέτην* (*ἀκουσείειν* Dobree) *Σοφοκλῆς ἔφη, ἀκούσεσθαι* (*ἀκουσείεσθαι* L. Sternbach *Wiener Studien* 8 p. 233) *δὲ Ἀριστοφάνης.* Hesych. 1 p. 103: *ἀκουστιῶν* (*ἀκουσείων* Fix)· *ἀκουστικῶς ἔχων.*

901

ἀκροφύσιον

Anecd. Bekk. p. 373, 15: ἀκροφύσιον· τὸ τῇ χώνῃ προστιθέμενον. Σοφοκλῆς. Hesych. 1 p. 107: ἀκροφύσια· τὰ ἄκρα τῶν ἀσκῶν, ἐν οἷς οἱ χαλκεῖς τὸ πῦρ ἐκφυσῶσιν.

902

ἀλεύσω

Anecd. Bekk. p. 383, 4: ἀλεύσω· ἀντὶ τοῦ φυλάξω. Σοφοκλῆς. cf. quae attulit Blaydes in Soph. Ai. 656.

903

ἀλίβας

Hesych. 1 p. 121: ἀλίβας· νεκρός, ἢ βροῦχος (ἢ βρῦτος coni. M. Schmidt), ἢ ποταμὸς (ἐν Ἅιδου addunt Anecd. Bekk. p. 376, 21 Suid. v. ἀλίβας Eust. Od. p. 1679, 32), ἢ ὄρος. p. 132: Ἀλύβας· ὄρος. παρὰ Σοφοκλεῖ. ἢ πόλις. οἱ δὲ λίμνη ἐν Ἰταλίᾳ καὶ ἐν Τροίᾳ, ubi ἢ πόλις ἐν Ἰταλίᾳ scripsit M. Schmidt, qui extrema verba καὶ ἐν Τροίᾳ errori deberi suspicatur. cf. fr. 722 et Ellendtii Lex. Soph. vol. 1 p. 68.

904

ἀλίνουσιν

Anecd. Bekk. p. 383, 11: ἀλίνουσιν· ἀντὶ τοῦ λεπτύνουσι. Σοφοκλῆς.

905

ἀλκάθω

Anecd. Bekk. 383, 31: ἀλκάθω καὶ ἀλκάθειν· Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν.

906

ἀλλάχθητε

Anecd. Bekk. p. 376, 31 et Suidas (cf. Zon. Lex. p. 134): ἀλλάχθητε· ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς.

907

Ἀλούσιοι

Stephanus Byz. p. 78, 6: Ἅλος, πόλις Ἀχαΐας — τὸ ἐθνικὸν Ἀλεύς, Σοφοκλῆς δὲ Ἀλουσίους, τινὲς δὲ τῶν γλωσσογράφων Ἀλίους. eadem fere Etym. Voss. p. 189 E Gaisf. ex iis quae de urbe narrantur, probabile est Ἀλουσίων mentionem ex Athamante esse derivatam.

908

ἀμύνασθαι

Suid.: *ἀμύνασθαι· Θουκυδίδης μὲν ἀντὶ τοῦ ἀμείβεσθαι, — Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι.* fortasse respicitur Oed. C. 873: *ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι.*

909

ἀμυχνόν

Suid.: *ἀμυχνόν· τὸ μὴ μυσαρὸν ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. γράφεται δὲ καὶ ἀμυχρόν.* supra Suidas: *ἀμυγνόν — οὕτω Σοφοκλῆς.* probabile est quod coniecerunt, Sophoclem scripsisse *ἀμυσχρόν.*

910

ἀμφώβολα

Eust. Od. p. 1405, 30: *καὶ ἀμφώβολα, φασί, παρὰ Σοφοκλεῖ αἱ διὰ σπλάγχνων μαντεῖαι.* cf. Hesych. 1 p. 166: *ἀμφώβολα* (*ἀμφόβολα* cod. invito literarum ordine)· *ἡ διὰ τῶν σπλάγχνων μαντεία.* grammatici isti quae tradunt mihi videntur incredibilia.

911

Ἀνακτόριος

Stephanus Byz. p. 92, 16: *Ἀνακτόριον* (*Ἀνακτόρειον* cod. R) *Ἀκαρνανίας πόλις — ἀρσενικῶς παρὰ Σοφοκλεῖ.*

912

ἀναστρέφων

Hesych. 1 p. 184: *ἀναστρέφων· ἀρνούμενος. Σοφοκλῆς.*

913

ἀναψύχουσα

Hesych. 1 p. 186: *ἀναψύχουσα· ξηραίνουσα, ῥιπίζουσα. Σοφοκλῆς.*

914

ἀνόσητος

Pollux 3, 107: *τὸν δὲ ἄνοσον καὶ ἀνόσητον Σοφοκλῆς.*

915

ἀπαιόλημα

Hesych. 1 p. 224: *ἀπαιόλημα· ἀποκάθαρμα ἢ ἀπάτημα* (*ἀποπάτημα* cod.) *ἢ ἀποπλάνημα. Σοφοκλῆς.* Anecd. Bekk. p. 419, 13: *ἀπαιόλημα· ἀποπλάνημα, ἀποκάθαρμα, ἢ θεόν τινα ἀπατητικόν.* Eust. Il. p. 352, 36: *ἀπαιόλημα τὸ ἀποπλάνημα καὶ ἀποκάθαρμα.*

916

ἀπάνθρωπος

Hesych. 1 p. 226: ἀπάνθρωπος· σκληρός, ἀνόητος, ἄφρων, ἀνελεήμων. Σοφοκλῆς ἀπανί···. sic codex: in extremis fuerunt qui fabulae nomen inesse putarent, parum probabiliter.

917

ἀπολωπίσαι

Pollux 7, 44: ἀποδῦσαι καὶ ἀπολωπίσαι, ὡς Σοφοκλῆς, καὶ περιλωπίσαι. fortasse ἐκλωπίσαι scribendum: certe ἐκ δ' ἐλώπισεν πλευράν dixit Soph. Trach. 925.

918

ἀπόμορφα

Anecd. Bekk. p. 432, 6: ἀπόμορφα· ξένα, οὐκ ἐοικότα τοῖς ἤθεσιν. οὕτω Σοφοκλῆς.

919

ἀποφανῶ σε

Anecd. Bekk. p. 439, 10: ἀποφανῶσαι· εἰς τὸ φανερὸν καταστῆσαι. οὕτω Σοφοκλῆς. scribendum esse ἀποφανῶ σε· εἰς τὸ φανερὸν καταστήσω probabiliter coni. Contus (cf. Pappageorgii *Beitr. zur Erkl. u. Kritik des Soph.* 1 p. 40). alii ad fr. 71 hanc glossam referri volunt.

920

Ἀργειφόντης

Anecd. Paris. vol. 4 p. 60, 21: Ἀργειφόντης· ὁ Ἑρμῆς παρ' Ὁμήρῳ καὶ παρὰ Σοφοκλεῖ. cf. locum corruptum Etym. Gud. p. 72, 53 et quae ex Etym. Sorb. attulit Gaisford Schol. ad Hesiodum p. 84.

921

ἄρταμος

Anecd. Bekk. p. 447, 5: ἄρταμος· κρεουργός, μάγειρος. τάττει, αὐτὸ Σοφοκλῆς ἐπὶ τοῦ φονέως. hinc adesp. fr. 148 Sophoclis esse coni. Gaisford.

922

ἀτιμαγέλας

Anecd. Bekk. p. 459, 31: ἀτιμαγέλης· ὁ ἀποστάτης τῆς ἀγέλης ταῦρος. οὕτω Σοφοκλῆς. Hesych. 1 p. 314: ἀτιμαγέλας· ὁ ἀτιμάζων (malim ὁ μονάζων) καὶ τῇ ἀγέλῃ μὴ συνυποταττόμενος.

923

αὐλῶπιν

Hesych. 1 p. 323: *αὐλῶπιν· αὐλοὺς ἔχουσαν. Σοφοκλῆς δὲ τὴν λόγχην τὴν μακρὰν αὐλῶπιν εἶπεν.* verba *Σοφοκλῆς — εἶπεν*, quae in codice ad *αὐλῶνες* glossam (p. 322) aberrarunt, cum D. Heinsio huc retraxit M. Schmidt.

924

αὐτόν

Anecd. Bekk. p. 467, 28: *αὐτόν· Σοφοκλῆς ἀντὶ τοῦ ἐμαυτόν, καὶ Λυσίας ἐν τῷ κατ' Ἰφικράτους καὶ πολλοὶ ἄλλοι.* ad Oed. C. 966: *ἐπεὶ καθ' αὐτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ ἁμαρτίας ὄνειδος*, haec refert Meineke.

925

αὐτόπαιδα

Anecd. Bekk. p. 467, 15: *αὐτόπαιδα· αὐτὸν τρόπῳ τινὶ παῖδα ὄντα. οὕτω Σοφοκλῆς.* eadem omissis *οὕτω Σοφοκλῆς* verbis Hesych. 1 p. 328. ex Phaedra Sophoclis derivatam hanc formam arbitror, v. fr. 629.

926

ἀχανές

Phryn. Bekk. p. 28, 27: *ἀχανές· τὸ μὴ ἔχον στέγην ἢ ὄροφον. ἐπὶ τοῦ λαβυρίνθου. Σοφοκλῆς.*

927

ἀχείρωτον

Pollux 2, 154: *ἀχείρωτον δὲ Σοφοκλῆς εἴρηκε τὸ ἀχειρούργητον, δυσχείρωτα δὲ Δημοσθένης.* incertum est num spectarit Pollux Oed. C. 698: *φύτευμ' ἀχήρητον αὐτόποιον*, ubi *ἀχείρωτον* praebent deteriores libri, requiritur vero *ἀγήρατον*. interpretatio Pollucis utique perversa est, nec magis verum quod tradunt Anecd. Bekk. p. 474, 4 et Suid.: *ἀχείρωτον· ἄμωμον.*

928

βαίτη

Pollux 7, 70: *ἡ δὲ βαίτη ἔστι μὲν προμήκης χιτών, οὕτω δὲ Σοφοκλῆς καὶ τὰς σκηνὰς τὰς βαρβαρικὰς καλεῖ.* Hesych. 1 p. 353: *βαίτη — ἔνιοι δὲ σκηνὴν δερματίνην.*

929

βάκκαρις

Ath. XV p. 690 C: *μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς.*

930

βάσανος

Harpocr. p. 43, 11: *βάσανος· λίθος ἐστὶν ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν καὶ Πίνδαρος καὶ Σοφοκλῆς.* sic codex Palat. et Suidas v. *βάσανος*.

931

βάσκανος

Hesych. 1 p. 362: *βάσκανος· φθονερός — Σοφοκλῆς δὲ ἰδίως τὸ βάσκανον* (l. *βάσκανος*) *ἐπὶ τοῦ* (*ἔπειτα* cod.) *ἀχάριστος*.

932

βοῦκλεψ

Ath. IX p. 409 C (cf. Eust. Od. p. 1401, 15, qui verba *παρὰ Σοφοκλεῖ Ἑρμῆς* omisit): *τέτριμμαι οἰκότριψ, κέκλεμμαι* (*κέκλαμμαι* A, corr. C) *βοοικλεψ παρὰ Σοφοκλεῖ Ἑρμῆς. βοοικλεψ* Athenaei A, *βοόκλεψ* C Eust., *βοίκλεψ* Musurus, *βοῦκλεψ* Dindorf.

933

βωλόναι

Hesych. 1 p. 408: *βωλόναι· οἱ μὲν κολώνας, οἱ δὲ τὸ Κίλλαιον ἀκούουσι, διὰ τὸ ἀνακεχῶσθαι, παρὰ Σοφοκλεῖ.*

934

Γένης

Steph. Byz. p. 202, 14: *Γενήτης, λιμὴν καὶ ποταμὸς* (*Καππαδοκίας* addit Meineke). *Ἀπολλώνιος ἄκραν Γενηταίαν φησί. Σοφοκλῆς ποταμὸν Γένητα φησίν.* cf. Schol. Apoll. Rh. 2, 378 et Lentz Herodiani reliq. I p. CCXXIV.

935

γλοιάς

Hesych. 1 p. 434: *γλοίας· ἡ κακοήθης ἵππος καὶ πολυδίκ* (*πολὺ δεικνύουσα τὸ θάρσος* coni. Meineke) *παρὰ Σοφοκλεῖ. καὶ γλοίης τὸ αὐτό.* cf. Dindorf Lex. Soph. p. 101.

936

γνώμων

Hesych. 1 p. 438: *γνώμων· συνετός. Σοφοκλῆς.* non videtur spectari Phil. 910, ubi *κακὸς γνώμων* restituit Naber Mnem. nov. 9 p. 240.

937

δενδίλλειν

Schol. Apoll. Rhod. 3, 281 de verbo *δενδίλλειν*: *Σοφοκλῆς δὲ ἐπὶ τοῦ περιβλέπειν τέθεικε τὴν λέξιν.*

938

δεσπότειρα

Pollux 3, 73: *δέσποινα δεσπόζουσα — οὐ γὰρ προσίεμαι τὴν Σοφοκλέους δεσπότειραν ἢ τὴν Εὐριπίδου δεσπότιν.*

939

διωκτός

Pollux 9, 158: *ὁ ἀνὴρ φυγάς, ἐξόριστος — τραγικὸς* (l. *τραγικὸν*) *γὰρ ὁ παρὰ Σοφοκλεῖ διωκτός.*

940

ἐνεκότουν

Hesych. 2 p. 9: *ἐγκουράδες — Αἰσχύλος Μυρμιδόσιν. εἰ μὴ ἄρα ἰσοδυναμεῖ τῷ* (*ὡς* cod.) *κότῳ. καὶ ἐνεκότουν παρὰ Σοφοκλεῖ.* verba loco suo mota probabiliter ad gl. *ἐγκότημα* relata sunt.

941

ἔλυτρα

Etym. M. p. 333, 41: *ἔλυτρον — ἡ θήκη τοῦ τόξου. καὶ πληθυντικῶς Σοφοκλῆς ἔλυτρα.*

942

ἐνόλμιος

Etym. M. p. 344, 40: *ἐνολμίς· ἦν τι γένος μάντεων οὕτω καλούμενον — ὁ δὲ Σοφοκλῆς ἐνόλμιος.* pro extremis verbis Etym. Flor. Milleri p. 114 praebet *ὁ δὲ Σοφοκλῆς ἐνολμιν τὸν Ἀπόλλωνα λέγει.* Zenobius 3, 63: *καὶ Ἀπόλλων ὑπὸ Σοφοκλέους ἔνολμος.*

943

ἔξπηχυ

Etym. M. p. 346, 16: *Ἀττικῶς μὲν ἔξπουν καὶ ἔξκλινον λέγεται ὥσπερ καὶ παρὰ τῷ Σοφοκλεῖ ἐξπηχυστί* (*ἔξπηχυς* cod. V), *καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ ἔξπουν.* scripsi *ἔξπηχυ* auctore Dindorfio.

944

ἔπηλις

Eust. Od. p. 1562, 38: *καὶ ἔπηλις ἡ ἐπὶ τοῦ προσώπου μελανία, καὶ τὸ πῶμα τῆς λάρνακος, ὡς φασὶν οἱ παλαιοὶ κατὰ τὸν Σοφοκλῆν. ἡ δ' αὐτὴ καὶ ἔφηλις κοινῶς.* cf. Hesych. 2 p. 146: *ἔπηλις· τὸ πῶμα τῆς λάρνακος.*

945

ἐπιστατεῖν

Pollux 3, 145: *ὅθεν καὶ τὸ βραβεύειν ἐπιστατεῖν Σοφοκλῆς.*

946

εὐορνιθίαν

Photius Lex. p. 37, 9: *εὐορνιθίαν. Σοφοκλῆς ἐπὶ οἰωνῶν.* Eust. Od. p. 1439, 34: *καὶ εὐορνιθία κατὰ τοὺς παλαιοὺς παρὰ Σοφοκλεῖ τὸ ἀγαθὸν οἰώνισμα.*

947

εὐτύχεια

Etym. M. p. 462, 24: *εὐτυχία· εὕρηται καὶ εὐτύχεια παρὰ Σοφοκλεῖ.*

948

ἡμίκακον

Pollux 6, 161: *ἐκ δὲ τοῦ HMI τάδε τὰ ὀνόματα. ἡμιμανής, ἡμιμαθής, ἡμιπλήρωτον — καὶ ἡμίκακον δὲ Εὐκλείδης λέγει καὶ Σοφοκλῆς.*

949

θαλαμιός

Etym. M. p. 441, 24: *θαλαμίδιοι κῶπαι· αἱ ἠρέμα ἐλαύνουσαι. ὁ κατώτατος ἐρέτης θάμος* (*θάμιος* cod. M, *θαλάμιος* Sylburg) *λέγεται, ὁ δὲ μέσος ζύγιος, ὁ δὲ ἀνώτατος θρανίτης.* ubi *Σοφοκλῆς* post *λέγεται* addunt DPM. scripsi *θαλαμιός* ex Arcad. p. 40, 13.

950

θήλεια

Etym. M. p. 450, 50: *θήλεια — παρὰ τὸ θάλλειν καὶ γεννᾶν· ὅθεν καὶ ἡ ὑπομβρος νὺξ παρὰ Σοφοκλεῖ θήλεια καλεῖται.* eadem omissis verbis *παρὰ Σοφοκλεῖ* Zon. Lex. p. 1042. similiter Etym. Gud. p. 261, 25. ubi pro *νύξ* legitur *νῦν* et additur *διὰ τὸ θάλλειν ἐν αὐτῷ τοὺς καρπούς.*

951

θήλυδος

Choerob. in Theod. p. 219, 5 (Anecd. Bekk. p. 1381): *τὸ θήλυδος παρὰ Σοφοκλεῖ κλιθὲν διὰ τοῦ ΔΟΣ ἡμάρτηται.*

952

ἐθράχθη

Anecd. Bekk. p. 352, 16: *ἄθρακτος· ἀτάραχος. καὶ τὸ συνεχύθη ἐθράχθη Σοφοκλῆς λέγει.*

953

ἴδριδα

Etym. M. p. 42, 41: *ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ πολυΐδριδι, καὶ παρὰ Σοφοκλεῖ ἴδριδα* (*πολυΐδριδα* vitiose Etym. Flor. Milleri p. 16), *καὶ παρὰ Φρυνίχῳ ἴδριδες.* quae derivata sunt ex Schol. A Il. Γ 219: *ὁ γὰρ Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικὴν ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες.* cf. Eust. Il. p. 407, 38: *οὐ γάρ ἐστιν οὐδὲ τὸ ἄιδρις παρώνυμον μακροπαράληκτον, ἵνα διὰ τοῦ Δ κλίνηται· ὥστε — ἁμαρτάνει Σαπφὼ καὶ Σοφοκλῆς καὶ Φρύνιχος διὰ τοῦ Δ κλίνοντες.* legitimam formam *ἴδριες* habemus Trach. 649.

954

ἱπποβουκόλοι

Pollux 7, 185: *ἱπποφορβοὶ ἱπποφορβία, καὶ ὡς Σοφοκλῆς ἱπποβουκόλοι, ἱπποφορβεῖς.* in poetae nomine grammaticus videtur errasse; certe *ἱπποβουκόλοι* dixit Eur. Phoen. 28.

955

κέκονα

Etym. M. p. 500, 55: *κέκονα παρὰ Σοφοκλεῖ, ἀπὸ τοῦ κτείνω.* cf. quae dixit de hac perfecti forma Cobet V. L. p. 322.

956

καῦρος

Phot. Lex. p. 151, 14: *καῦρος* (*καυρός* cod.)· *κακός. οὕτως Σοφοκλῆς.* Hesych. 2 p. 451: *καῦρος· κακός.* fortasse respicitur locus Soph. Trach. 958: *μὴ ταρβαλέα θάνοιμι μοῦνον εἰσιδοῦσ᾽ ἄφαρ*, ubi *μοῦνον* corruptum, Scholia *κακῶς διακείμενον*, videtur *καῦρον* legendum.

957

Κερβέριος

Etym. M. p. 513, 45: *Κιμμερίους — γράφεται δὲ καὶ Κερβερίων* (*κερβερί* [ω] F, *κερμερίων* M)· *καὶ ἔοικε καὶ Σοφοκλῆς περιπεπτωκέναι τῇ τοιαύτῃ γραφῇ.* cf. Schol. PV Od. λ 14: *Κιμμερίων — ἔνιοι δὲ γράφουσι χειμερίων· οἱ δὲ Κερβερίων, ὡς Κράτης.*

958

κινάκης

Etym. M. p. 514, 27: *κινάκης· ἀκινάκης* (*κινάκης* addunt DFM) *παρὰ Σοφοκλεῖ.*

959

λαπίζειν

Eust. Od. p. 1761, 27: *λέγει δὲ καὶ* (sc. *Ἀριστοφάνης ὁ γρ.*) *λαπίζειν παρὰ Σοφοκλεῖ τὸ συρίζειν* (*τὸ ὑβρίζειν* olim conieci). Aristoph. Milleri *Mél. de litt. gr.* p. 427: *λαπύζειν· τὸ συρίζειν.* Phot. Lex. p. 208, 2: *λαπίττειν* (*λαπήττειν* cod.)· *τὸ ψεύδεσθαι καὶ ἀλαζονεύεσθαι.* Hesych. 3 p. 13: *λαπίζει· γαυροῦται.*

960

ληκυθιστής

Phot. Lex. p. 219, 25 et Suidas: *ληκυθιστής· ὁ μικρόφωνος. οὕτως Σοφοκλῆς.* ubi *μακρόφωνος* coni. Meineke. Hesych. 3 p. 34: *ληκυθιστής· κοιλόφωνος.*

961

λίβανος

Phryn. Ecl. p. 187: *λίβανον λέγε τὸ δένδρον, τὸ δὲ θυμιώμενον λιβανωτόν, εἰ καὶ διὰ τὴν ποιητικὴν* (*ἄδειαν* add. Lobeck) *λίβανον καὶ τοῦτο Σοφοκλῆς λέγει.*

962

λιτροσκόπους

Phot. Lex. p. 227, 19 et Anecd. Bachm. vol. 1 p. 291, 20: *λίτρα — Σοφοκλῆς δὲ λιτροσκόπον φησὶ τὸν ἀργυραμοιβὸν ἀπὸ* (*ἐπὶ* Anecd. Bachm.) *τοῦ νομίσματος.* Hesych. 3 p. 45: *λιτροσκόπους· ἀργυραμοιβούς, ἀπὸ τοῦ Σικελικοῦ νομίσματος, ὃ καλεῖται λίτρα.*

963

Μαγνῆτις

Stephanus Byz. p. 425, 3: *Μαγνησία, πόλις παρὰ τῷ Μαιάνδρῳ καὶ χώρα — ὁ πολίτης Μάγνης — τὸ θηλυκὸν Μάγνησσα — καὶ Μαγνῆτις παρὰ Σοφοκλεῖ.*

964

μαριλοκαυτῶν

Phot. Lex. p. 247, 17: *μαρίλη* (*μαρεινη* cod.)· *ἡ μεμαρασμένη ὕλη, καὶ* ⟨*μαριλοκαύτας*⟩ *τοὺς ἀνθρακευτάς. Σοφοκλῆς.* ubi *μαριλοκαύτας* supplevit Naber ex Hesych. 3 p. 72: *μαριλοκαυτῶν· ἀνθρακευτῶν· μαρίλη γὰρ τὸ ἀπόψημα τῶν ἀνθράκων.*

965

μελλόποσις

Pollux 3, 45: *βέλτιον δέ, ὡς Σοφοκλῆς ὠνόμασεν, τῆς μελλογάμου. ταύτην δὲ καὶ τᾶλιν καλεῖ — μελλόποσιν δὲ τὸν ἄνδρα ὠνόμασεν.* Hesych. 3 p. 88: *μελλέποσις· ὁ μέλλων ἀνὴρ γίνεσθαι.*

966

μῆλον

Eust. Il. p. 877, 59: *Σοφοκλῆς δέ, φησί* (sc. *Ἀριστοφάνης ὁ γρ.*), *δόξειεν ἄν που καὶ τὰ θηρία πάντα μῆλα καλεῖν· τὸν γοῦν Ἀχιλλέα τραφῆναι φησὶν ἐν τῷ Πηλίῳ πᾶν μῆλον θηρῶντα.* similiter Eust. Od. p. 1648 sq.

967

μήτηρ

Pollux 3, 10: *μήτηρ ἡ τεκοῦσα — ἡ μαστὸν ἐπισχοῦσα ὡς Σοφοκλῆς, ἡ θηλάσασα.*

968

μυνδός

Etym. M. p. 595, 1 (cf. Etym. Gud. p. 400, 35): *μύνδος* (*μύνδιος* Sorb.) *ἰχθῦς, Σοφοκλῆς, ὁ μὴ αὐδῶν. ὅθεν καὶ ἔλλοψ ἀπὸ τοῦ ἐλλιπῆ τὴν ὄπα ἔχειν.* in codice F legitur *μῦνδος ὁ μὴ αὐδῶν, Σοφοκλῆς μῦνδος ἰχθύς*, nec plura. oxytonon istud adiectivum esse iubet Herodianus (v. Arcad. p. 48, 11 et Steph. Byz. p. 157, 5). Etymologici testimonio nixus in Soph. fr. 695, 1 *χορὸς δὲ μύνδων ἰχθύων* coni. Bergk, potius Etym. correctione indigere arbitratur I. van Leeuwen de Aiacis Soph. authentia et integr. p. 105 sq. fortasse *Σοφοκλῆς* nomen in Etym. *ἔλλοψ* nomini adscriptum est a lectore cui Ai. 1297 obversaretur. *μυνδότεροι νεπόδων* dixit Callim. fr. 260.

969

ξάσμα

Pollux 7, 30: *καταξῆναι Πλάτων ὁ κωμικός, ὁ δὲ φιλόσοφος Πλάτων καὶ τέχνην ξαντικήν, Σοφοκλῆς δὲ ξάσμα.* Trach. 838 *ξάσματι* scribi voluit Dindorf in Soph. ed. Lips. quart. p. LXI.

970

ξυνῶνα

Phot. Lex. p. 312, 22: *ξυνῶνα· τὸν κοινωνόν. Σοφοκλῆς.*

971

ὀκριάζων

Phot. Lex. p. 326, 13: *ὀκριάζων· τραχυνόμενος. Σοφοκλῆς.* eadem omisso Sophoclis nomine Hesych. 3 p. 193. vitiosa scriptura deceptus est Theognostus p. 23, 25: *οἰριάζων, τραχυνόμενος*, quem locum indicavit M. Schmidt.

972

ὁλοσπάδες

Phot. Lex. p. 329, 15: *ὁλοσπάδες· ὅλαι καταπινόμεναι καὶ κατασπώμεναι. Σοφοκλῆς.* Hesych. 3 p. 199: *ὁλοσπαδεῖς· ὅλαι κατασπώμεναι καὶ καταπινόμεναι.*

973

ὀρθόφρων

Phot. Lex. p. 346, 23: *ὀρθόφρων· ἀνατεταμένος καὶ μετέωρος ταῖς φρεσίν. οὕτως Σοφοκλῆς.* similiter om. Sophoclis nomine Hesych. 3 p. 219.

974

οὐράν

Phot. Lex. p. 361, 16: *οὐράν· αἰδοῖον. Σοφοκλῆς.* Hesych. 3 p. 241: *οὐρά· ἡ κέρκος, καὶ τὸ αἰδοῖον.*

975

ὄφελμα

Phot. Lex. p. 363, 19: *ὄφελμα· αὔξημα. Σοφοκλῆς.* omittit Sophoclis nomen Hesychius 3 p. 246.

976

πέλλυτρα

Pollux 10, 50: *πέλλυτρα· οὕτω γὰρ τὰ ποδεῖα Σοφοκλῆς καλεῖ.* volebat opinor *Αἰσχύλος*, cuius vide fr. 259.

977

πεσσεία

Pollux 7, 203: *κυβεία — πεττεία ἢ πεσσεία, ὡς Σοφοκλῆς.*

978

προσσαίνειν

Phryn. Bekk. p. 21, 27: *αἰκάλλοντες· σημαίνει τὸ σαίνοντες, ὅπερ οἱ κύνες ποιοῦσιν. ὁ μέντοι Σοφοκλῆς καὶ προσσαίνειν.*

979

πτέρυγας

Phot. Lex. p. 470, 3: πτέρυγας· τὰ πηδάλια. Σοφοκλῆς. Hesych. 3 p. 403: πτέρυγες· εὐθυντῆρες, τὰ πηδάλια.

980

πτύον

Eust. Il. p. 948, 20: πτέον οἱ ἄλλοι, πτύον δὲ Σοφοκλῆς. Hesych. 3 p. 405: πτύον· θρῖναξ, ξύλον ἐν ᾧ διαχωρίζουσι τὸν σῖτον ἀπὸ τοῦ ἀχύρου.

981

πύγαργος

Etym. M. p. 695, 49: πύγαργος· εἶδος ἀετοῦ — Σοφοκλῆς ἐπὶ τοῦ δειλοῦ (τὴν λέξιν ἔλαβεν addit V) ἀπὸ τῆς λευκῆς πυγῆς. similiter Schol. Lycophr. 91.

982

ῥᾶ

Strab. VIII p. 364: Σοφοκλῆς δὲ καὶ Ἴων τὸ ῥᾴδιον ῥᾴ (ῥᾶ A et Epit.), Ἐπίχαρμος δὲ τὸ λίαν λῖ. hinc Eust. Il. p. 295, 5: καὶ Σοφοκλῆς τὸ ῥᾴδιον ῥᾴ. potius ῥᾶ scribendum, quae forma ex Homerico ῥέα contracta est.

983

Ῥαικοί

Phot. Lex. p. 480, 15: Ῥαικούς· οἱ βάρβαροι τοὺς Ἕλληνας. Σοφοκλῆς τῇ λέξει κέχρηται. contra Eust. Il. p. 890, 14: τῶν Γραικῶν νίκην, οὓς ἡ μὲν συνήθεια καὶ Σοφοκλῆς δέ που κατὰ τοὺς παλαιοὺς καὶ ὁ Λυκόφρων δὲ διὰ τοῦ ἐν ἀρχῇ Γ προφέρουσιν ἐπὶ Ἑλλήνων, οἱ βάρβαροι δὲ Ῥαικοὺς φασὶ δίχα τοῦ Γ. cf. fr. 475 et quae attulit R. Schneider Bodl. p. 6 sq.

984

ῥαχία

Etym. Gud. p. 491, 3 sive Etym. M. p. 702, 54: παρὰ δὲ Σοφοκλεῖ ῥαχία λέγεται ἡ τοῦ ὄρους.

985

Ρειτά

Phot. Lex. p. 485, 10: Ῥειτά· ἐν Ἐλευσῖνι δύο ναμάτια φερόμενα ἐκ μιᾶς πηγῆς καλούμενα ῥειτά. οὕτως Σοφοκλῆς. ubi sequitur ῥειτῶν τόπος· ἱερῶν ῥευμάτων. quae Sophoclis verba esse coni. Wagner. Triptolemo locum adscribit Welcker. ceterum pro Ῥειτά alii Ῥεῖτοι vel Ῥῖτοι scripserunt, qua de re dixit M. Schmidt in Hesych. 3 p. 425.

986

ῥήτωρ

Phot. Lex. p. 488, 12 Anecd. Paris. vol. 4 p. 174, 25 Suidas: *ῥήτωρ· συνήγορος, δικολόγος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτής, παρὰ Σοφοκλεῖ.* similiter omisso Sophoclis nomine Hesych. 3 p. 428.

987

ῥικνός

Phot. Lex. p. 488, 22: *ῥικνός· ὁ πεφρικώς, παρὰ Σοφοκλεῖ.* Sophoclea esse verba Naber coniecit quae afferuntur ab Hesych. 3 p. 429: *ῥικνὴν ὄψιν· φρικτήν.*

988

σάγη

Apollon. Lex. Hom. p. 140, 2: *σάκος· ἀσπίς. ἀφ' οὗ καὶ οἱ νεώτεροι σακτὴν τὴν ὅλην πανοπλίαν λέγουσι, ὡς Σοφοκλῆς.* recte Villoison *σακτὴν* in *σάγην* mutavit. Hesychius 4 p. 2: *σάγη· ἡ ὅλη πανοπλία.*

989

σαλάμβη

Anecd. Bachm. vol. 1 p. 361, 20 et Phot. Lex. p. 497, 12: *σαλάβην· Σοφοκλῆς τὴν ὀπήν.* Phot. Lex. p. 497, 22: *σαλάμβη· ὀπή, καπνοδόκη. οὕτως Σοφοκλῆς.* Hesych. 4 p. 5: *σαλάμβη· ἡ ὀπή, δι' ἧς τὸ σέλας βαίνει. ἢ πύλη, καπνοδόχη, θυρίς.* eodem pertinet, id quod primus vidit M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 534, Eust. Od. p. 1908, 40: *σέλας οὐ μόνον πυρός, ἀλλὰ καὶ ἡλίου· ὅθεν παρὰ Σοφοκλεῖ ἡ ὀπή, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ, παρὰ τὸ σέλας, φασίν, ἐμβιβάζειν.* ubi post *Σοφοκλεῖ* (typothetae Romani, ut Dindorf opinatur, culpa) excidit *σαλάμβη.*

990

σίκλος

Phot. Lex. p. 511, 15 et Anecd. Bachm. vol. 1 p. 364, 9: *σίκλος* (*σίγλος* Anecd. Bachm.) — *σταθμὸς βαρβαρικὸς δυνάμενος ὀκτὼ ὀβολοὺς Ἀττικούς. οὕτως Σοφοκλῆς.* Xenophontis potius locum (Anab. 1, 5, 6) significari probabiliter statuunt Dindorf et Naber.

991

Σκόμβροι

Stephanus Byz. v. *Ἄβροι* p. 9, 15: *βαρύνεται δὲ ὡς Κίμβροι, οὓς τινες φασὶ Κιμμερίους, Σκόμβροι, καὶ οὗτοι ἔθνος, ὡς Σοφοκλῆς.*

Hesych. 4 p. 48: *Σκόμβροι· Θράκιον ἔθνος.* cf. Lentz in Herod. techn. reliq. I p. CCXXIV.

992

στιβαδοποιούμενος

Schol. Soph. Phil. 1108: *οὐ φορβὰν ἔτι προσφέρων] ἀντὶ τοῦ προσφερόμενος. ἐνίοτε δὲ ἔμπαλιν φησί· διακονούμενος ἀντὶ τοῦ διακονῶν, καὶ στιβαδοποιούμενος ἀντὶ τοῦ στιβαδοποιῶν. στιβάδα ποιούμενος* bene corrigit Burges in Soph. Phil. p. 114. neque improbarim quod G. Wolff de Soph. schol. Laur. p. 23 suspicatur, *διακονούμενος* ex Phil. 287 afferri, quamquam ibi *διακονεῖσθαι* legitur.

993

στομώδη

Pollux 2, 101: *στομώδη δὲ τὰ εὔστομα καὶ εὔφημα Σοφοκλῆς.*

994

στραβαλοκόμαν

Pollux 2, 23: *τὸν δὲ τοιοῦτον* (sc. *οὖλον τὰς τρίχας*) *στραβαλοκόμαν Σοφοκλῆς ὠνόμασεν.* Hesychius 4 p. 68: *σταβαλοκόμαν* (*στάβαλος κομᾶν* codex)· *οὐλοκόμην* (*οὐλόκομον* Cobet Coll. crit. p. 192). Hesych. 4 p. 83: *στραβαλοκομᾶν· οὐλοκομᾶν.* p. 86: *στροβαλοκομᾶς· οὐχ' ὁμᾶς*, ubi *στροβαλοκόμαις· οὐλοκόμαις* corrigit M. Schmidt.

995

Τεγεάς

Stephanus Byz. p. 610, 16: *Τεγέα, πόλις Ἀρκαδίας — ἔστι καὶ Τεγέα ἐν Κρήτῃ ὑπὸ Ταλθυβίου κτισθεῖσα. ὁ πολίτης Τεγεάτης ὡς Ἐλεάτης, καὶ θηλυκὸν Τεγεᾶτις — λέγεται καὶ Τεγεάς ὡς Ἰλιάς. ὀξύνεται. ὡς Σοφοκλῆς.* Meineke ad Aleadas refert, ubi mater Telephi *Τεγεάς* dicta fuerit.

996

τέως

Suidas: *τέως· ἀντὶ τοῦ πρὸ τοῦ — Σοφοκλῆς δὲ ἀντὶ τοῦ πρότερον ἢ πρὸ μικροῦ.* cf. fr. 220, 2.

997

τολύπας

Pollux 7, 32: *τὰς δὲ ὁλοστημόνους ταινίας τολύπας Σοφοκλῆς ὠνόμασεν.*

998

τροπαία

Anecd. Bachm. vol. 1 p. 390, 8 et Phot. Lex. p. 602, 6: *τριπαία* (*τρίπαια* Phot.)· *ἡ ἐναντία πνοή. οὕτως Σοφοκλῆς.* Etym. M. p. 766, 40: *τριπαῖα· ἡ ἐναντία πνοή. οὕτω Σοφοκλῆς εἴρηκε.* requiri *τροπαία* agnovit Brunck, cf. Lobeck Paral. p. 314.

999

Τυφῶ

Hesych. 4 p. 188: *Τυφῶ· ἀντὶ τοῦ Τυφῶνος. Σοφοκλῆς.* voluit fortasse *Αἰσχύλος* (cf. Sept. 517 Suppl. 560) vel *Ἀριστοφάνης* (Nub. 336).

1000

ὕπουλον

Eust. Od. p. 1496, 35: *ἀστείως δὲ καὶ Σοφοκλῆς ὃς λέγεται ὕπουλον εἰπεῖν τὸν δούρειον ἵππον.*

1001

ὑψαυχεῖν

Phryn. Bekk. p. 68, 4: *ὑψαυχεῖν. Σοφοκλῆς.* Hesych. 4 p. 223: *ὑψαυχεῖν· μεγαλαυχεῖν.* Phot. Lex. p. 635, 12 et Suid: *ὑψαυχεῖν· ὑψηλοφρονεῖν.*

1002

φαικῷ

Phot. Lex. p. 637, 1: *φαικω· ἀκμάζοντι καὶ λαμπρῷ. οὕτως Σοφοκλῆς.* Hesych. 4 p. 227: *φαικῷ· ἐνεργῷ, ἀκμάζοντι.*

1003

φαρκῖδα

Anecd. Bachm. vol. 1 p. 404, 1 et Phot. Lex. p. 640, 18: *φαρμακίδα· τὴν ἐκ τοῦ γήρως* (*γένους* Phot.) *ῥυτίδα. οὕτω Σοφοκλῆς.* recte *φαρκίδα* scripsit Brunck, nisi quod vitioso usus est accentu, quem correxit L. Dindorf in Thes.

1004

φαρμακῶνες

Hesych. 1 p. 332: *ἀφάρμακον χρῶμα Οἰδίποδος· ἄνευ ἄνθους. ἄνθη γὰρ τὰ φάρμακα. καὶ τὰ βαφεῖα φαρμακῶνας* (*φαρμακῶντας* cod.) *Σοφοκλῆς ἔφη.*

1005

Φθιῶτις

Strab. IX p. 433: *οὕτω καὶ Σοφοκλῆς τὴν Τραχῖνα Φθιῶτιν*

εἴρηκεν. Elmsley locum ad Phthiotides referebat; idem *Τραχῖνα* pro *Τραχινίαν* restituit.

1006

φίλανδρος

Hermog. Rhet. vol. 3 p. 324: *καὶ ὁ Σοφοκλῆς δὲ φίλανδρόν που τὴν Ἀταλάντην εἶπε διὰ τὸ ἀσπάζεσθαι σὺν ἀνδράσιν εἶναι.* ad Meleagrum rettulerim cum Brunckio.

1007

φιλόζωος

Anecd. Bekk. p. 347, 26: *Σοφοκλῆς δὲ τὴν εὐθεῖαν εἶπεν ἀείζως γενεά· ἀπὸ δὲ τῆς ζωός δισυλλάβου εὐθείας φιλόζωος εἶπεν.* item *φιλόζωοι* legitur in Eur. fr. 816, 6.

1008

χειμάμυνα

Anecd. Bachm. vol. 1 p. 415, 5: *χειμάμυνα· παρὰ Σοφοκλεῖ, ἡ* (*ἢ* cod.) *παρ' Ὁμήρῳ ἀλεξάνεμος.* cf. Aesch. fr. 449.

1009

χειροβοσκόν

Etym. Gud. p. 564, 25: *χειροβοσκός· ὁ διὰ χειρὸς ζῶν, ὡς φησὶ Σοφοκλῆς.* Pollux 7, 7: *τὸ γὰρ ἀποχειροβίωτος καὶ χειρῶναξ καὶ χειρογάστωρ καὶ χειροβοσκός καὶ χειροβάναυσος ἧττον ἄν τις προσοῖτο.* Hesych. 4 p. 278: *χειροβοσκόν* (*χειροβοσκῶν* cod.)· *τὸν διὰ χειρῶν ζῶντα.*

1010

χλωρανθείς

Suidas: *χλωρανθείς· ἀντὶ τοῦ χλωρὸς γενηθείς. οὕτω Σοφοκλῆς.*

1011

χνοῦς

Herod. *π. μον. λέξ.* p. 14, 25: *τὰ εἰς ΟΥΣ λήγοντα ὀνόματα μονοσύλλαβα ἀρσενικὰ πέφυκεν εἶναι — Γλοῦς ὁ λῃστής, χνοῦς παρὰ Σοφοκλεῖ.*

1012

χρησμολόγος

Schol. Ar. Ran. 1033: *τὸν Μουσαῖον παῖδα Σελήνης καὶ Εὐμόλπου Φιλόχορος φησίν — ὁ δὲ Σοφοκλῆς χρησμολόγον αὐτὸν φησί.*

FRAGMENTA DVBIA ET SPVRIA

1013

δίκαιος γόνος

Priscianus Inst. gr. 18, 206 vol. 2 p. 308, 20: '*iustum*' *pro vero et* '*verum*' *pro iusto frequenter tam nos quam Attici ponimus. Sophocles Αἴαντι* '*δίκαιος γόνος*'. idem 17, 168 vol. 2 p. 193, 18: '*iuste*' *pro* '*vere*' — *Euripides Αἴαντι* '*δίκαιος γόνος*' *pro* '*ἀληθής*'. spectari videtur superstitis Aiacis v. 547: *εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.*

1014

ἄκουε σῖγα· τίς ποτ' ἐν δόμοις βοή;

Anecd. Bekk. p. 372, 13: *ἄκουε σίγα. Κρατῖνος — καὶ Σοφοκλῆς* '*ἄκουε σίγα — βοή;*' simillimus est huic loco versus Eur. Hipp. 790: *γυναῖκες, ἴστε τίς ποτ' ἐν δόμοις βοή;* ac nisi fallor hunc ipsum versum grammaticus significat. certe *ἄκουε σῖγα* traditae lectioni praeferendum. similes varietates habes apud Eur. Hel. 711 El. 953 Or. 395.

1015

αἱμύλος ἔρως

Anecd. Bekk. p. 363, 2: *αἱμύλος· ὁ ἔμπειρος ἢ ἡδὺς ἐν τῷ ἀπατᾶν καὶ κόλαξ. Πλάτων* (Leg. VII p. 823 E) '*αἱμύλος ἔρως*' *φησί, καὶ Σοφοκλῆς. Εὐριπίδης δὲ καὶ αἱμύλη εἶπε θηλυκῶς.* fortasse respicitur Soph. Ai. 388: *τὸν αἱμυλώτατον*, de Vlixe dictum.

1016

Schol. Ar. Lys. 1257: *πολὺς δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει*] *πρὸς τὸ παρὰ τῷ Ἀρχιλόχῳ* '*πολὺς δ' ἀφρὸς ἦν περὶ στόμα*'. *καὶ Σοφοκλῆς. Αἰσχύλος δὲ* '*ἀφρὸς — στόμα*' (Aesch. fr. 372). verbum *ἤφριζον* Soph. El. 719 respici coni. Porson.

1017

Ἥλι', οἰκτίροις ἐμέ,
⟨ὃν⟩ οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν
⟨καὶ⟩ πατέρα πάντων.

Anonymus de Arati interpr. in Petavii Vranol. p. 274 A: *οἱ δὲ Δία τὸν ἥλιον νοήσαντες λέγουσιν ὅτι καὶ Σοφοκλῆς Δία τὸν ἥλιον*

καλεῖ λέγων '*ἡελίοιο κτείρειε ἐμέ· σοφοὶ λέγουσι γεννητὴν θεῶν πατέρα πάντων*'. sic edidit Victorius. v. 1 *Ἥλιος οἰκτείροις ἐμέ* coni. M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 542, *Ἧλι' οἰκτείροις ἐμέ* Bergk, quem secutus sum ita ut *οἰκτίροις* restituerem. v. 2 et 3 *ὃν* et *καὶ* addidit Petavius. minus probabile est quod Wagner v. 3 coniecit *πατέρα* ⟨*τε*⟩ *πάντων*. num Sophoclis sit locus iure dubitat Bernhardy *Grundr. der Griech. Litt.* II, 2 p. 333 ed. tert.

1018

ἐδοξάτην μοι τὼ δύ' ἠπείρω μολεῖν.

Schol. Aesch. Pers. 181: *ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε, ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη, ἡ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν*] *ἐντεῦθεν ἔλαβεν Σοφοκλῆς τὸ* '*ἐδοξάτην μοι τάδ' ἠπείρω μολεῖν*'. Herodiani qui falso perhibetur Philetaer. p. 434 ed. Piers.: *ἔδοξα ἰδεῖν· οὕτως ἐρεῖς ἐπὶ ὀνείρατος. Εὐριπίδης* '*ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας*'. *Σοφοκλῆς* '*ἐδόξατόν μοι τὰ διὰ πείθου μολεῖν*'. *τὰ δύ' ἠπείρω* scripsit Valckenaer, *τὼ δύ' ἠπείρω* Blomfield. non Sophoclis arbitror hunc esse versum, sed comici poetae Aeschylea verba *δύο γυναῖκ' εὐείμονε*, quibus significantur *δύο ἠπείρω* Europa et Asia, in risum vertentis. probavit hanc meam coniecturam, quam Neuio tribuit, O. Iahn *Griech. Bilderchronik* p. 55. nihili est quod opponit Cobet Coll. crit. p. 204, *μολεῖν* formam a comoedia esse alienam, quod verbum ex Aeschylo retentum esse a comico poeta non est mirum.

1019

ἐπεὶ πέπρακται πᾶν τὸ τοῦ θεοῦ καλῶς,
χωρῶμεν ἤδη παῖδες εἰς τὰ τῶν σοφῶν
διδασκαλεῖα μουσικῆς· παιδεύματα
προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεί,
ἕως ἂν ἐξῇ μανθάνειν βελτίονα. 5
παῖς δ' οὖν κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται,
αὐτὸς παρ' αὑτοῦ μανθάνων ἄνευ πόνου·
τὰ χρηστὰ δ' οὐδ' ἣν τὸν διδάσκαλον λάβῃ,
ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις.
ταῦτ' οὖν φυλαξώμεσθα καὶ μοχθητέον, 10
ὦ παῖδες, ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν
δοκῶμεν εἶναι κἀποδημοῦντος πατρός.

Stob. Ecl. 2, 31, 5 p. 200, 17: *Σοφοκλέους.* '*ἐπεὶ — πατρός*'. eclogam servavit L. v. 3 sq. *παιδεύματα — δεῖ*] *παίδευμα γὰρ προσλαμβάνειν δεῖ καὶ* Meineke, *παιδεύματα προσλαμβάνειν γὰρ δεῖ*

Wachsmuth. v. 4 *προσμανθάνειν* coni. G. A. Hirschig. v. 5 *ἕως* ⟨*τ'*⟩ *ἂν* Wachsmuth. *μανθάνειν*] *λαμβάνειν*? v. 6 *παῖς δ' οὖν* scripsi, *παῖς δ' ὢν* L. *προῖκα ἐπίστασθαι* L. v. 7 *παρ' αὐτοῦ* Bergk, *παρ' αὐτῶν* L. v. 8 *τὰ* Brunck, *τὴν* L. *οὐδ' ἂν* L, *εὖτ' ἂν* Meineke. *διδακτὸν* ut videtur L, *διδάσκαλον* Brunck. v. 10 *φυλαξώμεθα* L. v. 11 *μὴ ἐξ ἀπαιδεύτων βροτῶν* Herwerden in Eur. Ion. p. 119. v. 12 *κἀποληροῦντος* M. Schmidt, *κἀπὸ ληροῦντος* F. G. Schmidt Sat. crit. p. 8, *κἀπὸ δημότου* Wecklein *Philol. Anz.* 7 p. 366. fragmenti huius ne unum quidem versum esse Sophoclis recte iudicavit N. Piccolos *Suppl. à l'Anthol. gr.* p. 332.

1020

Eust. Od. p. 1538, 13: *τοξοποιεῖ γοῦν τὰς ὀφρῦς — ὁ σκυθρωπάζων. λέγει δέ που καὶ Σοφοκλῆς τὸ 'τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα τὰς ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα', εἰπὼν τοῦτο ἐκεῖνος ὡς ἀπὸ ἰχθύων, οἳ τὰς ἀκάνθας ὀρθοῦσι καιρῷ θυμοῦ.* quae Sophocli tribuuntur, poetae comici sunt, Aristophanis esse coni. Brunck.

1021

. . *ἐγὼ μάγειρος ἀρτύσω σοφῶς*

Ath. II p. 68 A: *τὸ δὲ ῥῆμα* (sc. *ἀρτύειν*) *κεῖται παρὰ Σοφοκλεῖ 'ἐγὼ — σοφῶς'.* videntur haec comici esse poetae; fortasse *παρὰ Σωφίλῳ* scribendum cum Valckenaerio et Meinekio (Com. vol. 3 p. 584).

1022

Phot. Lex. p. 148, 7: *κατεύχεσθαι τῶν Ἀχαιῶν· ἀντὶ τοῦ κατὰ τῶν Ἀχαιῶν εὔχεσθαι. οὕτως Σοφοκλῆς.* manifesto respicitur locus Platonis Rei publ. III p. 393 A: *τὸν δὲ χαλεπαίνειν, τὸν δέ, ἐπειδὴ οὐκ ἐτύγχανε, κατεύχεσθαι τῶν Ἀχαιῶν πρὸς τὸν θεόν;* Photius haec praemittit: *κατεύχεσθαι· τὸ καταρᾶσθαι. οὕτως Πλάτων.* fortasse igitur *οὕτως Σοφοκλῆς* et *οὕτως Πλάτων* locum mutaverunt. cf. Suidas: *κατεύχεσθαι· τὸ καταρᾶσθαι. οὕτω Πλάτων. καὶ Σοφοκλῆς* (Oed. R. 267) *'κατεύχομαι δὲ τὸν δεδρακότα τάδε'.*

1023

ἔχε τὸ δελήτιον

Etym. M. p. 254, 53: *δελήτιον· τὸ δέλεαρ. Σοφοκλῆς 'ἔχε* (*ἔχει* V) *τὸ δελήτιον'. ἢ Σώφρων.* Sophronis haec esse verba, non Sophoclis, certum videtur. quamquam *ἢ Σώφρων* verba a cod. Flor. et V absunt.

1024

Etym. M. p. 207, 16: *Βουθοίη* (*βούθοια* cod. Flor. Milleri p. 68)

πόλις τῆς Ἰλλυρίδος. Σοφοκλῆς Ὀνομακλεῖ (σοφοὶ ὀνομ κλεῖ cod. M, σοφοκλῆς οἷον ὀνομακλεῖ cod. Flor.) 'Βουθοίη (βουθόη cod. Flor.) Δρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη'. O. Schneider in Callim. vol. 2 p. 637 coni. Σοφοκλῆς Οἰνομάῳ. Καλλίμαχος 'Βουθόη, ἣ Δρίλωνος — ἐνάσθη'. Callimachi nomen fortasse recte erutum: Sophoclis mentio omnino ab h. l. aliena videtur. Σοφοκλῆς Οἰνομάῳ praeceperat Gataker Advers. posth. p. 531 A.

1025

εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν θεός,
ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν
πόντου τε χαροπὸν οἶδμα κἀνέμων βίας.
θνητοὶ δὲ πολλοὶ καρδίᾳ πλανώμενοι
ἱδρυσάμεσθα πημάτων παραψυχὴν 5
θεῶν ἀγάλματ' ἐκ λίθων ἢ χαλκέων
ἢ χρυσοτεύκτων ἢ ἐλεφαντίνων τύπους·
θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις
στέφοντες οὕτως εὐσεβεῖν νομίζομεν.

Clemens Alex. Strom. V p. 717 (Euseb. P. E. XIII p. 680 D et Theodoret. Therap. 7 p. 109, 36): ὁ μὲν γὰρ Σοφοκλῆς, ὥς φησιν Ἑκαταῖος ὁ τὰς ἱστορίας συνταξάμενος ἐν τῷ κατ' Ἄβραμον καὶ τοὺς Αἰγυπτίους ἄντικρυς ἐπὶ τῆς σκηνῆς ἐκβοᾷ 'εἷς ταῖς — νομίζομεν'. eosdem versus afferunt Clemens Alex. Protr. p. 63 Iustinus Martyr Cohort. ad gent. c. 18 et de monarchia c. 2 p. 136 Cyrillus c. Iul. I p. 32 A Georgius Cedrenus vol. 1 p. 82, 9 Codex Neapolitanus II F 9 fol. 140 v. (de quo edocuit H. Vitelli). adde quae narrat Iohannes Malala p. 40 ed. Bonn. (cf. Crameri Anecd. Paris. vol. 2 p. 239, 6): ὁ γὰρ σοφώτατος Σοφοκλῆς δρᾶμα ἐξέθετο καὶ ποιητικῶς εἶπεν ὅτι τὴν Παλλάδα εἶδε λουομένην καὶ γυνὴ ἐγένετο*). ὁ Τειρεσίας, φησί, τὴν σοφίαν τοῦ δημιουργοῦ ἐζήτησε γνῶναι καὶ οὐκ ἠδυνήθη· ὅθεν ἐξέθετο ὁ αὐτὸς Σοφοκλῆς ἐν τοῖς αὐτοῦ συγγράμμασι ταῦτα ἀληθείας εἶναι· εἷς ἐστιν ὁ θεός, ὃς τὸν οὐρανὸν 'ἔτευξε καὶ γαῖαν μακράν — νομίζομεν'. μοναρχίαν γὰρ ἐδόκει δοξάζειν ὁ αὐτὸς Σοφοκλῆς. v. 1 et 2 leguntur in Athenag. Suppl. pro Christianis c. 5, ubi verba συνᾴδοντος τούτῳ καὶ Σοφοκλέους 'εἷς ταῖς — γαῖαν μακράν' ab interpolatore illata esse recte iudicat Bellius. v. 1 spectat Iustinus

---

*) Anecd. Paris. vol. 2 p. 259, 4 (sive Leonis gramm. Chronogr. p. 28, 11): κατὰ τούτους τοὺς χρόνους Κάδμος ὁ ἐν Θήβαις ἐβασίλευσεν, ὃς Τειρεσίαν φιλόσοφον καὶ μάντιν ἐν Θήβαις ἤγαγε, περὶ οὗ φησι Σοφοκλῆς ὅτι τὴν Παλλάδα ἰδὼν λουομένην ὁ Τειρεσίας μετεβλήθη ἐξ ἀνδρὸς εἰς γυναικείαν φύσιν.

Martyr Expos. rectae fidei c. 2: *εἷς οὖν ταῖς ἀληθείαις ἐστὶν ὁ τῶν ἁπάντων θεός.* v. 1 *εἷς ταῖς*] *ἐνταῖς* Cyr. *θεός*] *ὁ θεός* Theod. v. 2 *τ' ἔτευξε*] *τ' ἔτευχε* Iust. de mon. F, *τέτευχε* Iust. Coh. Cedr., *ἔτευξε* Mal. Anecd. Par. ut Theodoreti libri non nulli, *τέτευξαι* cod. Neap. *μακρὴν* Clem. Eus. item quidam Theod. libri. v. 3 *καὶ ἀνέμων* Clem. p. 63 et al. *βίαν* Clem. p. 717, *βία* cod. Neap. v. 4 *πολλοὶ καρδίαν* Iust. de mon. Clem. p. 717 Eus. Theod. Cedr. Anecd. Par., *πολλοὶ καρδίῃ* Cyr., *πολὺ καρδίᾳ* Mal., *πολυκερδ(ε)ίᾳ* v. l. ap. Clem. p. 63 Iustinum Theodoretum. *πεπλανημένοι* Ced. v. 5 *ἱδρυσάμεθα* Mal. Anecd. Par. cod. Neap. *παραψυχάς* Iust. de mon. Mal. Anecd. Par. v. 6 *λίθων*] *λιθίνων* Clem. p. 63 (ubi in M *τῶν ξύλον* superscr., *λιθίνων ἢ ξύλων* V) et cod. Neap. *ἢ χαλκέων*] *τε καὶ ξύλων* Iust. Coh. Cedr., *καὶ ξύλων* Mal. Anecd. Par. v. 7 *τύπων* Anecd. Par. v. 8 *κενὰς* Clem. p. 63 Cyr. Mal. cod. Neap., *καλὰς* Iust. Theod. Cedr., *κακὰς* Clem. p. 717, *κακὰς* vel *καλὰς* Eus., *κοινὰς* Anecd. Par. v. 9 *στέφοντες*] *νέμοντες* Clem. p. 63, *τεύχοντες* Iust. Cyr. Cedr. Mal. Anecd. Par. *οὕτως*] *ἡμεῖς* Cedr., om. Mal. Anecd. Par. suppositum Sophocli esse locum agnovit Bentley Epist. ad Millium p. 12.

1026

τὴν τοῦδε γάρ τοι Ζεὺς ἔγημε μητέρα
οὐ χρυσόμορφος οὐδ' ἐπημφιεσμένος
πτίλον κύκνειον, ὡς κόρην Πλευρωνίαν
ὑπημβρύωσεν, ἀλλ' ὁλοσχερὴς ἀνήρ.
. . . .
ταχὺς δὲ βαθμοῖς νυμφικοῖς ἐπεστάθη 5
ὁ μοιχός . . . .
. . . .
ὃ δ' οὔτε δαιτὸς οὔτε χέρνιβος θιγὼν
πρὸς λέκτρον ᾔει καρδίαν ὠδαγμένος·
ὅλην δ' ἐκείνην εὐφρόνην ἐθόρνυτο.

Clemens Alex. Strom. V p. 716 (cf. Euseb. P. E. XIII p. 680 A): *ὁ Σοφοκλῆς δὲ εὐθυρρημόνως γράφει* '*τὴν τοῦδε — ἀνήρ*' (v. 1—4). *εἶτα ὑπελθὼν καὶ δὴ ἐπήγαγεν* '*ταχὺς — ὁ μοιχός*' (v. 5 et 6). *ἐφ' οἷς ἔτι φανερώτερον τὴν ἀκρασίαν τοῦ μυθοποιουμένου Διὸς ὧδέ πως ἐκδιηγεῖται* '*ὃ δ' οὔτε — ἐθρύπτετο*' (v. 7—9). v. 4 fortasse respicit Hesych. 3 p. 199: *ὁλοσχερής* (*ὁλοσφερής* cod.) — *τέλειος, ὁλόκληρος.* v. 5 *νυμφικοῖς*] *μοιχικοῖς* vel *μυθικοῖς* Eus. *ἐπεστάθη* vel *ἐπεστάτει* Eus., *ἐπεσχάλη* Clem. v. 7 *οὐδὲ χέρνιβος θίβων* Clem. v. 9 *ἐθρύπτετο* Clem., *ἐθόρνυτο* Eus., cuius lectionem confirmat Hesych. 2 p. 22: *ἐθόρνυτο· ὠχεύετο.* Sophocli locum abiudicavit L. Dindorf propter rationes a Porsono in Eur. Med. 284 expositas.

1027

ἔσται γὰρ ἔσται κεῖνος αἰῶνος χρόνος,
ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ
χρυσωπὸς αἰθήρ· ἡ δὲ βοσκηθεῖσα φλὸξ
ἅπαντα τἀπίγεια καὶ μετάρσια
φλέξει μανεῖσ'. ἐπὰν δ' ⟨ἄρ'⟩ ἐκλίπῃ τὸ πᾶν, 5
φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθός,
γῆ δ' ἑδράνων ἔρημος, οὐδ' ἀὴρ ἔτι
πτερωτὰ φῦλα βαστάσει πυρουμένη.
κἄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν.

Iustinus Martyr de monarchia c. 3 p. 136: *καὶ περὶ τοῦδε ὅτι μόνος δυνατός ἐστι καὶ τῶν ἐν τῷ βίῳ συντελουμένων πράξεων καὶ τῆς περὶ τὸ θεῖον ἀγνωσίας κρίσιν ἐνστήσασθαι, οἰκείους μάρτυρας παραστῆσαι ἔχω, καὶ πρῶτόν γε Σοφοκλέα καὶ περὶ τούτου λέγοντα* '*ἔσται γὰρ — ἀπώλεσεν*'. Clemens Alex. Strom. V p. 722 (cf. Euseb. P. E. XIII p. 684 B): *συνᾴδει δὲ τούτοις καὶ ἡ τραγῳδία διὰ τῶνδε* '*ἔσται γὰρ — φλέξει μανεῖσα*' (v. 1—5). *καὶ μετ' ὀλίγα αὖθις ἐπιφέρει* '*ἐπὰν — ἀπώλεσε*' (v. 5—9). v. 1 *ἔστ' ἐκεῖνος* Iustini cod. F, *ἔσται καινὸς* Clem. *αἰώνων* Iust. v. 2 *τεμόντα* Eus. libri plerique. v. 3 *χρυσωτὸς* aliquot Eus. libri. v. 4 *τὰ ἐπίγεια* Eus. v. 5 *ἐπὰν* Clem. Eus., *ὅταν* Iust. *ἄρ'* addidit Grotius. *ἐκλείπῃ* Clem., inter *ἐκλίπῃ* et *ἐκλείπῃ* fluctuant Iust. et Eus. libri. v. 6 *φροῦδον* Iust. cod. F. v. 7 *γῆ δ' ἑδράνων* (*γῆ δὲ ἀνδρῶν* F) Iust., *γῆ δὲ ἕδραν ὢν* Clem., *γῆ δὲ ἐράνων* Eus., *γῆ δενδρέων* Grotius, *γῆ δ' ἀνέρων* Conington. *οὐδ' ἄρ' ἔτι* Iust., *οὐδὲ ἄρ' ἔτι* Eus., *οὐ γὰρ ἐπὶ* Clem., *οὐδ' ἀὴρ ἔτι* Grotius. v. 8 *φύλλα* Clem. *βαστάσει* Iust., *βλαστάσει* Clem., *βλαστήσει* Eus. *πυρούμενος* Grotius. versibus 8 et 9 haec interponit Iustinus,

καὶ γὰρ καθ' Ἅιδην δύο τρίβους νομίζομεν,
μίαν δικαίων χἀτέραν ἀδίκων ὁδόν.

quae ab h. l. aliena sunt et alibi (v. Clem. p. 721 et Theodoret. Therap. 6 p. 89, 1) Diphilo tribuuntur.

1028

. . . οὐδὲ θεοῖς αὐθαίρετα πάντα 'πέλονται,
νόσφι Διός· κεῖνος γὰρ ἔχει τέλος ἠδὲ καὶ ἀρχήν.

Clemens Alex. Strom. V p. 726 (Euseb. P. E. XIII p. 688 A): *Σοφοκλῆς δὲ ὁ τραγῳδοποιὸς* '*οὐδὲ θεοῖσι*' *λέγει* '*αὐθαίρετα — ἀρχήν*'. v. 1 *θεοῖς*] *θεοῖσι* Clem. Eus. ex paeane Sophocleo haec petita esse coni. Bergk Lyr. ed. alt. p. 461. potius recenti falsario debentur versus inanes et absurdi.

EVRIPIDES

ΑΙΓΕΥΣ

Obiter huius fabulae mentionem faciunt Scholia Eur. Med. 167: *τοῦ Εὐριπίδου μήτε ἐνταῦθα μήτε ἐν τῷ Αἰγεῖ δηλώσαντος τὸν Ἄψυρτον ὀνομαστί.* fabulam ante Medeam h. e. ante olymp. 87, 1 (sive a. 431 a. Chr.) editam esse coni. Wilamowitz-Moellendorff Herm. 15 p. 482. de argumento cf. Schol. A Il. *Λ* 741: *Μήδεια ἐγένετο Αἰήτου μὲν θυγάτηρ, Ἰάσονος δὲ γυνή. αὕτη μετὰ τὴν ἀπεργασθεῖσαν ἐν Κορίνθῳ τεκνοκτονίαν φυγὰς εἰς Ἀθήνας ἀφίκετο καὶ ἐγαμήθη ἐκεῖ Αἰγεῖ τῷ Πανδίονος. κἀκεῖ Θησέα τὸν ἐξ Αἴθρας γενόμενον τῷ Αἰγεῖ, ἐπὶ τὸν τοῦ πατρὸς ἀναγνωρισμὸν ἐκ Τροιζῆνος ἀφικόμενον, πείθει τὸν Αἰγέα φάρμακον αὐτῷ δοῦναι θανάσιμον, ἐπίβουλον αὐτοῦ τῆς βασιλείας εἰποῦσα παραγίνεσθαι. πεισθεὶς δὲ Αἰγεὺς παραγενομένῳ τῷ παιδὶ φάρμακον ἔδωκεν· μέλλοντος δὲ καταπίνειν ἐπιγνοὺς τό τε ξίφος καὶ τὰ ὑποδήματα, ταῦτα γὰρ ἐν Τροιζῆνι γνωρίσματα κατέλιπεν, τὸ μὲν φάρμακον ἀφείλετο, τὴν δὲ Μήδειαν ἐξέβαλε τῆς Ἀττικῆς.* similiter Plut. Thes. c. 12. ex hac fabula in quibusdam Stobaei libris repetuntur fr. 271 et 389.

1

ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα
πόλει ξενοῦσθαι τῇδε; τίς πάτρας ὅρος;
τίς ἔσθ' ὁ φύσας; τοῦ κεκήρυξαι πατρός;

Clemens Alex. Strom. VI p. 742: *τὸ Ὁμηρικὸν παραφράζων Εὐριπίδης 'τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πτόλις ἠδὲ τοκῆες;' τοῖσδε χρῆται τοῖς ἰαμβείοις ἐν τῷ Αἰγεῖ 'ποίαν — πατρός;'* v. 2 *πόλει ξενοῦσθαι* Musgrave, *πολυξενοῦσθαι* L. *τῇδε τίς πάτρας* Bergk, *γῇ δὲ τίς πάτρας θ'* L.

2

τί σε μάτηρ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν;

Schol. Ar. Av. 494 (Suid. v. *δεκατεύειν*): *τὴν δεκάτην εἱστίων ἐπὶ τοῖς τικτομένοις καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισί, καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ 'τί σε — ὠνόμαζεν'. τί* Schol., *τίς* Suid. *μᾶτερ* libri, *μάτηρ* Elmsley in Eur. Med. p. 66. *τόκον* Schol. ed. Ald.

3

δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι.

Stob. Flor. 73, 16: *Εὐριπίδου Αἰγέως.* '*δειλῶν — θρασύστομοι*'.

4

πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ
τοῖς πρόσθεν ἡ ζυγεῖσα δευτέρῳ πατρί.

Stob. Flor. 73, 14: *Εὐριπίδου Αἰγέως.* '*πέφυκε — πατρί*'. v. 1 *πως*] *τοῖς* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 435. *παισὶ* Musgrave, *πᾶσι* SMA. *πολέμιον* SM, *πολέμιος* A. v. 3 *δευτέρῳ* SM, *δευτ...* A. *πατρί* MA et fortasse S pr. m., *πόσει* S m. sec. *δευτέρα πόσει* Elmsley Eur. Med. p. 66, ego *δευτέρῳ γάμῳ* malim.

5

εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.

Stob. Flor. 34, 3: *τοῦ αὐτοῦ* (sic S, *Εὐριπίδου* M) *Αἰγέως* (eclogam om. A). '*εἰ — κακά*'. *καθέξεις* Porson, *καθέξῃς* SM. *ἔσται* ed. Francof., *ἔστι* SM.

6

τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;

Stob. Flor. 39, 6: *Εὐριπίδου Αἰγέως.* '*τί — χθονός;*'

7

κρεῖσσον δὲ πλούτου καὶ βαθυσπόρου χθονὸς
ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι.

Orion Flor. 6, 1 p. 48, 26: *ἐκ τοῦ Αἰγέως Εὐριπίδου.* '*κρεῖσσον — ὁμιλίαι*'. Stob. Flor. 9, 8: *Εὐριπίδου Θησεῖ.* '*κρεῖσσον — παρουσίαι*'. v. 1 *βαθυσπόρου χθονός* Or., *πολυχρύσου χλιδῆς* Stob. v. 2 *ὁμιλίαι* Or., *παρουσίαι* Stob.

8

ἀνδρὸς ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.

Stob. Flor. 47, 6: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Αἰγεῖ* (sic MA, *τοῦ αὐτοῦ ἀρχῆ* S). '*ἀνδρὸς — καλόν*'. *ἀνδρὸς ὑπ' ἐσθλοῦ* SMA, *ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ* ed. Gesner, *ἀνδρὸς πρὸς ἐσθλοῦ* coni. O. Hense Lect. Stob. p. 11, fortasse *ἀνδρῶν ὑπ' ἐσθλῶν* leg.

9

ἦ που κρεῖσσον τῆς εὐγενίας
τὸ καλῶς πράσσειν.

Stob. Flor. 86, 11: *Εὐριπίδου Αἰγέως.* '*ἦ — πράσσειν*'. v. 1 *ἦ ποῦ* M, *ἦ πολὺ* coni. Elmsley in Eur. Med. p. 66. *εὐγενίας* Valckenaer in Eur. Phoen. p. 497, *εὐγενείας* SMA.

10

κατθανεῖν δ' ὀφείλεται
καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων.

Stob. Flor. 118, 8: *Εὐριπίδου Αἰγέως* (sic SA, eclogam om. M). '*κατθανεῖν — πόνων*'.

11

ἔστι καὶ πταίσαντ' ἀρετὰν
ἀποδείξασθαι θανάτῳ.

Stob. Flor. 7, 2: *Εὐριπίδου Αἰγεῖ* (eclogam habet Trinc., om. SMA). '*ἔστι — θανάτῳ*'. v. 2 *ἐναποδείξασθαι* coni. Cobet Mnem. 9 p. 111. fortasse praestat *ἔτι καὶ* v. 1 scribi.

12

Πάνακτος

Harpocr. p. 144, 23: *Πάνακτος. — πόλις ἐστὶ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ὡς* (fort. *ἧς*) *καὶ Εὐριπίδης ἐν αἰγὶ* (*ἐν αἰγίδι* al., *ἐν Αἰγεῖ* Maussac) *μνημονεύει.*

13

ἀντραῖος

Steph. Byz. p. 101, 12: *ἄντρον· τὸ σπήλαιον. τὸ τοπικὸν ἔδει ἀντρίτης — εὕρηται δὲ ἀντραῖος, ὡς Εὐριπίδης ἐν Αἰξί* (*Αἰγεῖ* Meursius). *Εὔπολις ἐν Αἰξίν* fortasse rectius coni. Valckenaer.

ΑΙΟΛΟΣ

Schol. HQ Od. κ 6: *Αἴολος Τηλεπάτραν τὴν Λαιστρυγόνου* (*Τηλεπόραν τὴν Λαιστρυγόνος* coni. Leutsch in Apostol. 1, 83) *γήμας ἐγέννησε θυγατέρας ἓξ καὶ ταύταις ἴσους υἱούς — ὁ δὲ Εὐριπίδης ἑτέρως ἱστορεῖ.* Ar. Nub. 1371: *ὁ δ' εὐθὺς ᾖσ' Εὐριπίδου ῥῆσίν τιν' ὡς ἐβίνει ἀδελφός, ὡλεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.* ubi Schol.: *γέγραπται Εὐριπίδου Αἴολος δρᾶμα οὕτως καλούμενον, ἐν ᾧ παρήγαγε Μακαρέα τὸν παῖδα τοῦ Αἰόλου φθείραντα Κανάκην τὴν ἀδελφήν.* Dionys. Hal. Rhet. c. 9, 11 vol. 5 p. 354 sq.: *ἀλλὰ καὶ Εὐριπίδης δι' ὅλων λόγων διοικήσεως σχῆμα περαίνει —. ἐν τῷ Αἰόλῳ ὁ Μακαρεὺς ἐστιν ὁμιλήσας τῇ ἀδελφῇ καὶ λανθάνων καὶ συμβουλεύων τῷ πατρὶ τὰς ἀδελφὰς τοῖς ἀδελφοῖς συνοικίσαι, ἵνα τὸ οἰκεῖον διοικήσηται· καὶ οὕτως ἐσχημάτισται ὁ λόγος κοινῇ γνώμῃ καὶ συμβουλῇ.* argumentum fabulae Welcker agnoscere sibi visus

est in narratione Sostrati Stob. Flor. 64, 35 (cf. Plut. Parallel. 28 p. 312 C): *Αἴολος τῶν κατὰ Τυρρηνίαν βασιλεὺς τόπων ἔσχεν ἐξ Ἀμφιθέας θυγατέρας ἓξ καὶ τὸν αὐτὸν ἀριθμὸν ἀρρένων παίδων, ὧν ὁ πρεσβύτατος Μακαρεὺς Κανάκης τῆς ἀδελφῆς ἐρασθεὶς ἐβιάσατο τὴν προειρημένην. Αἴολος δὲ περὶ τούτων μαθὼν τῇ θυγατρὶ ξίφος ἔπεμψεν· ἡ δὲ ὡς νόμον δεξαμένη τὸν σίδηρον αὐτὴν ἀνεῖλε. Μακαρεὺς δὲ τὸν γεννήσαντα προεξιλεωσάμενος ἔδραμεν εἰς τὸν θάλαμον· εὑρὼν δὲ τὴν ἀγαπωμένην αἱμορραγοῦσαν τῷ αὐτῷ ξίφει τὸν βίον περιέγραψε.* Euripideam fabulam videtur spectare Ovidius Trist. 2, 384: *nobilis est Canace fratris amore sui.* Canacen parturientem cantavit Nero (Suet. Neron. c. 21 Dio Cass. 63, 10 et 22). Aeoli tragicam personam ab Aristophane in Aeolosicone risam esse tradit Platonius *περὶ διαφορᾶς κωμῳδιῶν* p. XIIIb 38 ed. Duebn., quod num recte tradiderit dubitat Bergk Com. 2 p. 943: de Eriphi Aeolo (Com. 3 p. 556) nihil scimus. Antiphanes (Com. 3 p. 7) teste Ath. X p. 444 C haec in Aeolo dixit,

> *Μακαρεὺς ἔρωτι τῶν ὁμοσπόρων μιᾶς*
> *πληγείς, τέως μὲν ἐπεκράτει τῆς συμφορᾶς*
> *κατεῖχέ θ' αὑτόν· εἶτα παραλαβών ποτε*
> *οἶνον στρατηγόν, ὃς μόνος θνητοῖς ἄγει*
> *τὴν τόλμαν εἰς τὸ πρόσθε τῆς εὐβουλίας,*
> *νύκτωρ ἀναστὰς ἔτυχεν ὧν ἐβούλετο* (l. *ἐφίετο*).

quae tragicam parodiam manifesto produnt et videntur ex Euripide maximam partem expressa esse, id quod de v. 1 et 2 iam Valckenaer in Eur. Hippol. p. 304 suspicatus est.

14

> *Ἕλλην γάρ, ὡς λέγουσι, γίγνεται Διός,*
> *τοῦ δ' Αἴολος παῖς, Αἰόλου δὲ Σίσυφος*
> *Ἀθάμας τε Κρηθεύς θ' ὅς τ' ἐπ' Ἀλφειοῦ ῥοαῖς*
> *θεοῦ μανεὶς ἔρριψε Σαλμωνεὺς φλόγα.*

Dicaearchus q. d. Descr. Graec. in Muelleri Geogr. min. vol. 1 p. 109: *ἔστιν οὖν ἡ Ἑλλὰς ὑφ' Ἕλληνος οἰκισθεῖσα πόλις τε καὶ χώρα· μαρτυρεῖ δὲ καὶ Εὐριπίδης 'Ἕλλην — φλόγα'.* Aeolo hos versus adscripsit Musgrave secundum Strab. VIII p. 356: *ἡ δὲ Σαλμώνη πλησίον ἐστὶ τῆς ὁμωνύμου κρήνης, ἐξ ἧς ῥεῖ ὁ Ἐνιπεύς· ἐμβάλλει δ' εἰς τὸν Ἀλφειόν. τούτου δ' ἐρασθῆναι τὴν Τυρὼ φασίν — ἐνταῦθα γὰρ βασιλεῦσαι τὸν πατέρα αὐτῆς Σαλμωνέα, καθάπερ καὶ Εὐριπίδης ἐν Αἰόλῳ φησί.* contra Valckenaer Diatr. p. 209 sq. locum ex Sisyphi prologo repetitum suspicatus est, ego rettulerim ad *Μεναλίππην τὴν σοφήν* (cf. Greg. Cor. Rhet. vol. 7 p. 1313). v. 2 *τοῦ δ' αἰόλου* cod. v. 3 *κρηθεύς τε ὥστ' ἐπ' ἀλφίου* cod. v. 4 *σαλμώνου* cod.

15

ἴδοιμι δ' αὐτῶν ἔκγον' ἄρσεν' ἀρσένων·
πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος·
πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ,
τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν.

Stob. Flor. 65, 1: *Εὐριπίδου Αἰόλῳ.* '*ἴδοιμι — ἔχειν*'. v. 2 afferunt s. fab. n. Ath. XIII p. 566 B, om. p. et fab. nomine Porphyr. Introd. in Aristot. Categ. p. 1b 34 Etym. M. p. 295, 43 Etym. Gud. p. 163, 28 Georgius Cedrenus vol. 2 p. 181, 22 Theophanes cont. 4, 44 p. 208, 18 et 5, 25 p. 250, 21 Symeon mag. p. 683, 12 Eust. Il. p. 172 sq., respiciunt Gregorius Naz. vol. 1 p. 117 D: *ἀνὴρ ἐπιφανὴς τά τε ἄλλα καὶ τὴν εὐσέβειαν καὶ τὸ εἶδος ἀληθῶς τυραννίδος ἄξιος.* Anna Comn. Alex. praef. 4 vol. 1 p. 9, 9: *ὧ χάριτος ἐπιτρεχούσης τοῖς μέλεσι καὶ εἴδους οὐκ ἀξίου τυραννίδος, ὥς τινες λέγουσιν, ἀλλὰ καὶ θειοτέρας καὶ κρείττονος.* 6, 7 p. 294, 5: *δι' ἅπερ ἄξιον τυραννίδος τὸ εἶδος αὐτοῦ ἐνομίζετο.* Olympiod. Theb. (p. 457, 19 ed. Nieb. sive Fragm. Hist. Muell. vol. 4 p. 62b) in Phot. Bibl. p. 59b 9: *ὡς τὸ τοῦ λόγου πᾶσι φαίνεσθαι εἶδος ἄξιον τυραννίδος.* Niceph. Bryenn. 4, 15 p. 145, 9: *ἐθαύμασε τό τε εἶδος τοῦ ἀνδρὸς καὶ τὸ μέγεθος· καὶ γὰρ ἦν ὄντως ἄξιον τυραννίδος.* Eust. Il. p. 399, 11: *καὶ ἄλλον τρόπον κατὰ τὸν τραγικὸν εἶδος ἄξιον τυραννίδος.* Georgius Acropol. p. 146, 8: *τὸ φρόνημα τεθαυμάκασι καὶ ὅ φησί τις τῶν παλαιῶν, τυραννίδος ἄξιον ἔκριναν.* Ephraemius 1238: *εἶδός τι σεμνὸν ἄξιον τυραννίδος.* 3473 sive 9345: *εἶδος προδεικνὺς ἄξιον τυραννίδος.* de sede versus fallitur Philoponus in Porph. Introd. p. 11b 44 (sive David Proleg. in Porph. Introd. p. 21a 1): *λέγεται γὰρ εἶδος καὶ ἡ μορφή, ὥσπερ καὶ ἐν Φοινίσσαις Εὐριπίδης φησί* '*πρῶτον — τυραννίδος*'. hinc Schol. Aristot. in Anecd. Paris. vol. 1 p. 403, 11: *περὶ εἴδους φησὶν ὁ Εὐριπίδης περὶ Φοίνικός τινος* '*πρῶτον — τυραννίδος.* v. 1 *ἄρρεν' ἀρρένων* Stob. v. 2 *ἀξίους* Stob. et fortasse Greg. Naz., *ἄξιον* ceteri. v. 3 *τοῦτ'* M. v. 3 *πλείστης γὰρ ἀρετῆς* coni. Herwerden Exerc. crit. p. 31, *πίστις γὰρ* (vel *πλείστη γὰρ*) *ἀρετῆς* Gomperz *Nachl.* p. 17.

16

λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις,
μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο,
ἀλλ' ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ.

Stob. Flor. 45, 13: *Εὐριπίδου* (sic MA, *τοῦ αὐτοῦ* S) *Αἰόλῳ.* '*λαμπροὶ — δεῖ*'. v. 2 et 3 partim affert Aristot. Polit. 3, 4 p. 1277a 19: *καὶ τὴν παιδείαν δ' εὐθὺς ἑτέραν εἶναι λέγουσί τινες*

τοῦ ἄρχοντος — καὶ Εὐριπίδης φησί 'μή μοι τὰ κόμψ', ἀλλ' ὧν πόλει δεῖ'. v. 1 λαμπροῦ δ' ἐν αἰσχραῖς M. ἄρεως S. v. 2 ποικίλοι] ποίκιλ^{α} A. v. 3 μεγάλα βουλεύοντες εὖ SM, μέγα βουλεύοντες ἀεί A, μεγάλα βουλεύοιντ' ἀεί coni. Gaisford. μεγάλα haud scio an in κεδνὰ sit mutandum.

17

ἆρ' ἔτυμον φάτιν ἔγνων,
Αἴολε, σ' εὐνάξειν τέκνα φίλτατα;

Ar. Pac. 114: ὦ πάτερ ὦ πάτερ, ἦ ῥ' ἔτυμός γε δώμασιν ἡμετέροις φάτις ἥκει —; ubi Schol. RV: παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου 'ἆρ' — φίλτατα;' v. 1 ἔτυμος V, ἔτυμον Seidler. φάτιν R, φάτειν V. ἔγνων V, εὗρον R. v. 2 Αἴολε, σ' Seidler, αἴολος V, om. R.

18

δοξάσαι ἔστι, κόραι· τὸ δ' ἐτήτυμον οὐκ ἔχω εἰπεῖν.

Ar. Pac. 119: δοξάσαι ἔστι, κόραι· τὸ δ' ἐτήτυμον ἄχθομαι ὑμῖν ἡνίκ' ἂν αἰτίζητ' ἄρτον. ubi Schol.: καὶ τοῦτο παρὰ (πρὸς libri) τὸ ἐξ Αἰόλου Εὐριπίδου ἔπος 'δοξάσαι — εἰπεῖν'.

19

τί δ' αἰσχρὸν ἢν μὴ τοῖσι χρωμένοις δοκῇ;

Ar. Ran. 1475: τί δ' αἰσχρόν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ; ubi Scholia: παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου 'τί δ' — δοκῇ;' Serenus in Stob. Flor. 5, 82 (ecl. habent LMA): Εὐριπίδης εὐδοκίμησεν ἐν θεάτρῳ εἰπών 'τί δ' αἰσχρὸν ἂν μὴ τοῖς γε χρωμένοις δοκῇ;' καὶ ὁ Πλάτων ἐντυχὼν αὐτῷ 'ὦ Εὐριπίδη' ἔφη, 'αἰσχρὸν τό γ' αἰσχρόν, κἂν δοκῇ κἂν μὴ δοκῇ'. Plut. de audiendis poetis c. 12 p. 33 C de Antisthene: τοὺς Ἀθηναίους ἰδὼν θορυβήσαντας ἐν τῷ θεάτρῳ 'τί δ' αἰσχρὸν εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ;' παραβάλλων εὐθύς 'αἰσχρὸν τό γ' αἰσχρόν, κἂν δοκῇ κἂν μὴ δοκῇ'. eodem versu Lais usa dicitur ad irridendum Euripidem, cf. Machon Ath. XIII p. 582 D, qui cum Plutarchi lectione consentit. etiam versum quem Aristophanes praemittit, αἴσχιστον ἔργον προσβλέπεις μ' εἰργασμένος, Euripideum esse coni. Fritzsche in Ar. Ran. p. 442 sq.

20

μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν,
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο.

Stob. Flor. 93, 9: Εὐριπίδου Αἰόλῳ. 'μὴ — ἐκτήσατο'. eosdem versus s. fab. n. habet Ath. IV p. 159 C, sine p. et fab. nom. Plut.

de audiendis poetis c. 13 p. 34 D Sextus Empir. p. 660, 27 p. 663, 20 Stob. Flor. 5, 4 (quam eclogam habet Trinc., om. SMA) Greg. Naz. vol. 2 p. 210 C. v. 2 *καὶ* Stob. Flor. 5, 4 et Greg. Naz., *χὠ* vel *καὶ ὁ* ceteri.

21

δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας
λαὸς πολιτεύοιτο πλουσίων ἄτερ;
οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
ἀλλ' ἔστι τις σύγκρασις, ὥστ' ἔχειν καλῶς.
ἃ μὴ γάρ ἐστι τῷ πένητι πλούσιος 5
δίδωσ'· ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα,
τοῖσιν πένησι χρώμενοι τιμώμεθα.

Stob. Flor. 43, 20: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Αἰόλῳ*. '*δοκεῖτ'* — *τιμώμεθα*'. v. 3 et 4 om. fab. n. affert Plut. de Iside et Osir. c. 45 p. 369 B et de tranq. an. c. 15 p. 474 A, item tertium et quarti dimidium (*οὐκ* — *σύγκρασις*) de audiendis poetis c. 7 p. 25 C. de v. 3 adde Theophrast. Metaphys. p. 316: *σχεδὸν ἰσομοιρεῖ τὸ χεῖρον τῷ βελτίονι* — *ὥστε δοκεῖν καὶ Εὐριπίδην καθόλου λέγειν ὡς* '*οὐκ ἂν γένοιτο χωρὶς ἐσθλά*'. v. 1 *γαῖαν* Gesner, *γᾶν* SMA. v. 5 *πένητι* Erfurdt, *πένηθ' ὁ* libri. v. 6 *δίδωσιν* SMA. v. 7 *τιμώμεθα* SM, *πειθώμεθα* A, *θηρώμεθα* bene coni. Bergler, *πεπάμεθα* Hartung.

22

τὴν δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε,
ἐν χρήμασιν τόδ' ἐστί, μὴ γαυροῦ, πάτερ·
κύκλῳ γὰρ ἕρπει· τῷ μὲν ἔσθ', ὃ δ' οὐκ ἔχει·
κοινοῖσι δ' αὐτοῖς χρώμεθ'· ᾧ δ' ἂν ἐν δόμοις
χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής. 5

Stob. Flor. 91, 21: *Εὐριπίδου Αἰόλου* (sic S, *αἰόλω* MA). '*τὴν δ'* — *οὗτος εὐτυχής*'. v. 4 *μονίμοισι δ' οὗτοι* F. G. Schmidt *Krit. Stud.* 2 p. 436. *χρώμεθα* SM. *ὧν δ'* M. v. 5 *συνοικεῖ* SM. *εὐγενής* Grotius, *εὐτυχής* SMA.

23

ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.

Stob. Flor. 116, 38: *Εὐριπίδου Αἰόλῳ* (*διόλου* M). '*ἀλλ'* — *ἄχθεται*'. v. 1 et 2 om. fab. n. affert Plut. Quaest. Rom. 86 p. 285 B, v. 2 idem an seni res publ. gerenda sit c. 5 p. 786 A et non posse suaviter vivi sec. Epicurum c. 12 p. 1094 F. v. 1 ἢ] *εἰ* Gomperz.

v. 2 εἶτ' Ἀφροδίτη F. G. Schmidt Anal. Soph. et Eur. p. 130, ἡ δ' Ἀφροδίτη Gomperz *Nachl.* p. 17 sq. coll. Soph. fr. 854 et Eur. fr. 1066. γέρουσιν Plut. et Stob. S m. sec., ἐρῶσιν Stob. S pr. m. MA.

24

κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον·
μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρσένων μένει,
θήλεια δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.

Stob. Flor. 71, 3: Εὐριπίδου Αἰόλου. 'κακὸν — δέμας'. v. 2 ἀρρένων S, ἀρσένων MA. v. 3 θηλείας δ' SM, θηλείας θ' A, θήλεια δ' H. Stephanus. ἐκλίπει M. v. 1 cum aliis duobus coniunctum Clemens Alex. habet (fr. 914): cf. van de Sande Bakhuyzen de parodia in com. Aristoph. p. 117 sq.

25

φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει·
γέροντες οὐδέν ἐσμεν ἄλλο πλὴν ψόφος
καὶ σχῆμ', ὀνείρων δ' ἕρπομεν μιμήματα·
νοῦς δ' οὐκ ἔνεστιν, οἰόμεσθα δ' εὖ φρονεῖν.

Stob. Flor. 116, 4: Εὐριπίδου (τοῦ αὐτοῦ A) Αἰόλῳ. 'φεῦ φεῦ — φρονεῖν'. v. 1 iisdem verbis legitur fr. 333, 1. v. 2 οὐδὲν ἐσμὲν] ἐσμὲν οὐδὲν cod. Voss. ὄχλος SMA, λόγος coni. Valckenaer Animadv. ad Ammon. p. 15, quam coniecturam ipse postea (in Eur. Phoen. 1538) reiecit, ψόφος H. Hirzel de Eurip. in componendis diverbiis arte p. 72, qui affert Valck. in Eur. Phoen. 379. v. 3 ἕρμομεν MA. v. 4 οὐκέτ' ἐστίν S, οὐκ ἔστιν (vel ἐστίν) MA, οὐκ ἔνεστιν Pflugk. οἰόμεσθα Gesner, οἰόμεθα MSA.

26

τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα·
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς.
τύχοιμι δ' αὐτῆς ἡνίκ' ἐστὶν εὐμενής.

Stob. Flor. 63, 1: Εὐριπίδου Αἰόλῳ. 'τῇ δ' — εὐμενής'. v. 3 αὐτῆς, ἡνίκ' εἰσιν, εὐμενοῦς Cobet N. L. p. 201.

27

ἦ βραχύ τοι σθένος ἀνέρος· ἀλλὰ
ποικιλίᾳ πραπίδων
δεινὰ μὲν φῦλα πόντου

χθονίων τ' ἀερίων τε
δάμναται παιδεύματα. 5

Plut. de solertia anim. c. 1 p. 959 D: ἐπαινούσης τὸ Εὐριπίδειον '*ἦ βραχύ — παιδεύματα*'. eundem locum om. p. et fab. n. habet Plut. de fortuna c. 3 p. 98 E. fabulam indicat Stob. Flor. 54, 6: *Εὐριπίδου Αἰόλῳ.* '*βραχύ — πραπίδων*' (v. 1 et 2). v. 1 *ἦ* om. Stob. *τοι*] *μὲν* Plut. p. 98, *τι* p. 959 cod. Athous. *ἀνέρος*] *ἀνδρός* Stob. v. 2 *ποικιλίᾳ*] *ποικιλίαι* Stob., *ποικιλίαις* Plut. p. 959. v. 3 *δεινὰ μὲν πόντου* p. 98, *δαμᾷ φῦλα πόντου* (*δάμναται πόντου* cod. Ath.) p. 959. v. 4 *ἀερίων* p. 98, *ἑανά* p. 959. v. 5 *δάμναται* om. p. 959. *παιδεύματα*] *βουλεύματα* p. 98 cod. D, *παιδευμάτων* coni. Enger, *γεννήματα* F. G. Schmidt *Krit. Stud.* 1 p. 280.

28

παῖδες, σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ
πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.

Stob. Flor. 35, 3: *Εὐριπίδου Αἰόλῳ.* '*παῖδες — συντέμνειν καλῶς*'. locum repetiit Ar. Thesm. 177 haec Euripidi tribuens: *Ἀγάθων, σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.* hinc Cobet Coll. crit. p. 210 correxit traditam in v. 2 Stobaei scripturam, *πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.*

29

σιγᾶν φρονοῦντα κρείσσον' εἰς ὁμιλίαν
πεσόντα· τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος
μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν
πέποιθε δούλους τοὺς φίλους ἡγούμενος.

Stob. Flor. 22, 14: *Εὐριπίδου Αἰόλου.* '*σιγᾶν — ἡγούμενος*'. v. 1 *κρεῖσσον ἢ εἰς* SA, *κρεῖσσον εἰς* M, *κρείσσον' εἰς* Musgrave. v. 1 sq. *σιγᾶν φρονοῦντα κρεῖσσον ἢ ἐς αὐθαδίαν πεσεῖν· τοιούτῳ δ' ἀνδρὶ* Cobet Coll. crit. p. 210, ⟨*φήμ' ἐγὼ*⟩ *σιγᾶν φρονοῦντα κρείσσον' εἰς ὁμιλίαν πεσόντα* coni. Gomperz *Nachl.* p. 18. v. 3 *αὐτάρκει* M. v. 4 *πέποιθ' ἀβούλους* coni. Th. Barthold, *πέποιθε φαύλους* F. G. Schmidt *Krit. Stud.* 2 p. 436. *δούλους τοὺς πέλας ποιούμενος* ego proposui in edit. minore.

30

ἀλλ' ὅμως
οἰκτρός τις αἰὼν πατρίδος ἐκλιπεῖν ὅρους.

Stob. Flor. 39, 5: *τοῦ αὐτοῦ* (sc. *Εὐριπίδου*) *Αἰόλου* (sic S, eclogam om. MA). '*ἀλλ' — ὅρους*'.

31

ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται,
κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.

Stob. Flor. 20, 7: *Εὐριπίδου Αἰόλῳ.* '*ὀργῇ — βροτούς*'.

32

κακῆς ⟨ἀπ'⟩ ἀρχῆς γίγνεται τέλος κακόν.

Stob. Flor. 4, 11: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Αἰόλῳ* (eclogam habent MA, om. S). '*κακῆς — κακόν*'. *ἀπ'* addidit Gesner. *γίνεται* libri.

33

οἴμοι, τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς;
τίς ἂν κλύων τῶνδ' οὐκ ἂν ἐκβάλοι δάκρυ;

Stob. Flor. 114, 8: *Εὐριπίδου* (sic M, *τοῦ αὐτοῦ* A, poetae nomen om. S) *Αἰόλου.* '*οἴμοι — δάκρυ;*' v. 1 *συναλγεῖν οὐκ ἐπίστασαι* F. G. Schmidt *Krit. Stud.* 2 p. 437. v. 2 *οὐκ ἂν ἐκβάλοι δάκρυ* verba recurrunt Hecub. 298.

34

γλυκεῖα γάρ μοι φροντὶς οὐδαμῇ βίου.

Stob. Flor. 98, 32: *Εὐριπίδου* (poetae nomen om. S, *τοῦ αὐτοῦ* praebet A) *Αἰόλου.* '*γλυκεῖα — βίου*'.

35

αἰεὶ τὸ μὲν ζῇ, τὸ δὲ μεθίσταται κακόν,
τὸ δ' αὖ πέφηνεν αὖθις ἐξ ἀρχῆς νέον.

Stob. Flor. 104, 10: *Εὐριπίδου Αἰόλου* (sic MA, *τοῦ αὐτοῦ* nec plura S). '*αἰεὶ — νέον*'. v. 1 *κακὸν*] *πάλιν* coni. Guil. Collmann de nonnullis locis Eur. et Soph. p. 3. v. 2 *οὐκ ἔφηνεν* (*ἔφην ἐν* M) SMA, *αὖ πέφηνεν* Badham. *αὖτις* S, *αὐτῆς* MA, *αὖθις* Grotius.

36

γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς,
δύστηνος ἄρα κοὐ σοφὸς κεκλήσεται.

Stob. Flor. 73, 13: *Εὐριπίδου Αἰόλου.* '*γυναῖκα — κεκλήσεται*'. v. 1 *γυναῖκας ὅστις* F. G. Schmidt *Krit. Stud.* 2 p. 437. v. 2 *δύστηνος ἄρα* SMA, *ἀσύνετος οὗτος* coni. Herwerden *Revue de philol.* 2 p. 55, *δύστηνος ἔμπας* F. G. Schmidt.

37

μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας
ὅστις φέρει κάλλιστ' ἀνὴρ οὗτος σοφός.

Stob. Flor. 108, 19: *Εὐριπίδου* (sic SM, *τοῦ αὐτοῦ* A) *Αἰόλου.* '*μοχθεῖν — σοφός*'. v. 1 verba *μοχθεῖν ἀνάγκη* iterum habes in fr. 701. v. 2 *κάλλιστα, τόνδ' ἡγοῦ σοφόν* coni. O. Hense Lect. Stob. p. 38.

38

τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα.

Stob. Flor. 50, 6: *Εὐριπίδου Αἰόλῳ* (sic M, *αἰόλου* A, eclogam om. S). '*τὰ πόλλ' — τολμήματα*'. *τὰ πόλλ'*] *πάμπολλ'* malit F. G. Schmidt *Krit. Stud.* 1 p. 159. *διαφέρει*] *μία φέρει* idem.

39

Phot. Lex. p. 169, 7 et Suidas: *κλῆρος Ἑρμοῦ· συνήθεια ἀρχαία. ἔβαλλον οἱ κληροῦντες εἰς ὑδρίαν ἐλαίας φύλλον ὃ προσηγόρευον Ἑρμῆν, καὶ πρῶτον ἐξῄρουν τοῦτο, τιμὴν τῷ θεῷ ταύτην ἀπονέμοντες· ἐλάγχανεν δὲ ὁ μετὰ τὸν θεόν. Εὐριπίδης ἐν τῷ Αἰόλῳ μνημονεύει τοῦ ἔθους τούτου.*

40

ἀκρατές

Hesych. 1 p. 104: *ἀκρατές· ἀσθενές. Εὐριπίδης Αἰόλῳ.*

41

κατηρτυκέναι

Antiatt. p. 105, 25: *κατηρτυκέναι* (*κατήρτυκεν* cod.) *ἐλέγοντο οἱ μηκέτι βόλον ἔχοντες ἵπποι. Εὐριπίδης Αἰόλῳ.* cf. fr. 821, 5.

ΑΛΕΞΑΝΔΡΟΣ

Aelianus V. H. 2, 8: *κατὰ τὴν πρώτην καὶ ἐνενηκοστὴν ὀλυμπιάδα, καθ' ἣν ἐνίκα Ἐξαίνετος ὁ Ἀκραγαντῖνος στάδιον, ἀντηγωνίσαντο ἀλλήλοις Ξενοκλῆς καὶ Εὐριπίδης. καὶ πρῶτός γε ἦν Ξενοκλῆς ὅστις ποτὲ οὗτός ἐστιν, Οἰδίποδι καὶ Λυκάονι καὶ Βάκχαις καὶ Ἀθάμαντι σατυρικῷ· τούτου δεύτερος Εὐριπίδης ἦν Ἀλεξάνδρῳ καὶ Παλαμήδῃ καὶ Τρῳάσι καὶ Σισύφῳ σατυρικῷ. γελοῖον δέ, οὐ γάρ; Ξενοκλέα μὲν νικᾶν, Εὐριπίδην δὲ ἡττᾶσθαι καὶ ταῦτα τοιούτοις δράμασι.* de mytho, quem in eiusdem tituli fabula Sophocles tractavit, cf. Hyginus fab. 91: *Priamus Laomedontis filius cum complures liberos haberet ex concubitu Hecubae Cissei sive Dymantis filiae, uxor eius praegnans in quiete vidit se facem ardentem parere, ex qua serpentes*

*plurimos exisse. id visum omnibus coniectoribus cum narratum esset, imperant quicquid pareret necaret, ne id patriae exitio foret. postquam Hecuba peperit Alexandrum, datur interficiendus: quem satellites misericordia exposuerunt, pastores pro suo filio repertum expositum educarunt eumque Parim nominaverunt. is cum ad puberem aetatem pervenisset, habuit taurum in deliciis. quo cum satellites missi a Priamo, ut taurum aliquis adduceret, venissent, qui in athlo funebri quod ei fiebat poneretur, coeperunt Paridis taurum abducere. qui persecutus est eos et inquisivit quo eum ducerent: illi indicant se cum ad Priamum adducere * * qui vicisset ludis funebribus Alexandri. ille amore incensus tauri sui descendit in certamen et omnia vicit, fratres quoque suos superavit. indignans Deiphobus gladium ad eum strinxit, at ille in aram Iovis Hercei insiluit. quod cum Cassandra vaticinaretur eum fratrem esse, Priamus eum agnovit regiaque recepit.* *παραχορήγημα* in hac fabula fuisse docemur Schol. Eur. Hipp. 58: *ἕτεροι δέ εἰσι* (sc. Hippolyti comites) *τοῦ χοροῦ, καθάπερ ἐν τῇ ἀλ*[ε] (sic M, *ἐν τῇ ἀλεξάνδρ* AB, *ἐν τῷ Ἀλεξάνδρῳ* Musgrave) *ποιμένες*. Ennium in Alexandro Euripidis vestigia legisse probabile est ex Varronis loco, vide fr. 64. ceterum *Ἀλεξάνδρα* cum Schol. Eur. habet Hesychius (fr. 63), quod falsum esse intellexit Osann in Wolfii Anal. vol. 2 p. 529 sqq. huius fabulae videtur esse adespoton fr. 286 sicut Eur. fr. 935.

42

καὶ χρόνου προύβαινε πούς

Ar. Ran. 100: *ὅστις φθέγξεται τοιουτονί τι παρακεκινδυνευμένον, αἰθέρα Διὸς δωμάτιον ἢ χρόνου πόδα.* ubi Schol. Rav. (cf. Suid. v. *παρακεκινδυνευμένον*): *χρόνου πόδα ἐξ Ἀλεξάνδρου* '*καὶ — πούς*'. Ar. Ran. 311: *τίν' αἰτιάσωμαι θεῶν μ' ἀπολλύναι; αἰθέρα Διὸς δωμάτιον ἢ χρόνου πόδα; πρόβαινε* Schol. Ar. et Suid., *προύβαινε* Elmsley. cf. *δαρὸν χρόνου πόδα* Eur. Bacch. 889 et qui *χρόνου πόδα* ex Euripide commemorat Eust. Opusc. p. 46, 32.

43

παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν.

Stob. Flor. 124, 20: *Εὐριπίδου Ἀλεξάνδρου* (sic MA, fabulae nomen om. S). '*παλαιὰ — στένειν*'. *καινοῖς*] *κενοις* sine accentu M.

44

⟨A.⟩ *οἶδ'· ἀλλὰ κάμπτειν τῷ χρόνῳ λύπας χρεών.*
⟨B.⟩ *χρῆν· τοῦτο δ' εἰπεῖν ῥᾷον ἢ φέρειν κακά.*

Stob. Flor. 114, 7: *Εὐριπίδου Ἀλεξάνδρῳ.* '*οἶδ' — κακά*'. v. 1

κάμπτειν Trinc., *κνάμπτειν* SMA. v. 2 *χρῆν* MA, *χρή* S. prior versus Priami videtur esse, alter Hecubae: libri personarum notas om.

45

ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.

Stob. Flor. 105, 33: *Εὐριπίδου 'Αλεξάνδρου* (sic MA, *Εὐριπίδου* om. S). '*ὥστ' — εὐδαιμονεῖ*'. *ὡς οὔτις* coni. Pappageorgius. ceterum cf. fr. 661, 1.

46

πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος
μετρίως ἀλγεῖν σοφία μελετᾷ.

Stob. Flor. 108, 17: *Εὐριπίδου 'Αλεξάνδρου.* '*πάντων — μελετᾷ.*' chori notam apponit S.

47

ὅθεν δὲ νικᾶν χρῆν σε, δυστυχεῖς, ἄναξ·
ὅθεν δέ σ' οὐ χρῆν, εὐτυχεῖς. δούλοισι γὰρ
τοῖς σοῖσι νικᾷς, τοῖς δ' ἐλευθέροισιν οὔ.

Stob. Flor. 4, 32: *Εὐριπίδου 'Αλεξάνδρου* (ecl. habent MA, om. S). '*ὅθεν — οὔ*'. v. 1 *δὲ*] *μὲν* M. *νικᾶν ὅθεν μὲν* coni. Ribbeck *Röm. Trag.* p. 84. *χρῆν σε* Valckenaer, *χρῆ σε* MA. v. 2 *χρὴν* M. *δόλοις γὰρ* A. v. 3 *τοῖς σοῦσιν ἥκεις* M, *τοῖς σοῖσιν ἥκεις* A, *τοῖς σοῖσιν εἴκεις* Gesner, *τοῖς σοῖσι νικᾷς* Musgrave.

48

σοφὸς μὲν οὖν εἶ, Πρίαμ', ὅμως δέ σοι λέγω·
δούλου φρονοῦντος μᾶλλον ἢ φρονεῖν χρεὼν
οὐκ ἔστιν ἄχθος μεῖζον οὐδὲ δώμασιν
κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα.

Stob. Flor. 62, 14: *Εὐριπίδου 'Αλεξάνδρου.* '*σοφὸς — ἀνωφελεστέρα*'. v. 3 *ἔστ'* A. *δώμασι* vulgo.

49

ἤλεγχον· οὕτω γὰρ κακὸν δούλων γένος·
γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ.

Stob. Flor. 62, 15: *Εὐριπίδου 'Αλεξάνδρ* (sic M, simpliciter *ἀλεξαν* S, om. eclogam A). '*ἤλεγχον — σκοπεῖ*'. Meineke hunc locum cum fr. 48 coniungendum suspicatur. v. 2 *οὐδεὶς σκοπεῖ* Wecklein *Studien zu Eur.* p. 420.

50

δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος,
πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν.

Stob. Flor. 62, 16: *Εὐριπίδου Ἀλεξάνδρου* (*εν ταῦ* S). '*δούλων — μέγαν*'. v. 1 *δεσπόται* scribendum suspicor cum Bothio. v. 2 *τῶν* SM, *τὸν* A. *αἱροῦνται* libri, *αἴρονται* Elmsley in Eur. Heracl. 505.

51

δούλους γὰρ οὐ
καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν.

Stob. Flor. 62, 19: *Εὐριπίδου Ἀλεξάνδρου.* '*δούλους — δεσποτῶν*'. v. 2 *κρείττονας* M.

52

περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ
βρότειον εὐλογήσομεν.
τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα,
διὰ δ' ἔκρινεν ἁ τεκοῦσα γᾶ βροτούς,
ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν. 5
ἴδιον οὐδὲν ἔσχομεν· μία δὲ γονὰ
τό τ' εὐγενὲς καὶ τὸ δυσγενές·
νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.
τὸ φρόνιμον εὐγένεια καὶ τὸ συνετὸν
ὁ θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος. 10

Stob. Flor. 86, 2: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Ἀλεξάνδρῳ.* '*περισσόμυθος — πλοῦτος*'. chori notam praemittit S. v. 4 *διὰ δ' ἔκρινεν*] *οὐ δίχ' ἔκρινεν* M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 549, *διὰ δ' οὐκ ἔκρινεν* Gomperz *Nachl.* p. 18 sq. *ἁ τεκοῦσα γᾶ* SM, *ἁ τεκοῦσα* (om. *γᾶ*) A, *ἁ δόκησις* coni. Meineke, qui versuum 4 et 5 ordinem invertendum esse suspicatur. v. 5 *χθὼν* S, *χέων* M, *χεὼν* ut videtur A. *ὄψιν*] fortasse *φύσιν* leg. v. 6 *ἔσχομεν* S, *ἔχομεν* MA. *δὲ* delendum esse coni. Mekler. v. 8 *γαῦρον* S, *γαύρων* M, *γαυρῶν* A pr. m. v. 9 sq. *τὸ συνετὸν ᾧ | θεὸς δίδωσιν* Hermann; ego dubito num *τὸ φρόνιμον κτἑ.* Euripidea sint.

53

οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,
παρ' ἀγαθοῖσι δ' ἀνδρῶν.

Stob. Flor. 86, 7: *Εὐριπίδου Ἀλεξάνδρῳ.* '*οὐκ — ἀνδρῶν*' v. 2 *ἀγαθοῖσι δ'*] *ἀγαθοῖσιν* A.

54

κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐανδρίαν
ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί·
πενία δὲ δύστηνον μέν, ἀλλ' ὅμως τρέφει
μοχθεῖν τ' ἀμείνω τέκνα καὶ δραστήρια.

Stob. Flor. 97, 3: *Εὐριπίδου Ἀλεξάνδρῳ.* '*κακόν — δραστήρια*'. Clemens Alex. Strom. IV p. 574: '*κακὸν οὖν ἦν τὸ παίδευμ' εἰς εὐανδρίαν — τρυφαί*' (v. 1 et 2) *ἐν τῷ Ἀλεξάνδρῳ ὁ Εὐριπίδης πεποίηκεν.* v. 1 *τι* om. Stobaei A. *βούλευμ'* Stob., *παίδευμ'* Clem. v. 4 *μοχθοῦντ' ἀμείνω* Stob., *μοχθεῖν τ' ἀμείνω* Conington, *μοχθεῖν τε δεινὰ* F. G. Schmidt *Krit. Stud.* 2 p. 438.

55

ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποεῖ.

Stob. Flor. 93, 14: *Εὐριπίδου Ἀλεξάνδρου.* '*ἄδικον — ποεῖ*'.

56

ἄναξ, διαβολαὶ δεινὸν ἀνθρώποις κακόν·
ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ
δίκαια λέξας ἧσσον εὐγλώσσου φέρει.

Stob. Flor. 42, 3: *Εὐριπίδου Ἀλεξάνδρου* (sic SM, eclogam om. A). '*ἄναξ — φέρει*'. v. 2 et 3 om. poetae et fab. n. affert Clemens Alex. Strom. I p. 340. v. 2 *ἀγλωσσίᾳ* Clem., *εὐγλωσσίᾳ* Stob.

57

ὦ παγκάκιστοι καὶ τὸ δοῦλον οὐ λόγῳ
ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι

Stob. Flor. 62, 18: *Εὐριπίδου Ἀλεξάνδρου* (ecl. habent SM, om. A). '*ὦ — κεκτημένοι*'. v. 1 *οὐ λόγῳ*] *οὐ τύχῃ* Cobet Mnem. 9 p. 133. v. 2 *ἀλλὰ τῇ φύσει* coni. Iacobs, *ἀλλ' ἐν τῇ φύσει* Cobet, *ἀλλὰ τῷ τρόπῳ* F. G. Schmidt *Krit. Stud.* 2 p. 438.

58

οἴμοι, θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν,
ἣ τοῖσιν ἄλλοις γίγνεται σωτηρία.

Stob. Flor. 38, 20: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Ἀλεξάνδρου.* '*οἴμοι — σωτηρία*'. v. 2 ὃ SMA, ἣ Barnes (cf. Eur. Med. 14 et Trό. 743). *γίνεται* SM.

59

ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί.

Stob. Flor. 69, 20: *Εὐριπίδου Ἀλεξάνδρου* (ecl. habent MA, om. S). '*ἐκ — ἀεί*'.

60

χρόνος δὲ δείξει ⟨σ'⟩· ᾧ τεκμηρίῳ μαθὼν
ἢ χρηστὸν ὄντα γνώσομαί σ' ἢ κακόν.

Clemens Alex. Strom. VI p. 742: *καὶ μὴν Εὐριπίδου μὲν ἐξ Ἀλεξάνδρου* '*χρόνος — κακόν*'. v. 1 *σ'* addidit Grotius. v. 2 *γνώσομαί σ' ἢ* libri, *γνώσομαι σέγ' ἢ* Grotius, *γνωσόμεσθά σ' ἢ* Schneidewin Philol. 4 p. 47, *γνώσομαί σ' ἔτ' ἢ* F. G. Schmidt *Krit. Stud.* 2 p. 439, ego *γνώσομαί σ' ἤτοι* malim (cf. quae attuli in append. Soph. Ant. 668). minus probabile est quod Vitelli de Eur. El. p. 53 suasit *γνώσομαί σ' ἢ ⟨καὶ⟩ κακόν* (cf. Porson Eur. Phoen. 1464).

61

μισῶ σοφὸν ἐν λόγοισιν, ἐς δ' ὄνησιν οὐ σοφόν.

Orion Flor. 1, 3 p. 41, 9: *ἐξ ἀλεξ*. '*μισῶ — οὐ σοφόν*'. probabiliter *ἐξ Ἀλεξάνδρου* coni. Schneidewin. *μισῶ ⟨δ' ἐγὼ⟩ | σοφὸν λόγοισιν* coni. Schneidewin, *μισῶ σοφὸν | ⟨ὄντ'⟩ ἐν λόγοισιν* Meineke. *μισῶ σοφὸν λόγοισιν, ἐς δ' ὄνησιν οὔ* Cobet N. L. p. 293. cf. Pacuvius Gellii 13, 8, 4: *ego odi homines ignava opera et philosopha sententia.*

62

Ἑκάβη, τὸ θεῖον ὡς ἄελπτον ἔρχεται
θνητοῖσιν, ἕλκει δ' οὔποτ' ἐκ ταὐτοῦ τύχας.

Stob. Flor. 111, 8: *Εὐριπίδου Ἀλεξάνδρῳ.* '*Ἑκάβη — τύχας*'. v. 2 *οὔποτ'* S, *οὔπω τ'* MA. *τύχας* in *ζυγοῦ* mutari vult Wecklein *Studien zu Eur.* p. 420, *ἥκει δ' οὔποτ' εἰς ταὐτοῦ στέγας* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 439, neutrum sufficit.

63

ἄρρητος κόρη

Hesych. 1 p. 289: *ἄρρητος κόρη· ἡ Περσεφόνη. Εὐριπίδης Ἀλεξάνδρᾳ.* cf. Eur. Hel. 1307 et Carcin. fr. 5, 1.

64

Varro L. L. 7, 82: *apud Ennium* — '*quapropter Parim pastores*

nunc Alexandrum vocant'. imitari dum voluit Euripidem et ponere ἔτυμον, *est lapsus. nam Euripides quod Graeca posuit,* ἔτυμα *sunt aperta.* lusisse Euripidem in explicando Paridis nomine, quem dictum voluerit ἀπὸ τοῦ ἐν πήρᾳ τραφῆναι, coniecit E. Bruhn Lucubrat. Eur. cap. sel. p. 303 ex Schol. Eur. Andr. 294: διὸ καὶ Πάρις ὠνομάσθη ὁ ἐν τῇ πήρᾳ τραφείς.

ΑΛΚΜΕΩΝ Α ET B

Ἀλκμέων Euripidem scripsisse, non Ἀλκμαίων, ut ex Atticis titulis colligi potest ita diserte testatur grammaticus Anecd. Oxon. vol. 2 p. 337, 4: Ἀλκμέωνας· τὸ ΜΕ ψιλόν, ὡς παρὰ Εὐριπίδῃ ἔχει ἡ χρῆσις. συστείλας τὸ Ε φυλάττει τὸ Ω ὡς κύριον ἐν τῇ γενικῇ. duas fuisse huius tituli fabulas nescivit Iohannes Malala p. 72, 11: καὶ μετὰ Αἰσχύλον ἐβασίλευσεν αὐτῶν Ἀλκμαίων ἔτη δύο· περὶ οὗ Εὐριπίδης ὁ σοφώτατος δρᾶμα ἐξέθετο.

Prius drama, Ἀλκμέων ὁ διὰ Ψωφῖδος, scenae commissum est olymp. 85, 2 (a. Chr. 438). Argum. Eur. Alcest.: ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος τὸ λ (πε′ ὀλ. coni. Dindorf). πρῶτος ἦν Σοφοκλῆς, δεύτερος Εὐριπίδης Κρήσσαις, Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος, Τηλέφῳ, Ἀλκήστιδι. de mytho cf. Hygin. fab. 73: *Amphiaraus Occlei et Hypermestrae Thestii filiae filius augur, qui sciret, si ad Thebas oppugnatum isset, se inde non rediturum, itaque celavit se conscia Eriphyle coniuge sua, Talai filia. Adrastus autem ut eum investigaret, monile aureum ex gemmis fecit et muneri dedit sorori suae Eriphylae, quae doni cupida coniugem prodidit. Amphiaraus Alcmaconi filio suo praecepit ut post suam mortem poenas a matre exequeretur. qui postquam apud Thebas terra est devoratus, Alcmaeon memor patris praecepti Eriphylen matrem suam interfecit. quem postea furiae exagitarunt.* Apollod. 3, 7, 5: Ἀλκμέωνα δὲ μετῆλθεν ἐρινὺς τοῦ μητρῴου φόνου, καὶ μεμηνὼς πρῶτον μὲν εἰς Ἀρκαδίαν πρὸς Οἰκλέα παραγίνεται, ἐκεῖθεν δὲ εἰς Ψωφῖδα πρὸς Φηγέα. καθαρθεὶς δὲ ὑπ' αὐτοῦ Ἀρσινόην γαμεῖ τὴν τούτου θυγατέρα, καὶ τόν τε ὅρμον καὶ τὸν πέπλον ἔδωκε ταύτῃ. γενομένης δὲ ὕστερον τῆς γῆς δι' αὐτὸν ἀφόρου, χρήσαντος αὐτῷ τοῦ θεοῦ πρὸς Ἀχελῷον ἀπιέναι καὶ παρ' ἐκεῖνον παλινδικίαν λαμβάνειν, τὸ μὲν πρῶτον πρὸς Οἰνέα παραγίνεται εἰς Καλυδῶνα καὶ ξενίζεται παρ' αὐτοῦ, ἔπειτα ἀφικόμενος εἰς Θεσπρωτοὺς τῆς χώρας ἀπελαύνεται. τελευταῖον δὲ ἐπὶ τὰς Ἀχελῴου πηγὰς παραγενόμενος καθαίρεταί τε ὑπ' αὐτοῦ καὶ τὴν ἐκείνου θυγατέρα Καλλιρρόην λαμβάνει, καὶ ὃν Ἀχελῷος προσέχωσε τόπον κτίσας κατῴκησε. Καλλιρρόης δὲ ὕστερον τόν τε ὅρμον καὶ τὸν πέπλον ἐπιθυμούσης λαβεῖν καὶ λεγούσης οὐ συνοικήσειν αὐτῷ εἰ μὴ λάβοι ταῦτα, παραγενόμενος εἰς Ψωφῖδα Ἀλκμέων Φηγεῖ λέγει τεθεσπίσθαι τῆς μανίας ἀπαλλαγὴν ἑαυτῷ, ὅταν τόν τε ὅρμον εἰς Δελφοὺς κομίσας ἀναθῇ καὶ τὸν πέπλον. ὁ δὲ πιστεύσας δίδωσι.

μηνύσαντος δὲ θεράποντος ὅτι Καλλιρρόη ταῦτα λαβὼν ἐκόμιζεν, ἐνεδρευθεὶς ὑπὸ τῶν Φηγέως παίδων ἐπιτάξαντος τοῦ Φηγέως ἀναιρεῖται. cf. Tatianus Orat. ad Graec. c. 24 p. 100: *τί μοι συμβάλλεται πρὸς ὠφέλειαν ὁ κατὰ τὸν Εὐριπίδην μαινόμενος καὶ τὴν Ἀλκμαίωνος μητροκτονίαν ἀπαγγέλλων* (l. *μαινόμενος καὶ τὴν μητροκτονίαν ἀπαγγέλλων Ἀλκμαίων* cum W. H. van de Sande Bakhuyzen de parodia in com. Aristoph. p. 40); *ᾧ μηδὲ τὸ οἰκεῖον πρόσεστι σχῆμα, κέχηνε δὲ μέγα καὶ ξίφος περιφέρει καὶ κεκραγὼς πίμπραται καὶ φορεῖ στολὴν ἀπάνθρωπον.* quibus verbis mimus Alcmeonis personam agens significatur. Euripideae fabulae rationem habuisse videtur Plut. de exilio c. 9 p. 602 D (quem locum indicavit Pappageorgius *Krit. u. paläogr. Beitr. zu den Sophokles-Scholien* p. 49): *ὁ δὲ Ἀλκμέων ἰλὺν νεοπαγῆ τοῦ Ἀχελῴου προσχωννύντος ἐπῴκησεν ὑποφεύγων τὰς εὐμενίδας, ὡς οἱ ποιηταὶ λέγουσιν.*

Ἀλκμέωνα τὸν διὰ Κορίνθου spectat Scholion Ar. Ran. 67: *αἱ διδασκαλίαι φέρουσι, τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμώνυμον* (sic G, *ὁμωνύμως* V) *ἐν ἄστει Ἰφιγένειαν τὴν ἐν Αὐλίδι, Ἀλκμαίωνα* (*ἀλκμαίω διονα* V), *Βάκχας*. de argumento cf. Apollod. 3, 7, 7: *Εὐριπίδης δὲ φησὶν Ἀλκμέωνα κατὰ τὸν τῆς μανίας χρόνον ἐκ Μαντοῦς*) Τειρεσίου παῖδας δύο γεννῆσαι, Ἀμφίλοχον καὶ θυγατέρα Τεισιφόνην, κομίσαντα δὲ εἰς Κόρινθον τὰ βρέφη δοῦναι τρέφειν Κορινθίων βασιλεῖ Κρέοντι, καὶ τὴν μὲν Τεισιφόνην διενεγκοῦσαν εὐμορφίᾳ ὑπὸ τῆς Κρέοντος γυναικὸς ἀπεμποληθῆναι, δεδοικυίας μὴ Κρέων αὐτὴν γαμετὴν ποιήσηται, τὸν δὲ Ἀλκμέωνα ἀγοράσαντα ταύτην ἔχειν οὐκ εἰδότα τὴν ἑαυτοῦ θυγατέρα θεράπαιναν, παραγενόμενον δὲ εἰς Κόρινθον ἐπὶ τὴν τῶν τέκνων ἀπαίτησιν καὶ τὸν υἱὸν κομίσασθαι. καὶ Ἀμφίλοχος κατὰ χρησμοὺς Ἀπόλλωνος Ἀμφιλοχικὸν Ἄργος ᾤκησεν.*

Haud pauca fragmenta utrius sint fabulae nescimus; plerique enim auctores simpliciter *Ἀλκμαίωνα* afferunt, et fortasse illa *ὁ διὰ Ψωφῖδος* et *ὁ διὰ Κορίνθου* grammaticis debentur, non poetae, quem *ἐν Ψωφῖδι* et *ἐν Κορίνθῳ* dicturum fuisse arbitror.

65

ἥκω δ' ἀτενὴς ἀπ' οἴκων

Hesych. 1 p. 312: *ἀτενής. 'ἥκω — οἴκων', Εὐριπίδης Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος* (*ψοφίδος* cod.) *συντείνασα.* verba sunt chori virginum ex parodo sumpta, quod vidit Meineke.

66

οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἂν τῇ πόλει;

*) Cf. Clemens Alex. Strom. I p. 399: *Τειρεσίας τε αὖ καὶ Μαντὼ ἐν Θήβαις, ὥς φησιν Εὐριπίδης.*

Ar. Eq. 1302: 'οὐδὲ — πόλει;' ubi Schol.: ὁ στίχος παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου. Alcmeonem τὸν διὰ Ψωφῖδος dici chronologia docet. Euripidea verba fortasse Aristophanes mutavit.

67

ὁ φόβος, ὅταν τις αἵματος μέλλῃ πέρι
λέγειν καταστὰς εἰς ἀγῶν' ἐναντίον,
τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει
τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται.
τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὃ δ' ἀθῷος μένει. 5
ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν·
ψυχὴν γὰρ ἆθλα κειμένην ἐμὴν ὁρῶ.

Stob. Flor. 8, 12: Εὐριπίδου ἀκμ', (sic S, ecl. om. MA, Εὐριπίδου Ἀλκμαίωνος coni. Gaisford). 'ὁ φόβος — ὁρῶ'. v. 1 τις B m. sec. teste Gaisfordo, τι S. αἵματος scripsi, σώματος vulgo. μέλλει B teste Gaisfordo, μέλη S. πέρι] δίκην expectes. v. 2 λέγειν] ἐρεῖν malim. εἰς Scaliger, ἐπ' S. v. 3 et 4 initia permutari vult Bothe (Eur. fab. fragm. p. 36), qui τὸν νοῦν μὲν εἰς ἔκπληξιν et τὸ στόμα τ' ἀπείργει (Herwerden τὸ δὲ στόμ' εἴργει) requirit. v. 3 ἀνθρώπων vitiosum. ἀφασίαν τ' ἄγει coni. Enger, ἀπορίαν τ' O. Hense *Krit. Bl.* 1 p. 72, ἀμβλύνων Ribbeck *Röm. Trag.* p. 500. post v. 4 intercidisse quaedam vel a breviatore omissa esse coni. Bergk: 'poeta dixerat non eadem condicione uti eum qui in iure se defendat atque eum qui persequatur'. v. 5 ἔνι] ἔπι Bergk. v. 6 ὅμως] οὔπως scripserim, sed fortasse exitus versus laborat, ubi δεῖ μ' ἤδη (vel δεῖ πάντως) δραμεῖν proponebat Bergk, τόνδ' ἔδει μ' ὑπεκδραμεῖν M. Schmidt *Zeitschr. f. d. Alt.* 1856 p. 549. v. 7 ἆθλον Cobet Coll. crit. p. 211. κειμένην Lobeck in Soph. Ai. p. 345 pr. ed., τιθεμένην S.

68

⟨Α.⟩ μητέρα κατέκταν τὴν ἐμήν, βραχὺς λόγος.
⟨Φ.⟩ ἑκὼν ἑκοῦσαν ἢ ⟨οὐ⟩ θέλουσαν οὐχ ἑκών;

Aristot. Eth. Nic. 5, 11 p. 1136 a 13: ὥσπερ Εὐριπίδης εἴρηκε λέγων ἀτόπως 'μητέρα — οὐχ ἑκών'. ubi Michael Ephes. fol. 74 b: παρατίθεται τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα ἐκ τοῦ Βελλεροφῶντος (βελλεροφόντος ed.) εἰς πίστωσιν τοῦ ἔστιν ἑκόντα ἀδικεῖσθαι. Alcmeonis esse locum vidit Welcker. v. 1 κατέκτα libri, κατέκταν Boissonade. v. 2 οὐ addidit Grotius, ἄκουσαν οὐχ ἑκὼν habet paraphrastes. priorem versum fuisse Alcmeonis, Phegei alterum, agnovit Wagner.

69

μάλιστα μέν μ' ἐπῆρ' ἐπισκήψας πατήρ,
ὅθ' ἅρματ' εἰσέβαινεν εἰς Θήβας ἰών.

Aristot. Eth. Nic. 3, 1 p. 1110 a 28: ἔνια δ' ἴσως οὐκ ἔστιν ἀναγκασθῆναι, ἀλλὰ μᾶλλον ἀποθανετέον παθόντι τὰ δεινότατα. καὶ γὰρ τὸν Εὐριπίδου Ἀλκμέωνα γελοῖα φαίνεται τὰ ἀναγκάσαντα μητροκτονῆσαι. ubi Scholia fol. 39 b: λέγει γὰρ παρ' αὐτῷ ὁ Ἀλκμαίων 'μάλιστα — ἰών'. διὰ γὰρ τούτων ἐντολὰς τοῦ πατρὸς διηγεῖται ὡς ἐντειλαμένον αὐτοῦ (αὐτῷ?) ἀποκτεῖναι τὴν μητέρα καὶ καταρασαμένου (καταρασομένου ed.) αὐτοῦ, εἰ μὴ ἀποκτείνῃ, ἀκαρπίαν τε γῆς καὶ ἀτεκνίαν. v. 1 ἐπῆρεν ed. v. 2 ὅθ' ἅρματ'] ὅθ' ἅρμα ed.

70

ὃς Οἰδίπουν ἀπώλεσ', Οἰδίπους δ' ἐμέ,
χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν.

Schol. Pind. Nem. 4, 32: Ἀμφιτρύωνος· ἀντὶ πατρωνυμικοῦ τοῦ Ἀμφιτρυωνιάδου — ὡς δὲ (f. δὴ) Ὅμηρος λέγει 'Ὑπερίονος Ἠελίοιο ἀντὶ τοῦ Ὑπεριονίδου, καὶ Εὐριπίδης 'ὃ — πόλιν'. οὐ γὰρ ὁ Οἰδίπους ἤνεγκε χρυσοῦν ὅρμον εἰς Ἄργος, ἀλλ' ὁ Πολυνείκης, καὶ ἔδωκεν Ἐριφύλῃ. ἔστιν οὖν Οἰδιποδίδης δέ με ὁ Πολυνείκης. Alcmeoni hos versus adscripsit Barnes. v. 1 sine poetae et fab. nom. extat ap. Anonymum de barbarismo et soloec. p. 291, 11 edit. meae (Anecd. Boiss. vol. 3 p. 239): περὶ τὰ εἴδη (sc. σολοικίζουσιν), 'ὃς Οἰδίπουν ἀπώλεσεν, Οἰδίπους δ' ἐμέ'. ὃ σοὶ (vel ὅσοι) χρυσοῦν Schol. Pind., ὃς (ὡς cod.) Οἰδίπουν Anon. δ' ἐμέ] δέ με Schol. Pind.

71

αἷμα γὰρ σόν, μῆτερ, ἀπενίψατο

Anonymus in Anecd. Oxon. vol. 3 p. 194, 3 de v. αἷμα disserens: τοιοῦτον δέ τι δοκεῖ τὸ (τῷ ed., corr. Wagner) παρ' Εὐριπίδῃ ἐν τῷ διὰ Ψωφῖδος Ἀλκμαίωνι· αἷμα γάρ, φησί, σὸν μήτηρ ἀπενίψατο· τουτέστι καθάρσει τινὶ τὸν τῆς μητροκτονίας ἀπενίψατο μολυσμόν. αἵματι σὸν αἷμα, μῆτερ, ἐξενίψατο coni. Gomperz *Nachl.* p. 19, μῆτερ ἐξενίψατο praeierat S. Mekler Eurip. p. 61.

72

χαῖρ', ὦ γεραιέ· τήν τε παῖδ' ἐκδοὺς ἐμοὶ
γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ' ἐμός.

Photius Lex. p. 410, 7 et Suid.: πενθερὰ τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ καὶ πενθερὸς ὁ πατήρ· Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ

τάξιν λέγει. ὁ γοῦν Ἀλκμαίων τῷ Φηγεῖ φησί '*καί — ἐμός*'. v. 1 *καὶ σὲ* vel *καί σ'* libri, *χαῖρ'* Meineke, sicut *χαῖρ' ὦ γεραιέ* Eur. El. 553 dixit. *παῖδα μὴ δῶς* Phot., *παῖδα μὴ δοὺς* Suid., *παῖδ' ἢν δῷς* Grotius, *παῖδα δοὺς* Valckenaer in Eur. Phoen. 431, ego *παῖδ' ἐκδοὺς* scripsi. v. 2 *νομίζου* malim.

73

ἀργαίνειν

Hesych. 1 p. 271: *ἀργαίνειν· λευκαίνειν. Εὐριπίδης Ἀλκμαίωνι διὰ Ψωφῖδος* (*ἀλκμαίονι διὰ .. φίδος* cod.). Eust. Od. p. 1430, 62: *ἀργαίνειν τὸ λευκαίνειν παρ' Εὐριπίδῃ ἐν Ἀλκμαίωνι.*

74

φίλαι φίλαι,
πρόβατε, μόλε τις ὧδε· ποδαπὸς ὁ ξένος
Κορινθίοις ἔμολεν ἀγχίαλος;

Anecd. Paris. vol. 1 p. 20: *πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ γινομένη ἅμα τῇ εἰσόδῳ, ὥσπερ — ἐν Ἀλκμαίωνι τῷ διὰ Κορίνθου* '*φίλε — ἀγχίαλος;*' quae ex codice Parisino 1773 edidit Cramer, eadem extant in codice Florentino (Laur.-Bad. 2823), cuius lectiones indicavit Vitelli in Spicilegio Flor. I. v. 1 *φίλαι φίλαι* Hermann, *φίλε φίλε* libri. v. 2 *ὁδε* cod. Flor., *ὅδε* cod. Par., *ὧδε* Meineke. v. 3 *κορινθίοις* Hermann, *κορίνθιος* libri. *ἔμολ'* cod. Par. pr. teste Leopoldo Cohn Philol. 46 p. 26. *ἀγχιάλοις* coni. Od. Mueller Mus. Rhen. vol. 5 (a. 1837) p. 361, *ἄγχιμος* Meineke.

75

ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα,
ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα,
κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.

Stob. Flor. 90, 2: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Ἀλκμέωνι* (sic fere M, ubi *ἀλκμένωνι* scribitur, *ἀλκμ*^αι S, *ἀλκμαιῶνι* A). '*ὦ παῖ — πατρός*'. cum v. 3 cf. Eupolis Com. 2 p. 463: *οὐ δεινὸν οὖν κριοὺς ἔμ' ἐκγεννᾶν τέκνα, ὄρνεις δ' ὁμοίους τοὺς νεοττοὺς τῷ πατρί.* utrius Alcmeonis sit locus docet versus primus.

76

ὁρᾶτε τὸν τύραννον ὡς ἄπαις γέρων
φεύγει· φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

Stob. Flor. 22, 13: *Εὐριπίδου Ἀλκμαίωνος* (*ἀλκμαῖ* S). '*ὁρᾶτε — μέγα*'. ad posteriorem Alcmeonem hos versus rettulit Welcker.

77

ἀπαιώνιστον

Hesych. 1 p. 224: *ἀπαιώνιστον· δύσφημον. Εὐριπίδης ἀλλὰ καὶ διὰ ἀκορίν* (sic cod., *Εὐριπίδης Ἀλκμαίωνι διὰ Κορίνθου* Matthiae).

78

γυναῖκα καὶ ὠφελίαν
καὶ νόσον ἀνδρὶ φέρειν
μεγίσταν ἐδίδαξα τῷμῷ λόγῳ.

Stob. Flor. 69, 7: *Εὐριπίδου Ἀλκμέωνος* (sic M, *ἀλκμαίωνος* A, eclogam om. S). '*γυναῖκα — λόγῳ*'. v. 1 *ὠφέλειαν* libri, *ὠφελίαν* Dindorf. Zon. Lex. p. 1897: *ὠφέλεια· παρὰ δὲ τῷ Εὐριπίδῃ εὕρηται καὶ ὠφελία.* v. 2 *καὶ νόσον*] *καὶ ὄνασιν* coni. Wecklein Cur. crit. p. 176. *φέρειν* Valckenaer Diatr. p. 149, *φέρει* MA. v. 3 *μεγίσταν* MA, *μεγίστων* invitis libris ed. *ἐδιδάξα* M, *ἔδειξα* scripserim. *τ' ἐμῷ* M, *τῷ ἐμῳ* A.

79

βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους·
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.

Stob. Flor. 22, 8: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *ἀλ*ᵏ (sic S, eclogam om. MA). '*βροτοῖς — φέρειν*'. v. 1 *νόσους* Gesner, *νόσος* S. v. 2 *θεῶν δὲ κόσμον οὐ πρέπει θνητοὺς* (vel *θνητὸν οὐ πρέπει*) *φορεῖν* Cobet Coll. crit. p. 211.

80

φεῦ ⟨φεῦ⟩, τὰ μεγάλα μεγάλα καὶ πάσχει κακά.

Stob. Flor. 49, 6: *Εὐριπίδου Ἀλκμέωνος* (sic M, *ἀλκμαίωνος* SA). '*φεῦ — κακά*'. *φεῦ φεῦ* Gesner, *φεῦ* semel SMA.

81

ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.

Stob. Flor. 22, 24: *Εὐριπίδου Ἀλκμαίωνι* (*ἀλ*ᵏ S). '*ταπεινὰ — τύχης*'. cum v. 1 compares fr. 957.

82

τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς
μιάσματα

Stob. Flor. 79, 15: *Εὐριπίδου Ἀλκμέωνος* (sic M, *ἀλκμαίωνος* A, eclogam om. S). '*τὰ — μιάσματα*'.

83

εἰ τοῦ τεκόντος οὐδὲν ἐντρέπῃ πατρός

Priscianus Inst. 18, 211 vol. 2 p. 311, 21: *Attici ἐντρέπομαι τοῦτο καὶ τούτου. — Euripides in Alcmaone* 'ΕΙΤΟΥ ΤΕ ΚΟΤΟC ΟΥΔΕΝ ΕΝΤΡΕΠΗ ΠΑΤΡΟC'. sic codex Paris., *ἦ* (vel *σὺ*) *τοῦ τεκόντος — πατρός*; malit F. G. Schmidt *Krit. Stud.* 2 p. 439.

84

ἢ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ,
εἰ μὴ ἐπὶ τοῖς δεινοῖσιν ὠφελήσομεν;

Stob. Flor. 79, 23: *Εὐριπίδου Ἀλκμέωνι* (sic M, *ἀλκμαίωνι* A, lemma om. S). '*ἢ — ὠφελήσομεν;*'

85

μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.

Stob. Flor. 62, 20: *Εὐριπίδου Ἀλκμέωνος* (sic M, *βουσιρίδ* S, eclogam om. A). '*μέτεστι — νόσου*'. fortasse ad Busiridem potius quam ad Alcmeonem versus referendus est.

86

ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,
πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει.

Stob. Flor. 62, 22: *Εὐριπίδου Ἀλκμέωνος* (sic M, *ἀλκμαίωνος* SA). '*ὅστις — ὀφλισκάνει*'.

87

γυναῖκες, ὁρμήθητε μηδ' ἀθυμία
σχέθῃ τις ὑμᾶς· ταῦτα γὰρ σκεθρῶς ὁρᾶν
ἡμᾶς ἀνάγκη τοὺς νομίζοντας τέχνην

Erotianus Gloss. Hippocr. p. 119, 14: *σκεθροτέρης — ὁτὲ μὲν ἀντὶ τοῦ ἀληθοῦς, ὁτὲ δὲ ἀντὶ τοῦ ἀκριβοῦς λογισμοῦ τὸ σκεθρόν, ὡς καὶ Εὐριπίδης ἐν Ἀλκμαίωνι φησί* '*γυναῖκες — τέχνην*'. v. 1 *ἀτιμίαν* libri, *ἀθυμίᾳ* Scaliger, *ἀθυμία* Vulcanius et Elmsley in Eur. Heracl. 272. v. 2 *σκεθρήν* libri, *σχέθῃ* Vulcanius, *σχεθῇ* Scaliger. *ὑμῶν* libri, *ὑμᾶς* Elmsley. *σκεθρώβοραν* libri, *σκεθρῶς ὁρᾶν* Vulcanius. v. 3 *τέχνην*] *τύχην* expectes.

ΑΛΚΜΗΝΗ

Omittit hanc fabulam marmor Albanum (C. I. 6047), obiter commemorat Plautus Rudent. 86: *pro di inmortales, tempestatem quoiusmodi Neptunus nobis nocte hac misit proxuma! — non ventus fuit, verum Alcumena Euripidi.* argumentum Euripideae fabulae ope vasis picti sagaciter investigavit R. Engelmann in commentatione programmati gymn. Fridericiani Berol. a. 1882 addita, cf. Hygin. fab. 29 et Apollod. 2, 4, 6—8. proposuisse videtur Euripides Alcmenam, cum in perfidiae suspicionem incurrisset, ab Amphitruone coniuge rogo impositam et per Iovem, qui eam Amphitruonis forma induta fefellerat, servatam. suspicor huc referendum esse adesp. fr. 400. fortasse eiusdem fabulae mentio facta est ab Hesychio v. ἀποστάς (cf. Aesch. fr. 12) et v. ἀπρόσειλος (Eur. fr. 845).

88

πολὺς δ' ἀνεῖρπε κισσὸς εὐφυὴς κλάδος,
ἀηδόνων μουσεῖον

Ar. Ran. 93: *ἐπιφυλλίδες ταῦτ' ἐστὶ καὶ στωμύλματα χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης.* ubi Schol.: *παρὰ τὰ ἐν Ἀλκμήνῃ Εὐριπίδου 'πολὺς — μουσεῖον'.* fabulae nomen om. Suidas v. *χελιδόνων μουσεῖα.* v. 1 *ἂν εἷρπε* Scholiorum RΘ. *ἐκ φυῆς* R. *κλάδους* coni. Bergk, *κλάδοις* G. Hermann. *εὐφυεῖς κλάδους* Meineke in Theocr. p. 439 (ad quam suspicionem confirmandam Haupt Opusc. 3 p. 482 attulit Poll. 1, 236: *κλάδοι — ἁδροί, εὐφυεῖς*), *ἐμφυὴς κλάδοις* Wecklein *Stud. zu Eur.* p. 420. v. 2 *χελιδόνων* libri, *ἀηδόνων* Meineke.

89

οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐτυχῆ
χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν.

Ar. Ran. 536: *μετακυλίνδειν αὑτὸν ἀεὶ πρὸς τὸν εὖ πράττοντα τοῖχον.* ubi Schol. (cf. Suid. v. *ταῦτα πρὸς ἀνδρός ἐστι*): *ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Εὐριπίδου 'οὐ γάρ — ἀποστερεῖν'.* v. 1 *εἰς* om. Schol., habet Suid. v. 2 *δίκης σ'* Grotius. de Sthenelo cf. Apollod. 2, 4, 6, 5. verba poetae obscura.

90

πόθεν δὲ πεύκης πανὸν ἐξηῦρες λαβεῖν;

Pollux 10, 117: *πανός μέντοι καὶ φανός ἢ λαμπάς, ὡς ὅταν φῇ ἐν τῇ Ἀλκμήνῃ Εὐριπίδης 'πόθεν — λαβεῖν;' ἐξεῦρες* libri.

91

ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει.

Stob. Flor. 43, 22: *Εὐριπίδου* (sic MA, *τοῦ αὐτοῦ* S) *Ἀλκμήνης.* '*ἀτρέκεια — πέλει*'. *ἀτρέκεια δὲ* | *ἄριστον. ἀνδρὸς ὅπλον ἐνδίκου πέλει* coni. Herwerden Exerc. crit. p. 33.

92

ἴστω τ' ἄφρων ὢν ὅστις ἄνθρωπος γεγὼς
δῆμον κολούει χρήμασιν γαυρούμενος.

Stob. Flor. 45, 9: *Εὐριπίδου Ἀλκμήνης.* '*ἴστω — γαυρούμενος*'. eclogam om. S. v. 1 *ἴστω τ'* MA, *ἴστω δ'* Gesner. *ὅστις ὄλβιος γεγὼς* coni. Herwerden in Eur. Ion. p. 152, *ὅστις ἀρχὸς ὢν* (vel *ὢν πρῶτος*) *πόλεως* F. G. Schmidt *Krit. Stud.* 2 p. 440, *ὅστις αὐθάδης γεγὼς* Gomperz. v. 2 *κωλύει* M.

93

ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ
δούλοις ἄριστα· κἀφ' ὅτῳ τεταγμένος
εἴη τις, ἀνδάνοντα δεσπόταις ποεῖν.

Stob. Flor. 62, 24: *Εὐριπίδου Ἀλκμήνης.* '*ἀεὶ — ποιεῖν*'. eclogam om. S. v. 1 *μέλον δ' ἀρέσκειν* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 440. v. 2 *κάφότω* M, *κάφί τῳ* A. *ποιεῖν* MA.

94

τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος.

Stob. Flor. 45, 7: *Ἀλκμήνη* (sic S, eclogam om. MA). '*τῶν γὰρ — λόγος*'. *τῶν γὰρ δυναστῶν*] *τῶν δυνατῶν* Flor. Mon. 126, ubi poetae et fabulae nomen om.

95

ἀλλ' οὐδὲν ηὑγένεια πρὸς τὰ χρήματα·
τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.

Stob. Flor. 92, 1: *Εὐριπίδου Ἀλκμήνῃ.* '*ἀλλ' — ἄγει*'. v. 1 *ἡ εὐγένεια* SMA. v. 2 *πλοῦτος* om. A.

96

σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία.

Stob. Flor. 93, 15: *Εὐριπίδου* (sic SM, *τοῦ αὐτοῦ* A) *Ἀλκμήνης* (sic MA, sed M ex corr., om. fabulae nomen S). '*σκαιόν — ἀπειρία*'.

97

ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ⟨δ'⟩ ἴσως
ἔπραξας· αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ
μισῶ· λόγος γὰρ τοὔργον οὐ νικᾷ ποτε.

Stob. Flor. 99, 16: *Εὐριπίδου Ἀλκμήνῃ.* 'ἀλλ' — ποτε'. v. 1 δ' addidit Matthiae. v. 2 ἔπραξ'· ἐπαινεῖσθαι δὲ cum Herwerdeno (Exerc. crit. p. 34) aut ἔλεξας· αἰνεῖσθαι δὲ requirit F. G. Schmidt *Krit. Stud.* 2 p. 440. v. 3 λόγος Porson, λογισμὸς S, λογισμοὺς MA. v. 3 πότμον pro τοὔργον scribi vult F. G. Schmidt, qui etiam νικᾷ verbum in suspicionem vocat.

98

ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.

Stob. Flor. 108, 18: *Εὐριπίδου Ἀλκμήνης.* 'ἀλλ' — εὐγενῆ'. ἀλλ' εὖ] στερρῶς Men. mon. 480, quod probat Cobet N. L. p. 73. εὐμενῆ Stobaei S.

99

τὸν εὐτυχοῦντα χρῆν σοφὸν πεφυκέναι.

Stob. Flor. 45, 12: *Εὐριπίδου Ἀλκμήνῃ.* 'τὸν — πεφυκέναι'. χρὴ SMA, χρῆν Meineke.

100

θάρσει, τάχ' ἂν γένοιτο· πολλά τοι θεὸς
κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ.

Stob. Flor. 111, 7: *Εὐριπίδου Ἀλκμήνης.* 'θάρσει — πέλει'. v. 1 πολλὰ τοῖς θεοῖς SMA, πολλά τοι θεὸς Musgrave. v. 2 εὔποτμ' F. G. Schmidt *Krit. Stud.* 2 p. 440. πέλει SMA, τελεῖ Lobeck in Soph. Ai. 716.

101

ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ
τίκτει βροτοῖσιν.

Stob. Flor. 98, 22: *Εὐριπίδου Ἀλκμήνης* (sic S, eclogam om. MA). 'ἀλλ' — βροτοῖσι'. quod olim suasi ἀλλ' ἦμαρ ἕν τοι ne nunc quidem improbo (cf. Eur. Hec. 285 Ion. 1517 Phoen. 1689 fr. 420, 2 fr. 549 Sosiph. fr. 3, 3 al.). utique vero μέλαινα epitheton hoc loco ineptum. scripserim ἀλλ' ἦμαρ ἕν τοι πολλὰ καὶ μί' εὐφρόνη τίκτει βροτοῖσιν, ubi μί' εὐφρόνη suasit O. Hense Exerc. crit. p. 14.

102

σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας
πάντες διαθρεῖν ἢ τύχας τὰς οἴκοθεν.

Stob. Flor. 114, 3: *Εὐριπίδου Ἀλκμήνης* (sic A, *ἀλκμωνης* M, fabulae nomen om. S). '*σοφώτεροι — οἴκοθεν*'. v. 2 *διαιρεῖν* SMA, *διαθρεῖν* Valckenaer. *ἢ τύχας*] *ἴσμεν ἢ* coni. Cobet Mnem. nov. 2 p. 444. non Euripidis, sed comici poetae esse sententiam suspicatur Dobree Adv. 2 p. 289.

103

δεινόν τι τέκνων φίλτρον ἐνῆκεν
θεὸς ἀνθρώποις.

Stob. Flor. 83, 6: *Εὐριπίδου Ἀλκμήνῃ* (sic MA, fabulae nomen om. S). '*δεινόν — ἀνθρώποις*'. v. 1 *τέκνον* S. *ἐνῆκεν* Cobet Mnem. 11 p. 445, *ἔθηκεν* SMA.

104

ἀμολγὸν νύκτα

Hesych. 1 p. 150: *ἀμολγὸν νύκτα· Εὐριπίδης Ἀλκμήνῃ* (*ἀλημήνην* cod.), *ζοφερὰν καὶ σκοτεινήν. οἱ δὲ μέρος νυκτὸς καθ' ὃ ἀμέλγουσιν.*

ΑΛΟΠΗ

Cercyonem et Alopen idem drama dici intellexit Heath. argumentum tradit Hyginus fab. 187: *Alope Cercyonis filia formosissima cum esset, Neptunus eam compressit, qua ex compressione peperit infantem, quem inscio patre nutrici dedit exponendum. qui cum expositus esset, equa venit et ei lac praestabat. quidam pastor equam persecutus vidit infantem atque eum sustulit. qui veste regia indutum cum in casam tulisset, alter compastor rogavit ut sibi eum infantem donaret: ille ei donavit sine veste. cum autem inter eos iurgium esset, quod qui puerum acceperat insignia ingenuitatis reposceret, ille autem non daret, contendentes ad regem Cercyonem venerunt et contendere coeperunt. ille autem qui infantem donatum acceperat, repetere insignia coepit. quae cum adlata essent et agnosceret Cercyon ea esse ex veste scissa filiae suae, Alopes nutrix timens regi indicium fecit infantem eum Alopes esse. qui filiam iussit ad necem includi, infantem autem proici. quem iterum equa nutriebat, pastores iterum inventum infantem sustulerunt sentientes eum deorum numine educari, atque nutrierunt nomenque ei inposuerunt Hippothoum. Theseus cum ea iter faceret a Troezene, Cercyonem interfecit. Hippothous autem ad Theseum venit regnaque avita rogavit. cui Theseus libens dedit, cum sciret eum Neptuni filium esse, unde ipse genus ducebat. Alopes*

autem corpus Neptunus in fontem commutavit, qui ex nomine Alopes est cognominatus. Harpocr. p. 13, 7: *Ἀλόπη — Κερκύονος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθόων ὁ τῆς Ἱπποθοωντίδος* (l. *Ἱπποθῶν ὁ τῆς Ἱπποθωντίδος* cum Sauppio) *φυλῆς ἐπώνυμος, ὡς Ἑλλάνικός τε ἐν β' Ἀτθίδος καὶ Εὐριπίδης ἐν τῷ ὁμωνύμῳ* (*ὁμῶ* A, *ὁμω* ante lacunam BCFK, *ὁμωνύμῳ δράματι* coni. Bekker).

105

ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον
στείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον.

Ammon. de diff. voc. p. 137: *τρόχους δὲ βαρυτόνως λέγουσι τοὺς δρόμους· ἀναγινώσκομεν γάρ, ὥς φησίν, ἐν μὲν* (*μὲν ἐν* ed.) *Ἀλόπῃ Εὐριπίδου 'ὁρῶ — πεπαυμένον', ἐν δὲ Μηδείᾳ 'ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι'* (Med. 46). v. 1 *μὲν ἀνδρῶν*] *μένανδρον* ante Meursium. v. 2 *στείχονθ' ἑῷον* coni. Dindorf, *στείχοντ' ἀθύροντ'* Munro, *στείχοντα θερμὸν* F. G. Schmidt *Krit. Stud.* 2 p. 441. ego suspicabar *ἀνδρῶν — στόλον στείχονθ' ἑώρων* (cum v. l. *στείχονθ' ὁρῶμεν*) *ἐκ τρόχων πεπαυμένον.* quam suspicionem probat Th. Gomperz ita ut v. 1 *ἐγὼ μὲν ἀνδρῶν τῶνδε* praeferat.

106

. . *γέμουσαν κύματος θεοσπόρου*

Eust. Il. p. 656, 58: *κῦμα τὸ γέννημα — ὡς δηλοῖ παρ' Εὐριπίδῃ ἐν Κερκυόνι τὸ 'γέμουσαν — θεοσπόρου', ἤγουν ἐγκυμονοῦσαν ἐκ Ποσειδῶνος.* ibid. p. 1234, 42: *ὅτι δὲ κῦμα δριμέως καὶ τὸ κατὰ γαστρὸς ἔμβρυον λέγεται — δηλοῖ Εὐριπίδης ἐν τῷ 'γέμουσαν — θεοσπόρου'.* Eust. Od. p. 1640, 60: *κῦμα καὶ τὸ κύημα, ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν Κερκυόνι, οὗ τὴν θυγατέρα γέμειν ἔφη κύματος θεοσπόρου, τοῦ ἐκ Ποσειδῶνος δηλαδή.* ibid. p. 1681, 42: *παρὰ τῷ Εὐριπίδῃ ἔστιν εὑρεῖν ἐν τῷ κατ' αὐτὸν — Κερκυόνι, ὅπου λέγει τὴν ἐκείνου θυγατέρα 'γέμουσαν — θεοσπόρου'.*

107

πλήσας δὲ νηδὺν οὐδ' ὄναρ κατ' εὐφρόνην
φίλοις ἔδειξεν αὐτόν.

Eust. Od. p. 1902, 1: *Εὐριπίδης ἀνάπαλιν ἔφη ἐν Κερκυόνι ἐπὶ φίλου ἀμελοῦς, Ποσειδῶν δὲ ἦν ἐκεῖνος, τὸ 'πλήσας — αὐτόν'.* cf. Eust. Od. p. 1607, 3: *κατὰ τὸ 'πλήσας δὲ νηδύν', ὅπερ Εὐριπίδης ἐν Κερκυόνι φησὶν ἀντὶ τοῦ ἐγκύμονα ποιήσας.*

108

γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.

Stob. Flor. 73, 12: *Εὐριπίδου Ἀλόπης* (sic S, *ἀλλόπης* MA). '*γυνὴ — πως*'.

109

οὐ μὴν σύ γ' ἡμᾶς τοὺς τεκόντας ᾐδέσω.

Etym. M. p. 420, 18: *ᾐδέσθην σὺν τῷ Ι, παρὰ τὸ αἰδῶ περισπώμενον. Εὐριπίδης Ἀλόπῃ* (*ἀλύπῃ* ante Sylburgium). '*οὐ — ᾐδέσω*'. *οὐ μὴ* libri, corr. Porson.

110

ἐγὼ δ', ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν
ἐκ τοῦδε πρῶτον· πατρὶ πείθεσθαι χρεὼν
παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην.

Stob. Flor. 79, 29: *Εὐριπίδου Ἀλόπης*. '*ἐγὼ — δίκην*'. eclogam om. S. eosdem versus om. fab. n. habet Orion Flor. Eurip. 11 p. 56, 17. v. 1 *ὃ μὲν*] *ὅθεν* Orion. v. 2 *πρῶτον* om. Or. v. 3 *τ'*] *δ'* Or. *τοῦτ' εἶναι*] *τὴν* Or.

111

τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γένος
φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον
σφάλλουσιν οἴκους τῶν παρημελημένων.

Stob. Flor. 74, 17: *Εὐριπίδου Ἀλόπῃ* (*ἀλύπῃ* A, om. al.). '*τί — παρημελημένων*'. v. 1 *γάμον* SMA, *γένος* Hartung Eur. rest. 2 p. 179. v. 2 *εὖ πεφραγμέναι* (rectius *πεφαργμέναι*) coni. M. Seyffert Mus. Rhen. 15 (a. 1860) p. 618.

112

ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει,
λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει.

Stob. Ecl. 1, 8, 20 p. 97, 5: *Εὐριπίδου Ἀλόπῃ*. '*ὁ χρόνος — λέγει*'. v. 2 *ἄλλος* FP, *λάλος* Canter. *λάλος γὰρ οὗτος* coni. Meineke, *λάλος τις οὗτος* Conington, *λάλος ἐστὶ καὐτὸς* Haupt Opusc. 3 p. 482. *οὐκ*] *οὐδ'* Meineke, *κοὐκ* Conington. *ἐρωτῶσι* FP. *λέγων* Vitelli de Eur. El. p. 83. eclogae huic, non praegressae adscriptum est Euripidis nomen cum fabulae titulo corrupto: *ὁ* (with *λ'* above) enim praebet F, *πινελόπ* P, unde Musgrave *Μελανίππῃ* effecit, rectius *Ἀλόπῃ* Conington; quem secutus est Wachsmuth. ad versus hos quos apposuimus, qui comico potius quam tragico poetae conveniunt, probabiliter

Wachsmuth trahi vult *Φιλήμονος* lemma in F eclogae 23 adscriptum, quod in vicinia non habet quo referatur. quae si vera est coniectura, ad Alopen referendum erit adesp. 510 olim Melanippae insertum auctore Musgravio.

113

ὀδῆσαι

Phot. Lex. p. 315, 13: *ὀδῆσαι· τὸ ὠνήσασθαι. Εὐριπίδης Ἀλόπῃ καὶ Κύκλωπι.*

ΑΝΔΡΟΜΕΔΑ

Eratosth. Catast. 15: *Κηφεύς — ἦν δέ, ὡς Εὐριπίδης φησίν, Αἰθιόπων βασιλεύς, Ἀνδρομέδας δὲ πατήρ· τὴν δ' αὐτοῦ θυγατέρα δοκεῖ παραθεῖναι* (l. *προθεῖναι*) *τῷ κήτει βοράν, ἣν Περσεὺς ὁ Διὸς διέσωσε, δι' ἣν καὶ αὐτὸς ἐν τοῖς ἄστροις ἐτέθη Ἀθηνᾶς γνώμῃ.* ibid. 17: *Ἀνδρομέδα. αὕτη κεῖται ἐν τοῖς ἄστροις διὰ τὴν Ἀθηνᾶν τῶν Περσέως ἄθλων ὑπόμνημα, διατεταμένη τὰς χεῖρας, ὡς καὶ προετέθη τῷ κήτει· ἀνθ' ὧν σωθεῖσα ὑπὸ τοῦ Περσέως οὐχ εἵλετο τῷ πατρὶ συμμένειν οὐδὲ τῇ μητρί, ἀλλ' αὐθαίρετος εἰς τὸ Ἄργος ἀπῆλθε μετ' ἐκείνου εὐγενές τι φρονήσασα. λέγει δὲ καὶ Εὐριπίδης σαφῶς ἐν τῷ περὶ αὐτῆς γεγραμμένῳ δράματι.* cf. Schol. German. Caes. Arat. p. 77, 7 p. 78, 13 p. 137, 14 p. 138, 12 p. 139, 23 p. 140, 4 Hygini Poet. astron. 2, 9—11 p. 443 sq. pluribus mythum persequuntur Apollod. 2, 4, 3 Ov. Met. 4, 662 sqq. Hyginus fab. 64 al. fabula quando scenae commissa sit docent Schol. Ar. Ran. 53: *τῶν καλλίστων Εὐριπίδου δραμάτων ἡ Ἀνδρομέδα· διὰ τί δὲ μὴ ἄλλο τι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης Φοινισσῶν Ἀντιόπης; ἡ δὲ Ἀνδρομέδα ὀγδόῳ ἔτει* (olymp. 91, 4) *προεισῆλθεν.* cf. Schol. Ar. Av. 348: *καὶ δοῦναι ῥύγχει φορβάν*] *παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας 'ἐκθεῖναι κήτει φορβάν', ὡς Ἀσκληπιάδης τὰ μηδέπω διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος.* Ar. Thesm. 1060: *Ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκάστρια, ἥπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.* ubi Schol.: *ἐπεὶ πέρυσιν* (anno ante olymp. 92, 1) *ἐδιδάχθη ἡ Ἀνδρομέδα.* Schol. Ar. Thesm. 1012: *Ἀνδρομέδαν*] *πιθανῶς· συνδεδίδακται γὰρ τῇ Ἑλένῃ.* praestantiam fabulae vel illud arguit quod ab Aristophane cum in aliis comoediis tum in Thesmophoriazusis dedita opera ridetur. eiusdem Alexander admirator fuit, si vera sunt quae tradit Nicobule Ath. XII p. 537 D: *ὅτι ἐν τῷ τελευταίῳ δείπνῳ αὐτὸς ὁ Ἀλέξανδρος ἐπεισόδιόν τι μνημονεύσας ἐκ τῆς Εὐριπίδου Ἀνδρομέδας ἠγωνίσατο.* nec posteriore tempore illustrissimi dramatis gloriam extinctam esse colligimus ex iis quae de Abderitis narrat Lucianus de conscr. hist. c. 1 vol. 2 p. 2: *ἅπαντες γὰρ ἐς τραγῳδίαν παρεκινοῦντο καὶ ἰαμβεῖα ἐφθέγγοντο καὶ μέγα ἐβόων, μάλιστα δὲ τὴν Εὐριπίδου Ἀνδρομέδαν ἐμονῴδουν καὶ τὴν*

τοῦ Περσέως ῥῆσιν ἐν μέρει διεξῄεσαν, καὶ μεστὴ ἦν ἡ πόλις ὠχρῶν ἁπάντων καὶ λεπτῶν τῶν ἑβδομαίων ἐκείνων τραγῳδῶν, 'σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως' καὶ τὰ ἄλλα μεγάλῃ τῇ φωνῇ ἀναβοώντων. cf. Eunapius (p. 80 ed. Nieb.) in Maii Scr. vet. nov. coll. 2 p. 275, quo de loco dixerunt Meineke in Herm. vol. 2 p. 403 et Bernays *Gesamm. Abhandl.* 2 p. 293. actorem Euripideae fabulae spectat corrupta glossa Hesychii 3 p. 321: *περισχαδόν· τὸν ὑποκρινόμενον τὸν Περσέα ὡς πτωχὸν καὶ φθισίμορφον* (cf. Meineke Com. 4 p. 702). usus est Euripidea fabula Ennius in Andromeda. olim huc relatum est fr. 1054. Andromedae Euripideae esse adesp. fr. 537 probabiliter coni. O. Hense. sagaciter disputavit de hac fabula Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. d. Wissensch. zu München* 1888 vol. 1 p. 87—98, quem potissimum in disponendis fragmentis secutus sum.

114

ΑΝΔΡ. *Ὦ νὺξ ἱερά,*
ὡς μακρὸν ἵππευμα διώκεις
ἀστεροειδέα νῶτα διφρεύουσ'
αἰθέρος ἱερᾶς
τοῦ σεμνοτάτου δι' Ὀλύμπου. 5

Ar. Thesm. 1065: 'ὦ νὺξ — δι' Ὀλύμπου'. ubi Scholia: ὁ *Μνησίλοχος* (huic enim Aristophanes verba tribuit) *ὡς Ἀνδρομέδα. τοῦ προλόγου τῆς Ἀνδρομέδας εἰσβολή.* v. 1—3 ex Euripide afferuntur in Schol. Theocr. 2, 166: *ὅτι δὲ ἐπὶ ἅρματος ὀχεῖται ἡ νύξ, Εὐριπίδης 'ὦ νὺξ — νῶτα διφρεύουσα'.* v. 1 et 2 Schol. Oribas. vol. 3 p. 684: *καὶ παρὰ τῷ τραγικῷ '⟨ὦ⟩ νὺξ ἱερά'· ἐπιφέρει γοῦν 'ὡς μακρὸν ἵππευμα διώκεις'.* Caelius Aurelianus de morbis chronicis 1, 4, 60: *maiora enim vulgus sacra vocavit; inde sacrum dictum mare* (spectari videtur Soph. Oed. R. 1420, cf. Dionys. Per. 1182 et Quint. Smyrn. 2, 117) *et sacra domus* (Il. Z 89), *velut tragicus poeta sacram noctem hoc est magnam appellavit.* Schol. TV Il. Ω 12: *ἐμφαίνει ἄδηλον εἶναι τὸν* (?) *ἐπὶ τῷ μήκει τῆς νυκτός, ὡς καὶ ἡ Ἀνδρομέδα 'ὦ νὺξ ἱερά'.* v. 3 *ἀστεροειδέα* vitiosum. v. 4 *ἱρᾶς* coni. G. Hermann, *αὔραις* Bothe, *ἁγνᾶς* Herwerden Exerc. crit. p. 34. Euripideum locum expressit Ennius Andromed. fr. 1 p. 27 ed. Ribb.: (nox) *quae cava caeli signitenentibus conficis bigis.*

115

τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
μέρος ἐξέλαχον, θανάτου τλήμων
μέλλουσα τυχεῖν;

Ar. Thesm. 1070: ΜΝΗΣ. 'τί ποτ' — ἐξέλαχον;' ΕΥΡ. μέρος ἐξέλαχον; ΜΝΗΣ. 'θανάτου τλήμων'. ΕΥΡ. θανάτου τλήμων. ubi Scholia v. 1070: καὶ τοῦτο ἐκ τοῦ προλόγου (Andromedae Euripideae). et 1072: λείπει 'μέλλουσα τυχεῖν'.

116

ποῖαι λιβάδες, ποία σειρήν

Ar. Lys. 963: ποία ψυχή, ποῖοι δ' ὄρχεις, ποία δ' ὀσφύς; ubi Schol.: παρὰ τὰ ἐξ Ἀνδρομέδας 'ποῖαι — σειρήν;'

117

φίλαι παρθένοι, φίλαι μοι

Ar. Thesm. 1015: φίλαι παρθένοι φίλαι, πῶς ἂν ἀπέλθοιμι καὶ τὸν Σκύθην λάθοιμι (λάβοιμι libri); ubi Schol.: παρὰ τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου 'φίλαι παρθένοι, φίλαι μοι'. τὰ δὲ ἐπιφερόμενα παρὰ τὸ αὐτὸ χορικόν (πρὸς τὸ αὐτὸ χρήσιμον cod., correxit Wilamowitz-Moellendorff Ind. schol. Gotting. aest. a. 1884 p. 16). itaque etiam verbis πῶς ἂν ἀπέλθοιμι Euripidea subesse videntur; quid mutarit Aristophanes nescimus.

118

προσαυδῶ σὲ τὰν ἐν ἄντροις,
ἀπόπαυσον, ἔασον. Ἀ-
χοῖ με σὺν φίλαισιν
γόου κόρον λαβεῖν.

Ar. Thesm. 1018: κλύεις ὦ πρὸς Αἰδοῦς σε τὰν ἐν ἄντροις, κατάνευσον, ἔασον ὥς τὴν γυναῖκά μ' ἐλθεῖν. ubi Schol.: πρὸς τὴν ἠχὼ Ἀνδρομέδα λέγει 'προσαιδουσσαι — λαβεῖν'. cf. Schol. Ar. Thesm. 1059: εἰσήγαγε κακοστένακτον τὴν Ἠχὼ ὁ Εὐριπίδης ἐν τῇ Ἀνδρομέδᾳ. v. 1 προσαιδουσσαι τὰς cod., πρὸς Αἰδοῦς σὲ τὰν Seidler, προσαυδῶ σὲ τὰν ἐν ἄντροις Hermann. v. 2 ἀπόπασον cod., ἀπόπαυσον Seidler, ἀπόπαυσαι malim, cf. van de Sande Bakhuyzen de parod. in com. Ar. p. 127. v. 3 φίλαις vulgo, φίλαισιν scripsi, φίλᾳ σοι M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 549. v. 4 κόρον Herwerden Exerc. crit. 5, πόθον cod.

119

συνάλγησον, ὡς ὁ κάμνων
δακρύων μεταδοὺς ἔχει
κουφότητα μόχθων.

Stob Flor. 113, 2: Εὐριπίδου (τοῦ αὐτοῦ A) Ἀνδρομέδας.

'συνάλγησον — μόχθων'. chori notam praemittit S. v. 2 ἔχει SM, ἔχει τινὰ A. metrum congruit cum fr. 118, 1—3.

120

ἄνοικτος ὃς τεκών σε τὴν
πολυπονωτάτην βροτῶν
μεθῆκεν Ἅιδᾳ πάτρας ὑπερθανεῖν.

Ar. Thesm. 1022: *ἄνοικτος ὅς μ' ἔδησε τὸν πολυπονώτατον βροτῶν.* ubi Schol.: *παρὰ τὸ τοῦ χοροῦ ἐν Ἀνδρομέδᾳ 'ἄνοικτος — ὑπερθανεῖν'.* v. 3 *πατρὸς* vulgo, *πάτρας* Duentzer.

121

ἐκθεῖναι κήτει φορβάν

Ar. Av. 348: *ὡς δεῖ τώδ' οἰμώζειν ἄμφω καὶ δοῦναι ῥύγχει φορβάν.* ubi Schol.: *παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας 'ἐκθεῖναι — φορβάν', ὡς Ἀσκληπιάδης τὰ μηδέπω διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος, ὡς καὶ τὸ 'σὰ γὰρ ταῦτα πάντα καὶ τὸ τῇδε καὶ τὸ κεῖσε'* (Ar. Av. 423) *παρὰ τὰ ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν φησίν, 'κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ'* (Eur. Phoen. 266). Asclepiades in chronologia erravit, nec tamen effinxisse locum Andromedae putandus erit; fortasse Euripides Sophoclem imitatus est, cuius locum parodia expresserit Aristophanes.

122

Ar. Thesm. 1029—1041:

ὁρᾷς; οὐ χοροῖσιν
οὐδ' ὑφ' ἡλίκων νεανίδων 1030
. . . . ἕστηκ' ἔχουσ',
ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπλεγμένη
κήτει βορὰ . . . πρόκειμαι.
γαμηλίῳ μὲν οὐ ξὺν
παιῶνι, δεσμίῳ δέ, 1035
γοᾶσθέ μ', ὦ γυναῖκες, ὡς
μέλεα μὲν πέπονθα μέλεος,
ὦ τάλας ἐγὼ τάλας,
ἀπὸ δὲ συγγόνων τάλαν' ἄνομα πάθεα
φῶτά τε λιτομένα, 1040
πολυδάκρυτον Ἀίδα γόον φλέγουσαν

et mox v. 1047—1055:

ἰὼ μοίρας ἄτεγκτε δαίμων·
ὦ κατάρατος ἐγώ·

τίς ἐμὸν οὐκ ἐπόψεται
πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;
εἴθε με πυρφόρος ἀστεροπητὴς 1050
τὸν βάρβαρον ἐξολέσειεν.
οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν
ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην
λαιμότμητ' ἄχη, δαιμονῶν αἰόλαν
νέκυσιν ἐπὶ πορείαν. 1055

hoc canticum, quod Aristophanes Mnesilocho Andromedae partes agenti tribuit, maximam partem ex Euripidea tragoedia expressum videtur. Scholia v. 1030: *πάλιν ἐξ Ἀνδρομέδας.* 1034: *καὶ τοῦτο ἐξ Ἀνδρομέδας.* 1040: *καὶ ταῦτα ἐξ Ἀνδρομέδας.* versu 1031 quod in Aristophanis libris legitur *ψήφων κημὸν* omisi, item *Γλαυκέτῃ* 1033. versus 1038 si Andromedae Euripideae verba refert, *τάλαιν' ἐγὼ τάλαινα* expectes, sicut 1051 *τὰν δύσμορον ἐξολέσειεν.* non audemus tamen quid Aristophanes mutarit definire. cum v. 1048 cf. Eur. Andromach. 838: *ἁ κατάρατος ἐγώ.* v. 1050 *αἰθέρος ἀστὴρ* libri, *ἀστεροπητὴς* ex Soph. Phil. 1198 restituit Herwerden Exerc. crit. p. 75.

123

Περσεὺς πρὸς Ἄργος ναυστολῶν τὸ Γοργόνος
κάρα κομίζων

Ar. Thesm. 1101 tribus versibus quos in Eur. fr. 124 attulimus, subicit haec: '*Περσεὺς — κομίζων*'. Fritzschio et Welckero auctoribus olim coniunxi haec verba cum fr. 127, rectius iudicat van de Sande Bakhuyzen de parodia in com. Ar. p. 131.

124

ὦ θεοί, τίν' εἰς γῆν βαρβάρων ἀφίγμεθα
ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος
τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον.

Ar. Thesm. 1098: '*ὦ θεοί — ὑπόπτερον*'. ubi Schol.: *εἰς Περσέα* (*ἐστὶ Περσέως* coni. Fritzsche) *ἐξ Ἀνδρομέδας τρία τὰ πρῶτα, καὶ λοιπὸν ἐπέζευξε τὰ ἑξῆς.* v. 3 fortasse parodia expressit Ephippus Com. 3 p. 332: *εὖ δ' ἐν πεδίλῳ πόδα τιθεὶς ὑπὸ ξυρόν.* Meineke Euripideis versibus adiungendum suspicatur adesp. fr. 157.

125

ἔα, τίν' ὄχθον τόνδ' ὁρῶ περίρρυτον
ἀφρῷ θαλάσσης; παρθένου τ' εἰκώ τινα

ἐξ αὐτομόρφων λαΐνων τυκισμάτων
σοφῆς ἄγαλμα χειρός.

Ar. Thesm. 1105: *ἔα, τίν' ὄχθον τόνδ' ὁρῶ καὶ παρθένον θεαῖς ὁμοίαν, ναῦν ὅπως ὡρμισμένην.* ubi Scholia: *πάλιν ἐξ Ἀνδρομέδας* '*ἔα — εἰκώ τινα*' (v. 1 et 2). Maximus in Dionys. Areop. vol. 2 p. 234 C et Georg. Pachym. ibid. vol. 1 p. 564 D: *αὐτοφυὲς δὲ ἄγαλμα φησὶν ὃ γίνεται ἐν ὕλῃ ἀτμήτῳ — ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν Ἀνδρομέδᾳ* '*παρθένου — χειρός*' (v. 2—4). v. 2 *εἰκώ*] *εἰκόνα* Maximus. *παρθένου — τινα* om. Pachym. v. 3 *αὐτομόρφων*] *αὐτομόρφου* Pachym. *τειχισμάτων* libri, *τυκισμάτων* Iacobs, *τεχνασμάτων* Monk in Eur. Alc. 358. Euripidem imitatur Ovidius Met. 4, 675: *marmoreum ratus esset opus.* quae Aristophanes habet, *παρθένον θεαῖς ὁμοίαν, ναῦν ὅπως ὡρμισμένην*, ex Andromeda derivata esse non crediderim: *ναῦς ὅπως ὡρμισμένος* dixit Eur. Herc. 1094.

126

σιγᾷς· σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.

Stob. Flor. 34, 12: *Εὐριπίδου ἐν Ἀνδρομέδᾳ.* '*σιγᾷς — λόγων*'. eclogam om. A. quod olim conieci *σιωπὴ δὲ τορὸς* (pro *σιωπὴ δ' ἄπορος*) esse scribendum numeris refutatur. *λόγον* M. fortasse spectavit hunc versum Ov. Met. 4, 681: *primo silet illa nec audet appellare virum virgo.* cf. Eur. Hipp. 911: *σιγᾷς· σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς.*

127

ΠΕΡΣ. *ὦ παρθέν', οἰκτίρω σε κρεμαμένην ὁρῶν.*
ΑΝΔΡ. *σὺ δ' εἶ τίς ὅστις τοὐμὸν ᾤκτιρας πάθος;*

Ar. Thesm. 1110: '*ὦ — ὁρῶν*'. ib. 1058: *σὺ δ' εἶ τίς ἥτις τοὐμὸν ᾤκτιρας πάθος;* coniunxit hos versus Barnes, quod num recte fecerit, dubitat van de Sande Bakhuyzen de parodia in com. Ar. p. 131 sq. v. 1 *οἰκτείρω* et v. 2 *ᾤκτειρας* libri.

128

ὦ ξένε, κατοίκτιρόν με τὴν παναθλίαν,
λῦσόν με δεσμῶν.

Ar. Thesm. 1107: '*ὦ — δεσμῶν*'. ad Andromedam haec verba rettulit Matthiae. v. 1 *κατοίκτειρόν με* libri.

129

ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μοι χάριν;

Laert. Diog. 4, 29 de Arcesilao: *καὶ αὐτοῦ Κράντωρ ἐρωτικῶς*

διατεθεὶς ἐπύθετο τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου προενεγκάμενος 'ὦ — χάριν;' καὶ ὃς τὰ ἐχόμενα (fr. 132) 'ἄγου με, ὦ ξένε, εἴτε δμῶτ' ἐθέλεις εἴτ' ἄλοχον'. Schol. T Il. Ξ 235: εἰδέω χάριν] Ἀττικῶς ἀντὶ τοῦ ὀφλήσω, ὡς Εὐριπίδης 'ὡς πίθεν εἰς ὡς .... ἢ μοὶ χάριν' (quae verba correxit Bekker). Suidas v. εἴσῃ: Εὐριπίδης 'εἰ σώσαιμί σ', ἐξ Ἀνδρομέδας, ὦ παρθένε, εἴσῃ μοι χάριν;' quae Eubulo (Com. 3 p. 218) tribuuntur verba in Schol. Eur. Med. 476: παρθενεύσεις ἕξεις μοι χάριν, ex Andromedae Euripideae versu emendanda esse vidit Markland: ὦ παρθέν', εἰ σώσαιμί σ', ἕξεις μοι χάριν.

130

τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων
οὑπώποθ' ὕβρισ', αὐτὸς ὀρρωδῶν παθεῖν.

Stob. Flor. 112, 4: Εὐριπίδου (poetae nomen om. S) Ἀνδρομέδας (sic SA, ἀνδρομάχῃ M). 'τὰς — παθεῖν'. Stob. Flor. 5, 17: Εὐριπίδου (eclogam habet Trinc., om. SMA). 'τὰς — παθεῖν'. Persei esse verba testatur Ammonius Valck. p. 25 (Eranius Philo p. 158): ὀρρωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι, καὶ (σημαίνει τὸ εὐλαβεῖσθαι, καθὰ Eran.) Εὐριπίδης τὸν Περσέα εἰσάγει λέγοντα 'τὰς — παθεῖν'. v. 1 πεπραχότων Ammon., v. 2 ὀρροδῶν Stob. 112 SM.

131

μή μοι προτείνων ἐλπίδ' ἐξάγου δάκρυ.
γένοιτό τἂν πόλλ' ὧν δόκησις οὐκ ἔνι.

Stob. Flor. 111, 2: Εὐριπίδου Ἀνδρομέδας. 'μή μοι — ἔνι'. eclogam habent MA, om. S. v. 1 ἐλπίδα (qua de scriptura dixit C. Keil Sched. epigr. p. 8) M, ἐλπίδα A. ἐξάγου Valckenaer, ἐξ ἅδου MA. haud dissimilis versus est Aesch. Prom. 777: μή μοι προτείνων κέρδος εἶτ' ἀποστέρει. v. 2 γένοιτό τ' ἂν Musgrave, γένοιτο τἂν Gaisford, γένοιτο ταν M, γένοιτο τῶν A. πολλάων M, πολλὰ ὧν A. priorem Andromedae esse versum, alterum Persei coni. Matthiae.

132

ἄγου δέ μ', ὦ ξεῖν', εἴτε πρόσπολον θέλεις
εἴτ' ἄλοχον εἴτε δμωίδ' . . . . .

Herodianus qui dicitur περὶ σχημάτων p. 58, 10 (Rhet. vol. 8 p. 602): παρὰ τῷ Εὐριπίδῃ εἰσάγεται ἡ Ἀνδρομέδα (ἡ Ἀνδρομάχη libri) λέγουσα τῷ Περσεῖ 'ἄγου — δμωίδα'. cf. Laert. Diog. 4, 29 allatum fr. 129. Suidas: ἄλοχος· γαμετή. Εὐριπίδου ἐξ Ἀνδρομέδας 'ἄγου με, ὦ ξένε, εἴτε δμωίδ' ἐθέλεις εἴτ' ἄλοχον'. v. 1 ξεῖν' Herodiani AB, ξέν' CD, ξένε Laert. Diog. πρόσπολον θέλεις] πρὸς

ὄλυμπον ἐθέλῃς Herodiani A. v. 2 εἴτε δμωΐδα verba deleri vult Bothe, εἰς τὸ δῶμα coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 442.

133

ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.

Stob. Flor. 29, 57: *Ἀνδρομέδα* (sic SMA). '*ἀλλ' — πόνων*'. eundem versum ex Euripide afferunt Plut. Quaest. conv. 2, 1, 3 p. 630 E et Macrob. Sat. 7, 2, 9. om. poetae et fab. n. Anecd. Boiss. vol. 1 p. 159 et Aristot. Rhet. 1, 11 p. 1370 b 4, ubi Scholia fol. 22 b 39: *Εὐριπίδου τὸ ῥητόν.* respicit Theophrastus Char. 20 (quo de loco egit Haupt Opusc. 3 p. 499): *καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκετῶν 'εἰπέ, μάμμη, ὅτ' ὤδινες καὶ ἔτικτές με τίς ⟨ἦν⟩ ἡμέρα;' καὶ ὑπὲρ αὐτῆς δὲ λέγειν 'ὡς ἡδύ τοι'.* Themistius p. 55 D: *λέγει που ἡ τραγῳδία ὅτι φέρει πολλὴν ἡδονὴν καὶ τῷ σωθέντι μεμνῆσθαι πόνων παροιχομένων.* Epictetus fr. 121 vol. 3 p. 104 (dummodo Epicteti sit locus, cf. Boisson. in Choric. p. 73 sq.): *ὡς ἡδὺ τὴν θάλασσαν ἀπὸ γῆς ὁρᾶν, οὕτως ἡδὺ τῷ σωθέντι μεμνῆσθαι πόνων.* Latine reddidit Cicero de fin. 2, 32, 105: *nec male Euripides — suavis laborum est praeteritorum memoria.* cf. Senec. Herc. F. 656: *quae fuit durum pati, meminisse dulce est.* ἀλλ' Aristot. Stob., ὡς Theophr. Plut. Macrob. Anecd. Boiss. τοι Stob. S (ubi τι M, σοι A) Aristot. Macrob., τῷ Anecd. Boiss. et al. τι τὸν Plut. σωθέντα] σωθέντι Themist. Epictet. Anecd. Boiss.

134

εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.

Stob. Flor. 29, 20: *Εὐριπίδου Ἀνδρομέδας.* '*εὔκλειαν — πόνων*'.

135

ἦ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν·
ὡς τοῦ γε πάσχειν τοὐπιὸν μεῖζον κακόν.

Stob. Flor. 99, 11: *Εὐριπίδου Ἀνδρομέδᾳ.* '*ἦ που — κακόν*'. v. 2 τοῦ γε πάσχειν] τοῦ ἐν ποσίν γε coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 444, aptius fuerit τοῦ παρόντος, de quo cogitabat Wecklein, qui priorem versum Perseo, Cepheo alterum tribuit.

136

σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά,
ἢ τοῖς ἐρῶσιν εὐτυχῶς συνεκπόνει
μοχθοῦσι μόχθους ὧν σὺ δημιουργὸς εἶ.

καὶ ταῦτα μὲν δρῶν τίμιος θεοῖς ἔσῃ, 5
μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι φιλεῖν
ἀφαιρεθήσῃ χάριτας αἷς τιμῶσί σε.

Ath. XIII p. 561 B: ἕτερος δέ τις προσέθηκε τῶν Εὐριπίδου τάδε 'σὺ δ' — τιμῶσί σε'. v. 1—3 habet Stobaeus Flor. 64, 6: Εὐριπίδου. 'σὺ δ' ὦ — παρίστασο'. Andromedae esse locum docet qui v. 1 affert Lucianus (vide supra p. 392 sq.). v. 1 θεῶν τύραννε Lucian., τύραννε θεῶν τε Ath., κάκιστε πάντων θεῶν τε (τε om. S) Stob. Ἔρως om. Stob. v. 3 et 4 Athenaeus sic scriptos habet: ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ, μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει. exitus versuum inverti duce Stobaeo, ubi v. 3 ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο legitur. hinc pro εὐτυχῶς, quod ferri non potest, εὐμενῶς scripserim. εὖ τύχας volebat Dobree Adv. 2 p. 126, εὐφρόνως O. Hense Lect. Stob. p. 34. v. 5 θεοῖς vitiosum, θνητοῖς bene coni. Dobree in Ar. Vesp. 396 (qui θεῶν malebat), θεός τ' Bothe.

137

τῶν γὰρ πλούτων ὅδ' ἄριστος
γενναῖον λέχος εὑρεῖν.

Stob. Flor. 67, 10: Εὐριπίδου Ἀνδρομέδας. 'τῶν — εὑρεῖν'. v. 1 πλούτων] πότμων probabiliter corrigit F. G. Schmidt *Krit. Stud.* 2 p. 444.

138

ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν,
ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
οὐκ ἔσθ' ὁποίας λείπεται τόδ' ἡδονῆς.

Stob. Flor. 63, 22: Εὐριπίδου Ἀνδρομέδας. 'ὅσοι — ἡδονῆς'. v. 3 ἔστι ποίας libri, ἔσθ' ὁποίας Pflugk. οὐκ ἴστε ποίας ἅπτεται malit F. G. Schmidt *Krit. Stud.* 2 p. 443. τόθ' S, τόδ' MA.

139

αἰαῖ, τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους;
ἀλλ' οὐκ ἂν ἐνδέξαιτο βάρβαρος φύσις.

Ar. Thesm. 1128: 'αἰαῖ — φύσις'. Euripideae Andromedae esse hos versus e loci nexu probabiliter coni. Matthiae, cf. Fritzsche in Ar. Thesm. p. 491. v. 2 ἐνδέξαιτο Kuster, δέξαιτο libri.

140

ὦ τλῆμον, ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς
ἔδωχ' ὁ δαίμων, μέγα φρονοῦσι δ' οἱ λόγοι.

Stob. Flor. 81, 6 vel potius Ecl. 2, 4, 7 p. 28, 2: *Εὐριπίδου* (sic MA, *τοῦ αὐτοῦ* S) *Ἀνδρομέδας*. '*ὦ τλῆμον — λόγοι*'. v. 1 *τὰς τύχας*] *τὰς φρένας* coni. Guil. Collmann.

141

ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν·
τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς
νόμῳ νοσοῦσιν· ὅ σε φυλάξασθαι χρεών.

Stob. Flor. 77, 12: *Εὐριπίδου Ἀνδρομέδας* (sic MA, fabulae nomen om. S). '*ἐγὼ — χρεών*'. v. 1 *οὐκ ἐρῶ* olim scripsi. rectius alii *λαβεῖν* in suspicionem vocarunt. *νόθους λέγειν* coni. Gomperz, *νόθους καλεῖν* O. Hense. v. 3 *ὅ σε* Grotius, *ὧι σε* S, *ὦ σε* MA.

142

χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν·
καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ,
ἐλεύθερος δὲ χρεῖος ὢν οὐδὲν σθένει.
χρυσοῦ νόμιζε σαυτὸν εἵνεκ' εὐτυχεῖν.

Stob. Flor. 91, 20: *Εὐριπίδου Ἀνδρομέδας*. '*χρυσὸν — εὐτυχεῖν*'. v. 2 *ὢν γὰρ*] *γὰρ ὢν* A. *ἀνήρ* ex *ἀεί* corr. S pr. m. v. 3 *δ' ἀχρεῖος* A. v. 4 *νόμιζ' αὐτὸν* S, *νόμιζε αὐτὸν* M, *νόμιζε σαυτὸν* A, *νόμιζ' ἕκαστον* F. G. Schmidt *Krit. Stud.* 2 p. 443 sq. *οὕνεκ'* (*οὔνεκ'* M) libri. versum 4 a superioribus seiungendum suspicatus est Musgrave.

143

. χρήμασιν γὰρ εὐτυχῶ·
ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ.

Stob. Flor. 98, 31: *Εὐριπίδου Ἀνδρομέδας* (sic SM, *ἀνδρομέδου* A). '*χρήμασιν — οὐκ εὐτυχῶ*'.

144

μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἐγὼ γὰρ ἀρκέσω.

Ar. Ran. 105: *μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.* ubi Schol. (cf. Suid. v. *μὴ τὸν ἐμὸν οἴκει*): *καὶ τοῦτο παρὰ τὸ ἐν Ἀνδρομάχῃ* (*Ἀνδρομέδᾳ* Matthiae) '*μὴ — ἀρκέσω*'. num Andromedae sit versus dubitat Fritzsche in Ar. Ran. p. 71, ex Antiopa petitum esse coni. Bergk *Griech. Literaturgesch.* 3 p. 542.

145

ὁρῶ δὲ πρὸς τὰ παρθένου θοινάματα
κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός.

Tiberius περὶ σχημάτων Rhet. vol. 8 p. 576: τοὺς δὲ χρόνους ἀλλοιοῦσιν — ὁποῖόν ἐστι καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἀνδρομέδᾳ 'ὁρῶ — θυνάματα' (v. 1), ἀντὶ τοῦ εἶδον. τὰ παρθένου scripsi, τῆς παρθένου cod. θοινάματα Boissonade, θυνάματα cod. v. 2 servavit Plut. de audiendis poetis c. 6 p. 22 E: καὶ τῷ 'θοάζειν' ἢ τὸ κινεῖσθαι σημαίνουσιν, ὡς Εὐριπίδης 'κῆτος — ἁλός', ἢ τὸ καθέζεσθαι καὶ θάσσειν. ex Andromeda haec verba petita esse coniecerat Heath et docet Schol. Eur. Or. 335: θοάζων· ἐπιδιώκων, ταχύνων, διεγείρων, ἐκμαίνων. 'κῆτος θοάζων' Ἀνδρομέδᾳ. coniunxit hos versus Fritzsche in Aristoph. Thesm. p. 494.

146

πᾶς δὲ ποιμένων ἔρρει λεώς,
ὁ μὲν γάλακτος κίσσινον φέρων σκύφος
πόνων ἀναψυκτῆρ', ὁ δ' ἀμπέλων γάνος.

Ath. XI p. 477 A de v. κισσύβιον disputans: Νεοπτόλεμος δ' ὁ Παριανὸς ἐν τρίτῳ γλωσσῶν τὸ κίσσινον ποτήριον σημαίνειν παρ' Εὐριπίδῃ ἐν Ἀνδρομέδᾳ 'πᾶς — γάνος'. Macrob. Sat. 5, 21, 13: *qui autem cissybium ex hedera factum poculum* οἷον εἰ κίσσινον *dici arbitrantur Euripidis auctoritate niti videntur, qui in Andromeda sic ait* 'πᾶς — γάνος'. Eust. Od. p. 1632, 9: Εὐριπίδου δὲ τὸ 'πᾶς — γάνος'. v. 2 σκύφον Macrob. ceterum cf. Philostr. Imag. 1, 29: πολλοὶ δὲ οἱ βουκόλοι γάλα ὀρέγοντες καὶ οἶνου ἐπισπάσαι.

147

οἱ κατ' οἶκον ἀμφὶ δαῖτα καὶ τράπεζαν

Anecd. Bekk. p. 339, 6: ἄγορος καὶ ἄγοροι. Εὐριπίδης Ἀνδρομέδᾳ 'οἱ — τράπεζαν'. Αἰθίοπες σημαίνει. locus mutilus et corruptus. ἀμφιδέτα cod., ἀμφὶ δαῖτα Bekker. οἱ κατ' οἶκον ἀμφὶ δαῖτα καὶ τράπεζαν ⟨ἐν ἀγόροις⟩ Αἰθίοπες· σημαίνει ⟨δὲ τὴν ἀγοράν⟩ temptavit in Fritzsche Aristoph. Thesm. p. 514. alii σημαίνει ex ἥμενοι ortum putant. mihi probatur Cobeti sententia post τράπεζαν supplentis Ἡλίου (Coll. crit. p. 213) secundum Herodot. 3, 17 et 18. itaque scripserim οἱ κατ' ἄγορον (pro οἶκον) ἀμφὶ δαῖτα καὶ τράπεζαν ⟨Ἡλίου⟩. Αἰθίοπας σημαίνει. Maur. Schmidt huc refert Hesych. 1 p. 30: ἄγορος· ἄθροισμα, στρατός. Wecklein comparat Ov. Met. 4, 764: *Cepheni proceres ineunt convivia regis.*

148

τέλειος

Schol. Plat. p. 916 a 28: ἐκιρνῶντο γὰρ ἐν αὐταῖς (sc. ταῖς συνουσίαις) κρατῆρες τρεῖς. καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ

θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος — ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς.

149

νεότης μ' ἐπῆρε καὶ θράσος τοῦ νοῦ πλέον.

Stob. Flor. 52, 2: *Εὐριπίδου Ἀνδρομέδας* (sic MA, fabulae nomen om. LS). '*νεότης — πλέον*'. eundem versum om. fab. n. habet Lucianus Necyom. 2 vol. 1 p. 456. *θράσος* Luc., *σθένος* Stob. Phinei haec esse verba coni. Wecklein coll. Ov. Met. 5, 218 sq.

150

οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν,
ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει.

Stob. Flor. 105, 32: *Εὐριπίδου Ἀνδρομέδας* (sic MA, eclogam om. S). '*οὐκ — συνθέλει*'. v. 2 *ᾧ μὴ* coni. Porson, quem sequitur M. Seyffert Mus. Rhen. 15 p. 618 sq. ita ut *εἰς τὰ πολλὰ* requirat. *ὃν μὴ — πολλὰ νουθετεῖ* Enger Adnot. ad trag. Gr. fr. p. 8, *πόλλ' ἐπωφελεῖ* Heimsoeth *Krit. Stud.* p. 46, *πόλλ' αὔξειν θέλει* Munro, *πολλὰ συστελεῖ* O. Hense.

151

τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διὸς
ἐγγύς τε ναίειν τῆς βροτῶν ἁμαρτίας.

Stob. Ecl. 1, 3, 23 p. 56, 20: *Εὐριπίδου Ἀνδρομάχου* (sic FP, sed utroque in codice lemma ad extremos praegressae eclogae versus adscriptum est, Andromedae eclogam vindicavit Musgrave). '*τήν τοι — βροτῶν τιμωρίας*'. fab. nomen om. Orion Flor. Eurip. 16 p. 57, 5. v. 1 *τοι* om. Orion. *Διὸς* Stob., *χρόνου* Orion, cf. fr. 222. v. 2 *ἁμαρτίας* Orion, *τιμωρίας* Stob.

152

. . . τὸ δαιμόνιον οὐχ ὁρᾷς
ὅπῃ μοίρας διεξέρχεται;
στρέφει δ' ἄλλους ἄλλως εἰς ἁμέραν.

Stob. Ecl. 1, 5, 2 p. 74, 16: *Εὐριπίδου Ἀνδρομέδας* (lemma in FP ad insequentis eclogae v. 2 adscriptum est). '*τὸ δαιμόνιον — ἁμέραν*'. v. 2 *μοίρας* Grotius, *μοίρα* F, *μοῖρα* P, *μοῖρά σου* Fritzsche, *μοῖραν* Meineke, *μοῖραν* ⟨*δὴ*⟩ Herwerden Exerc. crit. p. 34, *μοῖρ' ἀεὶ* R. Ellis *Journal of Philol.* IV p. 255. v. 3 *ἄλλους ἄλλως* FP, *ἄλλους ἄλλοσ'* Hermann et Fritzsche in Aristoph. Thesm. p. 497,

ἄλλοτ' ἄλλως Meineke, ἄλλοτ' ἄλλοσ' Herwerden, ἄλλοσ' ἄλλους R. Ellis.

153

ὃ μὲν ὄλβιος ἦν, τὸ δ' ἀπέκρυψεν
θεὸς ἐκ κείνων τῶν ποτε λαμπρῶν·
νεύει βίοτος, νεύει δὲ τύχα
κατὰ πνεῦμ' ἀνέμων.

Stob. Flor. 105, 17: *Εὐριπίδου Ἀνδρομέδας.* 'ὃ μὲν — ἀνέμων'. v. 1 τὸ] τὸν Valckenaer. v. 2 ἐκείνων libri, ἐκ κείνων Grotius. v. 1 sq. τὸν δ' ἔρριψεν θεὸς ἐκ κτεάνων (vel ἐκ τιμῶν) coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 444. v. 3 βίωτος SM. τύχα S, τύχη MA.

154

⟨A.⟩ τὸ ζῆν ἀφέντες τὸ κατὰ γῆς τιμῶσί σου.
⟨B.⟩ κενόν γ'· ὅταν γὰρ ζῇ τις, εὐτυχεῖ χρεών.

Stob. Flor. 123, 4: *Εὐριπίδου Ἀνδρομέδας.* 'τὸ ζῆν — κρέων'. v. 1 τὸ om. A. ψυχὴν ἀφέντος (ἀφέντος cum Grotio) coni. Enger Adnot. ad trag. Gr. fr. p. 8 sq., τὸ σῶμ' ἅπαντες F. G. Schmidt *Krit. Stud.* 2 p. 444 sq. κατὰ γῆς Boissonade, κατὰ γῆν SMA. τιμῶσί τοι F. G. Schmidt. τὸ ζῆν ἀφέντα σε κατὰ γῆς τιμῶσ' ἴσως Herwerden Exerc. crit. p. 35. v. 2 κενόν γε SM. ὅταν SM, ὅτου A. εὐτυχεῖν Musgrave, εὖ τίειν F. G. Schmidt. χρεών Musgrave, κρέων SA, κρεῶν M. vitiosa scriptura Κρέον nixus Ἀνδρομέδας in Ἀντιγόνης mutandum esse coni. Fritzsche in Ar. Thesm. p. 516. personarum notas Musgravio auctore distinxi.

155

ἀγρεύματα

Hesych. 1 p. 31: ἀγρεύματα· σκῦλα. *Εὐριπίδης Ἀνδρομέδᾳ* (ἀνδρόμε.. cod.). cf. Anecd. Bekk. p. 340, 16 Etym. M. p. 14, 1.

156

ἀμείβεται

Hesych. 1 p. 143: ἀμείβεται· παραιτεῖται. *Εὐριπίδης Ἀνδρομέδᾳ.* similiter omissa Euripidis mentione Etym. M. p. 81, 36.

ΑΝΤΙΓΟΝΗ

Mythum Euripideae Antigonae eum fuisse quem in cognomini fabula Sophocles proposuit, testatur Aristophanes grammaticus in Argum. Soph. Ant.: κεῖται ἡ μυθοποιία καὶ παρὰ Εὐριπίδῃ ἐν

*Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος δίδοται πρὸς γάμου κοινωνίαν καὶ τέκνον τίκτει τὸν Μαίονα**). Schol. Soph. Ant. 1350: *ὅτι διαφέρει τῆς Εὐριπίδου Ἀντιγόνης αὕτη, ὅτι φωραθεῖσα ἐκείνη* (l. *ἐκεῖ μὲν*) *διὰ τὸν Αἵμονος ἔρωτα ἐξεδόθη πρὸς γάμον, ἐνταῦθα δὲ τοὐναντίον.* pluribus de argumento Euripideae fabulae et de loco quem singula fragmenta tenuerint disputavit Wecklein *Sitzungsb. der philos.-philol. u. histor. Cl. der K. B. Akademie der Wissensch. zu München* 1878 vol. 2 p. 186—198, qui huc referri vult fr. 212 213 214 215 216 853. dissentit Max. Mayer de Eur. mythopoeia p. 73—77, qui dramatis argumentum cum Welckero arbitratur contineri iis quae prodit Hyginus fab. 72: *Creon Menoecei filius edixit ne quis Polynicen aut qui una venerunt sepulturae traderet, quod patriam oppugnatum venerint. Antigona soror et Argia coniunx clam noctu Polynicis corpus sublatum in eadem pyra qua Eteocles sepultus est imposuerunt. quae cum a custodibus deprehensae essent, Argia profugit, Antigona ad regem est perducta. ille eam Haemoni, cuius sponsa fuerat, dedit interficiendam. Haemon amore captus patris imperium neglexit et Antigonam ad pastores demandavit ementitusque est se eam interfecisse. quae cum filium procreasset et is ad puberem aetatem venisset, Thebas ad ludos venit. hunc Creon rex, quod ex draconteo genere omnes in corpore insigne habebant, agnovit. cum Hercules pro Haemone deprecaretur ut ei ignosceret, non impetravit. Haemon se et Antigonam coniugem interfecit. at Creon Megaram filiam suam Herculi dedit in coniugium: ex qua nati sunt Therimachus et Diopithes.* Heydemann Hygini narrationem ex recentioris cuiusdam poetae Antigona derivatam esse conicit.

157

Ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ

Ar. Ran. 1182: '*ἦν — ἀνήρ*'. ubi Scholia: *ἐξ Ἀντιγόνης Εὐριπίδου· ἔστι δὲ ἡ ἀρχὴ τοῦ δράματος. εὐδαίμων*] *εὐτυχὴς* Dio Chrys. 64, 6 et Schol. Aesch. Sept. 775, quo utroque loco poetae nomen omittitur.

158

εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.

Ar. Ran. 1187: '*εἶτ' — βροτῶν*'. ex Euripideae Antigonae prologo versum esse petitum Aristophanei loci nexus docet. sine dubio autem felicitatem Oedipi fr. 157 commemoratam descripsit

*) *Αἵμονα* codex Laur., cuius in margine ab alia antiqua manu *μαίδονα* adscriptum esse ait Dindorf, *Μαίμονα* Paris. A, scripsi *Μαίονα* secundum Il. Δ 394: *Μαίων Αἱμονίδης*.

Euripides antea quam miseriam ostenderet hominis inter mortales infelicissimi: etenim, quod saepe hic poeta dicit, in conversione fortunae summum est infortunium. itaque inter fr. 157 et 158 complures versus interposuisse Euripides putandus est. alterum versum respicit Clearchus Ath. XII p. 524 C: *εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν.* unde Euripidem scripsisse arbitror *εἶτ' αὖθις πάλιν | ἐγένετο πάντων ἀθλιώτατος βροτῶν.*

159

χρυσεόνωτον ἀσπίδα τὰν Καπανέως

Schol. Eur. Phoen. 1130: *ἀνωτέρω εἶπε 'λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν', ἐν δὲ τῇ Ἀντιγόνῃ λέγει* (sic MT, *ἐπὶ* AB, *'χρυσεόνωτον — Καπανέως'. τὰν] τὴν* MT, *τὸν* A.

160

νέοι νέοισι συννοσοῦσι τἀφανῆ.

Stob. Ecl. 2, 33, 5 p. 256, 5: *Εὐριπίδου Ἀντιγόνῃ. 'νέοι — τἀφανῆ'. τἀφανῆ] τἀμφανῆ* coni. Bothe, *τἄφρονα* Vsener. *νέοι γέρουσι συννοσοῦσι τἀσθενεῖν* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 445.

161

ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.

Stob. Flor. 64, 4: *Εὐριπίδου Ἀντιγόνης. 'ἤρων — βροτοῖς'.* eundem versum om. fab. n. attulit Plutarchus Stob. Flor. 64, 31.

162

ἀνδρὸς δ' ὁρῶντος εἰς Κύπριν νεανίου
ἀφύλακτος ἡ τήρησις, ὡς κἂν φαῦλος ᾖ
τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτατος·
ἣν δ' ἂν προσῆται Κύπρις, ἥδιστον λαβεῖν.

Stob. Flor. 63, 4: *Εὐριπίδου Ἀντιγόνῃ. 'ἀνδρὸς — λαβεῖν'.* v. 1 *ἀνδρὸς δ' ὁρῶντος* Musgrave, *ἀνδρὸς δ' ἐρῶντος* SMA, *ἀνδρὸς ῥέοντος* F. G. Schmidt *Krit. Stud.* 2 p. 445. v. 2 *ἀφύλακος ἡ τήρησις* Meineke, *ἀδύνατος ἡ τήρησις* F. G. Schmidt, qui a. 1864 *ἄφυκτος ἡ πείρασις* proposuerat, mihi *ἄπρακτος ἡ φύλαξις* scribendum videtur: *ὡς κἂν* scripsi, *κἂν γὰρ* SMA. v. 3 *τἄλλ'* Gesner, *τὰ δ' ἄλλα* SMA pr. m. *ἔρωτας* MA. *σοφώτατος* Herwerden Exerc. crit. p. 35, *σοφώτερος* SMA. v. 4 *ἣν δ' αὖ* coni. Boissonade. *ἣν δ' ἄπορος ᾖ τῳ Κύπρις* Wecklein Mus. Rhen. 33 p. 120 sq., alii alia.

163

ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα
ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων τύχοι.

Stob. Flor. 93, 13: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Ἀντιγόνης* (sic MA, eclogam om. S). '*ἀνδρὸς — τύχοι*'. v. 1 *φίλου* vitiosum. *ἀνδρὸς ζαπλούτου χρυσὸς* coni. Enger Adnot. ad poetarum Gr. fr. p. 11, *ἀνδρὸς δὲ φαύλου χρυσὸς* Gomperz *Nachl.* p. 20 sq., *ἀνωφελὴς δὲ χρυσὸς* F. G. Schmidt *Krit. Stud.* 2 p. 445. *μετὰ* M. v. 2 *ἄχρηστος* Gesner, *ἄχρηστον* Herwerden Exerc. crit. p. 37, *κἄχρηστος* F. G. Schmidt, *ἀρχηστοῖς* M, *ἀρχῆς τοι* A. *καὶ ἀρετὴν* MA. *τύχη* M, *τύχοι* A. fortasse *ἣν μὴ — τύχῃ* leg.

164

ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή.

Stob. Flor. 67, 13: *Εὐριπίδου Ἀντιγόνῃ* (sic MA, lemma om. S). '*ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος. ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν*'. Flor. 67, 14: '*Ἱπποθόωντος.* '*ἄριστον — γυνή*'. lemmata transponenda esse indicat Stob. Flor. 68, 24: *Ἱπποθόου.* '*ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος*'.

165

ἄκουσον· οὐ γὰρ οἱ κακῶς πεπραγότες
σὺν ταῖς τύχαισι τοὺς λόγους ἀπώλεσαν.

Stob. Flor. cod. L (vol. 4 p. 180, 8 ed. Mein.): ⟨*Εὐριπίδου*⟩ *ἐξ Ἀντιγόνης* (poetae nomen addidit O. Hense). '*ἄκουσον — ἀπώλεσαν*'. impugnat poeta Sophoclem Antig. 563: *οὐδ' ὃς ἂν βλάστῃ μένει νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται.*

166

τὸ μῶρον αὐτῷ τοῦ πατρὸς νόσημ' ἔνι·
φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.

Stob. Flor. 90, 1: *Εὐριπίδου Ἀντιγόνῃ* (sic SMA, *ἀντιγόνη* ex *ἀντιόπη* corr. ut videtur M rubr.). '*τὸ — κακούς*'. v. 1 *μωρὸν* SMA. *αὐτῇ* Suevern, *αὐτῷ* retineri vult Max. Mayer de Eur. mythopoeia p. 74. *τοὐκ πατρὸς* probabiliter corr. Enger Adnot. ad poetarum Gr. fr. p. 16. v. 2 *φῦναι γὰρ εἰκὸς ἐκ κακῶν γνώμαις κακούς* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 466. *κακούς* in *κακός* mutabunt Wagner et Cobet Mnem. nov. 2 p. 438.

167

ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι·
τὰ πολλὰ ταύτῃ γίγνεται τέκνων πέρι.

Stob. Flor. 87, 1: *Εὐριπίδου Ἀντιγόνῃ.* ‘*ἡ γὰρ — πέρι*’. eclogam om. S. v. 1 *κρατεῖ δόκησις* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 446. *πατράσι* Gesner, *ἅπασι* MA. v. 2 *τὰ πολλὰ δ' ἄλλῃ* F. G. Schmidt. *γίνεται* MA. *τέκνων* M, *τέκνα* A. temptabam
ἡ γὰρ δοκεῖ σοι πατράσι παῖδας εἰκέναι;
τὰ πολλὰ ταύτῃ· γίγνεται δὲ κἄμπαλιν.
γίγνεται δὲ κἄμπαλιν ante me suasit H. Weil *Zeitschr. f. d. Alterthumswiss.* 1848 p. 578.

168

ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση.

Stob. Flor. 77, 10: *Εὐριπίδου Ἀντιγόνῃ* (sic MA, *Ἀντιγόνῃ* om. S). ‘*ὀνόματι — ἴση*’. Clemens Alex. Strom. VI p. 741: *καὶ Εὐριπίδου μὲν ἐξ Ἀντιγόνης ‘ὀνόματι — δοίη*’. *δ' ἴση* Stob., *δοίη* Clem.

169

. . ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν.

Stob. Flor. 104, 9: *Εὐριπίδου Ἀντιγόνης* (sic MA, fabulae nomen om. S). ‘*ἐπ' — κακῶν*’.

170

οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος,
καὶ βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει.

Orion. Flor. 1, 1 p. 41, 3: *ἐξ Ἀντιγόνης Εὐριπίδου.* ‘*οὐκ — φύσει*’. eosdem versus om. fab. n. affert Tzetz. in Hesiod. Op. 135. v. 1 habent Ar. Ran. 1391 (ubi Schol. v. 1386: *τὸ δὲ ‘οὐκ ἔστι Πειθοῦς’ ἐξ Ἀντιγόνης Εὐριπίδου*) et sine fab. n. Heraclitus Alleg. Hom. c. 59 p. 121 Schol. B Il. Ω 486. v. 2 *φύσει*] *φρενί* coni. Kock.

171

δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἁνδάνειν.

Stob. Flor. 48, 4: *Εὐριπίδου Ἀντιγόνης.* ‘*δεῖ — ἁνδάνειν*’. *τοῖσι* Gesner, *τοῖς* SMA.

172

οὔτ' εἰκὸς ἄρχειν οὔτε χρῆν εἶναι νόμον
τύραννον εἶναι· μωρία δὲ καὶ θέλειν
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

Stob. Flor. 49, 5: *Εὐριπίδου Ἀντιγόνης.* '*οὔτ' εἰκὸς — μόνος*'. v. 1 *οὔτ' εἰκὸς ἀρχὴν* Halm Lect. Stob. p. 52. *οὔτ' ἐχρῆν* SMA. *εἶναι νόμον*] *ἄνευ νόμων* Bothe, *ἄνευ νόμου* Badham Eur. Iph. T. praef. p. 10, *ἕν' ἄνδρ' ὅλων* F. G. Schmidt *Krit. Stud.* 2 p. 447, *νόμων ἄτερ* Gomperz. v. 2 *θεῖναι* A. *καὶ θέλειν*] *καὶ πέλειν* L. Dindorf Thes. Gr. L. 3 p. 179 C, *καὶ φιλεῖν* O. Hense Exerc. crit. p. 5, *καὶ σέβειν* G. Velke *Philol. Anz.* 9 p. 72, *κὠφελεῖν* F. G. Schmidt, *μωρίαν δ' ὀφλισκάνειν* Herwerden Exerc. crit. p. 37, *μωρίαν δ' ὀφλισκάνει* Heimsoeth *Krit. Stud.* p. 46.

173

οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ
πόλεμος ἐν ἀστοῖς, ἢν διχοστατῇ πόλις.

Stob. Flor. 43, 21: *Εὐριπίδου* (sic MA, *τοῦ αὐτοῦ* S) *Ἀντιγόνῃ.* '*οἰκεῖος — πόλις*'. v. 1 *οἰκτρότατος* coni. Gomperz *Nachl.* p. 21. v. 2 *πόλεμος ἄλαστος* F. G. Schmidt *Krit. Stud.* 2 p. 447 sq. *διχοστατεῖ* M.

174

[*μὴ οὖν ἔθελε λυπεῖν σαυτὸν ἐξειδὼς ὅτι*
πολλάκι τὸ λυποῦν ὕστερον χαρὰν ἄγει
καὶ τὸ κακὸν ἀγαθοῦ γίγνεται παραίτιον.].

Stob. Flor. 108, 3: *Εὐριπίδου Ἀντιγόνῃ* (sic MA, *Ἀντιγόνῃ* om. S) '*μὴ — παραίτιον*'. v. 1 *ἔθελε* Grotius, *θέλε* SMA. *ἐξειδὼς* Hermann, *εἰδὼς* SMA. cum hoc versu cf. Menandri et Philist. comp. v. 18: *μὴ λύπει σαυτὸν τοῦτο γινώσκων ὅτι.* v. 2 *πολλάκι* S, *πολλάκις* MA, *πολλοῖς* Hermann. v. 3 *γίνεται* M. dubito num Euripidis hi sint versus, et dubitavit iam Dobree Adv. 2 p. 360, qui in Stobaei Flor. 108, 3—6 lemmatum hunc ordinem requirit: 3 *τοῦ αὐτοῦ* (i. e. Menandri) '*μὴ οὖν —*'. 4 *Εὐριπίδου Ἀντιγόνῃ* '*οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός*'. 5 *Χαιρήμονος* '*πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν*'. 6 *Μενάνδρου* '*ἄνδρα τὸν ἀληθῶς —*'.

175

ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόφως φέρει,
τὸν δαίμον' οὗτος ἧσσόν ἐστιν ἄθλιος.

Stob. Flor. 108, 13: *Εὐριπίδου Ἀντιγόνης* (sic MA, fabulae nomen om. S). '*ὅστις — ὄλβιος*'. v. 1 *ὅστις βροτῶν τὸν πότμον* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 448, ego *ὅστις δὲ* ⟨*πᾶν*⟩ *προσπῖπτον* temptabam. *εὐλόφως* Abresch, *εὐλόγως* SMA, *εὐκόλως* Meineke. v. 2 *τὸν δαίμονα δ' οὗτος* SMA, *τὸν δαίμονα οὗτος* Trinc., *τὸν δαίμον' οὗτος* Gesner, *τὸ δεινόν, οὗτος* F. G. Schmidt. *ὄλβιος*

SMA, ἄθλιος Herwerden Adnot. crit. et exeg. ad Eurip. (Amst. 1873) p. 26. fortasse ἧσσον ἔσχεν ἄθλιον legendum.

176

θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος
ἔχει· μαθεῖν δὲ πᾶσίν ἐστιν εὐμαρές.
τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ
ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς,
εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων; 5

Stob. Flor. 125, 6: *Εὐριπίδου Ἀντιγόνης. 'θάνατος — παθημάτων;'* v. 1 *ἀνθρώποισιν εἰκέων* MA, *ἀνθρώποισιν αἰκιῶν* Schneidewin Philol. 6 p. 596. v. 2 *ἔχει*] *ἄγει* malim cum F. G. Schmidtio *Krit. Stud.* 1 p. 256. *τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς* SMA. lectio a nobis recepta debetur Stob. Flor. 120, 3: *ἐκ τοῦ Ἀλκιδάμαντος Μουσείου. 'ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον, φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι'.* ubi codex A haec subicit, quae ab SM absunt: *θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος ἔχει· μαθεῖν δὲ πᾶσιν ἐστὶν εὐμαρές.* v. 3 *οὐτάσας* malim. v. 5 *εἰ μηδὲν*] *οὐ μὴν ἂν* coni. F. G. Schmidt.

177

ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός,
Διόνυσε, θνητοῖς τ' οὐδαμῶς ὑποστατός.

Schol. Pind. Pyth. 3, 177: *Θυώνῃ τῇ Σεμέλῃ — εἰσὶ δὲ οἳ καὶ τὴν αὐτὴν Διώνην λέγουσιν, ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνῃ 'ὦ παῖ — ὑποστάτης'.* v. 2 *ὑποστάτης* libri, *ὑποστατός* Scaliger. Antiopae potius quam Antigonae esse hunc locum suspicatur Max. Mayer de Eur. mythopoeia p. 75.

178

Schol. Eur. Phoen. 1031: *τὴν Σφίγγα ὁ Διόνυσος ἔπεμψε τοῖς Θηβαίοις, ὡς ἐναντοία (ἐναντίον* M) *λέγειν.* probabiliter *ὡς ἐν Ἀντιγόνῃ λέγει* coni. Vnger Theb. Parad. p. 386. eodem Ed. Schwartz refert Schol. Eur. Phoen. 934: *ἀλλαχοῦ δὲ φησὶ ταῦτα ὑπὸ Διονύσου πεπονθέναι τὴν πόλιν.*

ΑΝΤΙΟΠΗ

Schol. M Od. λ 260: *ὁ μὲν ποιητὴς Ἀσωποῦ* (sc. *λέγει εἶναι τὴν Ἀντιόπην*), *οἱ δὲ τραγικοὶ Νυκτέως.* Probus in Verg. Ecl. 2, 25 p. 7, 21: *Amphionem et Zethum Euripides et apud nos Pacuvius Iovis ex Antiopa Nyctei ait natos.* Iohannes Malala p. 49 (cf. Georgius Cedren. vol. 1 p. 44): *ὁ γὰρ σοφώτατος Εὐριπίδης ποιητικῶς ἐξέθετο δρᾶμα ὡς ὅτι ὁ Ζεὺς εἰς σάτυρον μεταβληθεὶς ἔφθειρε τὴν*

Ἀντιόπην κἀκεῖθεν ἐγεννήθη ὁ Ζῆθος καὶ ὁ Ἀμφίων οἱ μουσικοί. Hyginus fab. 8: *eadem* (Antiopa) *Euripidis, quam scribit Ennius* (Ennii mentionem interpolatori deberi probabiliter coni. Robert Herm. 18 p. 436). *Nyctei regis in Boeotia fuit filia Antiopa. eius formae bonitate Iuppiter adductus gravidam fecit. quam pater cum punire vellet propter stuprum, minitans periculum Antiopa effugit in Cithaeronem, parit geminos et relinquit. quos pastor educavit, Zethum et Amphionem nominavit. casu in eodem loco quo illa pervenerat, Epopeus Sicyonius stabat. is mulierem advectam domo matrimonio suo iunxit. id Nycteus aegre ferens cum moreretur Lyco fratri suo per obtestationem mandat ne impunem Antiopam ferret. huius post mortem Lycus, cui tum regnum relinquebat, Sicyonem venit: interfecto Epopeo Antiopam vinctam abduxit. Antiopa Dircae uxori Lyci data* [*erat*] *in cruciatum* [*ea*] *occasione nacta fugae se mandavit. devenit ad filios suos, ex quibus Zethus existimans * * fugitivam non recepit. in eundem locum Dirce per bacchationem Liberi illuc delata est. ibi Antiopam repertam ad mortem extrahebat. sed ab educatore pastore adolescentes certiores facti eam esse matrem suam, celeriter consecuti matrem eripuerunt, Dircen ad taurum crinibus religatam necant. Lycum cum occidere vellent, vetuit eos Mercurius et simul iussit Lycum concedere regnum Amphioni.* similiter Apollod. 3, 5, 5: *Ἀντιόπη θυγάτηρ ἦν Νυκτέως· ταύτῃ Ζεὺς συνῆλθεν. ἡ δὲ ὡς ἔγκυος ἐγένετο, τοῦ πατρὸς ἀπειλοῦντος εἰς Σικυῶνα ἀποδιδράσκει πρὸς Ἐπωπέα καὶ τούτῳ γαμεῖται. Νυκτεὺς δὲ ἀθυμήσας ἑαυτὸν φονεύει, δοὺς ἐντολὴν Λύκῳ παρὰ Ἐπωπέως καὶ παρὰ Ἀντιόπης λαβεῖν δίκας. ὃ δὲ στρατευσάμενος Σικυῶνα χειροῦται, καὶ τὸν μὲν Ἐπωπέα κτείνει, τὴν δὲ Ἀντιόπην ἤγαγεν αἰχμάλωτον. ἡ δὲ ἀγομένη δύο γεννᾷ παῖδας ἐν Ἐλευθεραῖς* (*ἐλευθέρῳ* libri) *τῆς Βοιωτίας, οὓς ἐκκειμένους εὑρὼν βουκόλος**) *ἀνατρέφει, καὶ τὸν μὲν καλεῖ Ζῆθον, τὸν δὲ Ἀμφίονα. Ζῆθος μὲν οὖν ἐπεμελεῖτο βουφορβίων, Ἀμφίων δὲ κιθαρῳδίαν ἤσκει δόντος αὐτῷ λύραν Ἑρμοῦ. Ἀντιόπην δὲ ᾐκίζετο Λύκος καθείρξας καὶ ἡ τούτου γυνὴ Δίρκη· λαθοῦσα δέ ποτε τῶν δεσμῶν αὐτομάτως λυθέντων ἧκεν ἐπὶ τὴν τῶν παίδων ἔπαυλιν, δεχθῆναι πρὸς αὐτῶν θέλουσα. οἳ δὲ ἀναγνωρίσαντες τὴν μητέρα τὸν μὲν Λύκον κτείνουσι, τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου θανοῦσαν ῥίπτουσιν εἰς κρήνην τὴν ἀπ' ἐκείνης καλουμένην Δίρκην.* cf. Schol. Ap. Rhod. 4, 1090 et Cephalion (Fragm. Hist. 3 p. 628 sqq.) ap. Ioh. Malal. p. 45—49. Euripideam fabulam paulo ante olymp. 93, 3 scenae commissam esse discimus ex Schol. Ar. Ran. 53: *διὰ τί δὲ μὴ ἄλλο τι τῶν*

---

*) *Ὀρδίων* dicitur a Cephalione Ioh. Mal. p. 47 et 48 (Cedren. p. 44). nomen loci ubi Zethus et Amphion expositi sint, in Malala corruptum: *ἐν τῇ κώμῃ τῇ λεγομένῃ ῥασθέᾳ* p. 47, 2. *ἐκ τοῦ δέρας θέας χωρίου* p. 47, 20. *ἐν Ἐρασθαίῳ χωρίῳ Θηβῶν* Tzetz. schol. ad exeg. Il. p. 138, 8. *Ἥρας θεᾶς* apud Malalam scribi vult C. Mueller Fragm. Hist. Gr. vol. 3 p. 629.

πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης Φοινισσῶν Ἀντιόπης; parachoregemate poetam usum esse testatur Scholion Eur. Hipp. 58: *καὶ ἐν τῇ Ἀντιόπῃ δύο χοροὺς εἰσάγει, τόν τε Θηβαίων γερόντων διόλου καὶ τὸν μετὰ Θήβης ἢ Δίρκης.* Euripidis vestigia legisse Pacuvium coniciunt e Cic. de fin. 1, 2, 4: *quis enim tam inimicus paene nomini Romano est, qui Ennii Medeam aut Antiopam Pacuvii spernat aut reiciat, quod se iisdem Euripidis fabulis delectari dicat?* cf. Cic. de inv. 1, 50, 94: *ut Amphion apud Euripidem, item apud Pacuvium, qui vituperata musica sapientiam laudat.* diligentissime de Antiopa Euripidea disputarunt Wecklein *Sitzungsb. der philos.-philol. u. histor. Cl. der K. B. Akademie der Wissensch. zu München* 1878 vol. 2 p. 170—186 et Ern. Graf *die Antiopesage bis auf Euripides* (Halis 1884) p. 29 sqq. ex Antigona quod affertur fr. 177 fortasse Antiopae est. eidem fabulae fr. 61 et Suppl. 180—188 tribuit Hartung Eur. rest. vol. 2 p. 420 et 422.

179

Οἰνόῃ

σύγχορτα ναίω πεδία ταῖς τ' Ἐλευθεραῖς

Schol. AT Il. *Λ* 774: *χόρτοι δὲ οἱ τριγχοί, ὡς καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ 'σύγχορτα ναίω πεδία (ταῖς Ἐλευθεραῖς* addit A)'. item v. 2 vitiose scriptus extat in Etym. Gud. p. 568, 43. cf. Apoll. Lex. Hom. p. 48, 4: *αὐλῆς ἐν χόρτῳ — ὡς Εὐριπίδης 'σύγχορτα — Ἐλευθέραις'.* Strabo (vel potius interpolator Strabonis) VIII p. 375: *ὠνομάζετο δ' Οἰνώνη πάλαι ὁμωνύμως δυσὶ δήμοις τῆς Ἀττικῆς, τῷ τε πρὸς Ἐλευθεραῖς 'Οἰνώνῃ — Ἐλευθεραῖς', καὶ μιᾷ τῶν ἐκ τῆς τετραπόλεως τῆς περὶ Μαραθῶνα, καθ' ἧς ἡ παροιμία 'Οἰνώνη τὴν χαράδραν'.* v. 1 *Οἰνώνῃ* Strab., *Οἰνόῃ* Casaubonus. v. 2 *ναίω*] *ναίειν* Strab., *ναίων* Hartung Eur. rest. vol. 2 p. 416. *τ'* Casaubonus, *δ'* Strab. Etym. Gud., particulam om. Schol. Il. Apollon. Matthiae huc rettulit locum Dionis Chrysost. 15, 9: *πλήν γε τῆς Οἰνέως τοῦ Πανδίονος — νόθον παιδός· ὁ γὰρ ἐκείνου νομεὺς ὁ ἐν ταῖς Ἐλευθεραῖς καὶ ἡ γυνὴ τοῦ νομέως — εὑρόντες ἐν τῇ ὁδῷ παιδία οὐκ εἰδότες ὅτου ποτὲ ἦσαν, ἀνελόμενοι ἔτρεφον ὡς αὑτῶν καὶ οὐδὲ ὕστερον ἑκόντες οὐδέποτε ὡμολόγησαν ὅτι ἀλλότριοι ἦσαν. σὺ δὲ ἴσως καὶ τὸν Ζῆθον καὶ τὸν Ἀμφίονα ἐλοιδόρεις ἂν κτέ.*

180

Ὑσιαί

Harpocr. p. 180, 7: *Ὑσιαί, τῆς Βοιωτίας πόλις, ἧς μνημονεύει καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ.* Steph. Byz. p. 651, 17: *Ὑρία — Ἡσίοδος δ' ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι, Εὐριπίδης δ' ἐν Ὑσιαῖς (ἐν ὑσίᾳ* libri, correxit Valckenaer Diatr. p. 62).

181

τὸν μὲν κίκλησκε Ζῆθον· ἐζήτησε γὰρ
τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν.

Etym. M. p. 411, 12: *Ζῆθος — ὅτι ἡ μήτηρ αὐτοῦ ἐζήτει* (*ἐζήτησεν* F) *εὐμαρῶς τεκεῖν αὐτόν, ὡς φησὶν Εὐριπίδης* '*τὸν μὲν — νιν*'. v. 1 *κίκλησκε*] *κικλήσκει* Valckenaer Diatr. p. 62, *κικλήσκω* Wecklein. Etym. Gud. p. 230, 57 sive Etym. cod. Sorb. p. 1174 A: *Ζῆθος· Εὐριπίδης σαφῶς ἐτυμολογεῖ ἐν Ἀντιόπῃ* '*ζητῆσαι γὰρ τόκοισιν εὐμάρειαν ἡ τεκοῦσα γυνή*'. ceterum cf. Hygin. fab. 7 (Eur. fr. 182).

182

Etym. M. p. 92, 24: *λέγει δὲ Εὐριπίδης ὁ τραγικὸς ἐτυμολογῶν τὸ Ἀμφίων, ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὸ παρὰ τὴν ἄμφοδον* (l. *ἐκλήθη παρὰ τὸ ἀμφ' ὁδὸν* cum Sylburgio) *ἤγουν παρὰ τὴν ὁδὸν γεννηθῆναι.* cf. Hyginus fab. 7: *dolor eam* (Antiopam) *in ipso bivio coegit partum edere. quos pastores pro suis educarunt et appellarunt Zethon ἀπὸ τοῦ ζητεῖν τόπον, alterum autem Amphionem ὅτι ἐν διόδῳ ἢ ὅτι ἀμφὶ ὁδὸν* (*ὅτι ἐν ἀμφόδῳ* coni. van de Sande Bakhuyzen de parod. in com. Ar. p. 204) *αὐτὸν ἔτεκεν id est quoniam in bivio eum edidit.* ineptam etymologiam ridet Aristophanes Com. 2 p. 1083: *Ἄμφοδον ἐχρῆν αὐτῷ τίθεσθαι τοὔνομα.* iambum ex Etym. M. verbis eruere conatus est parum feliciter Cobet Mnem. nov. 7 p. 37.

183

λαμπρός θ' ἕκαστος κἀπὶ τοῦτ' ἐπείγεται
νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει κράτιστος ὤν.

Plat. Gorg. p. 484 E: *συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου· λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ* '*καὶ ἐπὶ τοῦτ' — ὤν*'. ubi Schol. p. 911 a 40: *τὰ ἰαμβεῖα ταῦτ' ἐστὶν ἐξ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν ἀδελφὸν Ἀμφίονα.* Valckenaer *ἐν τούτῳ γέ τοι* | *λαμπρός θ' ἕκαστος* poetam dixisse coniecit. Aristot. Rhet. 1, 11 p. 1371 b 31: *ὥσπερ καὶ ὁ ποιητής φησί* '*κἀπὶ τοῦτ' — βέλτιστος ὤν*'. Aristot. q. d. Probl. 18, 6 p. 917 a 13: *ὃ δὲ αἱρεῖται, ἐπὶ τοῦτ' ἐπείξεται, νέμων τὸ πλεῖστον ἡμέρας αὐτῷ μέρος, ἵνα αὐτὸς αὑτοῦ τυγχάνει κράτιστος ὤν.* Plato Alcib. II p. 146 A: *φιλοτιμούμενόν τε καὶ νέμοντα τὸ πλεῖστον τῆς πολιτείας τούτῳ μέρος,* '*ἵν' — κράτιστος ὤν*' (v. 3). Plut. de garrul. c. 22 p. 514 A: *φίλαυτος γὰρ ὢν καὶ φιλόδοξος ὁ τοιοῦτος* '*νέμει τὸ πλεῖστον — κράτιστος ὤν*' (v. 2 et 3). Plut. Quaest. conv. 1, 4, 3 p. 622 A: *ἡδέως γὰρ εἰς τοῦτο ἕκαστος ἄγεται καὶ προθύμως* '*ἵνα — κράτιστος ὤν*'

(v. 3). Plut. Quaest. conv. 2, 1, 2 p. 630 B: οὐ γὰρ πράττων μόνον ἕκαστος οὐδὲ διημερεύων, ὡς Εὐριπίδης φησίν, ἀλλὰ καὶ διαλεγόμενος, 'ἵν' — κράτιστος ὤν' (v. 3), ἡδέως διατίθεται. Plut. de audiendis poetis c. 11 p. 43 B: χρὴ καὶ πρὸς τὴν τοῦ λέγοντος ἐμπειρίαν ἢ φυσικὴν δύναμιν ἡρμοσμένον, ἐν οἷς αὐτὸς ἑαυτοῦ κράτιστός ἐστι, ποιεῖσθαι τὰς ἐρωτήσεις. v. 2 τὸ πλεῖστον ἡμέρας τούτῳ] ἑκάστης ἡμέρας πλεῖστον Aristot. v. 3 inter τυγχάνῃ et τυγχάνει libri fluctuant, τυγχάνοι Plut. p. 622. κράτιστος Plat. Alcib. Plut. Aristot. Probl., βέλτιστος Plat. Gorg. Aristot. Rhet.

184

μοῦσάν τιν' ἄτοπον εἰσάγεις, ἀσύμφορον,
ἀργόν, φίλοινον, χρημάτων ἀτημελῆ.

Dio Chrys. 73, 10: πολὺ γὰρ ἂν εἴην τοῦ Ζήθου φαυλότερος τοιαῦτα ἐπιτιμῶν, ὡς ἐκεῖνος ἐνουθέτει τὸν ἀδελφόν, οὐκ ἀξιῶν φιλοσοφεῖν αὐτὸν οὐδὲ περὶ μουσικὴν διατρίβειν ἐάσαντα τὴν τῶν ἰδίων ἐπιμέλειαν· ἔφη δὲ αὐτὸν ἄτοπόν τινα καὶ ἀσύμφορον μοῦσαν εἰσάγειν· ὥσπερ ἂν τυχὸν εἴποι τις καὶ σὲ τοιαύτην προῃρῆσθαι πρᾶξιν, οὐκ ἀργὸν οὐδὲ φίλοινον οὐδαμῶς, χρημάτων μέντοι τῶν αὐτοῦ ἀτημελῆ ἴσως· καὶ νὴ Δία λέγοι ἂν καὶ τόδε τὸ ἔπος 'ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις' (fr. 188, 6). Sextus Empir. p. 754, 3: λέγοντες τοὐναντίον αὐτὴν ἀσύμφορον εἶναι καὶ 'ἀργήν, φίλοινον, χρημάτων ἀτημελῆ'. v. 1 restituit Porson in Eur. Med. 139 (VII), qui ex eadem scena depromptum esse coniecit adesp. fr. 395. ἀσύμφορον Dio Chr., ἀσύμφωνον Sexti libri. v. 2 ἀργόν Dio Chr., ἀργήν Sextus. φίλευνον coni. Vnger Theb. parad. p. 374, φιλῳδόν F. G. Schmidt *Krit. Stud.* 2 p. 448.

185

. . . ἀμελεῖς ὧν ⟨σε φροντίζειν ἐχρῆν·⟩
ψυχῆς φύσιν ⟨γὰρ⟩ ὧδε γενναίαν ⟨λαχὼν⟩
γυναικομίμῳ διαπρέπεις μορφώματι
. . . . . κοὔτ' ἂν ἀσπίδος κύτει
⟨καλῶς⟩ ὁμιλήσειας οὔτ' ἄλλων ὕπερ 5
νεανικὸν βούλευμα βουλεύσαιό ⟨τι⟩.

Plato Gorg. p. 485 E: κινδυνεύω οὖν πεπονθέναι νῦν ὅπερ ὁ Ζῆθος πρὸς τὸν Ἀμφίονα ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην· καὶ γὰρ ἐμοὶ τοιαῦτ' ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν οἷάπερ ἐκεῖνος πρὸς τὸν ἀδελφόν, ὅτι ἀμελεῖς, ὦ Σώκρατες, ὧν δεῖ σε ἐπιμελεῖσθαι, καὶ φύσιν ψυχῆς ὧδε γενναίαν (ἔχων addit Ruhnken, λαχὼν H. Weil) μειρακιώδει τινὶ διαπρέπεις μορφώματι, καὶ οὔτ' ἂν δίκης βουλαῖσι προσθεῖ' ἂν ὀρθῶς λόγον οὔτ' εἰκὸς ἂν καὶ πιθανὸν ἂν λάκοις (λάβοις

BT, corr. Bonitz) *οὐθ' ὑπὲρ ἄλλου νεανικὸν βούλευμα βουλεύσαιο.* ubi Schol. p. 911 b 1 *ὅτι ἀμελεῖς] καὶ ταῦτα τὰ ἰαμβεῖα τοῦ Εὐριπίδου ἐκ τοῦ αὐτοῦ Ἀντιόπης δράματος εἴληφε· — ὁ τῶν στίχων δὲ νοῦς οὗτος· ὁ Ζῆθος φησὶ τῷ Ἀμφίονι μουσικῷ ὄντι 'ῥῖψον τὴν λύραν, κέχρησο δὲ ὅπλοις'.* cf. Olympiodorus in *Archiv f. Philol. u. Paedag.* vol. 14 p. 285: *πρὸς τὸν Ἀμφίονα] ὁ Ἀμφίων οὗτος μουσικὸς ἦν· ὁ οὖν Ζῆθος ὁ ἀδελφὸς αὐτοῦ ἔλεγεν αὐτῷ ὅτι ῥῖψον τὴν λύραν καὶ κέχρησο ὅπλοις.* mox Olympiodorus: *μειρακιώδει τινὶ διαπρέπεις] ὁρᾷς πῶς τοῦ Εὐριπίδου γυναικώδει* (immo *γυναικομίμῳ*) *εἰρηκότος αὐτὸς μειρακιώδει εἶπε. καὶ οὐκ ἂν δίκης βουλαῖσι: ὁ Εὐριπίδης εἶπε 'καὶ οὔτ' ἂν ἀσπίδος κύτει προσομιλήσεις'.* Philostr. V. Apollon. 4, 21 (Phot. Bibl. p. 333 b 2): *νῦν δὲ ἴσως ὀμοῦνται* (sc. *οἱ ἔφηβοι*) — *θύρσον λήψεσθαι κόρυν μὲν οὐδεμίαν φέρον, γυναικομίμῳ δὲ μορφώματι κατὰ τὸν Εὐριπίδην αἰσχρῶς διαπρέπον.* Michael Acom. vol. 1 p. 42, 21: *ἠσκημένους — πλοχμοὺς καθιέναι κατ' ὤμων καὶ μεταφρένων γυναικομίμῳ μορφώματι.* Clemens Alex. Paed. III p. 286: *ἁβροδίαιτον ἐπονειδίζων νεανίαν ὁ Σοφοκλῆς* (fr. 702) *λέγει 'γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν'.* ex his locis temptavi Euripidea verba restituere. v. 1 *Ἄμφιον, ἀμελεῖς ὧν ἐπιμελεῖσθαί σε δεῖ* coni. Luzac. v. 2 *ψυχῆς φύσιν γὰρ] φύσιν γὰρ ἀνδρὸς* proposuit H. Weil *Sept trag. d'Eur.* p. IV. v. 5 *οὔτ' ἀστῶν ὕπερ* malim. v. 6 *τι* addidit Grotius.

186

πῶς γὰρ σοφὸν τοῦτ' ἔστιν, ἥτις εὐφυᾶ
λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα;

Plato Gorg. p. 486 B: *καίτοι πῶς σοφὸν τοῦτ' ἔστιν, ὦ Σώκρατες, εἴ τις* (*ἥτις* B) *εὐφυᾶ λαβοῦσα τέχνη φῶτα ἔθηκε χείρονα, μηδ' αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν μηδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων μήτε ἑαυτὸν μήτε ἄλλον μηδένα, ὑπὸ δὲ τῶν ἐχθρῶν περισυλᾶσθαι πᾶσαν τὴν οὐσίαν, ἀτεχνῶς δὲ ἄτιμον ζῆν ἐν τῇ πόλει;* versus Euripideos agnovit Grotius. deinceps Euripidem scripsisse

μήτ' αὐτὸν αὑτῷ δυνάμενόν γ' ἐπαρκέσαι

coni. Valckenaer Diatr. p. 83, *δυνάμενον προσαρκέσαι* Matthiae.

187

ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος
τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ,
μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται,
ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,
φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται, 5
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

Stob. Flor. 30, 1: Εὐριπίδου Ἀντιόπη (sic S, ecl. om. MA). 'ἀνὴρ — τις ᾖ'. v. 1 expressit Diphilus (Com. 4 p. 411) ap. Ath. VI p. 247 C. v. 2 παρειάσει S, παρεὶς ἐᾷ Valckenaer. v. 3—6 om. p. et fab. n. affert Sextus Empir. p. 755, 15: ἐπείπερ ὁ μουσικευσάμενος 'μολπαῖσιν ἡσθεὶς — τις ᾖ'. v. 4 ἀργὸς μὲν ἀστοῖς coni. Elmsley in Eur. Heracl. 4. v. 5 φίλοισί τ' οὐθείς, ἀλλ' ἄφαντος οἴχεται Sextus Emp. memoriae errore, cf. Eur. Orest. 1557. v. 6 ἥσσων Gesner, ἧσσον S.

188

ἀλλ' ἐμοὶ πιθοῦ·
παῦσαι μελῳδῶν, †πολέμων† δ' εὐμουσίαν
ἄσκει· τοιαῦτ' ἄειδε καὶ δόξεις φρονεῖν,
σκάπτων, ἀρῶν γῆν, ποιμνίοις ἐπιστατῶν,
ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα, 5
ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.

Plato Gorg. p. 486 C: ἀλλ' ὠγαθέ, ἐμοὶ πιθοῦ· παῦσαι δ' ἐλέγχων, πραγμάτων δ' εὐμουσίαν ἄσκει, καὶ ἄσκει ὁπόθεν δόξεις φρονεῖν, ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας, 'ἐξ ὧν — δόμοις' (v. 6), ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ μικρὰ ταῦτα, ἀλλ' οἷς ἔστιν καὶ βίος καὶ δόξα καὶ ἄλλα πολλὰ ἀγαθά. quo de loco Olympiodorus in *Archiv f. Philol. u. Paed.* vol. 14 p. 285: ἐκεῖνος (Zethus) εἶπε τῷ Ἀμφίονι (ἀμφίω ὅτι cod.) πολέμων δὲ εὐμουσίαν ἄσκει, οὗτος δέ φησι πραγμάτων. Stob. Flor. 56, 13: Εὐριπίδου Ἀντιόπης. 'τοιαῦτ' — σοφίσματα' (v. 3—5). Dio Chrys. 73, 10: καὶ νὴ Δία λέγοι ἂν καὶ τόδε τὸ ἔπος 'ἐξ ὧν — δόμοις' (v. 6). Euripidea verba ex his locis felicius quam alii eruit Valckenaer Diatr. p. 86. v. 2 traditum παῦσαι δ' ἐλέγχων in παῦσαι δ' ἀοιδῶν mutavit Grotius, παῦσαι δὲ μολπῶν coni. Vitelli de Eur. El. p. 109 sq., παῦσαι δὲ μέλπων Wecklein, παῦσαι μὲν ᾄδων F. G. Schmidt *Krit. Stud.* 2 p. 448, ego παῦσαι μελῳδῶν praetuli, cf. Ar. Av. 1382: παῦσαι μελῳδῶν, ἀλλ' ὅτι λέγεις εἰπέ μοι. Com. anon. 4 p. 659: παῦσαι μελῳδοῦσ', ἀλλὰ πεζῇ μοι φράσον. deinceps πολέμων Olymp., πολεμίων Valckenaer, πολεμικῶν Lugebil, πολεμίαν Wecklein, δαΐαν nescio quis *Philol. Anz.* 9 p. 53, ποιμένων V. Iernstedt, τῶν πόνων vel πολύπονον F. G. Schmidt, ego γαπόνων malim. v. 3 τοιαῦτ' ἄειδε Stob., τοιαῦτα δ' ἔρδε Cobet Mnem. 9 p. 132, τοιαῦτα σπεῦδε F. G. Schmidt. καὶ] ἀφ' ὧν Hartung Eur. rest. 2 p. 420. v. 4 ποιμνίων Stob., ποιμνίοις Valckenaer.

189

ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός.

Stob. Flor. 82, 2 vel potius Ecl. 2, 2, 9 p. 22, 2: *Εὐριπίδου* (sic MA, *τοῦ αὐτοῦ* S) *Ἀντιόπῃ*. '*ἐκ — σοφός*'. eosdem versus om. fab. n. habet Ath. XV p. 677 B (Eust. Il. p. 1192, 48). verba videntur Amphionis, sicut fr. 190—202. Zethi et Amphionis controversiam praeter Ciceronem (vide p. 412) respicit Aristides loco obscuro vol. 2 p. 133 sq.: *ἵν' ὡς ἀληθῶς καὶ τὴν τοῦ Ἀμφίονος ῥῆσιν ἀνταποδῶ καὶ τὸν Ζῆθον ἀναμνησθῶμεν εἰπεῖν, εἰ μὴ κατὰ τὸν Εὐριπίδην εἰς ἀμφοτέρους ποιήσει τοὺς λόγους, ἀλλὰ κατ' αὐτοὺς ἐκείνους διελώμεθα.*

190

λύρα βοῶν . . ῥύσι' ἐξερρύσατο

Anecd. Boiss. vol. 4 p. 459 (sive Append. Lex. Vind. p. 323): *λύρα τοίνυν προσηγορεύθη διὰ τὸ λύτρον ὑπὸ Ἑρμοῦ δεδόσθαι τῆς κλοπῆς τῶν βοῶν τοῦ Ἀπόλλωνος, καθάπερ φησὶν Εὐριπίδης ἐν Ἀντιόπῃ* '*λύρα βοῶν ῥύσι' ἐξερρύσατο*'. *λύρα* cod. Neap. et Par., *λύρᾳ* Boissonade. *ῥύσα* cod. Par., *ῥύσει* Neap., *ῥύσι'* Boissonade. *ἐξερύσατο* cod. Neap. *λύρᾳ βοῶν γὰρ ῥύσι' ἐξελύσατο* coni. Schneidewin, *λύρα βοῶν νιν ῥύσι' ἐξερρύσατο* Vnger Theb. parad. p. 33.

191

. . κρεῖσσον ὄλβου κτῆμα

Philostr. V. Soph. 2, 27, 4: *μελέτης δὲ ὁ Ἱππόδρομος οὔτε ἐν ἀγρῷ διαιτώμενος ἠμέλει οὔτε ὁδοιπορῶν οὔτε ἐν Θετταλίᾳ, ἀλλὰ καὶ* '*κρεῖττον* (*κρείττων* vel *κρείττω* al.) *ὄλβου κτῆμα*' *ἐκάλει αὐτὴν ἐκ τῶν Εὐριπίδου τε ὑμνῶν* (*ὕμνων* vulgo) *καὶ Ἀμφίονος*. ubi verba *Εὐριπίδου τε καὶ Ἀμφίονος* quo modo intellegenda sint docet locus Philostrati a Kaysero allatus, V. Apoll. 7, 4: *τὰ Τειρεσίου τε καὶ Σοφοκλέους ἑαυτῷ ἐπιθεσπίσας.*

192

χρόνος θεῶν τε πνεῦμ' ἔρως θ' ὑμνῳδίας

Iulianus Epist. 3 quam *Ἀ. Παπαδόπουλος ὁ Κεραμεύς* Constantinop. a. 1885 edidit et in Mus. Rhen. vol. 42 p. 24 repetiit: *τρία δὲ ἅμα ταῦτα ξυνελθόντα ἤρκεσεν ἀποφῆναι τὸν Ἀμφίονα τῆς παλαιᾶς μουσικῆς εὑρετήν· χρόνος, πνεῦμα θεῶν ἔρως τε ὑμνῳδίας.* eadem Iuliani verba affert Suidas v. *Ἀμφίων*, ubi *χρόνος, θεοῦ πνεῦμα, ἔρως ὑμνῳδίας* legitur. Euripideum versum a Kustero agnitum spectat Philostr. V. Apollon. 7, 34: *τίς ὁ ἀπολογησόμενος ἔσται;* '*χρόνος*' *ἔφη* '*καὶ θεῶν πνεῦμα καὶ σοφίας ἔρως, ᾧ ξύνειμι*'. cf. Flor. Monac. 232: *ὁ παιδευσόμενος* (ita leg.) *τριῶν χρῄζει, φύσεως μελέτης χρόνου.*

193

ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν παρόν,
μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα.

Stob. Flor. 58, 1: *Εὐριπίδου Ἀντιόπῃ.* 'ὅστις — ἀπράγμονα'. v. 1 πολλὰ] πόλλ' ἃ O. Hense Exerc. crit. p. 16. μὴ πράσσειν χρεὼν scripserim. v. 2 μωρὸς SMA. παρὸν ζῆν ἡδέως item dixit Apollod. Com. 4 p. 456, qui fortuitus videtur consensus.

194

ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος
πόλει τ' ἄριστος. μὴ τὰ κινδυνεύματα
αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ
τολμῶντα λίαν οὔτε προστάτην χθονός.

Stob. Flor. 48, 3: *Εὐριπίδου Ἀντιόπης.* 'ὁ δ' — χθονός'. v. 1 φίλοισί τ' S, φίλοισιν MA. v. 2 πόλει τ' ἀρεστός ego conieci, πόλει τε χρηστός Meineke Philol. 14 p. 33, πόλει τε πιστός F. G. Schmidt Sat. crit. p. 22, πόλει τ' ἀρωγός Wecklein *Stud.* p. 421. v. 4 τολμῆντα non debuisse conici ostendi *Mél. Gréco-Rom.* V p. 214. χθονός] πόλεως h. l. ut Iph. Aul. 373 scribendum arbitror.

195

ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει.

Orion Flor. 2, 1 p. 44, 14: ἐξ *Ἀντιόπης Εὐριπίδου.* 'ἅπαντα — λαμβάνει'. cf. Men. monost. 89: γῆ πάντα τίκτει καὶ πάλιν κομίζεται. 539: χθὼν πάντα κομίζει (l. πάντα τίκτει) καὶ πάλιν κομίζεται. 668: ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις. Ennius Epich. fr. 7 p. 78 ed. Muell.: *terra gentis omnis peperit et resumit denuo.*

196

τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·
οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ.
[εὐδαιμονεῖ τε καὖθις οὐκ εὐδαιμονεῖ.]
τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες
οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι; 5

Stob. Flor. 105, 11: *Εὐριπίδου* (ἐξ addunt MA) *Ἀντιόπης.* 'τοιόσδε — λυπούμενοι;' v. 1 βίος] πότμος F. G. Schmidt *Krit. Stud.* 2 p. 449. v. 2 οὐδ' εὐτυχεῖ SMA, οὔτ' εὐτυχεῖ Matthiae. v. 3 εὐδαιμονεῖ τε SMA, εὐδαιμονεῖ δὲ tacite Wagner. v. 2 et 3 infinitivos εὐτυχεῖν, δυστυχεῖν et bis εὐδαιμονεῖν requirit Cobet Mnem. 9 p. 144

et Coll. crit. p. 214 sq. mihi v. 2 εὐτυχής et δυστυχής scribendum videtur, v. 3 abiciendus ut interpolatus. v. 4 et 5 om. fabulae nom. affert Clemens Alex. Strom. VI p. 744. v. 4 τί δήποτ' ὄλβῳ Clem. μὴ ἀσφαλεῖ olim F. G. Schmidt.

197

βροτοῖσιν εὔκρας οὐ γένοιτ' ἂν ἡδονή.

Phot. Lex. p. 34, 15: εὔκρας· εὔκρατος. Εὐριπίδης 'βροτοῖσιν (εὐρυβροτοῖσιν cod., Εὐριπίδης 'βροτοῖσιν Porson) — ἡδέως' ἐν Ἀντιόπῃ. Schol. Plat. p. 957 b 43: εὐκράς εὔκρατος ἢ εὐκέφαλος, ὡς Εὐριπίδης Ἀντιόπῃ. ubi verba ἢ εὐκέφαλος inepta sunt. Excerpta ex libris Herodiani techn. p. 7, 19 sive Anecd. Oxon. vol. 4 p. 335, 1: τὸ μέντοι εὔκρας βαρυτόνως παρ' Εὐριπίδῃ ἀνεγνώσθη. ἡδέως Phot., ἡδονή Lobeck Paral. p. 222.

198

εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος
μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,
ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

Stob. Flor. 16, 4: Εὐριπίδου Ἀντιόπης. 'εἰ δ' — εὐδαίμονα'. v. 1 εὐτυχὼν SM. v. 2 μηδὲν δόμοισι] μηδὲν δ' ὅμως τι Maximus Conf., μηδὲν ἀπολαῦσαι F. G. Schmidt *Krit. Stud.* 2 p. 449 sq. πεπάσεται Cobet V. L. ed. sec. p. 608 et Coll. crit. p. 215, θηράσεται Kock Com. Att. fr. vol. 2 p. 509. v. 3 οὔποτ' αὐτὸν Stobaei S, αὐτὸν οὔποτ' MA. v. 4 εὐδαίμονα, quod ab interpolatore additum existimat O. Hense Exerc. crit. p. 55, in δυσδαίμονα mutarim.

199

τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος
κακῶς ἐμέμφθης· εἰ γὰρ εὖ φρονεῖν ἔχω,
κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος.

Stob. Flor. 3, 12: Εὐριπίδου Ἀντιόπῃ. 'τὸ δ' — βραχίονος'. eclogam om. S. v. 2 φρονεῖν] φρενῶν malim, ut coniecit Valckenaer Diatr. p. 78.

200

γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα·
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν.

Stob. Flor. 54, 5: *Εὐριπίδου Ἀντιόπῃ. ʽγνώμῃ — κακόν'.* v. 1—4 om. fabulae nom. afferunt Plutarchus V. Hom. c. 156 vol. 5 p. 1196 et Orion Flor. Eurip. 17 p. 57, 8. initium loci respicit Diogenes cynicus ap. Laert. Diog. 6, 104: *γνώμαις γὰρ ἀνδρῶν εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος, οὐ ψαλμοῖσι καὶ τερετίσμασιν.* item Epictetus (fr. 82) in Stob. Flor. 46, 82: *γνώμαις γὰρ ἀνδρῶν εὖ οἰκοῦνται πόλεις, ἀλλ' οὐ λίθοις καὶ ξύλοις.* Clemens Alex. Strom. II p. 483 sq.: *βουλαῖς γὰρ ἀνδρῶν ὁσίων εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος.* v. 3 et 4 om. fab. nom. afferunt Philo Iud. vol. 2 p. 343 Schol. BT Il. *B* 372, eosdem s. poetae et fab. nom. Galenus vol. 1 p. 35 et Sextus Empir. p. 663, 8. verba *σοφὸν — νικᾷ* (v. 3 sq.) sine fab. nomine apponunt Polybius 1, 35, 4 Eust. Il. p. 240, 42 Nicephorus Bryennius 4, 28 p. 156, 1. eadem verba s. poetae et fabulae nom. Plutarchus an seni gerenda sit res publ. c. 10 p. 790 A Themistius Orat. XVI p. 207 D Doxopater Rhet. vol. 2 p. 303, 25. cf. Philod. de rege Hom. in Hercul. volum. VIII col. 14 p. 27: *ἀλλ' ἐν ἑκατέρᾳ τῶν περιστάσεων ἓν σοφ⟨ὸν⟩ βούλ⟨ευ⟩μα τὰς πολλὰς χέ⟨ρ⟩ας ⟨νικ⟩ᾶν καὶ τὸ πολὺ τούτῳ κατο⟨ρ⟩θοῦσθαι τὰ πράγματα.* Themist. Orat. XV p. 191 A: *καὶ οὐχ οὕτω σοφὸν βούλευμα ἓν τὰς πολλὰς χεῖρας νικᾷ ὡς εὐσέβεια καὶ φιλανθρωπία.* Themist. Orat. XXXIV p. 56: *ἐπαινῶ τὸν Εὐριπίδην τὴν ἀγαθὴν βουλὴν τῶν πολλῶν χειρῶν προτιμῶντα.* Pseudo-Callisth. 3, 1 p. 94 b: *ἓν γάρ μου σοφὸν βούλευμα πρὸς τοὺς πολεμίους μάχεσθαι τὰς ψυχὰς ὑμῶν ἁπάντων ἐθράσυνεν.* Iuli Valerii Res gestae Alex. 3, 2: *cum unum quodvis imperatorium sapiens prudensque consultum praestet manu multorum inconsultius laborantium.* Nicolaus Rhet. vol. 1 p. 278, 5: *σοφὸν ἓν βούλευμα* (*σοφῶν βούλευμα* Apophth. Vindob. 112) *ὑπὲρ χεῖρας πολλάς.* Libau. Decl. vol. 3 p. 309, 11: *ἄγαμαι τῆς γνώμης τὸν ποιητήν, ἢ πολλῶν χειρῶν ἰσχυρότερον εἶναι φησὶ βούλευμα σοφίας μετέχον.* Constant. Manass. fr. 9, 75 p. 577 ed. Herch.: *σύνεσις ἰσχύος ὑπερτέρα καὶ κρεῖττον βούλευμα σοφὸν μυρίων βραχιόνων.* Ioh. Cinnamus 2, 6 p. 45, 11: *πολλάκις ἓν βούλευμα συνετὸν ὑπὲρ μυριοπληθεῖς ὤνησε χεῖρας.* v. 1 *γνώμαις*] *γνώμῃ* Stob., *βουλαῖς* Clem. *ἀνδρὸς* Stob. Plut., *ἀνδρῶν* Or. Diog. Epict. Clem. v. 2 *εἴς τ'* Stob. Or., *εἰς δ'* Plut. v. 3 *σοφὸν γὰρ ἓν*] *ὡς ἓν σοφὸν* Polyb. Niceph. Bryenn. *ἓν βούλευμα* plerique testes, *εὐβούλευμα* Stob. SMA, *εὖ βούλευμα* Or., *βούλευμα* Themist. p. 191 Liban. Const. Man. *πολλὰς*] *σοφὰς* Orion. *χεῖρας* plerique, *χέρας* Philod. Plut. p. 790 Schol. Il. al. v. 4 *ὄχλῳ*] *ὅπλοις* Galen., *ὄγκῳ* coni. Hartung Eur. rest. 2 p. 421. *συνοικεῖ δ' ἀμαθίᾳ* F. G. Schmidt *Jahrb. f. Philol.* 89 p. 331 et Anal. Soph. p. 41. *πλεῖστον*] *πλέον* Stob., *μεῖζον* Philo, *χεῖρον ἢ* Galen.

201

καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν
ἀσκοῦσι βίοτον, ἢν σφαλῶσι χρημάτων,
κακοὶ πολῖται· δεῖ γὰρ ἄνδρ' εἰθισμένον
ἀκόλαστον ἦθος γαστρὸς ἐν ταὐτῷ μένειν.

Stob. Flor. 6, 22: *Εὐριπίδου Ἀντιόπῃ* (sic MA, fabulae nomen om. L, eclogam om. S). '*καὶ μὴν — μένειν*'. v. 2 *βίωτον ἢν* M. v. 3 *κακοὶ πολῖταί γ', εἴπερ* F. G. Schmidt *Krit. Stud.* 2 p. 450 sq., *κακοὶ πολῖται· καὶ γὰρ* ego malim. v. 4 recte dicitur *ἀνὴρ εἰθισμένος ἀκόλαστον ἦθος* (cf. fr. 282, 8), *γαστρὸς* ferri non potest: *εἰκὸς* proponit F. G. Schmidt. post *ἦθος* quaedam excidisse coni. Gomperz *Nachl.* p. 22.

202

ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι
σοφόν, ταράσσων μηδὲν ὧν πόλις νοσεῖ.

Stob. Flor. 3, 27: *Εὐριπίδου Ἀντιόπῃ* (sic MA, eclogam om. S). '*ἐγὼ μὲν — νοσεῖ*'. v. 1 *οὖν* om. A. *ᾄδοιμι*] *ἔρδοιμι* F. G. Schmidt *Krit. Stud.* 2 p. 451. v. 2 *μηδὲν ὧν πόλις νοεῖ* coni. Badham in Eur. Iph. T. praef. p. 10, *μηδαμῶς πόλει νόσον* F. G. Schmidt.

203

ἔνδον δὲ θαλάμοις βουκόλον . . . .
κομῶντα κισσῷ στῦλον εὐίου θεοῦ.

Clemens Alex. Strom. I p. 418: *λέγεται δὲ καὶ ἐν χρησμῷ τινι 'στῦλος Θηβαίοισι Διώνυσος πολυγηθής', ἐκ τῆς παρ' Ἑβραίοις ἱστορίας. ἀλλὰ καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ φησὶν 'ἔνδον — θεοῦ'.* v. 1 *εἶδον* Bothe. post *βουκόλον* lacunam indicavi. *βλέπειν δοκῶ* addi vult Max. Mayer de Eur. mythopoeia p. 76. v. 2 *κοσμοῦντα* Toup in Longin. ed. Oxon. p. 364 sq.

204

πόλλ' ἔστιν ἀνθρώποισιν, ὦ ξένοι, κακά.

Stob. Flor. 98, 36: *Εὐριπίδου Ἀντιόπης* (sic MA, lemma om. S). '*πόλλ' — κακά*'. similis est versus Philem. Com. 4 p. 56: *πόλλ' ἔστιν ἐν πολλαῖσιν οἰκίαις κακά.*

205

φρονῶ δ' ὃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν·
τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ
νοσοῦντα, κέρδος δ' ἐν κακοῖς ἀγνωσία.

Stob. Flor. 99, 12: *Εὐριπίδου Ἀντιόπης. 'φρονῶ — ἀγνωσία'.* v. 1 habet Erotianus Gloss. Hippocr. p. 84, 4: *κατεφρόνει· κατενόει. φρονεῖν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ νοεῖν, ὡς καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ 'φρονῶ — κακόν'.* ὃ Erot., ἃ Stob. *σμικρὸν* Stob., *μικρὸν* Erot.

206

ὦ παῖ, γένοιντ' ἂν εὖ λελεγμένοι λόγοι
ψευδεῖς, ἐπῶν δὲ κάλλεσιν νικῷεν ἂν
τἀληθές· ἀλλ' οὐ τοῦτο τἀκριβέστατον,
ἀλλ' ἡ φύσις καὶ τοὐρθόν· ὃς δ' εὐγλωσσίᾳ
νικᾷ, σοφὸς μέν, ἀλλ' ἐγὼ τὰ πράγματα 5
κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε.

Clemens Alex. Strom. I p. 340 sq.: *ἐγὼ γοῦν καὶ πάνυ ἀποδέχομαι τὴν τραγῳδίαν λέγουσαν 'ὦ παῖ — ἀεί ποτε'.* Stob. Ecl. 2, 15, 12 p. 187, 10: *Εὐριπίδου Ἀντιόπῃ. 'ὃς δ' εὐγλωσσίᾳ — ἀεί ποτε'* (v. 4—6). v. 1 *λεγόμενοι οἱ* L, *λελεγμένοι* Markland. v. 2 *καλλονῇ* scribendum suspicor. v. 4 *τοὔργον* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 451. Mauricius Schmidt huc refert Hesych. 4 p. 167: *τοὐρθόν· τὸ ὀρθόν* (ita enim vitiosam codicis scripturam *τοῦθρον τὸν ὄρθρον* verissime correxit). v. 4 sq. *εὐγλωσσίᾳ νικᾷ*] *εὐγλωσσίαν εἰ καὶ* Clemens. v. 5 *ἀλλὰ γὰρ* Stob., *ἀλλά γε* Clem., *ἀλλ' ἐγὼ* Sylburg. v. 6 *κρεῖσσον* Stob.

207

κύουσα τίκτω ἡνίκ' ἡγόμην πάλιν

Ammonius Valck. p. 86: *κύειν μὲν τὸ ἔγκυον εἶναι, τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. Εὐριπίδης ἐναντίον ἡ* (*ἐν Ἀντιόπῃ* Valck.) *'κύουσα τίκτω' εἶπεν 'ἡνίκ' ἡγόμην πάλιν'.* ubi *κύουσ' ἔτικτον* vel *κύουσα, τίκτω θ'* coni. Valckenaer Diatr. p. 60. Eustathius Od. p. 1799, 54: *καὶ φέρεται εἰς τοῦτο χρῆσις ἐξ Ἀντιόπης τὸ 'κύουσα τίκτον'.*

208

εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ,
ἔχει λόγον καὶ τοῦτο· τῶν πολλῶν βροτῶν
δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.

Stob. Flor. 98, 38: *Εὐριπίδου Ἀντιόπῃ* (sic M, *ἀντιόπης* A, eclogam om. S). *'ἔχει λόγον — εὐτυχεῖς'* (v. 2 et 3). initium om. poetae et fabulae nom. servavit, id quod A. Hecker Philol. 5 p. 450 docuit, Marcus Antoninus 7, 41 et 11, 6: *'εἰ δ' — καὶ τοῦτο'.* v. 3 extat in Men. mon. 125. eundem respicit Hierocles Gaisf. p. 69: *αὐτομάτως συμπίπτει τὸν μὲν εὐτυχῆ εἶναι, ὡς φασί, τὸν δὲ δυστυχῆ.*

209

οὐ σωφρονίζειν ἔμαθον· αἰδεῖσθαι δὲ χρή,
γύναι, τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον.

Stob. Flor. 74, 18: *Εὐριπίδου Ἀντιόπῃ* (sic MA, eclogam om. S). '*οὐ — φθόνον*'.

210

οὐδὲ γὰρ λάθρᾳ δοκῶ
φωτὸς κακούργου σχῆματ' ἐκμιμούμενον
σοὶ Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν.

Clemens Alex. Strom. V p. 715 sq. (quem locum repetit Euseb. P. E. XIII p. 679 D): *οὔκουν ἔτι κατὰ τὴν τῶν πολλῶν δόξαν περὶ τοῦ θεοῦ* (*θείου* Euseb.) *ὑποληπτέον.* '*οὐδὲ γὰρ — μολεῖν*', *Ἀμφίων λέγει τῇ Ἀντιόπῃ.* Euripidis locum esse agnovit Sylburg. v. 2 *θηρὸς κακούργου* bene coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 452. v. 3 *τήνδε* vel *τήνδ'* libri, *Ζῆν'* Valckenaer Diatr. p. 63.

211

φεῦ φεῦ, βροτείων πημάτων ὅσαι τύχαι
ὅσαι τε μορφαί· τέρμα δ' οὐκ εἴποι τις ἄν.

Stob. Flor. 98, 34: *Εὐριπίδου Ἀντιόπης* (sic MA, *Ἀντιόπης* om. S). '*φεῦ φεῦ — τις ἄν*'. eosdem versus om. p. et fab. nom. affert Clemens Alex. Strom. III p. 521. v. 1 *βροτείων* Clem., *βρότειαι* Stob. SA, *βρότιαι* M. *ὅσαι τρίβοι* coni. F. G. Schmidt Sat. crit. p. 10, *ὅσοι τύποι* Herwerden Mnem. nov. 12 p. 310. v. 2 *ὅσαι δὲ* Clem.

212

εἰ νοῦς ἔνεστιν· εἰ δὲ μή, τί δεῖ καλῆς
γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;

Stob. Flor. 72, 8: *Εὐριπίδου Ἀντιόπῃ.* '*εἰ νοῦς — ἔχοι;*' v. 1 *τί δεῖ* S, *τί δ' εἰ* MA. v. 2 *εἰ μὴ*] *ἢ μὴ* coni. Boissonade.

213

κόρος δὲ πάντων· καὶ γὰρ ἐκ καλλιόνων
λέκτροις ἐπ' αἰσχροῖς εἶδον ἐκπεπληγμένους,
δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν
φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.

Stob. Flor. 63, 2: *Εὐριπίδου Ἀντιόπῃ.* '*κόρος — στόμα*'. v. 1 *καλιόνων* SM. ceterum cf. Greg. Naz. vol. 2 p. 242 C: *κόρος δὲ πάν-*

των καὶ καλῶν καὶ χειρόνων. v. 2 ἐν SMA, ἐπ' Wyttenbach. v. 3 σταιτὸς coni. Meineke. πληρωθεὶς τις] πληρωθείσης M. v. 4 ἥσθη Stob. S, ἥσθη M, ἥση A, ἧσθην Athenaeus X p. 421 F: ὁ δ' Εὐριπίδης φησί 'φαύλη — στόμα'.

214

κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.

Stob. Flor. 70, 3: *Εὐριπίδου Ἀντιόπῃ.* 'κῆδος — χρεών'. eclogam om S. ἑαυτὸν in αὑτὸν corr. M pr. m. in lemmate fortasse Ἀντιγόνῃ scribendum, cf. quae supra diximus p. 405.

215

πᾶσι δ' ἀγγέλλω βροτοῖς
ἐσθλῶν ἀπ' ἀλόχων εὐγενῆ σπείρειν τέκνα.

Stob. Flor. 70, 10: *Εὐριπίδου ἐν Ἀντιόπῃ* (ἐν ἀντιόπῃ εὐριπδ S). 'πᾶσι — τέκνα'. ubi quae continuo accedunt, οὐ γάρ ποτ' ἂν πράξειαν ἐς τέλος κακῶς (cf. Eur. Andr. 1283), cum hoc loco non cohaerent. v. 1 ἀγγέλω M. v. 2 ἀλόχων Wecklein *Stud.* p. 421, ἀνδρῶν SMA.

216

οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας
γνώμας διώκειν οὐδ' ἐς ἀργίαν βλέπειν.

Stob. Flor. 62, 4: *Εὐριπίδου Ἀντιόπῃ* (sic SM, εὐρ. ἀντιγόνῃ A). 'οὐ χρή — βλέπειν'.

217

. . τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;

Stob. Flor. 62, 12: *Εὐριπίδου Ἀντιόπῃ* (ἀντιόπης M). 'τὸ — κακόν;'

218

φεῦ φεῦ, τὸ δοῦλον ὡς ἁπανταχῇ γένος
πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.

Stob. Flor. 62, 41: *Εὐριπίδου Ἀντιόπης* (ἀντιόπῃ M). 'φεῦ φεῦ — θεός'.

219

κόσμος δὲ σιγὴ στεγανὸς ἀνδρὸς οὐ κακοῦ·
τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται,
κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει.

Stob. Flor. 36, 10: *Εὐριπίδου Ἀντιόπῃ* (sic M, *εὐριπίδου ἀντιόπης* A, *τοῦ αὐτοῦ* nec plura S). '*κόσμος — πόλει*'. v. 1 *σιγὴ στεγανὸς* Herwerden Exerc. crit. p. 35, *σιγῆς στέφανος* SMA. v. 2 *οὔθ'* SMA, *τοῦθ'* Porson. v. 3 graviter corruptus. coniecturas protulit Herwerden Mnem. nov. 12 p. 310.

220

πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν·
γνώμῃ φρονοῦντες οὐ θέλουσ' ὑπηρετεῖν
ψυχῇ τὰ πολλὰ πρὸς φίλων νικώμενοι.

Stob. Flor. 30, 9: *Εὐριπίδου Ἀντιόπης.* '*πολλοὶ — νικώμενοι*'. v. 2 *ῥώμῃ φρονοῦντες* coni. Vnger Theb. parad. p. 373, *αὐτοὶ φρονοῦντες* O. Hense Exerc. crit. p. 49. v. 3 *τύχῃ* in Stob. ed. Meineke, postea (*Jahrb. f. Philol.* vol. 87 p. 384) *πρὸς κακῶν* idem coniecit.

221

εἰ δέ που τύχοι
πέριξ ἑλίξας εἷλκε . . ὁμοῦ λαβὼν
γυναῖκα πέτραν δρῦν μεταλλάσσων ἀεί.

Longinus de subl. c. 40, 4: *ἐπὶ δὲ τῆς συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης* (sc. *φησὶν Εὐριπίδης*) '*εἰ δέ — ἀεί*'. v. 2 *ταῦρος εἷλχ' ὁμοῦ λαβὼν* coni. Valckenaer Diatr. p. 66, *εἷλκε πάνθ' ὁμοῦ λαβὼν* Bergk, *εἷλκε συλλαβὼν ὁμοῦ* O. Hense Exerc. crit. p. 17. v. 3 *γυναικὶ* coni. Vnger Theb. parad. p. 83.

222

τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου,
δείκνυσι δ' ἡμῶν ὅστις ἐστὶ μὴ κακός.

Stob. Ecl. 1, 3, 33 p. 58, 9: *Εὐριπίδης Ἀντιόπῃ.* '*τήν — κακός*'. cum v. 1 cf. Eur. fr. 151, 1. v. 2 *ἔστι μὴ κακός* F, *ἐστὶ κακός* P. *ὅστις ἔστ' ἢ μὴ κακός* coni. Dobree in Aristoph. Plut. 886. *δείκνυσι δ' ἐσθλὸς ὅστις ἐστὶν ἢ κακός* F. G. Schmidt *Krit. Stud.* 2 p. 452 sq., fortasse sufficit *δείκνυσι δ' ἡμῶν εἴ τις ἐσθλὸς ἢ κακός.*

223

Δίκα τοι Δίκα χρόνιος, ἀλλ' ὅμως ὑποπεσοῦσ'
ἔλαθεν, ὅταν ἔχῃ τιν' ἀσεβῆ βροτῶν.

Stob. Ecl. 1, 3, 25 p. 57, 2: *Εὐριπίδης* (*εὐριπίδου* P) *Ἀντιόπῃ.* '*δίκα τοι — βροτῶν*'. v. 1 *ὑποπεσοῦσα* ⟨*σῖγ'*⟩ coni. Vsener, *ἐπιπεσοῦσ'* F. G. Schmidt *Krit. Stud.* 2 p. 453. v. 2 *ὅταν ἕλῃ* Fix, *ὅταν ἴδῃ* Meineke.

224

Ζῆθον μὲν ἐλθόνθ' ἁγνὸν ἐς Θήβης πέδον
οἰκεῖν κελεύω, τὸν δὲ μουσικώτατον
κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα.

Eubulus (Com. 3 p. 208) ap. Ath. II p. 47 B: *Ζῆθον μὲν ἐλθεῖν* (*ἐλθόνθ'* Iacobs) *ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύει· καὶ γὰρ ἀξιωτέρους πωλοῦσιν, ὡς ἔοικε, τοὺς ἄρτους ἐκεῖ· σὺ δ'* (*ὃ δ'* Kaibel duce Grotio) *ὀξύπεινος· τὸν δὲ μουσικώτατον κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα, οὗ ῥᾷστ' ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι κάπτοντες αὔρας, ἐλπίδας σιτούμενοι.* dubitari non potest quin verba supra exhibita tragici sint poetae, nec video unde petita esse possint nisi ex Euripidis Antiopa. v. 2 *κελεύω* scripsi cum Iacobsio.

225

Probus in Vergil. Ecl. 6, 31 p. 21, 6: *sunt qui binis principiis mundum discriminent. nam Xenophanes Colophonius terram et aquam prodidit: — consentit in numero Euripides, sed speciem discriminat. terram enim et aetherem* (*aerem* libri, corr. Wilamowitz-Moellendorff) *inducit principia rerum esse in Antiopa* ...... verba Euripidea exciderunt. Schneidewin coniecit significari versus notissimos *ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα κτέ.* (fr. 941), quos ipse Probus p. 11, 8 affert. dissentiunt Wagner Poet. trag. Gr. fr. vol. 3 p. 293 sq. et Wilamowitz-Moellendorff, qui huc revocari malunt fr. 1023. alii fortasse de fr. 839 cogitabunt, quem locum ex Chrysippo esse derivatum unus tradidit Clemens Alexandrinus.

226

νόσον ἔχειν

Anecd. Bekk. p. 109, 17: *νόσον ἔχειν· ἀντὶ τοῦ φαῦλον ἦθος ἔχειν. Εὐριπίδης Ἀντιόπῃ.* eadem Phot. Lex. p. 303, 4 et Suid. v. *νόσον ἔχειν.*

227

εὐθύδημον

Hesych. 2 p. 222: *εὐθυδήμονα· ἁπλοῦν δημότην. Εὐριπίδης Ἀντιόπῃ* (*ἀντιώπη* cod.). veram scripturam a Schneidero agnitam servavit Phot. Lex. p. 32, 5: *εὐθύδημον· ἁπλοῦν δημότην.*

ΑΡΧΕΛΑΟΣ

Agatharchides in Phot. Bibl. p. 444 b 29: *οὐδ' Εὐριπίδου κατηγορῶ τῷ μὲν Ἀρχελάῳ περιτεθεικότος τὰς Τημένου πράξεις, τὸν δὲ Τειρεσίαν βεβιωκότα παρεισάγοντος πέντε γενεῶν πλέον.* de argu-

mento cf. Hyginus fab. 219: *Archelaus Temeni filius exul a fratribus eiectus in Macedoniam (Mygdoniam* coni. M. Schmidt) *ad regem Cisseum venit. qui cum a finitimis oppugnaretur Archelao regnum et filiam in coniugium dare pollicetur, si se ab hoste tutatus esset. Archelaus — hostes uno praelio fugavit et ab rege pollicita petit. ille ab amicis dissuasus fidem fraudavit cumque per dolum interficere voluit, itaque foveam iussit fieri et multos carbones eo ingeri et incendi et super virgulta tenuia poni, quo cum Archelaus venisset, ut decideret. hoc regis servus Archelao patefecit. qui re cognita dicit se cum rege conloqui velle secreto. arbitris semotis Archelaus regem abreptum in foveam coniecit atque ita eum perdidit. inde profugit ex responso Apollinis in Macedoniam capra duce oppidumque ex nomine caprae Aegeas constituit.* in Archelai Macedonum regis honorem hanc fabulam compositam esse coniecit auctor vitae Euripideae ab Elmsleio editae (Westerm. Βιογρ. p. 134, 21): *ἐκεῖθεν δ' εἰς Μακεδονίαν περὶ Ἀρχέλαον γεγονὼς διέτριψε*) καὶ χαριζόμενος αὐτῷ δρᾶμα ὁμωνύμως ἔγραψε.* contra Diomedes p. 488, 20: *tristitia namque tragoediae proprium, ideoque Euripides petente Archelao rege ut de se tragoediam scriberet abnuit ac deprecatus est, ne accideret Archelao aliquid, tragoediam ostendens nihil aliud esse quam miseriarum comprehensionem.* obiter huius fabulae meminit Libanius Declam. vol. 4 p. 313, respicere videtur Dio Chrysost. 4, 71: *ἢ οὐκ αἰπόλος ἦν ὁ Ἀρχέλαος, οὐδὲ ἦλθεν εἰς Μακεδονίαν αἶγας ἐλαύνων*; duplicem fuisse recensionem ex fr. 846 collegit Valckenaer Diatr. p. 162, cf. Fritzsche in Ar. Ran. p. 366 sq. inter Archelaum et Temenum tragoedias similem intercessisse rationem atque inter *στεφανηφόρον* et *καλυπτόμενον Ἱππόλυτον* coni. Wecklein Philol. 39 p. 410. fortasse ad Archelaum referendum est fr. 1038.

228

Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατὴρ
Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,
ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς
Αἰθιοπίδος γῆς, ἡνίκ' ἂν τακῇ χιὼν
τέθριππ' ἄγοντος ἡλίου κατ' αἰθέρα, 5
ἐλθὼν ἐς Ἄργος ᾤκισ' Ἰνάχου πόλιν·
Πελασγιώτας δ' ὠνομασμένους τὸ πρὶν
Δαναοὺς καλεῖσθαι νόμον ἔθηκ' ἀν' Ἑλλάδα.

*) De Euripide dicta videntur quae Philodemus habet de vitiis libro X p. 20 ed. Saupp.: *διὸ καί φασιν ἀχθόμενον αὐτὸν ἐπὶ τῷ σχεδὸν πάντας ἐπιχαίρειν πρὸς Ἀρχέλαον ἀπελθεῖν.*

Tiberius περὶ σχημάτων Rhet. vol. 8 p. 577: *καὶ Εὐριπίδης* ‘*Δαναὸς — πόλιν*’ (v. 1—6). Strab. V p. 221: *καὶ Εὐριπίδης δ' ἐν Ἀρχελάῳ φησὶν ὅτι* ‘*Δαναὸς — πατὴρ ἐλθὼν ἐς Ἄργος — ἀν' Ἑλλάδα*’ (v. 1 et 6—8). versum 1 fabulae Euripideae initium esse dicit auctor vit. X oratorum 4, 14 (Plut. Mor.) p. 837 E (cf. Vita Isocr. in Westerm. *Βιογρ.* p. 258, 48), eundem sine poetae et fab. nomine afferunt Plut. de prolis amore c. 4 p. 497 B et Rufinus Comm. in metra Terent. (H. Keilii Gramm. Lat. VI) p. 561, 14. Anonymus de Nilo*) in Athenaei edit. Dind. p. 164 sq.: *Ἀναξαγόρας δὲ ὁ φυσικὸς φησὶ τῆς χιόνος τηκομένης τὴν ἀναπλήρωσιν τοῦ Νείλου γίνεσθαι· ὡσαύτως δὲ καὶ Εὐριπίδης καὶ ἕτεροί τινες τραγῳδιῶν ποιηταί. ἀλλ' Ἀναξαγόρας μὲν αὐτὴν τὴν γένεσιν ποίησιν λέγει τῆς ἀναπληρώσεως, ὡς αὐτὸς εἴρηκεν, Εὐριπίδης δὲ καὶ τὸν τόπον ἀφορίζει λέγων οὕτως ἐν δράματι Ἀρχελάῳ* ‘*Δαναὸς — κατ' αἰθέρα*’ (v. 1—5). Diod. Sic. 1, 38, 4: *Ἀναξαγόρας δ' ὁ φυσικὸς ἀπεφήνατο τῆς ἀναβάσεως αἰτίαν εἶναι τὴν τηκομένην χιόνα κατὰ τὴν Αἰθιοπίαν, ᾧ καὶ ὁ ποιητὴς Εὐριπίδης μαθητὴς ὢν ἠκολούθηκε· λέγει γοῦν* ‘*Νείλου — χιών*’ (v. 2—4). Steph. Byz. v. *Αἰθίοψ* p. 47, 14: *καὶ Αἰθιοπὶς ὁ αὐτὸς* (Eur.) *ἐν Ἀρχελάῳ* ‘*Αἰθιοπίδος — χιών*’ (v. 4). Strab. VIII p. 371: *Δαναὸς — κατ' Εὐριπίδην* ‘*Πελασγιώτας ὠν. — Ἑλλάδα*’ (v. 7 et 8). Diodoro usus est Theophyl. Simoc. Hist. 7, 17 p. 304, 4: *Ἀναξαγόρας δὲ ὁ προσαγορευόμενος φυσικὸς τὴν τηκομένην κατὰ τὴν Αἰθιοπίαν χιόνα τῆς τοῦ ποταμοῦ πληρώσεως ὑπάρχειν αἰτίαν ἐδόξασεν· ᾧ καὶ ὁ τραγῳδοποιὸς Εὐριπίδης πειθόμενος ἐν τοῖς ἑαυτοῦ ποιήμασι τοῦτο συντέταχε.* initium respicit Seneca Natur. quaest. IV, 2, 16 (cf. Ioh. Lydus de mens. 4, 68 p. 96, 19): *Anaxagoras ait ex Aethiopiae iugis solutas nives ad Nilum usque decurrere — hoc Aeschylus Sophocles Euripides tradunt.* v. 2 *Νεῖλον* Meineke Ath. 4 p. 36. *ἐκ γαίας* Anon., *ἐκ γαίας* vel *ἐκ γαίης* Diod., *εὐκταίης* Tib., *ἐν γύαις* coni. Luzac, *εὐγλαγοῦς* Burges Aesch. Suppl. p. 59, *εὐσταλὴς* Herwerden Exerc. crit. 38, *ἐκχέανθ'* Meineke, *εὐαγὴς* Kock Veri sim. p. 235, *ἐκ χρείας* Munro, ego olim *ἧς γαίας* temptavi. *ἑπτάρρου στόμα* (pro *ἐκ γαίας ὕδωρ*) suasit Mekler Eurip. p. 62. v. 3 *μελαμβώλοιο* Burges. v. 4 *αἰθιόπιδος* Anon. *ἡνίκ' ἂν*] *ἡνίκα* Steph. Byz. *τακείη* Tib. v. 5 *τεθρίππου ὄντος* Anon., *τεθριππεύοντος* Tib., *τέθριππ' ὀχοῦντος* Grotius, *τέθριππ' ἔχοντος* Doederlein, *τέθριππ' ἀνέντος* Lobeck Phryn. p. 624, *τέθριππ' ἐλῶντος* Burges, *τέθριππ' ἄγοντος* F. G. Schmidt *Krit. Stud.* 2 p. 454. *κατ' αἰθέρα* Anon. Tib., *δι' αἰθέρα* H. Stephanus. v. 6 *ἐς* Strab., *κατ'* Tib. *ᾤκησεν* Strab. Tib.

*) Anonymi *περὶ τῆς τοῦ Νείλου ἀναβάσεως* disputatio uni debetur codici Florentino bibl. Laur. plut. 56, 1. quo de codice dixit V. Rose Anecd. Gr. 1 p. 6 sq. lectiones codicis humanissime nobis impertiit Hieronymus Vitelli.

229

βασιλεῦ χώρας τῆς πολυβώλου
Κισσεῦ, πεδίον πυρὶ μαρμαίρει

Dionys. de comp. verb. c. 25 vol. 5 p. 203 (p. 394 Schaef.): ʻπερὶ τοῦ τὴν Χερρόνησον ἔχειν —ʼ ὅμοιον τῷ παρ' Εὐριπίδῃ ʻὦ βασιλεῦ — μαρμαίρειʼ. v. 1 ὦ delevit Valckenaer Diatr. p. 248. πολυβώλου codex Colb., πολυβόλου al. locum huc rettulit Musgrave.

230

οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν
δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία
κακὸν ἔχθιστον, φεύγει δ' ὄλβος.

Stob. Flor. 96, 3: Εὐριπίδου Ἀρχελάου (sic MA, poetae nomen om. et duas eclogas fr. 230 et 248 comprehendit uno lemmate ἀρχελάῳ corr. ex ἀρχελάου pr. m. S). ʻοὐ γὰρ — ὄλβοςʼ. chori notam praemittit S. his versibus fr. 745 adiungi vult Wecklein Philol. 39 p. 410.

231

ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων;
πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.

Stob. Flor. 88, 3: Εὐριπίδου Ἀρχελάῳ. ʻἡμῶν — γεγώςʼ. prior Cissei videtur esse versus, alter Archelai.

232

ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν
ἔλαμψε, κρεῖσσόν τ' ἐστὶ πλουσίου γάμου
⟨γένος⟩· πένης γὰρ οὐκ ἐκεῖν' ἀπώλεσεν
τὸ τοῦ πατρὸς γενναῖον.

Stob. Flor. 88, 5: Εὐριπίδου (τοῦ αὐτοῦ A) Ἀρχελάῳ MA, Εὐριπίδου ἐν ταὐτῷ S). ʻἐν τοῖς — γάμουʼ (v. 1 et 2). v. 1 ἀρετὴ] ἡ ἀρετή τε SM. v. 2 ἐν ἔλαβε SM, ἔλαβε (om. ἐν) A, ἐνέλαμψε Valckenaer Diatr. p. 162, ego ἔλαμψε praetuli, λέλαμπε coni. L. Dinderf Thes. vol. 3 p. 757 B, διέλαμψε Cobet N. L. p. 605, ἔβλαστε G. Wolff in Soph. Ant. 38. κρείσσων SM, κρεῖσσον A. v. 3 γένος addidi. rectius fortasse Cobet Mnem. nov. 2 p. 437 πένης γὰρ ⟨ὢν ὅδ'⟩ proponit. quae sequuntur olim cum fr. 231 copulata, πένης — γενναῖον, h. l. habent MA, om. S.

233

σοὶ δ' εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
θηρᾶν· ὁρᾷς γὰρ πατέρα σὸν τιμώμενον.

Stob. Flor. 29, 13: *Εὐριπίδου Ἀρχελάῳ.* '*σοὶ — τιμώμενον*'. eclogam habet S, om. MA. v. 2 *σὸν πατέρα* S, *πατέρα σὸν* Bothe.

234

πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.

Stob. Flor. 79, 19: *Εὐριπίδου Ἀρχελάῳ* (lemma om. S). '*πατρὸς — λόγῳ*'. *λόγων* M.

235

πλουτεῖς, ὁ πλοῦτος δ' ἀμαθία δειλόν θ' ἅμα.

Stob. Flor. 93, 12: *Εὐριπίδου Ἀρχελάῳ* (fabulae nomen om. S). '*πλουτεῖς — ἅμα*'. versus corruptus.

236

σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.

Stob. Flor. 29, 44: *Εὐριπίδου Ἀρχελάῳ.* '*σὺν — πόνοις*'. eclogam habet S, om. MA. *ἐν μυρίοισι* et *γίνεται* Men. mon. 176.

237

νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί·
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

Stob. Flor. 51, 4: *Εὐριπίδου Ἀρχελάου.* '*νεανίαν — τὴν εὐδοξίαν*'. eosdem versus om. fab. nom. habet Orion Flor. Eur. 22 p. 58, 3. v. 2 et 3 repetit Stob. Flor. 29, 32: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Ἀρχελάῳ.* '*οὐδεὶς — τὴν εὐανδρίαν*'. v. 1 *ἄνδρα* Stob., *ὄντα* Or. *ἀεὶ* Stob., *πονεῖν* Or. v. 2 *ῥᾴθυμος*] *ἄθυμος* Or. *εὐκλεὴς*] *εὐγενὴς* v. l. in Stob. Flor. 29. v. 3 *εὐδοξίαν* Stob. Flor. 51, *εὐανδρίαν* Stob. Flor. 29 et Orion. eadem fere verba leguntur in fr. 1052, 7.

238

οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν
εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν.

Stob. Flor. 29, 14: *Εὐριπίδου Ἀρχελάου* (sic M, *εὐρ. ἀρχελάω* A, *τοῦ αὐτοῦ* nec plura S). '*οὐκ — πονεῖν*'. v. 1 *ἡδέος ζήλῳ βίου* ego olim proposui Philol. 12 p. 643 (cf. *Eurip. Stud.* 2 p. 35), *ἡδονῆς ζηλῶν βίον* Gomperz *Beitr.* 1 p. 248, *ἥσυχον ζηλῶν βίον* Cobet

Coll. crit. p. 216. v. 2 εὐδοξίαν ἐκτήσατ' Cobet N. L. p. 295 et alibi. aequo iure possis conicere εὔκλειαν ἐξηνέγκατ': sed sufficiet quod a. 1856 proposui εὔκλειαν εἶτ' ἐκτήσατ', dummodo ἡδονὰς ζητῶν βίον v. 1 scripseris cum Vitellio de Eur. El. p. 11 et Pappageorgio Κριτ. καὶ ἑρμ. p. 38.

239

ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία
οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν.

Stob. Flor. 8, 13: Εὐριπίδου Ἀρχελάῳ. 'ὁ δ' — ἄν'. v. 2 πόλιν ὀρθώσειεν SMA, γαῖαν ὀρθώσειεν Stobaei cod. Brux. et Orion Flor. 7, 2 p. 51, 2 (quem locum infra afferemus fr. 364), πόλιν ἀνορθώσειεν Valckenaer (cf. Soph. Oed. R. 46 et 51), πόλιν ἀπορθώσειεν Meineke Philol. 14 p. 18 coll. Phryn. Bekk. p. 13, 21: ἀπορθοῦν πόλιν ἢ οἰκίαν· σημαίνει μὲν τὸ διοικεῖν ὀρθῶς, μετενήνεκται δὲ ἀπὸ τῶν ἀνορθούντων τὰς ναῦς τοῖς οἴαξιν.

240

ἐμὲ δ' ἄρ' οὐ
μοχθεῖν δίκαιον; τίς δ' ἄμοχθος εὐκλεής;
τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;

Stob. Flor. 51, 7: Εὐριπίδου (εὐριππίδ M, τοῦ αὐτοῦ A, om. poetae nom. S) Ἀρχελάῳ. 'ἐμὲ δ' — ὠρέξατο'. v. 2 ἀμόχθητος SMA, ἄμοχθος Grotius. versum 3 a praegressis dirimendum esse iudicat Badham in Eur. Iph. T. praef. p. 13.

241

ἐγὼ δὲ τὸν σὸν κρᾶτ' ἀναστέψαι θέλω.

Schol. Eur. Phoen. 1149: ἀμφίβολον πότερον τὸν κρᾶτα εἶπεν ἢ τὸ κρᾶτα, ἐπεὶ καὶ ἐν Ἀρχελάῳ 'ἐγὼ — θέλω'. ἀναστέψαι Barnes, ἀναστρέψαι libri.

242

φέρει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν, εὐγενὴς
ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν.

Stob. Flor. 54, 11: ἐν ταὐτῷ (sc. Eur. Archel.). 'ἔχει δὲ — φάτιν'. Stob. Flor. 88, 4: ἐν ταὐτῷ. 'φέρει δὲ — φάτιν'. v. 1 φέρει Stob. 88, ἔχει Stob. 54, fortasse σθένει legendum. οὐχὶ Stob. 88, οὐ Stob. 54. σμικρὸν Stob. 88 A pr. m. v. 2 ἀνὴρ] ἀνὴρ γὰρ Stob. 54 M.

243

ὀλίγον ἄλκιμον δόρυ
κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.

Stob. Flor. 54, 10: *Εὐριπίδης Ἀρχελάῳ.* ʽ*ὀλίγον — στρατεύματος*ʼ. v. 2 *στρατηγοῦ* SMA, *σάφ' ἡγοῦ* Conington, *κακάνδρου* Matthiae, *πονηροῦ* O. Hense Lect. Stob. p. 17, *ταπεινοῦ* F. G. Schmidt *Krit. Stud.* 2 p. 454, *στρατηγῷ* Grotius et Gomperz *Nachl.* p. 24.

244

ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.

Stob. Flor. 51, 9: *Εὐριπίδου* (poetae nomen om. S, *τοῦ αὐτοῦ* praebet A) *Ἀρχελάῳ.* ʽ*ὀλίγοι — κακῶν*ʼ. Orion Flor. 7, 3 p. 51, 6: *ἐκ τοῦ Ἀρχελάου.* ʽ*ὀλίγοι — κακῶν*ʼ. *ὀλίγοι* in *παῦροι* mutarim.

245

ἓν δέ σοι μόνον προφωνῶ, μὴ ἐπὶ δουλείαν ποτὲ
ζῶν ἑκὼν ἔλθῃς παρὸν σοὶ κατθανεῖν ἐλευθέρῳ.

Stob. Flor. 7, 5: *Εὐριπίδης Ἀρχελάῳ.* ʽ*ἓν — ἐλευθέρως*ʼ. eclogam om. S. v. 1 *μὴ 'πὶ δουλείαν* Gesner, *μὴ πιδοῦ λείαν* M, *μή που δειλίαν* A. v. 2 *ἐλευθέρῳ* scripsi, *ἐλευθέρως* MA.

246

νεανίας τε καὶ πένης σοφός θ' ἅμα·
ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως.

Stob. Flor. 52, 4: *Εὐριπίδου Ἀρχελάῳ* (*ἀρχελα* S, *ἀρχελάου* M, *ἀρχελάω* A, fabulae nomen om. L). ʽ*νεανίας — ἐνθυμήσεως*ʼ. v. 1 *θ' ἅμα* L, *τ' ἅμα* SM, *ἅμα* A. v. 2 *ἐνθυμήσεων* A.

247

τί δ' οὐκ ἂν εἴη χρηστὸς ὄλβιος γεγώς;

Stob. Flor. 91, 16: *Εὐριπίδου Ἀρχελάου.* ʽ*τί δ' — γεγώς;*ʼ eclogam om S. *εἴη* M, *ἦ* A.

248

οὐκ ἔστι πενίας ἱερὸν αἰσχίστης θεοῦ.
μισῶ γὰρ ὄντως οἵτινες φρονοῦσι μέν,
φρονοῦσι δ' οὐδὲν ὥς γε χρημάτων ὕπερ.

Stob. Flor. 96, 4: *Εὐριπίδου Ἀρχελάῳ.* ʽ*οὐκ — ὕπερ*ʼ. v. 1 *ἐχθίστης* Bergk. *οὔτοι τι πενίας χεῖρον, ἐχθίστης θεᾶς* F. G. Schmidt

Krit. Stud. 2 p. 454. v. 2 *μισῶ δὲ πάντας* idem. v. 3 *οὐδενός τε* SMA, *οὐδενός γε* Gesner, *οὐδὲν ὥς γε* Wakefield. *οὐδὲν χρημάτων ὑπέρτερον* coni. Pflugk Sched. crit. p. 5. *πονοῦσι δ' οὐδὲν ὥς γε χρημάτων ὕπερ* F. G. Schmidt. v. 2 et 3 a primo dirimendos esse coni. Musgrave.

249

μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν
ταπεινὸς ἔσται· κεῖνο δ' ἰσχύει μέγα,
πλοῦτος λαβὼν ⟨τε⟩ τοῦτον εὐγενὴς ἀνήρ.

Stob. Flor. 91, 18: *Εὐριπίδου Ἀρχελάῳ.* '*μὴ — ἀνήρ*'. v. 3 *τε* om. SMA.

250

τυραννίδ' ἡ θεῶν δευτέρα νομίζεται·
τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει.

Stob. Flor. 47, 5: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Ἀρχελάῳ.* '*τυραννίδα — ἔχει*'. eclogam om. S, sed *ἀρχ̄* adscribit eclogae ei quae sequitur (v. Eur. fr. 8). v. 1 *τυραννίδα ἡ θεῶν* (*ἡθῶν* M) *β̄ νομίζεται* MA, correxit Gaisford. *τυραννὶς εἶναι θεῶν βίος νομίζεται* male Gesner. v. 2 ante *οὐκ* litera in A erasa est. *τὰ δ' ἄλλ'* Grotius, *τἄλλα δ'* MA.

251

κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον
τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσιν.

Stob. Flor. 62, 11: *Εὐριπίδου Ἀρχελάῳ* (sic SA, *ἀρχελάου* M). '*κρεῖσσον — σώφροσιν*'. v. 1 *κρεῖσσον* SMA, *κρείσσω* Pflugk. *γὰρ οὔτε* Trinc., *γάρ τε* SMA. v. 2 *σώφροσι* SA, *σώφροσιν* M.

252

ἐκ τῶν δικαίων γὰρ νόμοι τ' αὐξήματα
μεγάλα φέρουσι πάντα δ' ἀνθρώποις . .
τάδ' ἐστὶ χρήματ', ἤν τις εὐσεβῇ θεόν.

Orion Flor. 3, 1 p. 44, 26: *ἐκ τοῦ Ἀρχελάου Εὐριπίδου.* '*ε̣ἰ̣ τῶν — θεόν*'. v. 1 *ε̣ἰ̣ τῶν δικαίων* cod., *ἐκ τῶν δικαίων* Meineke, *σὺν τῷ δικαίῳ* olim scripsi. *νόμοι τ'*] *νομοί τ'* Gomperz *Beitr.* 1 p. 250. v. 2 *πάντα τ' ἀνθρώπει' ἀεί* coni. Meineke, *πάντα δ' ἀνθρώποις ⟨βρύει⟩* Gomperz. ante v. 3, ubi *θεούς* malim, excidisse quaedam coni. Meineke.

253

ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν
εὖ δεινόν ἐστιν, εἰ φέρει τινα βλάβην.

Stob. Flor. 34, 2: *Εὐριπίδου Ἀρχελάῳ* (ita SM, eclogam om. A). '*ἁπλοῦς — βλάβην*'. eandem eclogam post adesp. fr. 553 habet lemmate non iterato L. v. 1 *λέγε* SM, *λέγ' εὖ* (quod coniectura assecutus erat Valckenaer Diatr. p. 256 sq.) L ut videtur. v. 2 *εἰ φέρει* L ut coni. Cobet Coll. crit. p. 203, *εἰ φέροι* SM, *ἐκφέρειν* vel *καὶ φέρειν* F. G. Schmidt *Krit. Stud.* 2 p. 455.

254

πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί.
τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.

Plut. de audiendis poetis c. 4 p. 20 D: *δεῖ τῷ βελτίονι συνηγορεῖν, ὥσπερ ἐν τούτοις* '*πόλλ' — θεούς*'. v. 1 ex Euripidis Archelao affert Iustinus M. de monarchia c. 5 p. 146: *καὶ ἐν Ἀρχελάῳ* '*πόλλ' — θεοί*'. v. 2 cf. Plut. de stoicorum repugn. c. 33 p. 1049 F: *φήσει τις ἐπαινεῖν πάλιν τοῦ Εὐριπίδου λέγοντος* '*εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί*' *καὶ* '*τὸ ῥᾷστον — θεούς*'. ibid. c. 34: *οὐχ ἅπαξ οὐδὲ δὶς οὐδὲ τρὶς ἀλλὰ μυριάκις ἔσται πρὸς Χρύσιππον εἰπεῖν* '*τὸ ῥᾷστον — θεούς*'. v. 2 *ἔμπας* F. G. Schmidt *Krit. Stud.* 2 p. 455. prior Cissei videtur versus, Archelai alter.

255

δοκεῖς τὰ τῶν θεῶν ξυνετὰ νικήσειν ποτὲ
καὶ τὴν Δίκην που μάκρ' ἀπῳκίσθαι βροτῶν·
ἡ δ' ἐγγύς ἐστιν, οὐχ ὁρωμένη δ' ὁρᾷ
ὃν χρὴ κολάζειν τ' οἶδεν· ἀλλ' οὐκ οἶσθα σὺ
ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς. 5

Stob. Ecl. 1, 3, 47 p. 60, 20 sine lemm.: '*δοκεῖς — κακούς*'. Orion Flor. 5, 1 p. 46, 26: *ἐκ τοῦ Ἀρχελάου Εὐριπίδου.* '*δοκεῖς — ὁρᾷ*' (v. 1—3). v. 1 *τὰ θεῶν σὺ* Stob. (ubi tamen *σὺ* om. P), *τὰ τῶν θεῶν* Or. v. 2 *μάκρ'* Grotius, *μακρὰν* Stob. Or. *ἀπῳκίσθαι* Stobaei P, *ἀπῳκεῖσθαι* F, *ἀποκεῖσθαὶ* Orion. *καὶ τὴν Δίκην μακρὰν* coni. Schneidewin, qui *μακράν γ'* scribere debebat. v. 3 *ἡ δ' ἐγγύς ἐστιν* Stob., *ἥδ' ἔστιν ἐγγύς* Orion. v. 5 *ὁπόταν*] *ἕως* Wecklein Philol. 39 p. 414.

256

μακάριος ὅστις νοῦν ἔχων τιμᾷ θεὸν
καὶ κέρδος αὑτῷ τοῦτο ποιεῖται μέγα.

Orion Flor. 3, 2 p. 45, 2: *ἐκ τοῦ αὐτοῦ δράματος* (sc. Eur. Archel.). '*μακάριος — μέγα*'. cum v. 1 cf. Men. Com. 4 p. 103: *μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει.* ceterum *τιμᾷ θεοὺς* praetu-

lerim. v. 2 *αὐτῷ*] *αὐτὸ* Ranke, *αὐτῷ* Bothe. *ποιεῖται* verbum tuetur F. G. Schmidt *Krit. Stud.* 2 p. 455.

257

πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν
ἥ τ' ἀξυνεσία, δύο κακὼ τοῖς χρωμένοις.

Stob. Flor. 20, 11: *Εὐριπίδου Ἀρχελάῳ.* '*πολλοὺς — χρωμένοις*'. eclogam om. A. v. 2 *ἥ τε* S. *ἀσυνεσία* ante Grotium.

258

τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν
εἰς ταὐτὸν ἐλθὸν τοῦ λίαν παρείλετο.

Stob. Flor. 20, 25: *Εὐριπίδου Ἀρχελάῳ* (ita S, eclogam om. MA). '*τῷ γὰρ — παρείλατο*'. v. 2 *αὐτὸν* S, *ταυτὸν* Gesner. *παρείλετο* Trinc., *παρείλατο* S.

259

ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα.

Stob. Flor. 20, 12: *Εὐριπίδου Ἀρχελάῳ* (sic MA, *τοῦ αὐτοῦ* nec plura S). '*ὀργῇ — ἀσχήμονα. ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος. πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά*'. tria haec esse fragmenta vidit Grotius; v. 2 ex Eur. Hypsip. desumptus est (fr. 760), v. 3 nescio cuius poetae. Archelai versus recurrit in Men. mon. 687.

260

ἔπαυσ' ὁδούρους λυμεῶνας

Schol. Pind. Pyth. 2, 54: *πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν, κυρίως δὲ τοὺς ἐν ὁδῷ κακουργοῦντας· παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν Εὐριπίδης ἐν Ἀρχελάῳ* '*ἔπαυσ' ὁδ. λ.*' *καὶ Σοφοκλῆς ἐν Αἰγεῖ* —.

261

ἔσωσα δούλην οὖσαν· οἱ γὰρ ἥσσονες
τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν.

Stob. Flor. 62, 13: *Εὐριπίδου Ἀρχελάου.* '*ἔσωσα — βροτῶν*'. chori notam apponit S. v. 1 *ἔσωσε* (vel *ἐγῷδα*) *δούλην οὖσαν* coni. Meineke, *ἔσωσε δούλη φῦσά μ'* F. G. Schmidt *Krit. Stud.* 2 p. 455 sq., *ἔγνων σε δούλην οὖσαν* Gomperz *Nachl.* p. 24 sq.

262

πάλαι σκοποῦμαι τὰς τύχας τῶν βροτῶν
ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ
εἰς ὀρθὸν ἔστη χὠ πρὶν εὐτυχῶν πίτνει.

Stob. Flor. 105, 31: *Εὐριπίδου Ἀρχελάου* (sic MA, *Εὐριπίδου* om. S). '*πάλαι — πίτνει*'. Orion Flor. 8, 2 p. 52, 27: *ἐκ τοῦ Ἀρχελάου Εὐριπίδου.* '*πάλαι — εὐτυχῶν*'. v. 1 *σκοπῶμεν* Or. *τὰς τύχας τὰς τῶν βροτῶν* Stobaei B, *τὰς ἐφημέρων τύχας* O. Hense Exerc. crit. p. 51, *τὰς βροτῶν τύχας ὅπως* Munro *Journal of philol.* X p. 236. v. 2 *ὡς θεοὶ* O. Hense, *ἀεὶ* vel *εἰκῇ* Munro. *μεταλλάσουσιν* Stobaei S, *μεταλλάσσουσιν* M, *μεταβάλλουσιν* A. *ὃς γὰρ ἂν ἀσφαλῶς* Stobaei A, *οὐ γὰρ ἀσφαλῶς* Or. v. 3 *χὠ πρὶν εὐτυχῶν πίτνει* Stob. (nisi quod *χ' ὁ* SMA et *πιτνει* sine accentu S, *πίπτει* A), *πίπτει δ' ὁ πρὶν εὐτυχῶν* Or.

263

ἔστι καὶ παρὰ δάκρυσι
κείμενον ἡδὺ βροτοῖς, ὅταν
ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ.

Stob. Flor. 122, 7: *Εὐριπίδου Ἀρχελάου.* '*ἔστι — οἴκῳ*'. v. 1 *ἔστι* ⟨*τι*⟩ *καὶ* Meineke. v. 2 *κείμενον* eo quo legitur loco incommodum in fine sententiae collocari vult F. G. Schmidt *Krit. Stud.* 2 p. 456, qui dubitat *φίλον* num sanum sit. v. 3 *οἴκτωι* S, *οἴκῳ* MA. qua ratione versus digerendi sint incertum est.

264

τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς
τοῖς πράσσουσιν κακὸν ἦλθεν.

Stob. Ecl. 1, 3, 35 p. 58, 17: *Εὐριπίδης Ἀρχελάῳ.* '*τὰ γὰρ — ἦλθε*'.

ΑΥΓΗ

Aristoph. Ran. 1080: *οὐ προαγωγοὺς κατέδειξ' οὗτος* (Euripides) *καὶ τικτούσας ἐν τοῖς ἱεροῖς*; ubi Scholion codicis Paris. 2821: *τικτούσας μὲν ἐν τοῖς ἱεροῖς, ὡς ἡ Αὔγη ἡ θυγάτηρ Ἀλέου ἱέρεια οὖσα Ἀθηνᾶς ἐν τῷ ἱερῷ γεννᾷ τὸν Τήλεφον.* argumentum Euripideae fabulae Wilamowitz-Moellendorff Anal. Eur. p. 189 suspicatur contineri iis quae tradit Moses Chorenensis Progymn. lib. III exempl. 3 hausta, ut ipse ait, ex Graecis poetis (v. Mai in Euseb. Chron. ed. Mediol. p. 294): *dum in Arcadiae quadam urbe festum Minervae celebraretur, cum eiusdem sacerdote Augea Alei filia choreas in nocturnis sacris agitante rem Hercules habuit, qui et huius furti testem reliquit ei*

anulum. illa ex eo gravida Telephum peperit, quod nomen ex eventu adhaesit. iam Augeae pater stupro cognito excandescens Telephum quidem deserto loco abiici, ubi is a cerva nutritus est, Augeam autem abysso submergi mandavit. interim Hercules ad eam regionem delatus deque re gesta sua ex anulo admonitus et puerum ex se genitum eripuit et parentem ipsam ab instante mortis discrimine expedivit. praeterea dicitur Teuthras ex oraculo Apollinis Augeam deinde uxorem duxisse Telephumque in filii loco habuisse. haud dissimilia sunt quae refert Alcidamas q. d. in Vlixe p. 670 ed. Bekk., ad Euripideam Augen ab I. van Leeuwen Comment. de Aias Soph. authentia et integr. p. 173 sq. revocata. comici poetae Augen spectare videtur Schol. Eur. Rhes. 419, ubi de v. ἄμυστις agitur: ὡς ἐν Αὔγῃ (αὐτῇ cod., corr. Hermann) 'σὺν τῷ βαθείας καὶ πυκνὰς ἕλκουσι τὰς ἀμύστιδας', ubi Σκυθῶν pro σὺν τῷ coni. Fritzsche Ran. p. 349. versum Eur. El. 379:

κράτιστον εἰκῇ ταῦτ' ἐᾶν ἀφειμένα,

quod Euripidis ἐν τῇ Αὔγῃ esse dicit Laertius Diogenes 2, 33, plerique memoriae errori tribuunt: dissentit Wilamowitz-Moellendorff Anal. Eur. p. 192 sq., qui Electrae v. 373—379 admodum sane miros et incommodos ex Auga adscitos esse suspicatur. eidem fabulae quidam tribuerunt Eur. fr. 864 et adesp. fr. 57.

265

νοῦ δ' οἶνος ἐξέστησέ μ'· ὁμολογῶ δέ σε
ἀδικεῖν, τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον.

Stob. Flor. 18, 20: Εὐριπίδου Αὐγῆς. 'νῦν δ' — ἑκούσιον'. v. 1 νῦν δ' SMA, νοῦ δ' Cobet Mnem. 9 p. 114. με SMA. comici esse poetae locum propter v. 2 numeros coni. Pierson et Meineke, cf. tamen Eur. Andr. 333: Μενέλαε, φέρε δὴ διαπεράνωμεν λόγους. Or. 1228: ἀδίκως· προδέδομαι δ' ὑπὸ κασιγνήτου σέθεν. Or. 1332: ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ. v. 1 spectari in Hesych. 2 p. 122: ἐξέστησεν· εἰς ἔκστασιν ἤγαγεν, coni. M. Schmidt.

266

σκῦλα μὲν βροτοφθόρα
χαίρεις ὁρῶσα καὶ νεκρῶν ἐρείπια,
κοὐ μυσαρά σοι ταῦτ' ἐστίν· εἰ δ' ἐγὼ ἔτεκον,
δεινὸν τόδ' ἡγῇ;

Clemens Alex. Strom. VII p. 841 sq.: εὖ δὲ καὶ ἡ Αὔγη (ἡ αὐτὴ L, correxit Grotius) δικαιολογουμένη πρὸς τὴν Ἀθηνᾶν ἐπὶ τῷ χαλεπαίνειν αὐτῇ τετοκυίᾳ ἐν τῷ ἱερῷ λέγει 'σκῦλα — ἡγῇ',

καίτοι καὶ τὰ ἄλλα ζῷα ἐν τοῖς ἱεροῖς τίκτοντα οὐδὲν ἀδικεῖ. Euripidi versus tribuit Grotius. v. 2 *δρόωσα ἀπὸ* L, *δρῶσα καὶ* Iortin, *δρῶσα τῶν* R. Ellis *Journal of philol.* IV p. 257. v. 3 *καὶ οὐ* L, *κοὐ* Sylburg. *μυσαρά* scripsi, *μιαρά* L.

267

δεινὴ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά.

Stob. Flor. 43, 12: *Εὐριπίδου Αὐγή* (ita S, eclogam om. MA). '*δεινὴ — κακά*'. *νοσοῦσα πόλις* malit O. Hense Exerc. crit. p. 16.

268

καὶ βουθυτεῖν γὰρ ἠξίους ἐμὴν χάριν.

Apollon. de coni. p. 514, 11: (*χάριν* accusativus) *ὀνοματικῆς συντάξεως ἔτυχεν. ἐν μὲν γὰρ Κρήσσαις* '*ἐγὼ — κατακτενῶ*' *καὶ ἐν Αὔγῃ* '*καὶ βουθυτεῖν — χάριν*'.

269

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὢν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Stob. Flor. 63, 11: *Εὐριπίδου Αὐγή* (sic SA, *αὐγῇ* M). '*Ἔρωτα — θεόν*'. v. 1 3 4 om. fab. nom. affert Ath. XIII p. 600 D: *κατὰ γὰρ τὸν αὐτὸν ποιητὴν ὅστις Ἔρωτα μὴ μόνον κρίνει θεόν,* '*ἢ σκαιός — θεόν*'. Latine locum expressit Caecilius Statius (Com. Rom. fr. ed. Ribbeck. p. 76) ap. Cic. Tusc. 4, 32, 68: . . *(Amorem) deum qui non summum putet, aut stultum aut rerum esse imperitum existumo.* Menandri vestigia Caecilium legisse coni. Meineke, qui v. 2 *ἀνδρῶν θ' ἁπάντων δαιμόνων θ' ὑπέρτερον* et v. 4 *οὐκ οἶδεν ὄνθ' ἥδιστον* praetulerit. v. 2 post v. 4 collocandum esse coni. Enger Mus. Rhen. 23 p. 687. v. 4 *θεόν* in *φίλον* mutari vult F. G. Schmidt *Krit. Stud.* 2 p. 457.

270

οὐ τῶν κακούργων οἶκτος ἀλλὰ τῆς δίκης.

Stob. Flor. 46, 9: *Εὐριπίδου ἐξ Αὐγῆς* (sic MA, *τοῦ αὐτοῦ* nec plura S). '*οὐ τῶν — δίκης*'. verba poetae graviter corrupta. *ὁ τῶν κακούργων οἶκτος ἀνάλυσις δίκης* coni. Enger Adnot. ad poet. Gr. fr. p. 13, alia temptavit F. G. Schmidt *Krit. Stud.* 2 p. 457.

271

πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας.
οὐχ ἡ τύχη γε· τῆς τύχης δ' οὐχ εἷς τρόπος.

Stob. Flor. 111, 1: *Εὐριπίδου Αὐγῆς* (sic S, *Αἰγέως* A, fab. nomen om. M). '*πτηνὰς — τρόπος*'. v. 2 *ἔχει τύχη σε* coni. Hermann Philol. 2 p. 132, *αὐχῶν τύχῃ γε* Heimsoeth, *οὐκ ηὐτύχησα* Herwerden Adnot. crit. et exeg. ad Eur. 1 p. 26, qui v. 1 et 2 diversis personis tribuit.

272

τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;

Stob. Flor. 78, 4: *Εὐριπίδου Αὐγῆς*. '*τίς — ἀθύρμασιν;*' *νηπίων* Herwerden Eur. in Ion. p. 78.

273

πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,
ἢ καὶ παραυτίκ' ἢ χρόνῳ δαίμων βίον
ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.

Stob. Flor. 105, 15: *Εὐριπίδου Αὐγῆς* (sic S, *εὐρ. ἐξ αὐγης* M, *εὐρ. ἐξ αὐγῆς* A). '*πᾶσιν — εὐδαιμονεῖ*'. v. 1 *μόνοις* B. v. 2 *ἢ καὶ*] *ἤτοι* malim. *παραυτίχ'* S.

274

τὸ γὰρ ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς.

Stob. Flor. 37, 20: *Εὐριπίδου Αὐγῆς* (sic MA, fabulae nomen om. S). '*τὸ δ' — ξυμφοράς*'. *τὸ γὰρ* Grotius, *τὸ δ'* SMA, *τὸ δέ γ'* Enger. *ὠφελεῖ 'ν ταῖς ξυμφοραῖς* Herwerden Mnem. nov. 12 p. 311.

275

κακῶς δ' ὄλοιντο πάντες οἳ τυραννίδι
χαίρουσιν ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ·
τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,
κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομιζέτω.

Stob. Flor. 49, 3: *Εὐριπίδου Αὐγή*. '*κακῶς — νομίζεται*'. v. 1 *ὄλυντο* S. v. 2 *ὀλίγων* Grotius recte, modo scribas *οἳ μοναρχίᾳ χαίρουσιν ὀλίγων τ' ἐν πόλει τυραννίδι* quod proposuit O. Hense *Krit. Blätter* 1 p. 79 sq. *ὀλίγῃ* in *ὠμῇ* mutat Herwerden Exerc. crit. p. 41 sq. v. 3 et 4 om. fabulae nomine affert Philo Iud. vol. 2 p. 467. v. 3 *οὔνομα* Stobaei S. v. 4 *σμίκρ'* Philo, *μικρὰ* Stob. *νομιζέτω* Philo, *νομίζεται* Stob.

276

γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,
τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις.

Stob. Flor. 73, 41: *Εὐριπίδου Αὐγῆς* (sic MA, eclogam om. S). '*γυναῖκές — τις*'. v. 2 *ὑπερβάλλοιτο* M, *ὑπερβάλοιτο* A.

277

ποῖ; πῶς δὲ λήσει; τίς δὲ νῷν πιστὸς φίλος;
ζητῶμεν· ἡ δόκησις ἀνθρώποις κακόν,
καὶ τοὐπιχειρεῖν γ' ἐξαμαρτάνειν φιλεῖ.

Stob. Flor. 22, 7: *τοῦ αὐτοῦ* (sc. *Εὐριπίδου*) *Αὐγῆς* (ita S, eclogam om. MA). '*ποῖ — φιλεῖ*'. v. 1 et 3 Augae, medium nutrici eius tribuit Enger Mus. Rhen. 23 p. 687. v. 1 *δ' ἐνῶν* S. v. 2 *ἡ δ' ὄκνησις* Herwerden *Rev. de philol.* 2 p. 56. v. 3 *καὶ τῶν προχείρων* idem.

278

κέρας ὄρθιον

Hesych. 2 p. 466: *κέρας ὄρθιον· ἡ* (*ἢ* cod.) *νευρά. Εὐριπίδης λέγει Αὔγῃ* (*εὐριπίδης δὲ αὐγήν* cod.).

279

ἀπενήσω

Hesych. 1 p. 233: *ἀπενήσω· ἀπέβαλες. Εὐριπίδης Αὔγῃ* (*αὐγή* cod.). Anecd. Bekk. p. 421, 16: *ἀπενήσω· ἀπέβαλες.*

280

διέφθειρε

Hesych. 1 p. 989: *διέφθειρε· διῆγεν. Εὐριπίδης Αὔγῃ* (*αὔγει* cod.). *διέφρησε* (requirebatur saltem *διέφρηκε*) coni. M. Schmidt, *διέφρει* (quae barbara est forma) Cobet Mnem. 11 p. 445, *διέφερε* Kuster.

281

φιλοτραφής

Antiatt. p. 116, 2: *φιλοτραφής, ὃν ἡ συνήθεια φιλότροφον λέγει. Εὐριπίδης Αὐγῇ.*

ΑΥΤΟΛΥΚΟΣ ΣΑΤΥΡΙΚΟΣ

Tzetzes postquam de Autolyci furtis narravit, haec addit Chil. 8, 459: *ἐν Αὐτολύκῳ δράματι σατυρικῷ τὰ πάντα ὁ Εὐριπίδης ἀκριβῶς τὰ περὶ τούτου γράφει.* de argumento cf. Hygin. fab. 201:

Mercurius Autolyco, ex Chione quem procreaverat, muneri dedit ut furacissimus esset nec deprehenderetur in furto, ut quidquid subripuisset in quamcunque effigiem vellet transmutaretur, ex albo in nigrum vel ex nigro in album, in cornutum ex mutilo, in mutilum ex cornuto. is cum Sisyphi pecus assidue involaret nec ab eo posset deprehendi, sensit eum furtum sibi facere, quod illius numerus augebatur et suus minuebatur. qui ut eum deprehenderet, in pecorum ungulis notam imposuit. qui cum solito more involasset et Sisyphus ad eum venisset, pecora sua ex ungulis deprehendit. cf. Polyaen. 6, 52. Diomedes p. 490, 20: *Latina Atellana a Graeca satyrica differt, quod in satyrica fere satyrorum personae inducuntur aut si quae sunt ridiculae similes satyris, Autolycus, Busiris.* duas fuisse fabulae editiones indicare videtur Ath. X p. 413 C, ubi *Εὐριπίδης ἐν τῷ πρώτῳ Αὐτολύκῳ* legitur, sed *πρώτῳ*, quod ex *σατυρικῷ* corruptum esse olim suspicabar, fortasse cum Meinekio (Anal. crit. p. 354) delendum est.

282

κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους·
οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ
οὔτ' ἂν δύναιντο· πῶς γὰρ ὅστις ἔστ' ἀνὴρ
γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος 5
κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;
οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις
οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ
σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανον.
λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα 10
φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρόν,
τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.
ἐμεμψάμην δὲ καὶ τὸν Ἑλλήνων νόμον,
οἳ τῶνδ' ἕκατι σύλλογον ποιούμενοι
τιμῶσ' ἀχρείους ἡδονὰς δαιτὸς χάριν. 15
τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ
ἢ δίσκον ἄρας ἢ γνάθον παίσας καλῶς
πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;
πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν
δίσκους ἔχοντες ἢ δι' ἀσπίδων χερὶ 20
θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;
οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας

στάς. ἄνδρας χρὴ σοφούς τε κἀγαθοὺς
φύλλοις στέφεσθαι, χὤστις ἡγεῖται πόλει
κάλλιστα σώφρων καὶ δίκαιος ὢν ἀνήρ, 25
ὅστις τε μύθοις ἔργ' ἀπαλλάσσει κακὰ
μάχας τ' ἀφαιρῶν καὶ στάσεις· τοιαῦτα γὰρ
πόλει τε πάσῃ πᾶσί θ' Ἕλλησιν καλά.

Ath. X p. 413 C: *πάντες γὰρ οἱ ἀθλοῦντες μετὰ τῶν γυμνασμάτων καὶ ἐσθίειν πολλὰ διδάσκονται· διὸ καὶ Εὐριπίδης ἐν τῷ πρώτῳ Αὐτολύκῳ λέγει 'κακῶν γε — καλά'. ταῦτ' εἴληφεν ὁ Εὐριπίδης ἐκ τῶν τοῦ Κολοφωνίου ἐλεγειῶν Ξενοφάνους* (Bergk. Lyr. ed. quart. vol. 2 p. 112). v. 1—9 affert Galenus vol. 1 p. 23 sq. v. 1 et 2 Eust. Il. p. 1299, 20, v. 12 Laertius Diog. 1, 56, v. 16—23 *τίς γὰρ — στάς* Galenus vol. 1 p. 24 sq., v. 19 sq. (*πότερα — ἔχοντες*) iterum Galenus vol. 1 p. 33, v. 22 Plut. de genio Socratis c. 12 p. 581 F Praec. gerendae rei publ. c. 6 p. 803 B Galenus vol. 1 p. 33. fabulae nomen unus prodidit Athenaeus. v. 1 *γὰρ* Galen. et Athenaei C Eust., *γε* Ath. A, unde *κακῶν γεγώτων* temptabam, *κακῶν παρόντων* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 458. v. 3 *οἳ πρῶτον οἰκεῖν οὐδὲ μανθάνουσιν εὖ* Gal. v. 4 *ὅταν δύναιντο* Gal. v. 5 *ἡττημένος* Gal., *ἡσσώμενος* Herwerden Exerc. crit. p. 42. v. 6 *ὑπερβολὴν πατρός* Ath., *ὑπεκτροφὴν πάτρας* Gal. v. 7 *παίνεσθαι* Gal. *καὶ ξυνηρετεῖν* Ath., *κἀξυπηρετεῖν* Gal. v. 9 *μεταλλάσσουσιν* Gal., *διαλλάσσουσιν* Ath. *τἀμήχανα* Ath. v. 12 *ἐκλείποντες* vel *ἐκλιπόντες* Laert. Diog. v. 16 *τί γὰρ* et *τί δ' ὠκύπους* Ath. v. 17 *ἄρας ἢ* Gal., *ἄρσῃ* Ath. *παίσας* Ath., *πλήξας* Gal. v. 20 *δι' ἀσπίδων* Gal. Ath., *δίχ' ἀσπίδων* Lobeck Ai. p. 311 ed. pr. *χερὶ* Ath., *ποσὶ* Gal. v. 21 *θείνοντες* Ath., *θέοντες* Gal. *ἢ διὰ σταδίου ποσὶν θέοντες* coni. Maehly. v. 23 *στάς. ἄνδρας χρὴ* Ath. A, *στάς. ἄνδρας* ⟨*οὖν*⟩ *χρῆν* ⟨*τοὺς*⟩ Dobree Adv. 2 p. 325, *ἄνδρας* ⟨*μὲν οὖν*⟩ *χρῆν* ⟨*τοὺς*⟩ Cobet Coll. crit. p. 216 sq., *στάς. ἄνδρας* ⟨*οἶμαι*⟩ *χρὴ* vel *στάς. ἀσπιδούχους χρὴ* Mekler *Wiener Studien* 3 p. 40 sq., ego partim Cobetum partim Meklerum secutus ⟨*ἀλλ'*⟩ *ἄνδρας* ⟨*οἶμαι*⟩ *χρὴ* scripserim. v. 26 *ὅστις τε* Musgrave, *ὅστις γε* Ath. v. 28 *πόλει τε ταύτῃ* (vel *τῇδε*) requiri videtur.

283

τοὺς ὄνους τοὺς λαρκαγωγοὺς ἐξ ὄρους οἴσειν ξύλα

Pollux 10, 111 de *λάρκος* nomine disputans: *Εὐριπίδης μὲν εἴρηκεν ἐν Αὐτολύκῳ σατυρικῷ 'τοὺς — ξύλα'.* libri ut videtur *οἴσειν ἐξ ὄρους*, quod correxit Musgrave.

284

σχοινίνας γὰρ ἵπποισι φλοΐνας ἡνίας πλέκει.

Pollux 10, 178: *φλοΐνην δὲ ἐσθῆτα Ἡροδότου εἰπόντος σοὶ τοῦτο ὑπάρχει λέγειν καὶ ἐπὶ τῶν ἄλλων πλεγμάτων — μάλιστα καὶ Εὐριπίδου ἐν Αὐτολύκῳ σατυρικῷ εἰπόντος 'σχοινίνας — πλέκει'. σχοινίνας δ' ἵπποισι φλοΐνας ἡνίας πλέκει* ⏑ – coni. Herwerden Mnem. nov. 12 p. 311.

ΒΕΛΛΕΡΟΦΟΝΤΗΣ

De argumento cf. Pind. Isthm. 7, 44: *ὅ τοι πτερόεις ἔρριψε Πάγασος δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν Ζανός.* Asclepiades in Schol. A Il. Z 155: *λέγεται δὲ αὐτὸν* (Bellerophontem) *ἐπαρθέντα ἐφ' οἷς ἔπραξε θελῆσαι ἐπὶ τοῦ Πηγάσου τὸν οὐρανὸν κατοπτεῦσαι**) — *τὸν δὲ Δία μηνίσαντα οἶστρον ἐμβαλεῖν τῷ Πηγάσῳ, ὥστε ἐκπεσεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰς τὸ τῆς Λυκίας πεδίον τὸ ἀπ' αὐτοῦ καλούμενον Ἀλήιον πεδίον, ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα.* heroem claudum et sordida veste indutum saepius ridet Aristophanes, cf. Pac. 135: *ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν, ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.* et 146: *ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταρρυῇς ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ λόγον παράσχῃς καὶ τραγῳδία γένῃ.* ubi Schol. v. 136: *αἰνίττεται δὲ εἰς τὸν Πήγασον καὶ τὸν Βελλεροφόντην Εὐριπίδου.* Schol. Ven. v. 147: *λέγει δὲ περὶ Φιλοκτήτου καὶ Βελλεροφόντου.* Ar. Ach. 426: *ἀλλ' ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;* ubi Scholia: *εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ τοῦ Πηγάσου καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα.* verba *δυσπινῆ πεπλώματα* tragoediam sapiunt; unde petita sint nescimus. docet Acharnensium locus fabulam ante olymp. 88, 3 actam esse. aliquot locos ex hac fabula laudatos ad Stheneboeam rettulimus (fr. 662 666 669). Danaen et Bellerophontem Seneca confudit (fr. 324), Alcmeonem et Bellerophontem Michael Ephesius (fr. 68). disputavit de hac fabula Wecklein in comment. cuius mentionem p. 451 fecimus, p. 99—109.

285

ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον
κράτιστον εἶναι φημὶ μὴ φῦναι βροτῷ·
τρισσῶν δὲ μοιρῶν ἐγκρινῶ νικᾶν μίαν,
πλούτου τε χὤτῳ σπέρμα γενναῖον προσῇ
πενίας τ'· ἀριθμὸν γὰρ τοσόνδε προυθέμην. 5

*) Pollux 4, 128: *ἡ μηχανὴ δὲ θεοὺς καὶ ἥρως τοὺς ἐν ἀέρι, Βελλεροφόντας ἢ Περσέας.* Schol. Clem. Alex. p. 419, 5: *δείκνυσι δὲ ἡ μηχανὴ θεοὺς καὶ ἥρωας τοὺς ἐν ἀέρι, Βελλεροφῶντα ἢ Περσέα.*

ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχής,
ἀλγεῖ μὲν ἀλγεῖ, παγκάλως δ' ἀλγύνεται
ὄλβου διοίγων θάλαμον ἥδιστον χερί.
ἔξω δὲ βαίνων τοῦδε τὸν πάρος χρόνον
πλουτῶν ὑπ' ἄτης ζεῦγλαν ἀσχάλλει πεσών. 10
ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων
βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστίν, ἐν δ' ἀλγύνεται
φρονῶν, ὑπ' αἰδοῦς δ' ἔργ' ἀπωθεῖται χερῶν.
ὁ δ' οὐδὲν οὐδείς, διὰ τέλους δὲ δυστυχῶν 15
τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος
οὐκ οἶδεν, ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.
οὕτως ἄριστον μὴ πεπειρᾶσθαι καλῶν.
ἐκεῖνο γὰρ μεμνήμεθ'· οἷος ἦν ποτε
κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' ηὐτύχουν βίῳ 20

Stob. Flor. 97, 16: *Εὐριπίδου*. '*ἐγὼ — καλῶν*' (v. 1—18). Stob. Flor. 98, 39: *Εὐριπίδου Βελλεροφόντου*. '*ἐγὼ — βροτῷ*' (v. 1 et 2). Stob. 96, 1: *Εὐριπίδου* (poetae nomen om. S) *Βελλεροφόντῃ* (*βελλεροφῶντι* M). '*ὅστις δὲ — χερῶν*' (v. 11—14). v. 19 et 20, quos Gesner libris invitis in Stob. Flor. 97, 16 intulit, ex Stob. Flor. 97, 9 b petiti sunt, ubi Theognidis disticho (Flor. 97, 9) haec subiciunt SMA: *Εὐριπίδου Βελλεροφόντῃ* (*βελλ*[ε] *εὐρι*[π] S, *εὐρ. βελλεροφόντι* M). '*ὁ δ' οὐδὲν — εὐτύχουν ποτέ*' (v. 15—20). denique v. 20 sine lemmate recurrit in Stob. Flor. cod. L (ed. Meinek. vol. 4 p. 230, 6). v. 1 *θρυλούμενον* SM, *θρυλλούμενον* A. v. 2 *βροτῷ* SM, *βροτόν* A. v. 3 *μοιρῶν* MA, *βροτῶν* S. *ἐγκρίνω* Pierson, *ἐγκρινῶ* Gaisford, *ἓν κρίνω* SMA, *ἐν κρίσει* Badham, *ἐννέπω* Heimsoeth. *νικᾶν* B Gaisfordo teste, *νίκαν* SMA. v. 4 *καὶ ὅτῳ* libri. v. 5 *πενίας τε* SM, *χῷ μηδέν* coni. Vitelli de Eur. El. p. 108. v. 6 *οὐκ εὐγενὴς* (*τυχὴς* supra scr. pr. m.) S. fortasse huc spectat Hesych. 2 p. 253: *ζάπλουτος· πλούσιος πάνυ*. Phot. Lex. p. 51, 19: *ζάπλουτος· μεγαλόπλουτος*. v. 7 *ἀλγεῖ μέν, ἄλγος δ' εὐκόλως ἀμύνεται* Hermann Philol. 2 p. 133, *ἀλγεῖ μέν, ἄλγει παγκάλως δ' ἀμύνεται* Badham, *γένει μὲν ἀλγεῖ, παγκάλως δ' ἀγάλλεται* Enger Adnot. ad trag. Gr. fr. p. 11. alias coniecturas proposuit F. G. Schmidt *Krit. Stud.* 2 p. 458 sq. cum verbis *ἀλγεῖ μὲν ἀλγεῖ* cf. Andr. 980: *ἤλγουν μὲν ἤλγουν*. Alc. 1017: *καὶ μέμφομαι μὲν μέμφομαι παθὼν τάδε*. v. 8 *ὄλβου*] *πλούτου* Plut. de communibus sententiis c. 22 p. 1069 A: *ἀποθήκας φυλάττει χρηματικὸς ἀνὴρ* '*πλούτου — χερί*'. *ἥδιστον* ex *ἡδίστω* corr. Stobaei S pr. m. *χειρί* Stobaei M. v. 9 *βαῖνον* M. *τοῦδ' ὁ τὸν* Badham. v. 10 *ζεῦς τ' ἀνασχάλλει* (*ἀνασχάλει* M) SM, *ζεῦς τ'*

ἂν ἀσχάλλῃ A, ζεῦγλαν ἀσχάλλει Salmasius, ζεύγματ' ἀσχάλλει Badham. v. 11 γαῦρον] ταύρων Stob. Flor. 96 libri. v. 13 πενίας cum Badhamo Gomperz. ἐστίν, ἐν δ'] ἐστί, μέγα δ' Wieseler Philol. 43 p. 525, ἐστὶν ἣν ἀλγύνεται F. G. Schmidt *Krit. Stud.* 2 p. 459, ἐστί· κεἰ βαρύνεται Gomperz. v. 14 φρονῶν Stob. Flor. 96, φρενῶν 97, φέρων F. G. Schmidt. ὑπ' αἰδοῦς δ' Stob. Flor. 97, δ' ὑπ' αἰδοῦς 96. φρενῶν ὑπ' αἰδοῦς Musgrave et Gomperz *Nachl.* p. 26. v. 16 ἡττώμενος Stob. Flor. 97, 9 b libri. v. 17 οἶδεν] εἶδεν A. v. 18 ἄριστον] ἄμεινον Stob. Flor. 97, 9 b libri. v. 19 οἷος ἦ ποτὲ Cobet Coll. crit. p. 217, ego μεμνήμεθ' οἷον ἦν ποτε praetulerim. v. 20 κἀγὼ μετ' ἄλλων coni. Wecklein.

286

φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς;
οὐκ εἰσίν, οὐκ εἴσ', εἴ τις ἀνθρώπων θέλει
μὴ τῷ παλαιῷ μῶρος ὢν χρῆσθαι λόγῳ.
σκέψασθε δ' αὐτοί, μὴ ἐπὶ τοῖς ἐμοῖς λόγοις
γνώμην ἔχοντες. φήμ' ἐγὼ τυραννίδα 5
κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν
ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις·
καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες
τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν.
πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς, 10
αἳ μειζόνων κλύουσι δυσσεβεστέρων
λόγχης ἀριθμῷ πλείονος κρατούμεναι.
οἶμαι δ' ἂν ὑμᾶς, εἴ τις ἀργὸς ὢν θεοῖς
εὔχοιτο καὶ μὴ χειρὶ συλλέγοι βίον,
τὰ θεῖα πυργοῦσιν αἵ κακαί τε συμφοραί. 15

Iustinus Mart. de monarchia c. 5 p. 150: καὶ ἐν Βελλεροφόντῃ 'εἰ θεοί — εἰσὶν θεοί' (fr. 292, 7). καὶ πάλιν ἐν τῷ αὐτῷ 'φησίν — συμφοραί'. v. 1 ἐν τῷ οὐρανῷ F. v. 2 οὐκ εἰσὶν οὐκ εἰσίν F. θέλει F, λέγει C. οὐκ εἰσίν, οὐκ εἴσ', ⟨αἱ κακαὶ δὲ συμφοραὶ τὰ θεῖα πυργοῦσ',⟩ εἴ τις ἀνθρώπων θέλει coni. Vitelli de Eur. El. p. 98, qui v. 15 huc traxit. v. 3 χρῆσθαι F, χρήσθω C. v. 4 αὐτοί Boissonade, αὐτά FC. v. 11 δυσσεβεστέρων Grotius, δυσσεβεστέρῳ FC. v. 12 κρατούμενοι FC. v. 14 εὔχοιτο, μόλις εὐχαῖσι συλλέγειν βίον coni. Vitelli, qui v. 15 ad initium loci (v. 2) revocat: ante v. 15, ubi πυργοῦσ' correxit Sylburg, plerique duce Grotio quaedam excidisse arbitrantur. ⟨μαθεῖν ἂν ὡς οὐκ εἰσίν. αἱ δ' εὐπραξίαι⟩ τὰ θεῖα πυργοῦσ' αἵ κακαί τε συμφοραί coni. Herwerden Stud. crit. p. 45.

287

τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὑντυγχάνων
τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.

Stob. Flor. 108, 20: *Εὐριπίδου Βελλεροφόντου* (sic A, *βελλερεφόντου* M). '*τοῖς — καλῶς*'. cum Eur. fr. 1053 hi versus coaluerunt in Stob. Flor. 54, 14: *Εὐριπίδου*. '*μισῶ δ' — μειλίγματα. τοῖς πράγμασιν — καλῶς*'. poetae et fabulae nomine omisso locum habet Plut. de tranq. animi c. 4 p. 467 A, item sine fabulae nomine Plut. q. d. de vita Hom. c. 153 vol. 5 p. 1194, v. 1 et dimidium 2 (*τοῖς πρ. — οὐδέν*) sine poetae et fab. n. Marcus Anton. 7, 38 et v. 1 omisso *χρεών* idem 11, 6. cum v. 1 cf. versus interpolatus Eur. Bacch. 673: *τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών*. v. 2 *μέλλει* Stob. Flor. 54 SA, item Flor. 108 S. *ἀλλ'* (vel *ἄλλ'*) *οὖν τυγχάνων* Stobaei SMA, *ἀλλ' ὁ τυγχάνων* Plut. utroque loco, *ἀλλ' οὑντυγχάνων* Valckenaer in Eur. Phoen. 221. v. 3 *ἢν*] *ἂν* Plut. *πράσσει*] *πράσσῃ* Stobaei S utrobique ut Flor. 108 M, *πράξει* Plut. p. 467.

288

δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα
χρείας ἀνάνδρου φάρμαχ' ηὕρηται βροτοῖς.

Stob. Flor. 8, 1: *Εὐριπίδου Βελλεροφόντῃ* (*βελλεροφ*[ω] S, *βελλεροφῶντι* M). '*δόλοι — βροτοῖς*'. v. 1 *δοῦλοι* S. v. 2 *χρείας ἄνανδρα* (vel *ἀνάνδροις*) coni. Herwerden Exerc. crit. p. 43, *πείρας ἀνάνδρου* F. G. Schmidt Sat. crit. p. 21, *χειρῶν ἀνάνδρων* Vitelli de Eur. El. p. 33. fortasse *βροτοῖς ἀνάνδρου φ. ηὕρ. χερός* praeferendum. *εὕρηται* libri.

289

νείκη γὰρ ἀνδρῶν φόνια καὶ μάχας χρεὼν
δόλοισι κλέπτειν· τῆς δ' ἀληθείας ὁδὸς
φαύλη τίς ἐστι· ψεύδεσιν δ' Ἄρης φίλος.

Stob. Flor. 54, 19: *Εὐριπίδου ἐκ Βελλεροφόντου*. '*νίκη — φίλος*'. v. 1 *νίκη* libri, *νείκη* Musgrave. *φονία* libri, *φόνια* Grotius. *χερῶν* libri, *χρεών* Meineke. v. 2 *δόλοισι κάμπτειν* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 461. v. 3 *ψευδεσσ* sine accentu S, *ψευδέσιν* M.

290

ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει
ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ.

Stob. Flor. 54, 7: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Βελλεροφόντῃ*. '*ἀεὶ — σοφοῦ*'.

291

ὦ παῖ, νέων τοι δρᾶν μὲν ἔντονοι χέρες,
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων·
ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.

Stob. Flor. 115, 2: *Εὐριπίδου Βελλεροφόντῃ.* '*ὦ παῖ — ποικιλώτατον*'. v. 1 *εὔτονοι* malim, cf. Cornutus Theol. Gr. comp. c. 31 p. 64, 6: *οἰκείως δὲ παρέδοσαν αὐτὸν* (Herculem) *Κῷοι τῇ Ἥβῃ συνοικοῦντα, ὡς ὁλοσχερέστερον ὄντα τὴν διάνοιαν· ὄντως γὰρ νέων τι* (*τοι* al.) *δρᾶν μὲν εὐτονώτεραι χέρες, ψυχαὶ δ' ἀμείνους τῶν γεραιτέρων πολύ. χεῖρες* Stobaei S. v. 2 extat in Men. mon. 101.

292

πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
ἰδόντ' ἀκεῖσθαι, μὴ ἐπιτὰξ τὰ φάρμακα
διδόντ', ἐάν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.
νόσοι δὲ θνητῶν αἵ μέν εἰσ' αὐθαίρετοι,
αἳ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ 5
ἰώμεθ' αὐτάς. ἀλλά σοι λέξαι θέλω,
εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί.

Stob. Flor. 100, 3 et 4: *Εὐριπίδου Βελλεροφόντου.* '*πρὸς τὴν — εἰσὶν θεοί*'. sic S. MA primum v. 1—3 praebent cum lemmate *Εὐριπίδου*, deinde post eclogam 5 repetunt v. 1—7 cum lemmate *θελλέροφος*. v. 1 *ἰατρὸν* M. v. 2 *ἀκεῖσθαι* S et priore loco MA, *ἰᾶσθαι* MA loco posteriore. *μὴ 'πιτακτὰ* vel *μηπιτακτὰ φ.* libri, scripsi *μὴ ἐπιτὰξ τὰ φ.*, cf. Etym. M. p. 365, 29: *ἐπιτάξ — εἰς δὲ ῥητορικὸν λεξικὸν εὗρον τὴν λέξιν σημαίνειν τὸ συντόμως, κωμικῶς· 'ὅστις τῆς ὁδοῦ ἡγήσεταί σοι τὴν ἐπιτάξ'* (Com. 4 p. 623). *οὐχ ὡς οἱ τραγικοί, μακρῶς.* interpretatio non sufficit; *ἐπιτάξ* idem fere quod *ἐφεξῆς*. v. 3 *διδόντα ἐὰν* S et priore loco MA, *διδόντος ἂν* MA altero loco. v. 5 *ἀλλὰ*] *ἔχομαι ἀλλὰ* M, *ἔχομεν ἀλλὰ* A. *ἀλλὰ τῷ νόμῳ* verba vitiosa iudicat Gomperz *Nachl.* p. 29. v. 6 *ἄλλο σοι* idem. v. 7 ex Euripidis Bellerophonte affertur ab Iustino M. de monarchia c. 5 p. 148, item ex Euripide sine fabulae nomine a Plut. de poetis audiendis c. 4 p. 21 A et de stoicorum repugn. c. 33 p. 1049 F. *δρῶσιν αἰσχρόν*] *δρῶσι φαῦλον* Plut. p. 21 et Iust.

293

τιμή σ' ἐπαίρει τῶν πέλας μεῖζον φρονεῖν.
θνήσκοιμ' ἄν· οὐ γὰρ ἄξιον λεύσσειν φάος
κακοὺς δρῶντας ἐκδίκως τιμωμένους.

Stob. Flor. 106, 1: *Εὐριπίδου Βελλεροφόντης* (sic SA, *εὐρ. βελλεροφόντου* M). '*τιμή — τιμωμένους*'. inter duas personas versus distribuit Matthiae, sed fortasse, id quod Meineke conicit, ab v. 2 aliud fragmentum orditur. v. 1 *ἐπαίρῃ* M. *νίκη σ' ἐπαίρει* coni. van de Sande Bakhuyzen de parod. in com. Arist. p. 70, *τύχη σ' ἐπαίρει* F. G. Schmidt *Krit. Stud.* 2 p. 461. *μεῖζον* Cobet N. L. p. 270, *μᾶλλον* SMA. v. 2 *θνήσκοιμεν* Matthiae. *ἀξιῶ* F. G. Schmidt. *λεύσσειν* Gesner, *λεύσειν* SMA. v. 3 *δρῶντα μὴ ἐνδίκως* coni. Dobree Adv. 2 p. 126, *δρῶν τούσδ' ἐκδίκως* F. G. Schmidt.

294

φθονοῦσιν αὐτοὶ χείρονες πεφυκότες·
εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ.

Stob. Flor. 38, 13: *Εὐριπίδου.* '*φθονοῦσιν — φιλεῖ*'. sic MA, lemma et priorem versum om. S. in M v. 2 cum lemmate *εὐρ. βελλεροφῶντι* post eclogam 18 iteratur. v. 1 *φθονοῦσι γαύροις* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 461. v. 2 *πρὸς τἀπίσημα γὰρ ὁ φθόνος* posteriore loco M.

295

ἤδη γὰρ εἶδον καὶ δίκης παραστάτας
ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους.

Stob. Flor. 38, 19: *Εὐριπίδου Βελλεροφόντης.* '*ἤδη — νικωμένους*'. sic S, eclogam om. MA. v. 2 *πονηρῶν* Fix in Eur. Herc. 907.

296

ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε,
κακὸς κακῷ δὲ συντέτηκεν ἡδονῇ·
φιλεῖ δὲ θούμόφυλον ἀνθρώπους ἄγειν.

Stob. Ecl. 2, 33, 2 p. 255, 11: *Εὐριπίδου Βελλεροφόντῃ.* '*ἀνὴρ — ἄγειν*'. v. 1 legitur in Men. mon. 28. v. 2 respicit Aristot. Eth. M. 2, 11 p. 1209 b 36: *οἱ φαῦλοι, ὥς φησὶν Εὐριπίδης, αὐτοὶ ἑαυτοῖς ἡδεῖς εἰσίν· κακὸς κακῷ γὰρ συντέτηκεν.* Eth. Eud. 7, 2 p. 1238 a 34: *ὅθεν λέγεται* '*ἧλιξ ἥλικα τέρπει*' *καὶ* '*κακὸς κακῷ συντέτηκεν ἡδονῇ*'. Eth. Eud. 7, 5 p. 1239 b 22: *ἐνδέχεται καὶ τοὺς φαύλους ἀλλήλους φιλεῖν·* '*κακὸς κακῷ δὲ συντέτηκεν ἡδονῇ*'. *κακὸς κακῷ* Aristot., *κακῷ κακὸς* Stob. *δὲ* Aristot. p. 1239, *τε* Stob. *ἡδονῇ* Aristot. p. 1238 et 1239, *ἡδοναῖς* Stob. v. 3 *τοὐμόφυλον* Stob.

297

ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη·
ὅστις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν

κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ,
πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων
τὸν τῶν ψεγόντων ῥᾷον ἂν φέροι λόγον. 5

Stob. Flor. 10, 17: *Εὐριπίδου Βελλεροφόντῃ.* 'ὡς ἔμφυτος — ψόγον'. v. 2 δὲ πλεῖστον] δὲ παῦρον (vel δὲ μικρὸν) Heath, δὲ λιτὸν Iacobs, δ' ἐπ' αἰσχροῖς F. G. Schmidt *Krit. Stud.* 2 p. 462. v. 5 λεγόντων — ψόγον SMA, ψεγόντων — λόγον Iacobs.

298

οὐκ ἂν γένοιτο τραῦμ', ἐάν τις ἐγξέσῃ
θάμνοις ἐλείοις, οὐδ' ἂν ἐκ μητρὸς κακῆς
ἐσθλοὶ γένοιντο παῖδες εἰς ἀλκὴν δορός.

Stob. Flor. 90, 10: *Εὐριπίδου Βελλεροφόντου* (sic SA, βελλεροφῶντι M). 'οὐκ ἂν — δορός'. v. 1 τραῦμα εἴ τις SMA, τραῦμ' ἐάν τις scripsi. ἐγξέσῃ Heath, ἐνξύσῃ SA, ἐνξῦσῃ M. v. 2 ἐλείοις MA. θάμνους ἐλείους Salmasius. v. 3 εἰς Gesner, ἐς SMA.

299

πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ.

Stob. Ecl. 1, 4, 2 b p. 71, 2: *Εὐριπίδου Βελλεροφόντῃ* (lemma hic om. FP, sed F ευριπίδ ελεβοφοντ et P ευριπδ eclogae 1 adscribunt). 'πρὸς — ἀσθενῆ'. offensioni est exitus versus, qua de re dixi *Eur. Stud.* 1 p. 46 sq. πάντα τἄλλα δεύτερα coni. O. Hense Exerc. crit. p. 47, ἀσθενῆ ἐστι πάντ' ἄγαν F. G. Schmidt Sat. crit. p. 4 sive *Krit. Stud.* 2 p. 463. aequo iure conicias πάντα τἄλλ' οὐδὲν σθένει. ceterum cf. Soph. fr. 235: πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται.

300

οἴμοι· τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

Laert. Diog. 4, 26 (cf. Hesych. Miles. c. 41): ἐθαύμαζε δὲ ὁ Κράντωρ πάντων δὴ μᾶλλον Ὅμηρον καὶ Εὐριπίδην — καὶ προεφέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου 'οἴμοι — πεπόνθαμεν'. Suid. v. οἴμοι: καὶ Εὐριπίδης ἐκ τοῦ Βελλεροφόντου 'οἴμοι — πεπόνθαμεν'. Plut. de tranq. animi c. 17 p. 475 C: ἐκεῖνο τὸ Εὐριπίδειον 'οἴμοι — πεπόνθαμεν'. eundem versum om. p. et fab. nom. habet Synesius Epist. 126 p. 261 C.

301

ὁρᾷς δ' ἀέλπτους μυρίων ἀναστροφάς·
πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον,

πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες
ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην.

Stob. Flor. 111, 9: *Εὐριπίδου Βελλεροφόντου.* '*ὁρᾷς δ'* — *τύχην*'. v. 1 *ἀέλπτους* scripsi, *ἀέλπτων* SMA. v. 3 *ἀμεινόνων* Grotius. v. 4 *κρείσσον'* Gesner, *κρεῖσσον* SMA.

302

θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει.

Stob. Flor. 7, 1: *Εὐριπίδης Βελλεροφόντῃ* (sic MA, eclogam om. S). '*θάρσος* — *σθένει*'.

303

οὐδέποτ' εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ' ὄλβον
βέβαιον εἰκάσαι χρεών,
οὐδ' ἀδίκων γενεάν· ὁ γὰρ οὐδενὸς ἐκφὺς
χρόνος δικαίους ἐπάγων κανόνας
δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί. 5

Stob. Flor. 2, 15: *Εὐριπίδου ἐκ Βελλεροφόντου* (sic MA, eclogam om. S). '*οὐδέποτ'* — *ἐμοί*'. Theophilus ad Autol. 2, 37 p. 180: *πάλιν Εὐριπίδης* '*οὐδέποτ'* — *κακότητας*'. v. 1 *εὐτυχίαν* Theoph., *εὐτυχίην* Stob. *ὑπέρφρονά τ'* Gesner, *ὑπέρφρονα δ'* Stob., *ὑπέρφρονα* Theoph. v. 3 *οὐδ' ἀδίκων γενεάν* Stob., *οὐδὲ ἀδίκως τε νέαν* Theoph. *ἐκφὺς*] *ἐκσφὺς* Theoph., *ἐχθρὸς* coni. Herwerden Mnem. nov. 12 p. 311. v. 4 *δικαίους ἐπάγων κανόνας* om. Theoph. v. 5 *κακότητας ἐμοί* Stob., *κακότητας* Theoph., *κακότητας ἀεί* coni. Iacobs, *κακότητας αἰεί* Wecklein, *κακότητ' ἄσημον* Reisig.

304

ποῦ δή τὸ σαφὲς θνατοῖσι βιοτᾶς;
θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ βένθος ἅλιον
ἰθύνουσι· τύχας δὲ θνητῶν
τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
μεθίστησι, τὸ δὲ μεῖον αὔξων 5

Stob. Flor. 105, 12: *Εὐριπίδου Βελλεροφόντου.* '*ποῦ δὴ* — *αὔξων*'. v. 1 *θνητοῖς βιοτῆς* coni. Dindorf. v. 2 *μὲν καὶ νησὶ* M. *βένθος* Grotius, *βένθους* SMA. *ἅλιον* SM, *ἅλιαι* A. v. 3 *θνατῶν* A. v. 5 *αὔξει* Musgrave. metrum loci laborat.

305

καὶ ξεστὸν ὄχθον Δαναΐδῶν ἑδρασμάτων
στὰς ἐν μέσοισιν εἶπε κηρύκων . .

Schol. Eur. Or. 872: *δεικνύουσιν ἔτι καὶ νῦν ὑπεράνω τοῦ καλουμένου πρωνὸς χῶμα παντελῶς, οὗ συμβαίνει τοὺς Ἀργείους δικάζειν. τάχα δ' ἂν τούτου καὶ ἐν Βελλεροφόντῃ μνημονεύοι εἰπὼν 'καὶ ξεστὸν — κηρύκων'.* v. 1 *ξεστὸν κατ' ὄχθον* vel quod R. Ellis *Journal of philol.* IV p. 257 proposuit *κὰς ξεστὸν ὄχθον* expectes. *ἑδράσματα* coni. Hermann Opusc. vol. 2 p. 322 et Dobree Adv. 2 p. 126, *ἱδρυμάτων* Herwerden Mnem. nov. 5 p. 44. v. 2 *κηρύκων* ⟨*ὕπο*⟩ Cobet. locum ex Stheneboea esse depromptum coni. Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. d. Wissensch. zu München* 1888 vol. 1 p. 99.

306

ἄγ', ὦ φίλον μοι Πηγάσου πτερόν . .

Ar. Pac. 76: *ὦ Πηγάσειον, φησί, γενναῖον πτερόν.* ubi Scholia: *παρὰ τὰ ἐκ Βελλεροφόντου Εὐριπίδου. ἐκεῖνος γὰρ διὰ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμει εἰς τὸν οὐρανὸν ἀνελθεῖν· 'ἄγ' — πτερόν'.* cf. Suid. v. *ἐώρημα: καὶ φησὶν Εὐριπίδης 'ἄγ' — Πηγάσου ταχὺ πτερόν'.* ubi *ταχὺ* versus supplendi causa additum esse suspicor. Ar. Pac. 135: *ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν.*

307

ἴθι χρυσοχάλιν' αἴρων πτέρυγας

Ar. Pac. 154: *ἀλλ' ἄγε, Πήγασε, χώρει χαίρων, χρυσοχάλινον πάταγον ψαλίων διακινήσας φαιδροῖς ὠσίν.* ubi Scholia Ven.: *καὶ τάδε ἐκ τοῦ Βελλεροφόντου 'ἴθι χρυσεοχάλινε αἴρων πτέρυγας'.*

308

πάρες, ὦ σκιερὰ φυλλάς, ὑπερβῶ
κρηναῖα νάπη· τὸν ὑπὲρ κεφαλῆς
αἰθέρ' ἰδέσθαι σπεύδω, τίν' ἔχει
στάσιν Εἰνοδία.

Ar. Vesp. 757: *σπεῦδ', ὦ ψυχή. ποῦ μοι ψυχή. πάρες, ὦ σκιερά. μὰ τὸν Ἡρακλέα κτἑ.* ubi Scholia Ven.: *παρὰ τὰ ἐκ Βελλεροφόντου παίζει ταῦτα 'πάρες — εὐοδίας.* v. 4 *εὐοδίας* cod. Ven., *Εἰνοδία* Heath et Valckenaer Diatr. p. 167.

309

ἔπτησσ' ὑπείκων μᾶλλον, εἰ μᾶλλον θέλοι

Plut. de vitioso pudore c. 3 p. 529 E: *οὐδὲ δεῖ τοῖς ἐπαίνοις κηλούμενον ἥδεσθαι — μηδ' ὥσπερ ὁ Εὐριπίδου Πήγασος 'ἔπτησσ' ὑπείκων μᾶλλον ἢ θέλοι' τῷ Βελλεροφόντῃ, τοῖς δεομένοις ἑαυτὸν*

ἐκδιδόναι. Praec. gerendae rei publ. c. 13, 11 p. 807 E: *Ἀγησίλαος δὲ περὶ τὰς τῶν φίλων σπουδὰς αὐτὸς αὑτοῦ γιγνόμενος ἀσθενέστατος καὶ ταπεινότατος ὥσπερ ὁ Εὐριπίδου Πήγασος 'ἔπτηξ' ὑπείκων μᾶλλον ἢ μᾶλλον θέλοι', καὶ ταῖς ἀτυχίαις προθυμότερον βοηθῶν τοῦ δέοντος ἐδόκει συνεξομοιοῦσθαι ταῖς ἀδικίαις. μᾶλλον, ᾗ μᾶλλον θέλοι* coni. Munro *Journal of philol.* X p. 237, *μᾶλλον ἢ θέλοι* p. 529 codex unus praebet, *μᾶλλον εἰ μᾶλλον θέλοι* p. 807 codex optimus.

310

κομίζετ' εἴσω τόνδε τὸν δυσδαίμονα.

Ar. Eq. 1249: *κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.* ubi Scholia: *ταῦτα δὲ ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε.*

311

ἦσθ' εἰς θεοὺς μὲν εὐσεβής, ὅτ' ἦσθ', ἀεὶ
ξένοις τ' ἐπήρκεις οὐδ' ἔκαμνες εἰς φίλους.

Aelian. N. A. 5, 34: *τοιοῦτόν τινα καὶ τὸν Βελλεροφόντην ἡρωικῶς καὶ μεγαλοψύχως εἰς θάνατον παρεσκευασμένον ὁ Εὐριπίδης ὑμνεῖ· πεποίηκε γοῦν πρὸς τὴν ἑαυτοῦ ψυχὴν λέγοντα αὐτόν 'ἦσθ' — φίλους' καὶ τὰ ἐπὶ τούτοις.*

312

ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.

Ar. Pac. 722: ΕΡΜ. *οὐκ ἐνθάδ', ὦ τᾶν, ἔστι* (sc. *ὁ κάνθαρος*). ΤΡΥΓ. *ποῖ γὰρ οἴχεται;* ΕΡΜ. *ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.* ubi Scholia Ven.: *ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου.*

ΒΟΥΣΙΡΙΣ ΣΑΤΥΡΙΚΟΣ

De argumento cf. Apollod. 2, 5, 11: *ἐννέα — ἔτη ἀφορία τὴν Αἴγυπτον κατέλαβε, Θράσιος δὲ ἐλθὼν ἐκ Κύπρου μάντις τὴν ἐπιστήμην ἔφη τὴν ἀφορίαν παύσεσθαι ἐὰν ξένον ἄνδρα τῷ Διὶ σφάξωσι κατ' ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶτον σφάξας τὸν μάντιν τοὺς παριόντας ξένους ἔσφαζε. συλληφθεὶς οὖν καὶ Ἡρακλῆς τοῖς βωμοῖς προσεφέρετο, τὰ δὲ δεσμὰ διαρρήξας τόν τε Βούσιριν καὶ τὸν ἐκείνου παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε.* eadem de re Dio Chrys. 8, 32: *τὸν δὲ Βούσιριν εὑρὼν πάνυ ἐπιμελῶς ἀθλοῦντα καὶ δι' ὅλης ἡμέρας ἐσθίοντα καὶ φρονοῦντα μέγιστον ἐπὶ πάλῃ, διέρρηξεν ἐπὶ τὴν γῆν καταβαλών.* Schol. Ap. Rh. 4, 1396: *Βούσιριν τὸν Ποσειδῶνος κτείνει καὶ τὸν παῖδα αὐτοῦ Ἰφιδάμαντα καὶ τὸν κήρυκα Χάλβην καὶ τοὺς ὀπάονας πρὸς τῷ βωμῷ τοῦ Διός, ἔνθα ἐξενοκτόνουν.* satyricam fuisse fabulam docet Diomedis locus supra p. 441 allatus. fortasse huc referendum fr. 85.

313

δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν,
εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.

Stob. Flor. 62, 21: *Εὐριπίδου ἐκ Βουσίριδος* (sic SM, eclogam om. A). '*δούλῳ — τυγχάνοι*'.

314

ἁγνίσαι

Hesych. 1 p. 26: *ἁγνίσαι* (*ἁγνῆσαι* cod.)· *ἀποθῦσαι. Βουσίριδι.* ubi *Εὐριπίδης* excidisse coni. Guyet et Soping. Anecd. Bekk. p. 339, 8: *ἁγνίσαι· τὸ θῦσαι.*

315

ἀτρεκήσασα

Hesych. 1 p. 316: *ἀτρεκήσασα· ἀκριβωσαμένη* (*ἀκριβησαμένη* cod.). *Εὐριπίδης Βουσίριδι.*

ΓΛΑΥΚΟΣ v. ΠΟΛΥΙΔΟΣ

ΔΑΝΑΗ

Argumentum indicat Iohannes Mal. p. 34, 19: *περὶ ἧς ἐμυθολόγησεν Εὐριπίδης ὁ σοφώτατος ἐν τῇ συντάξει τοῦ αὐτοῦ δράματος ἐν κιβωτίῳ τινὶ βληθεῖσαν καὶ ῥιφεῖσαν τὴν Δανάην, ὡς φθαρεῖσαν ὑπὸ Διὸς μεταβληθέντος εἰς χρυσόν.* quicum conferas hypothesin fabulae in Ps.-Eur. fr. 1132 allatam. chorum mulieres efficiebant, id quod docet Pollux 4, 111: *τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἕν τι καὶ ἡ παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸς παρελθὼν λέγῃ. ἐπιεικῶς δ' αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί, τραγικὸν δὲ οὐκ ἔστιν· ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. ἐν μέν γε τῇ Δανάῃ* (*δαναΐδι* C) *τὸν χορὸν τὰς γυναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παρᾴδειν, ἐκλαθόμενος ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας.* mulieres de se dicentes uti interdum genere masculino notissimum est (cf. Eur. fr. 413, 4); parabasi tragicorum poetarum quemquam usum esse non crediderim. ex hac fabula petitos suspicor versus septendecim quos Sophocli tribuit Stobaeus Flor. 63, 6: vide Soph. fr. 855.

316

γύναι, καλὸν μὲν φέγγος ἡλίου τόδε,
καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ,
πολλῶν τ' ἔπαινον ἔστι μοι λέξαι καλῶν·

ἀλλ' οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλὸν 5
ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις
παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν θάλος.

Stob. Flor. 75, 4: *Εὐριπίδου Δανάῃ.* '*γύναι — ἰδεῖν φάος*'. v. 1 *καλὸν* Herwerden *Revue de philol.* 2 p. 56, *φίλον* SMA. v. 2 *ἔκνεμον* ut videtur A. v. 3 *θάλασσα* M. *πλούσιόν τ' ὕδωρ* S, *ποτάμιόν θ' ὕδωρ* coni. Meineke, *πλούσιον θάλος* Schneidewin. ego suspicabar huc spectare Hesych. 3 p. 347: *πλούσιον· θαλασσιοειδές. οἱ δὲ τὸ ὕδωρ.* ubi temptabam *πλούσιον θάλος· εὐειδές. οἱ δὲ "θ' ὕδωρ".* v. 4 *ἄλλων* Meineke. *ἔπαινον* nescio quis, *ἐπαίνων* SMA. v. 6 *πόθου* A. v. 7 *νεογνὸν* F. G. Schmidt Anal. Soph. p. 132. *θάλος* idem, *φάος* SMA.

317

καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις
μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένους
σχολῇ τεκνοῦσθαι παῖδας· οὐ γὰρ ἡδονή,
γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ·
ἀλλ' ὡς τάχιστα. καὶ γὰρ ἐκτροφαὶ καλαὶ 5
καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.

Stob. Flor. 71, 7: *Εὐριπίδου Δανάης.* '*καὶ νῦν — πατρί*'. v. 2 *τοὺς γάμους* libri, *ἀναβολὰς* scripsi. cf. Men. Com. 4 p. 137: *οἱ δ' εἰς τὸ γῆρας ἀναβολὰς ποιούμενοι. ποιουμένοις* Bothe. v. 4 *γυναικὶ δ'* Elmsley in Soph. Oed. C. 809. *πρεσβύτης νέᾳ* Herwerden Adnot. crit. ad Eur. 1 p. 27. mihi ipse versus suspectus est. v. 5 et 6 om. SA.

318

γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους·
τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος
θεῶν πατρῴων καὶ τάφων τιμάορον.

Stob. Flor. 73, 11: *Εὐριπίδου Δανάης* (*εὐριππίδου δανάη* M). '*γυνὴ — λέχους*' (v. 1 et 2). Stob. Flor. 77, 1: *Εὐριπίδου.* '*γυνὴ — τιμᾷ ὅρον*' (v. 1—4). v. 1 *γὰρ*] *μὲν* Stob. Flor. 77. v. 3 *ἕστηκεν ἐν* S, *ἕστηκεν* M. v. 4 *τιμᾷ ὅρον* libri, *τιμάορον* Valesius.

319

συμμαρτυρῶ σοι· πανταχοῦ λελείμμεθα
πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.

Stob. Flor. 73, 22: *Εὐριπίδου Δανάης.* ‘*συμμαρτυρῶ — δίχα*’. v. 2 *δίκῃ* Madvig Adv. crit. 1 p. 719, *λίαν* F. G. Schmidt *Krit. Stud.* 2 p. 463.

320

οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα
οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

Stob. Flor. 74, 13: *Εὐριπίδου Δανάης* (*δανάη* MA, poetae nomen om. S). ‘*οὐκ — γυνή*’. idem locus cum lemmate *'Αλέξιδος* (Com. 3 p. 521) legitur 73, 42, ubi v. 1 *χρῆμα* praebent MA, v. 2 *οὐδ' ἄλλο* SMA.

321

ἦν γάρ τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι
μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι.
εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.

Stob. Flor. 73, 21: *Εὐριπίδου Δανάης.* ‘*τὴν γάρ — τυραννίδα*’. v. 1 *τὴν* SMA, *ἦν* Voss. m. sec. et Trinc. *ἦν ἄρα τις αἶνος* coni. Meineke, *ἦ μάρτυς αἶνος* Munro *Journal of philol.* XI p. 267, *γέρων τις αἶνος* malim cum Herwerdeno, qui ⟨*ἔτυμος ἄρ'*⟩ *ἦν γέρων τις αἶνος* proposuit Adnot. crit. et exeg. ad Eur. 1 p. 28. v. 2 *μέλουσι* B, *μέλλουσι* SMA. *λόγχη* (*η* ex *αι* corr. m. pr.) S.

322

ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ·
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους. ἓν δέ μοι τεκμήριον·
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε. 5

Stob. Flor. 64, 5: *Εὐριπίδου Δανάῃ.* ‘*ἔρως — ὅδε*’. v. 1 *τοῖς ἔργοις* Stobaei SMA, quod ex *τοῖς ἀργοῖς* depravatum esse vidit Pierson Veris. p. 134. praeferendum tamen *τοιούτοις*, quod habet Plut. Amator. c. 13 p. 757 A: *ἀλλ' ἀπὸ μιᾶς σκηνῆς ἀκούομεν ‘ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ’, καὶ πάλιν αὖ ὧδε ‘οὐ Κύπρις μόνον, ἀλλ' ἐστὶ πολλῶν — λύσσα μαινάς’* (Soph. fr. 855). cf. Plut. Amator. c. 17 p. 760 D: *σκόπει τοίνυν αὖθις, ἔφη, τοῖς 'Αρηίοις ἔργοις ὅσον Ἔρως περίεστιν, οὐκ ἀργὸς ὤν, ὡς Εὐριπίδης ἔλεγεν, οὐδὲ ἀστράτευτος.* v. 5 *ἡβητὴς* corruptum, *ἐγκρατὴς* coni. Wagner, *δεσπότης* Kayser Mus. Rhen. 7 p. 126 sq., *εὐπετὴς* F. G. Schmidt Sat. crit. p. 5, *ἁβροβάτης* Gomperz *Beitr.* 1 p. 252, *εὐθενεῖν* Vitelli de

Eur. El. p. 100. num Euripidis sit versus dubitat Herwerden Exerc. crit. p. 46, qui antea ἡϑὰς ἐμπέφυχ' ὅδε temptarat. πέφυκ' ὅδε M.

323

τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς
πηδῶν ἀϑύροι καὶ φιλημάτων ὄχλῳ
ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ βροτοῖς
φίλτρον μέγιστον, αἱ ξυνουσίαι, πάτερ.

Stob. Flor. 78, 8: *Εὐριπίδου Δανάης.* 'τάχ' ἂν — πάτερ'. v. 2 πηδῶν ineptum, πεσὼν aut πίτνων expectamus, sicut ἀμφιπίπτων στόμασιν dixit Soph. Trach. 938, ποτὶ σοῖσι πίτνων στόμασιν Eur. Alc. 403, πρὸς ἀγκάλαις πεσεῖν Ion. 962. ἀϑύρῃ A. ὄχλῳ ex ὄχλοι corr. S pr. m., ἔχλω A. v. 3 βροτοῖς om. A. v. 4 φίλτρον μέγιστον MA, μέγιστον φίλτρον μέγιστον S. spectat haec verba Aristoph. Thesm. 21: οἷόν τί (τέ libri) πού'στιν αἱ σοφαὶ ξυνουσίαι.

324

ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει,
οὐ παῖδες ἀνϑρώποισιν, οὐ φίλος πατήρ,
οἵας σὺ χοἱ σὲ δώμασιν κεκτημένοι.
εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφϑαλμοῖς ὁρᾷ, 5
οὐ ϑαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν.

Stob. Flor. 91, 4: *Εὐριπίδου Δανάῃ.* 'ὦ χρυσέ — τρέφειν'. eundem locum attulit Ath. IV p. 159 B, item v. 1—4 Sextus Empir. p. 663, 23, v. 1 2 et tertii initium (οὐ παῖδες) Athenag. Suppl. pro Christ. c. 29 p. 154, v. 1 et alterius initium (ὡς οὔτε μήτηρ ἡδονάς) Diodorus 37, 30, 2 (sive exc. Vat. p. 135), denique v. 1 Lucianus Timon. 41 vol. 1 p. 153 Somn. 14 vol. 2 p. 725 Sextus Empir. p. 570, 14, qui poetae et fabulae nomen omittunt. item spectant v. 1 Tzetzes Epist. 43 p. 38: ὦ χρυσέ, δεξίαμα κάλλιστον καὶ προσφώνημα, et Gregorius Nyssenus Epist. 11 in Gallandii Bibl. Patr. vol. 6 p. 614 C: ἀλλ' ὃ παντὸς πλούτου τοῖς γε νοῦν ἔχουσιν ὑψηλότερόν ἐστι, τὸ κάλλιστον ὄντως δεξίωμα κατὰ Πίνδαρον, τὰ σὰ φημὶ γράμματα καὶ ὁ πολὺς ἐν ἐκείνοις πλοῦτος. erroris a Gregorio Nysseno admissi quae sit origo, ex Luciani Timon. 41 facile perspicitur. v. 1 δεξίαμα Tzetz., inter δεξίωμα et δεξίαμα fluctuant libri Athenaei Luciani Athenag., eadem varietas in Soph. Oed. Col. 619 extat. βροτοῖς] κτέρας in Luciano pauci exhibent libri. v. 2 ὡς οὐδὲ Stob. τοίας Stobaei S (τοῖας M, τοιάσδ' A) et Sextus, τοιάσδ' Athenaeus et Athenag. ἄγει malit F. G. Schmidt *Krit. Stud.* 2 p. 465. v. 3

ἀνθρώποισιν] ἐν δόμοισιν Athenaeus, αὐθαίμοισιν F. G. Schmidt. v. 4 om. Stob. et Seneca, spurium existimat Grotius. χοἱ] καὶ οἱ Ath. Sext. οἵας σὺ τοῖς σε δώμασιν κεκτημένοις probabiliter coni. M. Schmidt *Zeitschr. f. d. Alterthumsw.* 1856 p. 550. v. 5 ὀφθαλμοῖσιν Stobaei S. v. 6 τρέφειν Stob., ἔχειν Ath. locum ex Bellerophonte petitum esse narrat Seneca Epist. 115, 14: *nec apud Graecos tragicos desunt qui lucro innocentiam salutem opinionem mutent —*

pecunia ingens generis humani bonum,
cui non voluptas matris aut blandae potest
par esse prolis, non sacer meritis parens.
tam dulce siquid Veneris in vultu micat,
merito illa amores coelitum atque hominum movet.

cum hi novissimi versus in tragoedia Euripidis pronuntiati essent, totus populus ad eiciendum et actorem et carmen consurrexit uno impetu, donec Euripides in medium ipse prosiluit petens ut expectarent viderentque quem admiratori auri exitum faceret. dabat in illa fabula poenas Bellerophontes. si ipsorum versuum sententiam consideres, errasse Senecam fateare necesse est*).

325

κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ,
πλὴν εἴ τις· ὅστις δ' οὗτός ἐστιν οὐχ ὁρῶ.

Stob. Flor. 10, 18: Εὐριπίδου Δανάης. 'κρείσσων — ὁρῶ'. v. 1 ῥημάτων S. v. 2 εἴ τις SMA pr. m., ὅστις A m. sec., εἷς τις bene coni. Porson Advers. p. 274. οὐκ ἐρῶ Badham Iph. T. praef. p. 3, οὐ λέγω F. G. Schmidt Sat. crit. p. 5.

326

ἆρ' οἶσθ' ὁθούνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν
πένητες ὄντες οὐδὲν ἀλφάνουσ' ἔτι,

*) De Ixione similia tradit Plutarchus de audiendis poetis c. 4 p. 19 E: Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοιδοροῦντας ὡς ἀσεβῆ καὶ μιαρόν, 'οὐ μέντοι πρότερον αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον ἢ τῷ τροχῷ προσηλῶσαι'. quae paulo maiorem habent veritatis speciem, vera esse non affirmarim. Palamedes Euripidis fabula scenae commissa est duodecim annis ante Socratis mortem ineunte olympiade 91; nihilo minus Laert. Diog. 2, 44 narrat ad damnatum Socratem hoc dramate poetam allusisse (vide Eur. fr. 588), quam fabellam exornavit auctor argumenti Isocr. Busir.: λέγεταί τι τοιοῦτον, ὡς ὅτι Εὐριπίδου βουλομένου εἰπεῖν περὶ αὐτοῦ (de Socrate) καὶ δεδιότος, ἀναπλάσασθαι τὸν Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι εἰς τὸν Σωκράτη καὶ εἰς τοὺς Ἀθηναίους 'ἐκάνετε ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον' [ὅ ἐστιν ἐφονεύσατε], καὶ νοῆσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ᾐνίττετο.

οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,
δόξαν φέρονται τοῦ νομίσματος χάριν
καὶ συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων; 5
δοῦναι δὲ πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ
πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ.
κακὸς δ' ὁ μὴ ἔχων, οἱ δ' ἔχοντες ὄλβιοι.

Stob. Flor. 91, 23: *Εὐριπίδου Ἑκάβη.* 'ἄρ' — ὄλβιοι'. idem 92, 6: *Εὐριπίδου Δανάης* (sic MA, eclogam om. S). 'ἄρ' — ὄλβιοι'. v. 1 *ὁτοῦν ἔχοιμεν* S, *ὅτ' οὖν ἔχοιμεν* utrobique MA, *ὅθ' οὕνεχ' οἱ μὲν* Barnes. v. 2 *πένητες ὄντες*] *ἄποροι γεγῶτες* coni. Heimsoeth. *ἀλφάνουσ'* Flor. 92 M, *ἐμφαίνουσ'* Flor. 91 SM, *ἀναφαίνουσ'* utroque loco A, *ἐκφανεῖς* Musgrave, *ἐμφανεῖς* malebat L. Dindorf Thes. Gr. L. 3 p. 926 C. v. 4 inter lineas add. S pr. m., om. Flor. 91 MA. v. 5 *εὖ συμπλέκοντες* Enger Adnot. ad trag. Gr. fr. p. 12. *συμπλέκονται* Flor. 92. *καὶ γάμους*] *γενναῖον* O. Hense Lect. Stob. p. 46. v. 6 *δοῦναί τε* Flor. 92. *πᾶς τις μᾶλλον ὀλβίῳ* Flor. 92, *μᾶλλον πλουσίῳ πᾶς τις* Flor. 91. v. 8 *κακὸν τὸ μὴ ἔχειν* malim. *ὄλβιοι*] *εὐγενεῖς* O. Hense Exerc. crit. p. 56.

327

φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
σοφοὺς τίθεσθαι τοὺς λόγους, ὅταν δέ τις
λειτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ,
γελᾶν· ἐγὼ δὲ πολλάκις σοφωτέρους
πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων 5
καὶ ⟨τοὺς⟩ θεοῖσι μικρὰ θύοντας τέλη
τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.

Stob. Flor. 97, 14: *Εὐριπίδου Δανάῃ* (sic MA, poetae nomen om. S). 'φιλοῦσι — εὐσεβεστέρους'. v. 2 *ἡγεῖσθαι* SMA, *τίθεσθαι* Valckenaer Diatr. p. 8, *ἄγεσθαι* Conington. v. 3 *λειτῶν* scripsi, *λεπτῶν* vulgo. v. 6 *καὶ θεοῖς μικρᾷ* (*μικρὰ* MA) *χειρὶ θύοντας* SMA, *καὶ τοῖς* (*τοὺς* Meineke) *θεοῖσι μικρὰ θύοντας* Grotius ope Athenaei II p. 40 D: '*θεοῖσι μικρὰ θύοντας τέλη — εὐσεβεστέρους*' *Εὐριπίδης φησί.* unde pendet Eust. Il. p. 892, 39: *Εὐριπίδης* '*θεοῖσι μικρὰ θύοντας τέλη*'.

328

ὅστις δόμους μὲν ἥδεται πληρουμένους,
γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνος κακοῖ,
τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη
τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι.

Stob. Flor. 16, 6: τοῦ αὐτοῦ (sic S, εὐριπίδου MA) Δανάης. 'ὅστις — πεφυκέναι'. v. 1 δόμους — πληρουμένους SA, δόμοις — πληρουμένοις M. v. 2 σῶμα] βρῶμα Guil. Collmann. δύστηνον A sec. m. v. 3 κἂν Pflugk, καὶ SMA. ἐλᾶν A pr. m.

329

φεῦ, τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ
πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν.

Stob. Flor. 7, 6: Εὐριπίδου Δανάῃ (sic A, εὐρ. δάναν M, eclogam om. S). 'φεῦ — εὐψυχίαν'. cum v. 1 cf. Eur. fr. 961. v. 2 ῥέπει Heath.

330

ἐς ταὐτὸν ἥκειν φημὶ ταῖς βροτῶν τύχαις
τόνδ' ὃν καλοῦσιν αἰθέρ', ᾧ τάδ' ἔστι δή.
οὗτος θέρους τε λαμπρὸν ἐκπέμπει σέλας,
χειμῶνά τ' αὔξει συντιθεὶς πυκνὸν νέφος,
θάλλειν τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποεῖ· 5
οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ
λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν,
ζῶσίν τε σὺν κακοῖσιν, οἳ δ' ὄλβου μέτα
φθίνουσ' ἐτείοις προσφερεῖς μεταλλαγαῖς.

Stob. Ecl. 1, 7, 8 p. 92, 2: Εὐριπίδου Δανάης (lemma v. 3 adscribit F, om. P). 'ἐς ταὐτὸν — μεταλλαγαῖς'. v. 1 τὰς (τὰς τῶν F) βροτῶν τύχας FP, ταῖς βροτῶν τύχαις Musgrave. v. 2 τόν θ' ὃν male coni. Grotius, qui v. 1 accusativum τὰς βρ. τύχας servabat. ὅστις ἐστὶ δή coni. Porson, ὃν πάρεστ' ἰδεῖν F. G. Schmidt *Krit. Stud.* 2 p. 465. v. 3 ἐκπέμπει scripsi (sicut λαμπρὸν ἐκπέμπων σέλας Aesch. Agam. 281), ἐκλάμπει FP. v. 5 θάλειν P. ποιεῖ vulgo. v. 6 δὲ Heeren, δὴ FP. σπέρμα τῶν Canter, σπερμάτων FP. v. 6 et 7 τῶν μὲν — τῶν δὲ] τοτὲ μὲν — τοτὲ δὲ vel νῦν μὲν — νῦν δὲ coni. Gomperz. v. 7 φαιδρᾷ γαλήνῃ malim. v. 9 φθίνου δ' F, φθίνουσ' P. ἐτείοις Valckenaer Diatr. p. 6, αἰτίοις FP. προσφερεῖς Valckenaer, προσφόροις FP, προσφερῶς Wachsmuth.

ΔΙΚΤΥΣ

Argum. Eur. Med.: ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ' ἔτει πρώτῳ· πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ, Φιλοκτήτῃ, Δίκτυϊ, Θερισταῖς σατύροις. de mytho cf. Apollod. 2, 4, 1: προσενεχθείσης δὲ τῆς λάρνακος (qua Danae exposita erat) Σερίφῳ Δίκτυς ἄρας ἀνέτρεφε Περσέα. βασιλεύων δὲ

τῆς Σερίφου Πολυδέκτης ἀδελφὸς Δίκτυος, Δανάης ἐρασθεὶς καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος αὐτῇ συνελθεῖν — (Perseo) ἐπέταξε τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν. ibid. § 3: παραγενόμενος δὲ εἰς Σέριφον (sc. ὁ Περσεύς) καὶ καταλαβὼν προσπεφευγυῖαν τοῖς βωμοῖς μετὰ τοῦ Δίκτυος τὴν μητέρα διὰ τὴν Πολυδέκτου βίαν, εἰσελθὼν εἰς τὰ βασίλεια — ἀπεστραμμένος τὴν κεφαλὴν τῆς Γοργόνος ἔδειξε, τῶν δὲ ἰδόντων ὁποῖον ἕκαστος ἔτυχε σχῆμα ἔχων ἀπελιθώθη. adde Hygini fab. 63. Euripideae tragoediae argumentum explorare conatus est Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. d. Wissensch. zu München* 1888 vol. 1 p. 109—118, qui huc revocari vult Eur. fr. 953.

331

φίλος γὰρ ἦν μοι, καί μ' ἔρως ἕλοι ποτὲ
οὐκ εἰς τὸ μῶρον οὐδέ μ' εἰς Κύπριν τρέπων.

Stob. Ecl. 1, 9, 4a p. 112, 12: *Εὐριπίδου Δίκτυϊ.* 'φίλος — τρέπων'. v. 1 φίλον γὰρ ἡμῖν, εἴ μ' ἔρως temptabam. rectius εἶλέν ποτε Vsener. aliam rationem init F. G. Schmidt *Krit. Stud.* 2 p. 466. v. 2 μωρὸν FP. quinque versus, qui in Stob. Ecl. cum hoc loco coniuncti leguntur, ad Euripidis Theseum (fr. 388) cum C. Wachsmuthio rettulimus.

332

δοκεῖς τὸν Ἅιδην σῶν τι φροντίζειν γόων
καὶ παῖδ' ἀνήσειν τὸν σόν, εἰ θέλοις στένειν;
παῦσαι· βλέπουσα δ' εἰς τὰ τῶν πέλας κακὰ
ῥάων γένοι' ἄν, εἰ λογίζεσθαι θέλοις
ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται βροτῶν 5
ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων,
τοὺς δ' ἐκ μεγίστου ὀλβίας τυραννίδος
τὸ μηδὲν ὄντας· ταῦτά σε σκοπεῖν χρεών.

Plut. Consol. ad Apollonium c. 8 p. 106 A: ὁ δὲ παραμυθούμενος τὴν Δανάην δυσπενθοῦσαν Δίκτυς φησὶ 'δοκεῖς — χρεών'. v. 2 εἰ θέλεις στένειν Musgrave, εἰ στένεις ἀεί Burges in Eur. Tro. p. 73. v. 5 ἐμμεμόχλευνται Bentley Epist. ad Millium p. 15. v. 7 μέγιστον Elmsley in Eur. Heracl. 168, μεγίστης libri. Euripidis Dictyi locum vindicavit Musgrave.

333

φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει·
οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.

Stob. Flor. 90, 5: *Εὐριπίδου Δίκτυϊ.* 'φεῦ φεῦ — πατρός'.

v. 1 recurrit fr. 25, 1. *καλῶς* M, *καλὸς* SA. v. 2 om. fabulae nom. habet anonymus Letronnii *Les papyrus grecs* p. 104, ubi *αγγενοιτο* (pro *ἂν γένοιτο*) scribitur.

334

πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν
ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ,
λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών.
τὸ δ' ἦν ἄρ' οὐκ ἀκουστὸν οὐδ' ἀνασχετόν,
σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων. 5

Stob. Flor. 106, 2: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Δίκτυος*. '*πολλοῖς — κακιόνων*'. v. 1 *παρέστην* S, *παρέστιν* M, *πάρεστι* A, *πάρος τοι* coni. Wecklein Mus. Rhen. 33 p. 121. alia temptavit Herwerden Exerc. crit. p. 47. v. 2 *ὅμοιος ἦν* Wecklein *Sitzungsb.* p. 111. v. 4 *τὸ* S, *τοῦ* MA. *οὐκ ἀρεστὸν* Vitelli de Eur. El. p. 21. v. 4 et 5 a praegressis separari vult Gomperz.

335

τυραννικόν τοι πόλλ' ἐπίστασθαι λέγειν.

Stob. Flor. 36, 15: *Εὐριπίδου Δίκτυος* (*τοῦ αὐτοῦ δίκτύος* S). '*τυραννικόν — λέγειν*'. *τοι* SM, *τε* A, *τι* Trinc.

336

εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά·
ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ,
ὁ δ' οὐ δίκαιος κἂν ἀμείνονος πατρὸς
Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ.

Stob. Flor. 86, 1: *Εὐριπίδου Δίκτυϊ*. '*εἰς — δοκεῖ*'. v. 2 spectat Aristoteles q. d. *περὶ εὐγενείας* in Stob. Flor. 88, 13: *ὥσπερ φησὶ καὶ Εὐριπίδης οὐχὶ τῶν ἐκ πάλαι σπουδαίων εὐγένειαν φάμενος εἶναι, ἀλλ' ὅστις ἀνὴρ ἀγαθὸς ἁπλῶς*. v. 3 *κἂν*] *καὶ* M. v. 4 *Ζηνὸς*] *ἶνις* vel *γόνος* ego olim proposui, *γένος* Meineke, *κείνου* Guil. Collmann. fortasse etiam praegressi versus exitus laborat: *κἂν ἀμείνονός τινος πατρὸς πεφύκῃ* coni. O. Hense Lect. Stob. p. 12, *κἂν ὁμαίμονος Διὶ πατρὸς πεφύκῃ* F. G. Schmidt *Krit. Stud.* 2 p. 466.

337

μὴ νεῖκος, ὦ γεραιέ, κοιράνοις τίθου·
σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.

Stob. Flor. 44, 2: *Εὐριπίδου Δίκτυος* (sic SMA, fabulae nomen

om. L). ‘μὴ — νόμος’. v. 1 τυράννοις LSMA, κοιράνοις Salmasius. v. 2 εὖ ante σέβειν add. L rubr.

338

ὄντων δὲ παίδων καὶ πεφυκότος γένους
καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,
ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις.

Stob. Flor. 83, 21: Εὐριπίδου ἐν Δικτυϊ. ‘ὄντων — τέκνοις’. v. 3 σοῖσι συμβαλῶν Bergk, σοῖσιν ἐμβαλῶν Maehly.

339

πατέρα τε παισὶν ἡδέως συνεκφέρειν
φίλους ἔρωτας ἐκβαλόντ' αὐθαδίαν,
παῖδάς τε πατρί· καὶ γὰρ οὐκ αὐθαίρετοι
βροτοῖς ἔρωτες οὐδ' ἑκουσία νόσος.
σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ, 5
θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.

Stob. Flor. 83, 16: Εὐριπίδου Δικτυϊ. ‘πατέρα — θέλει’. v. 1 ἠπίως συνεκφέρειν coni. H. Stadtmüller *Jahrb. f. Philol.* 119 p. 529, εὐμενῶς εἰκὸς φέρειν F. G. Schmidt *Krit. Stud.* 2 p. 465. v. 2 φίλους SM, φίλος A, δεῖ τοὺς Meineke, ἐσθλοὺς F. G. Schmidt. ἐκβάλλοντ' SMA, corr. Gesner. αὐθαδίαν Grotius, αὐθάδειαν SMA. v. 5 δὴ ex δεῖ corr. S pr. m. δῆτα χρῆμα Krueger *Griech. Sprachl.* § 51, 13 ann. 11, δὴ τόλμημα F. G. Schmidt.

340

Κύπρις γὰρ οὐδὲν νουθετουμένη χαλᾷ,
ἤν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ,
κἄπειτα τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν
δόμων περαίνει πολλάκις τὰ τοιάδε.

Stob. Flor. 64, 8: Εὐριπίδου Δικτυϊ. ‘Κύπρις — τοιάδε’. v. 1 et 2 om. p. et fab. nom. habet Galenus vol. 5 p. 411. v. 1 οὐδὲ Stob., οὐδὲν Gal. v. 2 ἄν τ' αὖ βιάζῃ Stobaei S, ἄν τ' ἀβιάζῃ M, ἀντ' ἀβιάζην (ην ex ειν corr. pr. m.) A, ἂν γὰρ βιάζῃ Gal. ἐκτείνειν Stobaei A. v. 3 καίπειτα M.

341

μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ
κακῷ γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς.

Stob. Flor. 93, 6: *Εὐριπίδου Δίκτυϊ.* '*μή — κακοῖς*'. eosdem versus habet Stob. Flor. 94, 3 coniunctos cum Eur. fr. 459. v. 2 *κακῷ*] *κακὸν* flor. 94. *μὴ δ'* MA utroque loco et flor. 93 S, qui *μήθ'* Flor. 94 praebet.

342

. . *τί μ' ἄρτι πημάτων λελησμένην*
ὀρθοῖς;

Soph. Ai. 787: *τί μ' αὖ τάλαιναν ἀρτίως πεπαυμένην κακῶν ἀτρύτων ἐξ ἕδρας ἀνίστατε;* ubi Scholia: *πρὸς τὸ* (l. *παρὰ*) *Εὐριπίδου ἐν Δίκτυϊ* '*τί μ' — ὀρθοῖς;*' v. 1 *τί μ' ἄρτι*] *τί μ' ὦ ἄρτι* codex Laur. teste G. Wolffio, qui *τί μ', ὦ ξέν', ἄρτι* conicit. *τί μ' ἀρτίως αὖ* Pappageorgius de schol. Laur. p. 76.

343

θάρσει· τό τοι δίκαιον ἰσχύει μέγα.

Stob. Flor. 13, 13: *Εὐριπίδου ἐν Δίκτυϊ* (sic SMA, *ἐκ δικτύος* poetae nomine non iterato L). '*θάρσει — μέγα*'.

344

νέος, πόνοις δέ γ' οὐκ ἀγύμναστος φρένας.

Stob. Flor. 52, 5: *Εὐριπίδου* (*εὐριππίδου* M, *τοῦ αὐτοῦ* A, eclogam om. S) *Δίκτυϊ.* '*νέος — φρένας*'. *πόνοις δέ γ'*] *πόνοισι δ'* Musgrave. *φρένας*] *χέρας* Meineke.

345

ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνα
παισίν τε τοὺς τεκόντας, οὐδὲ συμμάχους
ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους.

Stob. Flor. 83, 18: *ἐν τῷ αὐτῷ* (sc. Eur. Dict.). '*ἐγὼ — ἐνδικωτέρους*'. v. 1 *τέκνον* SMA, *τέκνα* Pflugk.

346

εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος
καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω,
θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν·
τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.

Stob. Flor. 83, 17: *ἐν τῷ αὐτῷ* (sc. Eur. Dict.). '*εἷς γάρ — νόμοις*'. v. 2 *τοῦτο*] *ταὐτὸ* Heath. *ὁ* S, *ὃ* MA, *ὡς* Grotius. v. 3 *τέκνα*] *τέκν' ἃ* B.

347

εἰ δ' ἦσθα μὴ κάκιστος, οὔποτ' ἂν πάτραν
τὴν σὴν ἀτίζων τήνδ' ἂν ηὐλόγεις πόλιν·
ὡς ἔν γ' ἐμοὶ κρίνοιτ' ἂν οὐ καλῶς φρονεῖν
ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους
ἄλλην ἐπαινεῖ καὶ τρόποισιν ἥδεται. 5

Stob. Flor. 39, 7: *Εὐριπίδου Δίκτυος.* 'εἰ δ' ἦσθα — εὐλόγεις πάτραν' (v. 1 et 2). ibid. 39, 8: *Εὐριπίδου* (τοῦ αὐτοῦ A) *Δίκτυος.* 'ὡς ἔν — ἥδεται' (v. 3—5). quos locos coniunxit Barnes. v. 1 οὔποτ' ἂν πόλιν et v. 2 εὐλόγεις πάτραν libri, πόλιν et πάτραν nomina sedem mutasse vidit Musgrave. εὐλόγεις in ηὐλόγεις mutandum esse docuit Elmsley. v. 5 ξένην ἐπαινεῖ malim. κἀκτόποισιν ἥδεται coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 467.

348

ἀζοίμην

Hesych. 1 p. 59: ἀζοίμην· ἀγανακτοίμην (l. -οῖμι). *Εὐριπίδης Δίκτυϊ* (δικτύου codex).

ΕΠΕΙΟΣ

Fabulae a scriptoribus nusquam commemoratae notitiam debemus marmori Albano C. I. 6047, 25 vol. 3 p. 831, ubi ΕΠΕΟΣ scribitur. fortasse alterum testimonium praebet titulus Piraeei in isthmo qui portus Canthari et Zeae seiungit repertus C. I. Att. II 992, ubi in extrema col. 2 ΕΠΣ legerunt Wilamowitz-Moellendorff et Lueders, ΕΠΙΣ Cumanudes, ΤΙΣ Vlricus Koehler.

ΕΡΕΧΘΕΥΣ

Lycurgus c. Leocr. § 98: *φασὶ γὰρ Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα, τυχεῖν δὲ κατ' ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα. μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεὸν τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τὼ στρατοπέδω, κρατήσειν τῶν πολεμίων, ὁ δὲ τῷ θεῷ πειθόμενος τοῦτ' ἔπραξε καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε. διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι — τοῦτον τὸν μῦθον προείλετο ποιῆσαι.* Plut. Parall. Gr. et Rom. c. 20 p. 310 D: *Ἐρεχθεὺς πρὸς Εὔμολπον πολεμῶν ἔμαθε νικῆσαι* (l. *νικήσειν*) *ἐὰν τὴν θυγατέρα προθύσῃ, καὶ συγκοινωνήσας τῇ γυναικὶ Πραξιθέᾳ προέθυσε*

τὴν παῖδα. μέμνηται Εὐριπίδης ἐν Ἐρεχθεῖ. cf. Demaratus Tragodum. in Muelleri Fragm. Hist. vol. 4 p. 379 sq. Aristid. vol. 1 p. 191. fabulam paulo post olymp. 89, 4 editam esse e Plut. V. Niciae c. 9 (vide fr. 369) conclusit Meineke *Zeitschr. f. d. Alterthumsw.* 1843 p. 185. Porson probabiliter huc refert adesp. fr. 411.

349

Αἰθιοπίαν νιν ἐξέσῳσ' ἐπὶ χθόνα

Steph. Byz. v. *Αἰθίοψ* p. 47, 13: *λέγεται καὶ Αἰθιοπία γῆ* (*γυνή* libri). *Εὐριπίδης Ἐρεχθεῖ 'Αἰθιοπίαν — χθόνα'. ἐξέσωσας* libri, *ἐξέσωσ'* Lobeck Aglaoph. p. 216, qui comparat Apollod. 3, 15, 4: *Χιόνη δὲ Ποσειδῶν μίγνυται· ἡ δὲ κρύφα τοῦ πατρὸς Εὔμολπον τεκοῦσα, ἵνα μὴ γένηται καταφανής, εἰς τὸν βυθὸν ῥίπτει τὸ παιδίον· Ποσειδῶν δὲ ἀνελόμενος εἰς Αἰθιοπίαν κομίζει καὶ δίδωσι Βενθεσικύμῃ τρέφειν.*

350

καί μοι, πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων,
φράσον σελήνας τάσδε πυρίνου χλόης

Suid. v. *ἀνάστατοι: ἐν Ἐρεχθεῖ τὰς σελήνας πελάνους εἴρηκεν Εὐριπίδης 'καί μοι — χλόης'.* cf. Suid. v. *βοῦς ἕβδομος: ὁμοίως δὲ καὶ αἱ σελῆναι πέμματα πλατέα κυκλοτερῆ, ἃ καὶ οὕτως ἐκάλουν· ἔστι δὲ παρὰ Εὐριπίδῃ ἐν Ἐρεχθεῖ καὶ παρ' Ἀχαιῷ ἐν Ἴριδι.* Phot. Lex. p. 505, 20: *σελήνη· πόπανον ὅμοιον τῷ ἀστέρι.* Steph. Byz. v. *Σελήνης πόλις* p. 560, 18: *ἔστι καὶ σελήνη πόπανόν τι τῷ ἄστρῳ παραπλήσιον.* Hesych. 4 p. 19: *σελήνας· πόπανα τῷ ἄστρῳ ὅμοια πέμματα* (*ὅμοιον ἀπέμματα* cod.). Schol. Eur. Tro. 1075: *λέγουσι δὲ ἔνιοι καὶ τὰ πέμματα σελήνας διὰ τὸ λευκὰ εἶναι καὶ περιφερῆ.* Suid.: *σελῆναι· πέμματα πλατέα κυκλοτερῆ.* v. 2 *πυρίμου* libri, *πυρίνου* Kuster.

351

ὀλολύζετ', ὦ γυναῖκες, ὡς ἔλθῃ θεὰ
χρυσῆν ἔχουσα Γοργόν' ἐπίκουρος πόλει.

Schol. Ven. Ar. Pac. 97: *ὀλολύζειν — εὔχεσθαι. καὶ Εὐριπίδης ἔρχεσθαι* (*Ἐρεχθεῖ* Dindorf) *'ὀλολύζετ' — πόλει'.* v. 1 *ὀλόλυξαν* R, ubi cetera omittuntur. *ἐλέχθη* cod., *ἔλθῃ* Seidler. v. 2 *ἡ χρυσὸν* cod., *χρυσῆν* Seidler.

352

ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ
στρατηλάτας χρή, τῶν θεῶν δὲ μὴ βίᾳ.

Stob. Flor. 54, 12: *Εὐριπίδου Ἐρεχθεῖ. 'ὡς — βίᾳ'.*

353

οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν.

Stob. Flor. 54, 13: *ἐν ταὐτῷ* (sc. *Εὐρ. Ἐρ.*). '*οὐδεὶς — πάλιν*'. eclogam om. S. *ἄδικα σῶς* Gesner, *αδεικα σως* M, *ἀδικάστως* A.

354

τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς
τιμᾶν δίκαιον· οὔτε γὰρ πλοῦτός ποτε
βέβαιος ἄδικος

Stob. Flor. 94, 10: *Εὐριπίδου Ἐρεχθέως.* '*τὰς οὐσίας — ἄδικος*'. eclogam om. S. v. 1 graviter laborat. *ὁσίους τρόπους γὰρ* coni. Herwerden Adnot. crit. et exeg. 2 p. 56, *τὰς οὖν δίκας γε* Heimsoeth. v. 2 *οὔτι γὰρ* Bothe. v. 3 *ἄδικος βέβαιος* Cobet Coll. crit. p. 218.

355

ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.

Stob. Flor. 59, 13: *Εὐριπίδου Ἐρεχθέως.* '*ναῦς — σκάφος*'. ⟨*πολλάκις δέ τοι*⟩ *ναὸς μεγίστης κρεῖσσον ἦν μικρὸν σκάφος* coni. Herwerden Adnot. crit. et exeg. 2 p. 5.

356

ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς.

Stob. Flor. 51, 12: *Εὐριπίδου Ἐρεχθεῖ.* '*ὀλίγους — κακούς*'. eclogam om. S. ⟨*ἐσθλοὺς ἐγὼ*⟩ *ὀλίγους* coni. O. Hense Lect. Stob. p. 16.

357

ζεῦγος τριπάρθενον

Hesych. 2 p. 256: *ζεῦγος τριπάρθενον· Εὐριπίδης Ἐρεχθεῖ. καὶ Σοφοκλῆς Σισύφῳ* '*χαρίτων ζυγῶν*'. *Ἀριστοφάνης Ὥραις* (Com. 2 p. 1174) *καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε* '*ζεῦγος τρίδουλον*'. cf. Schol. Arat. 172: *Εὐριπίδης μὲν οὖν ἐν Ἐρεχθεῖ τὰς Ἐρεχθέως θυγατέρας ὑάδας φησὶ γενέσθαι τρεῖς οὔσας.*

358

οὐκ ἔστι μητρὸς οὐδὲν ἥδιον τέκνοις·
ἐρᾶτε μητρός, παῖδες, ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος ὅστις ἡδίων ἐρᾶν.

Stob. Flor. 79, 4: *Εὐριπίδου Ἐρεχθεῖ.* '*οὐκ ἔστιν — ἐρᾶν*'. Orion Flor. Eurip. 8 p. 56, 8 sine fabulae nom.: '*οὐκ ἔστι — ἐρᾶν*'.

v. 1 ἔστιν οὐδὲν (οὐθὲν M) μητρὸς Stob., ἔστι μητρὸς οὐδὲν Or. v. 2 ὡς] καὶ Stobaei A. v. 3 οἷος Stob., ὅστις Or. οἷος οἰκείων Grotius.

359

θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ
κρείσσω νομίζειν τῶν δοκημάτων χρεών.

Stob. Flor. 76, 12: Εὐριπίδου Ἐρεχθεῖ. ʽθετῶν — χρεών'. v. 1 δὲ] γὰρ S. v. 2 τῶν ἐπικτήτων vel μὴ προσηκόντων coni. Herwerden Mnem. nov. 12 p. 313.

360

τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μέν,
χρόνῳ δὲ δρῶσι, δυσγενέστερον . .
ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν κτανεῖν.
λογίζομαι δὲ πολλά· πρῶτα μὲν πόλιν 5
οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν·
ᾗ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις
πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι
ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι. 10
ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκήσῃ πόλιν,
ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,
λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ.
ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν,
ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα. 15
πόλεως δ' ἁπάσης τοὔνομ' ἕν, πολλοὶ δέ νιν
ναίουσι· τούτους πῶς διαφθεῖραί με χρή,
ἐξὸν προπάντων μίαν ὑπερδοῦναι θανεῖν;
εἴπερ γὰρ ἀριθμὸν οἶδα καὶ τοὐλάσσονος
τὸ μεῖζον, οὑνὸς οἶκος οὐ πλέον σθένει 20
πταίσας ἁπάσης πόλεος οὐδ' ἴσον φέρει.
εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς
ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλόξ,
οὐκ ἄν νιν ἐξέπεμπον εἰς μάχην δορός,
θάνατον προταρβοῦσ'; ἀλλ' ἔμοιγ' εἴη τέκνα 25
⟨ἃ⟩ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι,
μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα.

τὰ μητέρων δὲ δάκρυ' ὅταν πέμπῃ τέκνα,
πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.
μισῶ γυναῖκας αἵτινες πρὸ τοῦ καλοῦ — 30
ζῆν παῖδας εἵλοντ' ἢ παρῄνεσαν κακά.
καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα
τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην·
τὴμῇ δὲ παιδὶ στέφανος εἷς μιᾷ μόνῃ
πόλεως θανούσῃ τῆσδ' ὑπερδοθήσεται. — 35
καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω
σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
τὴν οὐκ ἐμὴν . . πλὴν φύσει δώσω κόρην
θῦσαι πρὸ γαίας. εἰ γὰρ αἱρεθήσεται
πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι; — 40
οὐκ οὖν ἅπαντα τοὐπ' ἐμοὶ σωθήσεται;
ἄρξουσιν ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν.
ἐκεῖνο δ' οὗ ⟨τὸ⟩ πλεῖστον ἐν κοινῷ μέρος,
οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ
προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ· — 45
οὐδ' ἀντ' ἐλαίας χρυσέας τε Γοργόνος
τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρῄξ ἀναστέψει λεὼς
στεφάνοισι, Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.
χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν, — 50
σῴζεσθε, νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς
οὐκ ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν.
ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε
οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως
οἰκοῖμεν ἄν σε κοὐδὲν ἂν πάσχοις κακόν. — 55

Lycurg. c. Leocr. § 100: *ἄξιον δέ, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἰαμβείων ἀκοῦσαι ἃ πεποίηκε* (sc. Euripides Erechthei mythum tractans) *λέγουσαν τὴν μητέρα τῆς παιδός· ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γένους* (ita scribendum, *καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα* libri). '*τὰς χάριτας — πάσχοις κακόν*'. Plut. de exilio c. 13 p. 604 D: *τίς γὰρ εἴρηκε τῆς ἑαυτοῦ πατρίδος ἐγκώμιον τοιοῦτον οἷον Εὐριπίδης;* '*ἣ πρῶτα — εἰσὶν ἐξαγώγιμοι*' (v. 7—10), ubi qui accedunt versus quinque, *εἰ δὲ πάρεργον κτέ.* videntur alius esse loci (cf. fr. 981). v. 1 *εὐθέως* probabiliter coni. Rehdantz. v. 3 ⟨*δρῶσι*⟩ *δυσγενέστερον*

coni. Heinrich, ⟨πᾶσι⟩ δυσχερέστερον F. G. Schmidt *Krit. Stud.* 2 p. 467, δυσγενέστερον ⟨λέγω⟩ Meineke *Zeitschr. f. d. Alterth.* 1844 p. 14, δυσφιλέστερον ⟨βροτοῖς⟩ Vitelli de Eur. El. p. 59. v. 4 παῖδα τὴν ἐμὴν Taylor, τὴν ἐμὴν παῖδα libri. v. 6 οὐκ ἦν τιν' ἄλλην Bothe, οὐκ ἂν δυναίμην R. Prinz. λαβεῖν in λάβοιν mutabat Dindorf. v. 7 ἥπερ λεὼς μὲν Buecheler, cf. Baieri Animadv. in poetas trag. Gr. p. 59. v. 9 ὁμοίως Plut., ὁμοίαις Lyc. διαφοραῖς ἐκτισμέναι Lyc., διαφορηθεῖσαι βολαῖς Plut. v. 10 ἄλλοι παρ' ἄλλων coni. Tournier. εἰσαγώγιμαι Lyc., ἐξαγώγιμοι vel ἀγώγιμοι Plut. libri. v. 11 πόλεος Ald., πόλεως libri. οἰκήσῃ Meineke, οἰκίζει libri, ᾤκησεν Dobree Adv. 1 p. 319. v. 14 ἐπεὶ τὰ A. ἕνεκα libri, ἕκητι Ald., ἕκατι Matthiae. v. 15 τε ῥυώμεθα Ald., τε ῥυόμεθα libri. v. 16 τοὔνομα AN, τοὐμὸν Sauppe. ἓν Scaliger, ἐν libri. πολλοὶ Musgrave, πολλοῖς libri. δ' ἐνιν A. v. 17 διαφθερεῖ A pr. v. 18 προπάντων Meineke, πρὸ πάντων libri. v. 19 εἰ γὰρ ἀριθμοὺς δίοιδα Herwerden Exerc. crit. p. 46. τοὔλασσον ὡς malim. v. 20 οὑνὸς Emperius, ἑνὸς libri, οὑμὸς Bekker. εἷς ἂν οἶκος — σθένοι et (v. 21) φέροι Dobree Adv. 2 p. 127. πλέον Dindorf, πλεῖον libri. v. 21 πόλεος Ald., πόλεως libri. v. 22 θηλειῶν Grotius, θηλέων libri. v. 24 ἄν νιν Matthiae, ἂν μὴν libri. v. 25 προτάρβουσ' A, προτάρβους N. εἴη Ald., ἐστὶ AN, ἔστω G. Hermann. v. 26 ἃ add. Ald. ἀνδράσι libri. v. 27 σχήματ' ἄλλως Scaliger, σχήματα δ' ἄλλως libri. v. 28 δάκρυα AN. πέμποι A. v. 31 ζῆν παῖδας εἵλοντο καὶ libri, εἵλοντο παῖδας καὶ Heinrich et Dobree Adv. 1 p. 319, ζῆν παῖδας εἵλοντ' ἢ Matthiae. v. 34 et 35 ἡ μία (μιᾶ A) μόνη — θανοῦσα libri, εἰς μιᾷ μόνῃ — θανούσῃ Tyrwhitt. v. 36 ὁμοσπόρῳ Bekker, ὁμοσπόρων libri. v. 37 σώσει τί Melanchthon, ὡς εἴ τι AN. cum verbis τί τούτων et quae sequuntur cf. Suppl. 527: τί τούτων ἐστὶν οὐ καλῶς ἔχον; v. 38 τὴν οὐκ ἐμὴν ⟨οὖν⟩ Nagel, τὴν οὐκέτ' ἀμὴν Mekler Eurip. p. 28, τὴν οὐκ ἐμὴν ⟨δὴ⟩ ego malim. v. 41 ἅπαντας libri, ἅπαντα Reiske. γοῦν τ' ἐμοὶ libri, τοὖν γ' ἐμοὶ Heinrich, τοὐπ' ἐμοὶ Rehdantz. v. 41 et 42 sedem mutasse probabiliter coni. Polle. v. 42 ἄρξουσι τ' AN. τήνδε γ' εἰ σώσω Bothe. v. 43 ἐκεῖνο δ' οὗ τὸ Ald., ἐκείνω δὲ οὐ AN. v. 44 ἅτερ A, ἅτερ N, ἄνερ coni. Valckenaer in Phoen. 1022, πάτερ Elmsley in Bacch. 202, ἀνὴρ Bothe. v. 45 παλαιὰ Ald., πάλαι libri. θέσμι' ὅστις Reiske, θέσμια τίς A, θεσμία τίς N. ἐκβαλεῖ Ald., ἐκβάλλει libri. v. 46 ἂν τελείας libri, ἀντ' ἐλάας Dobree in Ar. Plut. 586, ἀντ' ἐλαίας Boettiger. v. 48 Θρῇξ L. Dindorf Thes. Gr. L. 4 p. 407 B, θρὰξ A, θρᾴξ N. ἀναστρέψει libri, ἀναστέψει Musgrave. v. 48 sq. λεωστεφάνοισι AN. v. 49 παλλὰς δὲ AN. οὐδαμοῦ] ἀδάματος Burges in Aesch. Eum. 91. v. 51 σώζεσθε νικᾶτ' Ald., σώζεσθε καὶ νικᾶτε AN. v. 52 ὑμῖν τήνδ' ἐγὼ οὐ libri, οὐ τήνδ' ἐγὼ Ald., ὑμῖν ἐγὼ οὐ Boissonade, τοσήνδ' ἐγὼ οὐ Mekler. v. 54 ὥς σ' ἐγὼ Vitelli de Eur. El. p. 51.

361

ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας
ζῆν φημὶ μᾶλλον τοῦ βλέπειν τοὺς μὴ καλῶς.

Stob. Flor. 121, 15: Εὐριπίδης Ἐρεχθέως. ‘ἐγὼ δὲ — μὴ καλῶς’. v. 2 τοῦ βλέποντος μὴ καλῶς invita sententia pariter ac metro coni. Salmasius, a quo discesserunt alii ita ut τοῦ βλέποντος οὐ καλῶς vel τῶν βλεπόντων μὴ καλῶς proponerent. scribendum duco ζῆν φημί, ⟨φημὶ⟩ δ' οὐ βλέπειν τοὺς μὴ καλῶς.

362

ὀρθῶς μ' ἐπήρου· βούλομαι δὲ σοί, τέκνον,
φρονεῖς γὰρ ἤδη κἀποσῷσαι' ἂν πατρὸς
γνώμας φράσαντος, ἢν θάνω, παραινέσαι
κειμήλι' ἐσθλὰ καὶ νέοισι χρήσιμα.
βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ. 5
πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών·
τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος
ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσιν δίδου.
δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον
γνώμην προσάπτων τὴν ἐναντίαν μέθες. 10
ἀδίκως δὲ μὴ κτῶ χρήματ', ἢν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν· τὰ γὰρ κακῶς
οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν.
ἔχειν δὲ πειρῶ· τοῦτο γάρ τό τ' εὐγενὲς
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν. 15
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου.
φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
κέκτησο· τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηροὺς κλῇθρον εἰργέτω στέγης. 20
ὁμιλίας δὲ τὰς γεραιτέρων φίλει,
ἀκόλαστα δ' ἤθη λαμπρὰ συγγελᾶν μόνον
μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς.
ἐξουσίᾳ δὲ μήποτ' ἐντρυφῶν, τέκνον,
αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν. 25
ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,
χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα.

καὶ τοὺς πονηροὺς μήποτ' αὖξαν' ἐν πόλει·
κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος
ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα 30
σκιρτῶσιν, ἀδόκητ' εὐτυχησάντων δόμων.
ἀλλ' ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατήρ,
καὶ χαῖρ'· ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι·
γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ.

Stob. Flor. 3, 18: *Εὐριπίδου Ἐρεχθέως.* '*ὀρθῶς μ'* — *οὐ σοφοῦ*' (eclogam habet Trinc., om. S itemque exceptis v. 18—20 MA). v. 11—13 cum lemmate *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Ἐρεχθεῖ* affert Stob. Flor. 94, 4. v. 14—17 c. lemm. *Εὐριπίδου Ἐρεχθέως* Stob. Flor. 91, 22, item c. lemm. *Εὐριπίδου Ἐρεχθεῖ* Stob. Flor. 92, 2 (ecl. om. S). v. 18—20 c. lemm. *Εὐριπίδου Ἐρεχθεῖ* Stob. Flor. 14, 3; eosdem *τῇ τραγικῇ Μερόπῃ* memoriae errore tribuit Plut. de adulat. et amico c. 22 p. 63 A. v. 21—23 cum lemm. *Εὐριπίδου Ἐρεχθεῖ* habet Stob. Flor. 115, 3. v. 21 legitur in Men. mon. 421. v. 24—27 c. lemm. *Εὐριπίδου Ἐρεχθεῖ* Stob. Flor. 17, 7 (ecl. om. MA). v. 28—31 cum lemm. *Εὐριπίδου Ἐρεχθεῖ* Stob. Flor. 44, 4. v. 29—31 sine p. et fab. nom. Plut. de Alex. fort. vel virt. c. 5 p. 337 F. v. 2 *κἀποσώσαις* ante Porsonum. v. 3 *ἂν θάνω* Trinc. *παραινέσαι* Gesner, *παραινέσας* Trinc. Voss. v. 5 cf. Aesch. Prom. 505: *βραχεῖ δὲ μύθῳ ταῦτα* (l. *πολλὰ*) *συλλήβδην μάθε.* Lucret. 6, 1083: *sed breviter paucis praestat comprendere multa.* v. 6 *μὲν φρένας* ante Gesnerum. v. 7 *τῷ τε* Voss., om. Trinc. v. 8 *εὐσεβῆ* B m. sec., *κεὐσεβῆ* Boissonade. v. 10 *προσάπτων* Gesner, *προσάπτειν* Trinc. Voss., *πρόσαπτε* Madvig Advers. crit. 1 p. 718. *μίσει* Trinc. Voss., *μέθες* Salmasius, *μεθείς* Musgrave et Madvig, *στύγει* Boissonade. v. 11 *κτῶ* in Stob. Flor. 94 om. SMA. *ἂν* Stob. Flor. 94 SMA. v. 12 *τὰ γὰρ κακῶς* Stob. Flor. 94, *τὰ δ' ἀδίκως* Flor. 3. v. 13 *οἴκοις* in Stob. Flor. 94 A. *ἐς ἐλθόντ'* ibidem S. *ἔχει*] *ἄγει* Elter de Io. Stobaei cod. Photiano p. 40. v. 14 *ἔχειν τε* Stob. Flor. 91. v. 15 om. Stob. Flor. 3. *ἔχειν* Stob. Flor. 91, *ἀεὶ* Flor. 92. v. 16 in Stob. Flor. 91 *ἢ* om. M, *ἢ τ'* om. A. v. 17 *κἂν ᾖ σοφός τις* Stob. Flor. 91 et 92, *ἢ τ' ἀνανδρία* Flor. 3. *βίου*] *μένει* Stob. Flor. 92, *βίου* (supra scr. *μένει*) S in Stob. Flor. 91. v. 18 *φίλων* in Stob. Flor. 3 MA. v. 20 *πονηροὺς* Stob. Plut., *λαλοῦντας* coni. Matthiae, *λέγοντας* Herwerden *Revue de philol.* 2 p. 56, *φλυάρους* Maehly. *κλεῖθρον* Stob. Plut. *κλῇθρ' ἀπειργέτω* F. G. Schmidt *Krit. Stud.* 1 p. 278. v. 21 *ὁμιλίας τε* Stob. Flor. 3. *γεραιτέρους* Stob. Flor. 3, *γεραιτέρας* Flor. 115 Men. mon. 421, *γεραιτέρων* Vitelli de Eur. El. p. 70 ut in Men. mon. dudum editur. *φίλει*] *θέλε* Stob. Flor. 3, *ἑλοῦ* Madvig Adv. cr. 1 p. 718. v. 22 *ἀκόλαστα δ' ἤθη* Gesner, *ἀκόλαστ' ἤθη*

Stob. v. 22 et 23 ἀκόλαστα — κακῆς] βραχεῖα τέρψις ἡδονῆς τίκτει λύπην Stob. Flor. 3. v. 24 ἐξουσίαν Stob. Flor. 3. εὐτυχῶν Stob. Flor. 3, εὐτυχὼν Flor. 17, ἐντρυφῶν Kock Veri sim. p. 165. v. 25 δημωτῶν S. διωκάθειν S, διωκάθῃς Cobet Coll. crit. p. 218. v. 26 ὃ καὶ] ὅπερ malim. ἀνοχάς τ' Stob. Flor. 17. v. 27 ἄν τις Stob. Flor. 3. v. 28 αὐξάνειν Stob. Flor. 3, αὔξειν ἐν Flor. 44, αὔξαν' ἐν Meineke. v. 30 πόλεος Gesner, πόλεως Stob. ἐμπαίσαντες coni. Herwerden. ἀρχήν τινα] τιμάς τινας Plut. v. 31 ἀδόκητ'] ἀδίκως Stob. Flor. 3. v. 33 οὐ λίαν ⟨σ'⟩ Heath. v. 34 ἀνδρὸς οὐ σοφοῦ] οὐκ ἀνδρὸς σοφοῦ cod. Voss.

363

εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.

Anecd. Bachm. vol. 1 p. 191, 29: δεῦρ' ἀεί — τινὲς ἀντὶ τοῦ ὡδί. τοῦτο μὲν δεῦρο ὧδε. τὸ δὲ δεῦρ' ἀεί που καὶ Εὐριπίδης 'εἷς — περαίνεται'. eundem versum habet Ar. Lys. 1135. huc igitur spectat quod ad Ar. Lys. 1131: 'Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ, πόσους' Scholia annotant: ὅλος ὁ ἴαμβος λέλεκται ἐξ Ἐρεχθέως.

364

ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.
[ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία
οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν.]

Stob. Flor. 29, 22: Εὐριπίδου (sic MA, τοῦ αυ^{τ} S) Ἐρεχθεῖ. 'ἐκ τῶν — ὠφελεῖ' (v. 1—3). Orion Flor. 7, 2 p. 51, 2: ἐκ τοῦ Ἐρεχθέως. 'ἐκ τῶν — ὀρθώσειεν ἄν' (v. 1—3). v. 1 cum lemmate Εὐριπίδου Ἐρεχθέως habet Stob. Flor. 29, 11. item om. poetae et fab. nom. Alexander in Aristot. Analyt. priorum lib. I comm. p. 303, 21 Schol. Aristot. Eth. in Anecd. Paris. vol. 1 p. 192, 27 Men. mon. 149. τοι] γὰρ Orion et Men. mon., om. Alex. αὔξονται Alex. v. 2 et 3 cum lemmate Εὐριπίδου Ἀρχελάῳ afferuntur in Stob. Flor. 8, 13 (Eur. fr. 239). unum enim fragmentum plus una ratione interpolatum contineri duobus iambis a Stob. (Flor. 8, 13 et 29, 22) et Orione allatis recte iudicavit Cobet N. L. p. 293 et Mnem. nov. 2 p. 94 sq. iure vero dubitatur num iisdem duobus iambis continuis tam in Archelao quam in Erechtheo Euripides usus sit. ac Dindorf ex Archelao hos versus eiecit: mihi probabilius videtur quod O. Hense suspicatur, in communi Orionis et Stobaei fonte cum Erechthei versu, ἐκ τῶν πόνων — βροτοῖς, sententiam ex Archelao petitam male fuisse coniunctam. itaque v. 2 et 3 ut suspectos hoc loco notavi. v. 2 αἰὼν — ἀνανδρία] ἀγὼν ἢ κακίστ' ἀτολμία Orion. v. 3 οὔτε βίοτον (βίωτον SM) οὐδὲν ὠφελεῖ (ὠφελεῖν S) Stob.

Flor. 29, οὔτε γαῖαν ὀρθώσειεν ἂν Orion et in Stob. Flor. 8, 13 codex Brux., ubi οὔτε πόλιν ὀρθώσειεν ἂν SMA, οὔτε πόλιν ἀνορθώσειεν ἂν Valckenaer.

365

αἰδοῦς δὲ κἀυτὸς δυσκρίτως ἔχω πέρι·
καὶ δεῖ γὰρ αὐτῆς κἄστιν αὖ κακὸν μέγα.

Clemens Alex. Strom. VI p. 741: Εὐριπίδης ἐν Ἐρεχθεῖ γράφει 'αἰδοῦς — μέγα'. v. 1 κἀυτὸς H. Stephanus, αὐτὸς L. v. 2 οὐ L, οὗ H. Stephanus, αὖ Badham.

366

τοὐνθένδ' ἀπίχθυς βαρβάρους οἰκεῖν δοκῶ

Eust. Od. p. 1720, 26: ἐν μέντοι τῷ περὶ ὀνομασίας ἡλικιῶν τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ὅτι ἀπίχθυες κατά τινας οἱ μὴ ἐσθίοντες ἰχθῦς, καὶ φέρει ἐκεῖνος καὶ Ἀριστοφάνους χρῆσιν ἐξ Ἐρεχθέως ταύτην 'τοὐνθένδεν ἀπίχθυς — δοκῶ'. Euripidis afferri iambum, non Aristophanis, verissime iudicavit Dindorf. Eustathius ut Ἀριστοφάνους χρῆσιν pro Εὐριπίδου χρῆσιν scriberet effectum est praegressis τοῦ γραμματικοῦ Ἀριστοφάνους verbis. de quo errorum genere dixi in Aristoph. Byz. fr. p. 91 et in Lex. Vindob. p. 69, 4 p. 156, 2.

367

ἐν ἀστρώτῳ πέδῳ
εὕδουσι, πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας.

Clemens Alex. Strom. VI p. 739: Ὁμήρου εἰπόντος 'ἀνιπτόποδες χαμαιεῦναι' Εὐριπίδης ἐν Ἐρεχθεῖ γράφει 'εὕδουσιν — πόδας'. v. 1 sq. εὕδουσιν ἐν ἀστρώτῳ πέδῳ L, ἐν ἀστρ. πέδῳ εὕδουσι Musgrave. v. 2 cf. Eust. Il. p. 1058, 4 de Sellis: ὃ καὶ ἐν τῷ τοῦ Εὐριπίδου Ἐρεχθεῖ δηλοῦται εἰπόντος ὅτι πηγαῖς οὐχ ὑγραίνουσιν πόδας. non de Sellis, sed de Thracibus ab Eumolpo in aciem eductis dixisse haec Euripidem probabiliter coni. Meineke.

368

μίασμα δρυός

Proverb. append. 3, 97: μίασμα δρυός· παρ' Εὐριπίδῃ ἐν Ἐρεχθεῖ αἰνιττόμενον τὸ Θηβαίων παρανόμημα εἰς τὸ ἐν Δωδώνῃ μαντεῖον· — ἠσέβησαν γὰρ εἰς τὴν ἱέρειαν ἐμβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα ζέοντα, ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν.

369

κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις,
μετὰ δ' ἡσυχίας πολιῷ γήρᾳ συνοικοίην·
ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας
Θρηίκιον πέλταν πρὸς Ἀθάνας
περικίοσιν ἀγκρεμάσας θαλάμοις 5
δέλτων τ' ἀναπτύσσοιμι γῆρυν
ἃν σοφοὶ κλέονται.

Stob. Flor. 55, 4: *Εὐριπίδου Ἐρεχθέως.* '*ἀρκείσθω δόρυ — σοφοὶ κλέωνται*'. v. 1 affert Plut. Vit. Niciae c. 9: *ἐπόθουν τὸν ἀμίαντον καὶ ἀπόλεμον βίον, ἡδέως μὲν ᾀδόντων τὰ τοιαῦτα χορῶν ἀκούοντες* '*κείσθω — ἀράχναις*'. respicit Eust. Od. p. 1793, 40: *οὕτω δὲ καί τις ἕτερος ποιητὴς μισοπόλεμος ἐθέλων εἰρήνην εὔξασθαι ἀράχνας ἐπεύχεται νήματα ὑφᾶναι τοῖς ὅπλοις. κείσθω* Plut., *ἀρκείσθω* Stob. SMA (ubi *χορ. κείσθω* bene corr. O. Hense). *ἀράχναις* Plut., *ἀράχνᾳ* Stob. v. 2 *πολιῷ*] *λιπαρῷ* malim. *γήρας* S, *γῆρας* M, *γήρᾳ* A. *συνοικείην* A, *συνοικοῖν* coni. Meineke. v. 4 *πεαταν* SM, *πεάταν* A, *πέλταν* B. *ἀθανᾶς* S, *ἀθηνᾶς* MA. v. 5 *περικίοσιν* Grotius, *περὶ κίοσιν* SM, *παρὰ κίοσιν* A. *ἀγκρεμάσας* S, *ἐγκρεμάσας* al. v. 6 *δέλτον* A. *ἀναπτύσοιμι* M. v. 7 *ἂν* M. *κλέονται* Gaisford, *κλέωνται* SM, *καλέσονται* A.

370

Etym. M. p. 153, 32: *Ἀσιάδος κρούματα, τῆς κιθάρας. οὕτως Ἀριστοφάνης εἶπε παρῳδῶν τὸ ἐξ Ἐρεχθέως Εὐριπίδου.* Aristophanis locus exstat Thesm. 120: *Λατώ τε κρούματά τ' Ἀσιάδος ποδὶ παράρυθμ' εὔρυθμα* (*ποδὶ παρ' εὔρυθμα* Dindorf) *Φρυγίων δινεύματα χαρίτων.*

ΕΥΡΥΣΘΕΥΣ ΣΑΤΥΡΙΚΟΣ

Herculis in hac fabula partes fuisse docet fr. 371; de Lernaea hydra intellegenda videntur fr. 373 et 374.

371

πέμπεις δ' ἐς Ἅιδου ζῶντα κοὐ τεθνηκότα,
καί μοι τὸ τέρθρον δῆλον εἰσπορεύομαι.

Erotian. Gl. Hippocr. p. 126, 14: *τέρθρον γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ἔσχατον καὶ ἐπὶ τέλει, ὡς καὶ Εὐριπίδης ἐν Εὐρυσθεῖ ποιεῖ τὸν Ἡρακλέα λέγοντα οὕτως* '*πέμψεις — εἰσπορεύομαι*'. v. 1 *πέμπεις* Bothe, *πέμψεις* libri. *ἐς*] *εἰς* libri. v. 2 *εἰ πορεύομαι* coni. Bothe, *εἰ πορεύσομαι* Herwerden Stud. crit. p. VIII.

372

οὐκ ἔστιν, ὦ γεραιέ, μὴ δείσῃς τάδε·
τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ
λέγειν τ' ἀγάλμαθ'· ὧδ' ἀνὴρ κεῖνος σοφός.

Schol. Eur. Hec. 838: *τὸν Δαίδαλον φασὶ ποιεῖν εἴδωλα — ὅτι δὲ ἐκινεῖτο καὶ προΐει φωνὴν αὐτός τε Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει 'οὐκ ἔστιν — σοφός' καὶ Κρατῖνος ἐν Θρᾴτταις.* hinc v. 2 et 3 affert et Platoni comico male tribuit Tzetz. Chil. 1, 518. v. 2 *δόκει* coni. Valckenaer Diatr. p. 171. v. 3 *βλέπει* libri, *βλέπειν* Grotius Exc. p. 957, *λέγειν* F. G. Schmidt *Krit. Stud.* 2 p. 467.

373

πᾶς δ' ἐξεθέρισεν ὥστε πύρινον ⟨στάχυν⟩
σπάθῃ κολούων φασγάνου μελανδέτου.

Pollux 10, 145: *ὅτι δὲ καὶ τὴν σπάθην ἐπὶ τοῦ ξίφους εἰρήκασιν, εὕροις ἂν ἐν Εὐριπίδου Εὐρυσθεῖ σατυρικῷ 'πᾶς — μελάνδέτου'.* v. 1 *πᾶς* corruptum, *τὰς* coni. Weil; an *πάσας δ' ἐθέρισεν?* *στάχυν* addidit Bentley.

374

ἢ κύαθον ἢ χαλκήλατον
ἠθμὸν προσίσχων τοῖσδε τοῖς ὑπωπίοις

Pollux 10, 108: *σκεῦος δὲ μαγειρικὸν καὶ ἠθμός, Εὐριπίδου ἐν Εὐρυσθεῖ σατυρικῷ εἰπόντος 'ἢ κύαθον — ὑπωπίοις'.*

375

πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον
τοιοῦτον εἶναι καὶ στέγειν τὰ δεσποτῶν.

Stob. Flor. 62, 23: *Εὐριπίδου Εὐρυσθέως. 'πιστὸν — δεσποτῶν'.* v. 1 *πιστὸν μὲν οὖν εὔνουν τε χρὴ διάκονον* Enger Adnot. ad trag. Gr. fr. p. 13, qua coniectura usus v. 2 *οἰκουρὸν εἶναι* scribi voluit F. G. Schmidt Anal. Soph. p. 28. v. 2 *τοιοῦτόν τ' εἶναι* SMA, *τοιοῦτον οἷον* coni. Weil *Zeitschr. f. d. Alterth.* 1848 p. 582.

376

οὐκ οἶδ' ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας
ὀρθῶς σταθμήσαντ' εἰδέναι τὸ δραστέον.

Stob. Flor. 98, 40: *Εὐριπίδου Εὐρυσθέως. 'οὐκ — δραστέον'.* v. 1 *οἶδα* M. v. 2 *ἀθρήσαντες* A, *σταθμήσαντ'* Pierson (v. Valcken. Diatr. p. 171), *μετρήσαντ'* malebat Wagner.

377

μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα
παῖδας φυτεύειν· ὃς γὰρ ἂν χρηστὸς φύῃ,
οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν διαφθερεῖ.

Stob. Flor. 77, 11: *Εὐριπίδου Εὐρυσθεῖ* (*εὐρισθεῖ* M, *τοῦ αὐτοῦ* nec plura S). '*μάτην — διαφθείρει*'. v. 2 *παῖδας φατίζειν* Mekler *Krit. Beiträge* p. 8. *φυῇ* SMA, *φύῃ* Eur. fr. ed. Didot. p. 704 Fr. Duebnero ut opinor auctore et Cobet N. L. p. 560. v. 3 *οὐ τ' οὔνομ'* M, *οὔτ' ὄνομ'* A. *διαφθείρει* SMA, *διαφθερεῖ* Valckenaer Animadv. ad Ammon. p. 88.

378

νῦν δ' ἤν τις οἴκων πλουσίαν ἔχῃ φάτνην,
πρῶτος γέγραπται τῶν τ' ἀμεινόνων κρατεῖ·
τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν.

Stob. Flor. 92, 7: *Εὐριπίδου Εὐρυσθέως*. '*νῦν — νομίζομεν*'. v. 1 *ἄν τις* SMA. *οἴκων* SM, *ὄκνων* A, *οἴκοι* coni. Grotius, *ἡμῶν* ego proposui Philol. 12 p. 194, *ἀστῶν* F. G. Schmidt *Krit. Stud.* 1 p. 27. *ἔχῃ φάτνην* SM, *φάτνην ἔχῃ* A. v. 4 *τῶν κακιόνων κράτει* SMA, *τῶν τ' ἀρειόνων* (sic iam Erfurdt) *κρατεῖ* Weil *Zeitschr. f. d. Alt.* 1848 p. 581, *τῶν τ' ἀμεινόνων κρατεῖ* Herwerden Exerc. crit. p. 50. v. 3 *ἔργα* M. huic loco fr. 1048, 4—6 praemitti iubet admodum probabiliter Th. Gomperz Mus. Rhen. 13 p. 478.

379

σκύφος τε μακρός

Ath. XI p. 498 D: *Εὐριπίδης δ' ἐν Εὐρυσθεῖ ἀρσενικῶς ἔφη* '*σκύφος τε μακρός*'. hinc Eust. Od. p. 1775, 19: *Εὐριπίδης* '*σκύφος τε μακρός*'. fortasse *μικρός* legendum.

380

Ταρτάρειος

Stephanus Byz. p. 606, 12: *Τάρταρος — ὁ οἰκήτωρ Ταρτάριος, καὶ διὰ τῆς ΕΙ διφθόγγου παρ' Εὐριπίδῃ ἐν Εὐρυσθεῖ σατυρικῷ.*

ΘΕΡΙΣΤΑΙ

Argum. Eur. Med., vide p. 459. videtur fabula eundem spectasse mythum quem posteriore tempore a Sositheo in Daphnide propositum esse constat: cf. Hartung Eur. rest. vol. 1 p. 374 et C. F. Hermann *Archäol. Zeitung N. F.* II (a. 1848) p. 237 sq.

ΘΗΣΕΥΣ

De argumento parum edocti sumus. Tzetzes Chil. 11, 555: *εἰς ὃν* (labyrinthum dicit) *ἦν ὁ Μινώταυρος, βοάνθρωπον θηρίον· πολλοὶ δὲ ἐγκλειόμενοι ἐκεῖσε ἀνῃροῦντο ὑπὸ τοῦ Μινωταύρου μέν, ὥσπερ τισὶν ἀρέσκει καὶ Εὐριπίδῃ δὲ αὐτῷ ἐν δράματι Θησεῖ, κατά τινας ἑτέρους δὲ καμπαῖς δυσεξελίκτοις.* consentit cum Tzetzae loco quod in Schol. Aristoph. (fr. 385) *οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωταύρῳ* commemorantur. scenam in Creta fuisse consentaneum est. Aegei locum (fr. 7) huic fabulae tribuit Stob. Flor. 9, 8. olim huc relata sunt fr. 964 996 997.

381

σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας

Stephanus Byz. p. 287, 11: *Εὐρώπη — λέγεται καὶ Εὐρώπεια καὶ διὰ τοῦ Ι Εὐρωπία — Εὐριπίδης ἐν Θησεῖ 'σχεδὸν — Εὐρωπίας'.* Aristid. vol. 2 p. 444: *καίτοι κράσπεδον Εὐριπίδου φωνῇ μάλιστ' ἄν τις αὐτὴν* (Alexandriam) *Αἰγύπτου προσείποι.*

382

ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,
μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.
κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος,
οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές·
τὸ δεύτερον δὲ πρῶτα μὲν γραμμαὶ δύο, 5
ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία·
τρίτον δὲ βόστρυχός τις ὡς εἱλιγμένος·
τὸ δ' αὖ τέταρτον ἣ μὲν εἰς ὀρθὸν μία,
λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι
εἰσίν· τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι· 10
γραμμαὶ γάρ εἰσιν ἐκ διεστώτων δύο,
αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν·
τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές.

Ath. X p. 454 B: *Εὐριπίδης δὲ τὴν ἐν τῷ Θησεῖ τὴν ἐγγράμματον ἔοικε ποιῆσαι ῥῆσιν. βοτὴρ δ' ἐστὶν ἀγράμματος αὐτόθι* (sic Casaubonus, *αὐτῶι τι* A) *δηλῶν τοὔνομα τοῦ Θησέως ἐπιγεγραμμένον οὕτως 'ἐγὼ — προσεμφερές'.* v. 3 *εὖ μετρούμενος* Meineke. v. 6 *δ' ἐν μέσαις*] *διαμέσους* Meineke. v. 7 *εἰλιγμένος* A. v. 8 *ἢν μὲν* AC, *ἣ μὲν* scripsi. v. 9 *ἀπ' αὐτῆς* coni. Elmsley in Eur. Heracl. 387. v. 10 *εἰς ἓν* idem. v. 11 *εἰσι τῶν διεστωσῶν* Herwerden Exerc. crit. p. 50.

383

Ar. Ran. 470:

τοία Στυγός σε μελανοκάρδιος πέτρα 470
Ἀχερόντιός τε σκοπελὸς αἱματοσταγὴς
φρουροῦσι Κωκυτοῦ τε περίδρομοι κύνες
Ἔχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
διασπαράξει, πλευμόνων τ' ἀνθάψεται
Ταρτησσία μύραινα· τὼ νεφρὼ δέ σου 475
αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω
διασπάσονται Γοργόνες Τειθράσιαι.

in his haud pauca inesse ex Euripidis Theseo petita Scholia indicant. ad v. 470 codex Θ adscriptum habet *ἐκ Θησέως Εὐριπίδου.* cod. Ven.: *καὶ τὰ μὲν ἑαυτῷ πλάττων λέγει, τὰ δὲ ἐξ Εὐριπίδου.* Schol. v. 475: *τὸ γὰρ Στυγὸς ἐπὶ πλησίον* (cod. Ven. *ἐπὶ πλύνσιον*) *εἶπε τούτοις. ἔστι δὲ ταῦτα ἐν Θησεῖ πεποιημένα Εὐριπίδῃ· ἐκεῖ γὰρ τοιοῦτός ἐστι σπουδάζων ὁ Εὐριπίδης οἷος ἐνταῦθα παίζων.* eodem spectare videtur Schol. Ven. v. 467: *παραπλήσιά ἐστι τούτοις τὰ ἐν τῷ Θησεῖ πεποιημένα παρ' Εὐριπίδῃ· ἐκεῖ γὰρ τοιοῦτος ἦν σπουδάζων καὶ τοιαῦτα λέγει πρὸς τὸν Μίνωα.* adde Scholion v. 473, quod in fr. 384 afferemus. ista Scholiorum testimonia tam ambigua sunt et confusa ac partim corrupta, ut nihil fere nobis prosint: id quod pluribus demonstravit W. H. van de Sande Bakhuyzen de parodia in comoediis Aristoph. p. 141—147. cum Ran. 474 compares Soph. Trach. 778: *σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο. Τειθράσιαι* (v. 477) substitutum esse pro Euripideo *Λιβυστικαί* coni. Hermann Opusc. 7 p. 284.

384

κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ,
ῥανῶ τε πεδόσ' ἐγκέφαλον· ὀμμάτων δ' ἄπο
αἱμοσταγῆ πρηστῆρε ῥεύσονται κάτω.

Schol. Ar. Ran. 473: *Ἔχιδνά θ' ἑκατογκέφαλος*] *ὁ τόπος οὗτος παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου 'κάρα — κάτω'.* v. 1 *κάρα τε γὰρ σὸν* Cobet V. L. ed. alt. p. 608. *συγχέω* futurum est, de accentu cf. Thes. Gr. L. vol. 8 p. 1463 A. *ὁμοῦ*] *ὁ μὲν* codex Θ. v. 2 *ῥανῶ τε πεδόσ'* Matthiae, *ῥάνατε δ'* V, *ῥᾶναί τε δ'* Ald. et Θ, *ῥανῶ πέδοι δ'* ego olim scripsi, *ῥανεῖ τε γῆν* Grotius. v. 3 *αἱμοσταγεῖν πρηστῆρες* libri, *αἱμοσταγῆ πρηστῆρε* Barnes. *αἱμοσταγεῖς πρηστῆρες ὕσονται* Bentley, *αἱμοσταγεῖς πρ. οἴσονται* Herwerden Exerc. crit. p. 50.

385

τί με δῆτ', ὦ μελέα μᾶτερ, ἔτικτες;

Ar. Vesp. 312:

ΠΑΙΣ. *τί με δῆτ', ὦ μελέα μῆτερ, ἔτικτες;*
ΧΟΡ. *ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς.*
ἀνόνητον ἄρ' ὦ θυλάκιόν σ' εἶχον ἄγαλμα.

ubi Scholia Ven. v. 313: *πράγματα βόσκειν] ὁ λόγος ἐκ Θησέως Εὐριπίδου. ἐκεῖ γὰρ ταῦτα λέγουσιν οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωταύρῳ. τὸ δὲ ἑξῆς, τὸ ἀνόνητον ἄρα, Ἱππόλυτός ἐστιν ὁ λέγων ἐκεῖ 'ἀνόνητον — τεκών'* (fr. 386). *μᾶτερ* pro *μῆτερ* praebet cod. *Δ*. non Euripidis sed Aristophanis esse verba quae sequuntur, *ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς*, recte agnovit Cobet V. L. p. 67. vitiosum *βόσκειν* in *πόσθων* mutarim.

386

ἀνόνητον ἄγαλμ', ὦ πάτερ, οἴκοισι τεκών

Schol. Ar. Vesp. 313, vide fr. 385. *ἄγαλμ' ὦ* Bergk, *ἄγαλμα* cod. cum verbis adscriptis Valckenaer comparavit Eur. Hipp. 1145: *ὦ τάλαινα μᾶτερ, ἔτεκες ἀνόνατα.* hunc ipsum locum Wilamowitz-Moellendorff Herm. vol. 15 p. 484 conicit primitus in Schol. Aristoph. allatum fuisse, atque hinc repetendum esse quod Hippolytus Thesei persona perhibeatur.

387

καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσω

Schol. Eur. Hec. 288: *τὸν φθόνον νῦν ἐπὶ τοῦ μώμου τίθησιν, ὡς ἐν Θησεῖ 'καίτοι — φράσω'. φθόνου μὲν* A, *μὲν φθόνου* M.

388

ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως
ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.
καὶ χρῆν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον
τῶν εὐσεβούντων οἵτινές τε σώφρονες
ἐρᾶν, Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾶν. 5

Stob. Flor. 5, 21: *Εὐριπίδου Θησέως* (sic Trinc., eclogam om. SMA). *'ἀλλ' — κἀγαθῆς'* (v. 1 et 2). eosdem versus affert om. fab. nom. Plut. de liberis educandis c. 15 p. 11 F. integrum locum (v. 1—5) servavit Stob. Ecl. 1, 9, 4 b p. 112, 15. ubi in FP v. 1 et 2 cum fr. 331 coniuncti sunt et tres ultimi versus a praegressis separantur. v. 1 *ἀλλ' ἔστι* Stob. Flor., *ἀλλ' οὐκ ἔστι* Ecl. v. 3 *καὶ χρῆν γε* malim (cf. quae dixit Porson in Eur. Or. 614). v. 4 *τε* Vsener, *γε* FP.

389

ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής,
δρᾶσαι δὲ χειρὶ δυνατός, οὐκ ἀφέξεται
τὰ τῶν ἐχόντων χρήμαθ' ἁρπάζειν βίᾳ.

Stob. Flor. 45, 1: *Εὐριπίδου Θησεῖ* (sic S, *Θησεῖ Αἰγεῖ* MA). '*ἀνὴρ — ἁρπάζειν φιλεῖ*'. v. 2 *δρᾶσαι δὲ* Gesner, *δράσεται* SMA. *ἀφέξεται* scripsi, *ἀνέξεται* vulgo. v. 3 *τὰ τῶν* Valckenaer, *τὰ τῶν δ'* libri. *βίᾳ* scripsi, *φιλεῖ* vulgo.

390

συμπολίτης

Pollux 3, 51: *συμπολίτης οὐ δόκιμον, εἰ καὶ Εὐριπίδης αὐτῷ κέχρηται ἐν Ἡρακλείδαις τε καὶ Θησεῖ.*

ΘΥΕΣΤΗΣ

Hanc fabulam respicit Ar. Ach. 433: *ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα· κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν, μεταξὺ τῶν Ἰνοῦς.* ubi Schol.: *ἤτοι τὰ τῶν Κρησσῶν ἢ αὐτοῦ τοῦ Θυέστου.* Thyestem et Cressas non differre nisi titulo coniecit Valckenaer Diatr. p. 12, quam sententiam recte impugnarunt G. Hermann Eur. Cycl. p. XIII et J. van Leeuwen de Aiacis Soph. authentia p. 175, inprimis vero Wilamowitz-Moellendorff Obs. crit. in com. Gr. sel. p. 12. fortasse huius fabulae est Eur. fr. 861. Thyestem in mente habuisse videtur Arrianus Diss. Epict. 1, 28, 32: *καὶ ποία τραγῳδία ἄλλην ἀρχὴν ἔχει; Ἀτρεὺς Εὐριπίδου τί ἐστι; τὸ φαινόμενον. Οἰδίπους Σοφοκλέους τί ἐστι; τὸ φαινόμενον. Φοῖνιξ; τὸ φαινόμενον. Ἱππόλυτος; τὸ φαινόμενον.* inter Latinos poetas Thyestem scripserunt cum alii tum Ennius et Varius.

391

οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεῶν·
σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων, μάτην
πόνους ἔχοντες, οὐδὲν εἰδότες σαφές.

Orion Flor. 5, 7 p. 47, 18: *ἐκ τοῦ αὐτοῦ* (sc. *Θυέστου*). '*οὐκ ἔστιν — σαφές*'. v. 1 affert Theophil. ad Autol. 2, 8 p. 72: *ὁμοίως καὶ Εὐριπίδης* '*οὐκ ἔστιν — θεοῦ*'. *ἀνθρώπων θεῶν* Or., *ἀνθρώποις θεοῦ* Theoph. v. 2 et 3 Theoph. ad Autol. 2, 8 p. 74: *ὅθεν Εὐριπίδης ὁμολογεῖ λέγων* '*σπουδάζομεν — εἰδότες*', *καὶ μὴ θέλοντες ὁμολογοῦσι τὸ ἀληθὲς μὴ ἐπίστασθαι.* v. 3 *σαφές* om. Theoph., quod probans Cobet N. L. p. 292 sq. *ὑπ' ἐλπίδων* ⟨*κενῶν*⟩ | *μάτην — εἰδότες* scribendum bene coniecit.

392

εἰ δ' ἄτερ πόνων
δοκεῖς ἔσεσθαι, μῶρος εἶ, θνητὸς γεγώς.

Stob. Flor. 98, 21: *Εὐριπίδου Θυέστου.* '*εἰ δ'* — *γεγώς*'. v. 2 *μωρὸς* libri. *γεγὼσ* in *γεγῶσ* corr. M pr. m.

393

γνώμης γὰρ οὐδὲν ἀρετὴ μονουμένη.

Orion Flor. 7, 4 p. 51, 8: *Θυέστου.* '*γνώμης* — *μονουμένη*'. Orion Flor. Eurip. 19 p. 57, 19: '*γνώμης* — *μονουμένη*'. *ἀρετὴ* loco priore codex, *ἢ ἀρετῇ* loco altero.

394

οὐ πώποτ' ἔργου μᾶλλον εἱλόμην λόγους.

Stob. Ecl. 2, 15, 17 p. 188, 10: *Εὐριπίδου Θυέστῃ.* '*πώποτ'* — *λόγους*'. *οὐ* om. L, addit Antonius Mel. p. 54, 47.

395

πλούτου δ' ἀπορρυέντος ἀσθενεῖς γάμοι·
τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.

Stob. Flor. 92, 3: *Εὐριπίδου Θυέστῃ.* '*πλούτου* — *εὐδαίμοσιν*'. v. 2 et 3 om. poetae et fab. nom. affert Aristoteles q. d. *περὶ εὐγενείας* in Stob. Flor. 86, 25: *οὐκ ὀρθῶς ἐπιτιμᾶσι Θέογνις οὐδὲ ὁ ποιητὴς ὁ ποιήσας ὡς ὅτι* '*τὴν μὲν εὐγ.* — *πλουσίοις*'. v. 3 *τοῖς εὐδαίμοσιν*] *τοῖς* (sic SMA, *τοῖσι* corr. Gesner) *πλουσίοις* Stob. Flor. 86, *τοῖσιν ὀλβίοις* probabiliter coni. O. Hense Exerc. crit. p. 55 sq.

396

ἀλλ' εἴπερ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανά, νομίζειν χρή σε καὶ τοὐναντίον,
ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.

Aristot. Rhet. 2, 23 p. 1397 a 17 om. p. nom.: '*ἀλλ'* — *βροτοῖς*'. ubi Scholia fol. 43 b 27: *Εὐριπίδου ταῦτα φησὶ πρὸς τὸν Θυέστην, ὃς ταῦτα φησὶ πρὸς τὸν Ἀτρέα τὸν ἀδελφὸν αὐτοῦ.* corrupta Scholii verba emendare temptavit J. van Leeuwen Comm. de Aiacis Soph. auth. p. 177. v. 1 *ψευδήγερον* A[c] pr. m. (ubi *ψευδηγορεῖν* corr. m. rec.), *ψευδολογεῖν* deteriores libri, fortasse *ψευδῆ, γέρον*, legendum. v. 3 *συμβαίνει* A[c].

397

ϑεοῦ ϑέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.

Orion Flor. 5, 6 p. 47, 16: ἐκ τοῦ Θυέστου. 'ϑεοῦ — πλέοις'. Euripidis Thyestem dici probabile est; sequitur enim cum lemmate ἐκ τοῦ αὐτοῦ fr. 391. Theophilus ad Autol. 2, 8 p. 72: καὶ Θέστιος 'ϑεοῦ ϑέλοντος κἂν ἐπὶ ῥιπὸς πλέῃς σώζῃ', ubi Θέστιος e prave lecto Θυέστης ortum est. Plut. de Pythiae orac. c. 22 p. 405 B: εἴ γε Πίνδαρος ἦν ὁ ποιήσας 'ϑεοῦ — πλέοις'. poetae et fabulae nomine om. eundem versum proverbialem afferunt Schol. Ar. Pac. 699 Schol. Eur. Phoen. 395 Schol. Lucian. p. 117 (Anecd. Bachm. vol. 2 p. 346, 32) Stob. Ecl. 1, 1, 19 p. 28, 14 Men. mon. 671 Macar. 4, 69. respicit Lucianus Hermot. 28 vol. 1 p. 768: ἐπὶ ῥιπός, ὡς ἡ παροιμία φησί, τὸν Αἰγαῖον ἢ τὸν Ἰόνιον διαπλεῦσαι ϑέλοντες. denique Ar. Pac. 699: ΤΡΥΓ. ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης. ΕΡΜ. Σιμωνίδης; πῶς; ΤΡΥΓ. ὅτι γέρων ὢν καὶ σαπρὸς κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι. quo loco nixi alii Simonidi, alii Sophocli versum vindicandum existimarunt.

ΙΝΩ

De Inone scriptores alii alia perhibent: quam mythi formam Euripides secutus sit nescimus. spuriam recte iudicant C. Bursian *Jahrb. f. Philol.* vol. 93 p. 776 et M. Schmidt Hygini fab. 4: *Ino Euripidis. Athamas in Thessalia rex cum Inonem uxorem, ex qua duos filios ...., perisse putaret, duxit nymphae* (*Hypsei* coni. Muncker) *filiam Themistonem uxorem. ex ea geminos filios procreavit. postea resciit Inonem in Parnasso esse, quae* (*quam* coni. Muncker) *bacchationis caussa eo pervenisse. misit qui eam adducerent. quam adductam celavit. resciit Themisto eam inventam esse, sed quae esset nesciebat. coepit velle filios eius necare. rei consciam, quam captivam esse credebat, ipsam Inonem sumpsit et ei dixit ut filios suos candidis vestimentis operiret, Inonis filios nigris. Ino suos candidis, Themistonis pullis operuit. tunc Themisto decepta suos filios occidit. id ubi resciit, ipsa se necavit. Athamas autem in venatione per insaniam Learchum maiorem filium suum interfecit, at Ino cum minore filio Melicerte in mare se deiecit et dea est facta.* Euripideam fabulam respicit Ar. Ach. 434 (cf. p. 480). item Vesp. 1413: γυναικὶ — ϑαψίνῃ Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου. ubi Schol.: εἰσήγαγε δὲ Εὐριπίδης τὴν Ἰνὼ ὠχρὰν ὑπὸ τῆς κακοπαϑείας. Horat. Epist. 2, 3, 123: *sit Medea ferox invictaque, flebilis Ino.*

398

εὕδουσα δ' Ἰνοῦς συμφορὰ χρόνον πολὺν
νῦν ὄμμ' ἐγείρει

Schol. Pind. Isthm. 4, 39: *ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει*] *τῷ αὐτῷ τρόπῳ καὶ Εὐριπίδης κέχρηται* '*ἰδοῦσ' — ἐγείρει*'. v. 1 *ἰδοῦσ' ἀδινοῦς* (*ἰδοῦσα δ' ἰνοῦς* D) *συμφορὰν* BD, *εὕδουσα δ' Ἰνοῦς συμφορὰ* Musgrave. fortasse, ut in Eurip. vol. 3 p. 105 dixi, praestat *εὕδουσα δεινὴ συμφορὰ* scribi duce Plut. Anton. c. 36: *εὕδουσα δ' ἡ δεινὴ συμφορὰ χρόνον πολύν, ὁ Κλεοπάτρας ἔρως, δοκῶν κατευνάσθαι καὶ κατακεκηλῆσθαι τοῖς βελτίοσι λογισμοῖς, αὖθις ἀνέλαμπε καὶ ἀνεθάρρει.* quae si vera est coniectura, locus ad incertarum fabularum reliquias erit ablegandus. v. 1 *χρόνον πολὺν* cum Plut. scripsi, *πολὺν χρόνον* Schol. Pind. v. 2 cum verbis *ὄμμ' ἐγείρει* Herwerden comparat Cic. pro P. Sestio § 68: *res erat et causa nostra eo iam loci, ut erigere oculos et vivere videretur.*

399

φίλαι γυναῖκες, πῶς ἂν ἐξ ἀρχῆς δόμους
Ἀθάμαντος οἰκήσαιμι τῶν πεπραγμένων
δράσασα μηδέν;

Plut. de sera numinis vind. c. 11 p. 556 A: *ὥσπερ τῆς Ἰνοῦς ἐν τοῖς θεάτροις λεγούσης ἀκούομεν, ἐφ' οἷς ἔδρασε μεταμελομένης,* '*φίλαι — μηδέν;*' Euripidi locum vindicavit Valckenaer Diatr. p. 173.

400

ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες·
ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.

Stob. Flor. 73, 25: *Εὐριπίδου Ἰνοῦς* (sic fere M, *τοῦ αὐτοῦ* A, lemma om. S). '*ὦ θνητὰ — κεκτήμεθα*'. v. 1 *γυναικείας* A.

401

φεῦ,
ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι γὰρ καλοῖς
πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον.

Stob. Flor. 73, 24: *Εὐριπίδου Ἰνοῦς* (*ἰνοῦ* S, *ἴνους* M, *Οἰνεῖ* Arsenius p. 710, 21). '*φεῦ — πλέον*'.

402

νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι·
χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅπως πλείστας ἔχειν
[γυναῖκας, εἴπερ τροφὴ δόμοις παρῆν],
ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων,

τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο. 5
νῦν δ' εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν
ῥίπτοντες· οὐ γὰρ τῶν τρόπων πειρώμενοι
νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί.

Stob. Flor. 68, 12: Εὐριπίδου ἐξ Ἰνοῦς. 'νόμοι — βροτοί'. v. 2 τρή SMA, χρῆν Scaliger. ὅπως πλείστας Erfurdt, ὅτι πλείστας libri. ἔχειν] γαμεῖν malim. v. 3 interpolatoris esse recte iudicat S. Mekler. εἴπερ in ἤπερ mutabat Vitelli de Eur. El. p. 46. εἴπερ ⟨ἡ⟩ τροφὴ coni. Gesner, εἴπερ ⟨καὶ⟩ τροφὴ Munro, εἴπερ ⟨ἐν⟩ δόμοις τροφὴ Pflugk. v. 8 ἐς Gesner, εἰς SMA.

403

τίς ἄρα μήτηρ ἢ πατὴρ κακὸν μέγα
βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον;
ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος;
ἐν χερσὶν ἢ σπλάγχνοισιν ἢ παρ' ὄμματα;
ἔσθ' ἡμῖν ὡς ἦν μόχθος ἰατροῖς μέγας 5
τομαῖς ἀφαιρεῖν ἢ ποτοῖσι φαρμάκοις
πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.

Stob. Flor. 38, 8: Εὐριπίδου ἐξ Ἰνοῦς. 'τίς ἄρα — νόσων'. v. 2 respicit Aelianus N. A. 3, 17: λέγει μὲν οὖν Εὐριπίδης δυσώνυμον τὸν φθόνον. v. 3 τί δή ποτ' οἰκεῖ coni. Valckenaer Diatr. p. 176, τί ποτε κατοικεῖ Cobet Coll. crit. p. 214, τί καί ποτ' οἰκεῖ vel ποῦ ποῖον οἰκεῖ Wecklein, ποῦ καὶ τί θακεῖ Mekler Eurip. p. 62. v. 4 sq. κατ' ὄμματα; εἴθ' ἦσμεν Herwerden Stud. crit. p. 46. v. 5 non sufficere ἔσθ' ἡμίν (sive ἦμιν) scripturam ostendi *Eurip. Stud.* 1 p. 80. οὐκ ἔστιν· ὡς ἦν coni. Meineke, ἀσαφὲς μέν, ὥστ' ἦν F. G. Schmidt *Krit. Stud.* 2 p. 468. ὃς ἦν (pro ὡς ἦν) M. v. 6 πότοις (ποτοῖς Brux.) ἢ libri, ποτοῖσι Valckenaer. v. 7 νόσον MBrux. similis est versus Med. 471: ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων.

404

τό τ' εὐγενὲς
πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς.

Stob. Flor. 88, 9: Εὐριπίδου (τοῦ αὐτοῦ A) Ἰνοῖ (sic SA, εὐρ. οἰνεῖ M). 'τό — γῆς'. v. 2 δίδωσ' ἐλπίδ' S.

405

τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,
τιμῶσι πολλοὶ προσλαβεῖν τέκνων χάριν,
τό τ' ἀξίωμα μᾶλλον ἢ τὰ χρήματα.

Stob. Flor. 88, 10: ἐν ταυτῷ (sic SM, ἐν τῷ αὐτῷ A, praecedit fr. 404). 'τὴν — χρήματα'. v. 1 γυνή pro γάμος scribendum olim conieci. τῆς εὐγενοῦς γάρ, κἂν ἄμορφος ᾖ, γάμον Vitelli de Eur. El. p. 48. v. 2 θηρῶσι coni. Herwerden Exerc. crit. p. 51, φιλοῦσι O. Hense Lect. Stob. p. 35. προσλαβεῖν τέκνων χάριν O. Hense, πρὸς τέκνων χάριν λαβεῖν SMA, πρὸς τέκνων σπορὰν λαβεῖν Gomperz. v. 3 ante v. 2 collocari vult Wecklein, ab hoc loco alienum existimat Gomperz.

406

μὴ σκυθρωπὸς ἴσθ' ἄγαν
πρὸς τοὺς κακῶς πράσσοντας, ἄνθρωπος γεγώς.

Stob. Flor. 112, 3: *Εὐριπίδου Ἰνοῦς.* '*μὴ — γεγώς*'.

407

ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ
στάζειν· κακὸν δέ, χρημάτων ὄντων ἅλις,
φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν.

Stob. Flor. 16, 5: τοῦ αὐτοῦ Ἰοῖ (sic S, eclogam om. MA). 'ἀμουσία — βροτῶν'. ibid. 113, 3: Εὐριπίδου Ἰνοῖ (sic A, οἰνεῖ M. in S ad eclogam 4 adscriptum est ἴωνι ex ἰνοῖ correctum pr. m.). 'ἀμουσία — στάζειν' (v. 1 sq.). v. 3 εὐποιεῖν libri.

408

ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἄγειν βίον.

Stob. Flor. 110, 3: Εὐριπίδου Ἰνώ (ἰνω M, ἰνῶ A, fabulae nom. om. S). 'ἐν — βίον'. ἐλπίσι M. ἄγειν F. G. Schmidt *Krit. Stud.* 1 p. 112, ἔχειν libri.

409

μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα
κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.

Stob. Flor. 110, 5: Εὐριπίδου Ἰνώ (sic SM, ἰνῶ A). 'μήτ' — ἔχου'. v. 1 εὐτυχοῦσαν M. v. 2 ἐλπίδας in ἐλπίδος corr. M pr. m.

410

τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν
ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,
τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς ἔχει.

Stob. Flor. 85, 2: Εὐριπίδου Ἰνοῦς. 'τοιάνδε — ἔχει'. v. 1

προσπολεῖν ἐᾶν coni. Musgrave, *προσπολεῖν νέᾳ* Conington. alii *πρόσπολον* retinentes vitiosum *ἐᾶν* mutant: *σ' ἐᾶν* vel *περᾶν* Valckenaer Diatr. p. 176 coll. Eur. Hipp. 645 (unde *χρὴ 'ς γυναῖκα πρ. περᾶν* coni. Herwerden Exerc. crit. p. 52), *νέμειν* Dobree Adv. 2 p. 359. v. 2 *εὖ σιγήσεται* Enger Adnot. ad trag. Gr. fr. p. 13, *οὐ σιγῇ στέγει* F. G. Schmidt Anal. Soph. p. 75. v. 3 *ἔχει* vitiosum, *ἐρεῖ* coni. Dobree Adv. 2 p. 126, *ψέγει* F. G. Schmidt.

411

ἴστω δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών·
μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
πρήσειεν ἄν τις, καὶ πρὸς ἄντρ' εἰπὼν ἕνα
πύθοιντ' ἂν ἀστοὶ πάντες ἃ κρύπτειν χρεών.

Stob. Flor. 41, 1: *Εὐριπίδου Ἰνοῖ.* '*ἴστω — κρύπτειν χρεών*'. Plut. de garrulit. c. 10 p. 507 B om. p. et fab. nom.: '*μικροῦ — πάντες*' (v. 2—4). v. 2 sq. *μικροῦ — ἄν τις* attulit om. fab. nom. Schol. Pind. Pyth. 3, 66. v. 2 *ἐκ σπινθῆρος* Scaliger (v. Valck. Anim. ad Ammon. p. 139). *Ἰδαῖον σέλας* Schol. Pind. v. 3 *πρήσειεν*] *ρ* ex *λ* corr. Stob. S pr. m. *καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα* Plut., *κἂν* (*καὶ* A pr. m.) *πρὸς ἕνα εἴποις ποτέ* Stob., *κἂν* (vel *χἂν*) *πρὸς ἄνδρ' εἴπῃς ἕνα* coni. Dobree Adv. 2 p. 126. v. 4 *οὓς κρύπτειν* Dobree, *ἃ στέγειν* Enger Adnot. ad trag. Gr. fr. p. 13. verba *ἃ κρύπτειν χρεών* spuria esse coni. Herwerden Exerc. crit. p. 52.

412

ἐμοὶ γὰρ εἴη πτωχός, εἰ δὲ βούλεται
πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ
φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.

Stob. Flor. 13, 7: *Εὐριπίδου Ἰνοῦς* (sic S, fabulae nomen om. L, eclogam om. MA). '*ἐμοὶ — ἐρεῖ*'. Plut. de adulat. et amico c. 22 p. 63 A om. p. et fab. nom.: *οὐδεὶς γάρ ἐστι ῥᾳδίως πλούσιος οὐδὲ βασιλεὺς οἷος εἰπεῖν* '*ἐμοὶ γὰρ — ἐρεῖ*'. v. 1 *γὰρ εἴη* Plut., *γένοιτο* Stob. v. 2 *πτωχοῦ κακοῦ κακίων* Stobaei L, *πτωχοῦ κακίον* S.

413

ἐπίσταμαι δὲ πάνθ' ὅσ' εὐγενῆ χρεών,
σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές,
ὁρᾶν θ' ἃ δεῖ με κοὐχ ὁρᾶν ἃ μὴ πρέπει,
γαστρὸς κρατεῖν δέ· καὶ γὰρ ἐν κακοῖσιν ὢν
ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις. 5

Stob. Flor. 89, 9: *Εὐριπίδου Ἰνοῖ* (sic SA, *οἰνεῖ* M). '*ἐπίσταμαι — τρόποις*'. Orion Flor. 1, 5 p. 41, 15: *ἐκ τῆς Ἰνοῦς* (*ἠνοῦς* cod.). '*ἐπίσταμαι — ἃ μὴ πρέπει*' (v. 1—3). v. 1 *ὅσ' εὐγενῆ*] *ὅσαις γενῆ* Or. v. 2 Plut. de garrulitate c. 9 p. 506 C: *ἡ δ' Εὐριπίδειος Ἰνὼ παρρησίαν ἄγουσα περὶ αὑτῆς εἰδέναι φησὶ* '*σιγᾶν — ἀσφαλές*'. Gellius N. A. 13, 19, 4: *id quoque animadvertimus aput Aeschylum ἐν τῷ πυρφόρῳ Προμηθεῖ et apud Euripidem in tragoedia quae inscripta est Ἰνώ eundem esse versum absque paucis syllabis. Aeschylus sic* '*σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια*', *Euripides ita* '*σιγᾶν — ἀσφαλές*'. eundem versum om. poetae et fab. nom. habent Plut. de exilio c. 16 p. 606 A et anon. Rhet. vol. 3 p. 643, 29. respicit Iulianus p. 328 D: *σοφὸς διαφερόντως ἅτε, οἶμαι, διαγινώσκων λέγειν θ' ὅπου χρὴ καὶ σιγᾶν ὅπῃ καλόν.* item anon. Anth. Pal. 14, 10: *σιγῶσ' ὅταν* (l. *ὅπου*) *δεῖ καὶ λαλοῦσ' ὅταν δέοι* (l. *δέῃ*). *σιγᾶν θ'*] *θ'* om. Rhet. et Stob. *ὅπου*] *ὅπῃ* Plut. p. 506 C. *δεῖ*] *χρὴ* Or. Iulian. Rhet. v. 3 *πρέπει* Or., *χρεὼν* Stob. v. 4 *ὢν* de muliere dictum defendit Dindorf in Eur. Hippol. 1105.

414

φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα,
κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιοι.

Stob. Flor. 86, 8: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Ἰνώ.* '*φειδώμεθ' — ἄξιοι*'. v. 1 *κηδώμεδ' — κηδώμεθα* Herwerden Adnot. crit. 2 p. 56 sq. v. 2 *ἀποπτύωμεν* ex *ἀποπτύομεν* corr. M pr. m., *ἀπολλύωμεν* malim. *ἄξιοι* ex *ἄξιον* corr. M pr. m.

415

ἄνασσα, πολλοῖς ἔστιν ἀνθρώπων κακά,
τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν.
κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς
θνητῶν τε γενεᾷ· τῶν μὲν αὔξεται βίος,
τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν. 5

Stob. Flor. 105, 19: *Εὐριπίδου Ἰνοῖ* (sic SA, *οἰνεῖ* M). '*ἄνασσα — πάλιν*'. v. 2 *κίνδυνος* ex *κίνδυνον* corr. S pr. m., *κίνδυνον* A. v. 3—5 om. poetae et fabulae nom. attulit Plut. Consol. ad Apoll. c. 6 p. 104 B: '*κύκλος — πάλιν*'. v. 3 *κύκλος γὰρ αὐτὸς* Plut., *κύκλῳ γὰρ ἕρπει* (quae verba sunt Eur. fr. 22, 3) Stob. *γῇ* Stob. v. 4 *γενεὰ* Stobaei SA. *τοῖς μὲν* Plut. v. 5 *καὶ θερίζεται* Stob., *κἀκθερίζεται* Plut.

416

πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς
ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά.

Stob. Flor. 4, 9: *Εὐριπίδου Ἰνοῦς* (sic MA, eclogam om. S). '*πολλοί — κακά*'. v. 1 *τῷ πάθει* A. v. 2 *κἀπικρύπτεσθαι* Trinc.

417

κέκτησο δ' ὀρθῶς ἂν ἔχῃς ἄνευ ψόγου,
κἂν σμικρὰ σῴζου, τοὔνδικον σέβουσ' ἀεί,
μὴ δ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ
ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν.

Stob. Flor. 94, 6: *Εὐριπίδου Ἰνοῖ.* '*κέκτησο — ἀπώλεσεν*'. ibid. 9, 5: *Εὐριπίδου Ἰνοῦς* (sic S, eclogam om. MA). '*κέκτησο — ἀεί*' (v. 1 et 2). v. 1 *ανεχης* S, *ἀνέχης* M, *ἂν ἔχῃς* A in Flor. 94, om. ista verba Flor. 9. *ἄν τ' ἔχῃς* coni. Madvig Adv. cr. 1 p. 719, *ἂν δ' ἔχῃς* Dindorf. v. 2 *καὶ μικρὰ* Flor. 9, *καὶ σμικρὰ* S, *κασμικρα* M, *κἂν σμικρὰ* A Flor. 94. *σώζου* Flor. 9, *σώζων* Flor. 94. *τῇ δίκῃ ξυνοῦσ' ἀεὶ* Flor. 9, *τοὔνεχ'* (*τούνεχ'* M, *τοὔνεκ'* A) *ὃν σέβειν πρέπει* Flor. 94 SMA, *τοὔνδικον σέβουσ' ἀεί* scripsi (*τοὔνδικον* post me suasit Cobet N. L. p. 605), *ξὺν δίκῃ σέβων ἃ δεῖ* malit O. Hense Exerc. crit. p. 35. v. 3 et 4 de syntaxi verborum cf. Porson Eur. Or. 1035.

418

γίγνωσκε τἀνθρώπεια μηδ' ὑπερμέτρως
ἄλγει· κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.

Stob. Flor. 124, 7: *Εὐριπίδου Ἰνοῦς* (*ἰνοῦ* S). '*γίγνωσκε — μόνη*'.

419

βίᾳ νυν ἕλκετ' ὦ κακοὶ τιμὰς βροτοί,
καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι,
σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ·
ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.

Stob. Flor. 10, 23: *Εὐριπίδου Ἰνοῦς.* '*βίᾳ — θέρος.*' ib. 93, 4: *Εὐριπίδου* (sic SM, *τοῦ αὐτοῦ* A) *Ἴωνι.* '*καὶ νῦν — θέρος*'. v. 1 *βίᾳ νῦν ἕλκετ'* Flor. 10, *καὶ νῦν ἐφέλκετ'* Flor. 93. *βίᾳ νυν ἕλκεσθ'* Herwerden *Revue de philol.* 2 p. 56. v. 2—4 om. fabulae nomine affert Theodorus Metoch. p. 559: *κατ' αὐτὸν — τὸν ποιητὴν* (Euripidem) *πάντοθεν τὸν πλοῦτον θηρώμενος, σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ, ἔπειτ' ἀμᾶσθαι τῶνδε δύστηνον θέρος.* v. 3 *σύμμικτ' ἃ* Stob. Flor. 93, *σύμμεικτα* malim. *καὶ ἄδικα ὁμοῦ* Stob. Fl. 93. v. 4 *τῶνδε*] Stob. Flor. 10 *τόνδε* S, *τοῦδε* A.

420

ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους,
ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω.
ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ. 5

Stob. Flor. 105, 1: *Εὐριπίδου Ἰνοῦς* (sic S, lemma om. MA). '*ὁρᾷς — ὁρῶ*'. Philostr. V. Apoll. 7, 4: *τραγῳδίας δὲ ὑποκριτοῦ παρελθόντος ἐς τὴν Ἔφεσον ἐπὶ τῇ Ἰνοῖ τῷ δράματι καὶ ἀκροωμένου τοῦ τῆς Ἀσίας ἄρχοντος — ὁ μὲν ὑποκριτὴς ἐπέραινεν ἤδη τὰ ἰαμβεῖα ἐν οἷς ὁ Εὐριπίδης διὰ μακρῶν αὐξηθέντας τοὺς τυράννους ἁλίσκεσθαι φησὶν ὑπὸ μικρῶν, ἀναπηδήσας δὲ ὁ Ἀπολλώνιος* '*ἀλλ' ὁ δειλὸς*' *ἔφη* '*οὗτος οὔτε Εὐριπίδου ξυνίησιν οὔτε ἐμοῦ*'. v. 1 *ηὐξημένους* Grotius, *ἠσκημμένους* S, *ἠσκημένους* MA. v. 2 et 3 habet Plut. Consol. ad Apollon. c. 6 p. 104 A: *εἰπόντος Εὐριπίδου* '*ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος*' (Phoen. 558) *καὶ ὅτι* '*μικρότατα σφάλλοντα — ἄνω*'. verba *μί' ἡμέρα — ἦρ' ἄνω* (v. 2 et 3) respicit Philo Iud. vol. 1 p. 644 (cf. Ioh. Lydus de mens. 4, 7 p. 55, 18): *ἡ μία* (*ἐν μιᾷ* Lyd.) *γάρ, ὥς ἔφη τις, ἡμέρα τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δὲ ἦρεν ἄνω.* item Philo Iud. vol. 2 p. 85: *ἡ μία πολλάκις ἡμέρα τὸν μὲν ὑψηλὸν καθαιρεῖ, τὸν δὲ ταπεινὸν μετέωρον ἐξαίρει.* v. 3 *τὰ μὲν* Plut., *τὸν μὲν* Stob. et Philo. *ὑψόθεν τὰ δ' ἦρ' ἄνω* Plut., *ὑψόθεν τὸν δὲ ἦρεν ἄνω* Philo, *ὑψωθέντα δ' ἦρ' ἄνω* (*δηρ' ἄνω* S, *δ' ἠράνω* M) Stob. v. 4 *ὁ* corr. ex *ου* S, *οὐ* MA. *ποτε* om. A. v. 5 *ἐξ ὀλβίων* coni. Herwerden *Revue de philol.* 2 p. 56, *ἐξ ἀντύγων* F. G. Schmidt *Krit. Stud.* 2 p. 468. *ὁρᾷς* vel *ὅρα* requirit Mekler Eurip. p. 63, nisi v. 4 et 5 a praegressis separandi sint.

421

κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥστε θήρ, μόνος

Pollux 7, 178 de v. *λύχνος* et derivatis: *Εὐριπίδης δ' ἐν Ἰνοῖ* '*κοίλοις — μόνος*'. Athamantem intellegit Valckenaer Diatr. p. 180.

422

πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστα Θεσσαλῶν

Schol. Ar. Plut. 521 (cf. Suid. v. *ἀνδραποδίζω*): *διαβάλλονται δὲ οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ αἰσχροκερδεῖς καὶ ἄπιστοι. καὶ Εὐριπίδης* (*ἐν Ἰνοῖ* addit V) '*πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θετταλοί*'. ubi *ἀλλ'* om. V et Reg., *καὶ* post *ἄπιστοι* addit V. Schol. Eur. Phoen. 1408: *λοιδορεῖ δὲ τοὺς Θεσσαλοὺς ὁ Εὐριπίδης* '*πολλοὶ γάρ εἰσιν, ἀλλ' ἄπιστα Θεσσαλοῖς* (*ἄπιστοι θεσσαλεῖς* C)'. *Θεσσαλῶν* Hemster-

huys. ἐν Οἰνεῖ pro ἐν Ἰνοῖ scribendum esse coni. Hartung Eurip. rest. 1 p. 156.

423

. . δ' ἄρα

Hesych. 1 p. 461: δ' ἄρα· ὡς δή. Εὐριπίδης Ἰνοῖ. inepta annotatio et sine dubio vitiosa: δ' ἄρ· δή· Ἰνώ (coll. Od. ε 461). δ' ἄρα· ὡς δή. Εὐριπίδης scribendum esse coni. M. Schmidt Mus. Rhen. 26 p. 220.

ΙΞΙΩΝ

De mytho cf. Schol. Apoll. Rhod. 3, 62 Schol. Il. Α 268 al. Plutarchus de audiendis poetis c. 4 p. 19 E: ὥσπερ ὁ Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοιδοροῦντας ὡς ἀσεβῆ καὶ μιαρόν, 'οὐ μέντοι πρότερον αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον ἢ τῷ τροχῷ προσηλῶσαι'. hinc et ingenium Ixionis et fabulae exitum cognoscimus. obiter huius dramatis meminit Suidas v. Δημήτριος, quo auctore Demetrii Adramytteni cognomen non nulli derivandum putarunt inde quod ἀπεσύλησεν Εὐριπίδειον φιλότιμον τὸ δρᾶμα ἔχον (l. ἔχων) τὸν Ἰξίονα. Laert. Diog. 9, 55: φησὶ δὲ Φιλόχορος πλέοντος αὐτοῦ (Protagoram dicit) ἐς Σικελίαν τὴν ναῦν καταποντωθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι.

424

Φλεγύαντος υἱέ, δέσποτ' Ἰξίων . .

Schol. Apoll. Rhod. 3, 62: Φλεγύου δὲ υἱὸς Ἰξίων, ὡς καὶ Εὐριπίδης 'Φλεγύαντος — Ἰξίων'. Choerob. in Theodos. p. 119, 26 (Anecd. Bekk. p. 1185): σημειοῦται δὲ ὁ τεχνικός τινα περιττοσυλλάβως κλιθέντα — Ἀφείδας Ἀφείδαντος παρ' Εὐφορίωνι, Φλεγύας Φλεγύαντος παρ' Εὐριπίδῃ.

425

ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ,
[οὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται]
φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.

Stob. Flor. 10, 7: Εὐριπίδου Ἰξίονι (ἰξίονος S). 'ὅστις — πόλει'. ibid. 22, 2 (lemma om. SA, εὐριπίδου γλαύκῳ adscriptum in M, quod lemma ad ecl. 1 pertinet, quacum coniunctam eclogam 2 praebet A): 'ὅστις — ἀνήρ, φίλοις — πόλει' (v. 1 et 3). v. 1 ἀστῶν] ἐπὶ τῷ (MA) vel ἐπὶ τὸ (S) Flor. 10. v. 2, quem Stob. Flor. 22, 2 omittit, ab hoc loco alienum iudicat Wecklein *Stud. zu Eur.* p. 355. v. 3 cf. Theodorus Metoch. p. 558: καὶ κατὰ τὸν Εὐριπίδου λόγον ὅστις εἰς τὸ κέρδος ἀεὶ λῆμ' ἀνειμένον ἔχει (Eur. Heracl. 3) καὶ ὡς

ἀληθῶς τὸν νοῦν παντάπασιν ἐξηρτημένον, 'φίλοις ἄμικτος καὶ πάσῃ πόλει' καὶ αὖθις πατ' αὐτὸν 'φίλοις τ' ἄχρηστος καὶ συναλλάξαι βαρύς' (Heracl. 4). ἄμεικτός ἐστι malim.

426

τά τοι μέγιστα πάντ' ἀπείργασται βροτοῖς
τόλμ' ὥστε νικᾶν· οὔτε γὰρ τυραννίδες
χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας.

Stob. Flor. 51, 11: Εὐριπίδου (τοῦ αὐτοῦ A, poetae nomen om. S) Ἰξίονι (ἰξίων M). 'τά τοι — μέγας'. v. 1 ἀπεργάζεται libri, ἀπείργασται Heath. v. 2 τόλμα S, τολμα M.

427

Schol. Eur. Or. 73: οἱ δὲ τοῖς ἐναγέσι προσφθεγγόμενοι αὐτοὶ δοκοῦσι μιαίνεσθαι, ὡς καὶ ἐν Ἡρακλεῖ (v. 1219) καὶ Ἰξίονι δέδεικται.

ΙΠΠΟΛΥΤΟΣ

Argumentum fabulae idem fuit quod Hippolyti superstitis, tractandi ratio aliquantum diversa. Vita Eurip. in Westermanni Βιογρ. p. 137, 89: λέγουσι δ' αὐτὸν γήμαντα τὴν Μνησιλόχου θυγατέρα Χοιρίνην καὶ νοήσαντα τὴν ἀκολασίαν αὐτῆς γράψαι δρᾶμα τὸν πρότερον Ἱππόλυτον*), ἐν ᾧ τὴν ἀναισχυντίαν θριαμβεύει τῶν γυναικῶν**). Argum. Eur. Hipp.: ἔστι δὲ οὗτος Ἱππόλυτος δεύτερος ⟨ὁ⟩ καὶ στεφανίας προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερον γεγραμμένος· τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι. Schol. Theocr. 2, 10: ταῖς ἔρωτι κατεχομέναις τὴν σελήνην μετακαλεῖσθαι σύνηθες, ὡς καὶ Εὐριπίδης ποιεῖ Φαίδραν πράττουσαν ἐν τῷ καλυπτομένῳ (κατακαλυπτομένῳ codex Vat.) Ἱππολύτῳ. Plut. de audiendis poetis c. 8 p. 28 A: καὶ ὁ σύσκηνος αὐτοῦ (Sophoclis) πάλιν ὁρᾷς ὅτι τήν τε Φαίδραν καὶ προσεγκαλοῦσαν τῷ Θησεῖ πεποίηκεν ὡς διὰ τὰς ἐκείνου παρανομίας***) ἐρασθεῖσαν τοῦ Ἱππολύτου. titulum Ἱππόλυτος καλυπτόμενος praebent Pollux 9, 50 et Schol. Theocr. 2, 10. Senecam tragicum in Phaedra usum esse velato Hippolyto coni. Valckenaer Hipp. p. XVIII, alii indidem Ovidii Heroidum epist. 4 pendere existimant, atque ex Ovidii et Senecae consensu quasdam velati Hippolyti scenas vel sententias eruere

*) Ita recte Kirchhoff: libri γράψαι πρώτων (vel πρότερον τὸ) δρᾶμα τὸν Ἱππόλυτον vel γράψαι τὸ δρᾶμα πρὸς τὸν Ἱππόλυτον.

**) Hinc Ar. Ran. 1043 Aeschylum haec dicentem facit: ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας.

***) Thesei in Pirithoum amorem dici arbitratur Max. Mayer de Eur. mythopoeia p. 63 coll. Ovid. Heroid. 4, 111 sq.

conati sunt Fr. Leo Senecae trag. 1 p. 174 sqq. et A. Kalkmann de Hippolytis Eur. quaest. nov. p. 24 sqq. versus aliquot superstitis Hippolyti haud indignos antiquo poeta, sed eo quo nunc leguntur loco incommodos ex velato Hippolyto arcessitos esse coniecerunt Valckenaer (Hipp. 664), Th. Barthold (Eur. Hipp. Berol. 1880 ed. p. XL), Kalkmann (l. l. p. 22 23 33), alii. Ed. Hiller in Libro miscellaneo ed. a societate philol. Bonnensi (a. 1864) p. 43 et p. 47 priori Hippolyto locum Philemonis Lex. p. 36 sive Eust. Il. p. 633, 21 adscribit, quia in altera fabula *πεύκη* vocabulum non reperiatur: mihi non dubium videtur quin grammatici illi spectent superstitis Hippolyti v. 1254: *καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις πεύκην.*

428

οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν
νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις.

Stob. Flor. 63, 3: *Εὐριπίδου Ἱππολύτῳ.* '*οἱ γὰρ — τοῖς διώκουσιν ἄγαν*'. eosdem versus om. p. et fab. nom. habet Plut. cum principibus esse philosophandum c. 2 p. 778 B. v. 2 *τοῖς διώκουσιν ἄγαν* Stob., *τοῖς ἀγαθὰ ᾑρημένοις* (cum v. l. *τοῖς ἄγαν θηρωμένοις*) Plut.

429

ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ
μεῖζον ἐβλάστομεν γυναῖ-
κες πολὺ δυσμαχώτερον.

Stob. Flor. 73, 23: *Εὐριπίδου Ἱππολύτῳ.* '*ἀντὶ — δυσμαχώτερον*'. ubi chori notam S apponit. Clemens Alex. Strom. VI p. 743: *Ἡσιόδου λέγοντος* '*σοὶ δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν ᾧ κεν ἅπαντες τέρπωνται*' *Εὐριπίδης ποιεῖ* '*ἀντὶ πυρὸς δὲ γὰρ ἄλλο πῦρ μεῖζον καὶ δυσμαχώτερον βλάστον γυναῖκες*'. respicit Palladas Anthol. Pal. 9, 167: *ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο γυναῖκας.* quo loco usus est Nicetas Eugen. 2, 347: *Ζεὺς ἀντὶ πυρὸς ἐμπαρέσχε τῷ βίῳ πῦρ ἄλλο δεινόν, τῆς γυναικὸς τὴν πλάσιν.* v. 1 *ἐκβλαστῶμεν* Stobaei libri, *ἔβλαστον αἱ* Grotius, *ἐβλάστομεν* Dobree Adv. 2 p. 125.

430

ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
Ἔρωτα, πάντων δυσμαχώτατον θεόν.

Stob. Flor. 63, 23: *Εὐριπίδου Ἱππολύτῳ.* '*ἔχω — θεόν*'. v. 2 *ἀμηχανουσιν* M. cum v. 3 cf. fr. 544.

431

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται·
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται. 5

Stob. Flor. 63, 25: *Σοφοκλέους Φαίδρα* (sic MA, *τοῦ αὐτοῦ φαίδραι* S). '*ἔρως γὰρ — ἐγκλίνεται*'. v. 1—3 affert et Euripidi tribuit Clemens Alex. Strom. VI p. 745: *Ἀνακρέοντος γὰρ ποιήσαντος* '*Ἔρωτα γὰρ τὸν ἁβρὸν μέλπομαι —*' *Εὐριπίδης γράφει* '*Ἔρως — ἔρχεται*'. ac videtur ipsa oratio Euripidem prodere. v. 3 *χαράσσει* Stob., *ταράσσει* Clem., cf. Naber Mnem. nov. 9 p. 242. *καπιπόντων* Stobaei M. v. 5 *κοὐ θέλων* Herwerden Observ. crit. in fragm. com. p. 130.

432

αὐτός τι νῦν δρῶν εἶτα δαίμονας κάλει·
τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει.

Schol. T Il. Δ 249: *συμβουλεύει τὸν οἰκεῖον πόνον προσεπεισφέρειν — καὶ τὸ τραγικόν* '*αὐτός — συλλαμβάνει*'. similiter Schol. B, sed priore versu omisso. v. 1 sine p. et fab. nomine habet Suidas v. *αὐτός τι*, unde *δρῶν εἶτα* correctum pro *δρᾷ χοὕτω* Scholiorum lectione. *δαίμονας* Schol. Il., *τοὺς θεοὺς* Suid. v. 2 cum lemmate *Εὐριπίδου Ἱππολύτου* (sic MA, *τοῦ αὐτοῦ* nec plura S) affert Stobaeus Flor. 29, 34. contra Clemens Alex. Strom. VI p. 741: *Εὐριπίδου μὲν ἐν Τημένῳ* (*κτιμένῳ* L) '*τῷ γὰρ — συλλαμβάνει*'. eundem versum om. fab. nom. Euripidi tribuunt Theodoretus Therap. 1 p. 15, 47 et Anecd. Oxon. vol. 4 p. 255, 11. sine poetae et fab. nom. habet Clemens Alex. Strom. V p. 654, atque eodem spectat Zenob. 5, 93. Euripides imitatus videtur Aeschyli Pers. 742: *ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὡ θεὸς ξυνάπτεται* (l. *ξυλλήψεται*), Euripidem Menander Com. 4 p. 249: *γινώσκων ὅτι τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει.* cf. Ar. Eq. 229: *χὡ θεὸς ξυλλήψεται.* *τῷ γὰρ*] *τῷ δ' αὖ* Clemens Alex. p. 654 Theodoret. Anecd. Oxon. *καὶ θεὸς*] *χὡ θεὸς* Schol. Il. *συλλαμβάνει*] *ξυλλαμβάνει* Theodoretus et Anecd. Oxon.

433

ἔγωγε φημὶ καὶ νόμον γε μὴ σέβειν
ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.

Stob. Flor. 12, 10: *Εὐριπίδου Ἱππολύτου.* '*ἔγωγε — πλέον*'. v. 1 *μὴ σθένειν* coni. Gomperz.

434

οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι,
τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

Stob. Flor. 51, 10: *Εὐριπίδου Ἱππολύτῳ.* '*οὐ γὰρ — θηρεύεται*'. eclogam cum lemmate habent SMA, fabularum tantum nomina ecl. 10 et 11 apponit S.

435

τί δ' ἢν λυθείς με διαβάλῃς, παθεῖν σε δεῖ;

Erotianus Gloss. Hippocr. p. 62, 12: *διεβλήθησαν· παρελογίσθησαν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ φησίν* '*τί δὲ — δεῖ*'. *ἢν λυθῇς με* libri, *ἢν λυθείς με* Stephanus, *ἢν ψύθῃ με* Conington, *αὖθις ἤν με* F. G. Schmidt *Krit. Stud.* 2 p. 469.

436

ὦ πότνι' αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς
συνοῦσα τἀναίσχυντον ἐξῃροῦ φρενῶν.

Stob. Flor. 31, 3: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Ἱππολύτου* (fabulae nomen om. L, eclogam om. A). '*ὦ — φρενῶν*'. v. 1 *πότνια* S. verba *ὦ πότνι' αἰδώς* recurrunt Iph. Aul. 821. *εἴτε τοῖς πᾶσι βροτοῖς* (pr. m. corr. ex *βροτῶν*) S. v. 2 *ἐξῃροῦ* Baiter, *ἐξῄρου* vulgo.

437

ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ
τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.

Stob. Flor. 105, 43: *Εὐριπίδου Ἱππολύτῳ.* '*ὁρῶ — εὐπραξίαν*'. v. 2 *πάροιθ'* hoc loco vix aptum, *περίσσ'* coni. Bergk, *πάραντ'* Meineke *Jahrb. f. Phil.* 87 (a. 1863) p. 375, *λίαν* Cobet Coll. crit. p. 221.

438

ὕβριν τε τίκτει πλοῦτος ἢ φειδὼ βίου.

Stob. Flor. 93, 3: *Εὐριπίδου Ἱππολύτῳ.* '*ὕβριν — βίου*'. *πλοῦτος, οὐ φειδὼ βίου* scribendum suspicor. dissentit F. G. Schmidt, qui *ὕβριν* in *τρυφήν* mutat *Krit. Stud.* 2 p. 469 sq.

439

φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.

νῦν δ' εὐτρόχοισι στόμασι τἀληθέστατα
κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.

Stob. Flor. 82, 1 vel potius Ecl. 2, 2, 8 p. 21, 17: *Εὐριπίδου Ἱππολύτῳ.* '*φεῦ φεῦ — χρὴ δοκεῖν*'. v. 1 et 2 habet Plut. Praec. gerendae rei publ. c. 5 p. 802 A: *τῶν Εὐριπιδείων ἐκείνων* '*εἴθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν*' (fr. 987) *καὶ* '*φεῦ φεῦ — λέγειν*'. v. 3 et 4 sine p. et fab. nom. Clemens Alex. Strom. I p. 340: '*νῦν δ' — χρὴ δοκεῖν*', *ἡ τραγῳδία λέγει.* v. 2 *ὦσι* et *λόγοι* Stob., *ἦσαν* et *λέγειν* Plut. v. 3 *εὐρύθμοις* (in M ex *εὐρύθμους* corr. pr. m.) *πιστώμασι* Stob., *εὐρόοισι στόμασι* Clemens, *εὐρύθμοισι στόμασι* coni. Valckenaer Diatr. p. 148, *εὐτρόχοισι στόμασι* Porson Adv. p. 275, *εὐθρόοισι στόμασι* Burges in Aesch. Suppl. 989.

440

Θησεῦ, παραινῶ σοὶ τὸ λῷστον, εἰ φρονεῖς,
γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων.

Stob. Flor. 73, 55: *Εὐριπίδου Ἱππολύτῳ* (sic MA, eclogam om. S). '*Θησεῦ — κλύων*'. v. 1 *σοι τὸ λῷστον εἰ* Gaisford, *καὶ τὸ λώιστον* MA. *φρονεῖν* M, *φρονεῖς* A. v. 2 traditam scripturam recte tuetur Wilamowitz-Moellendorff Herm. vol. 15 p. 484.

441

χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ.

Stob. Ecl. 1, 8, 25 p. 98, 2: *Εὐριπίδου Ἱππολύτου.* '*χρόνος — φιλεῖ*'.

442

. . *πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν*

Pollux 9, 50: *στάσις ἵππων, ὡς Εὐριπίδης ἐν Ἱππολύτῳ καλυπτομένῳ* '*πρὸς — στάσιν*'.

443

ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος,
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς
καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ.

Stob. Flor. 119, 8: *Εὐριπίδου Ἱππολύτου* (sic S, *εὐριπίδου ἱππολύτω* A, eclogam om. M). '*ὦ λαμπρὸς — ἐγώ*'. v. 2 *ὥς σ' ἡδὺ* Vitelli de Eur. El. p. 51. *λεύσειν* S. verba esse Thesei, qui solus ex Orco revertatur et relictum apud inferos amicum deploret, coni. Max. Mayer de Eur. mythopoeia p. 68.

444

ὦ δαῖμον, ὡς οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς
τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.

Stob. Flor. 98, 44: *Εὐριπίδου Ἱππολύτῳ* (sic S, nisi quod *Ἱππολύτῳ* per compendium scriptum est, eclogam om. MA). 'ὦ δαῖμον — κακῶν'.

445

ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα κρίνουσιν θεοί.

Iustinus M. de monarchia c. 5 p. 138: ὁ αὐτὸς (sc. *Εὐρ.*) καὶ ἐν Ἱππολύτῳ 'ἀλλ' — θεοί'. κραίνουσιν invitis libris ed. Musgrave.

446

ὦ μάκαρ, οἵας ἔλαχες τιμάς,
Ἱππόλυθ' ἥρως, διὰ σωφροσύνην·
οὔποτε θνητοῖς
ἀρετῆς ἄλλη δύναμις μείζων·
ἦλθε γὰρ ἢ πρόσθ' ἢ μετόπισθεν 5
τῆς εὐσεβίας χάρις ἐσθλή.

Stob. Flor. 5, 16: τοῦ αὐτοῦ ἐξ Ἱππολύτου (sic O. Hense, ⟨ἐ⟩ξ ἱππολύτου L, εὐρ. ἱππολύτω M, τοῦ αὐτοῦ ἱππολύτω A, ecl. om. S). 'ὦ μάκαρ — ἐσθλή'. v. 1 ἡ pro ὦ L rubr. v. 6 εὐσεβείας MA.

447

δίοπος

Erotian. Gloss. Hippocr. p. 61, 14. vide Aesch. fr. 232.

ΚΑΔΜΟΣ

Dramatis notitiam uni debemus Probo; sed verisimile est, quod Valckenaer Diatr. p. 12 coniecit, huc referendum esse fr. 930, ac fortasse idem drama respicit Horatius Epist. 2, 3, 187: *multaque tolles ex oculis — ne pueros coram populo Medea trucidet, aut humana palam coquat exta nefarius Atreus, aut in avem Procne vertatur, Cadmus in anguem.*

448

οὐρανὸς ὑπὲρ ἡμᾶς καινῶς φοτῶν ἕδος δαιμόνιον
τόδ' ἐν μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονός,
οἳ μὲν ὀνομάζουσι χάος

Probus in Verg. Ecl. 6, 31 p. 11, 25: *accipere debemus aera,*

quem Euripides in Cadmo χάος *appellavit sic* 'οὐρανὸς — χάος'. verba Graeca nituntur editionis principis fide admodum lubrica nec poterunt probabiliter emendari. Valckenaer haec lusit: οὐρανός θ' ἡμᾶς ὕπερ· καὶ γῆ βροτῶν κοινόν τε δαιμόνων θ' ἕδος· τὸ δ' ἐν μέσῳ τοῦτ' οὐρανοῦ τε καὶ χθονὸς χάος μὲν ὀνομάζουσιν. aeque incerta sunt quae Wilamowitz-Moellendorff Anal. Eur. p. 160 proposuit: οὐρανὸς ὕπερθε κείμενος, φωτῶν ἕδος δαιμόνιον· ἐν μέσῳ δὲ τοῦδε καὶ χθονός, οἱ μὲν ὀνομάζουσιν χάος. at idem iure, ut opinor, Euripide indignum locum existimat.

ΚΕΡΚΥΩΝ v. ΑΛΟΠΗ

ΚΡΕΣΦΟΝΤΗΣ

Hyginus fab. 137 et 184 (quae capita in unum coniunximus rationem secuti a M. Schmidtio monstratam): *Polyphontes Messeniae rex Cresphontem Aristomachi filium* (*et filios eius adultos* addi vult M. Schmidt) *cum interfecisset, eius imperium et Meropen uxorem possedit. filium autem eius infantem Merope mater absconse ad hospitem in Aetoliam mandavit. hunc Polyphontes maxima cum industria quaerebat, aurumque pollicebatur siquis eum necasset. qui postquam ad puberem aetatem venit, capit consilium ut exequatur patris et fratrum mortem. itaque venit ad regem Polyphontem aurum petitum, dicens se Cresphontis interfecisse filium et Meropes Telephontem* (*Cresphontem* coni. Mueller Fragm. Hist. Gr. vol. 3 p. 377). *interim rex eum iussit in hospitio manere, ut amplius de eo perquireret. qui cum per lassitudinem obdormisset, senex qui inter matrem et filium internuncius erat, flens ad Meropen venit negans eum apud hospitem esse nec comparere. Merope credens eum esse filii sui interfectorem, qui dormiebat, in chalcidicum cum securi venit, inscia ut filium suum interficeret: quem senex cognovit et matrem ab scelere retraxit. Merope postquam vidit occasionem sibi datam esse ab inimico se ulciscendi, redit cum Polyphonte in gratiam. rex laetus cum rem divinam faceret, hospes falso simulavit se hostiam percussisse* (*percussurum esse* coni. M. Schmidt) *cumque interfecit patriumque regnum adeptus est.* Meropes filium, quem Telephontem appellat Hyginus, Aepytum Apollodorus 2, 8, 5 (cf. Pausan. 4, 3, 8), Euripides Cresphontem dixit, id quod et titulus fabulae docet et Schol. Aristot. Eth. Nic. fol. 40 b (cf. Anecd. Paris. vol. 1 p. 191, 3), ubi ad Aristotelis verba 'οἰηθείη δ' ἄν τις καὶ τὸν υἱὸν πολέμιον εἶναι ὥσπερ ἡ Μερόπη' (Eth. Nicom. 3, 2 p. 1111 a 11) haec annotantur: ἔστι παρ' Εὐριπίδῃ ἐν τῷ Κρεσφόντῃ ἐπιβουλεύουσα Κρεσφόντῃ τῷ υἱῷ δι' ἄγνοιαν. Epigr. Cyzic. in Anthol. Pal. 3, 5: Κρεσφόντου γενέτην πέφνες τὸ πάρος, Πολυφόντα, κουριδίης ἀλόχου λέκτρα θέλων μιανεῖν. probabiliter huc rettulerunt Eur. fr. 908 et 1083. de Ennii Cresphonte

cf. Ribbeck Trag. Rom. fragm. p. 29—31 et *Röm. Tragödie* p. 186 sqq. de Euripidea fabula peculiarem dissertationem scripsit N. Wecklein (*Festschrift für. L. Vrlichs. Würzburg* 1880), quem in disponendis fragmentis secutus sum. fabulam olymp. 89 anno tertio editam esse ex fr. 453 prodire opinatus est Bergk Mus. Rhen. 35 p. 247 et Herm. 18 p. 506. dissentit Wilamowitz-Moellendorff Herm. 11 p. 302, qui circa annos 430—427 a. Chr. doctam esse trilogiam ex Heraclidis Cresphonte Temeno compositam conicit.

449

ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους
τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

Sextus Empir. p. 175, 17: *ὁ γοῦν Εὐριπίδης φησὶν 'ἐχρῆν — δόμων'.* eosdem versus afferunt et Euripidi tribuunt Clemens Alex. Strom. III p. 517 (Theodoret. Therap. 5 p. 71, 21) Stob. Flor. 120, 22 (ubi lemma om. S, eclogam om. M), Codex Paris. 2720 (cf. Schneidewin Progymn. in Anthol. Gr. p. 31); om. p. nom. Schol. Hermog. in Rhet. vol. 7 p. 765. v. 1 et 2 Euripidis nomen addens profert Aristid. vol. 2 p. 264. v. 2—4 Strabo XI p. 520 et Menander Rhet. vol. 9 p. 282, item om. poetae nomine v. 2—4 Plut. de audiendis poetis c. 14 p. 36 F, v. 2 et 3 Dio Chrys. 23, 2, v. 2 Plato Axioch. p. 368 A (Stob. Flor. 98, 75) Procopius Gaz. Epist. 47 p. 549 ed. Herch., v. 4 Plut. Quaest. conv. 1, 2, 1 p. 615 E et Seneca de morte Claud. 4. eundem v. 4 respicit Heliod. 7, 11: *θρηνοῦντες ἄνδρα προφήτην, ὃν χαίροντας καὶ εὐφημοῦντας ἐκπέμπειν, ὡς τῆς βελτίονος μετειληχότα λήξεως καὶ πρὸς τῶν κρειττόνων κεκληρωμένον, ὁ θεῖος καὶ ἱερὸς παρεγγυᾷ λόγος.* probabiliter Buresch huc refert locum Hieronymi Epitaph. Nepotiani tom. IV p. 273: *Hesiodus natales hominum plangens gaudet in funere.* fabulae nomen unus prodidit Cicero Tusc. 1, 48, 115: *qua est sententia in Cresphonte usus Euripides:*

nam nos decebat coetus celebrantis domum
lugere, ubi esset aliquis in lucem editus,
humanae vitae varia reputantis mala;
at qui labores morte finisset gravis,
hunc omni amicos laude et laetitia exequi.

v. 1 *ἐχρῆν*] *ἔδει* Aristid. Clem. Schol. Hermog. *γὰρ*] *μὲν* Stobaei S, *γὰρ* A. *σύλλογον*] *συλλόγους* vel *συλλογισμοὺς* v. l. in Schol. Hermog., *συλλόγους* ut videtur Cicero, *ἐπὶ συλλόγων ἰόντας* Procopius. v. 2 *φύντα*] *ζῶντα* Stob. v. 3 *καὶ*] *ὡς* Strabonis libri non nulli. *πόνων*]

κακῶν Sextus. *πεπαυμένον*] *λελασμένον* Schol. Hermog., ubi tamen *πεπαυμένον* codex Ven.

450

εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονὸς
ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν σθένοι.

Plut. Consol. ad Apollonium c. 15 p. 110 B: *ὁ Κρεσφόντης δέ που ὁ παρὰ τῷ Εὐριπίδῃ περὶ τοῦ Ἡρακλέους λέγων 'εἰ μὲν γὰρ οἰκεῖ' φησί 'νερτέρας — σθένοι'.* v. 1 *νερτέρου* codex D.

451

εἰ γάρ σ' ἔμελλεν, ὡς σὺ φῄς, κτείνειν πόσις,
χρῆν καὶ σὲ μέλλειν, ὡς χόλος παρήλυθεν.

Gellius N. A. 6, 3, 28: *hoc vitio dat Lucilius poetae Euripidae quod, cum Polyphontes rex propterea se interfecisse fratrem diceret, quod ipse ante de nece eius consilium cepisset, Meropa fratris uxor hisce ad* (*adeo* Hertz) *cum verbis eluserit 'εἰ γάρ — παρήλυθεν'.* v. 1 *κτενεῖν* malim. v. 2 *χρῆν* Casaubonus, *χρὴ* libri. *ὡς* in *ἕως* mutabat Valckenaer Diatr. p. 183. *χόλος* Luc. Mueller Lucil. p. 105, *χρόνος* libri. *παρήλυθεν* Hertz, ΠΑΡΗΛΑΥΘΕΝ cod. Vat. *ἤλυθον* formam non alienam esse a trimetro tragico ostendi *Mélanges Gréco-Rom.* II p. 453 sqq.

452

ἐκεῖνο γὰρ πέπονθ' ὅπερ πάντες βροτοί·
φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι.

Schol. Eur. Med. 85: *τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ἐν Κρεσφόντῃ κέχρηται οὕτως 'ἐκεῖνο — αἰσχύνομαι'.* v. 2 recurrit in Apophth. Vindob. 139. *μάλισθ' ἑαυτὸν* Schol. Eur. cod. A. Polyphontae sunt verba.

453

Εἰρήνα βαθύπλουτε καὶ *στρ.*
καλλίστα μακάρων θεῶν,
ζῆλός μοι σέθεν ὡς χρονίζεις.
δέδοικα δὲ μὴ πρὶν πόνοις
ὑπερβάλῃ με γῆρας, 5
πρὶν σὰν χαρίεσσαν προσιδεῖν ὥραν
καὶ καλλιχόρους ἀοιδὰς
φιλοστεφάνους τε κώμους.
ἴθι μοι, πότνα, πόλιν.

τὰν δ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴ- *ἀντ.* 10
κων τὰν μαινομέναν τ' ἔριν
θηκτῷ τερπομέναν σιδάρῳ.

Stob. Flor. 55, 1: *Εὐριπίδου Κρεσφόντου.* '*Εἰρήνη — σιδάρῳ*' (chori notam apponit S). Polyb. 12, 26, 5: *ὁμογνωμονεῖν δὲ τῷ ποιητῇ καὶ τὸν Εὐριπίδην ἐν οἷς φησίν* '*Εἰρήνα — κώμους*' (v. 1—8). initium loci expressit Aristophanes in *Γεωργοῖς* Com. 2 p. 987: *Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικόν.* v. 1 *Εἰρήνη*] *Εἰρήνα* Polyb. *καὶ* om. Polyb. v. 4 *μὴ πρὶν πόνοις* Stob., *μὴ πρὶν* Polyb., *μὴ πόνοις* Hartung Eur. rest. vol. 2 p. 53, *μὴ πρῴ πόνοις* F. G. Schmidt *Krit. Stud.* 2 p. 470. v. 6 *πρὶν ἂν* Polyb., *πρὶν γὰρ* Stobaei SM, *πρίν περ* A, *πρὶν σὰν* Gesner. *προειδεώραν* Stobaei S, *προειδε ὥραν* M, *προιδεῖν ὥραν* A, *προσιδεῖν ὥραν* Polyb. v. 7 *καλλιχρόνους* Stobaei SM, *καλλιχόρους* A et Polyb. v. 8 *κώμους* ex *χώρους* corr. m. pr. in Stobaei A. v. 9 *πότνια* libri, *πότνα* Meineke. *πόλιν*] *πάλιν* Bergk. v. 10 *τάνδε* SMA, *τάνδ'* ed., *τὰν δ'* Bergk. v. 11 *μαινομέναν* ex *μαινομένων* corr. pr. m. S. v. 12 *θνητῷ* A. strophicam carminis compositionem agnovit Bergk.

454

τεθνᾶσι παῖδες οὐκ ἐμοὶ· μόνῃ βροτῶν
οὐδ' ἀνδρὸς ἐστερήμεθ', ἀλλὰ μυρίαι
τὸν αὐτὸν ἐξήντλησαν ὡς ἐγὼ βίον.

Plut. Consol. ad Apollonium c. 15 p. 110 D: *ἡ δὲ Μερόπη λόγους ἀνδρώδεις προφερομένη κινεῖ τὰ θέατρα λέγουσα τοιαῦτα* '*τεθνᾶσι — βίον*'. Euripidi locum tribuit Barnes.

455

καὶ δὶς ἕπτ' αὐτῆς τέκνα
Νιόβης θανόντα Λοξίου τοξεύμασιν

Schol. Eur. Phoen. 159: *περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς φησὶν Εὐριπίδης ἐν Κρεσφόντῃ* '*καὶ δὶς — τοξεύμασιν*'. Gellius N. A. 20, 7, 2: *Homerus pueros puellasque eius* (Niobes) *bis senos dicit fuisse, Euripides bis septenos.* v. 1 *αὐτῆς* dubito num sanum sit.

456

ὠνητέραν δὴ τήνδ' ἐγὼ δίδωμί σοι
πληγήν

Plut. de esu carnium II c. 5 p. 998 E: *σκόπει δὲ καὶ τὴν ἐν τῇ τραγῳδίᾳ Μερόπην ἐπὶ τὸν υἱὸν αὐτὸν ὥς φονέα τοῦ υἱοῦ πέλεκυν*

ἀραμένην καὶ λέγουσαν '*ὠνητέραν — πληγήν*', *ὅσον ἐν τῷ θεάτρῳ κίνημα ποιεῖ συνεξορθιάζουσα φόβῳ, καὶ δέος μὴ φθάσῃ τὸν ἐπιλαμβανόμενον γέροντα καὶ τρώσῃ τὸ μειράκιον.* locum huc rettulit Valckenaer Diatr. p. 181 coll. Aristot. Poet. 14 p. 1454 a 5: *ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν.* v. 1 *ὠνητέραν δὴ* libri plerique, *ὁσιωτέραν δὴ* Turneb. et Vulcob., *ὁσιαιτέραν δὴ* ed. Duebner, *ὦ νέρτερ' Ἅιδη* secundum Eur. Hel. 969 coni. Porson Adv. p. 315. v. 2 *πληγήν* delendum esse coni. Cobet V. L. p. 340.

457

αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον.

Stob. Flor. 31, 15: *Εὐριπίδου ἐκ Κρησφόντου* (sic SM, lemma om. L, ecl. om. A). '*αἰδὼς — τέκνον*'. *γίγνεται*] *φαίνεται* scripserim.

458

αἱ τύχαι δέ με
μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα
σοφὴν ἔθηκαν.

Plut. de capienda ex inimicis utilitate c. 7 p. 90 A: *ἕτεροι πράγμασιν ἀβουλήτοις περιπεσόντες διδάσκονται τὸ χρήσιμον, ὥσπερ ἡ Μερόπη φησίν* '*αἱ τύχαι — ἔθηκαν*'. Euripidi fr. vindicavit Barnes.

459

κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,
ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν.

Stob. Flor. 94, 3: *Εὐριπίδου Κρεσφόντῃ.* '*κέρδη — στένειν*'. ubi quae continuo accedunt *μή μοί ποτ' εἴη κτέ.* alius sunt loci (v. fr. 341). v. 1 *χρηστὰ πάσασθαι βροτῷ* F. G. Schmidt *Krit. Stud.* 2 p. 470.

ΚΡΗΣΣΑΙ

Drama olymp. 85, 2 actum est, cf. Argum. Eur. Alc. supra p. 379 allatum. Cressas et Thyestem non differre nisi titulo coni. Valckenaer, cf. quae supra p. 480 diximus. Aristophanis locum Ran. 849: *ὦ Κρητικὰς μὲν συλλέγων μονῳδίας, γάμους δ' ἀνοσίους εἰσφέρων,* ut Scholia tradunt, alii aliter interpretati sunt, *Ἀπολλώνιος δὲ ὅτι δύναται καὶ εἰς τὴν Ἀερόπην τὴν ἐν ταῖς Κρήσσαις εἰρῆσθαι, ἣν εἰσήγαγε* (sc. Euripides) *πορνεύουσαν.* Sophocles vel potius interpolator Sophoclis Ai. 1297 Teucrum haec facit Menelao exprobrantem: *αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης* (int. Aeropen), *ἐφ' ᾗ λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ ἐφῆκεν* (Aeropen) *ἐλλοῖς*

ἰχθύσιν διαφθοράν. ubi Schol.: *ἡ ἱστορία ἐν ταῖς Κρήσσαις Εὐριπίδου, ὅτι διαφθαρεῖσαν αὐτὴν λάθρᾳ ὑπὸ θεράποντος ὁ πατὴρ* (Catreus) *Ναυπλίῳ παρέδωκεν ἐντειλάμενος ἀποποντῶσαι* (l. *καταποντῶσαι*)*· ὃ δὲ οὐκ ἐποίησεν, ἀλλ' ἐνεγγύησε Πλεισθένει.* cf. Apollod. 3, 2, 2: *Ἀερόπην δὲ καὶ Κλυμένην Κατρεὺς Ναυπλίῳ δίδωσιν εἰς ἀλλοδαπὰς ἠπείρους ἀπεμπολῆσαι· τούτων Ἀερόπην μὲν ἔγημε Πλεισθένης καὶ παῖδας Ἀγαμέμνονα καὶ Μενέλαον ἔτεκε, Κλυμένην δὲ γαμεῖ Ναύπλιος.* Apollod. 2, 1, 5: (Nauplius) *ἔγημεν, ὡς — οἱ τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως.*

460

λύπη μὲν ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινι·
εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς
κρύπτοντα καὶ μὴ πᾶσι κηρύσσειν τάδε·
γέλως γὰρ ἐχθροῖς γίγνεται τὰ τοιάδε.

Stob. Flor. 109, 7: *Εὐριπίδου Κρησσῶν.* '*λύπη — τοιάδε*'. v. 1 *ἄτηι* vel *ἄτηι* S, *αὕτη* MA. *ἐχθρᾷ* coni. F. G. Schmidt Sat. crit. p. 6 sive *Krit. Stud.* 2 p. 470. v. 4 *γίνεται* SMA.

461

οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,
αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.

Stob. Flor. 29, 23: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Κρήσσαις.* '*οὐκ ἂν — νεανίαν*'.

462

ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

Stob. Flor. 91, 7: *Εὐριπίδου Κρήσσαις.* '*ἐπίσταμαι — φίλοι*'. v. 2 recurrit in Stob. Flor. 92, 5: *Εὐριπίδου Κρήσσαις.* '*ὡς τῶν — φίλοι*'. ubi qui sequuntur versus *ἔστιν δ' ἐν ὄλβῳ κτέ.* ex Heraclidis petiti sunt (745—747). eundem versum habemus in Men. mon. 558, atque hinc factum est quod in Men. mon. 507 et Melissa Augustana (de qua cf. C. Wachsmuth *Studien zu den griech. Florilegien* p. 161) legitur, *τῶν εὐτυχούντων πάντες ἄνθρωποι φίλοι.*

463

οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ
δοῦναι χαλινοὺς οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν·

πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ
γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.

Stob. Flor. 74, 2: *Εὐριπίδου Κρήσσαις.* '*οὐ γάρ — λαβών*'.

464

γαμεῖτε νῦν, γαμεῖτε, κᾆτα θνήσκετε
ἢ φαρμάκοισιν ἐκ γυναικὸς ἢ δόλοις.

Stob. Flor. 72, 4: *Εὐριπίδου Κρήσσαις.* '*γαμεῖτε νῦν — δόλοις*'. v. 1 *καταθνήσκετε* SM, *κᾆτα θνήσκεται* A. continuo haec accedunt:

ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηράν, μῶρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφροσιν δόμοις ἔχει.

qui versus nunc leguntur in Eur. El. 1097—99 loco parum apto.

465

⟨Ἅιδης⟩ κρινεῖ ταῦτ' . . . .

Aristoph. Vesp. 763: *τοῦτο δὲ Ἅιδης διακρινεῖ πρότερον ἢ ἐγὼ πείσομαι.* ubi Schol.: *ἐν Κρήσσαις Εὐριπίδου ὁ Κατρεὺς* (*ὁ Ἀτρεὺς* libri, corr. I. van Leeuwen Comm. de Aiacis Soph. auth. p. 177 vel potius Wilamowitz-Moellendorff Anal. Eur. p. 255) *πρὸς τὴν Ἀερόπην* '*κρινεῖ ταῦτα*'. *Ἅιδης* addendum esse vidit Toup Emend. in Suid. 3 p. 178.

466

ἐγὼ χάριν σὴν παῖδά σου κατακτάνω;

Apollon. de coni. p. 514, 9 de v. *χάριν*: *φησὶν ὁ Τρύφων ὡς παρὰ τῷ Εὐριπίδῃ καὶ ἔτι* (*καί τισιν* malim) *ἄλλοις ποιηταῖς ὀνοματικῆς συντάξεως ἔτυχεν· ἐν μὲν γὰρ Κρήσσαις* '*ἐγὼ — κατακτενῶ*' *καὶ ἐν Αὔγῃ* —. *παῖδας οὐ* edidit Bekker, *παῖδά σου* Bast in Greg. Cor. p. 32, quod praefero; agitur enim de Aeropa et verba sunt Nauplii. *κατακτενῶ* cod., *κατακτάνω* F. G. Schmidt *Krit. Stud.* 2 p. 471.

467

τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;
πλήρης μὲν ὄψων ποντίων, πάρεισι δὲ
μόσχων τέρειναι σάρκες ἀρνεία τε δαὶς
καὶ πεπτὰ καὶ κροτητὰ τῆς ξουθοπτέρου
πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα. 5

Ath. XIV p. 640 B: *ἔφη τις τῶν παρόντων· αἱ δεύτεραί πως φροντίδες σοφώτεραι* (Eur. Hipp. 436). '*τί γὰρ — δεδευμένα*', *φησὶν*

ὁ Εὐριπίδης ἐν Κρήσσαις. v. 1 τὸ δ' οὐ A. v. 2 sq. cf. Eust. Od. p. 1532, 16: θηλυκὸν δὲ τέρεινα, οἷον 'πάρεισι μόσχων τέρειναι σάρκες' ἤγουν ἁπαλαί. v. 3 χηνία A, ἀρνεία Meineke. v. 4 et 5 sine p. et fab. nom. habet Plut. non posse suaviter vivi sec. Epicurum c. 16, 1 p. 1097 D. v. 4 πεπτά] Schol. Ar. Eq. 1181: ἐλατὴρ δὲ πέμματος εἶδος· τινὲς μὲν ἄζυμα, τινὲς δὲ πεπτά, ὧν εἷς καὶ Εὐριπίδης. Suid. v. ἐλατήρ: καὶ ἐλατῆρος, πέμματος εἶδος ἀζύμου· Εὐριπίδης δὲ πεπτά. καὶ κροτητὰ Plut. et Ath., κἀκροφητὰ coni. Naber Mnem. nov. 5 p. 211.

468

τὰ δ' ἄλλα χαῖρε κύλικος ἑρπούσης κύκλῳ.

Ath. XI p. 504 B: ἔδωκε τῷ παιδὶ περισοβεῖν [ἐν κύκλῳ] κελεύσας, τὸ κύκλῳ πίνειν τοῦτ' εἶναι λέγων, παρατιθέμενος Μενάνδρου ἐκ Περινθίας 'οὐδεμίαν ἡ γραῦς ὅλως κύλικα παρῆκεν, ἀλλὰ πίνει τὴν κύκλῳ' καὶ πάλιν ἐκ Θεοφορουμένης 'παῖ, ταχὺ τὸ πρῶτον περισόβει ποτήριον αὐτοῖς ἀκράτου'. καὶ Εὐριπίδης δ' ἐν Κρήσσαις 'τὰ δ' — κύκλῳ'. sagicissime M. Schmidt Hesych. 3 p. 319 agnovit huc spectare gl. Phot. Lex. p. 421, 22: περισο· περιφέρειν. Εὐριπίδης, ubi περισοβεῖν restituit Schleusner. nimirum cum vetustior grammaticus, quem Pamphilum fuisse probabiliter coni. Naber Phot. Lex. 1 p. 52, de verbo περισοβεῖν (i. e. κύκλῳ πίνειν) disputans praeter alios locos excitasset Euripidis versum ex Cressis petitum, Byzantinus homo ipsum verbum περισοβεῖν per errorem Euripidi tribuit.

469

νόμος δὲ ⟨δείπνου⟩ λείψαν' ἐκβάλλειν κυσίν.

Ath. III p. 97 A: τὰ ὀστᾶ, ὧν οὐδεὶς φθόνος αὐτοῖς (cynicis) ἀπολαύειν ὡς κυσί· τοῦτο γάρ εἰσι καὶ εὔχονται κ͂κλεῖσθαι· 'νόμος — κυσίν' ἐν Κρήσσαις ὁ Εὐριπίδης ἔφη. δείπνου addidit S. Mekler Eurip. p. 63.

470

πρὶν ἂν . . ἐκφλῆναί με καὶ μαθεῖν λόγον

Etym. M. p. 796, 12: φλήναφος — παρὰ τὸ φλέω —. Εὐριπίδης παράγωγον ῥῆμα ἀπὸ τούτου ποιήσας φησὶν ἐν Κρήσσαις 'πρὶν ἂν ἐκφλῆναί — λόγον'. post ἂν lacunam indicavi: delet ἂν particulam Hartung Eur. rest. vol. 1 p. 180, πρὶν ἄν ⟨τιν'⟩ proponit Herwerden Adnot. crit. et exeg. ad Eur. 1 p. 29. fortasse πρὶν δή ⟨τιν'⟩ praeferendum. vitiosum videtur ἐκφλῆναι, quod idem esse atque ἐκφλύσαι dicit Meineke *Zeitschr. f. d. Alt.* 1846 p. 1091.

ΚΡΗΤΕΣ

Ar. Ran. 849: *ὦ Κρητικὰς μὲν συλλέγων μονῳδίας γάμους τ' ἀνοσίους εἰσφέρων.* ubi Schol.: *οἱ μὲν εἰς τὴν τοῦ Ἰκάρου μονῳδίαν ἐν τοῖς Κρησί — Τιμαχίδας δὲ διὰ τὴν ἐν τοῖς Κρησὶ* (verba *ἐν τοῖς Κρ.* om. R) *μῖξιν Πασιφάης πρὸς τὸν ταῦρον.* Ioh. Malalas p. 86, 10: *περὶ δὲ τῆς Πασιφάης ἐξέθετο δρᾶμα Εὐριπίδης ὁ ποιητής.* idem p. 31, 6: *ἐξ ἧς* (int. Europam) *ἔσχεν υἱὸν τὸν Μίνω, καθὼς καὶ Εὐριπίδης ὁ σοφώτατος ποιητικῶς συνεγράψατο, ὅς φησι Ζεὺς μεταβληθεὶς εἰς ταῦρον Εὐρώπην ἥρπασεν.* Libanius Decl. vol. 3 p. 375: *ἵνα μὴ τραγῳδὸς εἰσελθὼν Πασιφάην μιμήσηται τὴν ἐξοκείλασαν εἰς ἀλλόκοτον ἔρωτα.* ibid. p. 64: *οὐχ ὁρᾶτε τὸν Μίνω δεινὰ πάσχοντα ἐπὶ τῆς σκηνῆς καὶ τὴν οἰκίαν αὐτοῦ διὰ τοῦ τῆς Πασιφάης ἔρωτος ἐν αἰσχύνῃ γεγενημένην;* argumentum fabulae adumbrare conatus est G. Koerte '*die Kreter des Euripides*' in *Histor. u. philol. Aufsätze E. Curtius gewidmet* (Berol. 1884) p. 197—208. chori partes agunt Iovis Idaei sacerdotes, *Διὸς Ἰδαίου μύσται.* Valckenaer huc refert fr. 912, G. Koerte p. 205 fr. 996 et 997.

471

ἀλλ' ὦ Κρῆτες, Ἴδης τέκνα

Ar. Ran. 1356: *ἀλλ' ὦ Κρῆτες, Ἴδης τέκνα.* ubi Schol.: *τοὺς Κρῆτας λέγει. ἔστι δὲ ἐκ Κρητῶν Εὐριπίδου.* quae subicit Aristophanes, *τὰ τόξα λαβόντες ἐπαμύνατε,* Euripidea esse non credo.

472

Φοινικογενοῦς [παῖ τῆς Τυρίας] τέκνον Εὐρώπης
καὶ τοῦ μεγάλου Ζηνός, ἀνάσσων
Κρήτης ἑκατομπτολιέθρου·
ἥκω ζαθέους ναοὺς προλιπών,
οὓς αὐθιγενὴς τμηθεῖσα δοκὸς 5
στεγανοὺς παρέχει Χαλύβῳ πελέκει
καὶ ταυροδέτῳ κόλλῃ κραθεῖσ'
ἀτρεκεῖς ἁρμοὺς κυπαρίσσου.
ἁγνὸν δὲ βίον τείνων ἐξ οὗ
Διὸς Ἰδαίου μύστης γενόμην, 10
καὶ νυκτιπόλου Ζαγρέως βροντὰς
τοὺς ὠμοφάγους δαῖτας τελέσας
μητρί τ' ὀρείῳ δᾷδας ἀνασχὼν
καὶ κουρήτων
βάκχος ἐκλήθην ὁσιωθείς. 15

πάλλευκα δ' ἔχων εἵματα φεύγω
γένεσίν τε βροτῶν καὶ νεκροθήκης
οὐ χριμπτόμενος τήν τ' ἐμψύχων
βρῶσιν ἐδεστῶν πεφύλαγμαι.

Porphyrius de abst. 4, 19: *μικροῦ με παρῆλθε καὶ τὸ Εὐριπίδειον παραθέσθαι, ὃς τοὺς ἐν Κρήτῃ τοῦ Διὸς-προφήτας ἀπέχεσθαι φησὶ διὰ τούτων· λέγουσι δ' οἱ κατὰ τὸν χορὸν πρὸς τὸν Μίνω 'Φοινικογενοῦς — πεφύλαγμαι'.* v. 1 *παῖ τῆς Τυρίας* recte delet Bothe. *Εὐρώπης* cod. Mon. 461 ut ait Hercher, *Εὐρώπας* al. v. 2 *Ζηνὸς* Bentley, *ζανὸς* libri. v. 3 *ἑκατονπτολιέθρου* libri, *ἑκατομπτολιέθρου* ed. Valent. huc respicit Ioh. Malalas p. 359, 17: *ἡ Κρήτη νῆσος ἥτις εἶχεν ἐν μέσῳ θαλάσσης ὑπαρχούσας πόλεις ἑκατόν, καθὼς περὶ τῆς αὐτῆς νήσου ἐξέθετο ὁ σοφώτατος Εὐριπίδης.* v. 4—8 affert Erotianus Gloss. Hippocr. v. *ἀτρεκέως* p. 39, 1: *καὶ Εὐριπίδης ἐν Κρησὶ* (*κλεισὶ* ante Bentleium Epist. ad Millium p. 25) *φησὶν 'ἥκω — ἀτρεκεῖς ἁρμούς'.* v. 4 *προλείπων* Porph. v. 5 *οὓς* Porph. Erot., *οἷς* Bentley Epist. ad Millium p. 28. *αὐθιγενὴς* Porph., *αὖθις εὖνις* Erot. *δοκὸς* Vulcanius et Scaliger, *δορὸς* Porph., *δοκοὺς* Erot. v. 6 *τετανοὺς* Erot. *πελεκεῖς* Erot. v. 7 *ταυροδέτῳ* Porph., *ταυρολέτῳ* vel *ταυρολέγω* Erot., *ταυροδέτους* Porson Append. ad Toupii Emend. in Suid. p. 490, *στερροδέτῳ* Herwerden Exerc. crit. p. 52. *κολληθεὶς* Erot., *κρηθεῖσ'* Porph., *κόλλῃ κραθεῖσ'* G. Hermann ap. Lobeck. Aglaoph. p. 622. v. 8 *κυπάρισσος* Bentley. v. 9 *τείνομεν* libri, *τείνων* scripsi. v. 11 *καὶ* Rhoer, *καὶ μὴ* Porph. *βροτὰς* cod. Lips., *βροντὰς* ceteri libri, *βιοτὰς* ed. Valent., *σπονδὰς* coni. Lobeck, *βρονταῖς* Bergk Lyr. ed. quart. vol. 2 p. 32. v. 12 *τοὺς* Bergk, *τάς τ'* libri. *δαίτας* libri, cui lectioni patrocinatur Hesychius 4 p. 324: *ὠμοφάγους δαῖτας* (l. *δαίτας* cum Bergkio)· *τοὺς τὰ ὠμὰ κρέα μερίζοντας καὶ ἐσθίοντας.* item Hesych. 1 p. 455: *δαίτας· μεριστάς.* v. 13 *ὀριοδᾶδας* libri, *ὀρείᾳ δᾶδας* Scaliger, *ὀρείῳ δᾶδας* scripsi. v. 16 *πάνλευκα* al. v. 17 *νεκροθήκας* Wecklein *Stud. zu Eur.* p. 422. ex Porphyrio hausit Hieronymus tom. 3 fol. 36 A ed. Basil.: *Euripides in Creta Iovis prophetas non solum carnibus sed et coctis cibis abstinuisse refert.*

ΛΑΜΙΑ

De fide tituli iure dubitant Elmsley in Eur. Med. p. 71 Wilamowitz-Moellendorff Anal. Eur. p. 159 alii; nititur fabulae notitia paucis testimoniis vel potius uno. Lactantius Instit. 1, 6, 8: *Varro — in libris rerum divinarum — Sibyllinos libros ait non fuisse unius Sibyllae, sed — Sibyllas decem numero fuisse — secundam Libycam, cuius meminit Euripides in Lamiae prologo.* Anonymus praef. ad oracula Sibyll. p. 6 (Schol. Plat. p. 963 b 1 Phot. Amphil. 27): *Σίβυλλαι τοίνυν, ὡς πολλοὶ ἔγραψαν, γεγόνασιν ἐν διαφόροις τόποις*

καὶ χρόνοις τὸν ἀριθμὸν δέκα. — πρώτη οὖν ἡ Χαλδαία — δευτέρα Λίβυσσα, ἧς μνήμην ἐποιήσατο Εὐριπίδης ἐν τῷ προλόγῳ τῆς Λαμίας. quae his locis perhibentur probabiliter relata sunt ad versus Euripideos a Diod. Sic. 20, 41 traditos (fr. 922), quamquam ibi non Sibyllae sed *Λαμίας τῆς Λιβυστικῆς* fit mentio. cuius ex fabulae prologo isti versus petiti sint nescimus.

ΛΙΚΥΜΝΙΟΣ

De argumento non constat. respicere videtur hanc fabulam Ar. Av. 1242: *λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς καταιθαλώσῃ σου Λικυμνίαις βολαῖς*, ubi *Λικυμνίαις* de suo Aristophanes addidit, cetera fortasse Euripidis sunt verba e Licymnio petita*). non sufficiunt quae in Scholiis leguntur: *ὁ μὲν Καλλίμαχος γράφων οὕτως 'Λικυμνίαις βολαῖς' φησί 'ταύτης τῆς διδασκαλίας οὐ μέμνηται'. ἐν δὲ ἐνίοις τῶν σχολικῶν ὑπομνήμασι ταυτὶ γέγραπται, 'ἴσως ὁ Λικύμνιος ἐνεπύρισε τινῶν οἰκίας'. ἐν δὲ τοῖς ἐπιγεγραμμένοις Ἀπολλωνίου ταῦτα γέγραπται ὅτι ἡμίφλεκτόν τινα εἰσάγει εἰς τοιοῦτό τι κεκεραυνωμένον ἀπὸ τῆς περιστάσεως ἐκείνης. εἴη δ' ἂν τοῦ Εὐριπίδου μεμνημένος ἀγγέλου τοῦ ἐν τῷ Λικυμνίῳ. λέγει γὰρ ἐπὶ τελευτῆς ἐκεῖνος. ἐν Λικυμνίῳ δράματι Εὐριπίδου εἰσήχθη τις κεραυνοβολούμενος.* quae partim corrupta sunt, partim ab interpretibus scripta qui de Licymnio Euripidis nihil scirent. Hesychius 3 p. 40: *Λικυμνίοις βολαῖς· τῶν ἐν τῷ Εὐριπίδου Λικυμνίῳ μνημονεύοι ἂν ἴσως· κεραυνοῦται γὰρ ἡ ναῦς κατὰ τὸν ἐκεῖ λόγον, οὐχ ὡς αὐτοῦ τοῦ Λικυμνίου* [*τῆς Φωκίδος*] *κατεσκημμένου* (*φόκιδος κατεσκεμμένο* . . codex), ubi verba *τῆς Φωκίδος* ad glossam quae continuo sequitur referenda esse vidit Meineke.

473

φαῦλον ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,
πᾶσαν ἐν ἔργῳ περιτεμνόμενον
σοφίαν, λέσχης ἀτρίβωνα

Laert. Diog. 3, 63: *ὁ γοῦν φαῦλος λέγεται παρ' αὐτῷ* (int. Platonem) *καὶ ἐπὶ τοῦ ἁπλοῦ, ὡς καὶ παρ' Εὐριπίδῃ ἐν Λικυμνίῳ φέρεται ἐπὶ τοῦ Ἡρακλέους οὑτωσί 'φαῦλον — ἀτρίβωνα'.* v. 1 om. fab. nom. orationi intexuit Plutarchus V. Marcelli c. 21: *τὸν δῆμον — ῥᾳθυμίας ἄπειρον καὶ κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα 'φαῦλον — ἀγαθόν'.* idem V. Cimon. c. 4: *'φαῦλον — ἀγαθόν' κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα.* Iulianus p. 54 A: *φαύλῳ καὶ ἀκόμψῳ θεατῇ.* eundem versum haud pauci afferunt vel spectant grammatici. Phot. Lex. p. 642, 20: *φαῦλον· τὸ ἁπλοῦν· ὡς Εὐριπίδης ἐν τῷ Λικυμνίῳ*

*) Dissentit Wilamowitz-Moellendorff, cf. quae supra diximus p. 70.

'φαῦλον — ἀγαθόν'. eadem fere Schol. Greg. Naz. in Piccolomini *Studi di filol. gr.* 1 p. 166 Etym. M. p. 789, 34 Suid. v. εἰδέα et φαῦλον, item sine fabulae nomine Schol. Plat. p. 920 a 36. adde Didymum qui dicitur in Milleri *Mélanges de litt. gr.* p. 402: φαῦλον — ἐπὶ τοῦ ἁπλοῦ τίθεται, ὡς παρ' Εὐριπίδῃ ἐπὶ τοῦ Ἡρακλέους 'φαῦλον — ἀγαθόν'. Anecd. Bachm. vol. 1 p. 412, 7: φαῦλον — ἐπὶ δὲ ἀγαθοῦ Εὐριπίδης ἐν Ἡρακλεῖ 'φαῦλον — ἀγαθόν'. Lex. Vindob. p. 187, 6: φαῦλον τὸ ἁπλοῦν καὶ ἀπονήρευτον. Εὐριπίδης 'φαῦλόν τ' ἄκομψον'. Phryn. Bekk. p. 6, 19 et p. 368, 31: ἄκομψον καὶ φαῦλον· οἷον κομψείας καὶ πανουργίας ἀπηλλαγμένον. Anecd. Bekk. p. 213, 27: ἄκομψον· ἀπάνουργον. mire corrupta affert poetae verba Eust. Il. p. 1356, 62: φαῦλον — καὶ τὸ ἀγαθόν, ὡς Εὐριπίδης 'φαῦλον κομψὸν τάχιστον'. v. 2 περιταμνόμενον libri.

474

πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.

Stob. Flor. 29, 7: Εὐριπίδης Λικυμνίῳ (sic M'A, τοῦ αὐτοῦ om. fabulae nom. S). 'πόνος — πατήρ'. Sophocli hunc versum tribuit Maximus Planudes Rhet. vol. 5 p. 441.

475

τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν.

Stob. Ecl. 1, 4, 6 p. 71, 22: Εὐριπίδης Λικυμνίῳ (εὐριπιδ. διδύμω F, διδυμ P, quae verba loco suo mota in textu praebent FP, corr. Valckenaer Diatr. p. 17). 'τὸ τῆς — ζυγόν'. οὐ λέγειν ὅσον verba vix sana, ἀλκιμώτατον coni. Heimsoeth, οὐχ ὁρᾷς ὅσον F. G. Schmidt Sat. crit. p. 5, ἄφατόν ἐσθ' ὅσον Herwerden in Eur. Ion. 782. fortasse hunc versum spectant Iulianus p. 246 B: ἀπαραίτητον γάρ ἐστι τὸ λεγόμενον ζυγὸν τῆς ἀνάγκης, et Doxopater Rhet. vol. 2 p. 291: μέλλει· τὸ θεῖον δ' ἐστὶ φύσει τοιοῦτον (l. τοιοῦτον φύσει ex Eur. Or. 420). 'τὸ τῆς ἀνάγκης ἰσχυρὸν ζυγόν.' ceterum cf. Aesch. Prom. 105: τὸ τῆς ἀνάγκης ἐστ' ἀδήριτον σθένος. Eur. Hel. 514: δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.

476

Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός

Stephanus Byz. p. 618, 15: Τευθρανία, Μυσίας πόλις — τὸ ἐθνικὸν Τευθράνιος — καὶ Τευθράντιος. Εὐριπίδης Λικυμνίῳ (λικυμνίᾳ vel λημνίᾳ libri) 'Τευθράντιον — χθονός'.

477

δέσποτα φιλόδαφνε Βάκχε, παιὰν Ἄπολλον εὔλυρε

Macrob. Sat. 1, 18, 6: *Euripides in Licymnio Apollinem Liberumque unum eundemque deum esse significans scribit* 'δέσποτα — εὔλυρε'. Ἀπόλλων libri. fortasse δέσποτα | φιλόδαφνε παιὰν Βάκχ' Ἄπολλον εὔλυρε leg.

478

θριάζειν

Hesych. v. θριάζειν, vide Soph. fr. 428.

479

Demetrius π. ποιημάτων β' in Hercul. volum. coll. alt. V fol. 4 (ed. Oxon. 1 p. 115): τοιαῦτ' ἄττα ἔστιν καὶ παρὰ Εὐριπίδῃ ἐν Λικυμνίῳ ΦЄΙΜΗ .... τούτου καὶ πόλεις α .... μαδε ... Licymnium Euripidis in vitiosa editionis Oxon. lectione agnovit Dobree *Miscell. notes* p. 35. litteras non nullas, quae priores editores fugerant, legit in papyro F. Barnabei, id quod Th. Gomperz me docuit.

ΜΕΛΑΝΙΠΠΗ

Μελάνιππος vitiose scribitur in marmore Albano (Corp. Inscr. 6047, 33 vol. 3 p. 831) et in libris plerisque Eusebii P. E. X p. 466 D. duae fuerunt huius tituli fabulae, quarum altera ἡ σοφή, altera ἡ δεσμῶτις appellatur; plerique tamen testes simpliciter Μελανίππην laudant, neque ausim decernere singuli loci utrius sint dramatis.

ΜΕΛΑΝΙΠΠΗ Η ΣΟΦΗ

Gregorius Cor. Rhet. vol. 7 p. 1313: ἡ δὲ τῆς σοφῆς Μελανίππης αὕτη ἱστορία. Ἕλληνος τοῦ Διὸς Αἴολος τεκνωθεὶς ἐκ μὲν τῆς Εὐρυδίκης ἐγέννησε Κρηθέα (Κρήτην ed.) καὶ Σαλμωνέα καὶ Σίσυφον*), ἐκ δὲ τῆς Χείρωνος θυγατρὸς Ἵππης κάλλει διαφέρουσαν Μελανίππην. αὐτὸς μὲν οὖν φόνον ποιήσας ἐπ' ἐνιαυτὸν ἀπῆλθε φυγάς, τὴν δὲ Μελανίππην Ποσειδῶν διδύμων παίδων ἔγκυον ἐποίησεν· ἡ δὲ διὰ τὴν τοῦ πατρὸς προσδοκίαν τοὺς γεννηθέντας εἰς τὴν βούστασιν ἔδωκε τῇ τροφῷ θεῖναι κατὰ τὴν ἐντολὴν τοῦ κατασπείραντος. ὑπὸ δὲ τὴν κάθοδον τοῦ δυνάστου τὰ βρέφη τινὲς τῶν βουκόλων φυλαττόμενα μὲν ὑπὸ τοῦ ταύρου, θηλαζόμενα δὲ ὑπὸ μιᾶς τῶν βοῶν ἰδόντες, ὡς βουγενῆ τέρατα τῷ βασιλεῖ προσήνεγκαν· ὁ δὲ τῇ τοῦ πατρὸς Ἕλληνος γνώμῃ πεισθεὶς ὁλοκαυτοῦν τὰ βρέφη κρίνας Μελανίππῃ τῇ θυγατρὶ προσέταξεν ἐνταφίοις αὐτὰ κοσμῆσαι· ἡ δὲ καὶ τὸν κόσμον αὐτοῖς ἐπέθηκε καὶ τὸν λόγον εἰς παραίτησιν ἐξέθηκε φιλότιμον. Dionysius Hal. Rhet. 9, 11 vol. 5 p. 355: ἡ Μελανίππη σοφή, τὸ δρᾶμα Εὐριπίδου, ἐπιγέγραπται μὲν σοφή, ὅτι φιλοσοφεῖ καὶ διὰ

*) Ex his verbis conicere possis huius fabulae esse fr. 14.

τοῦτο τοιαύτης μητρός ἐστιν, ἵνα μὴ ἀπίθανος ᾖ ἡ φιλοσοφία· ἔχει δὲ διπλοῦν σχῆμα, τὸ μὲν τοῦ ποιητοῦ, τὸ δὲ τοῦ προσώπου τοῦ ἐν τῷ δράματι, τῆς Μελανίππης. et mox p. 356: ἡ δὲ Μελανίππη ἐπαιδεύθη (ἐπλήσθη coni. Valckenaer Diatr. p. 184) μὲν ὑπὸ τοῦ Ποσειδῶνος, γέγονε δὲ ταύτῃ παιδία, ἐξέθηκε δ' αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια· ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι καὶ ὡς τέρας βούλεται κατακαῦσαι· βοηθοῦσα αὕτη (αὐτὴ Welcker) ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται ὅτι τέρας οὐδέν ἐστιν. οὕτω τὸ δρᾶμα ὅλον ἐσχημάτισται. καὶ ἅμα διδάσκει ἡμᾶς Εὐριπίδης ὅτι τὸν σχηματίζοντα ἐγγυτάτω δεῖ εἶναι τοῦ λῦσαι τὸ σχῆμα μετὰ τῆς ἀσφαλείας τοῦ σχήματος. περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι τὰ παιδία λέγει 'εἰ δὲ παρθένος φθαρεῖσα ἐξέθηκε τὰ παιδία καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις;' similiter idem Rhet. 8, 10 vol. 5 p. 300 sq.: Εὐριπίδης ὁ ποιητὴς ἐν ὅλῳ δράματι λόγον ἐσχηματισμένον περαίνει, ἐν τῇ Μελανίππῃ τῇ σοφῇ. κἀκεῖ δὲ τὸ σχῆμα διπλοῦν, τὸ μὲν αὐτοῦ τοῦ ποιητοῦ, τὸ δὲ τοῦ ὑποκειμένου προσώπου, τῆς Μελανίππης κτέ. exitus fabulae continetur iis quae tradit Hyginus fab. 186: *Menalippen excaecavit* (pater) *et in munimento conclusit.* hanc fabulam respicit Tatianus Or. ad Gr. c. 33 p. 132: Μελανίππη τις ἦν σοφή· διὰ τοῦτο ταύτην ὁ Λυσίστρατος ἐδημιούργησεν. item ut videtur Ar. Thesm. 547: ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε. Nonnus Dionys. 8, 236: καὶ σὲ σοφῆς προβέβουλεν ἀειδομένης Μελανίππης. denique huc referendum quod Pollux 4, 141 habet: τὰ δ' ἔκσκευα πρόσωπα — Εὐίππη (immo Ἵππη) ἡ Χείρωνος ὑπαλλαττομένη εἰς ἵππον παρ' Εὐριπίδῃ (cf. fr. 488). Euripidea fabula usus est Ennius, de quo cf. Ribbeck Trag. Rom. fr. ed. alt. p. 51 sq. et *Röm. Tragödie* p. 176—181.

480

Ζεὺς ὅστις ὁ Ζεύς, οὐ γὰρ οἶδα πλὴν λόγῳ

Lucian. Iov. trag. 41 vol. 2 p. 689: ἐπεὶ καθ' ἑαυτὸν ὁπόταν ὁ Εὐριπίδης μηδὲν ἐπειγούσης τῆς χρείας τῶν δραμάτων τὰ δοκοῦντά οἱ λέγῃ, ἄκουσον αὐτοῦ τότε παρρησιαζομένου 'ὁρᾷς τὸν ὑψοῦ — θεόν' (fr. 941) καὶ πάλιν 'Ζεὺς ὅστις — λόγῳ' καὶ τὰ τοιαῦτα, ubi κλύων post λόγῳ plerique libri addunt, omittit A. Iustinus M. de monarchia c. 5: ἐν Φρίξῳ ὁ τραγικός — ἐν Φιλοκτήτῃ — ἐν Ἑκάβῃ 'Ζεὺς ὅστις — λόγῳ'. Plut. Amator. c. 13, 4 p. 756 C: ἀκούεις δὲ δήπου τὸν Εὐριπίδην ὡς ἐθορυβήθη ποιησάμενος ἀρχὴν τῆς Μελανίππης ἐκείνης 'Ζεὺς 〈ὅστις ὁ Ζεύς,〉 οὐ γὰρ οἶδα πλὴν λόγῳ', μεταλαβὼν δὲ χορὸν (μεταλαβὼν δι' ἐχθρὸν libri, corr. Sauppe) ἄλλον — ἤλλαξε τὸν στίχον ὡς νῦν γέγραπται 'Ζεὺς ὡς — ὕπο' (fr. 481). respicit Athenagoras Supplic. pro Christ. c. 5 p. 24: Ζῆνα γὰρ ὅστις ἐστὶ Ζεύς, οὐκ οἶδα πλὴν λόγῳ. cf. Eur. Herc. 1263: Ζεὺς δ' ὅστις ὁ Ζεὺς πολέμιόν μ' ἐγείνατο.

481

Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
Ἕλλην᾽ ἔτικτεν

Greg. Cor. Rhet. vol. 7 p. 1312: *καὶ Εὐριπίδης* ʻ*Ζεὺς — ὕπο*᾽ (v. 1). *οὗτος ὁ στίχος ἐν δυσὶν εὕρηται δράμασιν Εὐριπίδου, ἔν τε τῷ λεγομένῳ Πειρίθῳ* (fr. 591, 4) *καὶ ἐν τῇ σοφῇ Μελανίππῃ. — ἐν δὲ τῇ Μελανίππῃ παρεισάγει ταύτην προοιμιαζομένην* ʻ*Ζεὺς — ἔτικτεν*᾽. v. 1 habet Ar. Ran. 1244, ubi Schol.: *Μελανίππης τῆς σοφῆς ἡ ἀρχή.* item Plut. Amator. c. 13, 4 p. 756 C (vide fr. 480) et sine fab. nomine Hermogenes Rhet. vol. 3 p. 434: *καὶ Εὐριπίδης* ʻ*Ζεὺς ὡς λέλεκται*᾽ *ἀναφορά,* ʻ*τῆς ἀληθείας ὕπο*᾽ *βεβαίωσις.*

482

ἡ πρῶτα μὲν τὰ θεῖα προυμαντεύσατο
χρησμοῖσι σαφέσιν ἀστέρων ἐπ᾽ ἀντολαῖς

Clemens Alex. Strom. I p. 361: *μαρτυρεῖ καὶ Εὐριπίδης περὶ τῆς* ʻ*Ιππους ὧδέ πως* ʻ*ἡ πρῶτα — ἐπαντολάς*᾽. similiter Cyrillus c. Iulian. IV p. 134 B. v. 2 *χρησμοῖσιν ἢ δ᾽ ἀστέρων ἐπανατολάς* Clemens, correctum e Cyrillo. locum huc rettulit Valckenaer in Eur. Phoen. 506.

483

Aristophanes Lysistr. 1124:

ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ᾽ ἔνεστί μοι·
αὐτὴ δ᾽ ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω·
τοὺς δ᾽ ἐκ πατρός τε καὶ γεραιτέρων λόγους
πολλοὺς ἀκούσασ᾽ οὐ μεμούσωμαι κακῶς.

Schol. de v. 1125 annotant: *ὁ στίχος* (*οἱ στίχοι* Put.) *ἐκ σοφῆς Μελανίππης Εὐριπίδου.* videntur quattuor versus allati aut desumpti esse ex Euripide aut ad exemplum huius poetae compositi. v. 1 *μοῦσα δ᾽ ἔστι μοι* Suidas v. *μουσωθῆναι,* quod praeferebat Porson.

484

κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ᾽ ἐμῆς μητρὸς πάρα,
ὡς οὐρανός τε γαῖά τ᾽ ἦν μορφὴ μία·
ἐπεὶ δ᾽ ἐχωρίσθησαν ἀλλήλων δίχα,
τίκτουσι πάντα κἀνέδωκαν εἰς φάος,
δένδρη, πετεινά, θῆρας οὕς θ᾽ ἅλμη τρέφει 5
γένος τε θνητῶν.

Dionys. Hal. Rhet. 9, 11 vol. 5 p. 356: *ὁμολογεῖ οὖν* (Eur.) *τὴν*

διδασκαλίαν τὴν ἀρχαίαν διὰ τῆς Μελανίππης '*καὶ οὐκ ἐμὸς — μία*' (v. 1 et 2). v. 2—6 habet Diod. Sic. 1, 7, 7 (quem locum repetit Eusebius P. E. I p. 20 D): *ἔοικε δὲ περὶ τῆς τῶν ὅλων φύσεως οὐδ' Εὐριπίδης διαφωνεῖν τοῖς προειρημένοις, μαθητὴς ὢν Ἀναξαγόρου τοῦ φυσικοῦ· ἐν γὰρ τῇ Μελανίππῃ* (*Μεναλίππῃ* Euseb., de qua scriptura cf. C. Keil Spec. onomatol. Gr. p. 36 sq.) *τίθησιν οὕτως* '*ὡς — θνητῶν*'. v. 1 repetit Dionys. Hal. Rhet. 8, 10 vol. 5 p. 301: *φησὶ γὰρ ἡ Μελανίππη* '*καὶ οὐκ ἐμὸς — πάρα*'. respicit Plato Sympos. p. 177 A: *ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ κατὰ τὴν Εὐριπίδου Μελανίππην· οὐ γὰρ ἐμὸς ὁ μῦθος, ἀλλὰ Φαίδρου τοῦδε.* Aristid. vol. 2 p. 41: *καὶ μὴν οὐκ ἐμὸς ὁ μῦθος, ἔφη ὁ Πλάτων τὸ τοῦ Εὐριπίδου προσπαίζων* (quibus verbis Eurip. Hipp. 352 indicari falso statuit Schol. p. 398). Callim. Lav. Pall. 56: *μῦθος δ' οὐκ ἐμός, ἀλλ' ἑτέρων.* Philo Iud. vol. 1 p. 601: *οὗτος δὲ οὐκ ἐμὸς μῦθος, ἀλλὰ χρησμῶν τῶν ἱερωτάτων ἐστίν.* p. 646: *ταῦτα οὐκ ἐμός ἐστι μῦθος, ἀλλὰ χρησμός.* Plut. Quaest. conv. 4, 1, 1 p. 661 A: *οὐκ ἐμός, εἶπεν, ὁ μῦθος, ἀλλ' οὑτοσὶ Φίλων κτἑ.* ibid. 8, 1, 3 p. 718 A: *οὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' Αἰγύπτιοι κτἑ.* Lucian. Hermot. 47 vol. 1 p. 789: *οὐκ ἐμὸν ἐρῶ, ἀλλά τινος τῶν σοφῶν.* Aristid. vol. 1 p. 116 sq.: *τοῦτό γε οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' ἡ πόλις αὐτὴ συνομολογεῖ.* similiter Iulian. p. 197 C (cf. p. 299 C p. 358 D): *οὐκ ἐμὸς ὁ λόγος ἐστί.* p. 387 B (cf. p. 391 C): *οὐκ ἐμὸς ἴδιος, ἀλλὰ παλαιῶν ἀνδρῶν ὁ λόγος ἐστίν.* Hor. Sat. 2, 2, 2: *nec meus hic sermo est, sed quae praecepit Ofellus.* cf. Eur. Hel. 513: *λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος.* v. 2—4 apponit Tzetzes Exeg. Il. p. 41, 18, ubi *πῶς οὐρανός* v. 2 legitur. v. 5 fortasse *πετηνά* praeferendum. hunc locum spectare videtur Aristot. Poet. c. 15 p. 1454 a 31: *παράδειγμα — τοῦ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος — ἡ τῆς Μελανίππης ῥῆσις.*

485

Dionys. Hal. Rhet. 8, 10 vol. 5 p. 301: *ὁ μὲν Εὐριπίδου σχηματισμὸς οὗτος· ὁ δὲ τῆς Μελανίππης* '*τίς τὰ παιδία ἐξέθηκεν εἰς τὰ τοῦ πατρὸς βουφόρβια;*' ibid. 9, 11 vol. 5 p. 355 sq.: *περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι τὰ παιδία λέγει* (Melanippe) '*εἰ δὲ παρθένος φθαρεῖσα ἐξέθηκε τὰ παιδία καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις;*' ipsa poetae verba restituere vix licet. aliorum temptaminibus praeferendum quod Vitelli de Eur. El. p. 110 proposuit: *εἰ δέ τις φθαρεῖσα παρθένος | τοὺς παῖδας ἐξέθηκεν εἰς βουφόρβια | φοβουμένη τὸν πατέρα, σὺ ⟨δὲ⟩ δράσεις φόνον;*

486

δικαιοσύνας τὸ χρύσεον πρόσωπον

Aristot. Eth. Nicom. 5, 2 p. 1129 b 28: *κρατίστη τῶν ἀρετῶν*

εἶναι δοκεῖ ἡ δικαιοσύνη καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω θαυμαστός. ubi Scholion codicis Paris. 1854 ab Osanno in Wolfii Anal. vol. 2 p. 538 editum: τοῦτο ἐκ τῆς Εὐριπίδου σοφῆς Μελανίππης· λέγει γὰρ ἐν αὐτῇ 'δικαιοσύνης τὸ χρύσεον πρόσωπον'. pro τὸ χρύσεον alter codex Parisinus 2023 τηλαυγὲς χρυσοῦν praebet, ubi τηλαυγὲς ex Pindari Ol. 6, 4 immixtum esse recte vidit Meineke Exerc. philol. in Ath. II p. 25. cum Scholio illo consentiunt quae ex Anonymi comm. in Aristot. Eth. V rettulerunt V. Rose et I. Bywater in Hermae vol. 5 p. 79 et 356: καὶ οὔθ' ἕσπερος· τοῦτο ἐξ Εὐριπίδου (sic cod. Oxon., τοῦτο Εὐριπίδης cod. Paris.) τῆς σοφῆς Μελανίππης. λέγει γὰρ ἐν αὐτῇ 'δικαιοσύνας τὸ χρύσεον (sic Oxon., δικαιοσύνης τηλαυγὲς Par.) πρόσωπον'. adde Ath. XII p. 546 B: καί πού τις καὶ ποιητὴς ἐφθέγξατο 'δικαιοσύνας τὸ χρύσεον πρόσωπον'. Aristotelis ope Euripideum locum Meineke sic olim iussit restitui:

> δικαιοσύνας τὸ χρύσεον πρόσωπον·
> οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω
> θαυμαστός.

quae postea in Ath. edit. vol. 4 p. 250 in deterius mutavit. ceterum Aristotelis vestigia legit Plotinus Ennead. 1, 6, 4 p. 53 D: καλὸν τὸ τῆς δικαιοσύνης καὶ σωφροσύνης πρόσωπον καὶ οὔτε ἕσπερος οὔτε ἑῷος οὕτω καλά. extremis verbis utitur auctor Timarionis dialogi in *Notices et Extraits* vol. IX, 2 p. 179: καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω θαυμαστὸς ὡς ἡμῖν ἐκεῖνος τῷ τότε παρανατέταλκε.

487

ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός

Ar. Ran. 100 et 311, quos locos attulimus fr. 42. Schol. Ar. Ran. 100: αἰθέρα Διός] Εὐριπίδου ἐκ Μελανίππης 'ὄμνυμι δ' — Διός'. ubi ἐκ Μελανίππης Σοφοκλέους (omisso Εὐριπίδου) ed. Ald., εἰς τὴν Μελανίππην Σοφοκλῆς codex Mediol., probabiliter ἐκ Μελανίππης σοφῆς Bergler. Suidas v. παρακεκινδυνευμένον: Εὐριπίδης 'ὄμνυμι δ' — Διός'. utitur hoc versu leviter mutato Ar. Thesm. 272: ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός. ubi Scholia: ἐκ τῆς Μελανίππης Εὐριπίδου.

488

Eratosth. Catast. c. 18: Εὐριπίδης δὲ φησὶ Μελανίππην (φησὶν ἐν Μελανίππῃ Ἵππην corr. Valckenaer) εἶναι τὴν τοῦ Χείρωνος θυγατέρα, ὑπ' Αἰόλου δὲ ἀπατηθεῖσαν φθαρῆναι καὶ διὰ τὸν ὄγκον τῆς γαστρὸς φυγεῖν εἰς τὰ ὄρη, κἀκεῖ ὠδινούσης αὐτῆς τὸν πατέρα ἐλθεῖν κατὰ ζήτησιν, τὴν δ' εὔξασθαι καταλαμβανομένην πρὸς τὸ μὴ γνωσθῆναι μεταμορφωθῆναι καὶ γενέσθαι ἵππον. cf. Schol. German. Caes. Arat. p. 79, 3 et p. 141, 6. Hyginus Poet. astr. 2, 18 p. 463: *Eu*

ripides autem in Menalippa Hippen Chironis Centauri filiam Thetin antea appellatam dicit, quae cum aleretur in monte Pelio et studium in venando maximum haberet, quodam tempore ab Aeolo Hellenis filio Iovis nepote persuasam concepisse, cumque iam partus appropinquaret, profugisse in silvam. — itaque cum parens eam persequeretur, dicitur illa petisse a deorum potestate ne pariens a parente conspiceretur. quae deorum voluntate, postquam peperit, in equam conversa inter astra est constituta. Pollucis locum 4, 141 exhibuimus p. 510.

ΜΕΛΑΝΙΠΠΗ Η ΔΕΣΜΩΤΙΣ

Hyginus fab. 186: *Melanippen Desmontis*) filiam sive Aeoli, ut alii poetae dicunt, formosissimam Neptunus compressit, ex qua procreavit filios duos. quod cum Desmontes rescisset, Melanippen excaecavit et in munimento conclusit, cui potum atque cibum exiguum praestari iussit, infantes autem feris proiici. qui cum proiecti essent, vacca lactens veniebat ad infantes et ubera praestabat. quod cum armentarii vidissent, tollunt eos ut educarent. interim Metapontus rex Icariae* (*Italiae* probabiliter coni. Cuper) *a coniuge Theano petebat, ut sibi liberos procrearet aut regno cederet**). illa timens mittit ad pastores, ut infantem aliquem explicarent* (fort. *explorarent*), *quem regi subderet. qui miserunt duos inventos. ea regi Metaponto pro suis supposuit. postea autem Theano ex Metaponto peperit duos. cum autem Metapontus priores valide amaret, quod formosissimi essent, Theano quaerebat ut eos tolleret et filiis suis regnum servaret. dies advenerat ut Metapontus exiret ad Dianam Metapontinam ad sacrum faciendum. Theano occasionem nacta indicat filiis suis eos* (*eis* coni. Scheffer, *eos* ⟨*ex se natos*⟩ Lange) *suppositicios priores esse: itaque* (*aitque* M. Schmidt) *cum in venationem exierint, eos cultris interficite. illi autem matris monitu cum in montem exissent, praelium inter se commiserunt. Neptuno autem adiuvante Neptuni filii vicerunt et eos interfecerunt. quorum corpora cum in regiam allata essent, Theano cultro venatorio se interfecit. ultores autem Boeotus et Aeolus ad pastores ubi educati erant confugerunt. ibi Neptunus eis indicat ex se esse natos et matrem in custodia teneri. qui ad Desmontem pervenerunt eumque interfecerunt et matrem custodia liberarunt: cui Neptunus lumen restituit. eam filii perduxerunt in Icariam ad Metapontum regem et indicant ei perfidiam Theanus. post quae Metapontus duxit coniugio Melanippen eosque sibi filios adoptavit, qui in Propontide ex suo nomine condiderunt Boeotus Boeotiam, Aeolus Aeoliam.*

---

*) Desmontis patris Melanippae nomen ex titulo fabulae *Μελανίππη ἡ δεσμῶτις* inepte fictum esse vidit Matthiae.

**) codex *ut regno cederet.* fortasse legendum *nisi sibi liberos procrearet, ut regno cederet.*

quae hac Hygini narratione continentur, partim ad philosopham, partim ad captivam Melanippam spectant neque omnibus in rebus cum Euripide consentiunt: quo auctore non filii sed fratres Theanus Aeolum et Boeotum in venatione adorti sunt (v. fr. 495). Epigr. Cyzic. Anthol. Pal. 3, 16: *Αἴολε καὶ Βοιωτέ, σοφὸν φιλομήτορα μόχθον πρήξατε, μητέρ' ἐὴν ῥυόμενοι θανάτου· τοὔνεκα γὰρ καὶ* (*κάρτα* addit Bothe) *πεφήνατε ἄλκιμοι ἄνδρες, ὃς μὲν ἀπ' Αἰολίης, ὃς δ' ἀπὸ Βοιοτίης.* quo epigrammate celebrantur *Αἴολος καὶ Βοιωτὸς Ποσειδῶνος παῖδες ῥυόμενοι ἐκ δεσμῶν τὴν μητέρα Μελανίππην.* Strabo VI p. 265 de Metapontio disserens: *ἐνταῦθα δὲ καὶ τὸν Μετάποντον μυθεύουσι καὶ τὴν Μελανίππην τὴν δεσμῶτιν καὶ τὸν ἐξ αὐτῆς Βοιωτόν.*

489

τὸν δ' ἀμφὶ βοῦς ῥιφέντα Βοιωτὸν καλεῖν

Steph. Byz. v. *Βοιωτία* p. 173, 17 de Boeoto: *καὶ Εὐριπίδης* '*τὸν — καλεῖν*'. *βοῦν* libri, *βοῦς* Meineke coll. Eust. in Dionys. P. 426 p. 178, 13: *ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχεν ὡς ῥιφεὶς ἀμφὶ τοὺς βόας.* *ῥιφθέντα* coni. Valckenaer. ad captivam Melanippam hunc versum rettulit Wilamowitz-Moellendorff Anal. Eur. p. 190 secundum Strab. VI p. 265.

490

σύν τοι θεῷ χρὴ τοὺς σοφοὺς ἀναστρέφειν
βουλεύματ' ἀεὶ πρὸς τὸ χρησιμώτερον.

Orion Flor. 5, 3 p. 47, 7: *ἐκ Μελανίππης δεσμώτιδος Εὐριπίδου.* '*σὺν — χρησιμώτερον*'. v. 1 *σύν τοι* scripsi, *σὺν τῷ* cod. *ἀναστρέφειν* Schneidewin, *ἀνατρέφειν* cod.

491

ἴστω δ' ἄφρων ὢν ὅστις ἄτεκνος ὢν τὸ πρὶν
παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,
τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων·
ᾧ γὰρ θεοὶ διδῶσι μὴ φῦναι τέκνα,
οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν. 5

Stob. Flor. 76, 10: *Εὐριπίδου Μελανίππῃ.* '*ἴστω δ' — ἐᾶν*'. v. 3 *τηημοιραν* (sine accentu) S, *τηημοίραν* M. v. 4 *ὡς γὰρ* A. *δίδωσι* SMA, *διδῶσι* Matthiae. *φῦσαι* Matthiae. v. 5 *μάχεσθαι* Conington, *γλεῖσθαι* SM, *τλεῖσθαι* A. locum huc rettulit Matthiae.

492

ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος εἵνεκα
ἀσκοῦσι χάριτας κερτόμους· ἐγὼ δέ πως
μισῶ γελοίους, οἵτινες τήτει σοφῶν
ἀχάλιν' ἔχουσι στόματα, κεἰς ἀνδρῶν μὲν οὐ
τελοῦσιν ἀριθμόν, ἐν γέλωτι δ' εὐπρεπεῖς 5
οἰκοῦσιν οἴκους καὶ τὰ ναυστολούμενα
ἔσω δόμων σῴζουσι

Ath. XIV p. 613 D: *καὶ Εὐριπίδης δ' ἐν τῇ δεσμώτιδι Μελανίππῃ ἔφη* '*ἀνδρῶν — σῴζουσι*'. cf. Eust. Od. p. 1837, 1: *ὁ καλὸς Εὐριπίδης ἐν τῷ* '*οἱ γέλωτος εἵνεκα ἀσκοῦσι χάριτας κερτόμους εὐπρεπεῖς ὄντες ἐν γέλωτι*'. v. 1 *οὕνεκα* Ath., *εἵνεκα* Eust. v. 3 *τι εἴ τι* A, *τήτει* L. Dindorf. cf. Hesych. 4 p. 154 sive Phot. Lex. p. 587, 2: *τήτει· σπάνει*, ubi *χήτει* coni. Cobet Mnem. vol. 8 p. 70. *σοφῶν* suspectum, *τροφῶν* coni. Enger Adnot. ad trag. Gr. fr. p. 14. v. 4 *καὶ εἰς* A. *ἀστῶν* Meineke Ath. vol. 4 p. 289. v. 5 *τελοῦσ' ἀριθμόν* Herwerden *Revue de philol.* II p. 56. *ἐκπρεπεῖς* vel *εὐτρεπεῖς* coni. Meineke. v. 6 *οἰκοῦσι δ' οἴκους* ante Meinekium.

493

ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος·
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἶσχος γυναιξὶ καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' εἰς γάμους
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν. 5

Stob. Flor. 69, 19: *Εὐριπίδου ἐν* (sic SM, *ἐν* om. A) *Μελανίππῃ*. '*ἄλγιστόν — φρονεῖν*'. v. 1 *ἄλγιστον* ex *ἄριστον* corr. in S pr. m. v. 2 *σφαλεῖσι* S. v. 3 *ψόγον* ex *γάμον* corr. in S pr. m. locum huc referendum esse docet fr. 494.

494

τῆς μὲν κακῆς κάκιον οὐδὲν γίγνεται
γυναικός, ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις.

Stob. Flor. 69, 11: *Εὐριπίδου Μελανίππης* (sic S, *μελανίππη* MA). '*τῆς μὲν — φύσεις*'. Porphyrius in Euseb. P. E. X p. 466 D: *Εὐριπίδης δὲ ἐν Μελανίππῃ* (*μελανίππω* libri plerique) *τῇ δεσμώτιδι* '*τῆς μὲν — φύσεις*'. v. 1 *οὐδὲν γίγνεται* (*γίνεται* Eus. et Stobaei SM) verba vitiosa, fortasse scribendum *οὐκ ἔνεστ' ἰδεῖν* (cf. Soph. El. 876 Men. mon. 161). v. 3 *δ' αἱ*] *δ' αὖ* Stobaei M.

495

Aa — — ΛΥΝ
— —
— ΟΙ

Ab ΤΙCΗΝΟ . . . . ΙЄΘЄΙCЄΜΟΙ
ωCΔΟΥΚЄΦΑΙΝΟΜЄCΘΑCΙΓΑΔЄΙΧΟΜЄΝ
ΠΡΟCωΠΡΟCΑΥΤΟΝΠΑΛΙΝΥΠΟCΤΡЄΨΑCΠΟΔΑ
ΧωΡЄΙΔΡΟΜΑΙΑΝΘΗΡ'ЄΛЄΙΝΠΡΟΘΥΜΟCωΝ
ΒΟΑΙΔЄ·ΚΑΝΤωΔ'ЄΞЄΦΑΙΝΟΜЄCΘΑΔΗ 5
ΟΡΘΟCΤΑΔΟΝΛΟΓΧΑΙCЄΠЄΙΓΟΝΤЄCΦΟΝ—
ΤωΔЄΙCΙΔΟΝΤЄΔΙΠΤΥΧΟΙΝΘЄΙΟΙΝΚΑΡ—
ΗCΘΗCΑΝ·ЄΙΠΟΝΘ'ЄΙΑCΥΛΛΑΒЄCΘ'ΑΓΡΑ—
ΚΑΙΡΟΝΓΑΡΗΚЄΤЄ ΟΥΔΥΠωΠΤЄΥΟΝ—
ΦΙΛωΝΠΡΟCωΠωΝЄΙCΟΡωΝΤЄCΟ— 10
ΟΙΔ'ЄΙCΤΟΝΑΥΤΟΝΠΙΤΥΛΟΝΗΠЄΙΓ—
ΠЄΤΡΟΙΤ'ЄΧωΡΟΥΝΧЄΡΜΑΔЄCΘΗ—
ЄΚЄΙΘЄΝ·ΟΙΔЄΚЄΙΘЄΝ·ωCΔ'ΗЄ—
CΙΓΗΤ'ΑΦΗΜωΝΓΝωΡΙCΑΝΤ—
ΛЄΓΟΥCΙΜΗΤΡΟCωΚΑCΙΓΝΗ— 15
ΤΙΔΡΑΤ'ΑΠΟΚΤЄΙΝΟΝΤЄCΟ—
ΦωΡΑCΘЄΠΡΟCΘЄωΝΔΡΑΤ—
CωΔΑΥΤΑΔЄΛΦωΙΧЄΡΜ—
ΛЄΓΟΥCΙΘ'ωCЄΦΥCΑ—
ΚΑΙΟΥΔЄΙΤΥΡΑΝΝ— 20
ΠΡЄCΒЄΙΑЄΧΟΝΤ—
ΚΑΠЄΙΤΑΔ'ЄΙCΙ—
. ΥΛΗΜΜ'ЄΧΟ—
. . . . . . ΡΟCΔ
. . . . CΥΝ 25

Ba ЄCΦΗΛЄΤЄΙCΓΗΝΙ . . . . Φ . . ΛЄΤΟ
ΗΜωΝΔ'ЄΧωΡЄΙΚωΦΑΠΡΟCΓΑΙΑΝΒЄΛΗ
. ΥΟΙΝΔ'ΑΔЄΛΦΟΙΝCΟΙΝΤΟΝΑΥΝЄωΤЄΡΟΝ
. ΓΧΗΙΠΛΑΤЄΙΑΙCΥΟΦΟΝωΙΔΙΗΠΑΤΟC
. . . . ΑCЄΔωΚЄΝЄΡΤЄΡΟΙCΚΑΛΟΝΝЄΚΡΟΝ 30
. . . . . ΤΟCΟCΠЄΡΤΟΝΠΡΙΝЄΚΤЄΙΝЄΝΒΑΛωΝ
. . . . . . ΘЄΝΗΜЄΙCΟΙΛЄΛΙΜΜЄΝΟΙΦΙΛωΝ
. . . . . . ΠΟΔ'ΑΛΛΟCΑΛΛΟC'ЄΙΧΟΜЄΝΦΥΓΗΙ
. . . . ΟΝΜЄΝΟΡЄΟCΥΛΙΜωΙΦΟΒΗΙ
. . . . ΤΑΤΟΝΔЄΠЄΥΚΙΝωΝΟΖωΝЄΠΙ 35
. . . . ΑΓΓΑCΔΥΝΟΝ·ΟΙΔ'ΥΠЄΥCΚΙΟΥC
. . . . ΘΙΖΟΝΤωΔ'ΟΡωΝΤЄΟΥΚΗΞΙΟΥΝ
. . . . ΥЄΙΝΦΑCΓΑΝΟΙCЄΛЄΥΘЄΡΟΙC
. . . . ωΝΚΑCΙΓΝΗΤωΝΚΛΥЄΙC

. . . . ΟΙΔ'ΟΤѠΙϹΚΟΠЄΙΝΧΡ.ѠΝ	40
. . . . ΥϹΓΑΡΑΝΔΡЄΙΟΥϹΦΥϹΙΝ	
. . . . ΝΚЄΝѠΝΔΟΞΑϹΜΑΤѠΝ	
. . . . ЄϹΤЄΡΟΥϹΛЄΓѠ	
. . . . ΚΑΚΟΙϹΚΑΚΑ	
. . . . ΧЄΙΔΟΜΟΙϹ	45
. . . . ΝΤЄϹϹЄΘЄΝ	
. . . . ЄΝЄΛΠΙΔѠΝ	
. . . . ΤΑΙΜЄΓΑ	
. . . . ΑΙΘЄ—	

Bb ΤΟΙ

Graeca verba quae adscripsimus edidit a. 1880 Fr. Blass Mus. Rheu. 35 p. 290—297 ex superstite uno eoque non integro folio codicis membranei, quod cum aliis quibusdam membranarum frustulis a. 1879 in Aegypto emptum erat et nunc in Aegyptiaco Museo Berolini servatur. codicem illum quarto post Christum saeculo scriptum esse coniecit C. Graux. literae sunt elegantes et bene servatae: correctiones nullae praeter v. 11, ubi cum ΠΤΤΙΛΟΝ pr. m. scriptum esset, restitutum est ΠΙΤΤΛΟΝ. dubias literas punctis infra lineam positis indicavi. dimidium fere quod mansit folium oblique conscissum est, ita ut in priore pagina (Ab) fines versuum, in posteriore (Ba) initia plerorumque versuum perierint. ex altera parte (Aa et Bb) dimidiati folii non supersunt nisi perpaucae literae. inter Ab et Ba quot versus interciderint, non potest accurate definiri: sed apparet nuntii orationem quae in Ab habetur, in Ba continuari. cuius poetae et cuius fabulae versus sint, nulla potest esse dubitatio: agnovit enim Fr. Blass v. 40—43 huius fragmenti esse eosdem quos Stobaeus Flor. 86, 9 ex Euripidis Melanippa affert, cui fabulae duarum paginarum argumentum omnino convenit. quae in Bb extiterunt, maiore intervallo (fortasse, ut Blass conicit, tribus foliis interpositis) a Ba seiuncta erant, neque improbabile est quod Blass suspicatur, extremos Melanippae versus in Bb fuisse perscriptos: quae coniectura si vera est, Aa alius fabulae fuit. Melanippae verba, quibus restituendis post principem editorem operam navarunt H. Weil *Revue de philol.* 4 p. 121—124 et N. Wecklein, talia fere fuisse crediderim.

⟨ΑΓΓΕΛΟΣ.⟩ — — — —

τίς ἦν ὁ ⟨τυφλὰ τάδε βέλεμν'⟩ ἐφεὶς ἐμοί;
ὡς δ' οὐκ ἐφαινόμεσθα, σῖγα δ' εἴχομεν,
πρόσω πρὸς αὐτὸν πάλιν ὑποστρέψας πόδα

χωρεῖ δρομαίαν, θῆρ' ἑλεῖν πρόθυμος ὤν,
βοᾷ δέ· κἀν τῷδ' ἐξεφαινόμεσθα δὴ 5
ὀρθοσταδὸν λόγχαις ἐπείγοντες φόν<ον.
τὼ δ' εἰσιδόντε δίπτυχον θείοιν κάρ<α
ἥσθησαν, εἶπόν θ'· εἶα συλλάβεσθ' ἄγρα<ς,
καιρὸν γὰρ ἥκετ'· οὐδ' ὑπώπτευον <δόλον,
φίλων προσώπων εἰσορῶντες ὄ<μματα. 10
οἳ δ' εἰς τὸν αὐτὸν πίτυλον ἤπειγ<ον δορός,
πέτροι τ' ἐχώρουν χερμάδες θ' ἡ<μῶν πάρα,
ἐκεῖθεν, οἳ δ' ἐκεῖθεν· ὡς δ' ἦε<ι μάχη
σιγή τ' ἀφ' ἡμῶν, γνωρίσαντ<ε δὴ τὸ πᾶν
λέγουσι· μητρὸς ὦ κασίγνητ<οι φίλης, 15
τί δρᾶτ'; ἀποκτείνοντες ο<ὓς ἥκιστα χρῆν
φωρᾶσθε· πρὸς θεῶν δρᾶτ<ε μηδαμῶς τάδε.
σὼ δ' αὐταδέλφω χερμ<άδ' αἴρουσιν χεροῖν,
λέγουσί θ' ὡς ἔφυσα<ν ἐκ δούλης ποθέν,
κοὐ δεῖ τύραννα<α σκῆπτρα καὶ θρόνους λαβεῖν 20
πρεσβεῖ' ἔχοντ<ας δυσγενεῖς τῶν εὐγενῶν.
κἀπεὶ τάδ' εἰσ<ήκουσαν . . . . .
— — — —
— — — —

* * *

ἔσφηλέ τ' εἰς γῆν, <τὸν βίον τ' ἀ>φ<εί>λετο· 26
ἡμῶν δ' ἐχώρει κωφὰ πρὸς γαῖαν βέλη.
δ>υοῖν δ' ἀδελφοῖν σοῖν τὸν αὖ νεώτερον
λό>γχῃ πλατείᾳ συοφόνῳ δι' ἥπατος
παίσ>ας ἔδωκε νερτέροις καλὸν νεκρὸν 30
Βοιω>τός, ὅσπερ τὸν πρὶν ἔκτεινεν βαλών.
κἀντεῦ>θεν ἡμεῖς οἱ λελειμμένοι φίλων
κοῦφον> πόδ' ἄλλος ἄλλοσ' εἴχομεν φυγῇ·
εἶδον δὲ τ>ὸν μὲν ὄρεος ὑλίμῳ φόβῃ
κρυφθέν>τα, τὸν δὲ πευκίνων ὄζων ἔπι· 35
οἳ δ' εἰς φάρ>αγγ' ἔδυνον, οἳ δ' ὑπ' εὐσκίους
θάμνους κα>θῖζον· τὼ δ' ὁρῶντ' οὐκ ἠξίουν
δούλους φονε>ύειν φασγάνοις ἐλευθέροις.
τύχην τοιαύτην σ>ῶν κασιγνήτων κλύεις.
ἐγὼ μὲν <οὖν> οὐκ οἶδ' ὅτῳ σκοπεῖν χρεὼν 40

τὴν εὐγένειαν· τοὺς γὰρ ἀνδρείους φύσιν
καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων,
κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.

ΧΟΡΟΣ. αἰαῖ, κέκρανται δεινὰ πρὸς⟩ κακοῖς κακά,
οὐδ' ἠδόμεσθ' ἀγῶνι δυστυ⟩χεῖ δόμοις 45
δισσῶν ἀδελφῶν μόρον ἀκούον⟩τες σέθεν.

ΘΕΑΝΩ. οἴμοι τὸ πᾶν δῆτ' ἐσφάλημ⟩εν ἐλπίδων
— — — — — — ται μέγα

Supplementa pleraque debentur Blassio, itaque quae alii correxerint commemorasse sufficiet. v. 1 ὁ τυφλὸν τόδε βέλος μεθεὶς ἐμοὶ scripsit Weil, ubi cum μεθιέναι minus aptum videatur, τυφλὰ τάδε βέλεμν' ἐφεὶς praetuli. v. 3 αὐτὸν de apro intellegit Wecklein, οἶμον corr. Weil: at οἶμον δρομαίαν dubito num ferri possit. v. 4 δρομαῖος scribendum arbitror, δρομαῖον coni. Blass. v. 6 legitima caesura caret: λόγχαισι τεύξοντες φόνον temptabam, λόγχαισι πράξοντες φόνον Humphreys *American journal of philol.* II p. 222. v. 7 δίπτυχον Weil, διπτυχοιν cod. v. 8 de εἶα forma cf. Schol. A Il. *I* 262. v. 11 πυτιλον cod. pr., πιτυλον corr. δορὸς supplevit Weil. v. 13 μάχη Weil, βέλη malebat Blass. v. 16 ἥκιστ' ἐχρῆν Weil, ego ἥκιστα χρῆν praetuli. v. 17 δρᾶτε μηδαμῶς τάδε vel δρᾶτε μὴ τὰ μὴ θέμις Weil. v. 19 ἐκ δούλης νόθοι malim. v. 20 et 21 supplevit Weil, sed v. 20 λαβεῖν Wecklein scripsit, ubi κρατεῖν Weil proposuerat. v. 22 κἄπειτα δ' εἰς scripsit Blass, ego κἀπεὶ τάδ' εἰσήκουσαν. versibus qui post v. 22 interciderunt nuntius rettulerat Melanippae filios ad pugnam se accinxisse et fratrem Theanonis natu maiorem cecidisse telo percussum. v. 26 καὶ πνοὰς ἀφείλετο Weil. v. 31 Βοιωτός Blassii supplementum incertissimum, ἐκεῖνος praefert Weil. v. 32 λελιμμενοι cod. v. 33 θᾶσσον supplevit Blass, ego κοῦφον praetuli. v. 34 εἶδον δὲ vel ὁρῶ δὲ Weil. v. 35 κεύθοντα vel πτώσσοντα Weil. v. 36 φαραγγασ δυνον cod., φάραγγ' ἔδυνον Weil. v. 37 θάμνους ego supplevi, πέτρους scripsit Blass, πέτρας Weil. v. 39 τοιάνδε μοῖραν Blass, τύχην τοιαύτην vel μόρον τοιοῦτον mihi potius visum est. v. 40—43 affert Stob. Flor. 86, 9: Εὐριπίδου Μελανίππης. 'ἐγὼ μὲν — λέγω'. v. 40 ἐγὼ μὲν οὐκ οἶδ' ὅπως δὴ Stob., ἐγὼ μὲν οὐδὲν οἶδ' ὅπως Grotius, ἐγὼ μὲν οὖν οὐκ οἶδ' ὅπως Matthiae, ἐγὼ μὲν οὐ κάτοιδ' ὅπως Duentzer. ego a. 1856 ὅπως in ὅτῳ mutandum esse conieci, quae suspicio codicis Aegypt. auctoritate confirmatur. v. 42 τέκνων Stobaei libri SMA, κενῶν cod. Aegypt. ut coniecerat Gesner. v. 44 non μεγάλα cum Blassio, sed δεινὰ scripsi. v. 47 supplevit Wecklein, sed δῆτ' ego scripsi, ubi ille ὡς proposuerat.

496

Ath. XII p. 523 D: *ὠνομάσθη δ' ἡ Σῖρις, ὡς μὲν Τίμαιος φησὶ καὶ Εὐριπίδης ἐν δεσμώτιδι [ἢ] Μελανίππῃ, ἀπὸ γυναικός τινος Σίριδος.*

497

τείσασθε τήνδε· καὶ γὰρ ἐντεῦθεν νοσεῖ
τὰ τῶν γυναικῶν· οἳ μὲν ἢ παίδων πέρι
ἢ συγγενείας εἵνεκ' οὐκ ἀπώλεσαν
κακὴν λαβόντες· εἶτα τοῦτο τἄδικον
πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω, 5
ὥστ' ἐξίτηλος ἀρετὴ καθίσταται.

Stob. Flor. 74, 6: *Εὐριπίδου Μελανίππῃ.* '*τίσασθε — καθίσταται*'. v. 1 *τίσασθε* vulgo, *τείσασθε* scripsi. *ἐντεῦθεν* Elmsley Annot. in Iph. T. 1010, *ἐνταυθοῖ* libri. v. 2 *παίδων ὕπερ* Herwerden *Revue de philol.* II p. 56. v. 3 *οὕνεκ'* S, *οὔνεκ'* M, *εἵνεκ'* A. v. 4 *τοῦτο τἄδικον* Porson Adv. p. 304, *δ' οὐ τότ'* libri, *εἶτα δ' ὧδε τἄδικον* Elmsley. v. 5 *ἐπερρύηκε* Burges in Aesch. Eum. 213. v. 6 *ὡς ἐξίτηλος ἡ ἀρετὴ* libri, corr. Elmsley.

498

πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος.

Stob. Flor. 73, 10: *Εὐριπίδου Μελανίππης.* '*πλὴν — γένος*'. Gnomol. cod. Vrbin. *Π* 8 p. 444: *πλὴν τῆς τεκούσης μὴ λαλεῖν* (l. *φιλεῖν*) *ἄλλην θέλε.*

499

μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος
ψάλλει, κενὸν τόξευμα, καὶ κακῶς λέγει·
αἳ δ' εἴσ' ἀμείνους ἀρσένων, ἐγὼ λέγω.

Vita Eur. in Westerm. *Βιογρ.* p. 136, 73: *ἐν γοῦν τῇ Μελανίππῃ* (*μεναλίππῃ* codex) *περὶ αὐτῶν τάδε φησί* '*μάτην — λέγω*' *καὶ τὰ ἑξῆς.* v. 2 *καὶ κακὰς λέγει* coni. Enger Mus. Rhen. 23 p. 688, *κἀκδίκως ψέγει* F. G. Schmidt Sat. crit. p. 18, *κοὐκ ἐπίσκοπον* Wecklein *Philol. Anz.* 10 p. 164. v. 3 *αἱ δ'*] *ὡς δ'* Vitelli de Eur. El. p. 80. *εἴσ'* Rossignol, *εἰς* codex. *ἐμῷ λόγῳ* coni. Fritzsche, *ἔγνωκ' ἐγώ* Mekler Eurip. p. 64, *ἔγνων ἐγώ* Vitelli, ipse *ᾗ ἐγὼ λέγω* proposui (cf. Soph. El. 338). ad captivam Melanippam hunc locum refert Th. Zieliński *Gliederung der altatt. Komödie* p. 103.

500

ὅστις δ' ἄμεικτον πατέρ' ἔχει νεανίας
στυγνόν τ' ἐν οἴκοις, μεγάλα κέκτηται κακά.

Stob. Flor. 83, 3: *Εὐριπίδου Μελανίππῃ* (sic MA, fabulae nomen om. S). '*ὅστις — κακά*'. v. 1 *ἀμείλικτον* libri, *ἄμικτον* Heath, *ἄμεικτον* ego praetuli.

501

γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,
μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει
μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.

Stob. Flor. 70, 1: *Εὐριπίδου Μελανίππης*. '*γάμους — δόμους*'. v. 1 *ὅσαι* coni. Bergk. *παιδεύουσι* A. v. 3 *ἢ ἀσπούδαστος* M.

502

ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν·
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασιν
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων 5
ἀνόνητος· αἱ γὰρ διαλύσεις ⟨οὐ⟩ ῥᾴδιαι.

Stob. Flor. 70, 4: *τοῦ αὐτοῦ* (sic SA, *εὐριππίδ* M) *Μελανίππῃ*. '*ὅσοι — ῥᾴδιαι*'. v. 1 *δ' ἢ* Gesner, *δὴ* SA, *δη* (*η* in rasura) M. *ὅσοι γαμοῦσ' ὁρῶντες ἐς κρεῖσσον γένος* coni. Meineke. v. 2 *φρονεῖν* F. G. Schmidt Sat. crit. p. 18 sive *Krit. Stud.* 2 p. 471. v. 3 *ἐν δώμασι* Gesner, *ἐν τοῖς δώμασι* SMA, *ἐν τοῖς δόμοις* possis conicere. *κρατοῦντα δώματα* proposuit Enger Adnot. ad trag. Gr. fr. p. 14. v. 6 *ἀνόνητος* S, sed prius *ο* ex *ω* corr. pr. m., *ἀνώνητος* M. *αἱ γὰρ*] *αἱ δὲ* Gesn. marg. *οὐ* addidit Scaliger.

503

μετρίων λέκτρων, μετρίων δὲ γάμων
μετὰ σωφροσύνης
κῦρσαι θνητοῖσιν ἄριστον.

Stob. Flor. 72, 13: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Μελανίππης* (eclogam om. S). '*μετρίων — ἄριστον*'. v. 1 *μέτριον λέκτρων* A. *δὲ*] *γε* M, unde *τε* olim conieci.

504

ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος
ὁ μικρὸς εὔκρας ἐγένεθ', οἷς δ' ὄγκος κακόν.

Stob. Flor. 94, 1: *Εὐριπίδου Μελανίππῃ.* '*ὦ — κακόν*'. v. 2 *εὔκρατος* SMA, *εὔκρας* Valckenaer. *ἐγένετο δ'* SMA, *ἐγένεθ' οἷς δ'* Porson in Eur. Med. 1363. *ὄγκος*] *ὄγδοος* A. *καλόν* G. Schmid Eurip. p. 22.

505

τὰ προσπεσόντα δ' ὅστις εὖ φέρει βροτῶν,
ἄριστος εἶναι σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.

Stob. Flor. 108, 24: *Εὐριπίδου Μελανίππης.* '*τὰ — δοκεῖ*'. Plut. Consol. ad Apollon. c. 29 p. 116 F: *καὶ ὁ Εὐριπίδης* '*ὅστις δ' ἀνάγκῃ — ἐπίσταται*' (fr. 965) *καὶ ἐν ἄλλοις* '*τὰ — δοκεῖ*'. v. 1 *τυγχάνοντα* Stob., *προσπεσόντα* Plut. v. 2 *σοφὸν νομίζω* Stob., *ἄριστος εἶναι* Plut. *τ' ἐμοὶ* Stob., *τέ μοι* Plut. cum extremis verbis cf. Eur. Med. 884: *νῦν οὖν ἐπαινῶ σωφρονεῖν τέ μοι δοκεῖς.*

506

δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
γράφειν τιν' αὐτά, Ζῆνα δ' εἰσορῶντά νιν
θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας 5
ἐξαρκέσειεν οὐδ' ἐκεῖνος ἂν σκοπῶν
πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ Δίκη
ἐνταῦθά πού 'στιν ἐγγύς, εἰ βούλεσθ' ὁρᾶν.

Stob. Ecl. 1, 3, 14 a p. 54, 13: *Εὐριπίδης Μελανίππῃ.* '*δοκεῖτε — ὁρᾶν*'. v. 4 *ὁ πασοῦν* F, *ὁποσοῦν* P, *ὁ πᾶς ἂν* Grotius. v. 5 tanquam spurium abicit Herwerden Exerc. crit. p. 53. *γράφοντας* P, *γράφοντι* Enger Adnot. ad trag. Gr. fr. p. 14 sq. v. 7 *πέμπων θ' ἑκάστῳ* Herwerden. quae Stobaeus subicit, *αὗται μὲν ἀνθρώποισιν κτέ.* cum h. l. non cohaerere vidit Grotius; recepimus inter adespota (fr. 489).

507

τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι
καὶ τἀκχυθέντα συλλέγεις ἀλγήματα;

Stob. Flor. 124, 16: *Εὐριπίδου Μελανίππης.* '*τί — ἀλγήματα;*' v. 1 *τοῦ θανόντος* M. v. 2 *τ' ἐκχυθέντα* SA, *τὰ ἐκχυθέντα* M.

508

παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.

Stob. Flor. 115, 5: *Εὐριπίδου Μελανίππης.* '*παλαιὸς — κράτος*'.

509

τί δ' ἄλλο; φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.

Stob. Flor. 116, 7: *Εὐριπίδου Μελανίππης.* '*τί — ἀνήρ*'. *φωνὴ* vitiosum esse ostendit F. G. Schmidt *Krit. Stud.* 2 p. 471 sq., qui *εἴδωλον οὖν τι* conicit.

510

παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ.

Stob. Flor. 52, 3: *Εὐριπίδου Μελανίππῃ* (sic SMA, lemma om. L). '*παπαί, νέος — ἀνήρ*'.

511

δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ,
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.

Stob. Flor. 62, 38: *Εὐριπίδου Μελανίππης.* '*δοῦλον — ἐλευθέρων*'. v. 1 legitur in Flor. Monac. 130. *γὰρ* om. Flor. Mon. *διαφθείρει* Stob., *διαφθερεῖ* Flor. Mon.

512

ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ.

Stob. Flor. 30, 11: *Εὐριπίδου Μελανίππῃ* (sic SM, eclogam om. A). '*ἀργὸς — ἀνήρ*'. *ὡς ἀνὴρ κακός* malim.

513

ἴσως ἀλάστορ' οὐκ ἐτόλμησεν κτανεῖν.

Erotianus Gloss. Hippocr. p. 46, 5: *ἀλάστορες· Βακχεῖος μὲν ἐν πρώτῳ φονεῖς φησίν, ἐκ τῆς Εὐριπίδου Μελανίππης λέγοντος* '*ἴσως — κτανεῖν*'. *ἴσως* suspectum, *δείσας* coni. Pflugk. *ἀλάστορας* libri, *ἀλάστορ'* Elmsley in Eur. Med. 1338. *δισσὼ δ' ἀλάστορ'* Enger Adnot. ad trag. Gr. fr. p. 15 (cf. F. G. Schmidt *Krit. Stud.* 2 p. 472). *ἔσωσ' ἀλάστορ' οὐδ'* Conington. *ἐτόλμησε* vulgo.

514

Schol. Plat. p. 965 a 28: *Ἀδώνιδος κῆποι, ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων. ἐμνήσθη δὲ αὐτῆς καὶ Εὐριπίδης Μελανίππῃ.*

ΜΕΛΕΑΓΡΟΣ

Plutarchus q. d. Parall. Gr. et Rom. c. 26 p. 312 A: *Ἄρης Ἀλθαίᾳ συνῆλθε καὶ Μελέαγρον ποιήσας * * * ὡς Εὐριπίδης ἐν Μελεάγρῳ.* de mytho cf. Apollod. 1, 8, 2 et 3 Ovid. Met. 8, 270—545 Hygin. fab. 174 Schol. AB Il. *I* 534 548. eodem argumento enarrato Iohannes Mal. p. 166, 4 haec addit: *ὁ σοφὸς Εὐριπίδης δρᾶμα περὶ τοῦ αὐτοῦ Μελεάγρου ἐξέθετο.* probabiliter huc relatum est adespoton fr. 188. Euripidem spectare videtur Schol. Vergil. Aen. 12, 468: *has viragines dici⟨mus, . .⟩ qualis in tragoediis Atalanta traditur.* Theopompi comici Althaeam parodiam fuisse Meleagri Euripideae coni. M. Mayer de Eur. mythopoeia p. 61. Accium in Meleagro probabile est Euripideam fabulam expressisse, cf. Ribbeck *Röm. Tragöd.* p. 506 sqq. et M. Mayer de Eur. mythopoeia p. 77—83.

515

Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς
ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα·
Οἰνεὺς δ' ἀνάσσει τῆσδε γῆς Αἰτωλίας,
Πορθάονος παῖς, ὅς ποτ' Ἀλθαίαν γαμεῖ,
Λήδας ὅμαιμον, Θεστίου δὲ παρθένον. 5

Aristot. Rhet. 3, 9 p. 1409 b 10: *δεῖ δὲ τὴν περίοδον καὶ τῇ διανοίᾳ τετελεῶσθαι καὶ μὴ διακόπτεσθαι ὥσπερ τὰ Σοφοκλέους ἰαμβεῖα* '*Καλυδὼν — χθονός*' (v. 1). ubi Scholia fol. 61 b 29: '*Καλυδὼν μὲν ἥδε γαῖα*' *τοῦ Εὐριπίδου ἐστίν, κεῖται δὲ ἐν τῷ Μελεάγρῳ* '*ἐν — παρθένον*' (v. 2—5). ibidem fol. 61 a 42 versus primus affertur: *οἷόν ἐστι τὸ* '*γένοιτο, Ζεῦ, τὸν σῦν καταβαλεῖν ἐμέ*' *καὶ οἷόν ἐστι καὶ τὸ* '*Καλυδὼν — χθονός*'. Lucianus Symp. 25 vol. 3 p. 436: *καὶ Εὐριπίδης* '*Καλυδὼν — εὐδαίμονα*' (v. 1 et 2). Demetrius de eloc. c. 58 (cf. Greg. Cor. Rhet. vol. 7 p. 1214): *οἱ δὲ πρὸς οὐδὲν ἀναπληροῦντες, φησί, τὸν σύνδεσμον ἐοίκασι τοῖς ὑποκριταῖς τοῖς τὸ καὶ τὸ πρὸς οὐδὲν ἐπιλέγουσιν* (*πρὸς οὐδὲν ἔπος λέγουσιν* vulgo), *οἷον εἴ τις ὧδε λέγοι* '*Καλυδὼν — χθονός* (v. 1), *φεῦ, ἐν — εὐδαίμονα* (v. 2), *αἶ αἶ*'. v. 1 e Meleagro laudatur Schol. Ar. Ran. 1238 (vide fr. 516). ibi *Πελοπείας* Demetrius et libri non nulli Aristot., *Πελοπίης* v. l. in Luciano. v. 2 *ἐν ἀντιπορέμοις πάντ' ἔχουσιν εὐδαιμονίαν* Schol. Aristot. *εὐδαίμονος* Greg. Cor. v. 5 *Λήδης* et *Θετίου* Schol. Aristot. ed.

516

Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν
θύων ἀπαρχάς

Ar. Ran. 1238: ΕΥΡ. — *Οἰνεύς ποτ' ἐκ γῆς* ΑΙΣΧ. *ληκύθιον ἀπώλεσεν.* ΕΥΡ. *ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον. 'Οἰνεύς — ἀπαρχάς'* ΑΙΣΧ. *ληκύθιον ἀπώλεσεν.* Scholia v. 1238: *Οἰνεύς ποτ' ἐκ γῆς. ἔστι μὲν ἐκ Μελεάγρου μετὰ ἱκανὰ τῆς ἀρχῆς· ἡ δὲ ἀρχὴ τοῦ δράματος 'Καλυδὼν — χθονός'* (fr. 515). quae sequuntur *τὸ δὲ λεῖπον τοῦ στίχου 'οὐκ ἔθυσεν Ἀρτέμιδι'* ab antiquis libris absunt. v. 2 cf. Eust. Il. p. 770, 21 (Schol. Il. *I* 535 in Anecd. Paris. vol. 3 p. 240, 12): *Οἰνεὺς ἀπαρχὰς θύων κατὰ Εὐριπίδην.* Apollod. 1, 8, 2: *τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων.* Antoninus Liberalis c. 2: *ἐπεὶ δ' ἔθυεν* (Oeneus) *ἀπαρχὰς ὑπὲρ τῆς χώρας.* ceterum his versibus genuinum fabulae initium contineri, fr. 515 minoris Euripidis esse coni. Fritzsche in Ar. Ran. p. 367.

517

Μελέαγρε, μελεαν γάρ ποτ' ἀγρεύεις ἄγραν

Etym. M. p. 576, 30: *Μελέαγρος· ἐτυμολογεῖ Εὐριπίδης 'Μελέαγρε — ἄγραν'.* cf. Proclus in Plat. Cratyl. c. 83 p. 43 (Anecd. Bekk. p. 1163): *ἵνα μὴ τὸν Μελέαγρον ὥσπερ Εὐριπίδης κακῶς ἐτυμολογήσῃ διὰ τὴν μελέαν ἄγραν. ἀγρεύσεις* coni. Valckenaer Diatr. p. 138.

518

καὶ κτῆμα δ', ὦ τεκοῦσα, κάλλιστον τόδε,
πλούτου δὲ κρεῖσσον· τοῦ μὲν ὠκεῖα πτέρυξ,
παῖδες δὲ χρηστοί, κἂν θάνωσι, δώμασιν
καλόν τι θησαύρισμα τοῖς τεκοῦσί τε
ἀνάθημα βιότου κοὔποτ' ἐκλείπει δόμους. 5

Stob. Flor. 75, 2: *Εὐριπίδου Μελεάγρῳ. 'καὶ κτῆμα — δόμους'.* v. 1 *ἓν κτῆμα* malim. v. 3 *κἂν θάνωσι* verba vitiosa, *κἂν στενοῖσι* vel *πένησι* coni. Heath. *δώμασι* vulgo. v. 4 *καλόν τι* Wagner, *καλὸν τὸ* SM, *καλόν τε* A. v. 5 *καὶ οὔποτ'* M. *ἐκλίπει* MA. Meleagri sunt verba sicut fr. 519 et 520.

519

δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ
ἀριθμόν, ἀλλ' ἄπεισι κἂν παρῶσ' ὅμως.

Stob. Flor. 8, 3: *Εὐριπίδου Μελεάγρῳ. 'δειλοὶ — ὅμως'.* v. 2 *παρῶσιν* SMA.

520

ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις
χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν,
ἐσθλοῖν δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον.

Stob. Flor. 72, 12: *Εὐριπίδου Μελεάγρῳ* (sic MA, eclogam om. S). '*ἡγησάμην — ἔκγονον ὄν*'. v. 3 *ἄτ' ἀμφοῖν* M, *ἅτ' ἀμφοῖν* A, *ἀπ' ἀμφοῖν* Dobree Adv. 2 p. 127 et Gaisford. *ἀμφοῖν ἐκγόνονον* M, *ἀμφοῖν ἔκγονον ὄν* A, *ἂν φῦναι γόνον* Valckenaer Diatr. p. 142.

521

ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν
ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός.

Stob. Flor. 74, 12: *Εὐριπίδου Μελεάγρῳ* (sic MA, *με* poetae nom. om. S). '*ἔνδον — μηδενός*'. v. 1 *μένουσαν σὴν γυναῖκ'* coni. Herwerden Exerc. crit. p. 55, *μένουσάν τοι γυναῖκ'* L. Dindorf Thes. I, 2 p. 1091 D. *γυναῖκα* SM. *εἰπεῖν χρεὼν* coni. Heimsoeth, *αἰνεῖν χρεὼν* Ribbeck *Röm. Tragöd.* p. 507, *εἶναι δόκει* Herwerden. v. 2 *θύρασι δ' ἄξιαι* coni. Gesner, *θυραῖοι δ' ἄξιαι* Valckenaer Diatr. p. 143, *θύρασι δ' ἀξία* Dobree Adv. 2 p. 127.

522

εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος,
γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί·
ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες
κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι.

Stob. Flor. 73, 29: *Εὐριπίδου Μελεάγρῳ.* '*εἰ κερκίδων — ἔτι*'. v. 1 *μέλλοι* S. v. 3 *ἐπιστήμης* num sanum sit dubitat Gomperz. *γὰρ ἐκπεπτ.*] *παρεκπεπτωκότες* coni. Valckenaer Diatr. p. 143, *ἂν ἐκπεπτωκότες* melius Dobree Adv. 2 p. 127. *ἐμπεπτωκότες* S. v. 4 *οὔθ'* SMA, *οὐδ'* Trinc., cf. Elmsley in Soph. Oed. C. 367. *ὑμεῖς* SMA, *ἡμεῖς* cod. Voss. Fritzsche et Welcker Tragod. p. 755 ante v. 1 collocant '*πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν εὔτακτος πόλις*' verba desumpta ex Ar. Av. 829. similis sententia praecessisse videtur, sed Aristophanem suspicor Sophoclis fr. 622, 1 aut Eur. Suppl. 447 expressisse.

523

κερκίδος ἀοιδοῦ μελέτας

Ar. Ran. 1316: *ἱστότονα πηνίσματα, κερκίδος ἀοιδοῦ μελέτας.* ubi Schol. v. 1315: *τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου.* Schol.

cod. Ven. v. 1316: καὶ ταῦτα Εὐριπίδου. Fritzsche in Ar. Ran. p. 401 haec Euripidi tribuit: αἵ θ' ὑπωρόφιοι κατ' οἴ-|κους εἱλίσσετε δακτύλοις | ἱστότονα πηνίσματα, | κερκίδος ἀοιδοῦ μελέτας.

524

ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη,
τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.

Stob. Flor. 64, 10: Εὐριπίδου ἐκ Μελεάγρου. 'ἡ — σωφρονεῖν'.

525

εἰ δ' εἰς γάμους ἔλθοιμ', ὃ μὴ τύχοι ποτέ,
τῶν ἐν δόμοισιν ἡμερευουσῶν ἀεὶ
βελτίον' ἂν τέκοιμι λήμασιν τέκνα·
ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ
σκληρὰς διαίτας οἱ γόνοι βελτίονες. 5

Stob. Flor. 70, 6: Εὐριπίδου Μελεάγρῳ (sic MA, eclogam om. S). 'εἰ δ' — βελτίονες'. v. 1 ἔλθοιμι M. de formula ὃ μὴ τύχοι ποτέ Fr. Schroeder attulit Heracl. 511 et Phoen. 571. v. 2 ἐν πόνοισιν MA, ἐν δόμοισιν Musgrave, ἔνδον ἀπόνως F. G. Schmidt *Krit. Stud.* 2 p. 473. ἀεὶ] τινὶ Valckenaer Diatr. p. 143. v. 3 βέλτιον MA, βελτίον' Valckenaer. v. 3 δώματι MA, δώμασιν Valckenaer, σώμασιν Musgrave, λήμασιν O. Hense *Krit. Bl.* 1 p. 74 sq. v. 4 et 5 cum lemmate Εὐριπίδου Μελεάγρῳ habet Stob. Ecl. 2, 31, 21 p. 205, 11 et om. fabulae nom. Clemens Alex. Strom. VI p. 741. v. 4 ὅστις ἐκπονεῖ] ἐκπονουμένων Clemens. v. 5 οἱ πόνοι Stob. Ecl. et Clem. Atalantae haec verba videntur sicut fr. 526 et 527.

526

τό τοι κράτιστον, κἂν γονῇ κακός τις ᾖ,
τοῦτ' ἔστιν ἀρετή· τὸ δ' ὄνομ' οὐ διαφθερεῖ.

Orion Flor. 7, 1 p. 50, 29: ἐκ Μελεάγρου Εὐριπίδου. 'τὸ — διαφέρει'. v. 1 τὸ τ.. codex, τό τοι Schneidewin. γυνὴ cod., γονῇ Conington. κράτι . . ἡ cod., κράτιστον ᾖ Schneidewin, κακός τις ᾖ Gomperz. v. 2 τοῦτ' ἔστ' cod. τὸ δὲ ὄνομα cod. διαφέρει cod., διαφθερεῖ Conington.

527

μόνον δ' ἂν ἀντὶ χρημάτων οὐκ ἂν λάβοις
γενναιότητα κἀρετήν· καλὸς δέ τις
κἂν ἐκ πενήτων σωμάτων γένοιτο παῖς.

Stob. Flor. 87, 5: *Εὐριπίδου Μελεάγρῳ.* '*μόνον — παῖς*'. v. 1 *μόνον δ' ἓν* malim. *αὐτὰ* SMA, *ἀντὶ* Iacobs Lect. Stob. p. 130. v. 2 *κἀρετήν* S, *κἀρήν* MA. *κάλλος* A pr. m. v. 3 *πονηρῶν* vulgo, *πενήτων* F. G. Schmidt Anal. Soph. p. 133. *δωμάτων* malim.

528

μισῶ γυναῖκα . ., ἐκ πασῶν δὲ σέ,
ἥτις πονηρὰ τἄργ' ἔχουσ' ⟨εἶτ'⟩ εὖ λέγεις.

Stob. Flor. 73, 31: *Εὐριπίδου Μελέαγρος* (sic M, *μελ*ᵋ S, *τοῦ αὐτοῦ* A). '*μισῶ — λέγεις*'. v. 1 *γυναῖκα* SM, *γυναῖκας* A, *γυναῖκας πλεῖστον* coni. Meineke, ego *γυναῖκα πᾶσαν* temptabam. *πάσας στυγῶ γυναῖκας* Vitelli de Eur. El. p. 109. v. 2 *τὰ ἔργ'* SMA. *ἔχουσ' εὖ* S, *ἔχουσα εὖ* MA, *ἔχουσ' εἶτ' εὖ* Dobree in Ar. Plut. 278.

529

ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν
καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις.

Stob. Flor. 62, 3: *Εὐριπίδου Μελεάγρῳ* (*μελ*ᵋ S). '*ὡς — δόμοις*'. v. 1 in Men. mon. 556 sic scribitur: *ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.*

530

Τελαμὼν δὲ χρυσοῦν αἰετὸν πέλτης ἔπι
πρόβλημα θηρός, βότρυσι δ' ἔστεψεν κάρα,
Σαλαμῖνα κοσμῶν πατρίδα τὴν εὐάμπελον.
Κύπριδος δὲ μίσημ', Ἀρκὰς Ἀταλάντη, κύνας
καὶ τόξ' ἔχουσα, πελέκεως δὲ δίστομον 5
γένυν ἔπαλλ' Ἀγκαῖος· οἱ δὲ Θεστίου
παῖδες τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός,
τὸ δ' ἐν πεδίλοις, ὡς ἐλαφρίζον γόνυ
ἔχοιεν, ὃς δὴ πᾶσιν Αἰτωλοῖς νόμος.

Macrobius Sat. 5, 18, 17: *morem vero Aetolis fuisse uno tantum modo pede calceato in bellum ire ostendit clarissimus scriptor Euripides tragicus, in cuius tragoedia quae Meleager inscribitur, nuntius inducitur describens quo quisque habitu fuerit ex ducibus qui ad aprum capiendum convenerant. in eo hi versus sunt* '*Τελαμὼν — νόμος*'. § 18: *animadvertitis diligentissime verba Euripidis a Marone servata; ait enim ille* '*τὸ λαιὸν — ποδός*' (v. 7). mox § 20: *ipsa Aristotelis verba ponam ex libro quem de poetis secundum scripsit, in quo de Euripide loquens sic ait: τοὺς δὲ Θεστίου κόρους τὸν μὲν ἀριστερὸν*

πόδα φησὶν Εὐριπίδης ἐλθεῖν ἔχοντας ἀνυπόδετον· [λέγει] τὸ λαιὸν ἴχνος ἦσαν ἀνάρβυλοι ποδός, τὸ δ' ἐν πεδίλοις, ὡς ἐλαφρίζον γόνυ ἔχοιεν (v. 7—9). v. 1 αετον P. v. 3 Σαλαμῖνα κοσμῶν] cf. Epigr. Kaib. 777 (sive C. I. 408): κοσμῶν ἱερὰν Σαλαμῖνα. v. 5 post ἔχουσα excidisse quaedam vidit Wecklein *Stud. zu Eur.* p. 362. v. 6 ακταιος P, Ἀγκαῖος Schrader. v. 7 παῖδες] κόροι in Aristotelis loco. τὸ λαιὸν] cf. Hesych. 4 p. 163: τὸ λαιόν· τὸ ἀριστερόν. αναρβυλοι P § 17, απαρβυλοι § 18, αρευαλοι § 20. v. 8 τὸ δ' ἐν] τονδεν P § 17. πεδειλοις (πεδειδοις § 20) P. v. 9 τοῖσιν Αἰτωλοῖς malim. νομοις P.

531

σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον

Ar. Ran. 1402: ΕΥΡ. 'σιδηροβριθές — ξύλον'. ubi Schol. cod. Rav.: ἐκ Μελεάγρου Εὐριπίδου.

532

τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ
γῆ καὶ σκιά· τὸ μηδὲν εἰς οὐδὲν ῥέπει.

Stob. Flor. 98, 4: Εὐριπίδου Μελεάγρῳ. 'τοὺς ζῶντας — οὐδὲν βλέπει'. ibid. 121, 25: Εὐριπίδου (sic SA, eclogam om. M). 'τοὺς ζῶντας — οὐδὲν ῥέπει'. v. 1 δὲ πᾶς] οὐδεὶς Flor. 98. v. 2 εἰς οὐδὲν] εἰς μηδὲν malim, cf. quae attuli in Soph. Ai. 1231. ῥέπει] βλέπει Flor. 98.

533

τερπνὸν τὸ φῶς τόδ'· ὁ δ' ὑπὸ γῆς Ἅιδου σκότος
οὐδ' εἰς ὄνειρον ἡδὺς ἀνθρώποις μολεῖν.
ἐγὼ μὲν οὖν γεγῶσα τηλικήδ' ὅμως
ἀπέπτυσ' αὐτὸ κοὔποτ' εὔχομαι θανεῖν.

Stob. Flor. 119, 9: Εὐριπίδου Μελεάγρῳ (sic A, eclogam om. SM). 'ἄτερπνον — θανεῖν'. v. 1 ἄτερπνον A, τερπνὸν Grotius. τὸ φῶς μοι τόδ' ὑπὸ γῆν δι' ἄδου σκότος A, τὸ φῶς τόδ'· ὁ δ' ὑπὸ γῆς Ἅιδου σκότος scripsi. ὑπὸ γῆς praeierat Osann Anal. crit. p. 99. v. 2 οὐδ' εἰς ἀνθρώπους A, ἡδὺς ἀνθρώποις scripsi. v. 3 τηλικήδ' ὅμως Valckenaer Diatr. p. 140, τηλίκη δόμοις A. v. 4 αὐτο A, Ἅιδην scripserim.

534

τὸ μὲν γὰρ ἐν φῷ, τὸ δὲ κάτω σκότος κακόν.

Etym. M. p. 803, 45: φῷ· ἀντὶ τοῦ φωτί, σὺν τῷ Ι. Εὐριπίδης ἐν Μελεάγρῳ 'τὸ μὲν — κακόν'. μὲν ἐν libri plerique, μὲν

γὰρ ἐν V ut coni. Sylburg. *κάτω* Valckenaer Diatr. p. 140, *κατὰ* libri. *κακόν* vitiosum. expectes *κρύπτει σκότος* vel cum F. G. Schmidtio (*Krit. Stud.* 2 p. 473) *σκότος στέγει.*

535

ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράυνας, τύχη.

Phot. Lex. v. *νῦν δή* p. 305, 15 et Suid. v. *νῦν δή*: *καὶ Εὐριπίδης — ἐν Μελεάγρῳ 'ὁρᾷς — τύχην'. τύχη* Suidae codex V, *τύχην* ceteri.

536

φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς τάχιστα στρέφει θεός.

Stob. Flor. 105, 46: *Εὐριπίδου Μελέαγρος* (sic MA, eclogam om. S). *'φεῦ — θεός'. ὡς τάχιστα* MA, *ὡς τάχα* Grotius, *ὡς ταχὺ* Meineke, *διὰ τάχους* ego malim.

537

εἰς ἀνδροβρῶτας ἡδονὰς ἀφίξεται
κάρηνα πυρσαῖς γέννσι Μελανίππου σπάσας.

Schol. Pind. Nem. 10, 12: (Tydeus) *ἀπεγεύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελεάγρῳ φησὶν 'εἰς — σπάσας'.* v. 1 *ἀνδροβώτους* B, *ἀνδροβρώτη* D, *ἀνδροβρώτους* Grotius, *ἀνδροβρῶτας* Musgrave. *ἀφίξεται* B, *ἐλίξεται* D.

538

ἀντήλιοι θεοί

Hesych. 1 p. 211: *ἀντήλιοι θεοί· οἱ πρὸ τῶν πυλῶν ἱδρυμένοι. Εὐριπίδης Μελεάγρῳ.*

539

καθωσίωσε

Hesych. 2 p. 389: *καθωσίωσε·* [*κατέλυσεν*] *κατέθυσεν* (*κατεύθυσεν* ante Bentleium). *Εὐριπίδης Μελεάγρῳ.* probabiliter *κατέλυσεν* delet Bentley Epist. ad Mill. p. 33.

ΜΥΣΟΙ (?)

Philodemus de pietate p. 22: *⟨Εὐριπί⟩δης δ' ἐν Μυ⟨σοῖς καὶ⟩ τὸν Δία καὶ ⟨οὐρανὸ⟩ν ἠλιωπόν* (sc. *λέγει*). ita lacunosum locum restitui voluit Gomperz. Philodemum in fabulae nomine errasse suspicatus est Dindorf. *⟨Σοφοκλ⟩ῆς δ' ἐν Μυ⟨σοῖς* scribendum esse coni. Wilamowitz-Moellendorff Anal. Eur. p. 161.

ΟΙΔΙΠΟΥΣ

Iohannes Mal. p. 53, 12: *ὁ γὰρ σοφώτατος Εὐριπίδης ποιητικῶς ἐξέθετο δρᾶμα περὶ τοῦ Οἰδίποδος καὶ τῆς Ἰοκάστης καὶ τῆς Σφιγγός.* summam argumenti omnes norunt, quid novarit Euripides et quam dispositionem instituerit parum constat. Vnger huic fabulae vindicandum suspicatur Soph. fr. 667, Meineke adesp. fr. 284 et 378, alii adesp. fr. 8.

540

οὐρὰν δ' ὑπίλασ' ὑπὸ λεοντόπουν βάσιν
καθίζετο . .

Aelianus N. A. 12, 7: *τοῦτό τοι καὶ Εὐριπίδης ὑπαινίττεται λέγων* '*οὐρὰν δ' — καθίζετο*'. Erotianus Gloss. Hippocr. p. 130, 7: *ὑπείλλει· ὑποστρέφει, ὡς καὶ Εὐριπίδης ἐν Οἰδίποδι φησίν* '*οὐρὰν — βάσιν*'. Ath. XV p. 701 B: *καὶ ταῦτ' εἰπὼν* '*οὐρὰν ὑπίλας ὑπὸ λεοντόπουν βάσιν*' *ὑπεξῆλθε τοῦ συμποσίου.* v. 1 *δ'* om. Erot. *ὑπίλλασ'* Ael., *ὑπείλλει* Erot., *ὑπήλασ'* Ath., *ὑπίλασ'* Valckenaer Diatr. p. 193. v. 2 *καθέζετο* al.

541

ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ
ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.

Schol. Eur. Phoen. 61: *ἐν δὲ τῷ Οἰδίποδι οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν* (Oedipum)· '*ἡμεῖς — κόρας*'. v. 1 *πέδοι* coni. Dindorf.

542

οὔτοι νόμισμα λευκὸς ἄργυρος μόνον
καὶ χρυσός ἐστιν, ἀλλὰ κἀρετὴ βροτοῖς
νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών.

Stob. Flor. 1, 3: *Εὐριπίδου Οἰδίποδος* (sic M, eclogam om. SA). '*οὔτοι — χρεών*'. Orion Flor. Eurip. 20 p. 57, 21 om. fab. n.: '*οὔτοι — χρεών*'. v. 1 et 2 affert Philodemus de rhet. p. 237 ed. Gr. (Herc. vol. V, 1 col. 27): *ἄξιον Εὐριπίδῃ λέγοντι πιστεύειν* '*οὔτοι — βροτοῖς*'. eosdem spectat Clemens Alex. Strom. IV p. 574: *οὔκουν μόνον τοῦτο νόμισμα λευκὸς ἄργυρος ἢ χρυσός ἐστιν, ἀλλὰ καὶ ἡ ἀρετὴ βροτοῖς, ὥς φησιν ὁ Σοφοκλῆς.* v. 1 *οὔτοι* Philod. et Orion, *οὐ τὸ* Stob. *νόμισμα λευκὸς* Philod. Stob. Clem., *βροτοῖσι κέρδος* Orion. *μόνος* Or. v. 2 *καὶ ἀρετὴ* Philod. Stob., *καὶ ἡ ἀρετὴ* Clem., *χ' ἡ ἀρετὴ* Or. *βροτοῖς* Philod. Stob. Clem., *μέγα* Orion. v. 3 *ἣν κτᾶσθαι χρεών* malim, sed fortasse ipse versus ab Euripide alienus est. ingeniose conicit Th. Gomperz huc referendos esse extremos duos versus fr. 1029 eo quo leguntur loco incommodos.

videri enim poetam haec dixisse: 'non solum argentum et aurum, sed etiam virtus moneta est mortalibus, ⟨ac virtus potior est metallis et perennior, quandoquidem metalla deteruntur usu et conficiuntur,⟩ virtus quo magis usurpatur eo maior existit'.

543

μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή·
ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω
τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων
ἀλόχου τε κεδνῆς, ὡς μόνον τῶν χρημάτων
ἢ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἢν λάβῃ. 5

Stob. Flor. 67, 1: *Εὐριπίδου Οἰδίποδι.* '*μεγάλη — λάβῃ*'. v. 1 legitur in Men. mon. 363, ubi *τελοῦσα* pro *τέκνα* scriptum est. *τυραννίς*] *τύχη τις* coni. Meineke. v. 2 *ἀνδρὶ*] *οὐχὶ* coni. O. Hense Exerc. crit. p. 32. v. 3 *καὶ κτημάτων* G. Hermann. v. 4 *μόνον* Musgrave, *μόνων* SMA, sed o supra ω scriptum praebet A. post hunc versum quaedam excidisse coni. Meineke. v. 5 *ἢ κρεῖσσόν* S. *κράτιστόν ἐστιν* Musgrave, *κρεῖσσον τόδ' ἐστὶν* Fix in Eur. Ion. 762, *γυνή ἐστι κρεῖσσον* Dobree Adv. 2 p. 359. *ἢν*] *ἂν* SMA.

544

ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.

Stob. Flor. 73, 5: *Εὐριπίδου Οἰδίποδος.* '*ἄλλως — γυνή*'. *ἄλλως* SA, *ἄλλων* M, *κακῶν* expectabam, cf. fr. 808.

545

πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή·
ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

Stob. Flor. 69, 18: *Εὐριπίδου Οἰδίποδι.* '*πᾶσα — ὑπερφρονεῖ*'. Clemens Alex. Strom. IV p. 592: *πῶς οὐ μάτην Εὐριπίδης ποικίλως γράφει; ποτὲ μὲν* '*πᾶσα γὰρ ἀνδρὸς — εὐδοκιμοῦσαν*' (fr. 546), *ποτὲ δὲ* '*πᾶσα γὰρ δούλη — ὑπερφέρει*'. v. 1 om. fab. nom. affert Stob. Flor. 67, 2. *πέφυκεν*] *ἐστὶν* Clemens. *πέφυκε τἀνδρὸς* Cobet Mnem. nov. 2 p. 112. v. 2 *ἡ δὲ* Clemens et Stobaei S, *εἰ δὲ* Stobaei MA. *τὸν ξυνόντα ὑπερφέρει* Clemens. C. Fr. Hermann huc refert Eur. fr. 909.

546

πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος,
κἂν ὁ κάκιστος
γήμῃ τὴν εὐδοκιμοῦσαν.

Clemens Alex. Strom. IV p. 592, quem locum in fr. 545 attulimus. Stob. Flor. 73, 28: *Εὐριπίδου Οἰδίπους*. ʻ*κακίων ἄλοχος* — *εὐδοκιμοῦσαν*ʼ. v. 1 *κακίων* vitiosum, *χείρων* coni. nescio quis in Eur. Suppl. ed. Lips. a. 1822 p. 189, ego *μείων* malim. *πᾶσα κακίων ἄλοχος γὰρ ἔφυ* vel *ἄλοχος γαμέτου* proposuit Meineke, similiter *ἄλοχος τἀνδρός* M. Seyffert Mus. Rhen. 15 (a. 1860) p. 622. v. 2 *κάκιστος* Stob., *κράτιστος* Clem.

547

ἑνὸς ⟨δ'⟩ ἔρωτος ὄντος οὐ μί' ἡδονή·
οἳ μὲν κακῶν ἐρῶσιν, οἳ δὲ τῶν καλῶν.

Stob. Ecl. 1, 9, 2a p. 112, 2: *Εὐριπίδου Οἰδίποδι*. ʻ*ἑνὸς* — *καλῶν*ʼ. v. 1 *δ'* addidit Grotius. v. 2 *κακῶν* Grotius, *τῶν κακῶν* FP. dirimenda sunt ab hoc loco quae accedunt, *ὁ δ' εἰς τὸ σῶφρον κτέ.* (v. fr. 672).

548

νοῦν χρὴ θεᾶσθαι, νοῦν· τί τῆς εὐμορφίας
ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ;

Stob. Flor. 66, 1: *Εὐριπίδου Οἰδίποδος*. ʻ*νοῦν* — *ἔχῃ*ʼ. v. 1 *θεάσασθαι* SMA, *θεᾶσθαι* B. *οὐδέν τι* libri, *νοῦν· τί* Elmsley in Eur. Med. 635, *σ'· οὔτι* Conington, *παῖ· τί* Cobet Coll. crit. p. 224. v. 2 *ὅταν τις μὴ* Gesner, *ὅταν τις μὴ τὰς* SMA, *ὅταν μὴ τὰς* Pierson. *ἔχει* M. ceterum cf. Eur. fr. 212, 2.

549

ἀλλ' ἦμαρ ⟨ἕν⟩ τοι μεταβολὰς πολλὰς ἔχει.

Stob. Flor. 105, 45: *ἐν ταὐτῷ* (sic M, *ἐν τῷ αὐτῷ* A, eclogam om. S). ʻ*ἀλλ'* — *ἔχει*ʼ. *ἡμέρα* ed., *ἡμάρ* M, *ἦμαρ* A, *ἦμαρ ἕν* scripsi. ceterum cf. Men. in Stob. Ecl. 1, 7, 2 p. 90, 24: *τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.* Men. mon. 489: *τὰ θνητὰ πάντα μεταβολὰς ⟨πολλὰς⟩ ἔχει.* Sent. Menandri et Philist. v. 3: *οὐκ οἶδας ὡς πολλὰς μετάβολὰς ἔχει* (*ὥς τοι μεταβολὰς πολλὰς ἔχει* corr. Studemund).

550

ἐκ τῶν ἀέλπτων ἡ χαρὰ μείζων βροτοῖς
[φανεῖσα μᾶλλον ἢ τὸ προσδοκώμενον].

Stob. Flor. 111, 5: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Οἰδίπους* (*οι^{δ}* S). ʻ*ἐκ τῶν* — *προσδοκώμενον*ʼ. v. 1 *χαρὰ* Enger Adnot. ad trag. Gr. fr. p. 19, *χάρις* libri. v. 2 *σαίνει τε μᾶλλον* Kock Veri sim. p. 163, *σαίνουσα μᾶλλον* Munro, *τέρπουσα μᾶλλον* Cobet Coll. crit. p. 225.

v. 1 sq. *βροτοὺς θέλγουσα μᾶλλον* F. G. Schmidt *Krit. Stud.* 2 p. 475. recte, ut opinor, v. 2 ut putidum et ineptum damnat Herwerden Stud. crit. p. 98.

551

φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν
ἀπώλεσ' αὐτὸν κἀμὲ συνδιώλεσεν.

Stob. Flor. 38, 9: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Οἰδίποδι.* '*ὁ φθόνος — συνδιώλεσεν*'. v. 1 *ὁ φθόνος δ' ὁ* SMA pr. m. v. 2 *διώλεσ' αὐτὸν* Naber Mnem. nov. 10 p. 288.

552

πότερα γενέσθαι δῆτα χρησιμώτερον
συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ;
τὸ μὲν γὰρ αὐτῶν σκαιόν, ἀλλ' ἀμύνεται,
τὸ δ' ἡσυχαῖον ἀργόν· ἐν δ' ἀμφοῖν νόσος.

Stob. Flor. 7, 10: *Εὐριπίδου Οἰδίποδι* (sic A, *εὐριπίδου ἡρακλεῖ* M ubi ecl. 9 omittitur, ecl. 10 om. S). '*πότερα — νόσος*'. v. 2 *ἄτολμόν τ'* coni. Porson in Ar. Av. 705. *κ' ἐμμανῆ* M, *κἀμαθῆ* in A legere sibi visus est Grotius, Meklero teste *κεύμενῆ* A pr. m. incertum qua manu corr. in *κέμμανῆ*. v. 4 *ἡσύχιον* MA, *ἡσυχαῖον* Grotius. *ἔργον* MA, *ἀργόν* Musgrave.

553

ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας
εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν.

Stob. Flor. 109, 6: *Εὐριπίδου Οἰδίποδι.* '*ἐκμαρτυρεῖν — σοφόν*'.

554

πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις
ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης.

Stob. Flor. 105, 44: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Οἰδίποδος.* '*πολλάς — τύχης*'. v. 1 *καταστάσεις* coni. L. Sybel de repet. verb. in fab. Eur. p. 45.

555

οὐ δῆκταί πως κύνες οἱ θεοί,
ἀλλ' ἡ Δίκη γὰρ καὶ διὰ σκότου βλέπει.

Stob. Ecl. 1, 3, 6 p. 53, 13: *Εὐριπίδης Οἰδίποδι* (*οἰδίποδος* F, lemma om. P). '*οὐ — βλέπει*'. v. 1 *οὐ λαθροδῆκταί γ' εἴσ' ὅπως*

κύνες θεοί coni. Blomfield in Aesch. Sept. p. 140, at *λαθροδήκτης* Atticis ignotum (cf. Phryn. Bekk. p. 50, 32). rectius *οὐκ εἰσὶ δῆκται δῆθ' ὅπως κύνες θεοί* scripseris. v. 2 *κατὰ σκότους* FP, *κατὰ σκότου* Meineke, *διὰ σκότου* F. G. Schmidt *Krit. Stud.* 3 p. 19.

556

ἀηδόνα

Hesych. 1 p. 60: *ἀηδόνα· γλωσσίδα, μεταφορικῶς. Εὐριπίδης Οἰδίποδι* (*ἰδύποδι* codex). cf. fr. 931.

557

ἄναρθρος

Hesych. 1 p. 181: *ἄναρθρος· ἄτονος, ἀσθενής. Εὐριπίδης Οἰδίποδι.*

ΟΙΝΕΥΣ

Fabulam ante olymp. 88, 3 actam esse docet Ar. Ach. 418: ΕΥΡ. *τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;* ubi Schol.: *γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστράτευσιν Διομήδους κατὰ Θηβαίων ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς διὰ τὸ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων καὶ περιῄει ταπεινός, ἄχρις οὗ ἐπανελθὼν ὁ Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ ἀπέδωκε.* Hyginus fab. 175: *Agrius Porthaonis filius ut vidit Oeneum fratrem orbum liberis factum egentem regno expulit atque ipse regnum possedit. interim Diomedes Tydei filius et Deipyles Ilio devicto ut audivit avum suum regno pulsum, pervenit in Aetoliam cum Sthenelo Capanei filio et armis contendit cum Lycopeo Agrii filio. quo interfecto Agrium egentem**) *e regno expulit atque Oeneo avo suo regnum restituit, postque Agrius regno expulsus ipse se interfecit.* similiter Apollodorus 1, 8, 6. libri inter *Οἰνεῖ* et *Ἰνοῖ* passim fluctuant (fr. 401 404 407 413 415, cf. fr. 422).

558

ΔΙΟΜ. *Ὦ γῆς πατρῴας χαῖρε φίλτατον πέδον*
Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν
Τυδεύς, τόκος μὲν Οἰνέως, πατὴρ δ' ἐμός,
ᾤκησεν Ἄργος, παῖδα δ' Ἀδράστου λαβὼν
συνῆψε γένναν 5

Aristot. Rhet. 3, 16 p. 1417 a 15: *ἔτι πεπραγμένα δεῖ λέγειν ὅσα μὴ πραττόμενα ἢ οἶκτον ἢ δείνωσιν φέρει. παράδειγμα δὲ ὁ Ἀλκίνου*

*) *egentem* delendum suspicor.

ἀπόλογος καὶ ὁ ἐν τῷ Οἰνεῖ πρόλογος. ubi Scholia fol. 77 (vel potius 78) b 19: *ὁ δὲ ἐν τῷ Οἰνεῖ πρόλογος παρὰ τῷ Εὐριπίδῃ ἐστὶ τοιοῦτος 'ὦ γῆς — γένναν'.* verba sunt Diomedis, item fr. 559. v. 2 *φυγὼν*] *φυτὸν* Schol. ed. Eur. Suppl. 148: *Τυδεὺς μὲν αἷμα συγγενὲς φεύγων χθονός.* v. 5 *συνῆψε κῆδος* coni. Valckenaer, facilius fuerit *συνῆψεν εὐνήν.*

559

ἐγὼ δὲ πατρὸς αἷμ' ἐτιμωρησάμην
σὺν τοῖς ἐφηβήσασι τῶν ὀλωλότων

Erotianus Gloss. Hippocr. p. 125, 9: *τιμωρέουσα· βοηθοῦσα, ὡς καὶ Εὐριπίδης ἐν Οἰνεῖ* (*οἴνῃ* libri, corr. Fabricius) *φησίν 'ἐγὼ δὲ — ὀλωλότων'.* v. 2 *ἐφηβήσασι*] *ἐφ' ἥβης παισὶ* coni. Madvig Philol. 1 p. 674. *τῶν ὀλωλότων* Grotius, *καὶ τῶν ὀλωλότων* libri, *τῶν ὀλωλότων* libri, *τῶν ὀλωλότων παισίν* G. Hermann Philol. 2 p. 133.

560

ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.

Clemens Alex. Strom. VI p. 739: *Εὐριπίδης ἐν τῷ Οἰνεῖ φησίν 'ἀλλ' — τρόποις'.*

561

. . . . . *σὺ δὲ τρέφοντά* ⟨*νιν*⟩ *τρέφεις;*

Philostr. Heroic. p. 12: *νυνὶ δέ μοι ἐκεῖνο εἰπέ· οἰκεῖα γεωργεῖς ταῦτα, ἢ δεσπότης μὲν αὐτῶν ἕτερος, σὺ δὲ τρέφοντα τοῦτον τρέφεις, ὥσπερ τὸν τοῦ Εὐριπίδου Οἰνέα; τοῦτον*] *νιν* Matthiae.

562

πυκνοῖς δ' ἔβαλλον Βακχίου τοξεύμασιν
κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν
ἐγὼ ἐτετάγμην, ἆθλα κοσσάβων διδούς.

Ath. XV p. 666 C: *κότταβος δ' ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ λέγων οὕτως 'πυκνοῖς — διδούς'.* v. 1 *βακχείου τοξεύμασι* A. v. 3 *ἐγὼ τετάγμην* A, *ἐγὼ 'τετάγμην* Dindorf. *κοττάβων* A, *κότταβον* Casaubonus.

563

σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως
τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν.

Stob. Flor. 113, 1: *Εὐριπίδου Οἰνέως* (sic MA, poetae nomen

om. S) 'σχολὴ — πάλιν'. Galenus vol. 5 p. 423: λέγεται δὲ καὶ τοιαῦτα — εἰς τὸ κατὰ τὴν λύπην ἀγωγόν 'τοῖς δὲ δυστυχοῦσί πως τερπνὸν τὸ κλαῦσαι κἀποδύρασθαι τύχας'. Galenum aberrasse ad Aesch. Prom. 637: ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας, coni. Huschke Anal. crit. p. 57. fortasse tamen Galeni scriptura praeferenda est, cui favet Soph. El. 1122: ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ. v. 2 καὶ ἀποκλαύσασθαι Stobaei M. πάλιν ferri non potest, κακά coni. Pappageorgius Κριτ. καὶ ἑρμ. p. 43, τύχην F. G. Schmidt *Krit. Stud.* 2 p. 475.

564

ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς,
ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην
δώσειν ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ.

Stob. Flor. 106, 3: *Εὐριπίδου Οἰνεῖ* (sic S, οἰνοῖ MA). 'ὅταν — ἡδονῇ'. de v. 1 et 2 coniecturas admodum incertas proposuit F. G. Schmidt *Krit. Stud.* 2 p. 475 sq. v. 2 καὶ οὐ M. v. 3 ἡδονῇ S, ἡδονή M, ἡδονῆς A. verba sunt Oenei.

565

⟨ΔΙΟΜ.⟩ σὺ δ' ὧδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι;
⟨ΟΙΝ.⟩ οἳ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί.

Ar. Ran. 72: δέομαι ποητοῦ δεξιοῦ· 'οἳ μὲν — κακοί' (v. 2). ubi Schol.: *Εὐριπίδου ἐξ Οἰνέως* 'σὺ δ' ὧδ' — κακοί'. Diomedis priorem esse versum, alterum Oenei, vidit Grotius. v. 2 om. p. et fab. nom. habet Greg. Cypr. 3, 22 a, imitatus videtur Rhinthon ap. Cic. ad Att. 1, 20, 3: *nam ut ait Rhinthon, ut opinor,* οἳ μὲν παρ' οὐδέν εἰσι, τοῖς δ' οὐδὲν μέλει.

566

ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων·
κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.

Stob. Flor. 75, 3: *Εὐριπίδου Οἰνεῖ.* 'ὡς — νοσεῖ'. priorem versum Diomedi, alterum Oeneo tribuit Herwerden Exerc. crit. p. 55 sq.

567

τὰς βροτῶν
γνώμας σκοπῶν ὥστε Μαγνῆτις λίθος
τὴν δόξαν ἕλκει καὶ μεθίησιν πάλιν.

Phot. Lex. p. 73, 12 et Suid. v. 'Ἡρακλείαν λίθον: ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστίν, ὡς *Εὐριπίδης Οἰνεῖ* (ὡς εὗροι νῦν Phot.

cod.) ʿτὰς — πάλιν᾽. v. 2 σκοπῶν] κλοπεύων coni. Buttmann, ἐπισπῶν Hartung Eur. rest. 1 p. 158, ego παλεύων praetulerim. v. 3 τὴν δόξαν dubito num verum sit. μεθίστησιν libri, corr. Herwerden Adnot. crit. et exeg. ad Eur. 1 p. 30. respicit hunc locum Plat. Ion. p. 523 D (Stob. Ecl. 2, 5, 3 p. 36, 2): ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν.

568

Ar. Ach. 472: *καὶ γάρ εἰμ᾽ ἄγαν ὀχληρός, οὐ δοκῶν με (γε R) κοιράνους στυγεῖν.* ubi Schol.: *ὀχληρός, οὐ δοκῶν μὲν κοιράνους] τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό.*

569

ἀθράνευτον

Hesych. 1 p. 65: *ἀθράνευτον· ἄστρωτον* (*ἄστρατον* cod.). *Εὐριπίδης Οἰνεῖ.* Anecd. Bekk. p. 352, 15: *ἀθράνευτον· ἄστρωτον.*

570

ἀκρίζων

Hesych. 1 p. 104: *ἀκρίζων· ἄκροις ποσὶν ἐπιπορευόμενος. Εὐριπίδης Οἰνεῖ* (*σινεῖ* codex). Euripidem scripsisse *ἀκρίζων ποσίν* coni. Meineke.

ΟΙΝΟΜΑΟΣ

Argum. Eur. Phoen. in Schol. Eur. ed. Schwartz. vol. 1 p. 244, 16: *ἐπὶ Ναυσικράτους ἄρχοντος δεύτερος Εὐριπίδης καθῆκε διδασκαλίαν περὶ τούτου· καὶ γὰρ ταὐτὰ ὁ Οἰνόμαος καὶ Χρύσιππος καὶ σώζεται.* quibus verbis quamvis truncatis hoc certe docemur, Oenomaum una cum Chrysippo et Phoenissis actam esse; Nausicratem archontem non novimus. de mytho vide quae p. 233 attulimus.

571

ἀμηχανῶ δ᾽ ἔγωγε κοὐκ ἔχω μαθεῖν,
εἴτ᾽ οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν εἴτ᾽ ἄπαιδα καρποῦσθαι βίον.
ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους·
ὅσοισι δ᾽ εἰσίν, οὐδὲν εὐτυχεστέρους. 5
καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,
κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα,
λυποῦσι τὸν φύσαντα μὴ πάθωσί τι.

Stob. Flor. 76, 2: *Εὐριπίδου Οἰνομάῳ.* ʿ*ἀμηχανῶ — πάθωσί*

τι'. v. 1 καὶ οὐκ SM. v. 4 ἔφυσεν A. v. 6 αἰσχίστῃ coni. Bergk. v. 7 κακοῦ μέτα· coni. Enger Adnot. ad poetarum Gr. fr. p. 13. v. 8. τὼ φύσαντε μὴ olim proposui, τοὺς φύσαντας ἢν coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 477.

572

ἓν ἔστι πάντων πρῶτον εἰδέναι τουτί,
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως·
χοὗτός γ' ἀνὴρ ἄριστος αἵ τε συμφορὰι
ἧσσον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει. 5

Stob. Flor. 99, 8: *Εὐριπίδου Οἰνομάῳ.* 'ἔνεστι — ἔχει'. v. 1 ἔνεστι MA, ἓν ἔστι coni. Erfurdt, quod ipsum in S primitus fuisse videtur. τουτί SMA, τόδε B, suspicabar βροτῷ. ⟨ἀνδρὶ⟩ πρῶτον εἰδέναι coni. Enger Adnot. ad poet. Gr. fr. p. 9, ⟨πᾶσι⟩ πρῶτον εἰδέναι O. Hense Lect. Stob. p. 11 sq. πρῶτον vide an in κρεῖσσον mutandum sit. v. 3 καὶ οὗτός γ' SMA. v. 4 ἧσσον SA, ἧσον M. v. 5 ἐπιστάμεθα libri, corr. Gesner.

573

ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ
θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί·
ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.

Stob. Flor. 122, 8: *Εὐριπίδου Οἰνόμαος.* 'ἀλλ' — πόνους'. v. 1 κἀν A, καὶ ἐν SM. ceterum cf. Men. mon. 182: ἔστιν τι κἀν κακοῖσιν ἡδονῆς μέρος (ita legendum esse dixi *Mél. Gréco-Rom.* II p. 638). v. 2 θρήνων τ' ὀδυρμοὶ Burges in Eur. Tro. 617 p. 65. v. 4 ἔπαυσε malim.

574

τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ.

Clemens Alex. Strom. VI p. 746: *Εὐριπίδου* δὲ ἐν μὲν τῷ *Οἰνομάῳ* γράφοντος 'τεκμαιρόμεθα — τἀφανῆ', ἐν δὲ τῷ *Φοίνικι* κτέ. repetiit Theodoretus Therap. 6 p. 102, 11: καὶ πεισθῆναι δέ γε *Εὐριπίδῃ* τῷ τραγῳδοποιῷ ἐν *Οἰνομάῳ* λέγοντι 'τεκμαιρόμεσθα — τἀφανές'. τεκμαιρόμεθα Clem. τἀφανῆ Clem., τἀφανές Theod. similiter Soph. Oed. R. 916: ἀνὴρ ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται. Euripidis versum fortasse respicit Nicephorus Chumnus Epist. 84 in Boiss. Anecd. nov. p. 106: τὰ μέλλοντα τεκμαιρόμεθα τοῖς παροῦσιν.

575

ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς·
μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους.

Stob. Flor. 116, 5: *Εὐριπίδου Οἰνομάῳ.* 'ὅστις — πόνους'. v. 1 *δισώνυμον* A. v. 3 *νόσους* (in margine *πόνους*) cod. Voss. de sententia cf. adesp. fr. 550: *μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.*

576

ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν.

Stob. Flor. 58, 5: *Εὐριπίδου Οἰνόμαος.* 'ὁ — βροτῶν'. *πλεῖστ'* SM. haud dissimile est adesp. fr. 319: *τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποεῖ.* in risum vertitur Euripidis versiculus a comico, ut videtur, poeta Ath. IV p. 129 F: *ὁ πλεῖστα πίνων πλεῖστα κεὐφρανθήσεται.*

577

ἐγὼ μὲν εὖτ' ἂν τοὺς κακοὺς ὁρῶ βροτῶν
πίπτοντας, εἶναι φημὶ δαιμόνων γένος.

Orion Flor. 5, 5 p. 47, 13: *ἐκ τοῦ Οἰνομάου.* 'ἐγὼ — γένος'. v. 1 *κακῶς* cod. Euripidi locum tribuit Schneidewin.

ΠΑΛΑΜΗΔΗΣ

Fabulam scenae commissam esse olymp. 91, 1 docet Aelianus V. H. 2, 8, quem locum attulimus p. 373. argumentum tradere videtur Hyginus fab. 105: *Vlysses quod Palamedis Nauplii filii dolo erat detectus, in dies machinabatur quo modo eum interficeret. tandem inito consilio ad Agamemnonem militem suum misit, qui diceret ei in quiete vidisse* (*se Minervam suadentem* supplet M. Schmidt) *ut castra uno die moverentur. id Agamemnon verum existimans castra uno die imperat moveri. Vlysses autem clam noctu solus magnum pondus auri ubi tabernaculum Palamedis fuerat obruit, item epistolam conscriptam Phrygi captivo ad Priamum dat perferendam militemque suum priorem mittit, qui eum non longe a castris interficeret. postero die cum exercitus in castra rediret, quidam miles epistolam quam Vlysses scripserat super cadaver Phrygis positam ad Agamemnonem attulit, in qua scriptum fuit: Palamedi a Priamo missa, tantumque ei auri pollicetur quantum Vlysses in tabernaculum obruerat, si castra Agamemnonis, ut ei convenerat, proderet. itaque Palamedes cum ad regem esset productus et factum negaret, in tabernaculum eius ierunt et aurum effoderunt. quod Agamemnon ut vidit, vere factum esse*

credidit. quo facto Palamedes dolo Vlyssis deceptus ab exercitu universo innocens occisus est. Polyaen. I prohoem. § 12: *οἷον δὲ κἀκεῖνο στρατήγημα Ὀδυσσέως οἱ τραγῳδοὶ ᾄδουσι. Παλαμήδην ἐνίκησεν Ὀδυσσεὺς ἐν δικαστηρίῳ τῶν Ἀχαιῶν ὑποβαλὼν αὐτοῦ τῇ σκηνῇ βαρβαρικὸν χρυσόν, καὶ ὁ σοφώτατος τῶν Ἑλλήνων ἐκεῖνος ἥλω προδοσίας.* Xenoph. Mem. 4, 2, 33: *τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπώλετο.* Euripideam fabulam respicit Aristophanes, qui Mnesilochum haec dicentem facit Thesm. 770: *τίν' οὖν ἂν ἄγγελον πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον ἐκ τοῦ Παλαμήδους· ὡς ἐκεῖνος τὰς πλάτας ῥίψω γράφων.* et mox 776: *ὦ χεῖρες ἐμαί, ἐγχειρεῖν χρὴ* (*χρῆν* Bentley) *ἔργῳ πορίμῳ. ἄγε δὴ πινάκων ξεστῶν δέλτοι, δέξασθε σμίλης ὁλκούς, κήρυκας ἐμῶν μόχθων.* ubi quaedam verba fortasse ex Euripide repetita sunt (cf. Fritzsche in Ar. Thesm. p. 291 et W. H. van de Sande Bakhuyzen de parodia in Ar. com. p. 122 sq.). rem illustrant Scholia v. 771 (cf. Suid. v. *Παλαμήδης*): *ὁ γὰρ Εὐριπίδης ἐν τῷ Παλαμήδει ἐποίησε τὸν Οἴακα τὸν ἀδελφὸν Παλαμήδους ἐπιγράψαι εἰς τὰς ναῦς τὸν θάνατον αὐτοῦ, ἵνα φερόμεναι αὗται ἔλθωσιν εἰς τὸν Ναύπλιον τὸν πατέρα αὐτοῦ καὶ ἀπαγγείλωσι τὸν θάνατον αὐτοῦ. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει ἐν τῷ Παλαμήδει Εὐριπίδου. ὁ γὰρ Οἴαξ ἐγχαράττει πολλαῖς πλάταις τὰ περὶ τὸν Παλαμήδην καὶ ἀφίησιν εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι τὸν Ναύπλιον προσπεσεῖν.* adde iudicium Aristophanis Thesm. 848: (Euripides) *τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.* de histrione qui Palamedem *λώπει* indutus inscite egerit Meineke Com. 4 p. 644 sq. intellegi vult glossam Hesychii 3 p. 59: *λωπιστὸς ὁ Παλαμήδης· ἐκ τῆς τῶν ἱματίων ἐπιρίψεως* (*ἐπιρράψεως* Musurus).

578

τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνος,
ἄφωνα φωνήεντα συλλαβὰς τιθεὶς
ἐξηῦρον ἀνθρώποισι γράμματ' εἰδέναι,
ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς
τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς, 5
παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον
γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.
ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ
δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν.

Stob. Flor. 81, 7 vel potius Ecl. 2, 4, 8 p. 28, 5: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Παλαμήδῃ.* '*τὰ τῆς — λέγειν*'. v. 1 *ἁρμόσας* coni. Hemsterhuys, *ἀρθρώσας* Naber Mnem. nov. 10 p. 288. *μόνος* B ut Grotius coni., *μόνον* ceteri. v. 2 *ἄφωνα φωνήεντα* scripsi, *ἄφωνα καὶ φωνοῦντα* SMA, *ἄφωνα*

καὶ φωνῆντα Hemsterhuys (cf. quae dixi *Mél. Gréco-Rom.* V p. 214 sq.). *συλλαβάς τε θεὶς* Hemsterhuys. v. 3 *ἐξεῦρον* vulgo. spectatur hic versus in Schol. Dionys. Thr. p. 786, 12: *Στησίχορος δὲ Παλαμήδην εὑρετὴν αὐτῶν* (sc. *τῶν γραμμάτων*) *ποιεῖται, ᾧ συμφωνεῖ καὶ Εὐριπίδης.* cf. Anecd. Oxon. vol. 4 p. 318, 20. v. 4—7 om. A. v. 4 *ὑπερπλοκὰς* M. v. 6 *παισίν τε τὸν θνήσκοντα* coni. Wecklein, *παισίν τε τὸν τεκόντα* Mekler *Krit. Stud.* p. 6 sq., *παισίν τ' ἄπωθεν ὄντα* Munro *Journal of philol.* XI p. 268, *παισίν τε κατθανόντο* ego temptabam. *χρημάτων* Scaliger, *γραμμάτων* libri. *μέρος* Enger Adnot. ad poet. Gr. fr. p. 18. v. 7 *γράψαντα λείπειν* Scaliger, *γράψαντα νεῖμαι* Enger, *γράψαντ' ἐνισπεῖν* Gomperz. *τὸν λαχόντα* Enger. v. 8 *κακὰ* vitiosum, *σάφα* coni. Hemsterhuys, *κακὴν* Heath. *οὗ δ' εἰς ἔριν πίπτουσιν ἄνθρωποι πέρι* coni. Enger, consentit Th. Gomperz (cf. *Nachl.* p. 34 sq.) ita ut *ἃ δ' εἰς ἔριν* praeferat. cum hoc loco G. Hermann coniungit adesp. fr. 470.

579

πάλαι πάλαι δή σ' ἐξερωτῆσαι θέλων,
σχολή μ' ἀπεῖργε

Schol. B Il. *B* 353: *ἀστράπτων] ὅτι ἀκαταλλήλως εἴρηται· ἔδει γὰρ ἀστράπτοντα καὶ φαίνοντα. ὡς καὶ Εὐριπίδης ἐν Παλαμήδει 'Λάιε πάλαι — ἀπεῖργε'.* fab. nom. om. Anonymus *περὶ σχημάτων* in Rhet. vol. 8 p. 660 et Eust. Il. p. 236, 29. v. 1 *Λάιε πάλαι* Schol. Il., *πάλαι* ceteri, *Αἶαν* (vel *Αἴας*) *πάλαι* coni. Valckenaer in Eur. Phoen. 292, *Λάρτιε πάλαι* Hartung Eur. rest. 2 p. 253, ego *πάλαι πάλαι* scripsi, cf. Rhes. 396: *πάλαι πάλαι χρῆν τῇδε συγκάμνειν χθονί.* Ar. Av. 921: *πάλαι πάλαι δὴ τήνδ' ἐγὼ κλῄζω πόλιν.* Eur. Med. 1116: *φίλαι πάλαι* (f. *πάλαι πάλαι*) *δὴ προσμένουσα τὴν τύχην καραδοκῶ.* adde Soph. Oed. C. 1628: *τί μέλλομεν; πάλαι πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται* (ita legendum). *δή σ'*] *δέ σ'* Eust.

580

Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι
μορφὴν ἔχουσι, συντρέχει δ' εἰς ἓν τόδε·
τούτου δὲ πάντες, οἵ τε μουσικῆς φίλοι
ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ
μοχθοῦσιν, ὃς δ' ἂν πλεῖστ' ἔχῃ σοφώτατος. 5

Stob. Flor. 91, 24: *Εὐριπίδου Παλαμήδῃ* (sic SA, *παλαμήδει* et *παλαμήδους* M). *'Ἀγάμεμνον — σοφώτατος'.* eclogam habent S post ecl. 23 et MA post ecl. 19, sed repetunt MA post ecl. 29. v. 1 *πᾶσιν αἱ τύχαι* S et posteriore loco MA, *πᾶσι χρήματα* MA loco priore. *παντοίαν* pro *πᾶσιν αἱ* scribendum esse coni. Matthiae. *τύχαι* in *τέχναι* mutari voluit Bergk. v. 2 *εἰς ἓν* (*εἰσὶν* M) *τόδε*

MA priore loco, εἰς χρήματα S et posteriore loco MA. εἰς ἓν τάδε Augustus Mueller. in archetypo scriptum fuisse (v. 1 et 2)

ἀγάμεμνον ἀνθρώποισι πᾶσιν αἱ τύχαι
χρήματα
μορφὴν ἔχουσι, συντρέχει δ' εἰς ἓν τόδε

sagaciter agnovit O. Hense Lect. Stob. p. 46. v. 3 τούτου S et posteriore loco MA, τούτων MA loco priore, θνητοὶ coni. O. Hense, βροτοὶ sive θνητοὶ Herwerden Mnem. nov. 12 p. 314. Vlixis esse verba coni. Valckenaer in Eur. Phoen. 1331.

581

στρατηλάται τἂν μυρίοι γενοίμεθα,
σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ.

Stob. Flor. 54, 8: Εὐριπίδου Παλαμήδει. 'στρατηλάται — χρόνῳ'. v. 1 τ' ἂν S, τ' ἀν M, τἂν A. γενοίατο coni. Meineke, γένοινθ' ἅμα O. Hense Lect. Stob. p. 38. στρατηλάται τάχ' ἂν γένοιντο μυρίοι F. G. Schmidt *Krit. Stud.* 2 p. 477.

582

Aristophanes Ran. 1446:

εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.

ita Euripidem dicentem facit Aristophanes; respondet Dionysus v. 1451: εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις. hinc apparere videtur versus supra scriptos ex Euripidis Palamede esse depromptos*). quae his interposita sunt verba, εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς τἀναντία πράξαντες οὐ σῳζοίμεθ' ἄν; spuria esse iam alii intellexerunt. Euripidis acumen ridere videtur Ar. Ran. 1443: ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα, τὰ δ' ὄντα πίστ' ἄπιστα.

583

ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει
αἴσχρ' ἐστί, τούτου τὸ σοφὸν οὐκ αἰνῶ ποτέ.

Orion Flor. 1, 6 p. 41, 19: ἐκ Παλαμήδους. 'ὅστις — τόδε'. Stob. Ecl. 2, 15, 15 p. 188, 4: Εὐριπίδου (εὐριπίδους cod. L) Παλαμήδῃ. 'ὅστις — αἰνῶ ποτέ'. v. 1 ἔργ' ἐφ' οἷς] ἔρ . . . οἷς Orionis

*) id quod iam veteres coniecerunt interpretes. Schol. Ar. Ran. 1451: εὖ γ' ὦ Παλάμηδες] πρὸς τὸν Εὐριπίδην, ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπλάσθαι ταῦτα.

cod. v. 2 *αἶσχρ'* Or., *σχρ'* L. *ἐστὶν αὐτοῦ τὸ σοφὸν* Or., *ἐστὶν αὐτοῦ τοῦτον* L, *ἐστὶ τούτου τὸ σοφὸν* Mekler Lect. Gr. spec. p. 8. *ποτέ* L, *τόδε* Or.

584

εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων
κρατεῖ τὸ θεῖον τὴν δίκην τε συλλαβών.

Stob. Flor. 9, 13: *Εὐριπίδου Παλαμήδει.* '*εἷς — συλλαβών*'. eclogam habet S, om. MA. v. 2 *τό θ' ὅσιον* coni. Meineke.

585

τοῦ γὰρ δικαίου κἂν βροτοῖσι κἂν θεοῖς
ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου.

Stob. Flor. 9, 21: *Φιλήμονος ἐκ Παλαμήδους.* '*τοῦ γὰρ — μόνου*'. Philisco locum tribuit Grotius codicibus invitis. rectius de Euripidis Palamede cogitavit Meineke, Philemonis locum intercidisse probabiliter coni. O. Hense. v. 1 *κἂν θεοῖς* Meineke, *καὶ θεοῖς* libri.

586

Θύσαν Διονύσου
κόραν, ὃς ἀν' Ἴδαν
τέρπεται σὺν ματρὶ φίλᾳ
τυμπάνων ⟨ἐπ'⟩ ἰαχαῖς

Strab. X p. 470: *τὴν κοινωνίαν τῶν περὶ τὸν Διόνυσον ἀποδειχθέντων νομίμων παρὰ τοῖς Ἕλλησι καὶ τῶν παρὰ τοῖς Φρυξὶ περὶ τὴν μητέρα τῶν θεῶν συνοικειῶν ἀλλήλοις. Εὐριπίδης τε ἐν ταῖς Βάκχαις τὰ παραπλήσια ποιεῖ — καὶ ἐν Παλαμήδει φησὶν ὁ χορός* '*οὐ — ἰάκχοις*'. v. 1 *οὐ σὺν Διονύσῳ* ed., *οὐ σὰν διονύσου* libri meliores, *Θύσαν Διονύσου* scripsi. *Θύσταν* praefert M. Schmidt in Hesych. 3 p. 332. v. 2 *κομᾶν* vel *κομᾶνος* libri meliores, *κόραν* scripsi. v. 4 *ἐπ'* addidit Meineke *Zeitschr. f. d. Alt.* 1843 p. 289. *ἰαχαῖς* Barnes, *ἰάκχοις* libri.

587

. . . *κώπην χρυσόκολλον*

Pollux 10, 145: *Εὐριπίδης μὲν ἐν Παλαμήδει λέγει κώπην χρυσόκολλον, Μένανδρος δὲ κτέ.*

588

ἐκάνετ' ἐκάνετε τὰν
πάνσοφον, ὦ Δαναοί,
τὰν οὐδέν' ἀλγύνουσαν ἀηδόνα μουσᾶν.

Philostr. Heroic. p. 168: ὡς σοφώτερόν τε καὶ ἀνδρειότερον ἑαυτοῦ τὸν Παλαμήδην ὁ Ὀδυσσεὺς ἀπέκτεινεν, ἱκανῶς ἐκ τούτου διδάσκει ὁ Πρωτεσίλεως, ὅθεν καὶ τὸν θρῆνον τὸν παρ' Εὐριπίδῃ ἐπαινεῖ, ὁπότε Εὐριπίδης ἐν Παλαμήδους μέλεσιν 'ἐκάνετε' φησίν 'ἐκάνετε — μουσᾶν'. Laert. Diog. 2, 44: Εὐριπίδης δὲ καὶ ὀνειδίζει αὐτοῖς*) ἐν τῷ Παλαμήδει λέγων 'ἐκάνετ' — μουσᾶν'. Tzetz. Exeg. Il. p. 44, 14: τοῦ Παλαμήδους τὸν ἄδικον θάνατον, ὥ καὶ τὸν τραγικὸν Εὐριπίδην φιλῶ περὶ τούτου εἰπόντα 'ἐκάνετ' — μοῦσαν'. Tzetz. in Lycophr. 384: τὰ δὲ περὶ τὸν Παλαμήδην καὶ Εὐριπίδης ἐν τῷ δράματι Παλαμήδους φησίν 'ἐκάνετ' — μουσῶν', ἐκάνετ'· ἐκάνετε τὸν ἄριστον Ἀχαιῶν. v. 1 ἐκτάνετε v. l. in Philostr. et Laert. Diog. τὰν πάνσοφον om. Philostr. τὰν delet Bergk. v. 2 ὦ Δαναοί om. Laert. Diog. v. 3 οὐδὲν vulgo, οὐδέν' Valckenaer in Eur. Phoen. 321. μουσᾶν] μοῦσαν Tzetz. Exeg. et libri non nulli Philostr., μουσῶν Tzetz. in Lycophr. hunc locum respicit auctor argumenti Isocr. Busir., cuius verba attulimus supra p. 457.

589

Harpocr. p. 61, 5: διεκωδώνισε Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας (§ 167) ἀντὶ τοῦ διεπείρασε καὶ ἐξήτασεν. ἡ δὲ μεταφορὰ ἤτοι ἀπὸ περιπολούντων σὺν κώδωσι τῆς νυκτός, ⟨ὡς⟩ Εὐριπίδης Παλαμήδει, ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος, ὡς Ἀρίσταρχος. Schol. Ar. Av. 842: κωδωνοφορῶν] οἱ περίπολοι οἱ τὰς φυλακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τοὺς φύλακας κώδωνας εἶχον. — μήποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδου Παλαμήδην οὐ πρὸ πολλοῦ δεδιδαγμένον.

590

ἔμβολα

Hesych. 2 p. 74: ἔμβολα· Εὐριπίδης Παλαμήδει καὶ Σκίρωνι (sic Meursius, σκιρ̄ cod.). [ἔμβολα· τὸ δὲ πολὺ ἀρρενικῶς λέγουσι τοὺς ἐμβόλους.] referenda haec sunt ad glossam quae paulo ante habetur p. 73: ἔμβολα· μοχλοί, ἀσφάλειαι.

ΠΕΙΡΙΘΟΥΣ

Gregorius Cor. in Rhet. vol. 7 p. 1312 sq. (cf. Wilamowitz-Moellendorff Anal. Eur. p. 168): ἡ οὖσα (fort. οὖν leg.) Πειρίθου ὑπόθεσίς ἐστιν αὕτη. Πειρίθους ἐπὶ Περσεφόνης μνηστείαν μετὰ

*) Atheniensibus propter damnatum Socratem: ita Diogenes, quod falsum esse temporum rationes docent. similiter ab omni probabilitatis specie abhorret quod de Sophoclis Antigona in argumento huius fabulae perhibetur, φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης. quo commento plerique abutuntur ad tempus quo Antigona composita sit definiendum.

Θησέως εἰς Ἅιδου καταβὰς τιμωρίας ἔτυχε τῆς πρεπούσης· αὐτὸς μὲν γὰρ ἐπὶ πέτρας ἀκινήτῳ καθέδρᾳ πεδηθεὶς δρακόντων ἐφρουρεῖτο χάσμασιν, Θησεὺς δὲ τὸν φίλον ἐγκαταλιπεῖν αἰσχρὸν ἡγούμενος ἑκὼν εἶχε (εἵλετο?) τὴν ἐν Ἅιδου ζωήν. ἐπὶ δὲ τὸν Κέρβερον Ἡρακλῆς ἀποσταλεὶς ὑπ' Εὐρυσθέως τοῦ μὲν θηρὸς βίᾳ περιεγένετο, τοὺς δὲ περὶ Θησέα χάριτι τῶν χθονίων θεῶν τῆς παρούσης ἀνάγκης ἐξέλυσεν, μιᾷ πράξει καὶ τὸν ἀνθιστάμενον χειρωσάμενος καὶ παρὰ θεῶν χάριν λαβὼν καὶ δυστυχοῦντας ἐλεήσας φίλους. minus cum Euripide conveniunt quae habet Hyginus fab. 79: *Theseus Aegei et Aethrae Pitthei filiae filius cum Pirithoo Ixionis filio Helenam Tyndarei et Ledae filiam virginem de fano Dianae sacrificantem rapuerunt et detulerunt Aphidnas in pagum Atticae regionis. quod Iovis eos cum vidisset tantam audaciam habere ut se ipsi ad periculum offerrent, in quiete eis imperavit ut peterent ambo a Plutone Pirithoo Proserpinam in coniugium. qui cum per insulam Taenariam ad inferos descendissent et de qua re venissent indicarent Plutoni, a furiis strati diuque lacerati sunt. quo Hercules ad canem tricipitem ducendum cum venisset, illi fidem eius implorarunt. qui a Plutone impetravit eosque incolumes eduxit.* Schol. Tzetz. Chil. in Anecd. Oxon. vol. 3 p. 359, 22: *καὶ ἡ Κόρη, ἣν ὁ Πειρίθοός τε καὶ Θησεὺς ἁρπάζειν μέλλοντες συνεσχέθησαν· καὶ Πειρίθοος μὲν κατεβρώθη, ὁ δὲ Θησεὺς ἐσώθη παρ' Ἡρακλέους· κατ' Εὐριπίδην σῴζονται καὶ οἱ δύο.* mirabilia sunt quae refert Tzetzes in Ar. Ran. 142 (quem locum edidit Herwerden in Soph. Oed. R. edit. mai. p. 214): *Θησεὺς καὶ Πειρίθους συνέθεντο ἁρπάσαι τὴν Περσεφόνην, ἔρωτα σχόντος αὐτῆς τοῦ Πειρίθου. κατελθόντες οὖν ἐν τῷ ᾅδῃ κατεσχέθησαν· καὶ ὁ μὲν Πειρίθους ὡς ἅρπαξ τῷ Κερβέρῳ κατάβρωμα γίνεται, Θησεὺς δὲ ὡς συνεργὸς ἀλλ' οὐχ ἅρπαξ κατασχεθεὶς ἐδέθη· ὕστερον δὲ Ἡρακλεῖ κατελθόντι διὰ τὸν Κέρβερον πάντα Θησεὺς τὰ ἐκεῖ ἀκριβέστερον ὑποτίθησιν, ὡς Εὐριπίδης διδάσκει τοῖς δράμασιν αὐτοῦ.* dubitatum fuisse utrum Euripidis esset fabula an Critiae docet Athenaeus (fr. 592), cf. Vita Eurip. p. 135, 33: *τούτων* (Euripideorum dramatum) *νοθεύεται τρία, Τέννης* (*γέννης* ante Elmsleium) *Ῥαδάμανθυς Πειρίθους.* non *Πειρίθους* videtur fuisse fabulae titulus, sed *Περίθους*, id quod docuit Wilamowitz-Moellendorff *Hom. Untersuch.* p. 324. Welcker huc refert fr. 865 et 936, Wilamowitz-Moellendorff fr. 964.

591

ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ' Ἡρακλῆς,
θεῶν δὲ πάντων πατρὸς ἐξέφυν Διός·
ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος
Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.
ἥκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως. 5

Greg. Cor. in Rhet. vol. 7 p. 1312: *καὶ Εὐριπίδης ‘Ζεὺς — ὕπο’* (v. 4). *οὗτος ὁ στίχος ἐν δυσὶν εὕρηται δράμασιν Εὐριπίδου, ἔν τε τῷ λεγομένῳ Πειρίθῳ καὶ ἐν τῇ σοφῇ Μελανίππῃ. ἐν μὲν γὰρ τῷ Πειρίθῳ παρεισάγεται Ἡρακλῆς ἐν Ἅιδου κατελθὼν κατὰ κέλευσιν Εὐρυσθέως καὶ ὑπὸ τοῦ Αἰακοῦ ἐρωτώμενος ὅστις ἐστὶ καὶ ἀποκρινόμενος ‘ἐμοὶ — Εὐρυσθέως’.* v. 3 *κεδνῇ πρὸς λέχος* ed., *κεδνὸν ἐς λέχος* Dobree Adv. 2 p. 57. de v. 4 cf. fr. 481.

592

ἵνα πλημοχόας τάσδ’ εἰς χθόνιον
χάσμ’ εὐφήμως προχέωμεν

Ath. XI p. 496 B: *πλημοχόη, σκεῦος κεραμεοῦν βεμβικῶδες — χρῶνται δὲ αὐτῷ ἐν Ἐλευσῖνι τῇ τελευταίᾳ τῶν μυστηρίων ἡμέρᾳ, ἣν καὶ ἀπ’ αὐτοῦ προσαγορεύουσι πλημοχόας· ἐν ᾗ δύο πλημοχόας πληρώσαντες τὴν μὲν πρὸς ἀνατολὰς τὴν δὲ πρὸς δύσιν ἀνιστάμενοι ἀνατρέπουσιν ἐπιλέγοντες ῥῆσιν μυστικήν. μνημονεύει δὲ αὐτῶν καὶ ὁ τὸν Πειρίθοον γράψας, εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης, λέγων οὕτως ‘ἵνα — προχέωμεν’.* v. 2 *προσχέωμεν* ante Casaubonum.

593

σὲ τὸν αὐτοφυᾶ τὸν ἐν αἰθερίῳ
ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ’,
ὃν πέρι μὲν φῶς, πέρι δ’ ὀρφναία
νὺξ αἰολόχρως, ἄκριτός τ’ ἄστρων
ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει 5

Clemens Alex. Strom. V p. 717 (Eusebius P. E. XIII p. 681 B): *ἐν δὲ* (*ἔν τε* Euseb.) *τῷ Πειρίθῳ δράματι ὁ αὐτὸς* (Eur.) *καὶ τάδε τραγῳδεῖ ‘σὲ τὸν — ἀμφιχορεύει’. ἐνταῦθα γὰρ τὸν μὲν αὐτοφυῆ τὸν δημιουργὸν νοῦν εἴρηκεν, τὰ δ’ ἑξῆς ἐπὶ τοῦ κόσμου τάσσεται, ἐν ᾧ καὶ* (*αἱ* addit Euseb.) *ἐναντιότητες φωτός τε καὶ σκότους.* v. 1 et 2 habent Schol. Eur. Or. 982: *ὅμοιον τούτῳ τὸ ἐν Πειρίθῳ ‘σὲ τὸν — ἐμπλέξαντα’.* Schol. Ap. Rhod. 4, 143: *καὶ Εὐριπίδης ἐν Πειρίθῳ ‘σὲ τὸν — ῥύμβῳ’.* cf. Eust. in Dionys. P. 1134 de v. *ῥόμβος* disputans: *τινὲς δὲ ῥύμβον γράφουσι διὰ τοῦ Υ, ὡς Εὐριπίδης ἐν Πειρίθῳ αἰθέριον ῥύμβον φησίν.* Hesych. 1 p. 75: *αἰθέριος ῥύμβος* (*αἰθέρος τύμβος* cod.)· *οὐρανός.* v. 1 *αὐτοφυᾶ* Dindorf, *αὐτοφυῆ* libri. *τὸν ἐν αἰθερίῳ*] *πάντων θεῶν αἰθέρα* Schol. Ap. Rh. v. 2 *ῥύμβῳ* Hesych. Eust. Schol. Ap. Rh., *ὄμβρῳ* Clem., *ῥόμβῳ* Euseb. Schol. Eur. v. 3 *περὶ — περὶ* Clem., *πέρι — πέρι* Eus. v. 5 spectare videtur Perictione in Stob. Flor. 79, 50: *ἄστρων, τὰ οὐρανὸς ἐναψάμενος* (*οὐρανὸν συναψάμενα* coni. Meineke) *ἀμφιχορεύει.*

594

ἀκάμας τε χρόνος περί γ' ἀενάῳ
ῥεύματι πλήρης φοιτᾷ τίκτων
αὐτὸς ἑαυτόν, δίδυμοί τ' ἄρκτοι
ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς
τὸν Ἀτλάντειον τηροῦσι πόλον 5

Clemens Alex. Strom. V p. 667: *περὶ τούτων οἶμαι καὶ ἡ τραγῳδία φυσιολογοῦσα φησίν 'ἀκάμας — πόλον'*. Schol. Ar. Av. 179 (Suid. v. *πόλος*): *πόλον γὰρ οἱ παλαιοὶ — τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ 'καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον'* (v. 5). v. 1 *χρόνος περί γ'*] *πέριξ χρόνος* coni. Meineke. v. 2 *πηγῆς* Wecklein *Stud. zu Eur.* p. 422, *πρηνὴς* F. G. Schmidt *Krit. Stud.* 2 p. 477. v. 5 *Ἀτλάντειον* Heinsius, *ἀτλάντιον* libri. *τηροῦσι* Clem., *φρουρῶν* Schol. Ar., *φρουροῦσι* Herwerden Mnem. nov. 12 p. 314.

595

αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις

Plut. de fraterno amore c. 8 p. 482 A: *οὐ γὰρ ὁ συμπότης οὐδὲ ὁ συνέφηβος οὐδὲ ὁ ξένος 'αἰδοῦς — πέδαις', ἀλλ' ὁ σύναιμος.* id. de vitioso pudore c. 10 p. 533 A: *εἶτα ὥσπερ ἐνέχυρον προέμενος τὴν ἐπαγγελίαν 'αἰδοῦς — πέδαις'*. Euripidis esse versum docet Plut. Amator. c. 18 p. 763 F: *φιλίας καὶ κοινωνίας, οὐχ οἵαν Εὐριπίδης φησὶν ἀχαλκεύτοις ἐζεῦχθαι πέδαις.* ad hanc fabulam relatus est propter Plut. de amicorum multitud. c. 7 p. 96 C: *ἔνιοι τῶν φίλων οὐδὲν ἀπολαύσαντες εὐτυχούντων συναπόλλυνται δυστυχοῦσι. καὶ τοῦτο μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ καὶ δεδεμένῳ 'πέδαις ἀχαλκεύτοισιν ἔζευκται πόδας'.* ubi *πόδας* ineptum est. *πέδαις ἀχαλκεύτοις* dixit Aesch. Choeph. 493. *σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσιν* Orph. Hymn. 85, 4.

596

οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς;

Stob. Flor. 121, 24: *Εὐριπίδου Πειρίθου* (sic A, fabulae nomen om. S, eclogam om. M). *'οὐκ — κακῶς;'* cf. Soph. fr. 448.

597

τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου·
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
λόγος δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω
ῥήτωρ σπαράσσων πολλάκις λυμαίνεται.

Stob. Flor. 37, 15: *Πειρίθου* (sic SMA). '*τρόπος — λυμαίνεται*'. Euripideae fabulae locum vindicavit Valckenaer. v. 1 *ἐστὶ* SMA, *δὲ* Trinc. *ἀσφαλέστερον* Herwerden Exerc. crit. p. 56. v. 3 *ῥήτωρ δύναιτο* et v. 4 *λόγοις ταράσσων* libri, prima vocabula sedem mutasse vidit Cobet Mnem. 9 p. 134. traditum v. 3 *λόγοις* in *λόγος* mutavit Meineke. v. 4 *σπαράσσων* pro *ταράσσων* restituit Valckenaer Diatr. p. 200. cum v. 4 cf. Greg. Naz. vol. 2 p. 154 C: *ῥήτωρ πονηρὸς τοὺς νόμους* (*τοῖς νόμοις* Men. mon. 709) *λυμαίνεται.*

598

ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ
ἔρριψεν ὅστις τόνδ' ἐκαίνισεν λόγον,
ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.

Stob. Ecl. 2, 8, 4 p. 153, 13: *Εὐριπίδου Πειρίθῳ.* '*ὁ πρῶτος — ψυχή*'. v. 1 *ὁ πρῶτος εἰπὼν* verba ab Euripide aliena esse coni. Wilamowitz-Moellendorff Anal. Eur. p. 165. v. 2 *ἔρριψεν* vix sanum. v. 3 *ὡς τοῖσιν*] *πᾶσιν γὰρ* Men. mon. 462. *τύχη* Men., *ψυχή* Stob.

599

ἔφεξις

Hesych. 2 p. 239: *ἐφέξις* (*ἐφέξεις* Musurus, *ἔφεξις* alii)· *χάριν, ἕνεκα. ἐποχεῖν* (*ἐποχήν* Schow), *πρόφασιν. Εὐριπίδης Πειρίθῳ* [*ἔπεξις*]. Schol. Ar. Vesp. 338: *παρὰ δὲ τοῖς τραγικοῖς ἔφεξις ἡ πρόφασις.*

600

θρᾶξαι

Hesych. 2 p. 322: *θρᾶξαι* (*θράξαι* ed.)· *ταράξαι, λυπῆσαι. Εὐριπίδης Πειρίθῳ.*

ΠΕΛΙΑΔΕΣ

Vita Eurip. p. 135, 30: *ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος κατ' ὀλυμπιάδα ὀγδοηκοστὴν πρώτην· πρῶτον δ' ἐδίδαξε τὰς Πελιάδας ἔτει πρώτῳ, ὅτε καὶ τρίτος ἐγένετο.* de argumento paucula tradit Moses Chorenensis in Progymn. libro III (v. Maii Euseb. Chron. p. 43): *Euripides tragicus — in iis quae de Medea refert extremos mentiendi fines attingit. ait enim ipsam societate cum Iasone quodam inita e Scythia in Thessaliam navigavisse atque artes magicas hic professam regem qui terrae imperabat dolosis consiliis perdere decrevisse. idcirco apud eiusdem filias commemoratis diu patris devexa senectute masculaeque prolis defectu — opem suam obtulisse, qua illum — in iuvenilem aetatem denuo restitueret. his dictis pergit porro singillatim narrare qua ratione res patrata fuerit, nempe ut Medea*

*laniatum arietem in lebetem coniecerit ignemque subdiderit, utque fervente cum motibus lebete viventis arietis speciem ostenderit coque modo illusis filiabus Peliam laniandum curaverit; eratque, inquit, in lebete, et praeterea nihil addit**). meliora praebet Hyginus fab. 24, quorum haec attulisse sufficiat: *inde Peliades, id est Alcestis, Pelopia, Medusa, Pisidice, Hippothoe, Medeae impulsu patrem suum occisum in aeno coxerunt. cum se deceptas esse viderent, a patria profugerunt.* Elmsley huc refert fr. 858.

601

Μήδεια πρὸς μὲν δώμασιν τυραννικοῖς

Schol. Eur. Med. 693, vide fr. 602. *Μήδει' ἄγος μὲν* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 478.

602

τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.

Eur. Med. 693: '*τί χρῆμα — σαφέστερον*'. ubi Schol.: *σεσημείωται ὁ στίχος ὅτι καὶ ἐν Πελιάσιν ἔστιν, ὧν ἀρχή* '*Μήδεια — τυραννικοῖς*' (fr. 601). *δράσασ'; εἰπέ* coni. F. G. Schmidt.

603

αἰνῶ· διδάξαι δ' ὦ τέκνον σε βούλομαι.
ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν,
ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν,
ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,
. . . .
τὰ δ' ἄλλ' ἀφεῖναι μηχανήματ' ἀνδράσιν. 5

Stob. Flor. 74, 26: *Εὐριπίδου* (*ἐν* addunt MA) *Πελιάσιν*. '*αἰνῶ*

---

*) Francogallice eundem locum reddidit V. Langlois in Muelleri Fragm. Hist. V, 1 p. 379 sq.: '*Elle s'embarqua, raconte [Euripide], d'un canton de la Scythie, à la suite d'un certain Iason et arriva en Thessalie (Thédalia). Là, elle se livra à la pratique des arts magiques, car elle voulait faire mourir le roi qui régnait sur ce pays. Elle finit, par ses perfides conseils, à persuader les filles du roi, en alléguant pour motif la vieillesse de leur père, et l'absence d'enfant mâle qui puisse lui succéder et hériter de la puissance royale. Si vous voulez, je suis à même de vous montrer votre père redevenu jeune. En disant cela, elle leur montra, par un exemple, comment la chose se passerait. Elle prit un bélier, le découpa, le plaça dans une chaudière et mit le feu dessous. Par le bouillonnement qui avait lieu à l'intérieur de la chaudière, elle faisait voir le bélier qui s'agitait comme s'il était en vie. Ayant ainsi trompé [les filles du roi], elle découpa par morceaux Pélias (Bélias), le mit dans la chaudière, où il resta sans que rien ne se manifestait*'.

— ἀνδράσιν'. v. 2 πλέον Trinc., πλέω SMA, conieci πέρα, quod probat O. Hense *Studien zu Soph.* p. 129, πλέον praefert F. G. Schmidt *Krit. Stud.* 2 p. 478. post v. 4 non nihil excidisse vidit Grotius.

604

πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.

Stob. Flor. 3, 22: *Εὐριπίδου Πελιάσι.* 'πρὸς — σου'. eclogam om. S. idem versus om. fabulae nomine affertur in Schol. Pind. Pyth. 2, 173. cf. Aesch. Ag. 1624: πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.

605

τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς
τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον.
φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών,
πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.

Stob. Flor. 49, 7: *Εὐριπίδου Πελιάδων.* 'τὸ δ' — δράσωσί τι'. v. 1 ἐσχάτως olim conieci. v. 3 κατακτανεῖν ex κατθανεῖν corr. S pr. m. πόλεις τε πορθεῖν καὶ φίλους κτανεῖν χρ. temptabam, πόλεις τε πορθεῖν καὶ κατακτανεῖν χρεὼν coni. O. Hense Lect. Stob. p. 24, φίλους τ' ἀπωθεῖν καὶ Munro *Journal of philol.* X p. 442 et Gomperz *Nachl.* p. 35 sq., φίλους γὰρ ὠθεῖν ἢ F. G. Schmidt *Krit. Stud.* 2 p. 478 sq. ante hunc versum quaedam excidisse suspicatur Gomperz. v. 4 ἐπεὶ φόβος πρόσεστι Pflugk, φίλους· φόβος πρόσεστι O. Hense, χρηστούς· φόβος γάρ ἐστι F. G. Schmidt.

606

οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ
κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.

Stob. Ecl. 2, 8, 2 p. 153, 7: *Εὐριπίδου Πελιάσιν.* 'οὐκ — ἔχει'. Orion Flor. Eur. 5 p. 55, 29: 'οὐκ — ἔχειν πολλήν'. v. 1 τὰ τῶν θεῶν Stob., τἀκ θεῶν Meineke. ἄδικα, τὰν βροτοῖσι δὲ scribendum videtur. v. 2 κακῶς νοσοῦντα scribendum suspicor. σύγχυσιν ἔχειν πολλήν Or.

607

δρῶσι δ' οἱ διδόντες εἰς τὰ χρήματα.

Stob. Flor. 92, 4: *Εὐριπίδου Πελιάσιν* (sic Grotius, πελοπίσιν MA, eclogam om. S). 'δρῶσι — χρήματα'. λήμματα bene corr. F. G. Schmidt *Krit. Stud.* 2 p. 479.

608

ἐν τοῖσι μὲν δεινοῖσιν ὡς φίλοι φίλων·
ὅταν δὲ πράξωσ' εὖ, διωθοῦνται χάριν
αὐτοὶ δι' αὐτοὺς εὐτυχεῖν ἡγούμενοι.

Stob. Ecl. 2, 46, 10 p. 261, 10: *Εὐριπίδου Πελιάσιν* (*πελειάσιν* L). '*ἐν τοῖσι — ἡγούμενοι*'. v. 1 corruptum esse recte agnovit F. G. Schmidt *Krit. Stud.* 2 p. 480, cuius coniecturas *ὄφελος οἱ φίλοι* vel *ὠφέλει φίλον* probare non possum. sententiarum nexui conducet *ἐν τοῖσι μὲν δεινοῖσι μέμνηνται φίλων*. v. 3 *δι' αὐτῶν* malim.

609

ὁ γὰρ ξυνὼν κακὸς μὲν ἢν τύχῃ γεγώς,
τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται,
χρηστοὺς δὲ χρηστός· ἀλλὰ τὰς ὁμιλίας
ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.

Stob. Ecl. 2, 31, 4 p. 200, 12 et Ecl. 2, 33, 3 p. 255, 15: *τοῦ αὐτοῦ* (*Εὐριπίδου* p. 255) *Πελιάσιν* (*πελειάσιν* p. 200). '*ὁ γὰρ — σπουδάζετε*'. v. 1 *κακὸς μὲν ἢν* Ecl. 31, *κακὸς ἂν* Ecl. 33. *γεγώς* Ecl. 33, *γένος* Ecl. 31. v. 2 *τοιούτους δὲ* et *ἐκπορίζεται* Ecl. 33. v. 3 *δ' ὁ χρηστὸς* Ecl. 31.

610

φθείρου· τὸ γὰρ δρᾶν οὐκ ἔχων λόγους ἔχεις.

Stob. Ecl. 2, 15, 20 p. 188, 17: *Εὐριπίδου Πελιάσιν*. '*φθείρου — ἔχεις*'. *θείρου* L. *λόγους λέγεις* nescio quis, *λόγους ἐρεῖς* Munro *Journal of philol.* X p. 238.

611

ἀντεμμάσασθαι

Hesych. 1 p. 210: *ἀντεμμάσασθαι· ἀνταποδοῦναι, ἐπιπλῆξαι. Εὐριπίδης πολίασιν* (*Πελιάσιν* Meursius). fortasse *ἀντεμμάξασθαι* (vel cum M. Schmidtio *ἀνταμμάξασθαι*) et *Εὔπολις Πόλεσιν* legendum.

612

ἀρταμεῖν

Hesych. 1 p. 291: *ἀρταμεῖν· κατακόπτειν. Εὐριπίδης Πελιάσι* (*πολίασι* codex).

613

εὐστόχως

Antiatt. p. 95, 23: *εὐστόχως· Εὐριπίδης Πελιάσιν.*

614

κατηβολή

Schol. Plat. p. 904 a 22: *κατηβολή, τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ καὶ Πελιάσι.* eadem Hesych. 2 p. 445, ubi *κατηβόλη* codex.

615

λύσιμον

Antiatt. p. 106, 27: *λύσιμον· θηλυκῶς λέγει Εὐριπίδης Πελιάσιν.*

616

ὄβρια

Aelianus N. A. 7, 47. vide Aesch. fr. 48. Euripides incertum utrum *ὄβρια* an *ὀβρίκαλα* dixerit.

ΠΗΛΕΥΣ

Fortasse hanc fabulam respiciunt Horatius Epist. 2, 3, 95 (vide Soph. fr. p. 239) et Ar. Nub. 1063: *ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο* (sc. *διὰ τὸ σωφρονεῖν*) *τὴν μάχαιραν.* proposuisse videtur poeta *Πηλέως συμφοράς, ὥς νιν χθονὸς Ἄκαστος ἐκβέβληκεν ὁ Πελίου γόνος* (Eur. Tro. 1127), qua de re cf. Apollod. 3, 13, 3 et Antoninus Liber. c. 38.

617

οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτος σκότος,
οὐ χῶμα γαίας κληστόν, ἔνθα τὴν φύσιν
ὁ δυσγενὴς κρύψας ἂν εἴη σοφός.

Stob. Flor. 90, 7: *Εὐριπίδου Πηλεῖ.* '*οὐκ — σοφός*'. v. 1 *τοιοῦτος* Sallier, *τοιοῦτο* SM, *τοιοῦτον* A. v. 2 *χῶμα* Meineke, *δῶμα* libri. *κλειστόν* SMA. v. 3 *κρύψας ἂν εἴη* SA, *κρύψασαν ἀν εἴη* M, *κρύψειεν ἂν κἂν ᾖ* Lewis, *κρύψας ἂν ἐκβαίη* Halm Lect. Stob. p. 55, *κρύψας ἂν ἐξίοι* Ellis Journal of philol. IV p. 259. ⟨*οὐκ*⟩ *εἴη κακός* O. Hense *Krit. Bl.* 1 p. 77, *ἐκφεύγοι ψόγον* Gomperz *Nachl.* p. 36.

618

τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
ὅν γ' ἐξαλείφει ῥᾷον ἢ γραφὴν θεός.

Stob. Flor. 93, 10: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Πηλεῖ* (*τηλεῖ* M). '*τὸν — θεός*'. v. 2 *γ'* om. A. *γραφὴν* Meineke, *γράφει* SMA. *θεός*] *χρόνος* bene corr. F. G. Schmidt *Krit. Stud.* 2 p. 481.

619

τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν
σοφώτερον πέφυκε κἀσφαλέστερον,
ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.

Stob. Flor. 115, 6: *Εὐριπίδου Πηλεῖ* (fabulae nomen om. S). '*τὸ γῆρας — κρατεῖ*'. v. 2 *καὶ ἀσφαλέστερον* M. v. 3 extat in Men. mon. 169. *ἡμπειρία* Porson Adv. p. 154. *τε* Stob., *γὰρ* Men. mon.

620

κλύετ' ὦ μοῖραι Διὸς αἵ τε παρὰ
θρόνον ἀγχοτάτω θεῶν ἑζόμεναι

Stob. Ecl. 1, 5, 10 p. 76, 9: *Εὐριπίδου Πηλεῖ.* '*κλῦτε — ἑζόμεναι*'. v. 1 *κλύετ' ὦ* Seidler, *κλῦτε* FP. *μοῖρα* F. v. 2 *ἀγχοτάτα* P pr. m.

621

. . *τὰ δ' ἔνθεν οὐκέτ' ἂν φράσαι λόγῳ*
δακρύων δυναίμην χωρίς

Ioh. Lydus de magistr. 3, 25 p. 217, 22: '*τὰ δ' ἔνθεν — χωρίς*' *κατὰ τὸν Εὐριπίδου Πηλέα.*

622

πάρεσμεν, ἀλλ' οὐκ ᾐσθάνου παρόντα με.

Etym. Flor. p. 153: *ᾔδεισθα δὲ κατὰ συγκοπὴν ᾖσθα γράφεται μετὰ τοῦ Ι. Εὐριπίδης Πηλεῖ* '*πάρεσμεν, ἀλλ' οὐκ ᾖσθ' ἂν οὐ παρόντα με*'. *Ὧρος ὁ Μιλήσιος.* errorem grammatici traditum ΗΙΣΘΑΝΟΥ falso interpretantis agnovit G. Wolff Philol. 28 p. 352.

623

βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν· ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις;

Ar. Nub. 1154: *βοάσομαί τἄρα τὰν ὑπέρτονον βοάν. ἰώ, κλάετ' ὠβολοστάται.* ubi Schol.: *παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου· ἐπιφέρει γὰρ* '*ἰώ — δόμοις;*' *ἥτις* libri, *ἤ τις* Hermann. *ἐν* om. R. *ἐκ Πηλέως Σοφοκλέους* V, ubi sequentia omittuntur. cf. Soph. fr. 451.

624

ἀρκεῖ

Hesych. 1 p. 282: *ἀρκεῖ· προσαρκεῖ, βοηθεῖ. Εὐριπίδης Πηλεῖ.*

ΠΛΕΙΣΘΕΝΗΣ

Argumentum videtur Hyginus tradere fab. 86: *Thyestes Pelopis et Hippodamiae filius quod cum Aeropa Atrei uxore concubuit*), a fratre Atreo de regno est eiectus. at is Atrei filium Plisthenem, quem pro suo educaverat, ad Atreum interficiendum misit: quem Atreus credens fratris filium esse, imprudens filium suum occidit.*

625

οὐ τὸν σὸν ἔκταν πατέρα, πολέμιόν γε μήν.

Schol. A Il. Δ 319: ἔκταν — ἐν χρήσει ὁρᾶται Ἀττικοῖς. Εὐριπίδης Πλεισθένει 'οὐ τὸν — μήν'. οὐ τὸν σὸν ἔκταν πατέρα] fortasse leg. τὸν σὸν κατέκταν παῖδα, quae verba sine poetae et fab. nom. extant in Etym. M. p. 496, 1 et Etym. Gud. p. 305, 28. πολέμιον δ' ἐμόν coni. Th. Gomperz, πολέμιόν γ' ἐμόν vel πολέμιόν γ' ἑλών F. G. Schmidt *Krit. Stud.* 2 p. 481.

626

δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος
μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς,
μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ
μηδ' αὖξε καιροῦ μείζον', οὐ γὰρ ἀσφαλές,
μή σοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ. 5
κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον·
πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.

Stob. Flor. 48, 1: Εὐριπίδου Πλεισθένει. 'δήμῳ — νόσος.' v. 2 κολούσῃς ego temptabam, rectius παρώσῃς suasit Gomperz. v. 3 μὴ δ' libri. δήμῳ χρηστὸν Meineke *Jahrb. f. Philol.* vol. 87 p. 376, δήμῳ ἀρεστὸν Vitelli de Eur. El. p. 21. v. 4 μὴ δ' libri. μεῖζον libri, μείζον' Badham in Eur. Iph. T. praef. p. 9. v. 5 τύραννος χαλεπὸς F. G. Schmidt *Krit. Stud.* 2 p. 482. ἀστοῦ Pierson Verisim. p. 38, αὐτοῦ libri. v. 6 κόλουε Pierson, κώλυε libri.

627

εἰσὶν γὰρ εἰσὶ διφθέραι μελεγγραφεῖς
πολλῶν γέμουσαι Λοξίου γηρυμάτων

Tzetz. in Anecd. Oxon. vol. 3 p. 373, 20: Εὐριπίδης γὰρ μέμνηται διφθερῶν λέγων ἐν Πλεισθένει 'εἰσὶ γὰρ — γηρυμάτων'. v. 1 μελαγγραφεῖς Bergk. v. 2 πολιῶν malim.

*) Ovidius Trist. 2, 391 tragoediarum argumenta recensens: *si non Aeropen frater sceleratus amasset, aversos Solis non legeremus equos.*

628

μηλοσφαγεῖ τε δαιμόνων ἐπ' ἐσχάραις

Eust. Od. p. 1564, 33: *Σοφοκλῆς δὲ καὶ ἀντὶ βωμοῦ οἶδεν ἐσχάραν. λέγει δὲ καὶ Εὐριπίδης 'μηλοσφαγεῖ τε — ἐσχάραις'*. Ammonius Valck. p. 34: *παρὰ δὲ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει 'μῆλος φάγεται δαιμόνων ἐπ' ἐσχάρας'*. Euripidem addidisse suspicor *κνισᾷ τ' ἀγυιάς*, cf. Ar. Av. 1232: *θύειν τοῖς Ὀλυμπίοις θεοῖς μηλοσφαγεῖν τε βουθύτοις ἐπ' ἐσχάραις κνισᾶν τ' ἀγυιάς*.

629

. . . *καὶ κάταιθε χῶτι λῆς πόει.*

Etym. M. p. 564, 22: *τὸ λῇς ἀντὶ τοῦ θέλεις μετὰ τοῦ Ι Εὐριπίδης*. verba poetae servata sunt in Etym. Flor. p. 205: *λῆις* (sic cod.) *σὺν τῷ Ι ⟨τῆς⟩ δευτέρας συζυγίας ἀντὶ τοῦ θέλεις* (*θέλῃς* cod.) *Εὐριπίδης Πλεισθένει 'καὶ — ποίει'. καταιθ' ἔχ' ὠτειλῆς* cod., emend. Fr. Duebner. *πίμπρη με καὶ κάταιθε* coni. Meineke Herm. 3 p. 454. *ποίει* cod., *πόει* scripsi.

630

ἐγὼ δὲ Σαρδιανός, οὐκέτ' Ἀργόλας

Steph. Byz. v. *Ἄργος* p. 113, 9: *λέγεται γὰρ καὶ Ἀργόλας — Εὐριπίδης ἐν Πλεισθένει* (*πλησθένει* libri) *'ἐγὼ δὲ — Ἀργόλας'. οὐκέτ'* Barnes, *οὐ γὰρ οὐκέτ'* V, *γὰρ οὐκέτ'* R.

631

πολὺς δὲ κοσσάβων ἀραγμὸς
Κύπριδος προσῳδὸν ἀχεῖ
μέλος ἐν δόμοισιν.

Ath. XV p. 668 B: *τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοσσάβους. διὸ — καὶ Εὐριπίδης ἐν Πλεισθένει 'πολὺς — δόμοισιν'*. cf. Eust. Il. p. 1170, 53: *κότταβον ὃν ὁ φιλοσίγματος Εὐριπίδης ἐν δυσὶ ΣΣ γράφει.* et mox *χρῆσις δὲ κοσσάβου ἐν τῷ 'πολὺς κοσσάβων ἀραγμός'*. Hesych. 2 p. 524: *κότταβος· λάταξ* (*λάδαξ* cod.). *Εὐριπίδης Πλεισθένει* (*πληθενεῖ* cod.).

632

πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.

Stob. Flor. 93, 16: *Εὐριπίδου Πλεισθένης* (sic M, fabulae nomen om. S, eclogam om. A). *'πολλῶν — κακῶν'*.

633

μόμφος

Antiatt. p. 107, 19: *μόμφον· τὴν μέμψιν. Εὐριπίδης Πλεισθένει.* Eust. Od. p. 1761, 39: *ἐπὶ δὲ πᾶσι λέγει ὁ αὐτὸς γραμματικὸς* (Aristophanes) *καὶ μομφὸν παρ' Εὐριπίδῃ τὴν μέμψιν λεχθῆναι.* cf. quae dixi in Ar. Byz. p. 212.

ΠΟΛΥΙΔΟΣ

Hyginus fab. 136: *Glaucus Minois et Pasiphaae filius dum ludit pila, cecidit in dolium melle plenum. quem cum parentes quaererent, Apollinem sciscitati sunt de puero. quibus Apollo respondit: monstrum vobis natum est, quod siquis solverit, puerum vobis restituet. Minos sorte audita coepit monstrum a suis quaerere, cui* (fort. *qui*) *dixerunt natum esse vitulum, qui ter in die colorem mutaret per quaternas horas, primum album, secundo rubeum, deinde nigrum. Minos autem ad monstrum solvendum augures convocavit. qui cum non invenirent, Polyidus Coerani filius Bizanti*) monstrum demonstravit eum arbori* (*rubi* coni. Muncker) *moro similem esse; nam primum album est, deinde rubrum, cum permaturuit, nigrum. tunc Minos ait ei: ex Apollinis responso filium mihi oportet restituas. quod Polyidus dum auguratur, vidit noctuam super cellam vinariam sedentem atque apes fugantem: augurio accepto puerum exanimem de dolio eduxit. cui Minos ait: corpore invento nunc spiritum restitue. quod Polyidus cum negaret posse fieri, Minos iubet eum cum puero in monumento includi et gladium poni. qui cum inclusi essent, draco repente ad corpus pueri processit. quod Polyidus existimans eum velle consumere, gladio repente percussit et occidit. altera serpens parem quaerens vidit eam interfectam et progressa herbam attulit atque eius tactu serpenti spiritum restituit, idemque* (*puero* addit M. Schmidt) *Polyidus fecit. qui cum intus vociferarentur, quidam praeteriens Minoi nuntiavit, qui monumentum iussit aperiri et filium incolumem recuperavit, Polyidum cum multis muneribus in patriam remisit.* similiter Apollod. 3, 3, 1. vitulum tricolorem commemorat Aristides vol. 2 p. 398: *δύο μορφὰς ἔχοντες ἀντὶ τριῶν τῆς τραγικῆς βοός.* cf. Schol. Aristid. p. 728 sq.: *Πολύειδος πεποίηται δρᾶμα Εὐριπίδῃ, ἐν ᾧ βοῦν τρίχρωμον ποιεῖ εὑρῆσθαι,* ubi quae accedunt *περὶ οὗ γέγονεν αὐτοῖς φιλονεικία βασιλείας,* homini debentur imperito, cuius errorem notavit Valckenaer Diatr. p. 201. noctuam a Polyido visam commemorat Aelianus N. A. 5, 2: *ἐν τῇ Κρήτῃ γλαῦκα μὴ γίνεσθαι φασὶ τὸ παράπαν —,*

---

*) *Bizanti* in *Abantidae* mutari voluit Friebel Satyrogr. p. 154 (coll. Pausan. 1, 34, 5: *Πολυείδου τοῦ Κοιράνου τοῦ Ἄβαντος τοῦ Μελάμποδος*), *dubitantibus* coni. M. Schmidt. contra R. Vnger Philol. 46 p. 224 sq. scribi iubet *Polyidus Coerani filius sciscitanti monstrum demonstravit fetum armenti fetui arboris moro similem esse.*

ἔοικε δὲ ὁ Εὐριπίδης ἀβασανίστως πεποιηκέναι τὸν Πολύειδον ὁρῶντα τήνδε τὴν ὄρνιν καὶ ἐξ αὐτῆς τεκμηράμενον ὅτι εὑρήσει τὸν Γλαῦκον τὸν τεθνεῶτα τοῦ Μίνω υἱόν. Valckenaer huic fabulae adscripsit adespota fr. 166 et 419. *Γλαῦκον* fabulam, quam ter laudat Stobaeus (fr. 637 643 644), ab hoc dramate non diversam esse dudum intellexerunt.

634

ὅστις νέμει κάλλιστα τὴν αὑτοῦ φύσιν,
οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον.

Stob. Flor. 3, 20: *Εὐριπίδου Πολυείδῳ* (sic M, *πολυείδους* A, eclogam om. S). '*ὅστις — συμφέρον*'. v. 1 *τὴν αὑτοῦ φύσιν* MA, *τοῖς αὑτοῦ φίλοις* Trinc. v. 2 *πέφυκε πρὸς* MA, *πέφυκεν εἰς* Trinc.

635

οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι
τῆς φαυλότητος· καὶ γὰρ ἐν κοινῷ ψέγειν
ἅπασι κεῖσθαι δυστυχὲς κοὐκ εὐτυχές.

Stob. Flor. 61, 4: *Εὐριπίδου Πολυείδου* (*πολυειδει* S). '*οἱ τὰς — οὐκ εὐτυχές.*' v. 1 *οἱ τὰς τέχνας ἀσκοῦντες* scribendum suspicor. v. 2 *καὶ γὰρ* Musgrave, *τε γὰρ* SM, *τό τε γὰρ* coni. Wagner. *εἴπερ ἐν κοινῷ ψόγῳ* F. G. Schmidt *Krit. Stud.* 2 p. 482. v. 3 *οὐκ* libri, *κοὐκ* Grotius. *δυστυχοῦς οὐκ εὐτυχοῦς* malebat Conington.

636

ἔα ἔα·
ὁρῶ γ' ἐπ' ἀκταῖς νομάδα κυματοφθόρον
ἁλιαίετον· τὸν παῖδα χερσεύειν μόρος.
εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἔπτατο
ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν 5
τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι·
νῦν δ' ἐκλιπὼν ἤθη τε καὶ νομὸν βίου
δεῦρ' ἔπτατ'· οὐκ οὖν ἔσθ' ὁ παῖς ἐν οἴδμασιν.

Hermog. in Rhet. vol. 3 p. 327: *ὅμοιον τούτῳ καὶ τὸ Εὐριπίδου ἐν Πολυΐδῳ* (*Πολυείδῳ* Vind.) '*εἰ μὲν — τεθνηκέναι*' (v. 4—6). *τῷ γὰρ οἰκῶν παράκειται τὸ ἡρμήνευσεν ἄν· καθ' αὑτὸ δ' ἂν ἦν σκληρόν πως.* ubi Scholion ab Valckenario Diatr. p. 201 sq. editum: *οὕτως ἔχουσι τὰ τοῦ Πολυΐδου ῥητά* '*ἔα ἔα· ὁρῶ — οἴδμασιν*' (v. 1—8). Schol. Hermog. Rhet. vol. 7 p. 1072: '*εἰ μὲν — θάλασσαν*' (v. 4) *ἀντὶ τοῦ εἰ ὁ ἀμφίβιος ὄρνις εἰωθὼς εἰς γῆν πέτεσθαι ἐκ θαλάσσης καὶ ἐκ γῆς εἰς θάλασσαν, κατοικῶν δὲ ἐν ὕδασιν. τὸ*

ἡρμήνευσέν ἐστιν ἡ δριμύτης· ἡ γὰρ ἑρμηνεία κυρίως ἐπὶ ἀνθρώπων ἐστίν, ἐνταῦθα δὲ τὸ ἐδήλωσε σημαίνει. ἡ πρώτη οὖν τροπὴ τὸ 'ὁ κύματα οἰκῶν' (v. 5)· τὸ γὰρ οἰκεῖν οὐ κυρίως λέγοιτ' ἂν ἐπὶ κυμάτων· ἡ δευτέρα δὲ καὶ σκληροτέρα τὸ ἡρμήνευσεν, ὅπερ οὐ δοκεῖ τῷ (διὰ τὸ malim) παρακεῖσθαι τῷ οἰκῶν. similiter Ioh. Sicel. Rhet. vol. 6 p. 411 et Maximus Planudes Rhet. vol. 5 p. 536. v. 2 ὁρῶ τὸν Schol. Hermog., ὁρῶ γ' ἐπ' Valckenaer, ὁρᾷς (ἐπ'?) Dobree Adv. 2 p. 127. κυματότροφον Ruhnken, an κυματόσπορον? v. 3 χερσεύει Schol. Hermog., χερσεύειν Dobree. μόρος] δοκῶ coni. Herwerden Adnot. crit. et exeg. ad Eur. 1 p. 30. v. 4 ἔπτατο Matthiae, ἵπτατο Schol. Hermog. v. 8 οὔκουν ed.

637

φεῦ φεῦ, τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους.

Stob. Flor. 116, 2: *Εὐριπίδου Γλαύκῳ.* 'φεῦ φεῦ — νόσους'. quae his adduntur, γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον. μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει, neque inter se neque cum versu supra scripto cohaerent, quod vidit Meineke; v. 3 iam Grotius a superioribus diremerat. verba φεῦ φεῦ — νόσους repetit Floril. Monac. 129.

638

τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται;

Sextus Empir. p. 175, 1: ὁ γοῦν Εὐριπίδης φησίν 'τίς δ' — νομίζεται;' eosdem versus afferunt Laertius Diog. 9, 73 et Schol. Plat. p. 912 a 47. cf. Scholion recens Ar. Ran. 1478. versum priorem et alterius dimidium (τίς — δὲ ζῆν) habent Plato Gorg. p. 492 E (Stob. Flor. 121, 36 [quam eclogam cum lemmate praebent SA, om. M] Iamblichi Protr. c. 17 p. 246 ed. Kiessl.) Schol. Eur. Hipp. 192 Schol. Ar. Ran. 1082 (Suid. v. τίς δ' οἶδεν) Clemens Alex. Strom. III p. 517 Origenes c. Cels. VII p. 366 ed. Spenc., versum priorem Tzetz. in Anecd. Oxon. vol. 4 p. 25, 26 (qui liberius poetae verba mutavit) et Eust. Opusc. p. 122, 55. adde Olympiod. in Plat. Gorg. p. 355: ὁ Εὐριπίδης λέγει ὅτι τὸ μὲν ζῆν κατθανεῖν ἐστι, τὸ δὲ κατθανεῖν ζῆν. parodia versus expressit Ar. Ran. 1477: τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ πνεῖν (f. τὸ πονεῖν) δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κῴδιον; respicit Ar. Ran. 1082: καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν. de fabula plerique testes silent; e Phrixo locum esse petitum tradunt Schol. Ar. Ran. 1082: παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου 'τίς δ' — δὲ ζῆν;' ἀλλ' ὁ λέγων ἐστὶ Φρῖξος, οὗτος δὲ (Aristophanes) ὡς παρὰ γυναικὸς εἰρημένον αὐτὸ λέγει. et Schol. Plat. l. l.: τὰ ἰαμβεῖα ἐκ τοῦ Φρίξου τοῦ δράματος Εὐριπίδου 'τίς — νομίζεται;' item Schol. Ar. Ran. 1478 (cf. Suid.

v. *τίς δ' οἶδεν*): *τὸ πνεῖν δὲ δειπνεῖν*] *παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου.* vide fr. 833. contra Schol. Eur. Hipp. 192: *ὡς καὶ αὐτὸς ἐν Πολυΐδῳ 'τίς δ' — δὲ ζῆν;'* Schol. Ar. Ran. 1478: *ἐξ Ἱππολύτου Εὐριπίδου* (ita RV, nisi quod *Εὐριπίδου* om. V), ubi *ἐκ Πολυΐδου* recte scripserunt. v. 1 *τίς δ'*] *δ'* om. Ar. Ran. 1477 et Scholion recens huius loci sicut Orig. Tzetz. Eust. v. 2 *δὲ ζῆν*] *δὲ τὸ ζῆν* Clemens. *κάτω νομίζεται*] *νομίζεται βροτοῖς* Laert. Diog., *ὑπνοῦν δὲ τὸ κατθανεῖν* Scholion recens Ar. Ran. 1478.

639

μάτην γὰρ οἴκῳ σὸν τόδ' ἐκβαίη τέλος

Schol. AB Il. *K* 56: *τέλος — τὸ δαπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδῳ 'μάτην — τέλος'.* fabulae nomen omittunt Eust. Il. p. 789, 14 et Scholion recens Ar. Ran. 368. *γὰρ* om. Schol. Il. libri deteriores et Schol. Ar., *δ'* praebet Eust., *ἄρ'* coni. Valckenaer Diatr. p. 203, *γ' ἂν* Matthiae, *ἂν* Cobet Coll. crit. p. 225. *οἴκων σὸν* Schol. Il. cod. A, *οἴκῳ σὸν* cod. B, *εἰκοστὸν* deteriores libri Schol. Il. sicut Schol. Ar. et Eust., *οἴκῳ σῷ* coni. Valckenaer, *οἴκων σῶν* Cobet Mnem. vol. 7 (a. 1858) p. 477.

640

. . . ἀνθρώπων δὲ μαίνονται φρένες,
δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς.

Stob. Flor. 123, 1: *Εὐριπίδου Πολυΐδῳ* (*πολυϊδου* M). *'ἀνθρώπων — κενάς'.* v. 1 *ἄνθρωποι δὲ λείπονται φρενῶν* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 483.

641

πλουτεῖς, τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι·
ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις,
πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές.

Stob. Flor. 95, 7: *Εὐριπίδου Πολυείδῳ* (sic MA, poetae nomen om. S, ubi *ει* ex *ϊ* corr. pr. m.). *'πλουτεῖς — διὰ τὸ δυστυχές'.* v. 3 om. poetae et fab. nom. affert Clemens Alex. Strom. IV p. 574: *εἴρηταί γε ἡ πενία σοφίαν ἔλαχε διὰ τὸ συγγενές.* Themistius Orat. XIII p. 164 B: *ἤκουον γὰρ παρὰ τῶν ποιητῶν ὅτι πενίη σοφίαν ἔλαχε.* Prov. Milleri *Mél. de litt. gr.* p. 363 (Zenobius 5, 72): *πενία δὲ σοφίαν ἔλαχε· κομματικῶς τοῦτο ἐκ τῶν Εὐριπίδου εἵλκυσται, παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσιν.* Greg. Cypr. 3, 53: *πενίη σοφίην ἔλαχε.* cf. Diogenian. Vind. 3, 59 Greg. Cypr. Leid. 2, 100 Suid. v. *πενία.* Theodorus Prodromus *ἀνατροπὴν τοῦ 'ἡ πενίη σοφίην ἔλαχε'* scripsit. *συγγενές* Clemens, *δυστυχές* Stob.

642

οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον
τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει,
ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.

Stob. Flor. 91, 8: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Πολυΐδου* (sic SA, *πολυείδου* M). '*οὐ γὰρ — φέρει*'. v. 1 *οὐ γάρ* ⟨*τι*⟩ coni. Meineke, ego *οὐκ ἄρα* temptabam, *οὔτἄρα* praefert Cobet Coll. crit. p. 226. *κρητῆρα* SMA. v. 2 et 3 *ἔχει* et *φέρει* sedem mutasse suspicor.

643

βαρὺ τὸ φόρημ' οἴησις ἀνθρώπου κακοῦ.

Stob. Flor. 22, 1: *Εὐριπίδου Γλαύκῳ* (sic SA, in M lemma per errorem ad ecl. 2 translatum est, v. Eur. fr. 425). '*βαρὺ τὸ — κακοῦ*'. *φόρημ'* Salmasius, *φρόνημ'* SMA. *βαρύ τι φόρημ'* coni. Wagner, *ἦ βαρὺ φόρημ'* (ex Aesch. fr. 392) Cobet Coll. crit. p. 226, qui ipsum versum tragoedia vix dignum censet. *οἴησις* in *ὄνησις* mutari vult F. G. Schmidt *Krit. Stud.* 2 p. 483. in A codice cum hoc versu coniuncta sunt verba *ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ, φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει* (fr. 425).

644

ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,
νοσεῖν τίθησι τὰς ἀμεινόνων φρένας,
παράδειγμ' ἐχόντων τὴν κακῶν ἐξουσίαν.

Stob. Flor. 45, 3: *τοῦ αὐτοῦ* (Eur.) *Γλαύκῳ* (*γλεύκω* M). '*ὅταν — ἐξουσίαν*'. v. 1 *κακός* ex *κακῶς* correctum in S. v. 2 *τῶν* SMA, *τὰς* Cobet Coll. crit. p. 226. v. 3 *ἐχόντων τὴν κακῶν* Cobet, *ἔχοντας τῶν κακῶν* SMA.

645

συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δόκει,
ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ
ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά,
ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων.
ἤτἄρα θνητῶν εἰσιν ἀσυνετώτεροι 5
ἢ τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης.

Stob. Flor. 28, 12: *Εὐριπίδου* (sic SMA, eandem eclogam habet lemmate non iterato L). '*συγγνώμονάς — κακά*' (v. 1—3). integrum locum servavit Stob. Ecl. 1, 3, 40 p. 59, 12: '*συγγνώμονάς — δί-*

κης', ubi ad v. 3 F *εὐριπίδ πολυείδω*, P *εὐριπίδ* adscribit, quod lemma dubitat Wachsmuth utrum ad ecl. 39 referendum sit cum prioribus edit. an ad ecl. 40, quam Euripideam esse aliunde constat. v. 1 *δόκει* Flor. L, *δοκεῖ* SM et Ecl. FP, *δοκεῖς* Flor. A. v. 2 *ὅρκῳ* Ecl. P, *ὅρκον* F, *ὅρκοις* Flor. *ἐκφεύγειν* Flor. v. 4 ex Iph. Aul. 1190 interpolatum censet O. Hense. *ἢ τοῖσιν* coni. Valckenaer Diatr. p. 187, *ἢ καὶ σὺν* Boissonade, *ἢ ἑταισιν* Meineke. v. 5 *ἢ τἄρα* FP, *ἤτἄρα* scripsi. v. 6 *ἢ* FP, *εἰ* Valckenaer, *οἳ* Vsener.

646

διαβάλλω

Erotianus Gloss. Hippocr. p. 62, 13: *διεβλήθησαν — μέμνηται* (sc. *Εὐρ.*) *τῆς λέξεως καὶ ἐν Πολυείδῳ καὶ ἐν Ὀρέστῃ.*

ΠΡΩΤΕΣΙΛΑΟΣ

Schol. Aristid. p. 671 sq.: *ὁ Πρωτεσίλαος δρᾶμα γέγραπται Εὐριπίδῃ. λέγει* (*λέγεται* Oxon.) *δὲ ὅτι γαμήσας καὶ μίαν ἡμέραν μόνην συγγενόμενος τῇ γυναικὶ αὐτοῦ ἠναγκάσθη μετὰ τῶν Ἑλλήνων κατὰ τῆς Τροίας ἐλθεῖν καὶ πρῶτος ἐπιβὰς τῆς Τροίας ἐτελεύτησε. καὶ φασὶν* (*φησὶν* D) *ὅτι τοὺς κάτω δαίμονας ᾐτήσατο καὶ ἀφείθη μίαν ἡμέραν καὶ συνεγένετο τῇ γυναικὶ αὐτοῦ.* Euripidem potissimum sequi videtur Hyginus fab. 103 et 104: *Achivis fuit responsum, qui primus litora Troianorum attigisset periturum. cum Achivi classem applicuissent, ceteris cunctantibus Iolaus Iphicli et Diomedeae filius primus e navi prosiluit, qui ab Hectore confestim est interfectus. quem cuncti appellarunt Protesilaum, quoniam primus ex omnibus perierat. quod uxor Laodamia Acasti filia cum audisset* [*eum perisse*], *flens petit a diis ut sibi cum eo tres horas colloqui liceret. quo impetrato a Mercurio reductus, tres horas cum eo conlocuta est. quod iterum cum obisset Protesilaus, dolorem pati non potuit Laodamia. Laodamia — fecit simulacrum cereum simile Protesilai coniugis et in thalamis posuit sub simulatione sacrorum et eum colere coepit. quod cum famulus matutino tempore poma ei attulisset ad sacrificium, per rimam adspexit viditque eam ab amplexu Protesilai simulacrum tenentem atque osculantem. aestimans eam adulterum habere Acasto patri nuntiavit. qui cum venisset et in thalamos inrupisset, vidit effigiem Protesilai. quae ne diutius torqueretur, iussit signum et sacra pyra facta comburi. quo se Laodamia dolorem non sustinens inmisit atque usta est.* cf. Eust. Il. p. 325 Ovid. Heroid. epist. 13 al. quid in mytho novarit Euripides, docta et subtili disputatione expendit Maximilianus Mayer Herm. 20 p. 101—134.

647

ἄξιος δ' ἐμὸς
γαμβρὸς κέκλησαι παῖδά μοι ξυνοικίσας.

Phot. Lex. p. 410, 9 et Suid.: *πενθερὰ τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ, καὶ πενθερὸς ὁ πατήρ· Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει. — καὶ ὁ Πρωτεσίλαος τῷ Ἀκάστῳ* (sic Elmsley in Eur. Heracl. 279, *ἀλκάστω* Phot., *ἀλκάθῳ* Suid.) *φησίν* '*ἄξιος — ξυνοικίσας*'. v. 1 *ἀξίως* Kuester. v. 2 *ξυνοικήσας* Phot.

648

οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων

Schol. Soph. Oed. C. 10 (Suid. v. *βέβηλος*): *βέβηλος ἀνήρ, ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ* '*οὐ γὰρ — δόμων*'. *βέβηλον* Tricl., *βεβήλοις* codex L, *βέβηλοι* Suid. *δόμων* num sanum sit (ut existimat M. Mayer Herm. 20 p. 115), dubitat F. G. Schmidt *Krit. Stud.* 2 p. 483 sq.

649

πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει.

Stob. Flor. 124, 8: *Εὐριπίδου Πρωτεσίλαος.* '*πέπονθεν — μένει*'.

650

πόλλ' ἐλπίδες ψεύδουσι καὶ λόγοι βροτούς.

Stob. Flor. 111, 4: *Εὐριπίδου Πρωτεσίλαος.* '*πόλλ' — βροτούς*'. *ἐλπίδες* M. *καὶ λόγοι* Dindorf, *καὶ ἄλογοι* SMA. *ψεύδουσιν ἄλογοι* coni. Matthiae, *ψεύδουσιν αἱ τυφλαὶ* Herwerden Exerc. crit. p. 57, *ψεύδουσι κουφόνοι* Enger Mus. Rhen. 23 p. 688, *ψεύδουσιν εὔλογοι* R. Prinz ibid. 29 p. 357 sq.

651

οὐ θαῦμ' ἔλεξας θνητὸν ὄντα δυστυχεῖν.

Stob. Flor. 98, 47: *Εὐριπίδου Πρωτεσίλαος* (sic MA, lemma om. S). '*οὐ — δυστυχεῖν*'.

652

ὦ παῖδες οἷον φίλτρον ἀνθρώποις φρενός

Stob. Flor. 75, 7: *Εὐριπίδου ἐν Πρωτεσιλάῳ* (sic MA, *ἐν Πρ.* om. S). '*ὦ — φρενός*'. *οἱ παῖδες* F. G. Schmidt *Krit. Stud.* 2 p. 484.

653

κοινὸν γὰρ εἶναι χρῆν γυναικεῖον λέχος.

Clemens Alex. Strom. VI p. 751: *Πλάτωνός τε ἐν Πολιτείᾳ εἰπόντος κοινὰς εἶναι τὰς γυναῖκας Εὐριπίδης ἐν Πρωτεσιλάῳ γράφει* '*κοινὸν — λέχος*'. *εἶναι ἄρα καὶ* L, *εἶναι χρῆν* scripsi.

654

δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

Stob. Flor. 19, 3: *Εὐριπίδου ἐκ Πρωτεσιλάου.* '*δυοῖν — σοφώτερος*'. eosdem versus sine p. et fab. nom. praebet Stob. Flor. 5, 18 (quam eclogam habet Trinc., om. SMA) et om. fab. nom. Plut. de liberis educandis c. 14 p. 10 B.

655

οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον.

Dio Chrysost. 37, 46: *ἡμεῖς δ' οὐ παρέχωμεν τὸν ἀνδριάντα χωνεύειν, κἂν αἰσθάνηται; νῦν δ' ὃ μὲν κρείττων αἰσθήσεως, ἐγὼ δὲ κατὰ* (*καὶ* ante Valesium) *τὴν Εὐριπίδου Λαοδάμειαν* '*οὐκ ἂν — φίλον*'. *οὐκ ἂν προδοίην* verba recurrunt Phoen. 1624.

656

. . σα λαιμὸν ἢ πεσοῦσ' ἀπ' ἰσθμίου
κευθμῶνα πηγαῖον ὕδωρ

Proverb. cod. S (Paris. suppl. gr. 676, cf. L. Cohn *Zu den Paroemiogr.* in *Breslauer philol. Abhandl.* II, 2 p. 82): *χαλεπὸς βίος ἴσφνια ἄγοντος· φασί τινες σημαίνειν τὸν θρυλλούμενον τῶν κεραμέων πλοῦτον καὶ τὰς εἰς τὰ ὄστρακα ἐλπίδας· ἴσφνια γὰρ λέγεται τὰ περιστόμια τῶν κεράμων, ἅπερ εἰσὶ πολλάκις . . ων τμημ*[τ]*· ὅτι γὰρ ταῦτα οὕτως καλεῖται, δηλοῖ Εὐριπίδης ἐν τῷ Πρωτεσιλάῳ λέγων* '*δη*[τ]*·σ*[α] *λαιμὸν ἢ πεσοῦσ' ἀπ' ἰσφνίου κευθμῶνα πηγαῖον ὕδωρ*'. proverbium de quo agitur, aliis fuisse *χαλεπὸς βίος Ἴσθμι' ἄγοντος*, et *ἴσθμια* dici *τὰ περιστόμια τῶν κεράμων*, colligimus ex Suida: *ἴσθμια· περιστόμια — καὶ ἰσθμιάζειν ἐπὶ τῶν κακῶς βιούντων· ἐπίνοσος γὰρ ὁ τῶν Ἰσθμίων καιρός.* item Euripidem *ἀπ' ἰσθμίου* potius quam *ἀπ' ἰσφνίου* scripsisse arbitror, quamquam L. Cohn *ἴσφνιον* defendit Hesychii glossis *ἰσφαίνει* et *ἰσθμαίνων*, quibuscum cf. Theognost. p. 14, 22 et p. 14, 27. quae Euripidis perhibentur verba hunc in modum refinxerim,

παίσασα λαιμὸν ἢ πεσοῦσ' ἀπ' ἰσθμίου
⟨φρέατος ἐς⟩ κευθμῶνα πηγαῖόν ⟨θ'⟩ ὕδωρ.

agitur enim, id quod Gomperz *Nachl.* p. 37 perspexit, de Laodamia dubitante quod mortis genus oppetat, utrum gladio pereat an in puteum se coniciat. *ἴσφνιον* (sive *ἴσθμιον*) de putei margine accipiendum esse Gomperz docuit (cf. Ath. XV p. 677 C. Moer. p. 193 Phot. Lex. p. 114, 13), qui v. 2 *ἄβυσσον ἐς κευθμῶνα* praefert.

657

ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ
γυναῖκας ἑξῆς, σκαιός ἐστι κοὐ σοφός·
πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν,
τὴν δ' ὥσπερ αὕτη λῆμ' ἔχουσαν εὐγενές.

Stob. Flor. 69, 9: *Εὐριπίδου Πρωτεσιλάου* (*πρωτεσιλάω* M). '*ὅστις — εὐγενές*'. v. 1 *δὲ* om. A. *ψέγει* ex *ψόγω* corr. S pr. m. v. 4 *αὕτη* Trinc., *αὐτη* vel *αὐτη* S, *αὐτῇ* vel *αὑτῇ* M, *αὐτὴ* vel *αὐτῇ* A.

ΡΑΔΑΜΑΝΘΥΣ

Ab veteribus criticis spuriam hanc fabulam iudicatam esse docet Vita Eurip. p. 135, 33 (vide p. 547). de argumento non constat. Preller huc referendum suspicatur Epigr. Cyzic. Anthol. Pal. 3, 13: *Ἀλκίδας ὁ θρασὺς Ῥαδαμάνθυϊ ματέρα τάνδε Ἀλκμήναν ὅσιον πρὸς λέχος ἐξέδοτο.*

658

οἳ γῆν ἔχουσ' Εὐβοΐδα πρόσχωρον πόλιν

Strab. VIII p. 356: *Στησίχορον δὲ καλεῖν πόλιν τὴν χώραν Πῖσαν λεγομένην, ὡς ὁ ποιητὴς τὴν Λέσβον Μάκαρος πόλιν, Εὐριπίδης δ' ἐν Ἴωνι — καὶ ἐν Ῥαδαμάνθυϊ 'οἳ γῆν — πόλιν'.*

659

ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου·
ὃ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν,
τῷ δ' οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις·
ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν 5
λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ·
οἳ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν· οὕτω βίοτος ἀνθρώπων πλάνη.
ἐγὼ δὲ τούτων οὐδενὸς χρῄζω τυχεῖν,
δόξαν ⟨δὲ⟩ βουλοίμην ἂν εὐκλείας ἔχειν. 10

Stob. Ecl. 2, 8, 12 p. 155, 6: *τοῦ αὐτοῦ* (sic F, *εὐριπίδου* P).

'*ἔρωτες ἡμῖν — εὐκλείας ἔχειν*'. Stob. Flor. 64, 24: *Εὐριπίδου Ῥαδάμανθυς* (sic MA, poetae nomen om. S). '*ἔρωτες — πλάνη*' (v. 1—8). v. 1 *πᾶνοι* Ecl. F. v. 2 *ἱμέρει* Flor. A, *ἱμείρεται* Ecl. FP. v. 4 *πατὴρ* Stob., *πάτωρ* Dindorf, cf. Schol. Eur. Or. 1197: *πεπᾶσθαι — ἔνθεν καὶ τὸ πολυπάμονος. ἠτυμολόγησε δὲ τὸ πατήρ παρὰ τὸ πεπᾶσθαι, καὶ ἀλλαχοῦ 'πολλῶν καλεῖσθαι βούλομαι πατὴρ δόμων' ἀντὶ τοῦ δεσπότης. δόμοις* Stob. Flor., *δόμων* Schol. Eur., *δ' ὅμως* Stob. Ecl. v. 5 *ἐκ* om. Flor. A, *ἐα* praebet M. v. 6 *λέγοντα* Ecl. FP. v. 7 *βροτῶν*] *λαβεῖν* coni. Meineke. v. 8 *βίωτος* Flor. M et S (ubi ω ex ο corr. pr. m.), *βιωτὸς* Ecl. FP. *ἀνθρώποις* Ecl. FP. v. 9 *δὲ* addidit Grotius.

660

οὐδεὶς γὰρ ἡμᾶς ⟨*ὅστις*⟩ *ἐξαιρήσεται.*

Antiatt. p. 94, 1: *ἐξαιρεῖν ἀντὶ τοῦ ἀφαιρεῖν* (*ἐξαίρειν* et *ἀπαίρειν* cod.). *Εὐριπίδης δὲ Ῥαδαμάνθυϊ 'οὐδεὶς — ἐξαιρήσεται', ἀντὶ τοῦ ἀφαιρήσεται. ἡμᾶς* cod., *ἡμᾶς* ⟨*αὐτὸν*⟩ coni. Pierson ap. Valcken. Diatr. p. 203, *ἡμᾶς* ⟨*ὅστις*⟩ W. F. A. van Dam Mnem. nov. 1 p. 432. Eur. Alc. 848: *οὐκ ἔστιν ὅστις αὐτὸν ἐξαιρήσεται.* Heracl. 977: *τοῦτον δ' — οὐκ ἔστι θνητῶν ὅστις ἐξαιρήσεται.* Med. 793: *οὔτις ἔστιν ὅστις ἐξαιρήσεται.*

ΣΘΕΝΕΒΟΙΑ

Ar. Ran. 1043 Aeschylum dicentem facit: *ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας οὐδὲ Σθενεβοίας.* item v. 1051: *ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους ἀνέπεισας κώνεια πιεῖν αἰσχυνθείσας διὰ τοὺς σοὺς Βελλεροφόντας.* Scholion Greg. Cor. e codice Mediceo partim in Rhet. vol. 7 p. 1321, plenius ab Welckero Tragod. p. 777 editum: *ταῦτα λέγει Εὐριπίδης ἐν Σθενεβοίᾳ τῷ δράματι εἰσάγων τὸν Βελλεροφόντην γνωμολογοῦντα. ἔστι δὲ ἡ ὑπόθεσις αὕτη. Προῖτος ἦν Ἀκάμαντος* (immo *Ἄβαντος*) *υἱός, Ἀκρισίου δὲ* ⟨*ἀδελφός*⟩, *βασιλεὺς δὲ Τίρυνθος. γήμας δὲ Σθενέβοιαν ἐξ αὐτῆς ἐγέννησε παῖδας**). *Βελλεροφόντου δὲ φεύγοντος ἐκ Κορίνθου διὰ φόνον, αὐτὸν μὲν ἥγνισε τοῦ μύσους, ἡ γυνὴ δὲ αὐτοῦ* ⟨*τὸν Βελλεροφόντην*⟩ *ἠγάπησε· τυχεῖν δὲ οὐ δυναμένη τῶν ἐπιθυμηθέντων διέβαλλεν ὡς ἐπιθέντα αὐτῇ τὸν Κορίνθιον. πεισθεὶς δὲ ὁ Προῖτος ἐξέπεμψεν αὐτὸν εἰς Καρίαν ἵνα ἀπόληται, δέλτον* ⟨*δὲ ἣν ἐγεγράφει*⟩ *ἐκέλευσεν πρὸς Ἰοβάτην διακομίζειν. ὃ δὲ τοῖς γράμμασιν ἀκόλουθα πράττων προσέταξεν αὐτῷ διακινδυνεῦσαι πρὸς τὴν Χίμαιραν. ὃ δὲ ἀγωνισάμενος τὸ θηρίον ἀνεῖ*⟨*λε καὶ μετὰ ταῦτα*⟩ *ὑποστρέψας εἰς τὴν*

---

*) Cf. Apollod. 2, 2, 1: *ὃ δὲ* (Proetus) *ἧκεν εἰς Λυκίαν πρὸς Ἰοβάτην, ὡς δέ τινες φασὶ πρὸς Ἀμφιάνακτα, καὶ γαμεῖ τὴν τούτου θυγατέρα, ὡς μὲν Ὅμηρος Ἄντειαν, ὡς δὲ οἱ τραγικοὶ Σθενέβοιαν.*

Τί⟨ρυνθα πρῶτον μὲν ἐ⟩μέμψατο τὸν Π⟨ροῖτον, ἔπειτα⟩ δὲ καὶ τὴν Σθενέβο⟨ιαν ἠπείλησεν⟩ ἀπάγξειν (*ἀπάξειν* cod.). *μαθὼν ⟨δὲ τὴν γυναῖκα τοῦ⟩ Προίτου δεύτερον ἐπιβ⟨ουλεύουσαν αὐτῷ⟩ ἀνεχώρησεν ἀνα⟨βιβάσας ἐπὶ τὸν⟩ Πήγασον τὴν Σθενέβο⟨ιαν. καὶ ἐλθὼν⟩ ἐπὶ τὴν θάλασσαν ἤρ⟨θη εἰς ὕψος. γενόμενος⟩ δὲ κατὰ Μῆλον τὴν νῆσον ⟨εἰς τὴν θάλασσαν ἔρ⟩ριψεν αὐτήν, ἣν* (*μὲν* cod.) *ἀποθ⟨ανοῦσαν εὑρόντες τινὲς⟩ ἁλιεῖς ἀναλαβόντες ⟨ἐκόμισαν⟩ εἰς Τίρυνθα. πάλιν δὲ ὑποστ⟨ρέψας ὁ⟩ Βελλεροφόντης πρὸς τὸν Προῖ⟨τον⟩ αὐτὸς ὡμολόγησεν πεπραχέναι ταῦτα· δὶς γὰρ ἐπιβουλευθεὶς ὑπ' ἀμφοτέρων δίκην εἰληφέναι τὴν πρέπουσαν, τῆς μὲν εἰς τὸ ζῆν, τοῦ δὲ εἰς τὸ λυπεῖσθαι.* ita fere locum margine laeso mutilum Welckeri et Meinekii coniecturis adiutus restituerim. Schol. Ven. Ar. Pac. 140 (cf. Suid. v. *τραγικώτερος*): *δοκεῖ ὁ Βελλεροφόντης τὴν τοῦ Προίτου γυναῖκα μετὰ τὴν τῆς Χιμαίρας ἀναίρεσιν ἐπανελθὼν εἰς Κόρινθον* (*Τίρυνθον* scribi vult Hartung Eur. rest. 1 p. 79) *ἀπατῆσαι ὡς ἕξων* (*καὶ ἐξὸν* cod. Ven.) *γυναῖκα καὶ ἐπιβιβάσας τοῦ Πηγάσου εἰς μέσην ῥῖψαι τὴν θάλασσαν.* Iohannes Malalas postquam de Proeto, Stheneboea, Bellerophonte, Iobata suo more quaedam narravit, haec addit p. 84, 16: *καθὼς συνεγράψατο Εὐριπίδης ὁ τραγικὸς ποιητὴς πληρώσας τὸ δρᾶμα.* Ovidius Trist. 2, 397 tragoediarum argumenta recensens: *nam quid de tetrico referam domitore Chimaerae, quem leto fallax hospita paene dedit?* proclivi errore haec fabula cum Bellerophonte confunditur (vide fr. 662 666 669). de utraque fabula disputavit Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. d. Wissensch. zu München* 1888 vol. 1 p. 98—109, qui huc referri vult Eur. fr. 305. Meineke ex Stheneboea desumptum esse coniecit adesp. fr. 60, Hartung (Eur. rest. vol. 2 p. VII) adesp. fr. 292.

661

Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα.

Ar. Ran. 1217: ΕΥΡ. — *πρὸς γὰρ τουτονὶ τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον. 'οὐκ ἔστιν — ἢ δυσγενὴς ὢν'* ΑΙΣΧ. *ληκύθιον ἀπώλεσεν.* ubi Schol. v. 1219: *τὸ λοιπὸν τοῦ ἰάμβου 'πλουσίαν ἀροῖ πλάκα'. Σθενεβοίας δὲ ἡ ἀρχή.* eundem locum om. poetae et fab. nom. affert Gregorius Naz. vol. 2 p. 210 B. v. 1 addito Euripidis nomine laudant Nicostratus Com. 3 p. 288 et Philippides Com. 4 p. 472, sine p. et fab. nom. habent Aristot. Rhet. 2, 21 p. 1394 b 2 anonymus Letronnii *Les papyrus grecs* p. 98 sq. Plut. Consol. ad Apollon. c. 4 p. 103 B Men. mon. 697. cf. Eur. fr. 45: *ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.* v. 3 affertur om. poetae et fab. nom. in Schol. Eur. Hec. 8.

662

πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους
γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία.

Stob. Flor. 68, 15: *Εὐριπίδου Σθενεβοίας.* '*πολλοὺς — νηπία*'. iidem versus cum lemmate *Εὐριπίδου Βελλεροφόντης* (sic SA, *βελλεροφῶν*[r] M) extant in Stob. Flor. 72, 6. cum priore versu cf. Eur. fr. 1040, 2. v. 2 *κατῄσχυν' ἐν* Flor. 72 S (ubi *κατῄσχυνεν* M, *κατῄσχυνε* A), *κατῄσχυνεν ἐν* Flor. 68 SMA.

663

ποιητὴν δ' ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.

Ar. Vesp. 1074: *ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν.* ubi Schol.: *ὁ στίχος Εὐριπίδου ἐκ Σθενεβοίας.* Plut. de Pythiae orac. c. 20 p. 405 F: *ὁ δ' Εὐριπίδης εἰπὼν ὡς Ἔρως ποιητὴν διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν, ἐνενόησεν ὅτι ποιητικὴν καὶ μουσικὴν ἔρως δύναμιν — κινεῖ.* Plut. Amator. c. 17 p. 762 B: *καίπερ ὢν ἐρωτικὸς ὁ Εὐριπίδης τὸ σμικρότατον ἀπεθαύμασεν, ἐπεὶ* '*ποιητὴν ἄρα Ἔρως — τὸ πρίν*'. Plut. Symp. 1, 5, 1 p. 622 C: *πῶς εἴρηται τὸ* '*μουσικὴν δ' ἄρα Ἔρως — τὸ πρίν*' *ἐζητεῖτο.* Plat. Sympos. p. 196 E (Stob. Flor. 63, 36): *πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν Ἔρως ἅψηται.* Nicias Milesius in Argum. Theocr. Id. 11: *ἦν ἄρ' ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ ἔρωτες πολλοὺς ποιητὰς ἐδίδαξαν τοὺς πρὶν ἀμούσους.* Aristid. vol. 1 p. 51: (*Διόνυσος*) *ποιεῖ χορευτήν, κἂν ἄμουσος ᾖ τὸ πρίν.* ibid. p. 322: *ὑφ' ὧν τις,* '*κἂν ἄμουσος ᾖ τὸ πρίν*' *κατ' Εὐριπίδην, ἐμμελής τε καὶ δεξιὸς εὐθὺς γίγνεται.* Longinus de subl. c. 39, 2: *οὐ γὰρ αὐλὸς — ἀναγκάζει βαίνειν ἐν ῥυθμῷ καὶ συνεξομοιοῦσθαι τῷ μέλει τὸν ἀκροατήν, κἂν ἄμουσος ᾖ παντάπασι.* v. 1 *ποιητὴν*] *μουσικήν* Plut. Mor. p. 622 C. v. 2 imitatus putatur Menander Com. 4 p. 146: *χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφόν,* quo de versu cf. Eur. fr. 715, 2.

664

πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός,
ἀλλ' εὐθὺς αὐδᾷ '*τῷ Κορινθίῳ ξένῳ*'.

Ath. X p. 427 E: *τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν· διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησίν, ἐπειδὴ νομίζει τὸν Βελλεροφόντην τεθνάναι,* '*πεσὸν — ξένῳ*'. v. 2 ridet Cratinus Com. 2 p. 179: *ἵησι λάταγας τῷ Κορινθίῳ πέει.* item Ar. Thesm. 404: *ἀνὴρ ἐρωτᾷ· τῷ κατέαγεν ἡ χύτρα; οὐκ ἔσθ' ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ.* ubi Scholia: *ἐκ Σθενε-*

βοίας Εὐριπίδου. Hesychius 2 p. 517: *Κορίνθιος ξένος· ἐπὶ τῶν τὰς λάταγας ῥιπτούντων* (interponitur *κορίννουσι· κονιορτὸν ἐγείρουσιν* loco alieno), *ἀπὸ τῆς παρ' Εὐριπίδῃ Σθενεβοίας τῷ Βελλεροφῶντι* - .*π.χενούσης* (sic cod.), de quo loco egit Pierson in Moer. p. 253 sq.

665

τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἔρως
μᾶλλον πιέζει

Ar. Vesp. 111: *τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ μᾶλλον δικάζει.* ubi Schol.: *παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας 'τοιαύτ' ἀλύει νουθετούμενος ἔρως'.* Plut. de adulat. et amico c. 32 p. 71 A: *οὐ γὰρ ἁπλῶς νουθετούμενος ἔρως μᾶλλον πιέζει κατ' Εὐριπίδην, ἀλλ' ἐὰν νουθετῇ τις ἐν πολλοῖς κτέ.* verba *νουθετούμενος δ' ἔρως μᾶλλον πιέζει* om. poetae et fab. nom. habet Galenus vol. 5 p. 411.

666

ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων
μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν;

Stob. Flor. 73, 20: *Εὐριπίδου Βελλεροφόντης. 'ὦ — ἄν;'* v. 2 *ἐξείπῃ* A. ex Stheneboea esse haec verba a Bellerophonte dicta recte agnovit Meineke *Zeitschr. f. d. Alt.* 1843 p. 188. increpari non ipsam Stheneboeam, sed Stheneboeae nutricem, probabiliter coni. Wecklein.

667

τίς ἄνδρα τιμᾷ ξεναπάτην;

Phot. Lex. p. 309, 14: *ξεναπάτας· ἰδίως ἐπὶ τῶν ὅταν μὴ τοιοῦτοι πνέωσιν ἄνεμοι ἐν τοῖς πελάγεσιν ὁποῖοι ἐν τοῖς λιμέσιν* (eadem Antiatt. p. 109, 30. ubi *ξεναπατᾶς* ed.). *Εὐριπίδης Σθενεβοίᾳ 'τίς — ξεναπάτην'.* Pollux 3, 58: *ξεναπάτην δὲ Εὐριπίδης εἴρηκε καὶ ξενοφόνον.*

668

ἄνευ τύχης γάρ, ὥσπερ ἡ παροιμία,
πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.

Stob. Flor. 29, 36: *Εὐριπίδου Σθενεβοίας. 'ἄνευ — βροτούς'.* v. 1 *ἂν εὐτυχῇς* coni. Badham in Eur. Iph. T. praef. p. 3 sq., *ἢν εὐτυχῇ* Vitelli. v. 2 *πόνος πονηθεὶς* Vitelli. *οὐκέτ' ἀλδαίνει* (*ἀλδανεῖ* Munro) *βροτούς* Musgrave, *οὐδὲν ἀλφάνει βροτοῖς* Const. Matthiae. alia temptavit F. G. Schmidt *Krit. Stud.* 2 p. 484 sq.

669

πέλας δὲ ταύτης δεινὸς ἵδρυται Κράγος
ἔνθηρος, ᾗ ληστῆρσι φρουρεῖται . .
κλύδωνι δεινῷ καὶ βροτοστόνῳ βρέμει
πτηνὸς πορεύσει

Ar. Pac. 124: ΚΟΡΑΙ ΤΡΥΓΑΙΟΥ. *καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται; ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.* ΤΡΥΓΑΙΟΣ. *πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.* ubi Schol. Ven. v. 125: *ὁ λόγος ἐκ Σθενεβοίας Εὐριπίδου. τινὲς δὲ οἴονται ἐκ Βελλεροφόντου παρῳδῆσαι* (*παρῳδῆσθαι* Meineke). *ἔστι δὲ ἐν Σθενεβοίᾳ παρὰ τῷ τραγικῷ οὕτως* '*πέλας δὲ — πτηνὸς πορεύσει*'. v. 1 *κρά*[τ] codex, *Κράγος* Meineke. v. 2 *ἢ ληστὴς φρουρεῖται* cod., *ᾗ ληστῆρσι φρουρεῖται* ⟨*πόρος*⟩ Meineke. v. 3 *καὶ βαρυστόνῳ* Dindorf, *καὶ βροτοκτόνῳ* Meineke, *κἀβροτοστόνῳ* Conington. *βρέμων* Meineke. v. 4 '*πτηνὸς πορεύσει* non liquet utrum tragici sint verba an Aristophanis ex versu proximo'. *Dindorf.* integrum versum *πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι* Euripidis esse coni. Meineke Exerc. in Ath. spec. 1 p. 32 sive Ath. vol. 4 p. 188, cf. van de Sande Bakhuyzen de parodia in com. Aristoph. p. 72.

670

βίος δὲ πορφυροῦς θαλάσσιος
οὐκ εὐτράπεζος, ἀλλ' ἐπάκτιοι φάτναι.
ὑγρὰ δὲ μήτηρ, οὐ πεδοστιβὴς τροφὸς
θάλασσα· τήνδ' ἀροῦμεν, ἐκ ταύτης βίος
βρόχοισι καὶ πέδαισιν οἴκαδ' ἔρχεται. 5

Ath. X p. 421 F: *ἐν Σθενεβοίᾳ δ' Εὐριπίδης περὶ εὐτελείας λέγων* '*βίος — ἔρχεται*'. v. 1 *πορφυρέως* coni. Lobeck in Phryn. p. 234, *πορφυρέων* Meineke Ath. 4 p. 187, *πορφυρεὺς* G. Hermann in Aesch. Pers. 312. *θαλάσσιος* abesse malim. v. 3 *παιδοστιβὴς* A, *πεδοστιβὴς* C.

671

κομίζετ' εἴσω τήνδε· πιστεύειν δὲ χρὴ
γυναικὶ μηδὲν ὅστις εὖ φρονεῖ βροτῶν.

Stob. Flor. 85, 6: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Σθενεβοίᾳ* (*σθενοβοία* SA). '*κομίζετ' — βροτῶν*'.

672

ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ.

Aeschines c. Timarch. § 151 (Greg. Cor. Rhet. vol. 7 p. 1322, cf. Hermog. Rhet. vol. 3 p. 436): *Εὐριπίδης ἕν τι τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως ἐρᾶν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος λέγει που 'ὁ δ' εἰς — ἐγώ'.* quo de loco Schol. cod. Medic. Greg. Cor. Rhet. vol. 7 p. 1321: *ταῦτα λέγει Εὐριπίδης ἐν Σθενεβοίᾳ τῷ δράματι εἰσάγων τὸν Βελλεροφόντην γνωμολογοῦντα.* iidem versus cum Eur. fr. 547 male iuncti leguntur in Stob. Ecl. 1, 9, 2 p. 112, 5. v. 2 *ζηλωτὰ* Stob. F. *ὧδ' εἴην ἐρῶν* F. G. Schmidt *Krit. Stud.* 2 p. 485.

ΣΙΣΥΦΟΣ ΣΑΤΥΡΙΚΟΣ

Fabula scenae commissa est olymp. 91, 1 teste Aeliano V. H. 2, 8 (vide p. 373). quae Plutarchus et Galenus ex hoc dramate afferunt, a Sexto Empirico recte tribuuntur Critiae, cuius cf. fr. 1.

673

χαίρω σέ τ', ὦ βέλτιστον Ἀλκμήνης τέκος,
. . . τόν τε μιαρὸν ἐξολωλότα.

Suidas: *χαίρω σε ἐληλυθότα· Ὀρωπικοὶ οὕτω λέγουσι. Εὐριπίδης Σισύφῳ 'χαίρω — ἐξολωλότα'.* eadem Etym. M. p. 808, 5, ubi Euripidis verba *χαίρω σε, ὦ βέλτιστε Ἀλκμήνης τέκος*, quae vulgo omittuntur, addenda sunt ex Etym. Flor. p. 306. v. 1 *σέ γ'* Heath, *σέ τ'* Cobet, *γέ σ'* Suid., *σε* Etym. Flor. *βέλτιστον* Valckenaer in Eur. Phoen. 711, *βέλτιστε* Suid. Etym. Flor. v. 2 *ἐλθόντα* supplet Valckenaer, *σωθέντα* Cobet V. L. p. 238. non *Σισύφῳ* scripsisse Suidam, sed *Συλεῖ* coni. Hartung Eur. rest. 2 p. 287, cf. Wilamowitz-Moellendorff Anal. Eur. p. 166.

674

ἑλίσσων

Hesych. 2 p. 67: *ἑλίσσων· πλέκων, ψευδόμενος, οὐκ ἐπὶ εὐθείας λέγων, ἢ κινῶν* (*κοινόν* codex). *Εὐριπίδης Σισύφῳ.* poetam *λόγους ἑλίσσων* dixisse coni. Matthiae.

ΣΚΙΡΩΝ ΣΑΤΥΡΙΚΟΣ

Inter *Σκείρων* et *Σκίρων* scripturas libri fluctuant: *Σκίρων* legitur in Corp. Inscr. 7723.

675

καὶ τὰς μὲν ἄξῃ, πῶλον ἢν διδῷς ἕνα,
τὰς δ' ἢν ξυνωρίδ'· αἳ δὲ κἀπὶ τεσσάρων
φοιτῶσιν ἵππων ἀργυρῶν. φιλοῦσι δὲ

τὸν ἐξ Ἀθηνῶν παρθένους ὅταν φέρῃ
πολλάς

Pollux 9, 75: *ἀλλὰ καὶ κόρη παρ' Ἀθηναίοις νόμισμα ἦν —. τάχα δ' ἂν εἴη κόρη, ὡς Εὐριπίδης ὠνόμασε παρθένον ἐν Σκίρωνι, λέγων περὶ τῶν ἑταιρίδων τῶν ἐν Κορίνθῳ* '*καὶ τὰς — πολλάς*'. v. 1 *ἂν* libri. v. 2 *δὲ* vulgo, *δ' ἦν* Wagner. v. 4 *τὰς* libri, *τὸν* Cobet N. L. p. 14.

676

σχεδὸν χαμεύνῃ σύμμετρος Κορινθίας
παιδός, κνεφάλλου δ' οὐχ ὑπερτείνεις πόδα.

Pollux 10, 35: *τῶν γὰρ ἀδοξοτέρων ἡ χαμεύνη καὶ τὸ χαμεύνιον· ἐν γοῦν τῷ σατυρικῷ Σκίρωνι Εὐριπίδης φησί* '*σχεδὸν — πόδα*'. v. 2 *ὑπερτενεῖς* coni. Meineke *Zeitschr. f. d. Alt.* 1843 p. 291.

677

οὐδὲ κωλῆνες νεβρῶν

Ath. IX p. 368 D: *καὶ κωλῆνα δὲ λέγουσι καὶ κωλῆν — Εὐριπίδης Σκείρωνι* '*οὐδὲ κωλῆνες νεκρῶν*'. *νεβρῶν* Casaubonus.

678

ἔστι τοι καλὸν
κακοὺς κολάζειν

Stob. Flor. 46, 10: *Εὐριπίδου* (sic M, *τοῦ αὐτοῦ* SA) *Σκίρωνι.* '*ἔστι — κολάζειν*'. v. 2 *τοὺς κακοὺς* libri, *κακοὺς* Grotius.

679

ἢ προσπηγνύναι
κράδαις ἐριναῖς

Ath. III p. 76 C: *μνημονεύει — ἐρινῶν συκῶν* (*σύκων* ante Schweighaeuserum) *Εὐριπίδης ἐν Σκίρωνι* '*ἢ — ἐριναῖς*'. v. 2 *κραδαῖς* A, *κράδαις* C.

680

ἁμαρτεῖν

Hesych. 1 p. 139: *ἁμαρτητήν· ὁμοῦ προήκοντα δόρατα. Εὐριπίδης Σκείρωνι.* sequitur *ἁμαρτεῖν· ἀκολουθεῖν. Σοφοκλῆς δὲ ἐν Φιλοκτήτῃ ἐπὶ τοῦ ἀποτυχεῖν.* huc spectat Euripidis mentio, et scribendum: *ἁμαρτεῖν· ἀκολουθεῖν. Εὐριπίδης Σκείρωνι. Σοφοκλῆς δὲ κτἑ.*, ut edidit meam coniecturam comprobans M. Schmidt. verbum *ἁμαρτεῖν* eadem qua *ὁμαρτεῖν* vi usurpari tradit Eust. Il. p. 592, 21.

681

ἔμβολα

Hesych. 2 p. 74, v. fr. 590.

ΣΚΥΡΙΟΙ

Argumentum idem fere fuit quod cognominis fabulae Sophocleae, Achilles apud Lycomedem Scyri regem inter virgines delitescens et Vlixis calliditate detectus. *Σκύριαι* titulus fabulae perhibetur apud Hesychium (fr. 685) et in fr. 686, rectius *Σκύριοι* apud Stobaeum (fr. 683 et 684), quocum consentit Corp. Inscr. Att. II 992 vol. II, 2 p. 445. probabiliter Bergk huc refert fr. 880.

682

ἡ παῖς νοσεῖ σου κἀπικινδύνως ἔχει.
⟨ΛΥΚ.⟩ *πρὸς τοῦ; τίς αὐτὴν πημονὴ δαμάζεται;*
μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς;

Sextus Empir. p. 671, 22: *τὸ παρὰ τῷ Εὐριπίδῃ ἐπὶ τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ λεγόμενον 'ἡ παῖς — χολῆς;' πυνθάνεται γὰρ μή τι πλευριτικὴ γέγονε διὰ τὸ τοὺς πλευριτικοὺς βήσσοντας ὑπόχολον ἀνάγειν.* locus huc relatus est secundum Apollod. 3, 13, 8: *κἀκεῖ τρεφόμενος* (Achilles) *τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ μίγνυται.* v. 2 Lycomedis nomen praefixit Valckenaer Diatr. p. 33. v. 3 *χειμάζει* Ruhnken. *χολῇ* Valckenaer.

683

σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.

Stob. Flor. 109, 8: *Εὐριπίδου Σκυρίοις. 'σοφοὶ — βλάβας'.* Orion Flor. 1, 10 p. 42, 12: *ἐκ τῶν Σκυρίων. 'σοφοὶ — βλάβας'.*

684

φεῦ, τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.
οἳ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς,
καὶ πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον
οὕτω δικαίως ζῶσιν αἰσχύνης ἄτερ. 5

Stob. Flor. 105, 16: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Σκύριοι. 'φεῦ τῶν — ἄτερ'.* Anth. Pal. 10, 107: *Εὐριπίδου. 'θεοῦ — βροτός'* (fr. 1025, 1). *'φεῦ τῶν — θεούς'* (v. 1—3). sine p. et fab. nomine v. 1—3 attulit Ioh. Lydus de mens. 4, 7 p. 55, 7 et 4, 62 p. 94, 1. v. 3 *σκληραὶ* om. Lydus p. 55. *εἰς θεούς*] *πρὸς θεούς*

Anthol., *πρὸς θεοῦ* Lydus p. 55, *πρὸς θεόν* p. 94. v. 4 *κἂν πάντ'* ego conieci, *κεἰ πάντ'* Herwerden Exerc. crit. p. 58. v. 5 *οὕτω* (vel *οὗτω*) *δικαίω* S, *οὕτω δικαίως* MA, *σὺν τῷ δικαίῳ* coni. Gesner, *ὄντως δικαίων* Wecklein.

685

ζεύγλας

Hesych. 2 p. 256: *ζεύγλας· ζυγοὶ ἢ μέρη τοῦ ζυγοῦ. καὶ ζευκτῆρες ἱμαντόδεσμοι. καὶ τροπωτῆρες μεταφορικῶς. Εὐριπίδης Σκυρίαις* (*κυρίαις* codex).

686

παρασάγγης

Claudii Casilonis *παρὰ τοῖς Ἀττικοῖς ῥήτορσι ζητούμενα* in Milleri *Mélanges de litt. gr.* p. 397 sive Lex. rhet. post Phot. p. 674, 27. vide Soph. fr. 477.

ΣΥΛΕΥΣ ΣΑΤΥΡΙΚΟΣ

Anonymi de comoedia commentarius quem edidit Guil. Studemund Philol. 46 p. 13 sive Tzetzae Proleg. in Aristoph. ed. ab H. Keilio Mus. Rhen. vol. 6 p. 119 et a Cramero Anecd. Paris. 1 p. 7 sq., repetita a me in Append. Lex. Vindob. p. 245, 19: *Ἡρακλῆς πραθεὶς τῷ Συλεῖ ὡς γεωργὸς δοῦλος ἔσταλται εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι· ἀνεσπακὼς δὲ δικέλλῃ προρρίζους τὰς ἀμπέλους νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα τοῦ ἀγροῦ ψωμοὺς μεγάλους* (*ἄρτους τε μεγάλους* PV, expectes *θωμούς τε μεγάλους*) *ἐποίησε καὶ τὸν κρείττω τῶν βοῶν θύσας* (*κατεθοινᾶτο* addit M) *καὶ τὸν πιθεῶνα διαρρήξας καὶ τὸν κάλλιστον πίθον ἀποπωμάσας τὰς θύρας τε ὡς τράπεζαν θεὶς ἤσθιε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦντας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας τὰ πάντα κατέκλυσεν.* (*ἔστι δὲ τὸ τοιοῦτον Εὐριπίδου δρᾶμα* add. PV.) Euripideam fabulam spectat Origines c. Cels. VII p. 368: *δεικνύτω δὲ εἰ θείας τιμῆς ἄξιος ἦν ὁ τοῦ γεωργοῦ βίᾳ καὶ ληστρικῶς λαβὼν τὸν βοῦν καὶ καταθοινησάμενος καὶ ἡσθεὶς ἐφ' οἷς ἐκεῖνος καταρώμενος ἔλεγε πρὸς αὐτὸν ἐσθίοντα.* probabiliter Matthiae huc refert Eur. fr. 907, Hartung Eur. fr. 673.

687

πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' ἐς αἰθέρα,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.

Philo Iud. vol. 2 p. 461: ἴδε γοῦν οἷα παρ' Εὐριπίδῃ φησὶν ὁ Ἡρακλῆς 'πίμπρα, κάταιθε — λόγον'. idem paulo post: πάλιν τὸν αὐτὸν σπουδαῖον οὐχ ὁρᾷς ὅτι οὐδὲ πωλούμενος θεράπων εἶναι δοκεῖ, καταπλήττων τοὺς ὁρῶντας, ὡς οὐ μόνον ἐλεύθερος ὤν, ἀλλὰ καὶ δεσπότης ἐσόμενος τοῦ πριαμένου; ὁ γοῦν Ἑρμῆς πυνθανομένῳ εἰ φαῦλός ἐστιν, ἀποκρίνεται 'ἥκιστα — δραστήριος' (fr. 688). 'οὐδεὶς δ' — ἐμβολήν' (fr. 689). εἶτ' ἐπιλέγει 'τὸ ἦθος αὐτοῦ σου κατηγορῶ — θέλοις' (fr. 690). ἐπεὶ δὲ καὶ πριαμένου Συλέως εἰς ἀγρὸν ἐπέμφθη, διέδειξεν ἔργοις τὸ τῆς φύσεως ἀδούλωτον. τὸν μὲν γὰρ ἄριστον τῶν ἐκεῖ ταύρων καταθύσας Διὶ πρόφασιν εὐωχεῖτο, πολὺν δ' οἶνον ἐμφορήσας (ἐμφορηθεὶς Meineke Ath. vol. 4 p. 121) ἀθρόον εὖ μάλα κατακλιθεὶς ἠκρατίζετο. Συλεῖ δὲ ἀφικομένῳ καὶ δυσανασχετοῦντι ἐπί τε τῇ βλάβῃ καὶ τῇ τοῦ θεράποντος ῥᾳθυμίᾳ καὶ ἐπὶ τῇ περιττῇ καταφρονήσει, μηδὲν μήτε τῆς χρόας μήτε ὧν ἔπραττε μεταβαλὼν εὐτολμότατα φησί 'κλίθητι — ἔσῃ' (fr. 691). τοῦτον οὖν πότερον δοῦλον ἢ κύριον τοῦ δεσπότου ἀποφαντέον, μὴ μόνον ἀπελευθεριάζειν ἀλλὰ καὶ ἐπιτάγματα ἐπιτάσσειν τῷ κτησαμένῳ (l. τῷ κεκτημένῳ) τολμῶντα, ὡς καὶ εἰ ἀφηνιάζοι τύπτειν καὶ προπηλακίζειν, εἰ δὲ καὶ βοηθοὺς ἐπάγοιτο, πάντας ἄρδην ἀπολλύναι; versus supra scriptos om. poetae et fab. nom. affert Philo Iud. vol. 1 p. 127 vol. 2 p. 449. cf. vol. 2 p. 53: πρὸς ταῦθ', ὡς ὁ τραγικὸς φησίν, ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανον. 'πίμπρα — λόγον'. Euseb. P. E. VI p. 242 C: ἀλλὰ καὶ πρὸς τοῦτο ἐλευθεροστομῶν ἀντιφθέγξεται 'ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανον. τέμνε, κάταιθε σάρκας — λόγον'. hinc versum πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανον (Eur. Phoen. 521) huic fragmento praefigunt*); videtur potius Philo, quem sequitur Eusebius, duorum dramatum versus coniunxisse. Artemidorus 4, 59: ἔδοξέ τις λέγειν θεράπαιναν τὰ Εὐριπίδεια ἰαμβεῖα 'ὀπτὰς — μου' (v. 1). v. 1 πίμπρα Philo, τέμνε Euseb. (ubi codices CG hoc verbum om.), ὄπτα (ὀπτὰς V) Artemid., πίμπρη Pierson in Moer. p. 209. κάταιθε] κατέσθιε Artem. κάταιθε τέμνε σάρκας coni. Wakefield Silv. crit. 4 p. 143. v. 3 δ'] τ' Philo vol. 2 p. 449 et 461. ἄνεισ'] ἄνω Philo vol. 1 p. 127 et vol. 2 p. 449, ἄνωσ' Eusebii codex D. εἰς αἰθέρα] εἰς οὐρανόν Philo vol. 2 p. 449, ἐς οὐρανόν Euseb.

688

ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον·
τὸ σχῆμα σεμνὸς κοὐ ταπεινὸς οὐδ' ἄγαν
εὔογκος ὡς ἂν δοῦλος, ἀλλὰ καὶ στολὴν
ἰδόντι λαμπρὸς καὶ ξύλῳ δραστήριος.

*) Simili errore Cressis Euripidis olim tribuebantur verba αἱ δεύτεραί πως φροντίδες σοφώτεραι, cf. fr. 467.

Philo Iud. vol. 2 p. 461 (vide fr. 687), qui Mercurii haec verba esse docet de Hercule dicta. v. 2 *πρόσχημα* vulgo, *τὸ σχῆμα* Herwerden Exerc. crit. p. 59.

689

οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας
αὑτοῦ πρίασθαι βούλεται· σὲ δ' εἰσορῶν
πᾶς τις δέδοικεν. ὄμμα γὰρ πυρὸς γέμεις,
ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν.

Philo Iud. vol. 2 p. 461 (vide fr. 687), qui cum fr. 688 iungit. Sylei potius verba sunt. v. 1 *δεσπότης* coni. Musgrave. *οὐδεὶς δὲ δούλους δεσπότης* Maehly.

690

τό γ' εἶδος αὐτὸ σοῦ κατηγορεῖ
σιγῶντος ὡς εἴης ἂν οὐχ ὑπήκοος,
τάσσειν δὲ μᾶλλον ἢ ἐπιτάσσεσθαι θέλοις.

Philo Iud. vol. 2 p. 461 (vide fr. 687). v. 1 *τὸ ἦθος αὐτοῦ σου κατηγορῶ* ed., *τό τ' ἦθος αὐτόθεν τι σοῦ κατηγορεῖ* coni. Musgrave, *τό γ' εἶδος αὐτό σου κατηγορεῖ* Elmsley in Heracl. 418, *τὸ βλέμμα σου κατηγορεῖ* Cobet Coll. crit. p. 226 sq. v. 2 *εἴης ἂν*] *ἂν εἴης* libri ut videtur, *εἴης τις* Cobet.

691

κλίθητι καὶ πίωμεν· ἐν τούτῳ δέ μου
τὴν πεῖραν εὐθὺς λάμβαν' εἰ κρείσσων ἔσῃ.

Philo Iud. vol. 2 p. 461 (vide fr. 687). v. 1 *κλίνηθι* Herwerden Exerc. crit. p. 59. v. 2 *εὐθὺ λάμβανε καὶ κρείττων ἔσῃ* Philo. *εὐθὺς* Lobeck in Phryn. p. 145.

692

τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς
πάντων μέγιστος πολέμιος κατὰ χθόνα.

Stob. Flor. 46, 1: *Εὐριπίδου ἐκ Συλέως.* '*τοῖς μὲν — χθόνα*'. v. 1 *σύνδικος* vel *σύμμαχος* bene coni. V. Iernstedt, cf. Lucil. Satur. fr. 119, 10 ed. Baehr.: *hostem esse atque inimicum hominum morumque malorum, contra defensorem hominum morumque bonorum.* v. 2 *μέγιστον* Maur. Seyffert Mus. Rhen. 16 p. 159.

693

εἶα δή, [φίλον] ξύλον,
ἔγειρέ μοι σεαυτὸ καὶ γίγνου θρασύ.

Eust. Il. p. 107, 30: *φέρει δὲ καὶ* (sc. Georgius Choerob.) *χρῆσιν τῆς λέξεως* (int. *εἶα*) *κειμένην, φησί, παρ' Εὐριπίδῃ ἐν Συλεῖ* (*Σολεῖ* ed.) *ταύτην* '*εἶα — θρασύ*'. idem locus om. poetae et fab. nom. extat in Etym. Flor. p. 99. verba *εἶα — σεαυτό* sine fab. nom. affert Ioh. Alex. de accent. p. 25, 7, sine p. et fab. nomine Etym. M. p. 294, 46. v. 2 ex Euripide affert Apollonius de pron. p. 93 C. v. 1 *οἷα δὴ* Etym. Flor. *φίλον* unus agnoscit Eust., ceteri testes omittunt. pro *ξύλον* alios *τύλον* legisse docet Hesychius 4 p. 185: *τύλον· τὸ αἰδοῖον. οἱ δὲ ξύλον.* cf. Theognost. p. 24, 29: *τύλον* (*τυλὸν* ed.) *τὸ αἰδοῖον.* Pollux 2, 176: *ἐκαλεῖτο δὲ καὶ τύλος τὸ αἰδοῖον.* Etym. M. p. 125, 24: *τύλος γὰρ τὸ αἰδοῖον.* v. 2 *εγειραι* Apoll., *ἐγεῖραι* Ioh. Alex., *ἄγειρε* Etym. M., *ἔκτεινε* Etym. Flor. et Eust., *ἔπαιρε* coni. Cobet in Philostr. de gymn. p. 58. *σεαυτὸν καὶ γίνου δρασύ* Etym. Flor., *γίνου* etiam Eust. fortasse hunc versum respicit Lucianus Asin. 5 vol. 2 p. 572: *ἄγε δὴ σὺ ὁ φάσκων ἐπιθυμεῖν ταύτης τῆς παραδόξου θέας, ἔγειρέ μοι σεαυτὸν καὶ τέχνην εὕρισκε σοφήν.* cf. Sueton. Ner. c. 49: *ἄγ' ἔγειρε σεαυτόν.*

694

βαυβῶμεν εἰσελθόντες· ἀπόμορξαι σέθεν
τὰ δάκρυα.

Antiatt. p. 85, 11: *βαυβᾶν· ἀντὶ τοῦ καθεύδειν. Εὐριπίδης Συλεῖ* '*βαυβῶμεν — δάκρυα*'. Herculis haec esse verba alloquentis Xenodicen Sylei filiam coni. Matthiae.

ΤΕΝΝΗΣ

Argumentum fabulae fortasse iis continetur quae prodit Conon Photii Bibl. p. 135 b 19. spuriam hanc fabulam veteribus visam esse constat e Vita Eur. p. 135, 33 (vide supra p. 547). eiusdem tetralogiae non ab Euripide sed a Critia doctae fuisse Tennem Rhadamanthum Pirithoum Sisyphum coni. Wilamowitz-Moellendorff Anal. Eur. p. 161 sq. et p. 166.

695

φεῦ,
οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει.

Stob. Flor. 2, 17: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Τέννῃ* (sic M, *τένν* A, eclogam om. S, *Τημένῳ* coni. Valckenaer Diatr. p. 15, quod ipsum ex duobus codicibus O. Hensio iudice interpolatis affert Schow). '*φεῦ — γένει*'.

ΤΗΛΕΦΟΣ

Post I. Geelium, cuius de Telepho Euripidis commentatio prodiit in Annal. Inst. Belg. a. 1830, egerunt de hac fabula praeter alios O. Iahn *Telephos und Troilos* (Kil. 1841) et N. Wecklein *Sitzungsberichte der philos.-philol. und histor. Cl. der K. B. Akad. d. Wissensch. zu München* 1878 vol. 2 p. 198—223. fabula acta est olymp. 85, 2 (cf. p. 379). de argumento cf. Schol. Ar. Nub. 919: *διαβάλλει Εὐριπίδην ὡς πτωχὸν εἰσενεγκόντα τὸν Τήλεφον.* quibus accedunt haec quae a melioribus libris absunt: *ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων, ὅτε εἰς Τροίαν ἀπήρχοντο, τῶν Ἑλλήνων καὶ δηούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσεν· καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύσοντος τῆς Πυθίας ʽὁ τρώσας ἰάσεται' ἀνελούσης παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα.* quorum extrema ineptissima sunt. meliora partim praebet qui Euripidem sequi videtur Hyginus fab. 101: *Telephus Herculis et Auges filius ab Achille in pugna Chironis hasta percussus dicitur. ex quo vulnere cum in dies tetro cruciatu angeretur, petit sortem ab Apolline quod esset remedium. responsum est ei neminem mederi posse nisi eandem hastam qua vulneratus erat. hoc Telephus ubi audivit, ad regem Agamemnonem venit et monitu Clytaemestrae Orestem infantem de cunabulis rapuit, minitans se eum occisurum, nisi sibi Achivi mederentur**). *Achivis autem quod responsum erat sine Telephi ductu Troiam capi non posse, facile cum eo in gratiam redierunt et ab Achille petierunt ut eum sanaret. quibus Achilles respondit se artem medicam non nosse. tunc Vlixes ait: non te dicit Apollo, sed auctorem vulneris hastam nominat. quam cum rasissent, remediatus est. a quo cum peterent ut secum ad Troiam expugnandam iret, non impetrarunt, quod is Laodicen Priami filiam uxorem haberet. sed ob beneficium, quod eum sanarunt, eos deduxit, locos autem et itinera demonstravit; inde in Mysiam est profectus.* Tzetzes in Aristoph. Nub. 922 (quem locum edidit Herwerden in Soph. Oed. R. p. 214): *οἷον πτωχὸν Εὐριπίδης συσκευάζει* (l. *ἐνσκευάζει*) *τὸν Τήλεφον στρατηγὸν ὄντα Μυσίας μετὰ πηρίου ἐλθόντα προσαίτην εἰς τὴν Ἑλλάδα καὶ τῆς Ἀγαμέμνονος αὐλῆς μόλις* (expectes *μόνον οὐ*) *πυλωρὸν γεγονότα.* Tzetzes in Lycophr. 14: (*Εὐριπίδης*) *ἐπάγων ἐνίοτε — βασιλεῖς προσαιτοῦντας μετὰ σπυρίδων καὶ πήρας.* Telephi Euripidei habitum ridet Ar. Ach. 432 sqq., qui ei tribuit *ῥακώματα* 432, *πιλίδιον Μύσιον* 439, *πτωχικὸν βακτή-*

*) Cf. Scholion Ar. Ach. 332 supra p. 76 allatum, ubi Aeschyli et Euripidis nomina permutata esse coniecit Vater de Soph. Alead. p. 19, quocum consentit van de Saude Bakhuyzen de parodia in com. Aristoph. p. 7 sqq.

ριον 448, σπυρίδιον 453, κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον 459, χυτρίδιον 463. cf. quod Antisthenes narrat in Laert. Diog. 6, 87, Cratetem cynicae philosophiae se addixisse *θεασάμενον ἔν τινι τραγῳδίᾳ Τήλεφον σπυρίδιον ἔχοντα καὶ τἄλλα λυπρόν.* Maximus Tyrius VII p. 126: *ὁ Ἀγαμέμνων τὸ σκῆπτρον φέρει, ὁ βουκόλος διφθέραν, ὁ Ἀχιλλεὺς ὅπλα, ὁ Τήλεφος ῥάκια καὶ θύλακον.* Pollux 4, 117: *ῥάκια δὲ Φιλοκτήτου ἡ στολὴ καὶ Τηλέφου.* Synesius de provid. p. 106 A: *καθάπερ ἐπὶ σκηνῆς ὁρῶμεν τοὺς τῆς τραγῳδίας ὑποκριτάς, ὅστις καλῶς ἐξήσκησε τὴν φωνήν, ὁμοίως ὑποκρινεῖται τόν τε Κρέοντα καὶ τὸν Τήλεφον, καὶ οὐδὲν τὰ ἀλουργῆ· τῶν ῥακίων διοίσει πρὸς τὸ μέγα καὶ καλὸν ἐμβοῆσαι.* item huc spectat Horatius Epist. 2, 3, 95 (v. Soph. fr. p. 239). Euripidem secutus videtur Ennius in Telepho, et Aristophanes hanc potissimum tragoediam parodia expressit cum alibi tum in Acharnensibus. quod in Argumento Acharn. legimus, (*Δικαιόπολις*) *στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι παρῳδεῖ τὸν ἐκείνου λόγον*, confirmatur Scholiorum testimoniis, quibus produntur haud pauci Telephi versus ab Aristophane delibati. atque etiam plura quam in Scholiis indicantur ex Telepho Aristophanes desumpsit. saltem orationis a Telepho habitae non verba, at sententiam ex Ar. Ach. 497 sqq. et Thesm. 46 sqq. van de Sande Bakhuyzen de parod. p. 20 sq. magna cum probabilitatis specie restituere conatus est. adde quae idem dixit p. 120 sqq. doctorum coniecturas si sequimur, Aristophanis ope Telephus Euripidis ditari poterit his potissimum versibus:

> *ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον* (Ach. 384).
> *ἄπελθε λαΐνων σταθμῶν* adesp. 44.
> *λυπηρὸς ἴσθ' ὢν κἀποχώρησον δόμων* (Ach. 456).
> *πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας*
> *καθαιματώσει βωμόν* (Thesm. 694 sq.).
> *τῇδ' ἐν ἡμέρᾳ κριθήσεται*
> *εἴτ' ἔστ' ἔτι ζῶν εἴτ' ὄλωλε Τήλεφος* (Thesm. 76 sq.).
> *οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;* (Ach. 577 b.)

item sunt qui ex Telepho repetitum arbitrentur Eur. fr. 918. non recte olim huc relatum est fr. 888. ambiguum videtur quod Symmachus e Telepho expressa esse suspicatus est verba Aristophanis *καὶ γάρ εἰμ' ἄγαν ὀχληρός* Ach. 472 (cf. Eur. fr. 568).

696

> Ὦ γαῖα πατρίς, ἣν Πέλοψ ὁρίζεται,
> χαῖρ', ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον
> ⟨Πὰν⟩ ἐμβατεύεις, ἔνθεν εὔχομαι γένος.
> Αὔγη γὰρ Ἀλέου παῖς με τῷ Τιρυνθίῳ

τίκτει λαθραίως Ἡρακλεῖ· ξύνοιδ' ὄρος 5
Παρθένιον, ἔνθα μητέρ' ὠδίνων ἐμὴν
ἔλυσεν Εἰλείθυια.

Dionys. Hal. de comp. verb. c. 26 vol. 5 p. 219 sq. (p. 426 et 428 Schaef.): *ἐκ δὲ τῆς ποιήσεως τῆς ἰαμβικῆς τὰ Εὐριπίδου ταυτί* '*ὦ — χαῖρ'*' (v. 1 sq.)· *τὸ πρῶτον ἄχρι τούτου κῶλον.* '*ὅστε — ἐμβατεύεις*' (v. 2 sq.), *τὸ δεύτερον μέχρι τοῦδε.* '*ἔνθεν — γένος*' (v. 3), *τοῦτο τὸ τρίτον. τὰ μὲν πρότερα μείζονα στίχου, τοῦτο δ' ἔλαττον.* '*αὐτὴ — Ἡρακλεῖ*' (v. 4 sq.), *μετὰ τοῦτο* '*ξύνοιδ' — Παρθένιον*' (v. 5 sq.)· *οὐδέτερον αὐτῶν στίχῳ συμμετρούμενον, ἀλλὰ τὸ μὲν στίχου μεῖζον, τὸ δ' ἔλαττον· εἶτ' αὖθις ἕτερον στίχου μεῖζον* '*ἔνθα — Εἰλείθυια*' (v. 6 sq.), *καὶ τὰ ἑξῆς.* locum ad Telephum rettulit Vpton. Musgrave probabiliter coniecit huc spectare Strab. XIII p. 615: *Εὐριπίδης δ' ὑπὸ Ἀλέου φησὶ τοῦ τῆς Αὔγης πατρὸς εἰς λάρνακα τὴν Αὔγην κατατεθεῖσαν ἅμα τῷ παιδὶ Τηλέφῳ καταποντωθῆναι, Ἀθηνᾶς δὲ προνοίᾳ τὴν λάρνακα περαιωθεῖσαν ἐκπεσεῖν εἰς τὸ στόμα τοῦ Καΐκου, τὸν δὲ Τεύθραντα ἀναλαβόντα τὰ σώματα τῇ μὲν ὡς γαμετῇ χρήσασθαι, τῷ δὲ ὡς ἑαυτοῦ παιδί.* v. 1 *οἰκίζεται* scribendum suspicor. v. 2 *ὅστε* libri. *δυσχειμέρων Ἀρκάδων* libri, quae verba transposuit Sylburg, *δυσχείμερον* restituit Musgrave. v. 3 *Πάν* add. Musgrave. *εὔχομαι γεγώς* coni. Lobeck in Soph. Ai. p. 324 ed. pr., sed *Ἀργεῖαι γένος ἐξευχόμεσθα* Aesch. Suppl. 274 dixit. v. 4 *αὐτὴ* libri, *Αὔγη* Leopardus.

697

πτώχ' ἀμφίβληστρα σώματος λαβὼν ῥάκη
ἀλκτήρια τύχης

Diogenes Epist. 34, 2 p. 248: *Τήλεφόν τε τὸν Ἡρακλέους, ἡνίκα εἰς Ἄργος παρεγένετο, πολὺ χείρονι σχήματι τοῦ ἡμετέρου ἐμφανισθῆναι* (tragici poetae dicunt) '*πτωχὰ — τύχης*'. v. 1 *ἀμφίβληστρα* Burges in Soph. Phil. 404 p. 108, *ἀμφίβληστα* cod. *λαβόντα* Diogenes. v. 2 *ἀλκτήρια ψύχους* coni. Dobree Adv. 2 p. 128, *ἀλκτήρι' αἰχμῆς* Ribbeck *Röm. Tragödie* p. 106, *αὐχμηρά τ' ἀτυχής* Munro. fortasse spectat hunc locum Ennius Telephi fr. 1: *regnum reliqui saeptus mendici stola.*

698

δεῖ γάρ με δόξαι πτωχὸν [εἶναι τήμερον],
εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή.

Ar. Ach. 440: '*δεῖ γάρ — δὲ μή*'. ubi Schol.: *οἱ δύο στίχοι οὗτοι ἐκ Τηλέφου Εὐριπίδου.* versus prior aut corruptus est aut ab Aristophane mutatus; *εἰς τὸ σήμερον* coni. Meineke *Zeitschr. f.*

d. Alterthumsw. 1843 p. 292, *ἐν παρόντι καὶ* Wecklein *Sitzungsb.* 1878 II p. 210.

699

ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος

Ar. Lys. 706: '*ἄνασσα — βουλεύματος*'. ubi Schol.: *ἄνασσα πράγους*] *ἐκ Τηλέφου Εὐριπίδου.* quae Aristophanes subicit, *τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;* Euripidea esse coni. Valckenaer Diatr. p. 210 fortasse recte, at coniunxisse Euripidem duos istos versus, quae Geelii de Telepho Eur. comment. p. 17 et Cobeti Coll. crit. p. 227 est sententia, minime credibile est, nec video quo iure verba *τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων* ad hanc fabulam referantur.

700

ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσῃ;

Ar. Eq. 1240: '*ὦ — ἐργάσει;*' ubi Schol.: *ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου.* inter *ἐργάσει* et *ἐργάσῃ* Aristophanis libri fluctuant.

701

μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

Stob. Flor. 29, 9: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S, ubi lemma falso adscriptum est eclogae 10) *Τηλέφῳ* (*τηλέφου* M, *τήλεφος* A pr. m.). '*μοχθεῖν — εὐτυχεῖν*'. idem versus est in Men. mon. 338, cum Sophoclis fr. 365 coniunctus exstat in Stob. Flor. 29, 25, sine poetae et fab. nom. legitur in Anecd. Boiss. vol. 1 p. 115 et Floril. Monac. 127. *πονεῖν ἀνάγκη* Gnomol. cod. Vrbin. *Π* 23 p. 445. verba *μοχθεῖν ἀνάγκη* recurrunt in fr. 37, 1. cf. Corp. Inscr. 4310, 12 et 4379 o 17 vol. 3 p. 162 et 190 (Epigr. Kaib. 1039, 12 et 1040, 17): *μοχθεῖν ἀνάγκη· μεταβολὴ δ' ἔσται καλή.*

702

τόλμα σὺ κἄν τι τραχὺ νείμωσιν θεοί.

Stob. Flor. 51, 8: *Εὐριπίδου ἐκ Τηλέφου* (sic MA, tres eclogas 7, 8, 9 uno lemmate *ἀρχελᾶ* comprehendit S, unde dubitari potest utrius fabulae sit versus). '*τόλμ' ἀεὶ — θεοί*'. *τόλμ' ἀεὶ* SM, *τόλμης ἀεὶ* A, *τόλμα σὺ* scripsi. *τραχὺ νείμωσιν* Bothe, *τρηχὺ νέμωσιν* (*νέμωσι* A) SMA. verbis leviter corruptis subesse elegiaci poetae versum opinabatur Meineke in Men. p. 314, quem sequitur Bergk Lyr. ed. quart. vol. 3 p. 691.

703

μή μοι φθονήσητ', ἄνδρες Ἑλλήνων ἄκροι,
εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν.

Ar. Ach. 497: *μή μοι φθονήσητ', ἄνδρες οἱ θεώμενοι, εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν μέλλω.* ubi Scholia: *ἐκ Τηλέφου Εὐριπίδου 'μή μοι — ἐσθλοῖσιν λέγειν'.* v. 1 repetit Alexis (Com. 3 p. 410) ap. Ath. XV p. 691 F.

704

οἶδ' ἄνδρα Μυσὸν Τήλεφον . . εἴτε δὲ
Μυσὸς ⟨γεγὼς⟩ ἦν εἴτε κἄλλοθέν ποθεν,
πῶς . . . . Τήλεφος γνωρίζεται;

Plat. Gorg. p. 521 B: *εἴ σοι Μυσόν γε ἥδιον καλεῖν, ὦ Σώκρατες.* ubi Olympiodorus in *Archiv f. Philol. u. Pädag.* vol. XIV p. 527: *ἡ παροιμία αὕτη ἐκ τοῦ Τηλέφου ἐστὶν Εὐριπίδου. ἐκεῖ γὰρ ἐρωτᾷ τις περὶ τοῦ Τηλέφου καὶ φησὶ τὸ 'Μυσὸν Τήλεφον. εἴτε δὲ Μυσὸς ἦν εἴτε ἄλλοθέν ποθεν, πῶς ὅτι ὁ Τήλεφος γνωρίζεται'.* verba Euripidea restitui vix poterunt. v. 1 addidi *οἶδ' ἄνδρα* ex Ar. Ach. 430, qui ipsa illa *οἶδ' ἄνδρα Μυσὸν Τήλεφον* Euripidi tribuit. post *Τήλεφον* haud incommode *τιν'* suppleas. v. 2 *γεγὼς* addidit Wecklein. *κἄλλοθέν ποθεν* pro *ἄλλοθέν ποθεν* scripsit nescio quis. v. 3 *πῶς τοῖς ⟨Ἀχαιοῖς⟩ Τήλεφος γνωρίζεται;* proposuit Wecklein p. 215.

705

κώπης ἀνάσσων κἀποβὰς εἰς Μυσίαν
ἐτραυματίσθην πολεμίῳ βραχίονι.

Aristot. Rhet. 3, 2 p. 1405 a 29: *τὸ δὲ ὡς ὁ Τήλεφος Εὐριπίδου φησί 'κώπης ἀνάσσων* (ita C, *ἀνάσσειν* al.) *καὶ ἀποβὰς εἰς Μυσίαν' ἀπρεπές, ὅτι μεῖζον τὸ ἀνάσσειν ἢ κατ' ἀξίαν.* ubi Scholia fol. 53 b 10: *κώπης εἶπεν ἀνάσσειν τὸν ἄρχοντα, τὸν δέκαρχον. μεταφορά ἐστι καὶ αὕτη ἀπὸ τοῦ βελτίονος. καὶ τὸ ἀποβὰς εἰς Μυσίαν ἐτραυματίσθη πολέμῳ βραχίονι.* v. 1 verba *κώπης ἀνάσσων* habet Stephanus Anecd. Paris. vol. 1 p. 302, 25. verba *ἀποβὰς εἰς Μυσίαν* idem p. 304, 32. v. 2 *πολέμῳ* Scholia edita. *ἐτραυματίσθην* scripsi, *ἐτραυματίσθη* Schol.

706

Ἀγάμεμνον, οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων
μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμόν,
σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων.

Stob. Flor. 13, 10: *Εὐριπίδου ἐκ Τηλέφου* (sic SMA, *⟨ἐ⟩κ Τηλέφου* poetae nomine non iterato L). *'Ἀγάμεμνον — ἀντειπεῖν ἔχων'*. v. 1 *ὁδεί* M, *ὁδ' εἰ* A. *χεροῖν* LS, *χειροῖν* MA. *ἔχων* L, *ἔχω* SMA, *ἑλὼν* Vitelli de Eur. El. p. 83. v. 2 *τις* Gesner, *τε* LSMA. v. 3 *σιγήσομεν* L. *τ'* LS, *τε* M, *γ* (ε superscr.) A pr., *γ'* A sec. m. Telephi videntur esse verba.

707

καλῶς ἔχοι μοι· Τηλέφῳ δ' ἁγὼ φρονῶ

Ar. Ach. 446: *εὐδαιμονοίης· Τηλέφῳ δ' ἁγὼ φρονῶ*. ubi Schol.: *παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου 'καλῶς — φρονῶ'*. *καλῶς ἔχοι μοι* Dobree Adv. 2 p. 128, *καλῶς ἔχοιμι* libri, an *καλῶς ἔχει μοι* leg.? aliam lectionem praebet Ath. V p. 186 C: *Ἀρκεσίλαον δὲ φασὶν εἰς συμπόσιον παρακληθέντα καὶ συγκατακλιθέντα ἑνὶ τῶν βορῶς ἐσθιόντων, αὐτὸν δὲ μηδενὸς ἀπολαῦσαι δυνάμενον, ἐπεί τις αὐτῷ τῶν παρόντων ἐξέτεινε, φάναι 'εὖ σοι γένοιτο, Τηλέφῳ δ' ἁγὼ νοῶ'*. ubi *σοι* pro *μοι* Arcesilaus substituit. *εὖ σοι γένοιτο* dixit Eur. Alc. 627, *εὖ γέ σοι γένοιτο* Plato Com. 2 p. 626.

708

ἐρεῖ τις, οὐ χρῆν· ἀλλὰ τί ἐχρῆν εἴπατε.

Ar. Ach. 540: *'ἐρεῖ — εἴπατε'*. ubi Scholia: *ἐρεῖ τις οὐ χρῆν] καὶ τοῦτο ἀπὸ Τηλέφου Εὐριπίδου*. Euripidis non esse nisi *ἐρεῖ τις οὐ χρῆν* verba coni. Meineke Vind. Aristoph. p. 10, ac sane quae nunc habentur Euripides scribere non potuit, nec magis *τί χρῆν* (aut *πῶς χρῆν*) *εἴπατε*. sed potuit scribere quod Gomperz *Beitr.* 2 p. 766 coniecit *ὅτι δὲ χρῆν οὐκ εἴπατε*.

709

καθῆσθ' ἂν ἐν δόμοισιν; ἦ πολλοῦ γε δεῖ.

Ar. Ach. 543: *'καθῆσθ' — δεῖ'*. ubi Schol.: *ἦ πολλοῦ γε δεῖ] ἀντὶ τοῦ οὐδὲ ὅλως. καὶ τοῦτο ἐκ Τηλέφου*. Telephi haec esse verba recte iudicat van de Sande Bakhuyzen p. 18 sq.

710

τὸν δὲ Τήλεφον
οὐκ οἰόμεσθα; νοῦς ἄρ' ὑμῖν οὐκ ἔνι.

Ar. Ach. 555: *ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε· 'τὸν δὲ — ἔνι'*. ubi Schol.: *τὸν δὲ Τήλεφον] καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου*. verba *ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε* Euripidea non sunt: *ταῦτ' ἄν, σάφ' οἶδ', ἐδρᾶτε* bene coni. Wecklein, ego *ταῦτ', οἶδα, κἂν ἐδρᾶτε* temptabam.

quae sequuntur verba respicit Aristides vol. 2 p. 19: *τὸν δὲ Τήλεφον οὐκ οἴει τὰ αὐτὰ ταῦτα;* ubi Schol. p. 376: *τίς τῶν ποιητῶν εἰσάγει τὸν Τήλεφον ἐλέγχοντα τὸν Ὀδυσσέα ἐκ τῶν αὐτοῦ* (immo *αὐτῶν*, ut in Schol. p. 375 legitur) *λόγων οὓς πρὸς τὸν Τήλεφον εἶπε.* quae dubito num Euripideae fabulae respondeant (cf. Hartung Eur. rest. vol. 1 p. 208). v. 2 *ἡμῖν Γ, ὑμῖν* ceteri Aristophanis libri. neque clausula talis qualis est *ὑμῖν οὐκ ἔνι* in tragico trimetri ferri potest neque Euripides usus est *ἡμίν* et *ὑμίν* (sive *ἧμιν* et *ὗμιν*) formis (cf. quae diximus in fr. 403, 5). itaque verba *νοῦς — ἔνι* aut omnino aliena sunt ab Euripide, ut arbitratur Vitelli de Eur. El. p. 44, aut genuinam formam exuerunt. *νοῦς ἄρ' οὐκ ἔνεστί σοι* scribi voluit Wecklein.

711

εἶτα δὴ θυμούμεθα
παθόντες οὐδὲν μεῖζον ἢ δεδρακότες;

Ar. Thesm. 519: *κᾆτ' Εὐριπίδῃ θυμούμεθα, οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν;* ubi Schol.: *παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου 'εἰ δὴ — δεδρακότες'.* v. 1 *εἰ* Schol., *εἶτα* Matthiae. *εἶτα Τηλέφῳ θυμούμεθα* coni. van de Sande Bakhuyzen p. 21. v. 2 *μεῖζον* Ar., *μᾶλλον* Schol. fortasse ex Soph. Oed. Col. 267: *πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα.*

712

ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ

Ar. Ach. 577: *ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἄνθρωπος πάλαι 'ἅπασαν — κακορροθεῖ;'* ubi Schol. R: *κακορροθεῖ· κακῶς ἀγορεύει. καὶ τοῦτο ἐκ Τηλέφου.* eundem locum spectari suspicor Ach. 503: *οὐ — διαβαλεῖ Κλέων ὅτι ξένων παρόντων τὴν πόλιν κακῶς λέγω* (l. *κακορροθῶ*).

713

ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει

Ar. Eq. 813: *'ὦ πόλις — λέγει'.* ubi Schol. v. 809: *τὸ δὲ 'ὦ πόλις Ἄργους' ἀπὸ Τηλέφου Εὐριπίδου· τὸ δὲ 'κλύεθ' οἷα λέγει' ἀπὸ Μηδείας.* Ar. Plut. 601: *'ὦ πόλις — λέγει'.* ubi Schol.: *ὦ πόλις Ἄργους] ταῦτα ἐκ Τηλέφου Εὐριπίδου τραγικεύεται.* verba *κλύεθ' οἷα λέγει* extant in Med. 168, iisdem in Telepho usum esse poetam probabiliter coni. Elmsley.

714

τί γάρ με πλοῦτος ὠφελεῖ νόσον;
σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων
ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν.

Sextus Empir. p. 557, 22: *οὔτε ἡδονῆς οὔτε πλούτου ὄφελός τί ἐστιν ἀπούσης αὐτῆς* (sc. *τῆς ὑγείας*)· '*τί γάρ — νοσεῖν*'. cum lemmate *Εὐριπίδου Τηλέφῳ* v. 2 et 3 affert Stob. Flor. 93, 19 et 97, 11. v. 1 *ὠφελεῖ* om. C. *νοσοῦντά γε* ed., *νόσον* libri. *τί γάρ με πλοῦτος ὠφελεῖ* ⟨*πρὸς τὴν*⟩ *νόσον* coni. Cobet Coll. crit. p. 227, *τί γὰρ* ⟨*βαρὺν*⟩ *με πλοῦτος ὠφελεῖ νόσῳ* F. G. Schmidt *Krit. Stud.* 2 p. 486, recte nisi quod praeferendum videtur *τί γάρ με πλοῦτος ὠφελεῖ νόσῳ* ⟨*βαρύν*⟩. v. 2 *μικρὰν* (Flor. 97) vel *σμικρὰν* (Flor. 93) Stobaei SMA et Sext., *μικρ' ἂν* Trinc. Stob. Flor. 97. *θέλοιμι* Stob. Flor. 97 SMA et Sextus, *θέλοιμ' ἂν* Stob. Flor. 93 SMA. v. 2 sq. *ἔχων ἄλυπος*] *ἄλυπον ἔχων* Sextus. v. 3 *ἄλυπος οἰκεῖν*] *τροφὴν ἐνοικεῖν* Stob. Flor. 93. *μᾶλλον*] *βιοτὴν* Sextus. cum hoc loco iungendum esse fr. 892 coni. Hartung Eur. rest. vol. 1 p. 199.

715

οὔ τἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος·
χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.

Stob. Flor. 29, 55: *Εὐριπίδου Τηλέφῳ.* '*οὐ γὰρ — σοφόν*'. priorem versum om. poetae et fab. nom. habet Plut. V. Lysandri c. 20, alterum in proverbium abiisse docet Suidas v. *χρεία*: *καὶ παροιμία* '*χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν Καρχηδόνιον*'. quae ad Menandri *Καρχηδόνιον* a Toupio relata sunt (cf. Meinek. Com. 4 p. 146). v. 1 *οὐκ ἄρα* Plut., *οὐ γὰρ* Stob., *οὐκ ἄρ'* Valckenaer Diatr. p. 206, *οὔ τἄρ'* Porson. *μόνος*] *μόνον* Plut.

716

σὺ δ' εἴκ' ἀνάγκῃ καὶ θεοῖσι μὴ μάχου·
τόλμα δὲ προσβλέπειν με καὶ φρονήματος
χάλα. τά τοι μέγιστα πολλάκις θεὸς
ταπείν' ἔθηκε καὶ συνέστειλεν πάλιν.

Stob. Flor. 22, 32: *Εὐριπίδου Τηλέφου* (sic S, eclogam om. MA). '*σὺ δ' — πάλιν*'.

717

τί δ', ὦ τάλας; σὺ τῷδε πείθεσθαι μέλλεις;

Ar. Ach. 454: *τί δ', ὦ τάλας, σὲ τοῦδ' ἔχει πλέκους χρέος;* ubi

Scholia: *καὶ τοῦτο δὲ παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου 'τί δ' — μέλλεις'*. Achillis verba fuisse videntur. *μέλλεις*] *θέλεις* coni. Valckenaer Diatr. p. 210, *μ' ἐρεῖς* Wecklein, ego *με λῇς* praetulerim.

718

ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.

Stob. Flor. 20, 37: *Εὐριπίδου Τήλεφος. 'ὥρα — ἔχειν'*. de scripturae veritate dubitat Hilberg *Princip der Silbenwägung* p. 231, fortasse *κρείσσον' αὖ* sufficit.

719

Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν;

Clem. Alex. Strom. VI p. 746: *ἐν Τηλέφῳ εἰπόντος Εὐριπίδου 'Ἕλληνες — δουλεύσομεν;' Θρασύμαχος ἐν τῷ ὑπὲρ Λαρισαίων λέγει 'Ἀρχελάῳ δουλεύσομεν Ἕλληνες ὄντες βαρβάρῳ;'* Pseudo-Callisth. 1, 25 p. 25 sq.: *ἵνα μὴ Ἕλληνες ὄντες βαρβάρῳ δουλεύσωμεν.*

720

κακῶς ὀλοίατ'· ἄξιον γὰρ Ἑλλάδι.

Ar. Ach. 8: *φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.* ubi Schol.: *τὸ ἡμιστίχιον ἐκ τοῦ Τηλέφου Εὐριπίδου, ἔχον οὕτως 'κακῶς — Ἑλλάδι'*. cf. Suid. v. *παρῳδούμενος: τὸ 'ἄξιον γὰρ Ἑλλάδι' παρ' Εὐριπίδῃ καὶ παρ' Ἀριστοφάνει εἰρημένον. ὄλοιτ' ἂν* libri, *ὀλοίατ'* Dobree Adv. 2 p. 186.

721

κακός τίς ἐστι προξένῳ σοὶ χρώμενος.

Ammon. Valck. v. *πρόξενος* p. 119: *οὐκ ὀρθῶς οὖν Εὐριπίδης ἐν Τηλέφῳ πρόξενον εἴρηκε τὸν ἰδιόξενον 'κακός — χρώμενος'*. eadem fere Etym. Gud. p. 481, 32.

722

ἴθ' ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι
τῆς σῆς Ἑλένης εἵνεκα

Ar. Nub. 891: *ἴθ' ὅποι χρῄζεις· πολὺ γὰρ μᾶλλόν σ' ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.* ubi Schol.: *πάντα* (*ταῦτα* coni. Dindorf) *δὲ ἐκ Τηλέφου Εὐριπίδου 'ἴθ' — οὕνεκα'*. v. 2 *οὕνεκα* libri. Agamemnonis videntur verba cum fratre Menelao altercantis, cf. van de Sande Bakhuyzen de parod. p. 45 sq.

723

Σπάρτην ἔλαχες, κείνην κόσμει·
τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ.

Stob. Flor. 39, 10: *Εὐριπίδου Τήλεφος. 'Σπάρτην — ἰδίᾳ'.* priorem versum om. poetae et fab. nom. habent Cicero ad Att. 4, 6, 2 Plut. de tranq. animi c. 13 p. 472 E Plut. de exilio c. 8 p. 602 B Anna Comn. Alex. 9, 6 vol. 1 p. 445, 6 Diogenianus 8, 16 Schol. Theocr. 5, 61 Psellus Boiss. p. 168 Macarius 7, 78; liberius genuina verba mutant Diogenianus 8, 46: *ἣν ἔλαχες Σπάρταν κόσμει*, et Gregorius Cyprius 2, 76 (cf. Greg. Cypr. cod. Mosq. 3, 82): *κόσμει Σπάρταν, ἣν ἔλαχες.* eundem versum respiciunt Cicero ad Att. 1, 20, 3: *eam quam mihi dicis obtigisse Σπάρταν non modo numquam deseram, sed etiam* et q. s. Synesius Epist. 101 p. 239 D (cf. Suid. v. *κόσμει*): *ἀλλὰ κόσμει, φασίν, ἃν ἔλαχες Σπάρταν.* Theodorus Metoch. p. 16 sq.: *ὥστ' ἀνάγκην ταύτην ἔχομεν οὐ Σπάρταν κοσμεῖν, κατὰ τὴν παροιμίαν, ἃν ἐλάχομεν, ἀλλὰ τύχην μάλιστα φέρειν.* Theodorus Hyrtac. Epist. 46 in *Notices et Extr.* V p. 723: *καὶ κόσμει Σπάρταν ἣν ἔλαχες.* idem Epist. 61 in *Not. et Extr.* VI p. 25: *κοσμῶν σπάρτον ἣν ἔλαχον.* et Epist. 87 ibid. p. 43: *Πάτροκλος ἣν ἔλαχε σπάρτον ἐκόσμει.* Nicephorus Chumn. Epist. 4 in Boiss. Anecd. nov. p. 5: *στέργουσι μὲν Σπαρτιᾶται Σπάρταν ἣν ἔλαχον.* Michael Acom. (de quo admonuit Pappageorgius *Beitr. zur Erkl. u. Kritik des Soph.* I p. 29 sq.) vol. 2 p. 122, 19: *οἱ μὴ στέργοντες ἃν ἔλαχον Σπάρταν.* p. 251, 7: *στέργοντες ἣν ἐλάχομεν Σπάρταν.* p. 260, 1: *ὡς ἀπὸ θεοῦ λαχὼν Σπάρταν στέργω τὴν ἐνταῦθα παροίκησιν.* Schol. rec. Eur. Or. 537: *ἡ σπάρτος ἐπὶ θηλυκοῦ, ἀφ' οὗ τὸ 'κόσμει ἃν ἔλαχες σπάρτον'.* item ex Euripideo loco derivatum videtur quod legitur Orac. Sibyll. 3, 45: *οὐ σπάρτην κατέχουσαι βίον ἀνδρῶν αἱ λαχοῦσαι* (ita libri). v. 1 *Σπάρτην* Stob., *σπάρτον* Schol. Eur. et Theod. Hyrt., *Σπάρταν* ceteri. *κείνην* Stob., *κείναν* Diogenianus 8, 16, *ταύταν* Cic. Plut. Mor. p. 472 Anna Comn., *ταύτην* Plut. Mor. p. 602 Psell. Macar., *Σπάρταν* Schol. Theocr. ceterum cf. Soph. Ai. 1102.

724

πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν

Plut. de audiendo c. 16 p. 46 F: *οὐ γὰρ μόνον, ὡς Εὐριπίδης φησί, τὸ Τηλέφου τραῦμα 'πριστοῖσι — ῥινήμασιν', ἀλλὰ καὶ τὸν ἐκ φιλοσοφίας ἐμφυόμενον εὐφυέσι νέοις δηγμὸν αὐτὸς ὁ τρώσας λόγος ἰᾶται.*

725

λοχαῖον σῖτον

Etym. Flor. p. 208: *λόχαιον· τὸν κεκλιμένον, ἐν ᾧ ἔστι λοχῆσαι. Εὐριπίδης Τηλέφῳ. καὶ ἐν Ἀλκήστιδι* (v. 846) *'κἄνπερ λοχαίας αὐτὸν*

ἐξ ἕδρας'. lemma λοχαῖον σῖτον restituit Dindorf ex Phot. Lex. p. 232, 12: λοχαῖος σῖτος· ὁ βαθὺς ἢ ὁ δι' ἐπομβρίαν κεκλιμένος. cf. Hesych. 3 p. 51 λοχαῖος· κλινόμενος σῖτος (εὔσιτος cod.).

726

ψυκτήρ

Schol. Plat. p. 960 b 7: ψυκτήρ, σκεῦος ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ. Hesych. 4 p. 314: ψυκτήρ· ὃν ἡμεῖς ψυγέα, καὶ εἶδος ποτηρίου.

727

ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος.

Ar. Pac. 528: ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος. ubi Schol. Ven.: ἔστι δὲ Εὐριπίδου ἐκ Τηλέφου ἢ Τληπολέμου τὸ 'ἀπέπτυσ' — τέκος'. verba ἢ Τληπολέμου deleri iubet Meineke Hist. crit. p. 385. parodiam Euripidei versus in verbis Platonis Com. 2 p. 662: τὸ Σποργίλου κουρεῖον, ἔχθιστον τέγος, agnoscere sibi visus est Herwerden Obs. crit. in fragm. com. Gr. p. 32.

ΤΗΜΕΝΙΔΑΙ

Τημενίδες pro Τημενίδαι praebet Stobaeus, quem errorem esse suspicor librariorum, qui dativo Τημενίδαις vitiose Τημενίδες scripto decepti fuerint. genuinam tituli formam confirmat Dioscorides Anth. Pal. 11, 195:

Γάλλον Ἀρισταγόρης ὠρχήσατο· τοὺς δὲ φιλόπλους
Τημενίδας ὁ καμὼν πολλὰ διῆλθον ἐγώ.
χὼ μὲν τιμηθεὶς ἀπεπέμπετο· τὴν δὲ τάλαιναν
Ὑρνηθὼ κροτάλων εἷς ψόφος ἐξέβαλεν.

de argumento fabulae Musgrave conferri iubet Pausan. 2, 19 et 28. adde Nicol. Damasc. in Muelleri Fragm. Hist. vol. 3 p. 376 (Hist. fr. 32 L. Dind.) et Diod. Sic. 7, 14 a.

728

. . φιλεῖ τοι πόλεμος οὐ πάντων τυχεῖν,
ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανιῶν,
κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος
τόδ' ἐστί, τοῖς δὲ κατθανοῦσιν εὐκλεές.

Stob. Flor. 50, 1: Εὐριπίδου Τημενιδῶν (τημενίδων SA, τιμενιδῶν M). 'φιλεῖ — εὐκλεές'. v. 1 πάντ' εὐτυχεῖν libri, πάντων τυχεῖν Conington. v. 2 νεανίων A. v. 4 καταθανοῦσιν M.

729

εἰκὸς δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ
πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν.

Stob. Flor. 39, 1: *Εὐριπίδου Τημενίσι* (sic S, eclogam om. MA). ‘*εἰκὸς — σωτηρίαν*’.

730

ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις.

Pollux 9, 27: *τοῖς γὰρ ποιηταῖς καὶ τὰς χώρας λέγουσι πόλεις οὐ προσεκτέον, ὡς παρ' Εὐριπίδῃ — ἐν Τημενίδαις* ‘*ἅπασα — πόλις*’. mira est *Πελοπόννησος* forma, cf. *Mélanges Gréco-Rom.* IV p. 151 sq.

731

οὐκ ἔστι κρεῖσσον ἄλλο πλὴν κρατεῖν δορί.

Stob. Flor. 51, 2: *Εὐριπίδου Τημενίδων.* ‘*οὐκ — δορί*’. *κρεῖττον* SMA.

732

ῥώμη δέ τ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.

Stob. Flor. 54, 17: *Εὐριπίδου Τημενίδων* (sic S, *τιμενίσιν* M, *τιμενίσι* A). ‘*ῥώμη — βλάβην*’. *ῥώμη δέ γ' ἀμαθὴς* coni. Matthiae, *ῥώμη γὰρ ἀμαθὴς* F. G. Schmidt *Krit. Stud.* 2 p. 487.

733

τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.
κοινὸν δ' ἔχοντες αὐτὸ κοινὰ πάσχομεν
πάντες· τὸ γὰρ χρεὼν μεῖζον ἢ τὸ μὴ χρεών.

Stob. Flor. 124, 29: *Εὐριπίδου Τημενίσιν* (sic S, *τημένισιν* M, *τημένισι* A). ‘*τοῖς πᾶσιν — μὴ χρεών*’. v. 2 fortasse *πάντες δ' ἔχοντες* legendum ex v. 3, ubi vitiosum est *χρεών* monosyllabum, suspicor *τὸ γὰρ χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποεῖν* (vide adesp. fr. 368). *τὸ δὲ χρεὼν* pro *τὸ γὰρ χρεὼν* scribi vult O. Hense Lect. Stob. p. 29 sq.

734

ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται,
ζῇ δ' οὐκέτ' ὄντος σώματος· κακοῖσι δὲ
ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός.

Stob. Flor. 1, 4: *Εὐριπίδου Τημενίσιν* (sic M, eclogam om. SA). ‘*ἀρετὴ — χθονός*’. v. 1 om. poetae et fab. nom. affert Sextus Empir. p. 660, 25. v. 2 *οὐκ ἔτ'* M. v. 3 *συνθανόντ'* M.

735

ἀσύνετος ὅστις ἐν φόβῳ μὲν ἀσθενής,
λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα.

Stob. Flor. 4, 10: *Εὐριπίδου Τημενίσιν* (sic MA, ecl. om. S). '*ἀσύνετος — μέγα*'. v. 2 *λαχὼν* F. G. Schmidt *Krit. Stud.* 1 p. 29. *τύχης* Gesner et fortasse M, *ψυχῆς* A.

736

ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος
καὶ μνημονεύων οὐδὲν ὧν ἐχρῆν φίλον.
σπάνιον ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι,
κἂν ὁμόθεν ὦσι· τὸ γὰρ ἔχειν πλέον κρατεῖ
τῆς εὐσεβείας· ἡ δ' ἐν ὀφθαλμοῖς χάρις 5
ἀπόλωλ', ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ.

Stob. Flor. 126, 6: *Εὐριπίδου Τημενίσιν* (sic SM, eclogam om. A). '*ὡς — φίλον*' (v. 1 et 2). Flor. 126, 7: [*τοῦ αὐτοῦ.*] '*δάνειον — θάνῃ*' (v. 3—6). coniungunt primos quattuor versus libri, divellebat Grotius, quem secutus est Gaisford addito *τοῦ αὐτοῦ* lemmate. v. 1 *ἀνὴρ* SM. *δάνειον δ'* SM, *σπάνιον δ'* Gesner, *δ'* delevit Grotius. v. 4 *πλέον σθένει* scribendum arbitror. v. 5 lemma *Εὐριπίδου* addunt SM. v. 6 *ὄλωλ'* malim. *ὅταν τις ἐκποδὼν ἀνὴρ φανῇ* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 285 sq.

737

καλόν γ' ἀληθὴς κἀτενὴς παρρησία.

Stob. Flor. 13, 8: *Εὐριπίδου Τημενίσιν* (sic SMA, ⟨ἐ⟩κ *τημενίδων* poetae nomine non iterato L). '*καλόν — παρρησία*'. *ἀτενὴς* (*ἀγενὴς* L) *καὶ ἀληθὴς* LM.

738

πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως
δείξουσιν αὑτοὺς τῶν κακῶν ἐξουσίᾳ.

Stob. Flor. 106, 7: *Εὐριπίδου Τημενίσιν.* '*πολλοὶ — ἐξουσίᾳ*'. v. 1 *ἐσθλοὶ γεγῶτες* coni. Wecklein *Stud. zu Eur.* p. 423, *πόλει δ' ἑπόντες* F. G. Schmidt *Krit. Stud.* 2 p. 487. v. 2 *δείξωσιν* SMA, *δείξουσιν* Matthiae. *αὑτοὺς* S, *αὐτοὺς* MA. *ἄρξουσ' ἀλύπως* coni. F. G. Schmidt.

739

φεῦ φεῦ, τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο
ὅσην ἔχει φρόνησιν ἀξίωμά τε.
κἂν γὰρ πένης ὢν τυγχάνῃ, χρηστὸς γεγὼς
τιμήν ἔχει τιν', ἀναμετρούμενος δέ πως
τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ. 5

Stob. Flor. 88, 2: Εὐριπίδου (τοῦ αὐτοῦ A) Τημενίσι. 'φεῦ — τρόπῳ'. v. 2 ἔχει δόκησιν ἀξιώματος coni. Meineke, ἔχει φθόνησιν ἀξίωμά τε Munro, ἔχει τ' ὄνησιν ἀξίωμά τε F. G. Schmidt Anal. Soph. et Eur. p. 134. v. 3 κἂν — τυγχάνῃ ex καὶ — τυγχάνει corr. S pr. m. πένης τις ὢν τύχῃ O. Hense Lect. Stob. p. 13. χρηστοῦ Valckenaer. v. 4 τινα S. ἀναμετρούμενον Kock Veri sim. p. 170. τέ πως Wecklein Philol. 39 p. 413. v. 5 ὠφελεῖ τόκους Kock, ἀλφάνει τρόπῳ Wecklein. locus nondum emendatus.

740

. . . . . . ἦλθεν δ'
ἐπὶ χρυσόκερων ἔλαφον, μεγάλων
ἄθλων ἕνα δεινὸν ὑποστάς,
κατ' ἔναυλ' ὀρέων ἀβάτους ἐπί τε
λειμῶνας ποίμνιά τ' ἄλση. 5

Aelianus N. A. 7, 39: ἐν δὲ τοῖς Τημενίδαις τὸν Ἡράκλειον ἆθλον ἔλαφον κέρατα ἔχειν ὁ αὐτὸς Εὐριπίδης φησί, τὸν τρόπον τόνδε ᾄδων 'ἦλθεν — ἄλση'. v. 2 μεγάλων ⟨τ'⟩ O. Hense Act. soc. philol. Lips. 6 p. 336. v. 3 ἕνα δεινὸν] κίνδυνον Elmsley in Eur. Med. p. 125 sq. ὑπέστη O. Hense. v. 4 κατ' ἐναύλων vel κατέναυλα libri. ἐπί τε] ἐπιὼν vel ἐφέπων temptabam, ἐπιβὰς O. Hense, ἐρίπνας Wecklein Philol. 39 p. 413. v. 5 ποίμνιά τ'] ποιμένιά τ' libri plerique, ἀποίμνιά τ' coni. Meineke *Jahrb. f. Philol.* vol. 87 (a. 1863) p. 376, ποιήρ' Wecklein.

741

Ar. Ran. 1338: ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε. ubi Scholia: Ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν Τημενιδῶν (Εὐμενίδων ante Dobraeum). Euripidis quae verba fuerint non ausim dicere; cf. Fritzsche in Ar. Ran. p. 409 sq.

ΤΗΜΕΝΟΣ

De argumento fabulae non constat. Temenum et Temenidas cur eandem tragoediam opinemur, nullam video rationem idoneam. quem versum e Κτιμένῳ (i. e. Τημένῳ) affert Clemens Alex., τῷ γὰρ πονοῦντι κτέ., supra exhibuimus fr. 432, 2.

742

ἄλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα.

Stob. Flor. 56, 14: *Εὐριπίδου Βουτημένῳ* (sic MA, fabulae nomen om. S, *δευτέρου Τημένου* coni. Fritzsche in Ar. Ran. p. 409). '*ἄλλη — χρησιμωτέρα*'. *ἄλο γᾶα* M.

743

τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς
γνῶναι τὸν ἐχθρὸν ᾗ μάλισθ' ἁλώσιμος.

Stob. Flor. 54, 15: *Εὐριπίδου Τημένῳ* (sic S, *τιμένῳ* MA). '*τὸ δὲ — ἁλώσιμος*'. v. 1 *τοῦ δὲ* Dobree Adv. 2 p. 128, ego *τὸ δ' εὖ* malim. *τοῦτ' ἐγὼ* cod. Voss., *τοῦτο τ' ἐγὼ* SMA. v. 2 *ἐχρὸν* S. *ᾗ* Gesner, *εἰ* SMA. *μάλιστ'* S.

744

ἄρξεις ἄρ' οὕτω· χρὴ δὲ τὸν στρατηλάτην
ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν.

Stob. Flor. 54, 16: *ἐν ταὐτῷ*. '*ἄρξεις — στρατόν*'. v. 1 *ἄρξεις ἄρ'* SM, *ἄρξεις γὰρ* A.

745

τολμᾶν δὲ χρεών· ὁ γὰρ ἐν καιρῷ
μόχθος πολλὴν εὐδαιμονίαν
τίκτει θνητοῖσι τελευτῶν.

Stob. Flor. 51, 3: *Εὐριπίδου Τημένῳ*. '*τολμᾶν — τελευτῶν*'. cf. quae diximus in fr. 230.

746

αἰδὼς γὰρ ὀργῆς πλείον' ὠφελεῖ βροτούς.

Stob. Flor. 31, 1: *Εὐριπίδου Τιμαίῳ* (sic M, eclogam om. A, habent om. fabulae nomine L et sine lemmate S). '*αἰδὼς — βροτούς*'. *πλείον'* scripsi, *πλεῖον* libri.

747

αἰσίως

Hesych. 1 p. 86: *αἰσίως· καλῶς, δεξιῶς. Εὐριπίδης Τημένῳ* (*τιμέ..* codex).

748

ἀνανομήν

Hesych. 1 p. 178: *ἀνανομήν* (*ἀνανομεῖν* cod.)· *ἀναδασμόν. ἀνανέμειν* (*ἀνανεμεῖν* cod.) *γὰρ τὸ μερίζειν. Εὐριπίδης Τημένῳ.*

749

ἄπυργος

Hesych. 1 p. 267: ἄπυργος· ἀτείχιστος. Εὐριπίδης Τημένῳ (τιμένῳ cod.).

750

κατηβολή

Schol. Plat. p. 904 a 22 et Hesych. 2 p. 445, v. fr. 614.

751

σφακελισμός

Schol. Hippocr. (vol. 5 p. 214 Littr.) in Darembergii *Notices et extr. des manuscr. méd.* 1 p. 217 sive Erotian. ed. Klein. p. 20, 14: ὁ δὲ Βακχεῖος ὀδύνην καὶ ἄλγημα καὶ φλεγμονὴν φησὶν εἶναι τὸν σφακελισμόν (σφακελλισμόν cod.), παραθέμενος Εὐριπίδου λέξεις ἐκ Τημένου (ἐκ κτημένου cod.) καὶ Ἱππολύτου (v. 1352, ubi σφάκελος legitur).

ΥΨΙΠΥΛΗ

De argumento cf. Schol. Clem. Alex. p. 424, 19: ὅτε οἱ ἑπτὰ ἐπὶ Θήβας σὺν Ἀδράστῳ καὶ Πολυνείκει ἐστρατεύοντο, παρέβαλον εἰς τὴν Νεμέαν· τόπος δὲ οὗτος τοῦ Ἄργους. ζητοῦντες δὲ ὑδρεύσασθαι συνέτυχον Ὑψιπύλῃ τῇ Θόαντος θυγατρὶ τρεφούσῃ παιδίον Ὀφέλτην καλούμενον, Εὐφήγου*) καὶ Εὐρυδίκης. ἣ δὲ ἀποθεμένη τὸ παιδίον ἀπῆλθεν αὐτοῖς ὑδρεύσασθαι βουλομένη. δράκων δὲ ἐν τοσούτῳ (l. τούτῳ) περιπεσὼν τῷ παιδίῳ ἀνεῖλεν αὐτό· ἣ δὲ ἐπανελθοῦσα ἐθρήνει. Ἀμφιάραος δὲ ὁ μάντις εἰς ὧν τῶν ἑπτὰ ἀπὸ τοῦ συμβάντος τοῖς Ἕλλησι θάνατον προεμαντεύσατο καὶ τὸν παῖδα Ἀρχέμορον ἐκάλεσεν· Ἄδραστος δὲ παραμυθούμενος τὴν Ὑψιπύλην ἐπ' αὐτῷ τὸν Νεμεακὸν ἀγῶνα συνεστήσατο, ὃς ὕστερον τῷ Διὶ ἀνιερώθη. similiter Apollod. 3, 6, 4 et Hyginus fab. 74. Hypsipylen ab Eurydices ultione tutam praestant filii, si recte fr. 765 interpretatur Welcker. scenae commissam esse fabulam paulo ante olymp. 93, 3 docet Schol. Ar. Ran. 53: τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν, Ὑψιπύλης, Φοινισσῶν, Ἀντιόπης.

752

Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν

*) Fortasse Εὐφήτου leg., cf. Schol. Pind. Nem. prol. p. 9, 9: τὰ Νέμεα φασὶν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ τῷ Εὐφήτου καὶ Κρεούσης παιδί. *Ophelten Lyci regis filium* dicit Hyginus fab. 74, ubi *Lycurgi filium* probabiliter corrigitur secundum Apollodorum et alios.

Ar. Ran. 1211: 'Διόνυσος — πηδᾷ χορεύων'. ubi Schol.: Διόνυσος ὅς] Ὑψιπύλης ἡ ἀρχή. Schol. v. 1213: πηδᾷ χορεύων] — τὸ δὲ λοιπὸν τοῦ στίχου 'παρθένοις σὺν Δελφίσιν'. Macrobius Sat. 1, 18, 4: *quod cum Varro et Granius Flaccus adfirment, etiam Euripides his docet* 'Διόνυσος — πηδᾷ χορεύων' (v. 1—3). Schol. Ar. Nub. 604: σὺν πεύκαις] παρὰ τὸ Εὐριπίδειον 'Διόνυσος — δοραῖς' (v. 1). Etym. M. v. ἄαπτος p. 1, 38: τὸ δὲ 'καθαπτὸς — Παρνασοῦ' (v. 2) παρ' Εὐριπίδῃ. v. 1 ὃς θύρσοισι] ἐν πεύκαις Schol. Ar. Nub. νεβρῶν] νευρῶν Schol. Ar. Nub. v. 2 πεύκαισι] πεύκῃσι Etym. M. Παρνασσὸν Herwerden secundum C. I. 2374, 4.

753

δείξω μὲν Ἀργείοισιν Ἀχελῴου ῥόον

Didymus in Macrob. Sat. 5, 18, 12: Ἀχελῷον πᾶν ὕδωρ Εὐριπίδης φησὶν ἐν Ὑψιπύλῃ· λέγων γὰρ περὶ ὕδατος ὄντος σφόδρα πόρρω τῆς Ἀκαρνανίας, ἐν ᾗ ἐστιν ὁ ποταμὸς Ἀχελῷος, φησὶν 'δείξω — ῥόον'. ῥόον parum aptum, δρόσον vel ῥοάς coni. Elmsley in Eur. Bacch. 625, cf. Ἀχελῴου δρόσον Andr. 167.

754

ἕτερον ἐφ' ἑτέρῳ αἰρόμενος
ἄγρευμ' ἀνθέων ἡδομένᾳ ψυχᾷ
τὸ νήπιον ἄπληστον ἔχων

Plut. de amicorum multitud. c. 2 p. 93 D: ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν 'ἕτερον — ἔχων'. cf. Plut. Quaest. conv. 4, 1, 2 p. 661 F, ubi libri haec fere praebent: ὥσπερ ὁ ** πύλης τρόφιμος **νος 'ἕτερον ἀφ' ἑτέρας ἰώμενος ἄγρευμα ἂν συνηδόμεναι ψυχαὶ ** μὴ πίον ἄπληστος ἐὼν' ἐπὶ πλεῖστον ἐξανθίζεται τοῦ λειμῶνος. v. 1 αἰρόμενος p. 93, ἰώμενος (ἱέμενος Vind.) p. 661, μώμενος coni. R. Ellis *Journal of philol.* IV p. 261, φάρεσιν αἰρόμενος Herwerden in Eur. Ion. p. 185. v. 2 ἁδομένᾳ Valckenaer. v. 3 ἄχρηστον ἔχων p. 93, ἄπληστος ἐών p. 661. Euripidi locum vindicavit Valckenaer Diatr. p. 212, qui verba εἰς τὸν λειμῶνα καθίσας ἔδρεπεν poetae adscripsit, quae Plutarchi esse videntur: idem apte comparavit Statii Theb. 4, 786.

755

ἀνὰ τὸ δωδεκαμήχανον ἄστρον

Ar. Ran. 1328: ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης μελοποιῶν. ubi Schol. (sicut Suidas v. δωδεκαμήχανον): ἔστι δὲ παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου 'ἀνὰ — ἄστρον'. ἄστρον] ἄντρον codex Θ in glossa: hoc probat et speluncam, ubi draco latuerit, dici iudicat Welcker; alii ἄστρον de sole dictum volunt, qui per duodecim zodiaci signa eat.

756

περίβαλ', ὦ τέκνον, ὠλένας

Ar. Ran. 1322: περίβαλλ', ὦ τέκνον, ὠλένας. Scholion v. 1320: καὶ τὸ 'περίβαλ', ὦ τέκνον' ἐξ Ὑψιπύλης.

757

ἅ γ' οὖν παραινῶ, ταῦτά μου δέξαι, γύναι.
ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βροτῶν,
θάπτει τε τέκνα χἅτερ' αὖ κτᾶται νέα,
αὐτός τε θνῄσκει· καὶ τάδ' ἄχθονται βροτοί,
εἰς γῆν φέροντες γῆν. ἀναγκαίως δ' ἔχει 5
βίον θερίζειν ὥστε κάρπιμον στάχυν,
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή· τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

Clemens Alex. Strom. IV p. 588: ὁ γοῦν Εὐριπίδης λέγει 'ἅ γ' οὖν — βροτοί' (v. 1—4). εἶτα ἐπιφέρει 'ταῦτα δεῖ — βροτοῖς' (v. 7—9). Plut. Consol. ad Apollon. c. 16 p. 110 F: οὐ φαύλως γὰρ ἂν δόξειεν ὁ παρὰ τῷ ποιητῇ Ἀμφιάρεως παραμυθεῖσθαι τὴν Ἀρχεμόρου μητέρα δυσχεραίνουσαν ὅτι νήπιος ὢν ὁ παῖς καὶ ἄγαν ἄωρος ἐτελεύτησε. φησὶ γὰρ οὕτως 'ἔφυ μὲν — βροτοῖς' (v. 2—9). Stob. Flor. 108, 11: Εὐριπίδου Ὑψιπύλῃ. 'ἔφυ μὲν — διεκπερᾶν;' (v. 2—8). verba 'βίον — μή' (v. 6 et 7) om. poetae et fab. nom. apponit Marcus Anton. 7, 40. v. 6 idem 11, 6. v. 9 cum lemmate τοῦ αὐτοῦ habet in Stob. Flor. 29, 56 codex S (om. MA). cf. Plut. Consol. ad Apollon. c. 31 p. 117 D: οὐδὲν γὰρ δεινὸν τῶν ἀναγκαίων βροτοῖς. v. 1 μου] μοι Valckenaer Diatr. p. 213. v. 2 οὐ πονεῖ βροτῶν Plut. et Clem., οὐκ ἀεὶ πονεῖ Stob., οὐ νοσεῖ βροτῶν secundum Ciceronis locum coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 487 sq. v. 3 θάπτει] θάπτειν Stob. χἅτερ' αὖ Plut., χἅτερα (χἕτερα S) Stob., καὶ ἕτερα Clem. κτᾶται Plut., κτᾶσθαι Stob., σπείρει Clem. νέα Plut. et Clem, πάλιν Stob. v. 4 αὐτός τε θνῄσκει] αὐτοὺς δὲ θνήσκειν Stob. καὶ τάδ'] κατὰ δ' (id est κἆτα δ') Stob., καὶ κέν' F. G. Schmidt. v. 5 τήνδ' ἀναγκαίως Stob. (ubi tamen τὴν ἀναγκαίως S) et Plut., γῆν ἀναγκαίως δ' Grotius ex Ciceronis loco. v. 7 τὸν — τὸν] τὸ — τὸ Marcus Anton. v. 8 στένειν] στέγειν Clem. ἅπερ χρὴ coni. L. a Sybel de repet. verb. in fab. Eur. p. 47, ego v. 7 τί ταῦτα χρὴ malim. διεκπερᾶν] δεῖ δ' ἐκπερᾶν Clem. v. 9 δεινὸν γὰρ οὐδὲν Plut. p. 110, οὐδὲν γὰρ δεινὸν Plut. p. 117, οὐ δεινὸν οὐδὲν Clem., οὐκ αἰσχρὸν οὐδὲν Stob. Latine v. 2—8 red-

didit Cicero Tusc. 3, 25, 59: *Carneades — reprehendere Chrysippum solebat laudantem Euripideum carmen illud,*

mortalis nemo est quem non attingit dolor
morbusque. multis sunt humandi liberi,
rursum creandi (creantur?), morsque est finita omnibus.
quae generi humano angorem nequiquam adferunt.
reddenda terrae est terra, tum vita omnibus
metenda, ut fruges: sic iubet necessitas.

758

κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.

Stob. Flor. 10, 26: *Εὐριπίδου Ὑψιπύλῃ.* '*κακοῖς — ὑπέρτερον*'.

759

πρὸς τὰς φύσεις χρὴ καὶ τὰ πράγματα σκοπεῖν
καὶ τὰς διαίτας τῶν κακῶν τε κἀγαθῶν,
πειθὼ δὲ τοῖς μὲν σώφροσιν πολλὴν ἔχειν,
τοῖς μὴ δικαίοις δ' οὐδὲ συμβάλλειν χρεών.

Orion. Flor. 7, 5 p. 51, 10: *ἐκ τῆς Ὑψιπύλης.* '*πρὸς τὰς — χρέων*'. v. 1 om. poetae et fab. nom. habet Floril. Monac. 104. *χρήσεις* Orion, *φύσεις* Flor. Monac. ut coniecerat Fix in Eur. El. 368. v. 4 *οὐδὲν* cod., *οὐδὲ* Schneidewin. vitiosum est *χρεών*, cuius loco *λόγον* requirit Wecklein Mus. Rhen. 33 p. 121.

760

ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.

Stob. Flor. 20, 31: *Εὐριπίδου Ὑψιπύλῃ* (sic M, *ὑψιπύλης* A, eclogam om. S). '*ἔξω — σοφώτερος*'. idem versus cum fr. 259 coniunctus extat in Stob. Flor. 20, 12. ubi *σοφώτατος* praebet S sicut Flor. Monac. 150.

761

ἄελπτον οὐδέν, πάντα δ' ἐλπίζειν χρεών.

Stob. Flor. 110, 16: *Εὐριπίδου Ὑψιπύλῃ* (sic S, *ὑψιπύλης* MA). '*ἄελπτον — χρεών*'. *ἐλπίζειν* M.

762

εὔφημα καὶ σᾶ καὶ κατεσφραγισμένα

Eust. Il. p. 959, 43: *λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί — Εὐριπίδης ἐν Ὑψιπύλῃ* '*εὔφημα — κατεσφραγισμένα*'. *εὔφημα*] *εὔσημα* Valckenaer Diatr. p. 213 sq.

763

ἢ ἑτέρᾳ φράσω;

Ar. Ran. 64: *ἆρ' ἐκδιδάσκω τὸ σαφές, ἢ ἑτέρᾳ φράσω;* ubi Scholia: *ἑτέρᾳ φράσω]* — *ἔστι δὲ τὸ ἡμιστίχιον ἐξ Ὑψιπύλης Εὐριπίδου.* Bothe ad priora verba *ἆρ' ἐκδιδάσκω τὸ σαφές* hanc annotationem rettulit.

764

ἰδού, πρὸς αἰθέρ' ἐξαμίλλησαι κόρας
γραπτούς <τ' ἐν αἰετ>οῖσι πρόσβλεψον τύπους.

Galenus vol. 18, 1 p. 519 de v. *ἀέτωμα* sive *ἀετός* disputans: *καὶ Εὐριπίδης ἐν Ὑψιπύλῃ φησὶν ʻἰδοὺ — τύπουςʼ.* v. 1 *ἐξαμιλλῆσαι* ante Musgravium. *κόραι* libri, *κόραις* Musgrave, *κόρας* Hermann. v. 2 *γραπτοὺς οἷσι πρόσβλεπον* libri, *γραπτοὺς ἐν αἰετοῖσι προσβλέπειν* Valckenaer Diatr. p. 214, ego *τ'* addidi et *πρόσβλεπον* in *πρόσβλεψον* mutavi.

765

οἰνάνθα τρέφει τὸν ἱερὸν βότρυν

Ar. Ran. 1320: *οἰνάνθας γάνος ἀμπέλου.* ubi Schol.: *παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου ʻοἰνάνθα — βότρυνʼ. οἰνάνθα τρέφει* RV, *οἰνάνθα φέρει* ceteri libri, *οἰνάνθας τε τρέφει* Tzetzes in Ar. Ran. 1320 (Mus. Rhen. 6 p. 617 sive Append. Lex. Vindob. p. 251, 7). *οἶνα θ' ἃ φέρει τὸν ἱερὸν βότρυν οἰνάνθας γάνος* coni. Bergk. Welcker conferri iubet Anth. Pal. 3, 10: *φαῖνε, Θόαν, Βάκχοιο φυτὸν τόδε· ματέρα γάρ σου ῥύσῃ τοῦ θανάτου οἰκέτιν Ὑψιπύλαν κτέ.*, cui epigrammati haec praemittuntur: *ἐν δὲ τῷ κατὰ δύσιν πλευρῷ — Εὔνεως γεγλυμμένος καὶ Θόας, οὓς ἐγέννησεν Ὑψιπύλη, ἀναγνωριζόμενοι τῇ μητρὶ καὶ τὴν χρυσῆν δεικνύντες ἄμπελον, ὅπερ ἦν αὐτοῖς τοῦ γένους σύμβολον, καὶ ῥυόμενοι αὐτὴν διὰ τὸν Ἀρχεμόρου θάνατον τῆς παρ' Εὐρυδίκης τιμωρίας.*

766

ἀναδρομαί

Hesych. 1 p. 171, vide fr. 855.

767

ἄρκτος

Harpocr. v. *ἀρκτεῦσαι* p. 34, 17: *ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης Ὑψιπύλῃ, Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ.* similiter om. fabulae nom. Anecd. Bekk. p. 444, 32 et Suid. v. *ἀρκτεῦσαι.*

768

ἐκδημία

Antiatt. p. 93, 26: *ἐκδημία, οὐ μόνον ἀποδημία. Εὐριπίδης Ὑψιπύλῃ.*

769

κροταλισάσης

Phot. Lex. p. 180, 12: *κροταλίζειν· οὐ διὰ τῶν χειρῶν κροτεῖν, ἀλλὰ διὰ κροτάλου. τῆς κροταλισάσης, ὡς Εὐριπίδης* (*Εὐριπίδην* coni. Dobree) *φησὶν ὁ κωμικὸς περὶ τῆς Ὑψιπύλης λέγων.* cf. Ar. Ran. 1305: *ποῦ ἔστιν ἡ τοῖς ὀστράκοις αὕτη κροτοῦσα; δεῦρο, μοῦσ' Εὐριπίδου.* ubi Schol.: *λέγεται δὲ εἰς τὴν Ὑψιπύλην ταῦτα.* Phryn. Bekk. p. 45, 30: *κροτεῖν ὀστράκοις· Ἀριστοφάνης ἐπὶ τῆς Εὐριπίδου μελοποιίας.* Euripides quid dixerit, ex Photii loco non satis apparet. verbo *κροταλίζειν* usus est Anaxilas Com. 3 p. 341.

770

νεαρός

Antiatt. p. 109, 15: *νεαρός· ἀντὶ τοῦ νέος. Εὐριπίδης Ὑψιπύλῃ.*

ΦΑΕΘΩΝ

Mythus Phaethontis ex Ovid. Metam. 2, 1 sqq. et aliunde notissimus. de ratione ab Euripide in tractando hoc argumento inita quae assequi nunc possumus, duobus potissimum nituntur uberioribus fragmentis quae servata sunt in codicis Claromontani (nunc Parisini 107) foliis 162 et 163, ubi versus partim abscisso margine inferiore perierunt, partim deleta genuina scriptura novaque inducta (continet enim ille codex Pauli epistolas) obscurati sunt. descripserunt illa fragmenta lectu difficillima H. Hase et I. Bekker, recenti memoria codice denuo collato cum additamentis quibusdam repetiit Fr. Blass in programmate universitatis Kiliensis a. 1885 edito*).

*) Discriptionem versuum servavi eam quam codex refert. Bekkeri et Hasii apographa, quae *b* et *h* litteris indicamus, multis locis inter se discrepant: dubitationes haud paucas sustulit Blass. nihilo minus codicis scriptura multis locis etiam nunc latet semperque latebit, neque ipse codex, quinto ut perhibent post Chr. saeculo scriptus, vitiorum fuit immunis, quorum partem scite emendavit corrector (m. sec.). fuerunt, id quod Blass docuit, in Euripidei codicis uno quoque folio paginae quaternae, i. e. binae in recto, totidem in verso: recidendo autem ut ab inferiore parte quaterni fere versus perierunt, ita alterius paginae et recti et versi folii pars maxima. non manserunt nisi exitus et initia versuum. usum truncati isti versus vix ullum praebent: quoniam vero programmata academica in paucorum manus perveniunt, haud gravabor

supplendis et emendandis poetae verbis potissimum profuit G. Hermann Opusc. 3 p. 7—20. argumentum Euripideae fabulae optime adumbravit Wilamowitz-Moellendorff Herm. vol. 18 p. 396 sqq. adde quae disseruit Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. der Wissensch. zu München* 1888 vol. 1 p. 118—127.

Scena est in remotissimo oriente prope Solis regiam in finibus Aethiopum Oceano vicinorum, quorum rex Merops, Clymenae coniux, filii Phaethontis nuptias parat. sponsa Phaethontis est dea, cuius nomen traditum non invenimus: *Ἀφροδίτην* intellegi vult Wilamowitz-Moellendorff p. 413 et 416 sqq., *Σελήνην* Wecklein. Phaethon de-

---

quae Blass legit hoc loco repetere. versus rectis lineis distinguam, uncis includo supplementa ab editore proposita.

in pagina I ante fr. 773 (quod est in p. II et III) hos versuum exitus Blass agnovit: ⟨ΦΑ. — — *συναλλ*⟩*αγὰς θεῶν* | — ⟨*ἐ*⟩*κπέμπων πατήρ*: | ⟨ΚΛ.⟩ — *εις λέχος* | — *παιλοσουσ* | — *ον* 5 | — *ων λέχη*: | ⟨ΦΑ.⟩ — *νος μένηι* | — *ογ* — | — *νουθ' ὁρῶ* | — *ώμενον*: 10 | ⟨ΚΛ.⟩ — | — *οηλίους* | — *λεν πατρί* | — *ελ...σιν* | — *ο..αταρι* 15 | — ⟨*δ*⟩*ευτέρ*⟨*ο*⟩*υς* | — *λέχη* | — *λει λέγεις* | — *λι θεοῦ* | — ⟨*ἐ*⟩*λπίσιν* 20 | — ⟨*ἐ*⟩*λε*⟨*ύθ*⟩*ερον* | — *ελήμ*⟨*ε*⟩*θα* | — *νσμαι φιλεῖ* | — *ατης γάμοι* | — *ευσατεῶ* 25 | — *αιπι..ναι* | — *ρωμένου* | — *θων ὅτου* | — *εκτα.φρενί*: | ⟨ΦΑ.⟩ (spatium vacuum) 30 | — ⟨*ἐν*⟩*νέπουσά μοι* | — *λησω πατρός* | (spatium vacuum) | — *νον φίλον*: | ⟨ΚΛ. — *τ*⟩*ὰ φίλτατα*. 35 | ⟨ΦΑ.⟩ — *εὖ δὴ τιθεὶς* | — ⟨*δ*⟩*όξαν φανῶ* | (interciderunt versus quattuor.)

pagina IV post fr. 773 haec refert versuum initia: *.ηδ'* — | *θ* — | *ἐν σοὶ ν* — | *να.νω* — | *ωστησ* — 5 | *σφ..ερ* — | *τῷ μοι ν* — | *γῆ διὰ το* — | *γάμοις* — | *ἄλλοισ* — 10 | *δώσει τ* — | *νεο.δε* — | *ηδηστο* — | *οὐχ ὡς* — | *παῖς τα* — 15 | *γέρων τ* — | *νέαι θ* — | *τοσωδ* — | *δεπωσ* — | *στ..υδ* — 20 | *κἂν αν* — | *πέσω δ* — | *ελολ* — | *κλε* — | *πολεμ* — 25 | *κηδ* — | *ἐξο.δ' α* — | *ὅταν γε* — | *κ* — 30 | *γαμεῖς* — | *και*⟨*ο*⟩*υχ* — | *οὐκ ἂν* — | *ἄρον βά*⟨*ρος*⟩ | *ηδει..ε* 35 | *.τεσυγε* — | ......

in pagina I eius folii quo fr. 781 continetur, hi leguntur versuum exitus: — *ι προθυμίαι* | — *σο.λοψο* | — *οἰκία.υχοι* | — *δυστυχεῖς* | — *...λιπών* 5 | — ⟨*ἔ*⟩*σω χθονός* | — *πλοῖτον δόμων* | — *χοὰς ἄγῃ* | — *ιλοης ἑκών* | — *...ἴχνος* 10 | — *...ἀνιέτω* | — *χθονὸς σκότου* | — *..ελει* | — ⟨*τυρα*⟩*ννίδι* | — *ἐλε*⟨*ύ*⟩*θεροι* 15 | — *ον πλούσιο*⟨*ν*⟩ | — *νηπόλις* | — *μη νόμος* | — *σεν ᾔνεσα* | — *...ν σοφή* 20 | — *τάγματα* | — *...μόνων* | — *ἀμήχανοι* | — *. γὰρ αὖ πλοκή* | — *..ημαι τόδε* 25 | — *λογερα* | — *...σοῖς κακοῖς* | — *σκότῳ* | — ⟨*π*⟩*οίῳ τάφῳ* | — *..σεται* 30 | — *ν δι' ἄστεως* | — *...ήλιον* | — *.νεκροί* | — *..τὰς τύχας* | — *.ν πειρατέον* 35 | desunt v. VI

pag. IV eiusdem folii initia versuum continet: ⟨ΤΡΟΦΟΣ.⟩ *δια* — | *ὃς ὑμεν*⟨*αι*⟩ — | *εὐκελ*⟨*αδ*⟩ — | *ὡς οὐρα*⟨*ν*⟩ — | *σὺ δὲ παρ* — 5 | *δα* — | *ουκειοι* — | *ὑμέναι*⟨*ο*⟩ — | *ολ* — | *βο* — 10 | *δα* — | *σι* — | *το* — | *ιλε* — | *φι* — 15 | *ὅστις ἰσ* — | *οι* — | *κα* — | *λι* — | *καλεῖτε* — 20 | *ὃς ἐμὰν* — | *κακὰ δὲ* — | ΧΟ. *ὅδ' ἐκ δό*⟨*μων*⟩ — | *παιδὸς φ*⟨*έρων — νέκυν*⟩ | ΜΕΡ. *εἶεν σὺ* — 25 | *ὡς εισο* — | *οἷαν εκ* — | *θεᾶς δὲ* — | ΤΡΟΦ. *ὤμοι*. | ΜΕΡ. *στέναξ*⟨*ον*⟩ — 30 | ΤΡ. *αἰαῖ*. | ΜΕΡ. *διπλᾶ δ*⟨*ακρύσεις?*⟩ — | ΤΡ. *τί γὰρ λέ*⟨*γειν μ' ἄνωγας?*⟩ — | ΜΕΡ. *τίς παῖδ'* ⟨*ἀπέκτειν'?*⟩ — | ΤΡ. *εἰδὼς δ*⟨*ὲ*⟩ — 35 | ΜΕΡ. *ἵν' ἀντα*⟨*μειψ*⟩ — | ΤΡ *σμικρῷ* — | ΜΕΡ. *κρεισσ* — | ΤΡ. *οσσεο* — | desunt v. II

trectans deae coniugium ante lucem surrexit ut patris domo relicta nuptias effugiat. intervenit mater Clymena, quae docet non Meropis ipsum esse filium, sed Solis. dubitantem hortatur eadem ut a Sole unam quamcunque velit rem petat: quam si impetrarit, verbis ipsius fidem habeat. Phaethon posteaquam cum Merope de inviso matrimonio collocutus est, adit Solis regiam et divinorum equorum moderamen a deo impetrat. mox vero, dum in Meropis aedibus parantur quae ad nuptias pertinent, Iovis fulmine percussus Phaethon deicitur, et delapso eius corpore fumante thesaurus regius flammam concipit. de ulteriore actione parum edocti sumus. in fine fabulae probabile est apparuisse Venerem, quae Meropem et Clymenam consolaretur et de Phaethontis anima in aetherem sublata referret. Phaethontis fortasse sunt Eur. fr. 971 et 982. contra ad Hippolytum superstitem eiusque scholia spectant quae de Euripide refert Plinius N. H. 37, 31 et 32 (v. Aesch. fr. 73). non magis de Phaethonte fabula accipienda sunt verba Lactanctii Placidi fab. 2 et 3: *sorores Phaethontis, Phaethusa Lampetie Phoebe, casum fratris dum deflent, deorum misericordia in arbores populos mutatae sunt. lacrimae earum, ut Hesiodus et Euripides indicant, in electrum sunt conversae.*

771

Μέροπι τῆσδ' ἄνακτι γῆς,
ἣν ἐκ τεθρίππων ἁρμάτων πρώτην χθόνα
Ἥλιος ἀνίσχων χρυσέᾳ βάλλει φλογί.
καλοῦσι δ' αὐτὴν γείτονες μελάμβροτοι
Ἕω φαεννὰς Ἡλίου θ' ἱπποστάσεις. 5

Strab. I p. 33: ὅ τ' Εὐριπίδης ἐν (ἐπὶ libri, corr. Xylander) τῷ Φαέθοντι τὴν Κλυμένην δοθῆναί φησι 'Μέροπι — ἱπποστάσεις'. νῦν μὲν δὴ κοινὰς ποιεῖται τὰς ἱπποστάσεις τῇ τε Ἠοῖ καὶ τῷ Ἡλίῳ, ἐν δὲ τοῖς ἑξῆς πλησίον αὐτὰς φησὶν εἶναι τῇ οἰκήσει τοῦ Μέροπος· καὶ ὅλῃ γε τῇ δραματουργίᾳ τοῦτο παραπέπλεκται. v. 1 δάμαρ δοθεῖσα vel cum Bothio Κλυμένη δοθεῖσα supplere licuerit. v. 3 cf. Hesych. 1 p. 205: ἀνίσχων· ἀνατέλλων. de verbis quae sequuntur χρυσέᾳ βάλλει φλογί, cf. fr. 783. v. 4 γείτονες mirum, οὑγγενεῖς coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 488, qui rectius ἐγγενεῖς scribere poterat. v. 5 φαεννὰν BClA et in hoc sup. ᾶς, inde φαεννᾶς g, φαεννὰς Meineke Vind. Strab. p. 4. verba habemus prologi, quem Phaethonti poeta tribuit.

772

θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς
καίει τὰ πόρρω, τἀγγύθεν δ' εὔκρατ' ἔχει.

Stob. Ecl. 1, 25, 6 p. 214, 8: *Εὐριπίδης πῦρ εἶναι τὸν ἥλιον. λέγει γοῦν ἐν — Φαέθοντι 'θερμὴ — γῆς'* (v. 1). Vitruvius 9, 1, 13: *ait enim* (Euripides) *quae longius a sole essent, haec vehementius ardere, propiora vero eum temperata habere. itaque scribit in fabula Phaethonte sic 'καίει — ἔχει'.* coniunxit hos versus Barnes. v. 2 *κάει τὰ πόρσω* Dindorf. ΤΑΝΓΥΓΝΑΙΕΙΕΥΧΡΑΤΑΕΧΕΙ libri, *τἀγγύθεν δ' εὔκρατ' ἔχει* Valckenaer Diatr. p. 32.

773

μνησθεὶς ὅ μοί ποτ' εἶφ' ὅτ' ηὐνάσθη θεός.
αἰτοῦ τί χρῄζεις ἕν· πέρα γὰρ οὐ θέμις
λαβεῖν σε· κἂν μὲν τυγχάνῃς ε . . .
θεοῦ πέφυκας· εἰ δὲ μή, ψευδὴς ἐγώ.
ΦΑΕ. *πῶς οὖν πρόσειμι δῶμα θερμὸν Ἡλίου;* 5
ΚΛΥ. *κείνῳ μελήσει σῶμα μὴ βλάπτειν τὸ σόν.*
ΦΑΕ. *εἴπερ πατὴρ πέφυκεν, οὐ κακῶς λέγεις.*
ΚΛΥ. *σάφ' ἴσθι· πεύσῃ δ' αὐτὸ τῷ χρόνῳ σαφῶς.*
ΦΑΕ. *ἀρκεῖ· πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν.*
ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ αἵδ' ἔξω δόμων 10
δμωαὶ περῶσιν, αἳ πατρὸς κατὰ σταθμοὺς
σαίρουσι δῶμα καὶ δόμων κειμήλια
καθ' ἡμέραν φοιβῶσι κἀπιχωρίοις
ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων.
ὅταν δ' ὕπνον γεραιὸς ἐκλιπὼν πατὴρ 15
πύλας ἀμείψῃ καὶ λόγους γάμων πέρι
λέξῃ πρὸς ἡμᾶς, Ἡλίου μολὼν δόμους
τοὺς σοὺς ἐλέγξω, μῆτερ, εἰ σαφεῖς λόγοι.
ΧΟΡ. . . . . *στρ. α*
. . . . . *κατὰ γᾶν* 20
. *δειλα* . . *α* . *κυ* . . *μαι*
. . . .
μέλπει δ' ἐν δένδρεσι λεπτὰν
ἀηδὼν ἁρμονίαν
ὀρθρευομένα γόοις 25
Ἴτυν Ἴτυν πολύθρηνον.
σύριγγας δ' οὐριβάται *ἀντ. α*
κινοῦσιν ποίμνας ἐλάται·
ἔγρονται δ' εἰς βοτάναν

ξανθᾶν πώλων συζυγίαι. 30
ἤδη δ' εἰς ἔργα κυναγοὶ
στείχουσιν θηροφόνοι,
παγαῖς τ' ἐπ' Ὠκεανοῦ
μελιβόας κύκνος ἀχεῖ.
ἄκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας στρ. β 35
ἀνέμων τ' εὐαέσσιν ῥοθίοις
ἀνὰ δ' ἱστία . . . .
. . . .
. . . .
. 40
. . . .
σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάζει.
τὰ μὲν οὖν ἑτέροισι μέριμνα πέλει· ἀντ. β
κόσμον δ' ὑμεναίων δεσποσύνων
ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως 45
ὑμνεῖν· δμωσὶν γὰρ ἀνάκτων
εὐαμερίαι προσιοῦσαι
μολπᾶν θράσος αἴρουσ'
ἐπὶ χάρματ'· εἰ δὲ τύχα τι τέκοι,
βαρὺν βαρεῖα φόβον ἔπεμψεν οἴκοις. 50
ὁρίζεται δὲ τόδε φάος γάμων τέλος, ἐπ.
τὸ δή ποτ' εὐχαῖς ἐγὼ
λισσομένα προσέβαν
ὑμέναιον ἀεῖσαι
φίλον φίλων δεσποτᾶν. 55
θεὸς ἔδωκε, χρόνος ἔκρανε
λέχος ἐμοῖσιν ἀρχέταις.
ἴτω τελεία γάμων ἀοιδά.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων
κῆρύξ θ' ἱερὸς καὶ παῖς Φαέθων 60
βαίνουσι, τριπλοῦν ζεῦγος, ἔχειν χρὴ
στόμ' ἐν ἡσυχίᾳ·
περὶ γὰρ μεγάλων γνώμας δείξει,
παῖδ' ὑμεναίοις, ὡς φησί, θέλων
ζεῦξαι νύμφης τε λεπάδνοις. 65

⟨ΚΗΡ.⟩ Ὠκεανοῦ πεδίων οἰκήτορες,

εὐφαμεῖτ', ὦ,
ἐκτόπιοί τε δόμων ἀπαείρετε,
ὦ ἴτε, λαοί.
κηρύσσω δ' ὁσίαν βασιλήιον, 70
αἰτῶ δ' αὐδὰν
εὐτεκνίαν τε γάμοις, ὧν ἔξοδος
ἅδ' ἕνεχ' ἥκει,
παιδὸς πατρός τε τῇδ' ἐν ἡμέρᾳ λέχη
κρᾶναι θελόντων· ἀλλὰ σῖγ' ἔστω λεώς. 75

ΜΕΡ. . . . .
. . . . εἰ γὰρ εὖ λέγω

Codex Clarom., nunc Paris. 107 fol. 162 verso continet v. 1 —41, eodem folio recto v. 42—77. v. 1—4 Clymenae sunt. ad v. 5 litteras ΦΑΕ minio adscripsit m. sec., v. 6—9 personarum vices lineolis indicantur. v. 1 μνησθεῖσ' olim Hartung. ποτ'] τότ' Rau Epist. de Eur. Phaeth. (Lugd. Bat. 1832) p. 16. ΕΙΠΕΤΕΥ ΝΑCΘΗΘΕΟC (ante quintam litteram Ο addidit m. sec.) cod. εὐνάσθην θεῷ coni. Rau, ηὐνάσθην θεός Hartung Eur. rest. vol. 2 p. 194 et Herwerden in Eur. Ion. p. 73. v. 2 λέγ' εἴ τι χρῄζεις bene coni. Rau, sicut habemus λέγ' εἴ τι χρῄζεις Soph. Trach. 416 Eur. El. 1049, λέγ' εἴ τι βούλει Med. 1320 Suppl. 567, φράζ' εἴ τι χρῄζεις Iph. A. 861, εἴ τι χρῄζεις φράζε Soph. Phil. 49. περαι cod., de qua scriptura cf. Buecheler *Recht von Gortyn* p. 10. v. 3 post τυγχανης Bekker ε legit, spiritus asperi signum agnosse sibi videtur Blass. ἐτητύμως suppleri voluit Bekker, σάφ' ἴσθ' ὅτι Hermann, εὐχῶν σέθεν Wecklein *Stud. zu Eur.* p. 423, ὅτου θέλεις Wilamowitz-Moellendorff Herm. 18 p. 399. v. 5 θεμον cod., θερμὸν Burges. v. 7 επει cod. pr. m., ειπερ corr. πέφυκε κοὐκ ἄλλως λέγεις Burges. v. 8 αὐτὸς ἐν χρόνῳ Bothe. v. 9 ν in λεγειν a correctore additum. v. 11 κατὰ σταθμοὺς Blass, qui haec refert: 'post πατρος litteras κατασ dubitanter agnovi, tum vel Τ vel Ρ; sequitur litt. correcta et ante eam superscriptum Α, dein ΜΟΥ (dubia ultima)'. similiter . . ΤΑCΓΑΜΟΥC legit Bekker, contra ΙΟΙΑΩΡΙΜΟΙ Hase, quo teste m. sec. in fine ΩΡΑΕΜΟΙ correctum. v. 12 δόμων] θεῶν Burges. v. 15 ουταν cod. pr. m., οτανδ sec. ὕπνον Hermann, υπνον cod. in chori carmine (v. 19 sqq.) stropharum notas addidit Hermann. v. 21 πανδείλας δ' ἀλκυόνος coni. Blass. v. 23 δεδενδρεσιλεπταν Bekker et Blass in cod. legerunt, δεδενδρωνκλεινην legit Hase, unde δ' ἐν δένδρῳ ἐλεινὰν coni. Burges. cum v. 25 cf. Eur. Suppl. 978. v. 28 πνείουσιν coni. Herwerden Mnem. nov. 5 p. 45. v. 29 ἔγρονται vitiosum, ἔρχονται aut ἵενται scribendum proposui in Eur. vol. 3 p. 210. v. 30 ξανθων corr. m. sec. συνζυγιαι cod.

v. 33 *πηγαισ* cod., *παγαῖς* Wilamowitz-Moellendorff p. 403. v. 34 *μελιβυασκυκνοσαιει* cod. pr. m. v. 35 *ακοντοι* cod., *ἄκατοι* Matthiae. *εἰρεσίας*] *ασ* litterae a correctore additae sunt. v. 36 *ευαισιν οισ* cod. pr. m., teste Hasio litteram quartam in *ε* mutavit m. sec., eadem *ανεμωντ* et *ροθι* supplevit. *εὐαέσσιν* Bothe. v. 37 *ἀνὰ δ' ἱστία* ⟨*λευκὰ πετάννυνται*⟩ coni. Herwerden Mnem. nov. 12 p. 315. v. 42 *πρόγονον* cod., *πρότονον* G. Hermann. *πελάσει* ed., *πελαζει* cod. teste Blassio. v. 43 *εταροισι* cod. pr. m. v. 44 *κοσμειννμεναιωνδεδεσποσυναῶ* cod. pr. m., paenultimam litteram corrector induxit. *κῶμον δ' ὑμεναίων δεσποσύνων* Hermann, *κόσμον δ' ὑμ. δεσπ.* Fr. V. Fritzsche. v. 45 *εαγει* cod., *ἄγει* Burges. v. 46 *υμιν* cod. pr. m., *υμνειν* m. sec. *ανασσων* cod. pr. m. v. 47 *εὐαμερίαι* M. Schmidt *Zeitschr. f. d. Alt.-Wiss.* 1856 p. 550, *ευαμεροι* (pr. m. *ειαμεροι*) cod. v. 48 *πολπᾶν θράσος αἶρουσ'* M. Schmidt, *μολπαιθρασοσαιουσ'* cod., *μολπᾶν θάρσος ἄγουσ'* Wilamowitz-Moellendorff (ubi *ἄγουσ'* Kaibelio debetur) p. 401. v, 49 *χαρματα* cod. *εἰ δὲ*] *ἐπεὶ δὲ* Blass. *τυγχα* cod. pr. m. v. 51 *τοφαοσ* cod. pr. m. v. 52 *ευτυχαισ* cod. pr. m. v. 54 *αεισαι* cod. pr. m., *αἶσαι* m. sec. v. 56 *εδωκει* cod. pr. m. v. 58 *ιω* cod. pr. m., *ἴτω* corr. *αιδα* cod. pr. m. v. 60 *παῖς*] *πισ* cod. pr. v. 61 *τριπλουν* cod. pr. m., *διπλουν* m. sec. v. 63 *δειχει* cod. pr. m., *δειξει* m. sec., *λέξει* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 489. v. 64 *ωσφησι* legit Bekker, *οισφησι* Blass, *ἐσθλοῖσι* coni. F. G. Schmidt, *θείοισι* Wecklein. *λεγων* cod. pr. m., *θελων* m. sec. v. 65 *δε* cod. pr. m., *τε* m. sec. v. 66 praeconis personam adscripsit Hermann. v. 68 *απαειρατε* cod. pr. m. v. 69 *ωτε* cod. pr. m., *ωιτε* corr. v. 70 *κηρύσσω θυσίαν βασιλήιον* coni. H. Weil *Zeitschr. f. d. Alt.-Wiss.* 1848 p. 585. v. 71 *αυτωδ'ανδαν* cod., *αἰτῶ δ' αἶσαν* Hermann, *αἰτῶ δ' αὔξαν* Duentzer Philol. 5 p. 190, *αἰτῶ δ' αὐγὰν* Wagner, *αἰτῶ δ' αἴγλαν* F. G. Schmidt *Krit. Stud.* 2 p. 489. v. 70 sq. *κηρύσσω δ' ὁσίαν, βασιλήιον ἄξων αὐδὰν* coni. Wilamowitz-Moellendorff p. 404. v. 72 *γάμων* Wilamowitz-Moellendorff. v. 73 *εννεχηκει* cod. pr. m., *ενεχηξει* corr. v. 75 *τηδεστω* cod. pr. m., *σιγ' εστω* corr. v. 76 sq. ΜΕΡΟΨ et *ειγαρευλεγω* corrector addidit. post v. 77 quinque versus desunt.

774

ναῦν τοι μί' ἄγκυρ' οὐχ ὁμῶς σῴζειν φιλεῖ
ὡς τρεῖς ἀφέντι· προστάτης θ' ἁπλοῦς πόλει
σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πέλει.

Stob. Flor. 43, 3: '*ναῦν — κακὸν πόλει*'. eclogam sine lemmate habent SMA cohaerentem in SM (fortasse etiam in A) cum praegressis versibus, a quibus separavit Gesner. iure locum ad Phaethontem relatum esse Blass colligit ex cod. Clarom. fol. 162,

ubi in pagina IV haec haberi videntur versuum initia (v. quae p. 600 attulimus): να.νω | ωστησ | σφ..ερ. v. 1 οὐχ ὁμῶς Badham in Eur. Iph. T. praef. p. 8, οὐδαμῶς libri. v. 2 ἀφεῖσαν Bake (v. Rau de Eur. Phaeth. p. 26). v. 3 σφαλερόν, ἐπὼν δὲ Herwerden Exerc. crit. p. 60. καὶ ἄλλος S. πέλει Barnes, πόλει libri.

775

ἐλεύθερος δ' ὢν δοῦλός ἐστι τοῦ λέχους,
πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων.

Eust. Od. p. 1731, 54: *ἡ δὲ τοιαύτη προὶξ ὅτι καὶ φερνὴ λέγεται δηλοῖ, φασίν, ἐν Φαέθοντι Εὐριπίδης εἰπὼν 'ἐλεύθερος — ἔχων'.* v. 2 cf. Plut. an vitiositas ad infelicitatem sufficiat c. 1 p. 498 A: *** *ὑπομένει τὸ σῶμα πεπραμένον τῆς φέρνης ἔχων, ὡς Εὐριπίδης φησίν.* Phaethontis sunt verba, item fortasse fr. 776 et 777.

776

δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον,
σκαιοῖσιν εἶναι· τί ποτε τοῦτο ταἴτιον;
ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρετεῖ,
τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης;

Stob. Flor. 93, 2: *Εὐριπίδου Φαέθοντι. 'δεινόν — τύχης;'* v. 1 *τοῦτο δ' ἔμφυτον*] *δ' ἔμφυτον τόδε* vel *δ' ἐστὶν ἔμφυτον* Meineke. v. 2 *τοῦτο τ' αἴτιον* SMA, *τοῦδε ταἴτιον* Arsenius p. 361, 22, *τοὐδ' ἐπαίτιον* Wecklein Mus. Rhen. 36 p. 143, ego *τοῦδέ γ' αἴτιον* temptabam. v. 3 *συνηρεφεῖ* SMA, *συνηρετεῖ* Meineke. v. 4 *καὶ τῆς τέχνης* coni. Meineke, melius *καὶ δυστυχεῖς* Halm Lect. Stob. p. 56, *κοὐκ εὐστόχους* Munro.

777

ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

Stob. Flor. 40, 2: *τοῦ αὐτοῦ* (sic SA, *Εὐριπίδου* M) *Φαέθοντι* (lemmate omisso coniungit L eclogam cum praegressa). *'ὡς — γῆ'.* *γε* om. M. eundem versum praebet Flor. Monac. 146.

778

εὐδαιμονίζων ὄχλος ἐξέπληξέ με.

Plut. de tranq. animi c. 1 p. 465 A: *τὸ τοῦ τραγικοῦ Μέροπος οὐ πέπονθας οὐδ' ὡς ἐκεῖνον εὐδαιμονίζων ὁ ὄχλος ἐξέπληξε* ⟨*σὲ*⟩ *τῶν φυσικῶν παθῶν.* trimetrum ex Phaethonte Euripidis petitum his verbis contineri perspexit Meineke Ath. 4 p. 233.

779

ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών·
κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἁψῖδα σὴν
κάτω διήσει . . . .
ἵει δ' ἐφ' ἑπτὰ πλειάδων ἔχων δρόμον. . . .
τοσαῦτ' ἀκούσας παῖς ἔμαρψεν ἡνίας· 5
κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων
μεθῆκεν, αἳ δ' ἔπταντ' ἐπ' αἰθέρος πτυχάς.
πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς
ἵππευε παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,
τῇδε στρέφ' ἅρμα, τῇδε. 10

Longinus de sublim. c. 15, 4: (Εὐριπίδης) ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν ὅμως τὴν αὐτὸς αὑτοῦ φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε —. τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος 'ἔλα δὲ — διοίσει' (v. 1—3) φησίν, εἶθ' ἑξῆς 'ἵει — ἅρμα τῇδε' (v. 4—10). ἆρ' οὐκ ἂν εἴποις ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνεπιβαίνει τοῦ ἅρματος καὶ συγκινδυνεύουσα τοῖς ἵπποις ἀνεπτέρωται; v. 2 ἀψίδας ἣν P, ἁψῖδα σὴν Faber. v. 3 κάτω διήσει Faber, κάτω διοίσει P, καταιθαλώσει Kock Verisim. p. 218. post v. 4 quaedam omissa esse recte iudicat O. Iahn. v. 5 τις P, παῖς Grotius, εἶτ' Manutius. v. 6 πλευρὰν Robortellus. ὀχήματα Kock. v. 7 ἔπταντο P. πτύχας P. v. 8 ὄπισθεν ὦτα P, ὄπισθε νῶτα Manutius. σειρίου P, σειραίου Rutgers V. L. p. 47. v. 9 sq. ἐλατῆρα ἔστρεφ' P, ἔλα τῇδε στρέφ' Portus, ἔλα τήρει στρέφ' Bergk Comm. de reliq. com. p. 397.

780

Schol. Arat. 172: φέρονται αἱ Ὑάδες ἐν τῷ μετώπῳ τοῦ Ταύρου. Θαλῆς μὲν οὖν β' αὐτὰς εἶπεν εἶναι —, Εὐριπίδης δὲ ἐν τῷ Φαέθοντι γ', Ἀχαιὸς δὲ δ', Μουσαῖος δὲ ε', Ἱππίας δὲ καὶ Φερεκύδης ζ'.

781

πυρός τ' ἐρινὺς ἐν νεκροῖς θερηνυαι
ζῶσ' ἥδ' ἀνίησ' ἀτμὸν ἐμφανῆ . .
ἀπωλόμην· οὐκ οἴσετ' εἰς δόμους ν⟨έκυν;⟩
νοεῖς; πόσις μοι πλησίον γαμηλίους
μολπὰς ἀυτεῖ παρθένοις ἡγούμενος. 5
οὐ θᾶσσον; οὐ σταλαγμὸν ἐξομόρξετε,
εἴ πού τις ἔστιν αἵματος χαμαὶ πεσών;
ἐπείγετ' εἶα, δμωίδες· κρύψω δέ νιν

ξεστοῖσι θαλάμοις, ἔνθ' ἐμῷ κεῖται πόσει
χρυσός· μόνη δὲ κλῆθρ' ἐγὼ σφραγίζομαι. 10
ὦ καλλιφεγγὲς Ἥλι', ὥς μ' ἀπώλεσας
καὶ τόνδ'· Ἀπόλλων δ' ἐν βροτοῖς ὀρθῶς καλῇ,
ὅστις τὰ σιγῶντ' ὀνόματ' οἶδε δαιμόνων.

ΧΟΡ. Ὑμὴν Ὑμήν, στρ.
τὰν Διὸς οὐρανίαν ἀείδομεν 15
τὰν ἐρώτων πότνιαν, τὰν παρθένοις
γαμήλιον Ἀφροδίταν.
πότνια, σοὶ τάδ' ἐγὼ νυμφεῖ' ἀείδω,
Κύπρι θεῶν καλλίστα,
τῷ τε νεόζυγι σῷ 20
πώλῳ, τὸν ἐν αἰθέρι κρύπτεις
σῶν γάμων γένναν·
ἃ τὸν μέγαν ἀντ.
τᾶσδε πόλεως βασιλῆ νυμφεύεται,
ἀστερωποῖσιν δόμοισιν χρυσέων 25
ἀρχόν, φίλον Ἀφροδίτᾳ.
ὦ μακάρων βασιλεὺς μείζων ἔτ' ὄλβον·
ὃς θεὰν κηδεύσεις
καὶ μόνος ἀθανάτων
γαμβρὸς δι' ἀπείρονα γαῖαν 30
θνατὸς ὑμνήσῃ.

ΜΕΡ. χώρει σὺ καὶ τάσδ' εἰς δόμους ἄγων κόρας
γυναῖκ' ἄνωχθι πᾶσι τοῖς κατὰ στόμα
θεοῖς χορεῦσαι καὶ κυκλώσασθαι δόμους
σεμνοῖσιν ὑμεναίοισιν, Ἑστίας θ' ἕδος, 35
ἀφ' ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι
εὐχὰς πο⟨εῖσθαι⟩ . . . .
. . . .
. . . .
. . . . 40
. . . .
θεᾶς προσελθεῖν τέμενος ἐξ ἐμῶν δόμων.

ΘΕΡ. ὦ δέσποτ', ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα.
οὐ γὰρ σὺ σῴζῃ σεμνὰ θησαυρίσματα
χρυσοῦ, δι' ἁρμῶν ἐξαμείβεται πύλης 45

καπνοῦ μέλαιν' ἄησις ἔνδοθεν στέγης.
προσθεὶς πρόσωπον φλόγα μὲν οὐχ ὁρῶ πυρός,
γέμοντα δ' οἶκον μέλανος ἔνδοθεν καπνοῦ.
ἀλλ' ἔσιθ' ἐς οἶκον, μή τιν' Ἥφαιστος χόλον
δόμοις ἐπεισφρεὶς μέλαθρα συμφλέξῃ πυρὶ 50
ἐν τοῖσιν ἡδίστοισι Φαέθοντος γάμοις.
ΜΕΡ. πῶς φής; ὅρα μὴ θυμάτων πυρουμένων
κατ' οἶκον ἀτμὸν κεῖσ' ἀποσταλέντ' ἴδῃς.
ΘΕΡ. ἅπαντα ταῦτ' ἠθρησεκανπωτουσεχει
ΜΕΡ. οἶδεν δ' ἐμὴ τάδ' ἢ οὐκ ἐπίσταται δάμαρ; 55
ΘΕΡ. θυηπολοῦσα θεοῖς ἐκεῖσ' ἔχει φρένας.
ΜΕΡ. ἀλλ' εἶμ', ἐπεί τοι καὶ φιλεῖ τὰ τοιάδε
ληφθέντα φαύλως ἐς μέγαν χειμῶν' ἄγειν.
σὺ δ' ὦς πάρος δέσποινα Δήμητρος κόρη
Ἥφαιστέ τ' ἔστε πρευμενεῖς δόμοις ἐμοῖς. 60
ΧΟΡ. τάλαιν' ἐγώ, τάλαινα, ποῖ πόδα
πτερόεντα καταστάσω;
ἀν' αἰθέρ'; ἢ γᾶς ὑπὸ κεῦθος ἄφαν-
τον ἐξαμαυρωθῶ;
ἰώ μοί μοι, κακὰ φανήσεται· 65
βασίλεια τάλαινα παῖς τ' ἔσω
κρυφαῖος νέκυς.
ὀτοτοτοῖ, κεραύνιαί τ' ἐκ Διὸς
πυρίβολοι πλαγαὶ λέχεά θ' Ἁλίου.
ὦ δυστάλαινα τῶν ἀμετρήτων κακῶν 70
Ὠκεανοῦ κόρα,
πατρὸς ἴθι πρόσπεσε
γόνυ ⟨λι⟩ταῖς, σφαγὰς
σφαγὰς οἰκτρά τ' ἀρκέσαι σᾶς δειρᾶς.
ΜΕΡ. ἰώ μοί μοι. 75
ΧΟΡ. ἠκούσατ' ἀρχὰς δεσπότου στεναγμάτων;
ΜΕΡ. ἰὼ τέκνον.
ΧΟΡ. καλεῖ τὸν οὐ κλύοντα δυστυχῆ γόνον
. . . . των δρᾶν σαφῆ.

Codex Clarom. fol. 163 verso continet v. 1—41, eodem recto v. 42—79. v. 1 πυροσθεριννσ cod., πυροῦσσ' Ἐριννὺς Hermann, πυρός τ' Ἐριννὺς Rau p. 48. ἐν νεκροῦ στέρνοις ἔτι Rau, ἐν νεκροῖς

κεραυνίοις Duentzer, ἐν νεκρῷ κεραυνίου Herwerden Exerc. crit. p. 61, ἐν νεκροῖς θερμαίνεται Wecklein *Stud. zu Eur.* p. 423 sq. v. 2 ζωσαηδ'ανιησιατμονεμφανη cod., in fine πτισα vel πυροσ Blass legere sibi visus est. ζῶσ' ἐξανίησ' Herwerden, ζῶσ' ἤδ' ἀνίησ' Wecklein. ἐμφανῆ ⟨καπνοῦ⟩ coni. Hermann, ἐμφ. ⟨φλογός⟩ Rau. v. 3 ν... cod., νέκυν Bekker. v. 4 νοεισ b, τιθεισ h, ἴθ' ὡς coni. Hermann, πόσις Bekker, εὐθὺς Pappageorgius Κριτ. καὶ ἑρμ. p. 45. μολπαισιον b, μοι πλησίον Hermann, quod ipsum in codice extare videtur Blassio. γαμηλιουσ (sic b) vel γαμηλιοισ cod. ut ait Blass. v. 5 μολπαισ b, μολπὰς Hermann. v. 6 οιθασσεουσομολγον b, οὐ θᾶσσον; οὐκ ἄμολγον Hermann. οὐ σταλαγμὸν Dobree *Miscell. notes* p. 114, οὐχὶ θρόμβον Herwerden in Eur. Ion. p. 195. v. 8 επειιετεαιαλμωδεσ b, επειγετεαηδμωδεσ legit Blass, ἐπείγετ' εἶα δμωίδες em. Hermann. v. 9 ξειστοισι cod., ξεστοῖσι Burges. v. 10 κληθραεγω cod. v. 11 et 12 afferuntur in Schol. Eur. Or. 1389: Ἀπολλωνίων τῶν ἀπολωλότων, ὡς ἐν τῷ Φαέθοντι φησίν 'ὦ καλλιφεγγὲς — βροτοῖς'. item a Macrob. Sat. 1, 17, 10: *alii cognominatum Apollinem putant* ὡς ἀπολλύντα τὰ ζῷα — *ut Euripides in Phaethonte* 'ὦ — κλῄζει βροτός'. v. 11 καλλιφεγγὲς] χρυσοφεγγὲς Macr. ἥλι' Macr., ηλιε cod. Clar., ἴλιον Schol. Eur. v. 12 καιτονδε cod. Clar., καὶ τόνδ' Schol. Eur. cod. B (ubi καὶ τὸν T, καὶ τοῦ τε M), ὅθεν σ' Macr. απολλωνδενβροτοισορθοσκαλη b, Ἀπόλλων' ἐμφανῶς κλῄζει βροτός Macr., Ἀπόλλων (sic B, ἀπόλλων οὕτως M, ἀπόλλωνα οὕτως T) εἰκότως κλήζῃ (κλήζει M, κλύζει T) βροτοῖς Schol. Eur. v. 14 χο in cod. adscr. m. sec. v. 15 ειδομεν cod., ἀείδομεν Hermann. v. 16 παρθενοι. in codice legit Blass, παρθενον an παρθενοισ incertum b. v. 17 γαμόστολον Burges. v. 18 νυμφιασ.. b, νυμφια^σφ^αο h, νυμφεῖ' ὀφείλω Hermann, νυμφεῖ' ἀείδω Wilamowitz-Moellendorff p. 411. v. 19 κυπρισθεων cod. v. 20 νεοζυγισιω cod. ut ait Blass, νεοζυγιστω bh, μονόζυγι σῷ Hermann, νεόζυγί σοι Kaibel (v. Wilamowitz-Moellendorff p. 415). v. 21 κρυπτεισ b, δανων h. v. 22 γενεαν cod., γένναν Hermann. v. 23 αγονμεγαν b, διονυσον h, ατονμεγαν in cod. legit Blass, ἃ τὸν μέγαν Hermann, δι' ὃν νυὸς M. Schmidt *Zeitschr. f. d. Alterth.* 1856 p. 550, alia temptant Kaibel et Wilamowitz-Moellendorff p. 415. v. 24 βασιλεῖ M. Schmidt. νυμφεύετε Hermann. v. 25 αστερωτοισι cod., ἀστερωποῖσιν Hermann. δομοισι cod., δόμοισιν scripsi. χρυσεων (sic b) vel χρυσειον cod., χρυσέοις Hermann. v. 26 αρχεονφιλον αφροδιτα cod., ἀρχόν et Ἀφροδίτᾳ Hermann. v. 27 ὦ μάκαρ ὦ βασιλέως Hermann. v. 28 τηδευσεισ cod., κηδεύσεις Hermann. v. 31 υμνησεται cod., ὑμνήσῃ Hermann. v. 32 μεροψ adscr. m. sec., quae item postea personarum vices indicavit. δομοσαγων cod. teste Blassio. v. 33 ανοχθι cod. καταστομα cod., κατὰ στέγας coni. Rau p. 57, κατὰ σταθμὰ Blass. v. 34 κανκυμωσασθαιδομοισ cod., καὶ κυκλώσασθαι δόμους Hermann. v. 36 τισωφρων cod., γε σώφρων Fritzsche in Ar.

Thesm. p. 117, τὸ σῶφρον Hermann, τις ἔμφρων Blass. πασανσαρχετ.. b, πασανσαρχεταιθέ.ι in cod. legit Blass, πᾶς ἂν ἄρχεσθαι θέλοι Hermann, πᾶς ἀνὴρ ἐξάρχεται Wecklein *Stud. zu Eur.* p. 424, πᾶσιν ἄρχεται θεοῖς Blass. v. 37 ευχασπο cod., εὐχὰς ποιεῖσθαι Hermann, εὐχαῖς προσελθεῖν Wecklein. v. 42 προσελθιν cod., προσέλθῃ Hermann, προσελθεῖν Burges. v. 43 ΘΕΡΑΠ adscripsit corr. πατερ (δεσποτα superscr. corr.) cod., unde πᾶτορ olim conieci. εστρεφα cod., ἔστρεψ' Burges. v. 44 ζωσῃ cod., σώζεις Burges, σώζῃ Hermann. θηραυσμιτα cod., θησαυρίσματα Burges. v. 45 εξαμειβετε cod., emend. Bekker. v. 46 καταινου cod., καπνοῦ Hermann. μελαιναησις cod. teste Blassio (μελαιναγωσ b, μελαιναηωσ h[1], μελαιναιεισ h[2]), μέλαινα λιγνὺς Hermann, μέλαιν' ἄησις Blass. v. 48 ενδοθενκαπνου cod., εναωναιθιπου h, unde ἔνδον αἰθάλου coni. Hermann, ἔνδον αἰθίνου M. Schmidt coll. Hesych. 1 p. 76: αἴθινος (αἴθινες cod.) καπνός· ὁ δριμύς. v. 49 εσθ cod., ἔσιθ' Bekker, ἔλθ' Dobree. v. 51 τοῖσιν] τοισίδ' Herwerden Mnem. nov. 12 p. 316. ηδιστοισιν cod. v. 53 κεισε cod. v. 54 ηθρησεκανπωτουσεχει cod. testibus Bekkero et Blassio (κανπωτουσοδοι in fine legit Hase), αἴθρη τ' ἀκάπνωτοί θ' ὁδοί Hermann, ἤθρησ', ἀκαπνώτως δ' ἔχει Wilamowitz-Moellendorff p. 409, ἤθρησ' ἔναντα πῶς ἔχει Munro, ἤθρησα κἄκαπνος στέγη Wecklein. v. 55 ἐπίσταται Bekker, επισται cod. v. 57 εἶμ'] ειμι cod. φιλι cod. pr. m., φιλεῖ corr. v. 58 μεγαχειμωναδι cod., μέγαν χειμῶν' ἄγειν Hermann. v. 59 ὡς πάρος Bothe, ωπυροσ cod. v. 60 ηφαιστεειηρεπευμερεισ cod., Ἥφαιστέ τ' εἴητ' εὐμενεῖς Bekker. ἔστε πρευμενεῖς Bothe, εἶτε πρευμενεῖς L. Dindorf (cf. G. Dindorf in Soph. ed. tert. Oxon. vol. 3 p. 33). v. 61 ποῦ πόδα malim. v. 63 τιναθερ cod., τίν' αἰθέρ' Hermann, ἀν' αἰθέρ' ego scripsi. v. 64 εξαμαυρωσω cod., corr. Hermann. v. 65 καταφανησεται b, καιαφανησεται legit Blass, κακὰ φανήσεται corr. Burges. v. 67 κρυφεον cod., κρυφαῖος Hermann. v. 69 ταλιου cod., θ' Ἁλίου Hermann. v. 72 πατρὸς ἴθι] πρόσιθι temptabam, nec πρόσπεσε integrum puto. v. 73 γουνταισφαγασ cod., γόνυ λιταῖς σφαγὰς Hermann, γονυπετὴς ego malim. v. 74 οικτραταρκεσαι in cod. legit Blass, οικτραιαρκεσαι bh, οἰκτρά τ' ἀρκέσαι Hermann, οἰκτρὰς ἀρκέσαι Burges. v. 78 καλει literae, ut ait Blass, aegre in imo margine nunc leguntur. v. 79 ⟨ὀμμά⟩των Bekker. 'est vestigium Α litterae, sed ante eam potius Ψ quam Μ fuisse videtur.' *Blass*, qui addit versus deesse tres.

782

ψυκτήρια
δένδρεα φίλαισιν ὠλέναισι λέξεται.

Ath. XI p. 503 D de v. ψυκτήρια (cf. Aesch. fr. 146): Εὐριπίδης Φαέθοντι 'ψυκτήρια — λέξεται'. v. 2 δένδρεα] δένδρ' ἐν vel

δένδρων Dobree Adv. 2 p. 336. φίλοισιν A, φίλαισιν ex apographis correctum. λέξεται] δέξεται Casaubonus. poetae verba nondum emendata puto. de loco ubi Phaethontis corpus sepeliatur, vulgo haec intelleguntur; Meinekio (Ath. vol. 4 p. 232) Solis verba videntur Phaethontem ut ne periculosum iter ineat obtestantis: comparat Ov. Met. 2, 76 et v. 1 ⟨οὐ⟩ ψυκτήρια scribendum conicit.

783

χρυσέα βῶλος

Laert. Diog. 2, 10: φασὶ δ' αὐτὸν (Anaxagoram) προειπεῖν τὴν περὶ Αἰγὸς ποταμὸν γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. ὅθεν καὶ Εὐριπίδην μαθητὴν ὄντα αὐτοῦ χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν Φαέθοντι. hinc fr. 771, 3 Ἥλιος ἀνίσχων χρυσέᾳ βώλῳ φλέγει scribendum duxit Valckenaer Diatr. p. 31; Matthiae coniecit respici Or. 983: ἁλύσεσι χρυσέαισι φερομέναν δίναισι βῶλον.

784

ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν,
ὅστις τῶν πατέρων παισὶ μὴ φρονοῦσιν εὖ
ἢ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν.

Stob. Flor. 43, 2: Εὐριπίδου (sic MA, τοῦ αὐτοῦ S) Φαέθοντι. 'ἐν — ἐξουσίαν'. v. 1 μωροῖς libri. τοῦτον ἐγκρίνω coni. Badham in Eur. Iph. T. praef. p. 4. v. 2 ὅστις πατὴρ ὢν male coni. Grotius, ὅστις παρείκων rectius F. G. Schmidt *Krit. Stud.* 2 p. 489.

785

μισῶ δὲ . . . . . . ἀγκύλον
τόξον κρανείας, γυμνάσια δ' οἰχοίατο.

Plut. Consol. ad uxorem c. 3 p. 608 E: ἀλλὰ δέδια πάλιν μὴ συνεκβάλωμεν τῷ λυποῦντι τὴν μνήμην ὥσπερ ἡ Κλυμένη λέγουσα 'μισῶ δ' εὐάγκαλον τόξον — οἰχοίατο'. v. 1 ἀγκύλον pro εὐάγκαλον scripsi et lacunam indicavi. v. 2 οἴχοιτο libri, οἰχοίατο C. Keil.

786

φίλος δέ μοι
ἄλουτος ἐν φάραγξι σήπεται νέκυς.

Plut. Quaest. conv. 4, 2, 3 p. 665 C: πολλοὶ γὰρ οὔτε καίουσιν οὔτε κατορύττουσιν, ἀλλ' ἐῶσι περιφράξαντες (περιφλέξαντες G. Hermann Opusc. 3 p. 14) ὥστε δρᾶσθαι τοὺς νεκροὺς ἀσήπτους ἀεί, τὴν Εὐριπίδου Κλυμένην ἐλέγχοντας ἐπὶ τοῦ Φαέθοντος εἰποῦσαν 'φίλος — νέκυς'. v. 2 ἀλλ' οὗτος libri, ἄλουτος Musgrave. φάραξι Vind.

ΦΙΛΟΚΤΗΤΗΣ

Fabula scenae commissa est olymp. 87, 1: cf. Argum. Eur. Med. allatum p. 459. Euripidem saltem ex parte secutus est Hyginus fab. 102: *Philoctetes Pocantis et Demonassae filius cum in insula Lemno esset, coluber eius pedem percussit, quem serpentem Iuno miserat irata ei ob id quia solus praeter ceteros ausus fuit Herculis pyram construere, cum humanum corpus est exustum et ad immortalitatem traditum. ob id beneficium Hercules suas sagittas divinas ei donavit. sed cum Achivi ex vulnere tetrum odorem ferre non possent, iussu Agamemnonis regis in Lemno expositus est cum sagittis divinis. quem expositum pastor regis Actoris nomine Iphimachus Dolopionis filius*) nutrivit. quibus postea responsum est sine Herculis sagittis Troiam capi non posse. tunc Agamemnon Vlyssem et Diomedem exploratores ad eum misit. qui persuaserunt ut in gratiam rediret et ad expugnandam Troiam auxilio esset, eumque secum sustulerunt.* Aeschyli Euripidis Sophoclis tragoedias cognomines inter se comparat Dio Chrys. orat. 52, unde quae ad Euripideam fabulam cognoscendam faciunt apponimus. § 6 et 7: ὁ χορὸς αὐτῷ (Aeschylum dicit) παραιτήσεως, ὥσπερ ὁ τοῦ Εὐριπίδου, οὐδὲν ἐδεήθη. ἄμφω γὰρ ἐκ τῶν Λημνίων ἐποίησαν τὸν χορόν· ἀλλ' ὁ μὲν Εὐριπίδης εὐθὺς ἀπολογουμένους πεποίηκε περὶ τῆς πρότερον ἀμελείας, ὅτι δὴ τοσούτων ἐτῶν οὔτε προσέλθοιεν πρὸς τὸν Φιλοκτήτην οὔτε βοηθήσειαν οὐδὲν αὐτῷ. § 8: ὁ Εὐριπίδης τὸν Ἄκτορα εἰσάγει ἕνα Λημνίων ὡς γνώριμον τῷ Φιλοκτήτῃ προσιόντα καὶ πολλάκις συμβεβληκότα. § 11: ἥ τε τοῦ Εὐριπίδου σύνεσις καὶ περὶ πάντα ἐπιμέλεια, ὥστε μήτε ἀπίθανόν τι καὶ παρημελημένον ἐᾶσαι μήτε ἁπλῶς τοῖς πράγμασι χρῆσθαι, ἀλλὰ μετὰ πάσης ἐν τῷ εἰπεῖν δυνάμεως, ὥσπερ ἀντίστροφός ἐστι τῇ τοῦ Αἰσχύλου (ἁπλότητι addit Reiske), πολιτικωτάτη καὶ ῥητορικωτάτη οὖσα καὶ τοῖς ἐντυγχάνουσι πλείστην ὠφέλειαν παρασχεῖν δυναμένη. εὐθὺς γοῦν πεποίηται προλογίζων αὐτῷ ὁ Ὀδυσσεὺς καὶ ἄλλα τε ἐνθυμήματα πολιτικὰ στρέφων ἐν ἑαυτῷ καὶ πρῶτόν γε διαπορῶν ὑπὲρ αὑτοῦ, μὴ ἄρα δοκῇ μὲν τοῖς πολλοῖς σοφός τις εἶναι καὶ διαφέρων τὴν σύνεσιν, ᾖ δὲ τοὐναντίον. § 12: ἐξὸν γὰρ αὐτῷ ἀλύπως καὶ ἀπραγμόνως ζῆν, ὃ δὲ ἑκὼν ἀεὶ ἐν πράγμασι καὶ κινδύνοις γίγνεται. τούτου δὲ φησὶν αἴτιον εἶναι τὴν τῶν εὐφυῶν καὶ γενναίων ἀνδρῶν φιλοτιμίαν. δόξης γὰρ ἀγαθῆς ἐφιέμενοι καὶ τοῦ εὐκλεεῖς παρὰ πᾶσιν ἀνθρώποις εἶναι μεγίστους καὶ χαλεπωτάτους ἑκόντες πόνους ὑφίστανται. 'οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ' (fr. 788, 1). ἔπειτα σαφῶς καὶ ἀκριβῶς δηλοῖ τὴν τοῦ δράματος ὑπόθεσιν καὶ οὗ ἕνεκεν ἐλήλυθεν εἰς τὴν Λῆμνον. § 13: φησί τε

---

*) Legebatur *Phimachus Dolophionis filius*, correxit Meineke Anal. Alex. p. 74. Hygino dicendum fuisse *pastor regis Iphimachi Dolopionis filii nomine Actor* coni. Schneidewin Philol. 4 p. 658.

ὑπὸ τῆς Ἀθηνᾶς ἠλλοιῶσθαι, ὥστε ἐντυχόντα τῷ Φιλοκτήτῃ μὴ γνωσθῆναι ὑπ' αὐτοῦ —. φησί τε πρεσβείαν μέλλειν παρὰ τῶν Τρώων ἀφικνεῖσθαι πρὸς τὸν Φιλοκτήτην δεησομένην αὐτόν τε καὶ τὰ ὅπλα ἐκείνοις παρασχεῖν ἐπὶ τῇ τῆς Τροίας βασιλείᾳ, ποικιλώτερον τὸ δρᾶμα κατασκευάζων καὶ ἀνευρίσκων λόγων ἀφορμάς, καθ' ἃς εἰς τἀναντία ἐπιχειρῶν εὐπορώτατος καὶ παρ' ὅντιν' οὖν ἱκανώτατος φαίνεται. § 14: *οὐ μόνον δὲ πεποίηκε τὸν Ὀδυσσέα παραγιγνόμενον, ἀλλὰ μετὰ τοῦ Διομήδους — καὶ τὸ ὅλον, ὡς ἔφην, δι' ὅλου τοῦ δράματος πλείστην μὲν ἐν τοῖς πράγμασι σύνεσιν καὶ πιθανότητα ἐπιδείκνυται, ἀμήχανον δὲ καὶ θαυμαστὴν ἐν τοῖς λόγοις δύναμιν, καὶ τά τε ἰαμβεῖα σαφῶς καὶ κατὰ φύσιν καὶ πολιτικῶς ἔχοντα καὶ τὰ μέλη οὐ μόνον ἡδονὴν ἀλλὰ καὶ πολλὴν πρὸς ἀρετὴν παράκλησιν.* adde eiusdem Dionis Chrysost. orat. 59 ΦΙΛΟΚΤΗΤΗΣ. ΕΣΤΙ ΔΕ ΠΑΡΑΦΡΑΣΙΣ inscriptam, quam integram subicimus.

ΟΔ. Φοβοῦμαι μή ποτε μάτην κατ' ἐμοῦ φανῶσι ταύτην οἱ σύμμαχοι τὴν δόξαν εἰληφότες ὡς ἀρίστου δὴ καὶ σοφωτάτου τῶν Ἑλλήνων. καίτοι ποία τις ἡ τοιαύτη σοφία καὶ φρόνησις, δι' ἥν τις ἀναγκάζεται πλείω τῶν ἄλλων πονεῖν ὑπὲρ τῆς κοινῆς σωτηρίας καὶ νίκης, ἐξὸν ἕνα τοῦ πλήθους δοκοῦντα μηδενὸς ἔλαττον ἐν τούτοις ἔχειν τῶν ἀρίστων; ἀλλὰ γὰρ ἴσως χαλεπὸν εὑρεῖν οὕτω μεγαλόφρον καὶ φιλότιμον ὅτι οὖν ὡς ἀνὴρ πέφυκεν. τοὺς γὰρ φανεροὺς καὶ πλειόνων ἅπτεσθαι τολμῶντας σχεδὸν τούτους ἅπαντας θαυμάζομεν καὶ τῷ ὄντι ἄνδρας ἡγούμεθα. 2. *ὑφ' ἧς φιλοτιμίας κἀγὼ προάγομαι πλεῖστα πράγματα ἔχειν καὶ ζῆν ἐπιπόνως παρ' ὅντιν' οὖν, ἀεί τινα προσδεχόμενος καινὸν κίνδυνον, ὀκνῶν διαφθεῖραι τὴν ἐπὶ τοῖς ἔμπροσθε γεγονόσιν εὔκλειαν. νῦν οὖν κατὰ πρᾶξιν πάνυ ἐπισφαλῆ καὶ χαλεπὴν δεῦρο ἐλήλυθα εἰς Λῆμνον, ὅπως Φιλοκτήτην καὶ τὰ Ἡρακλέους τόξα κομίζοιμι τοῖς συμμάχοις. ὁ γὰρ δὴ μαντικώτατος Φρυγῶν Ἕλενος ὁ Πριάμου κατεμήνυσεν, ὅτε ἔτυχεν αἰχμάλωτος ληφθείς, ἄνευ τούτων μήποτ' ἂν ἁλῶναι τὴν πόλιν.* 3. *πρὸς μὲν δὴ τοὺς βασιλέας οὐχ ὡμολόγησα τὴν πρᾶξιν, ἐπιστάμενος τὴν τοῦ ἀνδρὸς ἔχθραν, ᾧ γε αὐτὸς αἴτιος ἐγενόμην καταλειφθῆναι, ὅτε δηχθεὶς ἔτυχεν ὑπὸ χαλεπῆς καὶ ἀνιάτου ἐχίδνης. οὐκ ἂν οὖν ᾤμην οὐδὲ πειθὼ τοιαύτην ἐξευρεῖν, ὑφ' ἧς ἄν ποτε ἐκεῖνος ἐμοὶ πράως ἔσχεν, ἀλλ' εὐθὺς ἀποθανεῖσθαι ᾤμην ὑπ' αὐτοῦ. ὕστερον δὲ τῆς Ἀθηνᾶς μοι παρακελευσαμένης καθ' ὕπνους, ὥσπερ εἴωθε, θαρροῦντα ἐπὶ τὸν ἄνδρα ἰέναι· αὐτὴ γὰρ ἀλλάξειν μου τὸ εἶδος καὶ τὴν φωνήν, ὥστε λαθεῖν αὐτῷ συγγενόμενον· οὕτω δὴ ἀφῖγμαι θαρρήσας.* 4. *πυνθάνομαι δὲ καὶ παρὰ τῶν Φρυγῶν πρέσβεις ἀπεστάλθαι κρύφα, ἐάν πως δύνωνται τὸν Φιλοκτήτην πείσαντες δώροις ἅμα καὶ διὰ τὴν ἔχθραν τὴν πρὸς ἡμᾶς ἀναλαβεῖν εἰς τὴν πόλιν αὐτὸν καὶ τὰ τόξα. τοιούτου προκειμένου ἄθλου πῶς οὐ πάντα χρὴ ἄνδρα γίγνεσθαι πρόθυμον; ὡς διαμαρτόντι τῆς πράξεως ταύτης πάντα τὰ πρότερον εἰργασμένα μάτην πεπονῆσθαι ἔοικεν.* 5. *παπαῖ· πρόσεισιν ὁ ἀνήρ. αὐτὸς ὅδε ὁ Ποίαντος παῖς, οὐκ ἄδηλος τῆς συμφο-*

ρᾶς, μόλις καὶ χαλεπῶς προβαίνων. ὦ τοῦ χαλεποῦ καὶ δεινοῦ δράματος οὕτω (τούτου Lugebil). τό τε γὰρ εἶδος ὑπὸ τῆς νόσου φοβερὸν ἥ τε στολὴ ἀήθης, δοραὶ θηρίων καλύπτουσιν αὐτόν. ἀλλὰ σὺ ἄμυνον, ὦ δέσποινα Ἀθηνᾶ, καὶ μὴ μάτην φανῇς ἡμῖν ὑποσχομένη τὴν σωτηρίαν. 6. *ΦΙΛ.* τί δὴ βουλόμενος ὅστις εἶ ποτε σὺ ἢ τίνα τόλμαν λαβών, πότερον ἁρπαγῆς χάριν ἥκεις ἐπὶ τήνδε τὴν ἄπορον στέγην ἢ κατάσκοπος τῆς ἡμετέρας δυστυχίας; *ΟΔ.* οὔτι γε ὁρᾷς ἄνδρα ὑβριστήν. *ΦΙΛ.* οὐ μὴν εἰωθώς γε πρότερον δεῦρο ἥκεις. *ΟΔ.* οὐ γὰρ εἰωθώς· εἴη δὲ νῦν ἐν καιρῷ ἀφῖχθαι. *ΦΙΛ.* πολλὴν ἔοικας ἀλογίαν φράζειν τῆς δεῦρο ὁδοῦ. *ΟΔ.* εὖ τοίνυν ἴσθι οὐ χωρὶς αἰτίας με ἥκοντα καὶ σοί γε οὐκ ἀλλότριον φανησόμενον. 7. *ΦΙΛ.* πόθεν δή; τοῦτο γὰρ πρῶτον εἰκός με εἰδέναι. *ΟΔ.* ἀλλ' εἰμὶ Ἀργεῖος τῶν ἐπὶ Τροίαν πλευσάντων. *ΦΙΛ.* πόθεν; εἰπὲ πάλιν, ὡς εἰδῶ σαφέστερον. *ΟΔ.* οὐκοῦν ἔτι δεύτερον ἀκούεις· τῶν ἐπ' Ἴλιον στρατευσάντων Ἀχαιῶν εἶναι φημί. *ΦΙΛ.* καλῶς δῆτα ἔφησθα ἐμὸς εἶναι φίλος, ὁπότε γε τῶν ἐμοὶ πολεμιωτάτων Ἀργείων πέφυκας. τούτων δὴ τῆς ἀδικίας αὐτίκα μάλα ὑφέξεις δίκην. *ΟΔ.* ἀλλ' ὦ πρὸς θεῶν, ἐπίσχες ἀφεῖναι τὸ βέλος. *ΦΙΛ.* οὐ δυνατόν, εἴπερ Ἕλλην ὢν τυγχάνεις, τὸ μὴ ἀπολωλέναι σε ἐν τῇδε τῇ ἡμέρᾳ. 8. *ΟΔ.* ἀλλὰ πέπονθά γε ὑπ' αὐτῶν τοιαῦτα ἐξ ὧν δικαίως σοὶ μὲν ἂν φίλος εἴην, ἐκείνων δὲ ἐχθρός. *ΦΙΛ.* καὶ τί δὴ τοῦτό ἐστιν ὃ πέπονθας οὕτω χαλεπόν; *ΟΔ.* φυγάδα με ἤλασεν ἐκ τοῦ στρατοῦ Ὀδυσσεύς. *ΦΙΛ.* τί δὲ ἕδρας ἐφ' ὅτῳ τῆσδε τῆς δίκης ἔτυχες; *ΟΔ.* οἶμαί σε γιγνώσκειν τὸν Ναυπλίου παῖδα Παλαμήδην· οὐ γὰρ δὴ τῶν ἐπιτυχόντων οὐδὲ ὀλίγου ἄξιος συνέπλει οὔτε τῷ στρατῷ οὔτε τοῖς ἡγεμόσι. τὸν δὴ τοιοῦτον ἄνδρα ὁ κοινὸς τῶν Ἑλλήνων λυμεὼν διέφθειρε. *ΦΙΛ.* πότερον ἐκ τοῦ φανεροῦ μάχῃ κρατήσας ἢ μετὰ δόλου τινός; *ΟΔ.* προδοσίαν ἐπενεγκὼν τοῦ στρατοῦ τοῖς Πριαμίδαις. *ΦΙΛ.* ἦν δὲ κατ' ἀλήθειαν οὕτως ἔχον, ἢ πέπονθε κατεψευσμένος; *ΟΔ.* πῶς δ' ἂν δικαίως γένοιτο τῶν ὑπ' ἐκείνου γιγνομένων ὅτι οὖν; 9. *ΦΙΛ.* ὦ μηδενὸς ἀποσχόμενος τῶν χαλεπωτάτων, λόγῳ τε καὶ ἔργῳ πανουργότατε ἀνθρώπων Ὀδυσσεῦ, οἷον αὖ τοῦτον ἄνδρα ἀνῄρηκας, ὃς οὐδὲν ἧττον ὠφέλιμος ἦν τοῖς συμμάχοις ἤπερ οἶμαι σὺ τὰ κάλλιστα καὶ σοφώτατα ἀνευρίσκων καὶ συντιθείς· ὥσπερ ἀμέλει κἀμὲ ἐξέθηκας ὑπὲρ τῆς κοινῆς σωτηρίας τε καὶ νίκης περιπεσόντα τῇδε τῇ συμφορᾷ, δεικνύντα τὸν Χρύσης βωμόν, οὗ θύσαντες κρατήσειν ἔμελλον τῶν πολεμίων· εἰ δὲ μή, μάτην ἐγίγνετο ἡ στρατεία. ἀλλὰ τί δὴ σοὶ προσῆκον τῆς Παλαμήδους τύχης; 10. *ΟΔ.* εὖ ἴσθι ὅτι ἐπὶ πάντας τοὺς ἐκείνου φίλους ἦλθε τὸ κακὸν καὶ πάντες ἀπολώλασιν ὅστις μὴ φυγεῖν ἠδυνήθη. οὕτω δὴ κἀγὼ τῆς παροιχομένης νυκτὸς διαπλεύσας μόνος δεῦρο ἐσώθην. σχεδὸν μὲν οὖν ἐν ὅσῃ ἔγωγε χρείᾳ καθέστηκας αὐτός· εἰ δ' οὖν ἔχεις τινὰ μηχανήν, συμπροθυμηθεὶς ἡμῖν περὶ τὸν οἴκαδε ἀπόπλουν ἡμᾶς τε εὖ πεποιηκὼς ἔσῃ καὶ ἅμα ἄγγελον ἀποπέμψεις πρὸς τοὺς σεαυτοῦ οἴκαδε τῶν σοὶ προσόντων κακῶν. 11. *ΦΙΛ.* ἀλλ' ὦ δύστηνε, πρὸς τοιοῦτον ἕτερον ἥκεις σύμμαχον, αὐτόν τε ἄπορον καὶ

ἔρημον φίλων ἐπὶ τῆσδε τῆς ἀκτῆς ἐρριμμένον, γλίσχρως καὶ μόλις ἀπὸ τῶνδε τῶν τόξων πορίζοντα καὶ τροφὴν καὶ ἐσθῆτα, ὡς ὁρᾷς. ἣ γὰρ ἦν ἡμῖν ἐσθὴς πρότερον, ὑπὸ τοῦ χρόνου ἀνάλωται. εἰ δὲ δὴ τοῦδ' ἐθελήσεις κοινωνεῖν τοῦ βίου μεθ' ἡμῶν ἐνθάδε, ἕως ἂν ἑτέρα σοι παραπέσῃ σωτηρία ποθέν, οὐκ ἂν φθονοῖμεν. δυσχερῆ γε μὴν τἄνδον δράματα, ὦ ξένε, τελαμῶνές τε ἕλκους ἀνάπλεοι καὶ ἄλλα σημεῖα τῆς νόσου· αὐτός τε οὐχ ἡδὺς συγγενέσθαι, ὅταν ἡ ὀδύνη προσπέσῃ. καίτοι λελώφηκε τῷ χρόνῳ τὸ πολὺ τῆς νόσου· κατ' ἀρχὰς δ' οὐδαμῶς ἀνεκτὸς ἦν.

hanc paraphrasin Bothe et alii in versus redegerunt, qui irriti erant conatus; sed non nullis in locis cum probabilitate quadam poetae verba e Dione Chrysostomo colligas, ut

§ 6: *ΟΔ.* πολλήν γ' ἔοικας ἀλογίαν φράζειν ὁδοῦ.
§ 7: *ΦΙΛ.* πόθεν δέ; πρῶτον γὰρ τόδ' εἰδέναι θέλω.
ibid.: *ΦΙΛ.* πόθεν; λέγ' αὖθις, ἵνα μάθω σαφέστερον.
ibid.: *ΦΙΛ.* οὐ δυνατόν, εἴπερ τυγχάνεις Ἕλλην γεγώς,
τὸ μὴ οὐκ ὀλωλέναι σε τῇδ' ἐν ἡμέρᾳ.
§ 8: *ΦΙΛ.* μάχῃ κρατήσας ἢ δόλου τινὸς μέτα;

denique extrema verba: κατ' ἀρχὰς δ' οὐδαμῶς ἀνεκτὸς ἦν. item aliquot versus sine poetae aut fabulae nomine traditos ex hac fabula repetitos esse Dionis paraphrasi docemur (vide fr. 787 789 790). respicit hanc tragoediam Ar. Ach. 423: ποίας ποθ' ἀνὴρ λακίδας αἰτεῖται πέπλων; ἀλλ' ἢ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις; ubi Schol. v. 424: εἰσήγαγε γὰρ τὸν Φιλοκτήτην ἐν τῇ Λήμνῳ πενόμενον. fortasse huius fabulae est adesp. fr. 579.

787

πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ
ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης;

Plut. de se ipsum citra invidiam laudando c. 14 p. 544 C om. p. et fab. n.: καὶ τὸ 'πῶς — τύχης;' Aristot. Eth. Nic. 6, 9 p. 1142 a 3 (cf. Schol. Aristot. in Anecd. Paris. vol. 1 p. 210, 7): διὸ Εὐριπίδης 'πῶς — ἴσον μετασχεῖν; (v. 1—3) τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον' (fr. 788, 2). fabulam indicat Dio Chr. 52, 12 et 59, 1 (vide supra p. 613 et 614). Vlixis sunt verba, qui προλογίζει teste Dione Chrysost. cf. Schol. Soph. Phil. 1: καὶ παρὰ τούτῳ προλογίζει ὁ Ὀδυσσεὺς καθὰ καὶ παρ' Εὐριπίδῃ· ἐκεῖνο μέντοι διαφέρει παρ' ὅσον ὁ μὲν Εὐριπίδης πάντα τῷ Ὀδυσσεῖ περιτίθησιν, οὗτος δὲ τὸν Νεοπτόλεμον παρεισάγων διὰ τούτου οἰκονομεῖται v. 2 ἠριθμημένον v. l. in Aristot. στρατοῦ] στρατῷ v. l. in Aristot. v. 3 ἴσον] ἴσων Aristotelis liber M^b, ἴσου L^b. τῷ προφερτάτῳ coni. Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. d. Wiss. zu München* 1888 vol. 1 p. 128.

788

οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ·
τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον
τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν.

V. 1 habet Dio Chr. 52, 12 (supra allatus p. 613). respicit Ar. Ran. 282: *οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ' ὡς Ἡρακλῆς.* ubi Schol.: *παρὰ τὰ ἐκ Φιλοκτήτου Εὐριπίδου 'οὐδὲν — ἔφυ'.* Plut. ad principem ineruditum c. 1 p. 779 D: *οὐδὲν γὰρ οὕτω γαῦρον καὶ τραχὺ καὶ δύσαρκτον ὡς ἀνὴρ ἔφυ εὐπραγίας δοκούσης ἀντιλαμβανόμενος.* Hesych. 1 p. 418: *γαῦρος· αὐθάδης, σεμνός, μεγαλοπρεπής, ἢ μετέωρος. Εὐριπίδης Φιλοκτήτῃ* (*ἀρι* [δ superscript] *φιλοκτίτῃ* cod.). v. 2 et 3 habet Stob. Flor. 29, 15: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Φιλοκτήτῃ* (sic S, eclogam om. MA). *'τοὺς γὰρ — νομίζομεν'.* v. 2 Aristot. Eth. Nicom. 6, 9 (v. fr. 787). cohaerere v. 1 cum v. 2 et 3 docet Dio Chr. 59, 1 (p. 614). inter fr. 787 et 788 interposuit poeta ea quorum sententiam reddit Dio Chr. 52, 12: *τούτου δὲ φησὶν αἴτιον εἶναι κτέ.*, vide p. 613.

789

ὀκνῶν δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν
καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους.

Plut. de se ipsum citra invidiam laudando c. 14 p. 544 C. om. poetae et fab. nom.: *καὶ τὸ 'ὀκνῶ — πόνους'.* v. 1 Stob. Flor. 29, 16 (eclogam sine lemmate cum praegressa coniungit S, om. MA): *'ὀκνῶ — χάριν'.* huius fabulae esse versus docet Dio Chr. 59, 2: *ὀκνῶν διαφθεῖραι τὴν ἐπὶ τοῖς πρόσθε γεγονόσιν εὔκλειαν.* v. 1 *ὀκνῶν δὲ* Cobet Mnem. nov. 5 p. 268 (Coll. crit. p. 228), *ὀκνῶ* Plut. et Stob.

790

δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν, ξένε.

Plut. de curiositate c. 12 p. 521 A: *ἀλλ' οὐδὲ ἡδὺ τὸ θέαμα. 'δύσμορφα — ξένε'.* versum huc rettulit Gataker in Marc. Anton. 4, 3 p. 92 secundum Dionis Chrys. verba 59, 11: *δυσχερῆ γε μὴν τἄνδον δράματα, ὦ ξένε.*

791

ἅλις, ὦ βιοτά· πέραινε,
πρίν τινα συντυχίαν
ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι.

Stob. Flor. 120, 10: *Εὐριπίδου Φιλοκτήτου* (sic A, fabulae nomen om. S, ecl. om. M). *'ἅλις — γενέσθαι'.* v. 1 *ἅλις*] *μόλις* A.

βιωτά A. v. 2 sq. *συντυχία μὴ* A. v. 3 *κτεάνεσσιν* SA, *κτεάτεσιν* Trinc., *κτεάτεσσιν* Gesner.

792

φαγέδαιν' ἀεί μου σάρκα θοινᾶται ποδός

Aristot. Poet. c. 22 p. 1458 b 23, vide Aesch. fr. 253.

793

μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει·
ἐν γῇ δ' ὁ φόρτος, καὶ πάλιν ναυτίλλεται.

Stob. Flor. 59, 18: *Εὐριπίδου Φιλοκτήτῃ.* '*μακάριος — ναυτίλλεται*'. v. 1 repetit Stob. Flor. 39, 13 cum lemmate *Εὐριπίδου* (*ἐν* addunt MA, om. S) *Φιλοκτήτῃ*, om. fab. nom. affert Clem. Alex. Strom. VI p. 739. *εὐτυχὼν* utrobique Stobaei S. v. 2 comici esse poetae probabiliter coni. Gomperz *Beitr.* 3 p. 578. *κοὐ πάλιν* Gesnero duce Wecklein.

794

ὁρᾶτε δ' ὡς κἀν θεοῖσι κερδαίνειν καλόν,
θαυμάζεται δ' ὁ πλεῖστον ἐν ναοῖς ἔχων
χρυσόν. τί δῆτα καὶ σὲ κωλύει ⟨*λαβεῖν*⟩
κέρδος, παρόν γε κἀξομοιοῦσθαι θεοῖς;

Iustinus Mart. de monarchia c. 5: *ἐν Φιλοκτήτῃ* (praecedit Phrixi fr. 832) '*ὁρᾶτε — θεοῖς;*' v. 1 *ὁρᾷς γ' ὅπως* coni. Valckenaer Diatr. p. 115, *ὅρα δέ γ' ὡς* Welcker, *ὁρᾷς δέ γ' ὡς* Ribbeck *Röm. Trag.* p. 391, *ὅρα τόδ' ὡς* Bothe. v. 3 *λαβεῖν* addidit Sylburg.

795

τί δῆτα θάκοις μαντικοῖς ἐνήμενοι
σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων;
οὐ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων·
ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,
οὐδέν τι μᾶλλον οἶδεν ἢ πείθειν λέγων. 5

Stob. Ecl. 2, 1, 2 p. 3, 12: *Εὐριπίδου Φιλοκτήτῃ.* '*τί δῆτα — λέγων*'. v. 1 *θώκοις* FPL, *θάκοις* scripsi. *μαντικοῖς* scripsi, *ἀργικοῖς* FPL, *ἀρχικοῖς* male Valckenaer Diatr. p. 116. *ἐνειμένοι* L, *ἐφήμενοι* Wecklein. v. 2 *τῶν δαιμόνων* L. v. 3 *οὐ* scripsi, *οἱ* libri. v. 5 *πείθειν* scripsi, *πείθει* FPL. alii alia proposuerunt, velut *ἢ πείθειν λεών* O. Hense *Krit. Bl.* 1 p. 79, *ἢ πείθειν ὄχλον* F. G. Schmidt *Krit. Stud.* 2 p. 489 sq., *ἢ ψευδῆ λέγειν* vel *ἢ ψευδηγορεῖν*

Heimsoeth, ἢ ἀπατᾶν ὄχλον Wecklein, οἶδεν εἰ (vel οἶδε κεἰ) πείθει λέγων Munro, οἶδεν ὢν πείθει λέγων Herwerden Adnot. crit. et exeg. ad Eur. 1 p. 31.

796

ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρατοῦ
αἰσχρὸν σιωπᾶν, βαρβάρους δ' ἐᾶν λέγειν.

Plut. adv. Coloten c. 2 p. 1108 B: 'ὑπέρ — στρατοῦ' (v. 1) τῶν ἄλλων φιλοσόφων — οὐ μόνον 'αἰσχρὸν σιωπᾶν', ἀλλ' οὐδὲ ὅσιον ἐνδοῦναί τι. de v. 2 cf. Philodemus de rhetorica in Herc. vol. coll. alt. VII fol. 62 col. 36: ⟨περὶ Ἀριστοτέ⟩λους ἀναγγέλλουσιν ⟨ὅ⟩τι τῆς δείλη⟨ς⟩ ἐ⟨γ⟩ύμναζεν ἐπιφωνήσας '⟨αἰ⟩σχρὸν σιωπᾶν, Ἰσοκρά⟨τη⟩ν (σωκρα..ν ed.) δ' ἐᾶν λέγειν'. ibid. fol. 64 col. 40: ⟨εἰς⟩ δ' Ἀριστοτέ⟨λην⟩ φιλοσόφ⟨ω⟩ς ἀνεστράφη, τ⟨ὸ⟩ παρ⟨αδ⟩εδομένον πο⟨ή⟩σας ⟨με⟩τὰ τῆς ἐπερ⟨ωτ⟩ήσεως· 'τ⟨ί⟩ γὰρ μᾶλλον αἰσχρόν ⟨με⟩ σιωπᾶν, Ἰσοκράτην δ' ἐᾶν λέγειν ἢ κατὰ πόλιν ζ⟨ῆν⟩, Μάνην δὲ καπ⟨ηλ⟩εύειν ἐᾶν;' indicavit hos Philodemi locos et restituit Th. Gomperz *Zeitschr. f. d. öst. Gymn.* 1872 p. 4. Laert. Diog. 5, 3: ἐκάθισεν (Aristoteles) εἰπὼν 'αἰσχρὸν σιωπᾶν, Ἰσοκράτη δ' ἐᾶν λέγειν'. Schol. Hermog. in Rhet. vol. 4 p. 298: συνεχῶς ἐπεβόα (Aristoteles) 'αἰσχρὸν σιωπᾶν, Ἰσοκράτην δὲ ἐᾶν λέγειν'. Cic. de orat. 3, 35, 141: *Aristoteles — mutavit repente totam formam prope disciplinae suae versumque quendam Philoctetae paullo secus dixit: ille enim turpe sibi ait esse tacere, cum barbaros, hic autem cum Isocratem pateretur dicere.* Quintil. Inst. orat. 3, 1, 14: *eoque* (Isocrate) *iam seniore — postmeridianis scholis Aristoteles praecipere artem oratoriam coepit noto quidem illo, ut traditur, versu ex Philocteta frequenter usus: turpe esse tacere et Isocraten pati dicere.* verbis αἰσχρὸν σιωπᾶν utitur Cic. ad Att. 6, 8, 5. Euripidi locum vindicarunt Grotius et Gataker Adv. misc. posth. p. 525. verba sunt Vlixis. v. 1 τοῦ Πανελλήνων στρατοῦ coni. Herwerden Exerc. crit. p. 89.

797

λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ
λόγους ὑποστὰς αὐτὸς ἠδικηκέναι·
ἀλλ' ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων,
ὃ δ' αὐτὸς αὑτὸν ἐμφανιεῖ σοι λέγων.

Aristot. Rhet. ad Alex. c. 19 p. 1433 b 12: κέχρηται δὲ καὶ Εὐριπίδης ἐν Φιλοκτήτῃ τεχνικῶς τούτῳ τῷ εἴδει (προκαταλήψεις dicit) διὰ τοῦδε 'λέξω — λέγων'. v. 1 διαφθεῖραι Munro *Journal of philol.* X p. 247. v. 2 ὑποφθὰς H. Weil *Zeitschr. f. d. Alt.* 1848 p. 586, ὑφιστὰς Ribbeck *Röm. Trag.* p. 392. οὗτος Grotius. v. 3 τἀμὰ πάντ' εἴσει Meineke, τἄμ' ἂν ἐκμάθοις Enger Adnot. ad trag. Gr. fr. p. 20 (qui

postea Mus. Rhen. 23 p. 207 sq. ἀλλ' ἐξ ἐμοῦ τἂν τἀμὰ μανθάνοις κλύων praetulit), πράγματ' αὔτ' εἴσῃ κλύων Wecklein. v. 4 ἐμφανίζει σοι Heath, ἐμφανῆ θήσει Iacobs, ἐμφανιζέτω Pflugk Sched. crit. p. 25.

798

πατρὶς καλῶς πράσσουσα τὸν τυχόντ' ἀεὶ
μείζω τίθησι, δυστυχοῦσα δ' ἀσθενῆ.

Stob. Flor. 40, 1: *Εὐριπίδου Φιλοκτήτῃ* (sic SMA, lemma om. L). 'πατρὶς — ἀσθενῆ'. v. 1 εὐτυχοῦντ' libri, τυχόντ' Matthiae, κρατοῦντ' Madvig Philol. 1 p. 675. v. 2 δυστυχοῦσα B, δυστυχοῦντα ceteri libri.

799

ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ,
οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον ὅστις σωφρονεῖν ἐπίσταται.

Stob. Flor. 20, 17: *Εὐριπίδου Φιλοκτήτου* (φιλοκτήτη M). 'ὥσπερ — ἐπίσταται'. cf. Dionys. Hal. Ant. Rom. 5, 4: μηδὲ ἀθανάτους ἔχειν τὰς ὀργὰς ἐν θνητοῖς σώμασιν. Phalar. Epist. 51: θνητοὺς γὰρ ὄντας ἀθάνατον ὀργὴν ἔχειν, ὥς φασί τινες, οὐ προσήκει. cum v. 3 cf. Soph. Oed. R. 589: οὔτ' ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται. Eur. fr. 909, 3: ἥτις ἀνδρὶ συντέτηκε σωφρονεῖν ἐπίσταται.

800

φεῦ, μήποτ' εἴην ἄλλο πλὴν θεοῖς φίλος
ὡς πᾶν τελοῦσι, κἂν βραδύνωσιν χρόνῳ.

Orion Flor. 5, 4 p. 47, 10: ἐκ τοῦ Φιλοκτήτου. 'φεῦ — χρόνῳ'. Orion Flor. Eurip. 1 p. 55, 17: 'φεῦ — χρόνῳ'. v. 2 πάντ' ἔχωσι cod., πᾶν τελοῦσι scripsi.

801

ἀπέπνευσεν αἰῶνα

Hesych. 1 p. 90: αἰών· ὁ βίος τῶν ἀνθρώπων — *Εὐριπίδης δὲ Φιλοκτήτῃ* (φιλοκτίτη cod.) αἰῶνα τὴν ψυχὴν λέγει 'ἀπέπνευσεν αἰῶνα'.

802

αἱρεῖς

Hesych. 1 p. 84: αἱρεῖς (ειν supra) · δοξάζεις (ειν supra) (sic cod.), ἡγῇ· *Εὐριπίδης Φιλοκτήτῃ* (φιλοκτήτω cod.). Anecd. Bekk. p. 359, 22 et Suidas: αἱρεῖς (αἵρεις Suid.)· δοξάζεις, ἡγῇ. lemma in αἱρεῖ mutabat Fix.

803

ἀκριβές

Hesych. 1 p. 105: *ἀκριβές· ἄκρον. Εὐριπίδης Φιλοκτήτῃ* (*φιλοκτίτῃ* cod.). cf. adesp. fr. 287.

ΦΟΙΝΙΞ

Respicit hanc tragoediam Ar. Ach. 421, qui Euripidem interrogantem facit: *τὰ ποῖα τρύχη; — τὰ τοῦ τυφλοῦ Φοίνικος*; argumenti summam indicat Apollod. 3, 13, 8: *Φοῖνιξ ὁ Ἀμύντορος — ὑπὸ τοῦ πατρὸς ἐτυφλώθη καταψευσαμένης φθορὰν Φθίας τῆς τοῦ πατρὸς παλλακίδος· Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις βασιλέα κατέστησε Δολόπων.* cf. Epigr. Cyzic. Anth. I al. 3, 3: *Ἀλκιμέδη ξυνόμευνον Ἀμύντορα παιδὸς ἐρύκει, Φοίνικος δ' ἐθέλει παῦσαι χόλον γενέτου· — κεῖνος δ' αὖ δολίοις ψιθυρίσμασιν ἤχθετο κούρῳ, ἦγε δ' ἐς ὀφθαλμοὺς λαμπάδα παιδολέτιν.* Schol. A Il. *I* 453 (Eust. Il. p. 763, 11), ubi pro *τῇ πιθόμην καὶ ἔρεξα* Aristodemus *οὐ πιθόμην οὐδ' ἔρξα* scripsisse traditur: *πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εὗρε γραφήν· καὶ Εὐριπίδης δὲ ἀναμάρτητον εἰσάγει τὸν ἥρωα ἐν τῷ Φοίνικι.* Schol. A Il. *I* 448: *ἡ ἱστορία* (Phoenicis) *παρὰ τῷ ποιητῇ· παρὰ γὰρ τοῖς τραγικοῖς παραλλάσσει**). Euripidei mythi fontem indicavit Hieronymus teste Suid. v. *Ἀναγυράσιος: τούτου* (daemonis Anagyrasii) *δέ τις ἐξέκοψε τὸ ἄλσος· ὃ δὲ τῷ υἱῷ αὐτοῦ ἐπέμηνε τὴν παλλακήν, ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί. ὃ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔρριψεν. ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδοποιῶν, ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα.* eodem spectat scriptor nescio quis in Suid. v. *ἐναύειν: ἐντεῦθεν Εὐριπίδης ἐναυσάμενος τὸν λόγον ἅπαντα, εἶτα μέντοι Φοίνικι περιτίθησιν.* de histrionibus qui Phoenicem egerint, vide Demosth. F. Leg. § 245 (Greg. Cor. in Rhet. vol. 7 p. 1241): *ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖα ἐκ Φοίνικός ἐστιν Εὐριπίδου· τοῦτο δὲ τὸ δρᾶμα οὐδὲ πώποτε οὔτε Θεόδωρος οὔτε Ἀριστόδημος ὑπεκρίναντο, οἷς οὗτος τὰ τρίτα λέγων διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν.* Ennium in Phoenice legisse Euripidis vestigia coni. Valckenaer Diatr. c. 24. fortasse huius fabulae est Eur. fr. 1064.

804

μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα

---

*) Diversas de Phoenice narrationes significat anonymus (Aelianus, ut suspicantur) Suidae v. *ἐπηλυγάζονται: οἱ δ' οὖν περὶ πλείστου τιθέμενοι τὰ τοῦ Φοίνικος, καλλύνοντες ἄρα τὸ κακὸν αὐτοῦ καὶ ἐπηλυγάζοντες, ἄλλως φασὶ τοῦτο γενέσθαι.*

δίδωσιν ὅστις οὐκέθ' ὡραῖος γαμεῖ·
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

Stob. Flor. 71, 1: *Εὐριπίδου Φοίνικος* (sic MA, eclogam om. S). '*μοχθηρόν — γυνή*'. v. 1 *τέκνα*] *νέα* Valckenaer Diatr. p. 273, quam coniecturam probant Meineke Kock Blaydes, *λέχος* Wecklein *Philol. Anz.* 13 p. 108. ceterum post *νέα* Valckenaer *γυνή* intercidisse statuit. v. 2 *δίδωσιν ὅστις*] *ἄκοιτις ὅστις* coni. Kock Veri sim. p. 229, *νεᾶνιν ὅστις* Wecklein, *ἄφρων γὰρ ὅστις* Blaydes, ego *ἠλίθιος ὅστις* proposui. ante v. 2 excidisse quaedam suspicatur Meineke, qui ⟨*τιμωρίαν*⟩ *δίδωσιν ὅστις — γαμεῖ* suppleri vult. v. 2 et 3 a primo seiunxerim cum Heathio. v. 2 *γαμεῖ* M, *γαμεῖν* A. v. 3 ex Euripide affert Ar. Thesm. 413. *γαμοῦντι* pro *γέροντι* vitiose scribitur in Men. mon. 129.

805

ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

Stob. Flor. 116, 36: *Εὐριπίδου Φοίνικι* (*φίνικι* vel *φόνικι* S). '*ὦ — κακόν*'.

806

ἀλλ' οὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη
πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ με καὶ σκότος,
εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.

Stob. Flor. 43, 16: *Εὐριπίδου Φοίνικι* (sic S, eclogam om. MA). '*ἀλλ' — νικώμενον*'. v. 3 *κιγχάνῃ* Monk in Eur. Hipp. 1442. *με καὶ* S, *μέλας* Grotius. *πρὶν γὰρ κατ' ὄσσων κιγχάνοι με καὶ σκότος* coni. Meineke. v. 4 *ᾗ χρὴ* Gesner, *εἰ χρῇ* Vitelli de Eur. El. p. 78, *ἦ χρὴ* Gomperz *Nachl.* p. 37. *πρὸς τέκνων*] *μὴ τέκνων* Wecklein *Stud. zu Eur.* p. 424. *τιμώμενον* coni. Stadtmueller *Jahrb. f. Philol.* 119 p. 527, *τιμώμενος* Vitelli. Amyntoris esse haec verba coni. Meineke.

807

πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

Stob. Flor. 71, 8: *Εὐριπίδου Φοίνικι* (sic MA, eclogam om. S). '*πικρὸν — ἀνήρ*'. *πικρὸν*] *αἰσχρὸν* Clemens Alex. Strom. VI p. 745, qui Aristophani (Com. 2 p. 1180) hunc versum tribuit. ceterum cf. Eur. fr. 317, 4.

808

γυνή τε πάντων ἀγριώτατον κακόν.

Stob. Flor. 73, 57: *Εὐριπίδου Φοίνικι* (sic MA, eclogam om. S).

'*γυνή — κακόν*'. cf. Eur. fr. 544: *ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή*. Men. mon. 248: *θηρῶν ἁπάντων ἀγριωτέρα γυνή*.

809

. . . . *⟨οἱ⟩ πεῖραν οὐ δεδωκότες*
μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί

Stob. Ecl. 2, 15, 11 p. 187, 7: *Εὐριπίδου Φοίνικι*. '*οἱ πεῖραν — σοφοί*'. v. 1 *οἱ* ed. Gaisford, om. L pro rubr., qui *ἁ* addidit.

810

μέγιστον ἆρ' ἦν ἡ φύσις· τὸ γὰρ κακὸν
οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ.

Stob. Flor. 90, 6: *Εὐριπίδου Φοίνικι*. '*μέγιστον — ποτέ*'. cum v. 1 cf. Eupol. Com. 2 p. 457: *ἡ μὲν φύσις τὸ μέγιστον ἦν, ἔπειτα δὲ κἀγὼ προθύμως τῇ φύσει συνελάμβανον*. *μέγιστον ἦν ἄρ'* coni. Cobet Mnem. nov. 2 p. 98. v. 2 *εὔχρηστον* MA.

811

τἀφανῆ τεκμηρίοισιν εἰκότως ἁλίσκεται.

Clem. Alex. Strom. VI p. 746: *Εὐριπίδου δὲ ἐν μὲν τῷ Οἰνομάῳ γράφοντος — ἐν δὲ τῷ Φοίνικι* '*τἀφανῆ — ἁλίσκεται*', '*Ὑπερείδης λέγει* '*ἃ δ' ἐστὶν ἀφανῆ ἀνάγκη τοὺς διδάσκοντας τεκμηρίοις καὶ τοῖς εἰκόσι ζητεῖν*'. Theodoretus Therap. 6 p. 102, 13: *καὶ πάλιν ἐν Φοινίσσαις* (*τῷ Φοίνικι* al.) '*τἀφανὲς* (al. *τἀφανῆ*) — *ἁλίσκεται*'. *εἰκότως*] *ἐοικότως* Theodor.

812

ἤδη δὲ πολλῶν ἡρέθην λόγων κριτὴς
καὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο
τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.
κἀγὼ μὲν οὕτω χὤστις ἔστ' ἀνὴρ σοφὸς
λογίζομαι τἀληθές, εἰς ἀνδρὸς φύσιν 5
σκοπῶν δίαιτάν θ' ἥντιν' ἡμερεύεται . . .
ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.

Aeschines c. Timarch. § 152: *πάλιν τοίνυν ὁ αὐτὸς* (Eur.) *ἐν τῷ Φοίνικι ἀποφαίνεται, ὑπὲρ τῆς γεγενημένης αὐτῷ πρὸς τὸν πατέρα διαβολῆς ἀπολογούμενος καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας μηδ' ἐκ διαβολῆς ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποεῖσθαι*. '*ἤδη δὲ* —

ἥδεται ξυνών'. § 153: σκέψασθε δ' ὦ Ἀθηναῖοι τὰς γνώμας ἃς ἀποφαίνεται ὁ ποιητής. ἤδη δὲ πολλῶν πραγμάτων φησὶ γεγενῆσθαι κριτής, ὥσπερ νῦν ὑμεῖς δικασταί· καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν μαρτυριῶν ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν φησὶ ποεῖσθαι, ἐκεῖσε ἀποβλέπων, πῶς τὸν καθ' ἡμέραν βίον ζῇ ὁ κρινόμενος καὶ ὅντινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν, ὡς παραπλησίως αὐτὸν καὶ τὰ τῆς πόλεως διοικήσοντα, καὶ τίσι χαίρει πλησιάζων· καὶ τελευτῶν οὐκ ὤκνησεν ἀποφήνασθαι τοιοῦτον αὐτὸν εἶναι οἷσπερ ἥδεται ξυνών. Stob. Ecl. 2, 15, 25 p. 189, 8: Εὐριπίδου (sic L, eclogam om. SMA). 'ἤδη δὲ — ἱμερεύεται' (v. 1—6), ubi quae subiciuntur καὶ τῷδε δηλώσαιμ' ἂν κτέ. seiunxit Boissonade, v. adesp. fr. 515. v. 7—9 habent Demosth. F. Leg. § 245 (Greg. Cor. in Rhet. vol. 7 p. 1322) et Stob. Ecl. 2, 33, 1 p. 255, 7. cf. Schol. Demosth. p. 435, 23: ὅστις δ' ὁμιλῶν· γνώμη Εὐριπίδου ἐκ Φοινίσσης (i. e. Φοίνικος). Anecd. Oxon. vol. 4 p. 144, 31 (sive Maximus Planudes in Rhet. vol. 5 p. 572): ὅστις δ' ὁμιλῶν ἥδεται· τοῦτο τοῦ Θεόγνιδος. Tzetz. Anecd. Oxon. vol. 4 p. 145, 2: Μενάνδρου τοῦτο πέφυκεν ἐκ δράματος Πλοκίου, οὐ Θεόγνιδος. om. poetae et fab. nom. v. 7—9 afferunt Diodorus Sic. 12, 14, 1 Hermog. Rhet. vol. 1 p. 25 Doxopater Rhet. vol. 2 p. 288. eosdem Latine reddidit Priscianus Praeexercit. ed. Keil. p. 433, 4: *siquis cum malis conversatur libenter, numquam de hoc interrogavi viro, sciens quoniam talis est quales illi quibuscum conversatur.* cf. Demosth. F. Leg. § 245 (Hermog. Rhet. vol. 3 p. 437): ὅστις δ' ὁμιλῶν ἥδεται καὶ ταῦτα πρεσβεύων Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα γιγνώσκων ὅτι ἀργύριον εἴληφ' οὗτος ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν. Libanius Epist. 430: ὅστις γὰρ ὁμιλῶν Εὐριπίδῃ (κατ' Εὐριπίδην Valckenaer) ἥδεται Θεμιστίῳ, οὐ πώποτ' ἠρώτησα γιγνώσκων ὅτι τοῦ ζῆν ὡς ἄριστα ποιεῖται λόγον. verba γιγνώσκων — ξυνών (v. 8 sq.) sine p. et fab. nom. habet Plinius Epist. 4, 27, 6, item v. 9 Aphthon. Rhet. vol. 1 p. 67 Doxopater Rhet. vol. 2 p. 302 anonymi Rhet. vol. 1 p. 130 vol. 3 p. 736 Manuel Palaeol. Praec. c. 72 p. 100, respicit Choricius pro mimis 8, 13 (*Revue de philol. nouv. série* 1 p. 226 sive fr. 79 p. 296 ed. Boiss.): οἷος γὰρ πέφυκεν ἕκαστος, τοιούτοις χαίρει συνών. item Eust. Opusc. p. 351, 10: μὴ καὶ τοιοῦτον ἕκαστον εἶναι, οἷσπερ ἥδεται ξυνών, ἐπιφθέγξωμαί σοι. v. 1 λόγων κριτὴς Aeschines, κριτὴς λόγων Stob. ἤδη δ' ἀγώνων ᾑρέθην πολλῶν κριτὴς coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 491. v. 2 ἁμιλληθεὶς γε μαρτύρων λόγοις idem. v. 3 πέρι] πάρα Grotius, ὕπερ Valckenaer Diatr. p. 270. v. 4 κἀγὼ μὲν οὕτω] ἀπορῶν δὲ καὐτὸς coni. F. G. Schmidt p. 490. χὤστις Valckenaer, καὶ ὅστις Aeschin. Stob. v. 5 λογίζεται Stob. v. 6 σκοπῶν Aeschin., βλέπων Stob. θ' om. Aeschin. ἐμπορεύεται Aeschines, ἱμερεύεται Stob., ἡμερεύεται Gaisford. post v. 6 quaedam omissa esse recte iudicat Meineke. v. 8 ἱστόρησα coni. Herwerden

Exerc. crit. p. 62, ἠπόρησα F. G. Schmidt. v. 9 ἐστιν] ἐστιν ἕκαστος Aeschinis libri plerique, non nulli Demosthenis et Hermogenis libri, Plinius, Aphthonius, Doxopater, anonymi Rhet. vol. 1 p. 130 et vol. 3 p. 736, Manuel Palaeol. Choric. Eust., ἐστιν sine dissensu Diodorus Stob. Plin., itaque scribendum suspicabar τοιόσδ' ἕκαστος οἷσπερ ἥδεται ξυνών. rectius fortasse τοιοῦτός ἐσθ' οἷοις περ ἥδεται ξυνών Hier. Wolf proposuit. minus feliciter εἰκαστός ἐστιν οἷσπερ coni. F. G. Schmidt. cum hoc loco fr. 1067 coniungi volebat Bergk.

813

ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν,
πόνοι δὲ κἂν σοὶ καὶ φθοραὶ πολλαὶ βίου
ἔνεισ'· ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς.

Stob. Flor. 93, 17: *Εὐριπίδου Φοίνικι* (sic SM, *Εὐριπίδου Πλεισθένης* A). 'ὦ πλοῦθ' — βροτοῖς'. Stob. Flor. 91, 12: *Εὐριπίδου Φοίνικι* (sic MA, ecl. om. S). 'ὦ πλοῦθ' — φέρειν' (v. 1). v. 1 ὦ πλοῦτε Flor. 93 M, ὦ πλοῦτ' Flor. 91 MA. ὅσῳ μὲν] ὅσον μὲν δὴ Flor. 91 MA. v. 3 ἔνεισ' Gesner, ἔνεισιν SMA. ἔνεισιν· ὁ δὲ πᾶς coni. O. Hense Lect. Stob. p. 30, ἔνεισ'· ὁ δ' ἄπορος F. G. Schmidt *Krit. Stud.* 2 p. 491 sq. διων SM, δίων A, αἰὼν Grotius.

814

φθόνον οὐ σέβω,
φθονεῖσθαι δὲ θέλοιμ' ἂν ἐπ' ἐσθλοῖς.

Stob. Flor. 38, 14: *Εὐριπίδου* (τοῦ αὐτοῦ A) *Φοίνικι.* 'φθόνον — ἐσθλοῖς'. chori notam apponit S. v. 2 δ' ἐθέλοιμ' cod. Brux. φθόνον οὐ σέβω, φθονεῖσθαι δ' | ἐθέλοιμί τἂν ἐπ' ἐσθλοῖς coni. Mekler Eurip. p. 28.

815

δμωσὶν δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρίαις
πυρίδες καὶ διιπετῆ κτεῖναι

Erotianus Gloss. Hippocr. p. 65, 9: διιπετὴς (διηπέτης libri) ὁ γόνος· ἀντὶ τοῦ διαυγὴς καὶ καθαρός. ὡς καὶ *Εὐριπίδης ἐν Φοίνικι* λέγων 'δμωσὶ δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρίαις (sic B corr. ex ταυτηρίδας, ταντηρίαις C) πυρίδες καὶ διηπέτη κτεῖναι'. locus graviter corruptus. δμωσὶν δ' ἐμοῖσιν εἶπον ὡς καυτήρια ἐς πῦρ ἔδει καὶ ⟨ταῦτα⟩ δὴ διιπετῆ θεῖναι coni. Valckenaer Diatr. p. 274.

816

καίτοι ποτ' εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν
τυφλὸν προηγητῆρος ἐξηρτημένον,

ἀδημονοῦντα συμφοραῖς ἐλοιδόρουν,
ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων.
καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως 5
πέπτωχ' ὁ τλήμων· ὦ φιλόζωοι βροτοί,
οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν
ποθεῖτ' ἔχοντες μυρίων ἄχθος κακῶν.
οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου·
τὸ ζῆν γὰρ ἴσμεν, τοῦ θανεῖν δ' ἀπειρίᾳ 10
πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.

Stob. Flor. 121, 12: *Εὐριπίδου Φοίνικος.* '*καίτοι ποτ'* — *ἡλίου*'. sic S, eclogam om. M, v. 1—8 et *οὕτως* v. 9 om. A, qui tres extremos Euripidis Phoenici tribuit. v. 1 *κἄγω γ' ἔτην τιν'* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 492. v. 2 *προηγήτορος* S, *προηγητῆρος* Grotius, *ποθ' ἡγητῆρος* F. G. Schmidt. v. 3 *ἃ δαιμόνων ταῖς* S, *ἀδημονῶν ταῖς* Salmasius, *εὐδαιμονῶν ταῖς* Valckenaer in Eur. Phoen. 841, *ἀδημονοῦντα* Wyttenbach in Plut. de sera num. vind. p. 138, *ἀνειμένον τε* F. G. Schmidt. v. 4 *ἐκποδῶν* S, *ἐμποδὼν* malim. *θάνατον ὀρρωδῶν, λέγων* vel *θάνατον ὀρρωδῶν ἄγαν* F. G. Schmidt. v. 6 *πέπτωκα τλήμων* malim. v. 8 *πόθον* S, *ποθοῦσ'* Grotius, *ποθεῖτ'* Musgrave.

817

σὺ δ', ὦ πατρῴα χθὼν ἐμῶν γεννητόρων,
χαῖρ'· ἀνδρὶ γάρ τοι, κἂν ὑπερβάλλῃ κακοῖς,
οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον.

Stob. Flor. 39, 9: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Φοίνικι.* '*σὺ δ'* — *πέδον*'. v. 1 *ἐμῶν* MA, *ἐμὴ* S, fortasse *ἐμοὶ* leg. v. 3 sine fabulae nom. affert anonymus Letronnii *Les papyrus grecs* p. 105.

818

ἀμνήστευτος γυνή

Hesych. 1 p. 149: *ἀμνήστευτος γυνή· ἡ* (*ῆ* cod.) *παλλακή. Εὐριπίδης Φοίνικι.*

ΦΡΙΞΟΣ

De argumento cf. Apollod. 1, 9, 1: *τῶν δὲ Αἰόλου παίδων Ἀθάμας δυναστεύων Βοιωτίας ἐκ Νεφέλης τεκνοῖ παῖδα μὲν Φρῖξον, θυγατέρα δὲ Ἕλλην. αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν. γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη καρποὺς ἐτησίους οὐκ ἀνεδίδου· διὸ πέμπων ὁ Ἀθάμας εἰς*

Δελφοὺς ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας ἀνέπεισε λέγειν ὡς εἴη κεχρησμένον παύσεσθαι τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρῖξος. τοῦτο ἀκούσας Ἀθάμας, συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων, τῷ βωμῷ παρέστησε Φρῖξον. Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε καὶ παρὰ Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν, ἐφ' οὗ φερόμενοι δι' οὐρανοῦ γῆν ὑπερέβησαν καὶ θάλασσαν. adde Hygini fab. 2 et 3. videtur duplex fuisse Euripideae fabulae recensio, quando quidem *δεύτερον Φρῖξον* commemorant Schol. Aristoph. (fr. 819), Etym. Flor. (fr. 827), Tzetzes (fr. 819). falsum esse quod de alterius Phrixi initio perhibet Tzetzes, recte iudicat Wilamowitz-Moellendorff: nullo enim modo fieri potuit ut fr. 821 initium esset tragoediae. non nulli veterum huc referunt fr. 638.

819

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών,
Ἀγήνορος παῖς, ἦλθε Θηβαίαν χθόνα
Φοῖνιξ πεφυκώς, ἐκ δ' ἀμείβεται γένος
Ἑλληνικόν, Διρκαῖον οἰκήσας πέδον.
ᾗ δ' ἦλθ' ἀνάγκῃ πεδία Φοινίκης λιπών, 5
λέγοιμ' ἄν. ἦσαν τρεῖς Ἀγήνορος κόροι·
Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται,
Φοῖνίξ ⟨θ'⟩, ὅθεν περ τοὔνομ' ἡ χώρα φέρει,
καὶ Θάσος

Ar. Ran. 1225: ΕΥΡ. *Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν Ἀγήνορος παῖς* ΑΙΣΧ. *ληκύθιον ἀπώλεσεν.* ubi Schol.: *τοῦ δευτέρου Φρίξου Εὐριπίδου ἡ ἀρχή.* (quae sequuntur *τὸ λοιπὸν δὲ τοῦ στίχου 'ἵκετ' ἐς Θήβης πέδον'*, Musuro deberi videntur.) Tzetzes eodem de loco haec annotat (edita ab H. Keilio p. 616 sq., repetita in Append. ad Lex. Vindob. p. 250): *Σιδώνιόν ποτ' ἄστυ· δευτέρου Φρίξου τοῦτό τινες ἀρχὴν εἶναι λέγουσι, ψεύδονται δέ· τοῦ γὰρ πρώτου Φρίξου τοῦτό ἐστιν ἀρχή. δευτέρου δὲ Φρίξου ἀρχή 'εἰ μὲν τόδ' ἦμαρ — ἐναυστόλουν'* (fr. 821, 1 et 2). *κἂν οὐδὲν τούτων τῶν ψυχρῶν ἐνθαδὶ τεθειμένων ἐγίνωσκον, τίς ἡ λύμη; κἂν εἰ μὴ τυχαίως προεσχεδίασα ταῦτα, οὐδὲν ἂν ἐγίνωσκον, καίτοι σχεδὸν τὰ λοιπὰ τῶν λόγου ἀξίων εἰδὼς ἀπὸ* (*ἐπὶ* cod.) *στόματος. τέως τοῦτο ἀρχὴ τοῦ πρώτου Φρίξου ἐστί 'Σιδώνιόν — κόροι'* (v. 1—6). v. 1 sine fab. n. afferunt Lucianus Macrob. 23 vol. 3 p. 226 et Vit. X orat. 4, 14 (Plut. Mor.) p. 837 E (Vita Isocr. in Westerm. *Βιογρ.* p. 258, 49). v. 3 sine p. et fab. nom. habet Plut. de exilio c. 17 p. 607 B, ubi *ἐκ δ' ὁρίζεται γένος* legitur. v. 6—9 afferuntur in Schol. Eur. Phoen. 6: *ἐν γοῦν τῷ Φρίξῳ φησὶν 'ἦσαν — καὶ Θάσος'.* v. 6 *τρεῖς* Tzetz.,

γὰρ Schol. Eur. κόροι Tzetz., κοῦροι vel παῖδες Schol. v. 7 καὶ om. B, δὴ probabiliter coni. Cobet Coll. crit. p. 229. v. 8 θ' addidit Valckenaer. v. 9 καὶ Θάσος] καὶ Κάδμος Schneidewin.

820

Eratosth. Catast. 14: *Ταῦρος. οὗτος λέγεται ἐν τοῖς ἄστροις τεθῆναι διὰ τὸ Εὐρώπην ἀγαγεῖν ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους, ὡς Εὐριπίδης φησὶν ἐν τῷ Φρίξῳ.* Hygin. Poet. astr. 2, 21 p. 469: (Taurus) *dicitur inter astra esse constitutus, quod Europam incolumem transvexerit Cretam, ut Euripides dicit.* Ioh. Malal. p. 31, 6: *ἐξ ἧς* (ex Europa) *ἔσχεν υἱὸν τὸν Μίνω, καθὼς καὶ Εὐριπίδης ὁ σοφώτατος ποιητικῶς συνεγράψατο, ὅς φησί, Ζεὺς μεταβληθεὶς εἰς ταῦρον τὴν Εὐρώπην ἥρπασεν.*

821

εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ
καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν,
εἰκὸς σφαδᾴζειν ἦν ἂν ὡς νεόζυγα
πῶλον χαλινὸν ἀρτίως δεδεγμένον·
νῦν δ' ἀμβλύς εἰμι καὶ κατηρτυκὼς κακῶν. 5

Galenus vol. 5 p. 418 sq.: *οὕτω δὲ εἰρῆσθαι φησὶ καὶ τὰ τοιαῦτα 'εἰ μὲν — κακῶν'.* fabulam indicat Tzetzes (v. fr. 819); olim ad Aeolum (fr. 41) locus relatus est. v. 2 *μακρὰν* Tzetz., *μακρὰ* Gal. v. 3 respicit Etym. M. p. 737, 17: *ἐν δὲ τῷ ῥητορικῷ λεξικῷ εὗρον τὸ σφαδᾴζειν σημαίνειν τὸ δυσθανατεῖν, ματαίως σπᾶσθαι, χαλεπαίνειν, μετ' ὀργῆς στενάζειν, ὡς Εὐριπίδης.* ubi cod. Florent. teste Millero *Mélanges de litt. gr.* p. 275 addit: *εἰ μὲν — κακουμένῳ* (v. 1), *εἰκὸς σφαδάζειν ἂν* (v. 3). cf. Phot. Lex. p. 559, 7 et Suid. v. *σφαδᾴζειν*, ubi Euripidis nomen om. *σφαδάζειν* ed. *ἦν*] *μ' ἦν* malim. v. 5 *κακοῖς* Valckenaer, *κακῷ* Burges in Aesch. Eum. 236 p. 91. Latine hos versus interpretatur Cic. Tusc. 3, 28, 67: *ut ille apud Euripidem,*

si mihi nunc tristis primum inluxisset dies
nec tam aerumnoso navigavissem salo,
esset dolendi causa, ut iniecto eculei
freno repente tactu exagitantur novo:
sed iam subactus miseriis optorpui.

822

γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει
ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς,

ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας
ψυχὴν μεθιστᾶσ'· ἡδὺ κἀπάται φίλων.

Stob. Flor. 67, 15: *Εὐριπίδου Φρίξῳ* (sic MA, lemma om. S). '*γυνὴ — φίλων*'. eosdem versus om. fab. nom. habet Antipater in Stob. Flor. 67, 25. ubi verba *καὶ δυσθυμίας ψυχὴν μεθιστᾶσ'* (v. 3 sq.) a libris SMA absunt. v. 1 *κακοῖσι καὶ νόσοις* ecl. 15, *νόσοισι καὶ κακοῖς* ecl. 25. v. 4 *ἡδὺ καὶ ἀπάται* ecl. 25, *ἡδὺν καὶ ἀπαντᾶ* (*ἅπαντα* A) ecl. 15, *ἡδὺ κἀπῳδαὶ* bene coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 493 sq.

823

δίκαι' ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει
γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί.

Stob. Flor. 74, 31: *Εὐριπίδου Φρίξῳ* (sic MA, ecl. om. S). '*δίκαι' — ἀεί*'. v. 2 *γυναῖκα κυνῇ* A.

824

ὡς οὐδὲν ὑγιὲς φασὶ μητρυιὰς φρονεῖν
νόθοισι παισίν, ὧν φυλάξομαι ψόγον.

Stob. Flor. 73, 35: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*) *Φρίξῳ*. '*ὡς — ψόγον*'. v. 1 *οὐδὲν ὑγιὲς* S, *ὑγιὲς οὐδὲν* MA. v. 2 *ὃν* malim.

825

κρείσσων δὲ βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς
ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον.

Stob. Flor. 94, 2: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* A) *Φρίξῳ*. '*κρείσσων — ὠγκωμένον*'. v. 1 *κρεῖσσων* M, unde *κρεῖσσον* scripserim. *βίος* SMA, *βαιὸς* Scaliger. v. 2 *ὀγκωμένον* M.

826

δι' ἐλπίδος ζῆ καὶ δι' ἐλπίδος τρέφου.

Etym. M. p. 410, 45: *τὸ προστακτικὸν ζῆ, ὡς παρ' Εὐριπίδῃ — καὶ ἐν Φρίξῳ* (*καὶ πάλιν* V) '*δι' ἐλπίδος — τρέφου*'.

827

καὶ μὴν ἀνοῖξαι μὲν σιροὺς οὐκ ἠξίου

Etym. M. p. 714, 21: *σιροί, τὸ ἐπιτήδειον ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν καὶ τῶν ἄλλων ὀσπρίων — ἡ τριβὴ τῆς ἀναγνώσεως ἐκτείνει αὐτό, εὑρίσκεται δὲ καὶ βραχύ, ὡς παρ' Εὐριπίδῃ ἐν Φρίξῳ* (*δευτέρῳ* addit cod. Flor.) '*καὶ — ἠξίου*'. *καὶ μὴν* habet codex V testibus

Gaisfordo et Cobeto Coll. crit. p. 229, *χρήζων* cod. Flor. Milleri *Mél. de litt. gr.* p. 266, ceteri omittunt. *ἠξίουν* cod. Flor.

828

αἱ γὰρ πόλεις εἰσ' ἄνδρες, οὐκ ἐρημία.

Stob. Flor. 43, 4: *Εὐριπίδου Φρίξῳ* (sic MA, eclogam om. S). '*αἱ — ἐρημία*'. *εἰσὶν* MA, *εἰσ'* Gesner. fortasse scribendum *πόλεις γάρ εἰσιν ἄνδρες, οὐκ οἰκήματα.* cf. Appian. B. C. 2, 50: *οὐ τὰ οἰκήματα πόλιν ἀλλὰ τοὺς ἄνδρας εἶναι νομίζοντες*, et quae collegit Bergk Lyr. vol. 3 p. 157.

829

ἀνὴρ δ' ὃς εἶναι φής, ἀνδρὸς οὐκ ἄξιον
δειλὸν κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον.

Stob. Flor. 8, 7: *τοῦ αὐτοῦ* (*Εὐριπίδου* M) *Φρίξῳ.* '*ἀνὴρ — νόσον*'. v. 1 *φής* SM, *φῇς* A. *ἀνδρὸς* SA, *ἀνδρὸς δ'* M. *ἀνὴρ δ' ὃς εἶναι φής, ἄνερ, σ' οὐκ ἄξιον* coni. Herwerden Exerc. crit. p. 63, *ἀνὴρ δ' ὃς εἶναι φησί, τόνδ' οὐκ ἄξιον* O. Hense Exerc. crit. p. 42, *ἀνὴρ δ' ὃς εἶναι φησίν, οὐκ ἀνάξιον —*; Dobree Adv. 2 p. 127, *ἀνὴρ ὅδ' εἶναί φησιν· ἀνδρὸς ἄξιον —*; Gomperz *Beitr.* 1 p. 259. ego olim *ἀνὴρ δ' ὃς εἶναι φησίν, ἄνδρ' οὐκ ἄξιον* scripsi, nunc *ἀνδρὸς δ' ὃς εἶναι φήσ' ἀνήρ, οὐκ ἄξιον* praetulerim. v. 2 *δειλὸν* Gesner, *δειλῶ* SM, *δειλῶν* A. *αἰσχρὸν* M.

830

λάτρις πενέστης ἀμὸς ἀρχαίων δόμων

Ath. VI p. 264 C: *Εὐριπίδης δὲ ἐν Φρίξῳ λάτριας αὐτοὺς* (sc. *τοὺς πενέστας*) *ὀνομάζει διὰ τούτων* '*λάτρις — δόμων*'. om. fab. nom. Eust. Il. p. 1090, 50.

831

πολλοῖσι δούλοις τοὔνομ' αἰσχρόν, ἡ δὲ φρὴν
τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.

Stob. Flor. 62, 39: *Εὐριπίδου Φρίξῳ* (sic S, *φρίξος* MA). '*πολλοῖσι — ἐλευθερωτέρα*'.

832

εἰ δ' εὐσεβὴς ὢν τοῖσι δυσσεβεστάτοις
εἰς ταὔτ' ἔπρασσον, πῶς τάδ' ἂν καλῶς ἔχοι;
ἢ Ζεὺς ὁ λῷστος μηδὲν ἔνδικον φρονεῖ;

Iustinus Martyr de monarchia c. 5: *ἐν Φρίξῳ ὁ τραγικὸς* '*εἰ*

δ' — φρονεῖ;' v. 1 τοῖσι F, τοῖς C. v. 2 τάδ' ἂν Sylburg, τάδ' ἃ C, τάδε F. v. 3 ἢ scripsi, εἰ CF.

833

τίς δ' οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά.

Stob. Flor. 120, 18: *Εὐριπίδου* (sic S, τοῦ αὐτοῦ A, eclogam om. M) *Φρίξῳ*. 'τίς δ' — κακά'. v. 2 ἐστιν S. πλὴν ὅμως (ὁμως s. acc. S, ὁμῶς A) verba vitiosa. δῆλον ὡς O. Hense Lect. Stob. p. 38, δῆλα δ' ὡς Vitelli de Eur. El. p. 22. v. 3 νοσοῦσιν Trinc., νοσοῦσι δ' S, νοσοῦσί θ' A.

834

καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει·
ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ
πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους.

Stob. Flor. 122, 9: *Εὐριπίδου Φρίξου* (sic S, φρίξῳ MA). 'καὶ γὰρ — φίλους'.

835

ὅστις δὲ θνητῶν οἴεται τοὐφ' ἡμέραν
κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται,
ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη.

Stob. Ecl. 1, 3, 15 a p. 54, 26: *Εὐριπίδης Φρίξῳ*. 'ὅστις δὲ — Δίκη'. eosdem versus ex Eur. Phrixo affert Sextus Emp. p. 661, 25 et om. fab. nom. idem p. 665, 23. cf. Iustinus Martyr de monarchia c. 3: *καὶ Εὐριπίδης· ἄφθονον βίον μῆκος δίδωσι πρὸς κρίσιν.* 'ὅστις δὲ — Δίκη'. ubi verba ἄφθονον — κρίσιν retrahenda sunt ad personati Diphili versus antea allatos, *μηδὲν πλανηθῇς· ἔστι κἀν Ἅιδου κρίσις, ἥνπερ ποιήσει θεὸς ὁ πάντων δεσπότης, οὗτ' ὄνομα φοβερὸν οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ· ⟨ὃς τοῖς ἁμαρτάνουσιν⟩ ἄφθονον βίον μῆκος δίδωσιν.* continuo subicit Iustinus versus hos: 'δρᾶθ' ὅσοι — δώσει δίκην' (Eur. fr. 1131). Clemens Alex. Strom. V p. 721 sq. (Euseb. P. E. XIII p. 684 A) Diphilo (Com. 4 p. 67) inter alia quae afferre nolumus haec tribuit: *μηδὲν πλανηθῇς· ἔστι κἀν Ἅιδου κρίσις, ἥνπερ ποιήσει θεὸς ὁ πάντων δεσπότης, οὗτ' ὄνομα φοβερὸν οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ· ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίον δίδωσιν.* 'εἴ τις δὲ θνητῶν — τυγχάνῃ Δίκη'. δρᾶθ' ὅσοι

δοκεῖτε οὐκ εἶναι θεόν· ἔστιν γὰρ ἔστιν· εἰ δέ τις πράττει καλῶς κτέ. v. 1 *ὅστις*] *εἴ τις* Clem. Eus. *τοὐφ' ἡμέραν*] *καθ' ἡμέραν* Sext. p. 661, *τοὐφήμερον* idem p. 665. v. 2 *τοὺς θεοὺς*] *τὸν θεὸν* Iustinus. v. 3 *πονηρὰ*] *πονηρὸς* Iust., *τις ἀνὴρ* Sext. p. 665. *καὶ δοκῶν*] *κἀδικῶν* (*κἀδίκων* P) Stob. v. 4 *τυγχάνοι* Stobaei P, *τυγχάνει* Sextus p. 661 et Stobaei F. versum quem addit Stobaeus, *τιμωρίαν ἔτισεν ὧν ἦρξε κακῶν*, inter adespota recepimus (fr. 490).

836

πώγωνα πυρός

Phot. Lex. p. 478, 3: *πώγωνα πυρός· τὴν ἀναφορὰν τοῦ πυρός. Εὐριπίδης Φρίξῳ.* Pollux 2, 88: *ἐν δὲ τῇ τραγῳδίᾳ πώγων πυρὸς ἡ εἰς ὀξὺ ἀναδρομὴ τῆς φλογός.* Aeschylus Agam. 306: *ἀνδαίοντες ἀφθόνῳ μένει φλογὸς μέγαν πώγωνα.*

837

ἰλλάδας

Hesych. 2 p. 356, vide Soph. fr. 67.

838

Schol. Apoll. Rhod. 2, 382: *ἡ δὲ νῆσος καλεῖται Ἀρητιάς* (*ἀρκτιάς* L) — *ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ.*

ΧΡΥΣΙΠΠΟΣ

Fabula cum Phoenissis et Oenomao scenae commissa est, vide p. 539. Aelianus N. A. 6, 15: *ἔκειντο ἄμφω* (puer et delphinus) *ὃ μὲν τεθνεώς, ὃ δὲ ψυχορραγῶν. Λάιος δὲ ἐπὶ Χρυσίππῳ, ὦ καλὲ Εὐριπίδη, τοῦτο οὐκ ἔδρασεν, καίτοι τοῦ τῶν ἀρρένων ἔρωτος, ὡς λέγεις αὐτὸς καὶ ἡ φήμη διδάσκει, Ἑλλήνων πρώτιστος ἄρξας.* Cic. Tusc. 4, 33, 71: *ut muliebris amores omittam — quis aut de Ganymedi raptu dubitat quid poetae velint, aut non intellegit quid apud Euripidem et loquatur et cupiat Laius?* Aelianus V. H. 2, 21: *ἦρα δέ, φασί, τοῦ αὐτοῦ Ἀγάθωνος τούτου καὶ Εὐριπίδης ὁ ποιητής, καὶ τὸν Χρύσιππον τὸ δρᾶμα αὐτῷ χαριζόμενος λέγεται διαφροντίσαι.* disputavit de hac fabula Valckenaer Diatr. c. 3. Musgrave huc rettulit locum Plutarchi Amator. c. 3 p. 750 B: *τί οὐκ ἄν τις προσδοκήσειεν, εἰ καὶ Πρωτογένης ἔρωτι πολεμήσων πάρεστιν, ᾧ καὶ παιδιὰ πᾶσα καὶ σπουδὴ περὶ ἔρωτα καὶ δι' ἔρωτος, λήθῃ μὲν* (*λήθῃ δὲ* libri, ut videtur) *λόγων, λήθῃ δὲ πάτρας, οὐχ ὡς τῷ Λαΐῳ πέντε μόνον ἡμερῶν ἀπέχοντι τῆς πατρίδος.*

839

Γαῖα μεγίστη καὶ Διὸς Αἰθήρ,
ὁ μὲν ἀνθρώπων καὶ θεῶν γενέτωρ,
ἡ δ' ὑγροβόλους σταγόνας νοτίας
παραδεξαμένη τίκτει θνητούς,
τίκτει βοτάνην φῦλά τε θηρῶν· 5
ὅθεν οὐκ ἀδίκως
μήτηρ πάντων νενόμισται.
χωρεῖ δ' ὀπίσω
τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν,
τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς 10
εἰς οὐράνιον πάλιν ἦλθε πόλον·
θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου
μορφὴν ἑτέραν ἀπέδειξεν.

Sextus Empir. p. 751, 21: *παρὰ τοῖς τραγικοῖς μέλη καὶ στάσιμα φυσικόν τινα ἐπέχοντα λόγον, ὁποῖά ἐστι τὰ οὕτω λεγόμενα 'γαῖα — νενόμισται'* (v. 1—7). v. 1 habet Laert. Diog. 7, 60, v. 8—14 Philo vol. 2 p. 498 et 612, v. 8—11 Heraclitus Alleg. Hom. c. 22 p. 47, v. 9—11 Marcus Anton. 7, 50 et Themistius Paraphr. Aristot. vol. 1 p. 230 sq., v. 12—14 Philo vol. 1 p. 45 vol. 2 p. 488 et 515 Clemens Alex. Strom. VI p. 750 Plut. qui dicitur de placitis philos. 5, 19 p. 908 D et Galenus *π. φιλοσ. ἱστ.* c. 15 vol. 19 p. 334. Chrysippum Euripidis unus memorat Clemens, de cuius fide dubitari potest (cf. quae diximus in Eur. fr. 225), poetae nomen habent Heracl. Plut. Gal., ceteri et poetae et fabulae nomen omittunt. versus septem priores cum iis qui sequuntur recte a Grotio coniunctos esse docet Vitruvius VIII praef. § 1: *Euripides auditor Anaxagorae, quem philosophum Athenienses scenicum appellaverunt, aera et terram eamque ex coelestium imbrium conceptionibus inseminatam fetus gentium et omnium animalium in mundo procreavisse, et quae ex ea essent prognata cum dissolverentur temporum necessitate coacta, in eandem redire, quaeque de aere nascerentur item in coeli regiones reverti, neque interitiones recipere, sed dissolutione mutata* (fort. *mutua*) *in eandem recidere in qua fuerant proprietatem.* cf. Lucretius 2, 991 sqq.:

denique caelesti sumus omnes semine oriundi:
omnibus ille idem pater est, unde alma liquentis
umoris guttas mater cum terra recepit,
feta parit nitidas fruges arbustaque laeta

et genus humanum, parit omnia saecla ferarum,
pabula cum praebet, quibus omnes corpora pascunt
et dulcem ducunt vitam prolemque propagant;
quapropter merito maternum nomen adepta est.
cedit item retro, de terra quod fuit ante,
in terras, et quod missumst ex aetheris oris,
id rursum caeli rellatum templa receptant.
nec sic interemit mors res, ut materiai
corpora conficiat, sed coetum dissupat ollis:
inde aliis aliud coniungitur, et fit ut omnes
res ita convertant formas mutentque colores et q. s.

item Euripidis vestigia legit Pacuvius in Ribbecki Trag. Rom. fragm. p. 87:

id quod nostri caelum memorant, Grai perhibent aethera:
quidquid est hoc, omnia animat format alit auget creat
sepelit recipitque in sese omnia, omniumque idem est pater,
indidemque eadem aeque oriuntur de integro atque eodem occidunt.

v. 3 ὑγρόβολος Toup Add. in Theocr. p. 395. v. 4 θνατούς Sextus, θνητούς Dindorf. v. 5 τίκτει βοτάναν (debebat βοτάνην) Ed. Mueller *Jahrb. f. Philol.* vol. 81 p. 172 sq., τίκτει βοράν Sexti libri. v. 9 γαίης Themist., τῆς vel γῆς M. Anton. εἰς] ἐς Philo. v. 10 αἰθρίου Heracl. γένη M. Anton. v. 11 εἰς αἰθέρα (nihil amplius) Heracl. et Themist., εἰς οὐράνιον πόλον ἦλθε πάλιν Philo, εἰς οὐράνιον πάλιν ἦλθε πόλον M. Anton. v. 12 ἰλὺς (θνήσκει Cobet. Mnem. nov. 13 p. 351) δὲ οὐδὲν τῶν γιγνομένων [φθείρεται] Gal., θνήσκει (ceteris verbis om.) Plut. τῶν γινομένων Philo vol. 1 p. 45 vol. 2 p. 488 et 498. v. 13 διακρινόμενα Gal., μεταμειβόμενα Plut. πρὸς ἄλλου Philo vol. 2 p. 488 498 515, πρὸς ἄλλο Philo vol. 1 p. 45 vol. 2 p. 612 Gal. Plut. Clem., πρὸς ἄλλῳ Bernays. v. 14 μορφὴν ἑτέραν] μορφὰς ἑτέρας Gal., μορφὰς Plut., μορφὴν ἰδίαν legisse videtur Vitruv. ἀπέδειξε Philo, ἐπέδειξε Clem. et Gal., ἔδειξεν Plut.

840

λέληθεν οὐδὲν τῶνδέ μ' ὧν σὺ νουθετεῖς,
γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται.

Clemens Alex. Strom. II p. 462: ὁ μὲν γὰρ Λάιος ἐκεῖνος κατὰ τὴν τραγῳδίαν φησὶν 'λέληθε — βιάζεται'. v. 1 λέληθε δέ με οὐδὲν τῶνδε ὧν L, λέληθε δέ μ' οὐθὲν τῶνδ' V, λέληθεν οὐδὲν τῶνδέ μ' ὧν Sylburg. v. 2 sine poetae nom. habent Plut. de virtute morali c. 6 p. 446 A (vide fr. 841) et Stob. Ecl. 2, 7, 10 a p. 89, 12. huic fabulae fr. 840 et 841 vindicavit Valckenaer Diatr. p. 21.

841

αἰαῖ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν,
ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή.

Albinus Isag. Plat. dogm. c. 24: *ὁρᾶται δέ γε ἐπὶ μὲν τῆς Μηδείας ὁ θυμὸς λογισμῷ μαχόμενος — ἐπὶ δὲ τοῦ Λαΐου τὸν Χρύσιππον ἁρπάζοντος ἐπιθυμία λογισμῷ μαχομένη· λέγει γὰρ οὕτως 'αἶ αἶ — μή'.* Plut. de virtute morali c. 6 p. 446 A: *αἱ δὲ τῆς ἀκρασίας* (sc. *φωναί*) *ἕτεραι καὶ διαφέρουσαι 'γνώμην ἔχοντά μ' ἡ φύσις βιάζεται'* (fr. 840) *καὶ 'αἰαῖ — μή'.* Plut. de audiendis poetis c. 12 p. 33 E: *'αἰαῖ — μή'.* eundem locum habent Stob. Flor. 5, 6 (nimirum Trinc., om. SMA) sine lemmate et Gregorius Palamas Prosop. p. 16. v. 1 *τόδ' ἤδη θεῖον* Plut. p. 33 et Stob., *τὸ δὴ θεῖον* Plut. p. 446, *τὸ θεῖόν ἐστιν* vel *τὸ δὲ θεῖον ἐν* Albinus. *τόδ' ἤδη δεινὸν* bene coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 460 (cf. Eur. Andr. 1066), atque *τὸ δή τοι δεινὸν* editur in Greg. Pal., quae scriptura qua auctoritate nitatur nescimus. v. 2 *ἴδῃ* Stob.

842

γνώμης σόφισμα καὶ χέρ' ἀνδρείαν ἔχων
δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός.

Stob. Flor. 66, 2: *Εὐριπίδου* (*τοῦ αὐτοῦ* S) *Χρυσίππῳ. 'γνώμη — κακός'.* v. 1 *γνώμη σοφός μοι* SMA, *γνώμης σόφισμα* scripsi. *ἔχειν* SMA m. sec., *ἔχοι* Trinc., *ἔχων* excerpta Stob. in cod. Esc. X, 1, 13 fol. 246 r. ut coniecerat Camper in Eur. El. p. 356. v. 2 *καλὸς*] *κάλλος* A et exc. Esc. cum v. 2 cf. Men. mon. 117: *δύσμορφος ἴσθι μᾶλλον ἢ κακηγόρος* (ubi al. *κακὸς λόγοις* vel *κακότροπος*). Anecd. Boiss. vol. 1 p. 154: *δύσμορφος ἴσθι μᾶλλον ἢ κακὸς λόγοις.*

843

ὦ δέσποτ', οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς
οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς.

Stob. Flor. 105, 13: *Εὐριπίδου* (sic MA, *τοῦ αὐτοῦ* S) *ἐκ Χρυσίππου. 'ὦ — δυστυχοῦς'.*

844

ειάζων

Hesych. 2 p. 23: *ειάζων· εἶα ἐπικελεύων. Εὐριπίδης Χρυσίππῳ.*

INCERTARVM FABVLARVM FRAGMENTA

845

ἀπρόσειλος

Hesych. 1 p. 265: *ἀπρόσειλος· ᾧ* (ὃ cod.) *οὐδεὶς προσειλεῖται* (*προσηλεῖται* cod.), *ἀλλ' εὐθέως πίπτει. ἢ ἀκαυμάτιστος ἀπὸ τῆς εἵλης. Εὐριπίδης ἀλη.* Anecd. Bekk. p. 440, 32: *ἀπρόσειλος· ᾧ οὐδεὶς προσειλεῖται. οὕτως Εὐριπίδης.* Hesychium *Ἀλκμήνῃ* scripsisse coni. Pearson.

846

Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχών

Aristoph. Ran. 1206 Euripideos prologos ridens: '*Αἴγυπτος — κατασχών*'. ubi Scholia: *Ἀρχελάου αὕτη ἐστὶν ἡ ἀρχή, ὥς τινές, ψευδῶς· οὐ γὰρ φέρεται νῦν Εὐριπίδου λόγος οὐδεὶς τοιοῦτος. οὐ γάρ ἐστι, φησὶν Ἀρίσταρχος, εἰ μὴ αὐτὸς μετέθηκεν ὕστερον, ὁ δὲ Ἀριστοφάνης τὸ ἐξ ἀρχῆς κείμενον εἶπε.* qui locus docet versus supra scriptos neque in Archelao neque in alia fabula ab Aristarcho inventos esse; aut igitur diversi extiterunt eiusdem tragoediae prologi aut errarunt qui Archelai initium proferri ab Aristophane dicerent. v. 1 *ὁ πιστὸς* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 453.

847

εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μύσος

Schol. Ar. Plut. 907: *ἰδίων τῶν ἰδιωτικῶν. Εὐριπίδης ἐν Βάκχαις* '*εἰ μὴ — μύσος*'. Tyrwhitt probabiliter suspicatur hunc versum ex Agauae oratione repetitum esse, cuius primus versus (1329) superstes est. indidem petitum fuerit fr. 848. Agauae et Dionysi orationem pleniorem norat auctor Christi patientis, unde Palatini Baccharum codicis lacunam aliqua ex parte compensare studuit praeter alios Kirchhoff Philol. 8 p. 78—93.

848

γαυριᾶν

Antiatt. p. 87, 29: *γαυριᾶν· καὶ τοῦτο μέμφονται. Δημοσθένης περὶ τοῦ στεφάνου, Εὐριπίδης Βάκχαις.*

849

ἀκανθώδη ῥάχιν

Etym. M. p. 702, 48: *ῥάχις — ἐπὶ μὲν σώματος εἴρηται παρὰ τὸ τραχύ, ὡς Εὐριπίδης ἐν Ἑκάβῃ ἀκανθώδη εἶπε τὴν ῥάχιν.* Meineke Hist. crit. p. 254 pro *ἀκανθώδη* scribendum suspicatur *ἄκανθαν* et respici putat Eur. Tro. 117: *καὶ διαδοῦναι νῶτον ἄκανθάν τ' εἰς ἀμφοτέρους τοίχους μελέων.*

850

ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται
δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι.

Stob. Flor. 49, 4: *Εὐριπίδου Ἠλέκτρα.* '*ἡ γὰρ — πέρι*'. v. 2 *ἐρῶσιν* libri. *ἧς* S, *οἷς* MA. *δεινῶς ἐρῶσιν, οὓς φυλακτέον, πάτερ* coni. Valckenaer Diatr. p. 226. *ὅ σε* pro *οὓς* malit Gomperz *Beitr.* 1 p. 263. lemma *Εὐριπίδου Ἠλέκτρα* pertinere ad Electrae locum qui exciderit (velut v. 947) et duos qui sequuntur versus esse Euripidis coni. O. Hense.

851

Ar. Eq. 214: *τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα.* ubi Schol.: *παρῴδησε γὰρ τὸν ἴαμβον ἐξ Ἡρακλειδῶν Εὐριπίδου.* fortasse respicitur mutilae nunc fabulae versus perditus. cf. Wilamowitz-Moellendorff Herm. 17 p. 349 et van de Sande Bakhuyzen de parodia p. 30 sq.

852

ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος·
ὅστις δὲ τοὺς φύσαντας μὴ τιμᾶν θέλῃ,
μή μοι γένοιτο μήτε συνθύτης τοῖς θεοῖς
μήτ' ἐν θαλάσσῃ κοινόπλουν στέλλοι σκάφος. 5

Orion Flor. Eurip. 7 p. 56, 2: '*ὅστις — σκάφος*'. Stob. Flor. 79, 2: *Εὐριπίδου Ἡρακλείδαις* (sic M, *ηρξ* S, *ἡρακλειδῶν* A ut videtur). '*ὅστις — φίλος*' (v. 1 et 2). v. 2 *ὅδ'* Or., *ὁ δ'* Stob. *φίλοις* S pr. m. v. 3 *τὼ φύσαντε* Schneidewin, *τὸν φύσαντα* Meineke, qui v. 3—5 a praegressis dirimit. v. 4 *μήτε συνθύτης θεοῖς* Schneide-

win, *μήτε συνθύτης ποτέ* Meineke, *μήτε συνοδίτης φίλος* F. G. Schmidt *Krit. Stud.* 2 p. 496.

853

τρεῖς εἰσὶν ἀρεταὶ τὰς χρεών σ' ἀσκεῖν, τέκνον,
θεούς τε τιμᾶν τούς τε φύσαντας γονῆς
νόμους τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν
κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

Stob. Flor. 1, 8: *Εὐριπίδης Ἡρακλείδαις* (sic MA, *Εὐριπίδου Ἀντιόπη* Trinc., eclogam om. S). '*τρεῖς — ἀεί*'. v. 1 *τὰς χρήσεις* M, *τὰς χρή σ'* A, *τὰς χρεών σ'* Dindorf. v. 2 *γονῆς* scripsi (Eurip. vol. 3 p. 52), *γονεῖς* MA. ceterum cf. Pseudo-Phocyl. 8: *πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.* Euripideum locum, qui olim ad Antiopam relatus est, Heraclidis vindicavit Wilamowitz-Moellendorff Herm. vol. 17 p. 345.

854

τὸ μὲν σφαγῆναι δεινόν, εὔκλειαν δ' ἔχει·
τὸ μὴ θανεῖν δὲ δειλόν, ἡδονὴ δ' ἔνι.

Stob. Flor. 7, 9: *Εὐριπίδης Ἡρακλεῖ* (sic A, eclogam om. SM. lemma *εὐρ. ἡρακλεῖ* etiam in M extat, sed verba *τὸ μὲν σφαγῆναι — ἔνι* sicut insequentis eclogae lemma omittuntur). '*τὸ μὲν — ἔνι*'. eundem locum sine p. et fab. nomine habet Plut. de virtute morali c. 7 p. 447 E. v. 2 *δὲ δειλόν* Plut., *δ' οὐ δεινόν* Stob. *Ἡρακλεῖ* in *Ἡρακλείδαις* mutandum esse suspicor.

855

ἀναδρομαί

Hesych. 1 p. 171: *ἀναδρομαί· αὐξήσεις, βλαστήσεις. Εὐριπίδης Ἱκέτισιν Ὑψιπύλη* (*ἱκέτισι ὑψοπύ* [λ supra] codex). non legitur hoc vocabulum in *Ἱκέτισιν.*

856

ἀλκυόνες, αἳ παρ' ἀενάοις θαλάσσας
κύμασιν στωμύλλετε,
τέγγουσαι νοτίοις πτερῶν
ῥανίσι χρόα διανιζόμεναι

Ar. Ran. 1309: '*ἀλκυόνες — δροσιζόμεναι*'. ubi Schol. V v. 1310: *ἔστι δὲ τὸ προεγκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι.* Schol. R v. 1315: *ἐξ Ἰφιγενείας Εὐριπίδου.* Hypsipylae hos esse versus

ex loci nexu probabiliter concludit van de Sande Bakhuyzen de parod. p. 166 sq.

857

ἔλαφον δ' Ἀχαιῶν χερσὶν ἐνθήσω φίλαις
κεροῦσσαν, ἣν σφάζοντες αὐχήσουσι σὴν
σφάζειν θυγατέρα

Aelianus N. A. 7, 39: ὅσοι λέγουσι θῆλυν ἔλαφον τὰ κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας — ὁ δὲ Εὐριπίδης ἐν τῇ Ἰφιγενείᾳ ʽἔλαφον — θυγατέρα'. v. 1 τυφλαῖς coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 496. v. 2 σφάζοντες cod. Vat., σφάξαντες al. versus e genuino Iphigeniae Aulidensis exitu nobis erepto petiti videntur.

858

ὦ θερμόβουλον σπλάγχνον

Ar. Ach. 119: ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε. ubi Schol.: παρῳδίᾳ χρῆται· ἔστι γὰρ ἐν τῇ Μηδείᾳ Εὐριπίδου ʽὦ θερμόβουλον σπλάγχνον'. Euripidem dixisse ὦ θερμόβουλον σπλάγχνον ἐξευρημένε suspicatur Albertus Mueller. Medeae superstiti fabulae verba ὦ θερμόβουλον σπλάγχνον inseri vult O. Hense Mus. Rhen. 31 p. 595, Aegei perhiberi fragmentum coni. Wilamowitz-Moellendorff Anal. Eur. p. 150, de Peliadibus cogitavit Elmsley.

859

διαβάλλω

Erotianus Gloss. Hippocr. p. 62, 13: διεβλήθησαν — μέμνηται (sc. Εὐριπίδης) τῆς λέξεως καὶ ἐν Πολυείδῳ καὶ ἐν Ὀρέστῃ. in Eur. Oreste hoc verbum extare recte negat Klein.

860

Etym. M. p. 797, 14: πρότερον οἱ Φοίνικες ᾤκουν πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐντεῦθεν αὐτοῖς τοὔνομα· φοινικοῖ γὰρ τὴν χροιάν, ἀπὸ τῶν παρακειμένων αὐτοῖς πετρῶν ⟨πορφυρῶν⟩ οὐσῶν· διὸ καὶ ἐρυθρὰ λέγεται. teste Millero *Mélanges de litt. gr.* p. 302 cod. Flor. addit: καὶ παρ' Εὐριπίδῃ Φοινίσσαις ἅλμη εἴρηται. verba manifesto corrupta fortasse alii emendabunt.

861

δείξας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδὸν
δήμους τ' ἔσωσα καὶ τύραννος ἱζόμην.

Achill. Tat. Isag. in Phaen. p. 122 E: ὁ δὲ Εὐριπίδης φησί

'δείξας — ἱζόμην'. ibid. p. 140 C: κατὰ τὸν Εὐριπίδην λέγοντα 'δείξας — ἱζόμην'. v. 2 δόμους τ' ἔσωσα coni. Bergk, θρόνους τ' ἔσωσα Heimsoeth *Krit. Stud.* p. 166, γῆν ἐξέσωσα F. G. Schmidt *Krit. Stud.* 2 p. 496. locus probabiliter ad Thyestem refertur, videntur Atrei verba esse, cf. Strab. I p. 23 et Schol. Eur. Or. 998.

862

ὁθούνεκα
ἐν ⟨αὐτὸς⟩ αὑτῷ πάντα συλλαβὼν ἔχει

Achill. Tat. Isag. in Phaen. p. 139 E: ἐνιαυτὸς δὲ ἡλίου εἴρηται, ἐπεὶ ἔχει τὰς πάσας ὥρας ἐν ἑαυτῷ τέσσαρας κατὰ τὸν Εὐριπίδην 'ὁθ' οὕνεκ' ἐν αὑτῷ πάντα συλλαβὼν ἔχει'. v. 2 ἐν αὐτῶ ed., ⟨αὐτὸς⟩ ἐν ἑαυτῷ coni. Meineke, ἐν ⟨αὐτὸς⟩ αὑτῷ Conington, ἐν ⟨αὐτὸς⟩ αὑτῷ Cobet Coll. crit. p. 229. cum extremis verbis cf. Chaerem. fr. 23: ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει. Liban. Decl. 4 p. 624, 11: ὁ πλοῦτος πάντα συλλαβὼν ἔχει τὰ καλά.

863

ἥκει δ' ἐπ' ὤμοις ἢ συὸς φέρων βάρος
ἢ τὴν ἄμορφον λύγκα, δύστοκον δάκος.

Aelianus N. A. 14, 6: ἔοικε δὲ ἄρα τῷ θηρίῳ τούτῳ (sc. λυγκί) μαρτυρεῖν καὶ Εὐριπίδης τὸ ἀπρόσωπον οὖν ὅταν που λέγῃ 'ἥκει — δάκος'. ὑπὲρ ὅτου δὲ λέγει δύστοκον, τοὺς κριτικοὺς ἐρέσθαι λῷον. v. 2 λύγγα libri, corr. Hercher.

864

παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.

Aelianus V. H. 12, 15: ἔπαιζε δὲ ἄρα ὁ Διὸς καὶ Ἀλκμήνης μετὰ παιδίων πάνυ σφόδρα. τοῦτό τοι καὶ ὁ Εὐριπίδης ἡμῖν ὑπαινίττεται ποιήσας τὸν αὐτὸν τοῦτον θεὸν λέγοντα 'παίζω — φιλῶ'. λέγει δὲ τοῦτο παιδίον κατέχων. μεταβολὰς γάρ, πονῶν ἀεί, φιλῶ malit F. G. Schmidt *Krit. Stud.* 2 p. 496. ex Auga versum esse petitum probabiliter coni. Wilamowitz-Moellendorff Anal. Eur. p. 189.

865

φήμη τὸν ἐσθλὸν κἀν μυχοῖς δείκνυσι γῆς.

Aeschines c. Timarch. § 128: καὶ πάλιν τὸν Εὐριπίδην ἀποφαινόμενον τὴν θεὸν ταύτην (sc. Φήμην) οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην — ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ 'φήμη — γῆς'. eundem versum ex Eur. affert Suidas v. φήμη. μυχῷ Aesch., μυχοῖς Suid.

866

ἀλλ' ἥδε μ' ἐξέσωσεν, ἥδε μοι τροφός,
μήτηρ, ἀδελφή, δμωίς, ἄγκυρα στέγης.

Alexander Rhet. vol. 8 p. 440 sq.: *ἐπιμονὴ — ἡ ἐπὶ πλεῖον ἐπὶ τοῦ αὐτοῦ νοήματος ἐπιμονὴ μετὰ αὐξήσεως. Εὐριπίδης 'ἀλλὰ — στέγη'.* v. 1 *ἀλλὰ δή μ' ἔξω ἔσωσεν* ante Normannum. *ἔνι δέ μοι* libri, *ἥδε μοι* Musgrave. v. 2 *μήτηρ* Normann, *ἡ μήτηρ* libri. *στέγης* Normann, *τέγη* vel *στέγης* libri. extrema tria verba num poetae sint dubitat F. G. Schmidt *Krit. Stud.* 2 p. 80. locum ex Antigona esse petitum coni. Max. Mayer de Eur. mythopoeia p. 74.

867

ἀλλ' ἄγχιμος γὰρ ἥδε Φοιβεία γυνή

Anecd. Bekk. p. 340, 25: *ἄγχιμος, ἀντὶ τοῦ πλησία. Εὐριπίδης 'ἀλλ' — γυνή'. φοιβία* cod., *Φοιβεία* Matthiae.

868

θεοὶ χθόνιοι
ζοφερὰν ἀδίαυλον ἔχοντες
ἕδραν φθειρομένων Ἀχεροντίαν λίμνην

Anecd. Bekk. p. 343 sq.: *ἀδίαυλος τόπος, ὅθεν μὴ ἔστιν ἐπανελθεῖν. οὕτως Εὐριπίδης 'θεοὶ — λίμνην'.* v. 2 *ζοφερὸν* codex, *ζοφερὰν* Bekker. v. 3 *φθιμένων* coni. Wecklein *Stud. zu Eur.* p. 425. *Ἀχεροντίδα λίμνην* malim.

869

ἄδωρος χάρις

Anecd. Bekk. p. 346, 19: *ἄδωρος χάρις· ἡ ⟨μὴ⟩ ἐπὶ τέλους* (l. *τέλος*) *ἐλθοῦσα δωρεά. οὕτως Εὐριπίδης.* eadem omissis *οὕτως Εὐριπίδης* verbis Phryn. Bekk. p. 26, 11, unde *μὴ* addidit Matthiae.

870

δράκοντος αἱματωπὸν ὄμμα

Anecd. Bekk. p. 362, 8: *αἱματωπόν. Εὐριπίδης 'δράκοντος αἱματωπὸν αἷμα'. ὄμμα* restituit Boissonade.

871

αἱματοσταγῆ
κηλῖδα τέγγῃ

Anecd. Bekk. p. 362, 10: *αἱματοσταγῆ. Εὐριπίδης καὶ Ἀριστοφάνης 'αἱματοσταγῆ — τέγγῃ'.* Aristophanis dici videtur Ran. 471.

872

ἀκόμπαστος λόγος

Anecd. Bekk. p. 369, 18: '*ἀκόμπαστος λόγος*' *Εὐριπίδης φησὶ καὶ* '*ἀκόμπαστος φάτις*'.

873

ἀκόμπαστος φάτις

Anecd. Bekk. p. 369, 18, vide fr. 872.

874

οὔ σοι παραινῶ μηχανωμένῃ κακὰ
ἐχθροῖσι, σαυτῇ προσβαλεῖν ἀλάστορα.

Anecd. Bekk. p. 383, 1: *ἀλάστορα προσβαλεῖν, οἷον μύσος καὶ ἀνοσιουργίαν. Εὐριπίδης* '*οὔ σοι — ἀλάστορα*'. v. 2 *σαυτὴν* codex, *σαυτῇ* Bekker.

875

ὦ Κύπρις, ὡς ἡδεῖα καὶ μοχθηρὸς <*εἶ*>.

Anonymus de barbarismo et soloecismo in Append. Lex. Vindob. p. 291, 6 sive Anecd. Boiss. vol. 3 p. 239: *γίνεται δὲ* (soloecismus) *περὶ τὰ μέρη τοῦ λόγου καὶ περὶ τὰ παρεπόμενα. περὶ τὰ γένη, ὡς Εὐριπίδης* '*ὦ Κύπρις — μοχθηρός*'. *εἶ* addidit Bernhardy.

876

τρομὸν δράμημα γηραιοῦ ποδός

Anecd. Oxon. vol. 1 p. 122, 8: *τὰ εἰς ΜΟΣ λήγοντα τῷ Ο παραληγόμενα δισύλλαβα μονογενῆ πάντα βαρύνεται, εἰ μὴ διάφορον εἴη τὸ σημαινόμενον· γόμος, νόμος, τρόμος, δρόμος. εἰ δέ τι ὀξύνεται, πρὸς διάφορον σημαινόμενον·* '*νόμον κατὰ τρομὸν δριμημα γηραιοῦ ποδός*' *Εὐριπίδης.* scribendum esse '*νομὸν κάτα*' (Od. *ι* 217)· '*τρομὸν δρόμημα γηραιοῦ ποδός*' *Εὐριπίδης* coni. Lehrs (v. Ludwich *Aristarchs Hom. Textkritik* II p. 656). *δρόμημα* pro *δριμημα* posuerat Cramer, *δράμημα* restituit Cobet Coll. crit. p. 229 sq.

877

ἀλλ' αἰθὴρ τίκτει σε, κόρα,
Ζεὺς ὃς ἀνθρώποις ὀνομάζεται.

Anecd. Oxon. vol. 1 p. 182, 13: *λέγουσι δ' αὐτὸν* (*λέγουσι δὲ αὐτὸν τὸν* Etym. Gud., *λέγουσι δ' αὖ τὸν* Mehler in Heraclit. Alleg. Hom. p. 49, fortasse *λέγουσι δὲ τὸν* praeferendum) *αἰθέρα Δία εἶναι, ὅτι ἔμπυρός ἐστι καὶ ζῇ* (*ζεῖ* Mehler). *Εὐριπίδης* '*ἀλλ' — ὀνομάζεται*'.

eadem fere omisso Euripidis nomine Anecd. Oxon. vol. 2 p. 443, 6 et Etym. Gud. p. 230, 30. v. 1 *κόρας* Etym. G. v. 2 *ὡς* Etym. G. *ἀνθρώποισιν* Anecd. Oxon. vol. 2 et Etym. Gud.

878

τίς ἔσθ' ὁ μέλλων σκόλοπος ἢ λευσμοῦ τυχεῖν;

Anecd. Oxon. vol. 2 p. 258, 2: *σκόλοπος· διὰ τοῦ Ο ἡ παραλήγουσα. Εὐριπίδης 'τίς — τυχεῖν;' λεσμοῦ* codex, *λευσμοῦ* Cramer.

879

ὁ λῷστος οὗτος καὶ φιλοξενέστατος

Anecd. Oxon. vol. 2 p. 452, 17: *'ὅλως — καὶ φιλοξενέστατος' Εὐριπίδης. ὅλως τὸ σοῦτος* cod., *ὁ λῷστος οὗτος* Cramer. *φιλοξενώτατος* Kock in Aristoph. fr. 901 p. 591.

880

οὐκ ἐν γυναιξὶ τοὺς νεανίας χρεὼν
ἀλλ' ἐν σιδήρῳ κἀν ὅπλοις τιμὰς ἔχειν.

Anonymus Letronnii *Les papyrus grecs* p. 99: *ὃ ἔλεγεν Εὐριπίδης 'οὐκ — ἔχειν'. Σκυρίοις* locum adscribit Bergk.

881

Apollod. 2, 1, 4: *καὶ αὐτῷ* (Belo Aegypti regi) *γίνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός, ὡς δὲ φησὶν Εὐριπίδης, καὶ Κηφεὺς καὶ Φινεὺς προσέτι.* Scholia Aesch. Suppl. 317: *ὁ Εὐριπίδης πέντε φησὶ παῖδας εἶναι Βήλου, Αἴγυπτον Δαναὸν Φοίνικα Φινέα Ἀγήνορα.*

882

ἅλα πορφυρέην

Aristid. vol. 1 p. 401: *Ὅμηρος λέγει ἰοειδέα πόντον καὶ οἴνοπα πόντον, καὶ Εὐριπίδης ἅλα πορφυρέην καὶ εἰ δή τις ἄλλος ἄλλο τι τοιοῦτον.* haud dissimilia sunt *πορφύρεον οἶδμα* Hipp. 738 et *πορφυρέας λίμνας* Hipp. 744, inprimis vero (quem locum M. Schmidt Veris. p. 23 attulit) Tro. 124, ubi *δι' ἅλα πορφυροειδέα* libri praebent.

883

ἀλλ' αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.

Ar. Lys. 713: *'ἀλλ' — βαρύ'.* ubi Scholia: *ἐξ Εὐριπίδου.*

884

τηλοῦ γὰρ οἰκῶν βίοτον ἐξιδρυσάμην.

Ar. Nub. 138: *σύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.* ubi Schol.: *λέλεκται δὲ αὐτὸ παρὰ τὸ Εὐριπίδειον, ὅπερ οὕτως ἔχει 'τηλοῦ — ἐξιδρυσάμην'. οἴκων* vulgo, *οἰκῶν* cum Wagnero vel *οἰκεῖν* coni. F. G. Schmidt *Krit. Misc.* p. 22.

885

ἄληθες, ὦ παῖ τῆς θαλασσίας θεοῦ;

Ar. Ran. 840: *ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ;* ubi Scholia: *εἴρηται δὲ ὁ στίχος παρὰ τὰ Εὐριπίδου 'ἄληθες — θεοῦ;'* verba *τῆς θαλασσίας θεοῦ* recurrunt Rhes. 974. fortasse eundem versum lusit Plato Com. vol. 2 p. 661: *ὁ Καρκίνου παῖς τοῦ θαλαττίου* ⟨*θεοῦ*⟩. adde corruptum Eubuli locum Com. 3 p. 225, de quo Herwerden Anal. crit. p. 30 disputavit, et Alciphr. 1, 19, 1: *τῆς θαλαττίας θεοῦ τεκούσης τοῦτο τὸ παιδίον*, denique adesp. fr. 69. Telephi esse iambum supra adscriptum coni. Musgrave.

886

μισῶ πολίτην ὅστις ὠφελεῖν πάτραν
βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς,
καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.

Ar. Ran. 1427: ΕΥΡ. *'μισῶ — ἀμήχανον'.* ex Euripidea tragoedia hos versus depromptos esse Aristophanes ipse indicat. v. 2 *πέφανται* coni. Hamaker.

887

ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ' ἄπιστα

Ar. Ran. 1443: ΕΥΡ. *'ὅταν τὰ νῦν — ἄπιστα'.* Euripidis haec esse verba docet loci nexus. ex Palamede esse repetita probabile arbitror secundum v. 1451: *εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.*

888

βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέσσαρα

Ar. Ran. 1400: *'βέβληκ' — καὶ τέτταρα'.* Euripidis esse versum loci nexu docemur. Dionysus enim Euripidem alloquitur hisce verbis: *ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυστάθμων, ὅτι σοι καθέλξει, καρτερόν τε καὶ μέγα.* respondet Euripides: *φέρε ποῦ τοιοῦτο δῆτά μοὐστί; ποῦ;* pergit Dionysus: *φράσω· 'βέβληκ' — τέτταρα'.* sedem versus ipsi grammatici Alexandrini ignorarunt, id quod prodit Scho-

liorum locus quamvis pessime habitus: *Ἀρίσταρχος φησὶν ἀδεσπότως τοῦτο προφέρεσθαι* (l. *περιφέρεσθαι* cum Schneidewino), *ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιεῖλε. μήποτ' οὖν ἐκεῖθεν ἦν. μᾶλλον δὲ ἐσχεδιακὼς ἂν εἴη Ἀριστοφάνης· οὐδὲ γὰρ τὸν Εὐριπίδην τοῦτο προφερόμενον, ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δὲ ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος, οἱ δὲ ἐν Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδώς 'ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτταρα'* (Com. 2 p. 566). Scholion recens: *ἐκ Μυρμιδόνων.* discimus ex hoc loco de sede verborum supra scriptorum quattuor extitisse coniecturas; Iphigeniae Aulidensis mentio referenda ad v. 196: *πεσσῶν ἡδομένους μορφαῖσι πολυπλόκοις.* ficta narrat Eust. Il. p. 1084, 2: *'βέβληκ' — καὶ τέτταρα', ἤγουν δύο μονάδας καὶ τέτταρα, ὃν στίχον Εὐριπίδης ἐν Τηλέφῳ θείς, ὅπου κυβεύοντας ἥρωας εἰσήγαγε καὶ μαθὼν ἐπ' αὐτῷ χλευασθῆναι ὡς εὐτελεῖ, καθὰ σκώπτει καὶ ὁ κωμικός, αἰδεσθεὶς περιεῖλεν ὅλον τὸ ἐπεισόδιον.* similiter idem Od. p. 1397, 19. cf. Prov. Milleri *Mélanges de litt. gr.* p. 363 sive Zenob. 2, 85: *'βέβληκ' — καὶ τέτταρα'. τοῦτο Εὐριπίδου ἐστί· καὶ Ἀριστόξενος* (*Ἀριστοφάνης* coni. O. Crusius Anal. crit. ad paroemiogr. Gr. p. 152) *δὲ φησὶν ὅτι Εὐριπίδης διορθῶν τὸν Τήλεφον ἐξεῖλε τὴν πεττείαν.* eundem versum Euripidi vindicant Phot. Lex. p. 602, 11 et Suidas v. *τρὶς ἓξ ἢ τρεῖς κύβοι,* sine poetae nomine affert Schol. L Il. *Π* 745.

889

πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος

Ar. Thesm. 1122 Euripidem haec dicentem facit: *τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτήν, ὦ Σκύθα, 'πεσεῖν — λέχος;'* Euripideum esse alterum versum certum videtur, ex Andromeda desumptum esse coni. Porson in Eur. Hec. 1010.

890

λόγων δίκαιον μισθὸν ἂν λόγους φέροις,
ἔργον δ' ἐκεῖνος ἔργον ὃς παρέσχετο.

Aristot. Eth. Eud. 8, 11 p. 1244 a 11: *μὴ γάρ τι λέγει Εὐριπίδης ποιήσας 'λόγον — παρέσχετο'.* v. 1 *λόγον* libri, *λόγων* Bothe. *δικαίως* malim. *λόγον εἰσφέροις* vel *λόγον εἰσφέρῃς* libri, *λόγους φέροις* Bothe. *λόγον δίκαιον μισθὸν ἂν λόγου φέροις* Musgrave. v. 2 *ἔργων δ'* Musgrave, *ἔργου δ'* Cobet Coll. crit. p. 230. *ἐκεῖνος* Musgrave, *ἐκείνοις* libri. *ἔργων δὲ κέρδος* poeta magis dignum censet F. G. Schmidt *Krit. Stud.* 2 p. 497. *ἔργον ὃς* Meineke, *ἔργα* libri.

891

Aristot. Polit. 5, 9 p. 1310 a 32: *ὥστε ζῇ ἐν ταῖς τοιαύταις δημοκρατίαις ἕκαστος ὡς βούλεται καὶ εἰς ὃ χρῄζων* (*εἰς τὸ χρῆζον* coni. Goettling), *ὡς φησὶν Εὐριπίδης*. Gaisford Suppl. 440 respici putabat.

892

ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον,
Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου,
ἅπερ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν;
ὧν οὐκ ἀπαρκεῖ πλησμονή· τρυφῇ δέ τοι
ἄλλων ἐδεστῶν μηχανὰς θηρεύομεν. 5

Ath. IV p. 158 E: '*ἐπεὶ τί δεῖ βροτοῖσι*' *κατὰ τὸν σὸν Εὐριπίδην, γραμματικώτατε*, '*πλὴν — θηρεύομεν*'. Gellius N. A. 6, 16, 7: *indagines cuppediarum maiore detestatione dignas censebimus, si versus Euripidi recordemur, quibus saepissime Chrysippus philosophus* ⟨*usus*⟩ — '*ἐπεὶ τί δεῖ — μηχανὰς θηρώμεθα*'. v. 1—3 ex Eurip. afferunt Sext. Emp. p. 661, 1 et Eust. Il. p. 868, 33, item om. poetae n. Musonius in Stob. Flor. 40, 9. v. 1 et 2 ex Euripide Plutarchus de stoicorum repugn. c. 21 p. 1044 B, om. poetae nom. Plut. de audiendis poetis c. 14 p. 36 F de stoicorum repugn. c. 20 p. 1043 E Stob. Flor. 5, 7 (quam eclogam praebet Trinc., om. SMA). v. 2 et 3 om. p. nom. Plut. de stoicorum repugn. c. 21 p. 1044 F. verba *τρυφῇ — θηρεύομεν* (v. 4 et 5) ex Euripide Teles in Stob. Flor. 108, 82. v. 1 *ἐπεὶ τί δεῖ*] *τίνος γε δεῖ* Plut. p. 36 codex D, *καίτοι τί δεῖ* Eust., *τί γὰρ δέοι* Sextus Emp. *βροτοῖσι* om. Eust. *δυεῖν* Plut. p. 36 Gell. et S in Stob. Flor. 40. *μόνον*] *μόνοιν* Stob. Flor. 5, *μόνων* M in Stob. Flor. 40 (ubi *μόνον* corr. in *μόνων* praebet S). v. 2 *πώματός θ'*] *καὶ πόματος* Plut. p. 1043 et 1044. v. 3 *ἅπερ*] *ὅπερ* vel *ἅπερ* Gell., *ἃ δὴ* Sext. Emp. *πέφυκεν* Sext. Emp. *ὑμᾶς* Athenaei A et Sexti R. v. 4 *πλησμονῆς* Ath., *πλησμονή* Gell. *δέ τοι* Teles, *δέ τοι* vel *δέ σοι* Gell., *γέ τοι* Ath. v. 5 *θηρεύομεν* Teles et Ath., *θηρώμεθα* Gellius. locum esse Telephi (v. fr. 714) coni. Hartung.

893

ἀρκεῖ μετρία βιοτά μοι
σώφρονος τραπέζης,
τὸ δ' ἄκαιρον ἅπαν ὑπερβάλ-
λον τε μὴ προσείμαν.

Ath. IV p. 158 E: *κἀν ἄλλοις δὲ φησὶν ὁ σκηνικὸς οὗτος φιλόσοφος* (Euripides) '*ἀρκεῖ — προσείμαν*'. v. 1 om. poetae nomine

affert Philo Iud. vol. 2 p. 468. v. 3 ἅπαν] ἅπαν τόδ' Porson (v. Gaisford Hephaest. p. 341 ed. pr. sive vol. 2 p. 188 ed. alt.). fortasse v. 1 βορά μοι scribi praestat.

894

τἀλλότρια . . τὸν καλῶς εὐδαίμονα

Theopompus Com. (vol. 2 p. 806) ap. Ath. IV p. 165 B: Εὐριπίδου τἄριστον (τἄρ' ἐστὶν Meineke) οὐ κακῶς ἔχον, τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα. ubi δειπνεῖν lusui comico debetur, Euripidem φεύγειν vel simili verbo usum esse suspicor.

895

ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ.

Ath. VI p. 270 C (Eust. Od. p. 1596, 45): παρ' οὗ (sc. ab Achaeo) ὁ σοφὸς Εὐριπίδης λαβὼν ἔφη 'ἐν — οὔ'. Schol. Theocr. 10, 9: ὑποβάλλει δὲ τὸ τοῦ Εὐριπίδου 'ἐν — οὔ'. eundem versum sine poetae nomine afferunt Libanius Decl. vol. 3 p. 389 sq. Prov. in Milleri *Mél. de litt. gr.* p. 381 Schol. Soph. Ant. 781 Gregor. Naz. vol. 2 p. 213 C Men. mon. 159. verbis ἐν πλησμονῇ τοι Κύπρις utitur Clemens Alex. Strom. III p. 514, eadem spectant Aristot. Probl. 10, 47 p. 896 a 24 Themistius Orat. XIII p. 164 B Gregor. Pal. Prosopop. p. 13 sq. cf. Antiphanes (Com. 3 p. 144) ap. Ath. I p. 28 F: ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν δὲ τοῖς κακῶς πράσσουσιν (πεινῶσιν malim) οὐκ ἔνεστιν Ἀφροδίτη βροτοῖς. Plut. de tuenda sanitate praec. c. 8 p. 126 C: οὐ γὰρ ἐν πλησμοναῖς Κύπρις, ἀλλὰ μᾶλλον ἐν εὐδίᾳ σαρκὸς καὶ γαλήνῃ. Plut. Quaest. natur. c. 21 p. 917 B: ὄντως 'ἐν πλησμοναῖς Κύπρις'. Aelianus N. A. 8, 1: τῆς Ἀφροδίτης ἐν πλησμονῇ καὶ ἐκεῖνοι μέμνηνται. Gnomol. cod. Vrbin. p. 432: ἐν πλησμονῇ μέγιστον ἡ Κύπρις κράτος (fort. κρατεῖ). πλησμονῇ] πλησμοναῖς Plut. p. 126 p. 917 Greg. Pal. τοι] γὰρ Schol. Theocr., μὲν Liban. πεινῶντι Ath. et Liban., πεινῶσι Prov. Mill. Schol. Soph. Schol. Theocr. Greg. Naz. Men. mon. versum ex satyris depromptum esse recte iudicat Fr. Leo Senecae trag. vol. 1 p. 175.

896

Βακχίου φιλανθέμου
Αἴθοπα πεπαίνοντ' ὀρχάτους ὀπωρινούς,
ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.

Ath. XI p. 465 B: διόπερ καὶ Εὐριπίδης ἕνα τῶν 'Ηλίου ἵππων φησὶν εἶναι 'Βακχίου — οἶνον αἴθοπα'. Eust. Il. p. 883, 62: λέγεται γάρ που Εὐριπίδης εἰπεῖν ἕνα εἶναι τῶν ἵππων 'Ηλίου 'Αἴθοπα — οἶνον αἴθοπα' (v. 2 et 3). v. 1 φιλανθέμου Schweighaeuser,

φιλανθέου A, φίλον θεοῦ Madvig Adv. crit. 3 p. 67. v. 2 αἰθίοπα A, αἴθοπα C. ὀαρχάτους A. v. 3 αἰθίοπα A.

897

παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς
πλεῖστον ὑπάρχει,
καὶ προσομιλεῖν οὗτος ὁ δαίμων
πάντων ἥδιστος ἔφυ θνητοῖς·
καὶ γὰρ ἄλυπον τέρψιν τιν' ἔχων 5
εἰς ἐλπίδ' ἄγει. τοῖς δ' ἀτελέστοις
τῶν τοῦδε πόνων μήτε συνείην
χωρίς τ' ἀγρίων ναίοιμι τρόπων.
τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν
μήποτε φεύγειν, 10
χρῆσθαι δ' ὀρθῶς, ὅταν ἔλθῃ.

Ath. XIII p. 561 A: ἐμνημόνευσαν τοῦ σκηνικοῦ φιλοσόφου Εὐριπίδου ᾀσμάτων, ὧν ἦν καὶ τάδε 'παίδευμα — ἔλθῃ'. v. 1 sq. σοφίας ἀρετῆς τ' ἐσθλὸν ὑπάρχει coniecit Heimsoeth, Σοφίας ἀρετῇ πλεῖστον προσέχει Wilamowitz-Moellendorff Herm. 15 p. 498, ὁσίας ἀρετῆς λῷστον ὑπάρχει F. G. Schmidt *Krit. Stud.* 2 p. 497. v. 2 ὑπάρχει Casaubonus, ὑπάρχειν A, μετέχει Cobet N. L. p. 554 et Coll. crit. p. 230, παρέχει Meineke Ath. vol. 4 p. 258. v. 4 aut ἥδιστος ἔφυ (deletis verbis πάντων et θνητοῖς) aut θνητοῖς πάντων ἥδιστος ἔφυ scripserim. v. 7 συνίην A. v. 8 νέοιμι A. v. 11 ὅταν ἔλθῃ dictum ut Hipp. 544, cf. Med. 630.

898

τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἣν οὐδ' ἂν εἴποις οὐδὲ μετρήσειας ἂν
ὅση πέφυκε κἀφ' ὅσον διέρχεται.
αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.
τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς, 5
ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ.
ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ·
ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο· 10
ὅταν δὲ συμμιχθῆτον ἐς ταὐτὸν δύο,
φύουσιν ἡμῖν πάντα καὶ τρέφουσ' ἅμα,
δι' ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος.

Ath. XIII p. 599 F: *τὰ Εὐριπίδου ἐπὶ νοῦν λαμβάνων λέγω* '*τὴν Ἀφροδίτην — γένος*'. Stob. Ecl. 1, 9, 1 p. 111, 11 sine lemmate: '*τὴν Ἀφροδίτην — γένος*'. v. 1 om. p. nom. affert Plut. Amator. c. 13 p. 756 E: *τὴν δ' Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;* v. 2 *ἣν*] *ἀλλ'* Stob. v. 3 om. p. nom. habet Plut. de virtute morali c. 4 p. 442 C. *καὶ ἐφ'* (*καί φ'* Stobaei F) *ὅσον* Ath. Plut. Stob. v. 6 spurium iudicat Th. Gomperz. v. 7 Aristot. Eth. Nic. 9, 2 p. 1155 b 3 (cf. Schol. Aristot. in Anecd. Paris. 1 p. 222, 10): *Εὐριπίδης μὲν φάσκων ἐρᾶν μὲν ὄμβρου γαῖαν ξηρανθεῖσαν,* '*ἐρᾶν δὲ σεμνὸν — γαῖαν*' (v. 9 et 10). Eth. M. 2, 11 p. 1208 b 16: *ἐρᾷ μὲν γάρ, φησίν, ὄμβρου γαῖα, ὅταν ξηρὸν πέδον.* ibid. p. 1210 a 14: *διὸ καὶ Εὐριπίδης* '*ἐρᾷ μὲν ὄμβρου γαῖα, ὅταν ξηρὸν πέδον*'. cf. Aristot. Eth. Eud. 8, 1 p. 1235 a 16: *ὅθεν εἴρηται* '*ἐρᾷ μὲν ὄμβρου γαῖα*'. Plut. Amator. c. 24 p. 770 A: *οὕτω γὰρ ἐρᾶν μὲν ὄμβρου γαῖαν οἱ ποιηταὶ λέγουσι καὶ γῆς οὐρανόν.* Marcus Anton. 10, 21: *ἐρᾷ μὲν ὄμβρου γαῖα, ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ, ἐρᾷ δὲ ὁ κόσμος ποιεῖν ὃ ἂν μέλλῃ γίνεσθαι.* Schol. Hes. Theog. 138: *Μένανδρος* '*ἐρᾷ μὲν ὄμβρων γαῖα*'. v. 7 *ὅταν* Aristot. et Stob., *ὅτε* Ath. v. 9—13 ex Athenaeo desumpsit Eust. Il. p. 978, 23. v. 11 *ἐς* Ath., *εἰς* Stob. v. 12 *φύουσιν ἡμῖν* Ath., *τίκτουσι μιν* (i. e. *τίκτουσιν ἡμῖν*) Stob. *καὶ τρέφουσ'*] *καὶ ἐκτρέφουσ'* Stob. verba *καὶ τρέφουσ' ἅμα* om. Eust. v. 13 *δι' ὧν* Ath., *ὅθεν καὶ* (*ὅθεν* P) Stob.

899

εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,
οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι,
σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.

Ath. XV p. 665 A: '*εἴ μοι — δοίη θεός*' (v. 1 et 2) *κατὰ τὸν πάνσοφον Εὐριπίδην, ἑταῖρε Τιμόκρατες, οὐκ ἂν δυναίμην ἀπομνημονεύειν ἔτι σοι τῶν πολλάκις λεχθέντων κτέ.* Eust. Il. p. 1301, 33: *καὶ δηλοῖ αὐτὸ καὶ Εὐριπίδης εἰπών* '*εἴ μοι, ἤγουν εἴθε μοι, τὸ Νεστόρειον εὔγλωττον — θεός*'. v. 3 et 4, quos Musgrave huc rettulit, servarunt Plut. de garrulit. c. 1 p. 502 C: *ὁ Εὐριπίδης καλῶς εἶπε πρὸς τὸν ἀσύνετον ἀκροατήν* '*οὐκ ἂν δυναίμην — λόγους*', et Stob. Flor. 4, 30 (quam eclogam praebet Trinc., om. SMA): *Εὐριπίδου.* '*οὐκ — λόγους*'. v. 1 fortasse *κεἴ μοι* legendum. *μέλος* vitiosum, *μέλι* coni. Barnes, *στόμα* Wecklein Mus. Rhen. 33 p. 121.

900

ὤφειλε δῆθεν, εἴπερ ἔστ' ἐν οὐρανῷ
Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι.

Athenagor. Suppl. pro Christ. c. 5 p. 22: *ὁ μὲν Εὐριπίδης ἐπὶ*

μὲν τῶν κατὰ κοινὴν ὑπόληψιν ἀνεπιστημόνως ὀνομαζομένων θεῶν διαπορῶν 'ὤφειλεν — καθιστάναι'. v. 1 ὤφειλε δ' εἴπερ ed., ὤφειλεν ἦδεν εἴπερ Bodl. 1 et 2 Aet., ut ait Otto, unde ὤφειλε δῆθεν εἴπερ scripsi: quamquam de meliorum librorum lectione nihil proditur. ὤφειλε δ' ⟨ὄντως⟩ εἴπερ coni. Valckenaer in Eur. Phoen. p. 31, ὤφειλε δ' εἴπερ ⟨ἐτεὸν⟩ Herwerden in Eur. Ion. p. 162. κρατῶν in fine versus suppleri volebat Meineke. v. 2 inter καθιστάναι et καθεστάναι libri fluctuant. δυστυχῆ καθεστάναι ⟨ἐᾶν ἐσαεί⟩ vel δυστυχεῖν ἐᾶν ἀεί coni. Th. Barthold, δυστυχῆ κτίζειν ἀεί Herwerden. alii τὸν αὐτὸν in suspicionem vocarunt, ac τὸν ἐσθλὸν coni. Gesner, τὸν ἀγαθὸν Wakefield Silv. crit. 4 p. 132. similem sententiam habemus in Eur. Phoen. 86: χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτῶν τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι.

901

πολλάκι μοι πραπίδων διῆλθε φροντίς,
εἴτε τύχα ⟨τις⟩ εἴτε δαίμων τὰ βρότεια κραίνει,
παρά τ' ἐλπίδα καὶ παρὰ δίκαν
τοὺς μὲν ἀπ' οἴκων δ' ἐναπίπτοντας
ἀτὰρ θεοῦ, τοὺς δ' εὐτυχοῦντας ἄγει. 5

Athenag. Suppl. pro Christ. c. 25 p. 132: 'πολλάκι — ἄγει'. ⟨εἰ⟩ τὸ (ita legendum esse vidit Alfr. Gercke Chrysipp. Lips. 1885 p. 27) παρ' ἐλπίδα καὶ δίκην εὖ πράττειν ἢ κακῶς ἐν ἀφασίᾳ τὸν Εὐριπίδην ἐποίησε, τίνος ἡ τοιαύτη τῶν περιγείων διοίκησις ἐν ᾗ εἴποι τις ἂν 'πῶς οὖν — χρώμεθα;' (adesp. fr. 99). v. 1 πολλάκις Bodl. 1 et 2. v. 2 τις addidit Matthiae. βρότεια Dechair, βιότια (Mon. βοιότια) libri. κρίνει malim. v. 3 παρὰ δ' ἐλπίδα coni. R. Methner progr. a. 1882 p. 15. καὶ παρὰ δόξαν Herwerden Exerc. crit. p. 68. v. 4 sq. τοὺς μὲν ἀπ' οἴκων καταπίπτοντας (vel ἀποπίπτοντας) ἄτερ θεοῦ coni. Gesner, τοὺς μὲν ἀπεῖδον καταπίπτοντας ἀπ' ἄκρου Methner, τοὺς μὲν ἀπ' ἄκρων καταπίπτοντας ὀρθοῖ θεός F. G. Schmidt *Krit. Stud.* 3 p. 38. οἴκων in ὄγκων mutari voluit Wecklein. v. 5 ἄτερ βίου Grotius. ἄγει] ἀεί Methner, αἱρεῖ F. G. Schmidt. ex Hippolyto velato locum petitum esse coni. A. Kalkmann de Hippolytis Eur. quaest. nov. p. 43. cf. adesp. fr. 482.

902

τὸν ἐσθλὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός,
κἂν μήποτ' ὄσσοις εἰσίδω, κρίνω φίλον.

Basilius Epist. 63 vol. 3 p. 156 D: 'τὸν σοφὸν ἄνδρα — φίλον', Εὐριπίδου ἐστὶ τοῦ τραγικοῦ λόγος. descripsit Basilii locum Iohannes Georgides in Boissonadi Anecd. vol. 1 p. 90: 'τὸν σοφὸν ἄνδρα —

φίλον'. Euripideam sententiam spectat Iamblichus de vita Pythag. c. 33 § 237: *ὥστ' ἐκ τῶν τοιῶνδε ἔργων μηδ' ἐκεῖνον τὸν λόγον ἀπιστεῖσθαι, ὡς ἄρ' οἱ σπουδαῖοι ἄνδρες καὶ προσωτάτω γῆς οἰκοῦντες φίλοι εἰσὶν ἀλλήλοις πρὶν ἢ γνώριμοί τε καὶ προσήγοροι γενέσθαι.* ubi in codice Florentino bibl. Laur. hoc adscriptum est scholion: '*τὸν ἐσθλὸν ἄνδρα — φίλον*'. adde Procop. Gaz. Epist. 154: *σοφὸς ἦν ὄντως ὁ ταῦτα δήπου φθεγξάμενος, ὡς ἄρα τὸν σοφόν, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήποθ' ὄσσοις εἰσίδω, κρίνω φίλον.* item Themist. p. 275 B: *ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μὲν ἀγαθὸν δὲ ἐπαινεῖ καὶ φίλον ἡγεῖται.* Cic. de nat. deorum 1, 44, 121: *quanto stoici melius, qui a vobis reprehenduntur; censent autem sapientes sapientibus etiam ignotis esse amicos: nihil est enim virtute amabilius, quam qui adeptus erit, ubicunque erit gentium a nobis diligetur.* v. 1 *τὸν σοφὸν ἄνδρα* Basil., unde *σοφὸν γὰρ ἄνδρα* coni. Porson Adv. p. 277, *τὸν ἐσθλὸν ἄνδρα* Schol. Iambl., quam lectionem confirmat Iulianus Epist. 76: *μὴ λίαν κοινὸν ᾖ προοίμιον τὸ 'τὸν ἐσθλὸν ἄνδρα'· τὰ δὲ ἐφεξῆς οἶσθα δήπουθεν, ἀλλὰ καὶ ἔχεις. οἶσθα μὲν γὰρ ἅτε λόγιος ὢν καὶ φιλόσοφος τὸ ἑπόμενον αὐτῷ, ἐμὲ δὲ ἔχεις φίλον, εἴπερ συνάμφω ἐσθλοί ἐσμεν.* quod enim Eust. Il. p. 800, 9 (Schol. Il. *K* 224 in Anecd. Paris. vol. 3 p. 87, 5) dicit, verba quae sunt *τὸν ἐσθλὸν ἄνδρα* ex Soph. Ai. 1352 ab Iuliano esse deprompta, Iulianei loci sententia refutatur. v. 2 *μήποτ' αὐτὸν ὄσσοις προσίδω* Basil., *μήποτε αὐτὸν ὀφθαλμοῖς ἴδω* Ioh. Georg., *μήποθ' ὄσσοις ἐσίδω* Procop., *μή τον* (vel *μή τόν*) *ὄσσοις εἰσίδω* Schol. Iambl. dubitari potest utrum *μήποτ' ὄσσοις* an secundum Schol. Iambl., ubi *μή τον* pro *μὴ αὐτὸν* scriptum videtur, *μή νιν ὄσσοις* praeferendum sit.

903

ἄφρων ἂν εἴην, εἰ τρέφοιν τὰ τῶν πέλας.

Choerob. in Theodos. p. 773, 19: *τὸ τρέφοιν, ὡς παρ' Εὐριπίδῃ 'ἄφρων — πέλας' — ἀπὸ τοῦ τρεφοίην κατὰ συγκοπὴν τοῦ Η.* eadem fere Etym. M. p. 764, 52 Anecd. Oxon. vol. 4 p. 204, 25 p. 424, 3. *ἐκτρέφων* coni. Valckenaer Diatr. p. 153.

904

ἀλλ' ἄκρας εὐηθίας
ἅπτοιτ' ἂν ὅστις τὴν φύσιν νικᾶν θέλει.

Choricius pro mimis 16, 10 editus in *Revue de philol.* 1 p. 242: *Εὐριπίδης μὲν γὰρ ὁ Σοφοκλέους τῇ τοῦ θεοῦ κρίσει σοφώτερος, μακρᾶς, φησίν, εὐθείας 'ἅπτοιτ' — θέλει'.* v. 1 *ἀλλ' ἄκρας* Tournier, *μακρᾶς* cod. *εὐηθίας* Graux, *εὐθείας* cod. v. 2 *θέλοι* frustra coni. Graux.

905

μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός.

Cic. ad fam. 13, 15, 2: *itaque ab Homeri magniloquentia confero me ad vera praecepta Εὐριπίδου· 'μισῶ — σοφός'.* eundem versum om. poetae nom. habent Plut. V. Alex. 53 de latenter vivendo c. 1, 1 p. 1128 B Lucian. Apol. 5 vol. 1 p. 712 Men. mon. 332 Anecd. Paris. vol. 4 p. 343, 21. imitatus est Ennius (Ribbeck. Trag. Rom. fr. p. 50): *qui ipse sibi prodesse non quit sapiens nequiquam sapit.* respicere videtur Maximus Tyrius XXI p. 409: *ἦν σοφὸς ὁ Ἡρακλῆς, ἀλλὰ οὐχ αὑτῷ σοφός.* item Plato Hipp. mai. p. 283 B: *πολλοῖς συνδοκεῖ ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ δεῖ σοφὸν εἶναι.*

906

ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον.

Cic. ad fam. 16, 8, 2: *'ψῦχος — πολεμιώτατον', inquit Euripides.*

907

κρέασι βοείοις χλωρὰ σῦκ' ἐπήσθιεν
ἄμουσ' ὑλακτῶν ὥστε βαρβάρῳ μαθεῖν.

Clemens Alex. Protr. p. 65: *Εὐριπίδης — ἐμμανῆ εἰσάγων Ἡρακλέα καὶ μεθύοντα ἀλλαχόθι καὶ ἄπληστον· πῶς γὰρ οὐχί; ὃς ἑστιώμενος τοῖς κρέασι 'χλωρὰ σῦκ' — μαθεῖν'.* v. 1 supplevit Musgrave ex Ath. VII p. 276 F: *λέγομεν οὖν ὀψοφάγους οὐ τοὺς βόεια ἐσθίοντας, οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά, οὐδὲ τὸν φιλόσυκον.* cf. Eust. Il. p. 867, 64: *ὀψοφάγοι ἐλέγοντο οἱ περὶ τὴν ἰχθυοπωλίαν ἀναστρεφόμενοι, οὐ μὴν οἱ βουθοῖναι καθ' Ἡρακλῆν, ὅς, φασί, τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά, οὐδὲ οἱ φιλόσυκοι.* Plut. Quaest. conv. 4, 4, 2 p. 667 F: *καὶ γὰρ ὀψοφάγους καὶ φιλόψους λέγομεν οὐχὶ τοὺς βοείοις χαίροντας ὥσπερ Ἡρακλῆς, ὃς τοῖς κρέασι χλωρὰ σῦκα ἔχων ἤσθιεν, οὐδὲ τὸν φιλόσυκον.* ubi pro *ἔχων ἤσθιεν* cum Meinekio in Ath. vol. 4 p. 120 leg. *ἐπήσθιεν*, pro *τοῖς κρέασι* malim *τοῖς βοείοις κρέασι.* Sylei locum esse probabiliter coni. Matthiae. v. 2 verba *ἄμουσ' ὑλακτῶν* de Hercule dicta recurrunt Alc. 760. *ὥστε βάρβαρος μέθῃ* coni. Maehly, *ὥστε βάρβαρος μόθων* Wecklein Mus. Rhen. 36 p. 143, *ὥς γε* (ita Herwerden Stud. crit. p. 47) *βαρβάρῳ 'ν ἔθει* F. G. Schmidt *Krit. Stud.* 2 p. 497.

908

τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς.
ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσιν

τίκτω; τεκοῦσα δ' ἢν μὲν ἄφρονας τέκω,
στένω ματαίως, εἰσορῶσα ⟨μὲν⟩ κακούς,
χρηστοὺς δ' ἀπολλῦσ'· ἢν δὲ καὶ σεσωσμένους, 5
τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ.
τί τοῦτο δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν
ψυχὴν ἀλύειν κἀπὶ τῆσδ' ἔχειν πόνους;

Clemens Alex. Str. III p. 520: *λέγει γὰρ ἡ τραγῳδία* '*τὸ μὴ — πόνους;*' Euripidis esse locum docet Stob. Flor. 120, 17: *Εὐριπίδου* (sic A, eclogam om. SM). '*τὸ μὴ — βροτοῖς*' (v. 1). v. 1 *κρεῖττον* Clemens. *βροτοῖς* Stob., *βροτούς* Clem. v. 2 *ἀλγηδόσι* vulgo. v. 3 *ἄρσενας τέκω* coni. Madvig Philol. 1 p. 676, *ἀφρόνως τύχω* F. G. Schmidt *Krit. Stud.* 2 p. 498. neutrum placet. v. 4 *ἐκτρέφουσα* coni. Kock Veri sim. p. 205 sq., *σῶς δρῶσα* F. G. Schmidt. *μὲν* addidit Sylburg, *νιν* malebat Enger Adnot. ad poetarum Gr. fr. p. 12. v. 5 *χρηστοὺς δ'* Sylburg, *χρηστούς τ'* L. *ἀπολλῦσ'* scripsi, *ἀπολύουσα* L. *ἢν δὲ καὶ*] *ἢν δ' ἔχω* F. G. Schmidt. *σεσωμένους* Wecklein. v. 6 *τήκει — ὀρρωδία* Herwerden Observ. crit. in fragm. com. Gr. p. 126. v. 8 *ἀλύειν* Bergk, *ἀπολύειν* L. *κἀπὶ τῆσδ'* Grotius, *κἀπεὶ τῆδε* L. locum esse ex Cresphonte petitum coni. Welcker.

909

οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,
ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνὴ
ἥτις ἀνδρὶ συντέτηκε σωφρονεῖν ἐπίσταται.
πρῶτα μέν γε τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,
χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ· 5
οὐ γὰρ ὀφθαλμὸς τὸ κρίνειν . . ἐστὶν ἀλλὰ νοῦς.
εὖ λέγειν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,
κἀκπονεῖν ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ τελεῖν.
ἡδὺ δ', ἢν κακὸν πάθῃ τι, συσκυθρωπάζειν πόσει
ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος . . . 10
σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι
καὶ κακῶν τῶν σῶν ξυνοίσω, κοὐδὲν ἔσται μοι πικρόν.

Clemens Alex. Strom. IV p. 620 sq.: *φίλανδρον μετὰ σεμνότητος ὑπογράφει γυναῖκα Εὐριπίδης παραινῶν* '*εὐλογεῖν — μέλλῃ λέγειν*' (v. 7 et 8). *καὶ αὖθίς που τούτοις τὰ ὅμοια* '*ἡδὺ δ' — ἔχειν μέρος*' (v. 9 et 10). *τό τε πρᾶον καὶ φιλόστοργον ὧδέ πως ὑποδεικνύων κἀν ταῖς συμφοραῖς ἐπιφέρει* '*σοὶ δ' — πικρόν*' (v. 11 et 12). *μετὰ γὰρ τῶν φίλων εὐτυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;* paulo post sequuntur haec p. 621: *χρὴ δὲ τὸν εὐδαίμονα γάμον*

οὔτε πλούτῳ ποτὲ οὔτε κάλλει κρίνεσθαι, ἀλλ' ἀρετῇ. 'οὐδεμίαν' φησὶν ἡ τραγῳδία 'ὤνησε κάλλος — ἐπίσταται' (v. 1—3)· εἶτα οἷον παραινέσεις διδοῦσα φησί 'πρῶτα μέν — νοῦς' (v. 4—6), καὶ τὰ ἐπὶ τούτοις. iustum ordinem horum versuum, quos manifestum est arcte inter se cohaerere, restituit Musgrave. v. 2 num Euripidis sit dubitat Dobree in Pors. Aristoph. add. p. 101. ἀρετὴ L. ἀγαθὴ] καλὴ coni. Musgrave, ego κεδνὴ malim. v. 3 ἥτις ἀνδρὶ συντέτηκε] ἀνδρὶ συντέτηκεν ἥτις Dobree. v. 4 πρῶτα μὲν γὰρ τοῦθ' ὑπάρχει Grotius, πρῶτον οὖν δὴ τοῦθ' ὁρᾶν δεῖ F. G. Schmidt *Krit. Stud.* 2 p. 499. v. 6 κρίνειν] κρῖνον Sylburg, quem plerique secuti sunt. τὸ ⟨μορφὴν⟩ κρινόν ἐστιν Grotius, τὸ ⟨ταῦτα⟩ κρινόν ἐστιν Musgrave, τὸ κρινόν ἐστι ⟨κάλλος⟩ G. A. Hirschig. τὸ κρινόν ἐστιν ἀλλ' ὁ νοῦς ⟨μόνος⟩ Duentzer Philol. 5 p. 191, τὸ κρινόν ἐστιν ἀλλὰ νοῦς ⟨τόδε⟩ Herwerden Obs. crit. in fragm. com. Gr. p. 126. ego τὸ κρίνειν ⟨δυνατόν⟩ ἐστιν ἀλλὰ νοῦς temptabam, τὸ κρίνειν ⟨ἱκανόν⟩ ἐστιν Heimsoeth, τὸ κρίνειν ⟨κύριος τάδ'⟩ ἀλλὰ νοῦς Wecklein *Stud. zu Eur.* p. 425. v. 7 εὖ λέγειν Sylburg, εὐλογεῖν L. κἂν μὴ ⟨εὖ⟩ λέγῃ Vitelli de Eur. El. p. 61, ego κἂν μὴ δοκῇ malim. v. 8 ἂν Dindorf, ἂν L. τελεῖν Wecklein, λέγειν L. v. 9 δὲ ἦν L. κακὸν πάθῃ τι scripsi, κακὸν πράξῃ τι L, κακόν τι πράξῃ Grotius. v. 10 τε λύπης Sylburg, λύπης τε L, τ' ἀεὶ τῆς F. G. Schmidt. v. 12 καὶ κάκ' εὔφρων σοι ξυνοίσω F. G. Schmidt. κοὐδὲν ἔσται Musgrave, καὶ οὐδέν ἐστι L. quae subicit Clemens, μετὰ γὰρ τῶν φίλων εὐτυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε, indigna Euripide iudicavit Dobree, qui εὐτυχεῖν ⟨δυστυχεῖν⟩ τε χρή probabiliter supplevit. Oedipi esse locum ex fr. 545 probabiliter collegit C. F. Hermann.

910

ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν,
μήτε πολιτῶν ἐπὶ πημοσύνην
μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν,
ἀλλ' ἀθανάτου καθορῶν φύσεως 5
κόσμον ἀγήρων, πῇ τε συνέστη
καὶ ὅπῃ καὶ ὅπως.
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέδημα προσίζει.

Clemens Alex. Str. IV p. 634 sine poetae nom.: 'ὄλβιος — προσίζει'. Themist. p. 307 D: καὶ αὗταί εἰσιν ἃς Εὐριπίδης ὁ σοφὸς οὔτε πολιτῶν φησὶν ἐπὶ πημοσύνας οὔτ' εἰς ἀδίκους πράξεις ὁρμᾶν, ἀλλ' ἀθανάτου καθορᾶν φύσιος κόσμον ἀγήρω. v. 1 τῆσδ' ἱστορίας

scribendum. v. 3 *πημοσύνην* Pierson Verisim. p. 128, *πημοσύνη* Clem., *πημοσύνας* Themist. v. 4 *πράξιας* vel *πρήξιας* Themistii libri. v. 4 et 5 *ὁρμᾶν* et *καθορᾶν* malim. v. 5 *φύσεως* Clem., *φύσιος* Themist. v. 6 cf. Pollux 2, 14: *καὶ Πλάτων τὸν ἀγήρω κόσμον, Εὐριπίδης δὲ κόσμον ἀγήρω* (verba *Εὐριπίδης — ἀγήρω* in Bekkeri editione desiderantur). *ἀγήρων* scripsi, *ἀγήρω* Clem. Themist. Poll. v. 7 *ὅπῃ* vitiosum, *ὅπου* coni. Meineke, *ὅθεν* Wilamowitz-Moellendorff de Antigono Caryst. p. 180. v. 9 *μελέδημα* scripsi, *μελέτημα* Clem.

911

χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ
καὶ τὰ σειρήνων πτερόεντα πέδιλα [ἁρμόζεται],
βάσομαί τ' εἰς αἰθέριον πόλον ἀρθεὶς
Ζηνὶ προσμείξων

Clemens Alex. Str. IV p. 642: *ὁ μὲν οὖν Εὐριπίδης 'χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ' φησί 'καὶ τὰ — προσμίξων.'* v. 1 respicit Plut. an seni gerenda sit res publ. c. 5 p. 786 D: *οὐ ταῖς Εὐριπίδου χρυσαῖς πτέρυξιν, ἀλλὰ τοῖς Πλατωνικοῖς ἐκείνοις καὶ οὐρανίοις πτεροῖς.* v. 2 *πτερόεντα* Grotius, *ἐρόεντα* L. *ἁρμόζεται* Clementis esse suspicor. v. 3 *εἰς* Bergk, *ἐς* L. *αἰθέριον πόλον ἀρθεὶς* Gomperz *Nachl.* p. 38, qui et alia exempla et Epigr. Kaib. 225, 3 affert, *αἰθέρα πολὺν ἀερθεὶς* L, *αἰθέρ' ἄπειρον ἀερθεὶς* Heimsoeth. v. 4 *προσμείξων* Gomperz, *προσμίξων* L.

912

σοὶ τῷ πάντων μεδέοντι χοὴν
πέλανόν τε φέρω, Ζεὺς εἴτ' Ἀίδης
ὀνομαζόμενος στέργεις· σὺ δέ μοι
θυσίαν ἄπυρον παγκαρπείας
δέξαι πλήρη προχυθεῖσαν. 5
σὺ γὰρ ἔν τε θεοῖς τοῖς οὐρανίδαις
σκῆπτρον τὸ Διὸς μεταχειρίζεις
χθονίων θ' Ἅιδῃ μετέχεις ἀρχῆς.
πέμψον δ' ἐς φῶς ψυχὰς ἐνέρων
τοῖς βουλομένοις ἄθλους προμαθεῖν 10
πόθεν ἔβλαστον, τίς ῥίζα κακῶν,
τίνα δεῖ μακάρων ἐκθυσαμένους
εὑρεῖν μόχθων ἀνάπαυλαν.

Clemens Alex. Strom. V p. 688: *πάνυ θαυμαστῶς ὁ ἐπὶ τῆς σκηνῆς φιλόσοφος Εὐριπίδης τοῖς προειρημένοις ἡμῖν συνῳδὸς διὰ*

τούτων εὑρίσκεται, πατέρα καὶ υἱὸν ἅμα οὐκ οἶδ' ὅπως αἰνισσόμενος '*σοὶ τῷ — προχυτίαν*' (v. 1—5). *ὁλοκάρπωμα γὰρ — ὁ Χριστός, καὶ ὅτι τὸν σωτῆρα αὐτὸν οὐκ εἰδὼς λέγει, σαφὲς ποιήσει ἐπάγων* '*σὺ γὰρ — ἀρχῆς*' (v. 6—8). *ἔπειτα ἄντικρυς λέγει* '*πέμψον — ἀνάπαυλαν*' (v. 9—13). v. 1 *χλόην* Bergk. v. 2 *φέρω* Grotius, *φέρων* L. *εἶθ' Ἅιδης* hoc loco aut v. 8 *χθονίων τ' Ἀίδῃ* scribendum censet Dindorf. v. 4 *ἄπυρον* Abresch Animadv. ad Aesch. p. 256, *ἄπορον* L. *παγκαρπείας* Grotius, *παγκαρπίας* L. v. 5 *προχυθεῖσαν* Valckenaer Diatr. p. 42, *προχυτίαν* L. v. 7 *μεταχειρίζεις* Herwerden Exerc. crit. p. 67, *μεταχειρίζων* L. v. 9 *πέμψον δ' ἐς φῶς ψυχὰς ἐνέρων* scripsi *Eur. Stud.* 2 p. 151 (cf. *Mélanges Gréco-Rom.* 3 p. 337 sq.), *πέμψον μὲν φῶς ψυχὰς ἀνέρων* L. v. 12 *τίνι* coni. Blaydes in Soph. El. 572 p. 296. Cretensibus locum adscribit Valckenaer.

913

τίς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ,
μετεωρολόγων δ' ἑκὰς ἔρριψεν
σκολιὰς ἀπάτας; ὧν ἀτηρὰ
γλῶσσ' εἰκοβολεῖ περὶ τῶν ἀφανῶν
οὐδὲν γνώμης μετέχουσα. 5

Clemens Alex. Strom. V p. 732: *ὁ τοίνυν μὴ πειθόμενος τῇ ἀληθείᾳ, διδασκαλίᾳ δὲ ἀνθρωπίνῃ τετυφωμένος δυσδαίμων ἄθλιός τε καὶ κατὰ τὸν Εὐριπίδην* '*ὃς τάδε λεύσσων — μετέχουσα*'. v. 1 *τίς* Cobet *Λογ. Ἑρμ.* vol. 1 p. 451 sive Coll. crit. p. 231, *ὃς* L. *λεύσσων* Sylburg, *λεύσων* L. *νοέει* L. v. 2 *μετεωροπόλων* malim, cf. Hesych. 3 p. 99: *μετεωροπόλων· τῶν τὰ οὐράνια σκοπούντων.* *δ'*] *θ'* Wagner. v. 3 sq. *ἀτηρὰ γλῶσσ'* Potter, *ἀτειρὰ γλῶσσα* L.

914

κακὸν γυναῖκα πρὸς νέον ζεῦξαι νέαν·
ὃ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν,
ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα βουλεύει κακά.

Clemens Alex. Strom. VI p. 740: *Ἐπιχάρμου τε εἰπόντος — Εὐριπίδης γράφει* '*κακὸν γυναῖκα — βουλεύει κακά*'. v. 1 manifesto vitiosus consentit propemodum cum Eur. fr. 24, 1. videtur Clemens vel auctor quem ipse secutus est diversos locos confudisse. *γραῖαν γυναῖκα πρὸς νέον ζεῦξαι κακόν* coni. Scaliger.

915

νικᾷ δὲ χρεία μ' ἡ κακῶς τ' ὀλουμένη
γαστήρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά.

Clemens Alex. Strom. VI p. 743: πρὸς τούτοις Ὁμήρου λέγοντος 'γαστέρα δ' — δίδωσιν' (Od. ρ 286 sq.) Εὐριπίδης ποιεῖ 'νικᾷ δὲ — κακά'. Diphilus (Com. vol. 4 p. 402) ap. Ath. X p. 422 B: εὖ γ' ὁ κατάχρυσος εἶπε πόλλ' Εὐριπίδης, 'νικᾷ δὲ χρεία μ' ἡ ταλαίπ·ρός τέ μου γαστήρ'· ταλαιπωρότερον οὐδέν ἐστι γὰρ γαστρός. v. 1 μ' ἡ κακῶς τ' ὀλουμένη Casaubonus Animadv. in Ath. X c. 5 p. 451, μὲν κακῶς τε οὐλομένη L. v. 2 γίνεται L.

916

ὦ πολύμοχθος βιοτὴ θνητοῖς,
ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι,
καὶ τὰ μὲν αὔξεις, τὰ δ' ἀποφθινύθεις·
κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς
εἰς ὅντινα χρὴ κέλσαι θνητοῖς, 5
πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν
θανάτου πεμφθεῖσα τελευτή.

Clemens Alex. Strom. VI p. 744: αὖθις Εὐριπίδου εἰπόντος 'ὦ πολύμοχθος — τελευτή' Δίφιλος γράφει 'οὐκ ἔστι' κτέ. v. 1 βιοτὴ scripsi, βίωτα L, βιωτὰ V. v. 4 κοὐκ Grotius, καὶ οὐκ L. ἔσθ' ὅρμος F. G. Schmidt *Krit. Stud.* 2 p. 500. οὐδεὶς Grotius, οὐδὲ εἷς L. v. 5 κέλσαι Herwerden Mnem. nov. 5 p. 46, τελέσαι L. θνητούς Grotius.

917

ὅσοι δ' ἰατρεύειν καλῶς,
πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν
τὴν γῆν ἰδόντας τὰς νόσους σκοπεῖν χρεών.

Clemens Alex. Strom. VI p. 749: ἀλλὰ καὶ τοῦ ἰατροῦ Ἱπποκράτους 'ἐπιβλέπειν οὖν καὶ ὥρην καὶ χώρην καὶ ἡλικίην καὶ νούσους' γράφοντος Εὐριπίδης ἐν ἑξαμέτρῳ τηρήσει (χρήσει Hemsterhuys, τινὶ ῥήσει I. Bywater *Journal of philol.* 4 p. 215) φησὶν 'ὅσοι δ' — χρεών'. v. 1 ὅσοι νόσους θέλουσιν ἰᾶσθαι καλῶς coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 500 sq. v. 2 εἰς τὰς F. G. Schmidt. v. 3 καὶ γῇ Grotius, τὴν γῆν ⟨τ'⟩ Valckenaer Diatr. p. 245. τὰς φύσεις F. G. Schmidt.

918

πρὸς ταῦθ' ὅτι χρὴ καὶ παλαμάσθων
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθων·
τὸ γὰρ εὖ μετ' ἐμοῦ

καὶ τὸ δίκαιον ξύμμαχον ἔσται,
κοὐ μή ποθ' ἁλῶ κακὰ πράσσων. 5

Clemens Alex. Strom. VI p. 797: *καί μοι δοκῶ κομπώδους μὲν εἶναι ψυχῆς καύχημα, πλὴν εὐσυνειδήτου, ἐπιφθέγγεσθαι τοῖς κατὰ περίστασιν συμβαίνουσι 'πρὸς ταῦθ' — πράσσων'* (v. 1 et 3—5). omisso poetae nomine v. 1—5 apponit Suid. v. *παλαμᾶσθαι*, v. 1—3 Cic. ad Att. 8, 8, 2, v. 3 Cic. ad Att. 6, 1, 8, verba *τὸ γὰρ εὖ — δίκαιον* (v. 3 sq.) Marcus Anton. 7, 42. Euripideos esse versus docet Suidas v. *ἁλωτόν*: *καὶ Εὐριπίδης 'οὐ μή ποθ' ἁλῶ κακὰ πράσσων'* (v. 5). parodia locum expressit Ar. Ach. 659: *πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω· τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἔσται, κοὐ μή ποθ' ἁλῶ περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος δειλὸς καὶ λακαταπύγων.* v. 1 *παλαμάσθων* Cic., *παλαμᾶσθαι* Clemens, *παλαμώσθων* malim. v. 2 *πᾶν* Aristoph., *πάντ'* plerique Ciceronis libri. *τεκταινόσθων* malim. v. 4 *σύμμαχον* Clem. v. 5 *καὶ οὐ μή ποτε ἁλῶ καλὰ πράσσων* Clem. ex Telepho locum esse petitum coni. Bergk de com. ant. p. 135, cf. Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. der Wissensch. zu München* 1878 II p. 221 sq.

919

κορυφὴ δὲ θεῶν ὁ πέριξ χθόν' ἔχων
φαεννὸς αἰθήρ

Cornutus Theol. Gr. comp. c. 20 p. 35, 15: *'κορυφὴ δὲ θεῶν' κατὰ τὸν Εὐριπίδην 'ὁ — αἰθήρ'.* v. 1 *πέριξ* Meineke, *περὶ* libri. *χθόνα* (pauci *χθόνης* vel *χθονὸς*) libri. v. 2 *φαεννὸς* vel *φαεινὸς* libri, *φαίδιμος* coni. Bothe, *φαέθων* Maehly, *νήνεμος* anonymus (ut ait Dindorf) in *Foreign review and continental miscellany* fasc. 10 p. 238.

920

ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.

Cyrillus de trinit. dial. II vol. V, 1 p. 456 A: *τοῖς δὲ τὸ ἀνθ' ὅτου λέγουσιν ἔν γε τουτοισὶ σοφὸν ὑπειπεῖν τό τισιν ὑμνούμενον 'ἡ φύσις — μέλει'.* Aelianus N. A. 4, 54: *Ὅμηρος μὲν οὖν ἔδωκεν ἵππῳ φωνήν, ἀσπίδι δὲ ἡ φύσις, ᾗ νόμων οὐδὲν μέλει, φησὶν Εὐριπίδης.* ibid. 9, 1: *διδάσκει δὲ ἡ φύσις, ᾗ νόμων [ἀνθρωπικῶν] οὐδὲν μέλει.* Sextus Empir. p. 576, 12: *οὐχ ἡμᾶς αἰτιᾶσθαι δεῖ, ἀλλὰ τὴν φύσιν, ᾗ νόμων οὐδὲν μέλει.* Aristaen. 2, 5 p. 161: *τῆς φύσεως βουλομένης, ᾗ νόμων, ὡς ἔοικεν, οὐδὲν μέλει.* adde parodiam Anaxandr. Com. 3 p. 200 ap. Aristot. Eth. Nic. 7, 11 p. 1152 a 23: *ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.* de auctore versus errat Schol. Greg. Naz. ed. Piccol. *Estratti ined. dai cod. gr. della bibl. Medicco-Laur.* p. 21:

= Menand. Epitr. 689 Willium

ἧς, φύσεως, οὐδὲν βιαιότερον. καὶ παρὰ τῇ νέᾳ κωμῳδίᾳ ‘ἡ φύσις ἐβούλετο, ᾗ νόμων οὐδὲν μέλει’.

921

ἀωρὶ πόντου κύματ' εὐρέος περᾷ . . .
σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν

Dio Chr. 64, 9: εἶτα Εὐριπίδης τὸν ναύτην μέμφεται, ἀωρὶ πόντου κύματ' εὐρέος περῶντα· καὶ διὰ τῶν ἑξῆς ἐπιτιμᾷ λέγων ὅτι σμικραῖς ἐπιτρέπουσιν αὑτοὺς ἐλπίσιν. ὦ παῖ Μνησαρχίδου, ποιητὴς μὲν ἦσθα, σοφὸς δὲ οὐδαμῶς. οὔτε γὰρ πίττῃ τὴν ψυχὴν οὔτε σχοινίοις ἐπιτρέπουσιν οὔτε τριδάκτυλον αὐτοὺς σῴζει ξύλον πεύκινον, ἀλλ' ἐπέτρεψαν βεβαίῳ καὶ μεγάλῳ πράγματι, τῇ τύχῃ. v. 1 restituit Matthiae, sed incertum utrum περᾷ an περῶν Euripides dixerit. κύμαθ' οἳ περῶσ' ἔπι malit F. G. Schmidt *Krit. Stud.* 2 p. 501. v. 2 correxit Porson, σμικραῖσιν αὐτοὺς Meineke. verba τριδάκτυλον αὐτοὺς σῴζει ξύλον πεύκινον ex Euripide desumpta esse non videntur.

922

τίς τοὐμὸν ὄνομα τοὐπονείδιστον βροτοῖς
οὐκ οἶδε Λαμίας τῆς Λιβυστικῆς γένος;

Diod. Sic. 20, 41, 6: ὅτι δὲ κατὰ τὴν Λιβύην γέγονεν αὕτη (Lamia) καὶ τὸν Εὐριπίδην δεῖξαι τις ἂν μαρτυροῦντα· λέγει γὰρ ‘τίς — γένος;’ v. 1 τοὐμὸν ὄνομα τοὐπονείδιστον Meineke, τοὔνομα τὸ ἐπονείδιστον libri, τοὔνομ' αὐτὸ τοὐπονείδιστον Alexandre Orac. Sibyll. ed. pr. vol. 2 p. 76. v. 2 Λιγυστικῆς libri non nulli. locus ad Lamiam olim relatus est, qua de fabula diximus p. 506 sq.

923

οὐκ ἐγγυῶμαι, ζημίαν φιλεγγύων
σκοπῶν· τὰ Πυθοῖ δ' οὐκ ἐᾷ με γράμματα.

Diod. Sic. 9, 9, 4 (sive exc. Vat. p. 20) de proverbio ‘ἐγγύα πάρα δ' ἄτα’ disputans: καὶ Εὐριπίδης ‘οὐκ ἐγγυῶμαι — γράμματα’. v. 1 sq. ζημίαν φιλεγγύων σκοπῶν Herwerden Spicil. Vat. p. 24, ζημία φιλέγγυον σκοπεῖν cod. v. 2 με Matthiae, τὰ cod.

924

μή μοι λεπτῶν θίγγανε μύθων, ψυχή·
τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις
σεμνύνεσθαι παρ' ὁμοίοις.

Dionys. de comp. verb. c. 4 vol. 5 p. 25 (p. 54 Schaef.): καλῶς

ἂν ἔχοι τὰ Εὐριπίδεια ταῦτα ἐπενεγκεῖν 'μή μοι — ὁμοίοις'. v. 1 ψυχή del. Bernhardy, ⟨μή μοι,⟩ ψυχή coni. Elmsley in Eur. Med. p. 242. v. 3 παρανοίαις Bernhardy in Erschii et Gruberi Encyclop. I vol. 39 p. 154.

925

Eratosth. Catast. 13 de Erichthonio: *λέγει δὲ καὶ Εὐριπίδης περὶ τῆς γενέσεως αὐτοῦ τὸν τρόπον τοῦτον· Ἥφαιστον ἐρασθέντα Ἀθηνᾶς βούλεσθαι αὐτῇ μιγῆναι· τῆς δὲ ἀποστρεφομένης καὶ τὴν παρθενίαν μᾶλλον αἱρουμένης ἔν τινι τόπῳ τῆς Ἀττικῆς κρύπτεσθαι, ὃν λέγουσι καὶ ἀπ' ἐκείνου προσαγορευθῆναι Ἡφαιστεῖον* (sic Matthiae, *Ἥφαιστον* libri). *ὃς* (l. *ὃ δὲ*) *δόξας αὐτὴν κρατήσειν καὶ ἐπιθέμενος πληγεὶς ὑπ' αὐτῆς τῷ δόρατι ἀφῆκε τὴν ἐπιθυμίαν, φερομένης εἰς τὴν γῆν τῆς σπορᾶς· ἐξ ἧς γεγενῆσθαι λέγουσι παῖδα, ὃς ἐκ τούτου Ἐριχθόνιος ἐκλήθη. καὶ αὐξηθεὶς τοῦθ' εὗρε καὶ ἐθαυμάσθη ἀγωνιστὴς γενόμενος.* similiter Hyginus Poet. astr. 2, 13 p. 446: *de cuius progenie Euripides ita dicit: Vulcanum Minervae pulcritudine corporis inductum petiisse ab ea ut sibi nuberet neque impetrasse, et coepisse Minervam sese occultare in eo loco qui propter Vulcani amorem Hephaestius est adpellatus. quo persecutum Vulcanum ferunt coepisse ei vim adferre* et q. s. Schol. Germ. Caes. Arat. p. 73, 6: *Euripides refert Vulcanum Minervam dilexisse et quae secuntur, dum Erichthonius nasceretur.* ceterum Eratosth. eodem in capite haec habet, *θαυμάσας ὅτι τῇ τοῦ ἡλίου ἀντίμιμον ἐποιήσατο διφρείαν*, et Aristoph. Thesm. 17 Euripidem facit dicentem '*ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ*'. coniunctis his locis van de Sande Bakhuyzen de parodia in com. Ar. p. 110 suspicatus est Euripidem alicubi scripsisse

ἀντίμιμον ἡλίου δίφρῳ.

speciosa est ista coniectura nec tamen satis certa, cum *ἀντίμιμος* adiectivum noviciis scriptoribus admodum sit familiare.

926

γλώσσῃ διαψαίρουσα μυκτήρων πόρους

Etym. M. p. 272, 1: *διαψαίρουσι — Εὐριπίδης ἐπὶ τοῦ καθαίρειν κέχρηται τῇ λέξει, οἷον 'γλώσσῃ — τόπους'.* eadem fere Zon. Lex. v. *διαψαίρουσα* p. 536. *τόπους* om. codex Voss., *πόρους* restituit Valckenaer in Eur. Phoen. 1399. ex Bellerophonte versum esse deprompsum coni. Naber Mnem. nov. 4 p. 348.

927

ἔνδον γυναικῶν καὶ παρ' οἰκέταις λόγος

Eust. Il. p. 566, 14 de v. *οἰκέτης*: *παράγει δὲ αὐτὸς* (sc. Aristo-

phanes grammaticus) *καὶ παροιμίαν ἐξ Εὐριπίδου λέγουσαν 'ἔνδον — λόγος'. οἰκέτας* Eust., *οἰκέταις* Valckenaer Diatr. p. 4.

928

οὐ γὰρ ἀσφαλὲς
περαιτέρω τὸ κάλλος ἢ μέσον λαβεῖν.

Galenus vol. 1 p. 16: *τῷ γήρᾳ λοιδοροῦνται δέον ἑαυτοῖς, καὶ τὸν Εὐριπίδην ἐπαινοῦσι λέγοντα 'οὐ γὰρ ἀφελὲς εἶναι περαιτέρω τὸ κάλλος ἢ μέσῳ λαβεῖν'.* v. 1 *οὐ γὰρ ἀσφαλὲς* Grotius. v. 2 *μέσως* vel *μέσον* Valckenaer Diatr. p. 249.

929

ἑῷος ἡνίχ' ἱππότης ἐξέλαμψεν ἀστήρ

Hephaest. p. 98 (Schol. Ar. Eq. 756): *τὸ καλούμενον Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, οἷον παρὰ μὲν αὐτῷ Εὐριπίδῃ 'ἑῷος — ἀστήρ'. ἱππότης* Schol. Ar., *ἱππότας* Hephaest.

930

οἴμοι, δράκων μου γίγνεται τὸ ἥμισυ·
τέκνον, περιπλάκηθι τῷ λοιπῷ πατρί.

Hermog. in Rhet. vol. 3 p. 180: *γίνεται δὲ τὸ κακόζηλον κατὰ τὸ εὐτελὲς πολλάκις, ὡς ἐκεῖνο 'οἴμοι — ἥμισυ'.* mox ibidem: *τὰ εὐτελῶς εἰρημένα ἡ σεμνότης διορθοῦται, ὡς παρὰ τῷ Εὐριπίδῃ 'οἴμοι — ἥμισυ'. τοῦτο γὰρ κοινῶς καὶ εὐτελῶς εἰπὼν ἐθεράπευσε τῇ ἐπιφορᾷ 'τέκνον — πατρί'.* v. 1 *γίνεται* ed. *τό γ' ἥμισυ* Barnes, *τὸ πρὸς ποδῶν* Herwerden Adnot. crit. et exeg. ad Eur. 1 p. 31, ego *τόδ' ἥμισυ* temptabam. locum e Cadmo petitum esse coni. Valckenaer Diatr. p. 12, ad Erechthei clausulam refert Wilamowitz-Moellendorff *Aus Kydathen* p. 141 et 228. falsum videtur quod tradit Schol. Hermog. in Rhet. vol. 7 p. 853: *περὶ Κέκροπος ὁ λόγος εἰς δράκοντα μεταβαλλομένου.* et ibid.: *ἀσυνεσία γάρ τις τὸ λέγειν τὸν Κέκροπα ὅτι δράκων μου γέγονε τὸ ἥμισυ.*

931

λωτίνας ἀηδόνας

Hesych. 1 p. 60: *ἀηδόνα· γλωσσίδα, μεταφορικῶς Εὐριπίδης Οἰδίποδι. καὶ τοὺς αὐλοὺς δὲ 'λωτίνας* (*λοτίνας* cod.) *ἀηδόνας' που ἔφη.* Hesych. 3 p. 60: *λωτίνας ἀηδόνας· τοὺς αὐλούς.* Anecd. Bekk. p. 349, 3: *ἀηδόνα· ἔστι μὲν ἡ ὄρνις, ἐκ μεταφορᾶς δὲ οἱ τραγικοὶ τὴν γλωσσίδα τῶν βοῶν* (l. *τῶν αὐλῶν* cum Ruhnkenio in Hesych.

ed. Alb. vol. 2 p. IX), ἔστι δὲ ὅπου καὶ τὸν αὐλόν. ἡ λέξις Διδύμου. parum probabile videtur quod M. Schmidt Mus. Rhen. 20 p. 464 coniecit spectari Eur. Hel. 170, cui loco medicinam admovit violentam.

932

Αἰγυπτία ἐμπολή

Hesych. 1 p. 71: *Αἰγυπτία ἐμπολή* (*ἐν πολλῇ* cod.)· *ὁ ῥῶπος* (*ὅρωπος* cod.) *καὶ τὰ ἐκεῖθεν φορτία, ὡς Εὐριπίδης*. expectes *Αἰγιναία ἐμπολή* secundum Strab. VIII p. 376: *Ἔφορος δ' ἐν Αἰγίνῃ ἄργυρον πρῶτον κοπῆναι φησὶν ὑπὸ Φείδωνος· ἐμπόριον γὰρ γενέσθαι, διὰ τὴν λυπρότητα τῆς χώρας τῶν ἀνθρώπων θαλαττουργούντων ἐμπορικῶς, ἀφ' οὗ τὸν ῥῶπον Αἰγιναίαν ἐμπολὴν λέγεσθαι.* Prov. app. 1, 7: *Αἰγαῖαν ἐμβολήν· ἐπὶ τῶν εὐτελῶν φορτίων.*

933

βάσκανον μέγιστον ψυχαγωγόν

Lex. Vindob. Ψ 6 p. 195, 3: *ψυχαγωγὸς ὁ ἀνδραποδιστής. Εὐριπίδης* '*βάσκανον μέγιστον ψυχαγωγόν*'. Euripidis mentionem olim rettuli ad Alc. 1128: *οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.* utique quae nunc habemus tragico poeta indigna sunt. erunt fortasse qui huc referant Etym. M. p. 190, 23: *βάσκανος — ὁ φθονερὸς καὶ βλαβερός. οὕτως Ἀριστοφάνης.* [*οὕτως Εὐριπίδης.*] *Φερεκράτης δὲ ἐπὶ τοῦ λυπηροῦ.* at *οὕτως Εὐριπίδης* verba recte, ut opinor, omittit codex Voss.

934

νοῦν ἔχοντος ⟨ἦν ἄρα⟩
φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ.

Liban. Epist. 487: *ἐπαινῶν Εὐριπίδην λέγοντα νοῦν ἔχοντος εἶναι* '*φίλον — σαφῆ*'. v. 1 *ἦν ἄρα* probabiliter Porson. Theodorus Hyrt. Epist. 81 in *Notices et Extr.* VI p. 40: *Εὐριπίδης ὁ τραγικὸς δίκαιον εἶναι φησὶ πολλῶν σαφῆ φίλον πρίασθαι χρημάτων.*

935

ἀλλ' ὦ φίλιπποι Τρῶες

Longinus de subl. c. 15, 4: *ὅμοια καὶ τὰ ἐπὶ τῆς Κασσάνδρας αὐτῷ* (Euripidi) '*ἀλλ' — Τρῶες*'. ex Alexandro Euripidis haec verba petita esse coni. Welcker Tragod. p. 475, aliam suspicionem Vateri commemoravimus in Soph. fr. 775.

936

οὐκ· ἀλλ' ἔτ' ἔμπνουν Ἅιδης μ' ἐδέξατο.

Lucian. Necyom. 2 vol. 1 p. 456: ΦΙΛ. *Ἡράκλεις, ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών· κᾆτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν.* MEN. '*οὐκ — ἐδέξατο*'. Euripidis versum esse docet loci nexus, ex Pirithoo probabiliter repetit Welcker Trag. p. 591.

937

μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.

Lucian. Pisc. 3 vol. 1 p. 573: *ἐπὶ τὸν Εὐριπίδην δή μοι καταφευκτέον· τάχα γὰρ ἂν ἐκεῖνος ἐκσώσειέ με.* '*μὴ — κτανεῖν*'.

938

νῦν οὖν ἕκατι ῥημάτων κτενεῖτέ με;

Lucian. Pisc. 3 vol. 1 p. 573: ΠΛΑΤ. *τί δέ; οὐχὶ κἀκεῖνα Εὐριπίδου ἐστίν; οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους* (Eur. Or. 413); ΛΟΥΚ. '*νῦν — με;*' *ῥημάτων*] *ῥήματος* malim. *κτείνετέ με* libri, *κτενεῖτέ με* Guyet. Euripideum esse versum e praegressis verbis patet.

939

ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα

Lucian. Iov. trag. 1 vol. 2 p. 643, vide fr. 940. ex Luciano hunc versum sumpsit Theodorus Prodr. in *Notices et Extr.* VIII, 2 p. 143. *παιδεύματα*] *γεννήματα* (vel *τεκνώματα*) coni. Fritzsche.

940

τί δ' ἔστι; πρὸς χορὸν γὰρ οἰκείων ἐρεῖς.

Lucian. Iov. trag. 2 vol. 2 p. 643: ΖΕΥΣ. *ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα, σύ τ' ὦ Προμηθεῦ, οἷά μ' εἴργασαι κακά.* ΑΘΗΝ. *τί δ' ἔστι; πρὸς χορὸν γὰρ οἰκείων ἐρεῖς.* ΖΕΥΣ. *ὦ μεγαλοσμαράγου στεροπᾶς ῥοῖζημα, τί ῥέξεις;* ΗΡΑ. *κοίμισον ὀργάν, εἰ μὴ — τὸν Εὐριπίδην ὅλον καταπεπώκαμεν ὥστε σοι ὑποδραματουργεῖν.* non dubitavi ex hoc loco duos Euripideos versus acquirere. cf. Schol. Luciani p. 242: *μεμνήμεθα γὰρ καὶ αὐτοί, καὶ τοῦτο· δὴ τὸ τῶν τραγῳδῶν* '*πρὸς οἰκεῖον χορὸν ἐρεῖς*'.

941

ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

Lucianus Iov. trag. 41 vol. 2 p. 689: ἄκουσον αὐτοῦ (sc. Εὐριπίδου) τότε παρρησιαζομένου 'ὁρᾷς — θεόν'. eosdem versus habent Stob. Ecl. 1, 1, 2 p. 23, 8 Heraclit. Alleg. Hom. c. 23 p. 49 Anonymus de Arati interpr. in Petavii Vranol. p. 273 E Athenag. Suppl. pro Christ. c. 5 p. 24 Clem. Alex. Strom. V p. 717 (Euseb. P. E. XIII p. 681 A) Tzetz. Exeg. Il. p. 53, 2 (cf. p. 68, 4), item graviter corruptos Probus in Verg. Ecl. 6, 31 p. 11, 8. v. 1 et 2 afferunt Plut. de exilio c. 5 p. 601 A ad principem ineruditum c. 3 p. 780 D Quaest. nat. 29, 2 p. 919 B et Clem. Alex. Protr. p. 21, cf. Schol. B Il. Ξ 200 p. 51, 15. v. 3 respiciunt Lucianus Philop. c. 12 vol. 3 p. 597 et Clemens Alex. Protr. p. 63. Latine locum interpretatur Cicero de nat. deorum 2, 25, 65: *Euripides autem ut multa praeclare, sic hoc breviter*:

> *vides sublime fusum immoderatum aethera,*
> *qui tenero terram circumiectu amplectitur?*
> *hunc summum habeto divum, hunc perhibeto Iovem.*

Antiopae esse fragmentum conclusit Schneidewin ex Probo in Vergil. Ecl. 6, 31 p. 21, 6 (cf. quae diximus in fr. 225). Ennius in Ribbeck. Trag. Rom. fragm. p. 58: *aspice hoc sublime candens, quem invocant omnes Iovem.* Pacuvius ibid. p. 87: *hoc vide, circum supraque quod complexu continet terram.* v. 2 καὶ γῆν] τὸν γῆν Musgrave, γαῖαν Schneidewin, τὴν γῆν Herwerden Exerc. crit. p. 64. πέριξ ἔχοντα γῆν Vitelli de Eur. El. p. 87. ὑγραῖσιν ἀγκάλαις Schol. B Il., ὑγραῖς ἀγκάλαις Tzetz. Exeg. Il. p. 53.

942

Ioh. Lydus de mens. 4, 62 p. 94, 10: οὐδὲν γὰρ ἀσφαλὲς οὐδὲ κεκριμένον ἐστὶν ἐπὶ τῆς τύχης, ὡς Εὐριπίδης φησίν. fortasse respicitur Eur. Alc. 785: τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται, κἄστ' οὐ διδακτὸν οὐδ' ἁλίσκεται τέχνῃ.

943

> *πυριγενὴς δὲ δράκων ὁδὸν ἡγεῖται [ταῖς] τετραμόρφοις*
> *ὥραις ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα.*

Macrob. Sat. 1, 17, 59: *solis meatus — iter suum velut flexum draconis involvit, unde Euripides* 'πυριγενὴς δὲ δράκων ΟΛΟΝ ἡγεῖται ταῖς τετραμόρφοις ὥραις ΖΕΥΓΗΙC ΑΡΜΟΝΙΑΙΠΑΟΥΚΑΡΠΟΝ ὄχημα'. ita fere P. v. 1 πυριγενὴς producta prima syllaba etiam Ausonius Epigr. 49 p. 331 P. dixit, πυργενέτης coni. H. Wolf Anal. Aesch. (diss. Bonn. a. 1881) p. 18, πυρσογενὴς vel πυρσόγενυς Herwerden Mnem. nov. 12 p. 316 sq. ταῖς del. Barnes. ad Pirithoum hos versus referri voluit Musgrave, quos alienos ab Euripide rectius existimat Lobeck Aglaoph. p. 463.

944

καὶ Γαῖα μῆτερ· Ἑστίαν δέ σ' οἱ σοφοὶ
βροτῶν καλοῦσιν ἡμένην ἐν αἰθέρι.

Macrob. Saturn. 1, 23, 8: *haec sola* (sc. Ἑστία), *quam terram esse accipimus, manet immobilis intra domum deorum, id est intra mundum, ut ait Euripides* 'καὶ — αἰθέρι'. Theol. Arithm. p. 7 Ast.: *καὶ δὴ Εὐριπίδης ὡς Ἀναξαγόρου γενόμενος μαθητὴς οὕτω τῆς γῆς μέμνηται* 'ἑστίαν δέ γε (l. σε) οἱ σοφοὶ βροτῶν νομίζουσιν' (f. ὀνομάζουσιν). v. 1 Ἑστίαν δ' ὅσοι σοφοὶ coni. Dobree Adv. 2 p. 128.

945

ἀεί τι καινὸν ἡμέρα παιδεύεται.

Orion Flor. 8, 1 p. 52, 25: *Εὐριπίδου.* 'ἀεὶ τί — παιδεύεται'. cf. Posidipp. Com. vol. 4 p. 519: *ἡ δ' ἡμέρα ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.*

946

εὖ ἴσθ', ὅταν τις εὐσεβῶν θύῃ θεοῖς,
κἂν μικρὰ θύῃ, τυγχάνει σωτηρίας.

Orion Flor. Eurip. 2 p. 55, 20: 'εὖ — σωτηρίας'. v. 1 σάφ' ἴσθ' malim. θύει codex.

947

ἦ πολλὰ καὶ δύσγνωστα βουλεύει θεός.

Orion Flor. Eurip. 3 p. 55, 23: 'ἦ — θεός'. δύσγνωτα expectes.

948

θεοὺς ἀρέσκου· πᾶν γὰρ ἐκ θεῶν τέλος.

Orion Flor. Eurip. 6 p. 55, 32: 'θεοῖς — τέλος'. θεοῖς cod., θεοὺς scripsi.

949

καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν

Orion Flor. Eurip. 10 p. 56, 15: 'καὶ — νέμειν'. idem versus cum Eur. Heracl. 297 et 298 coniunctus extat in Stob. Flor. 79, 3: *ἐν ταὐτῷ* (sc. Εὐρ. Ἡρακλείδαις). 'οὐκ ἔστι παισὶ τοῦδε κάλλιον γέρας ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν'. cf. Wilamowitz-Moellendorff Herm. 17 p. 354 sq.

950

ὡς ἡδὺ πατέρα παισὶν ἤπιον κυρεῖν
καὶ παῖδας εἶναι πατρὶ μὴ στυγουμένους.

Orion Flor. Eurip. 12 p. 56, 21: 'ὡς — στυγουμένους'. v. 1 κύρειν codex.

951

ἢν οἱ τεκόντες τοῦτο γιγνώσκωσ' ὅτι
νέοι ποτ' ἦσαν, ἠπίως τὴν τῶν τέκνων
οἴσουσι κύπριν, φύντες οὐ σκαιοὶ φύσιν.

Orion Flor. Eurip. 13 p. 56, 24: 'ἂν οἱ — φύσιν'. v. 1 ἂν codex. γιγνώσκωσιν cod. v. 2 ⟨καὐτοὶ⟩ νέοι ποτ' ἦσαν, ἠπίως τέκνων coni. Meineke. v. 3 φύντες scripsi, ὄυντες cod., ὄντες Schneidewin. aliam v. 2 et 3 medelam temptavit F. G. Schmidt *Krit. Stud.* 2 p. 502 sq.

952

ὅστις πατὴρ πρὸς παῖδας ἐκβαίνει πικρός,
τὸ γῆρας οὗτος ἑρματίζεται βαρύ.

Orion Flor. Eurip. 14 p. 56, 28: 'ὅστις — βαρύ'. v. 1 πικρός coni. Wagner (cf. F. G. Schmidt *Krit. Stud.* 2 p. 401), πικρῶς cod. v. 2 τερματίζεται cod., ἑρματίζεται scripsi.

953

ὦ πάτερ, ἐχρῆν μὲν οὓς ἐγὼ λόγους λέγω,
τούτους λέγειν σε· καὶ γὰρ ἁρμόζει φρονεῖν
σὲ μᾶλλον ἢ ἐμὲ καὶ λέγειν ὅπου τι δεῖ·
ἐπεὶ δ' ἀφῆκας, λοιπόν ἐστ' ἴσως ἐμὲ
ἐκ τῆς ἀνάγκης τά γε δίκαι' αὐτὴν λέγειν. 5
ἐκεῖνος εἰ μὲν μεῖζον ἠδίκηκέ τι,
οὐκ ἐμὲ προσήκει λαμβάνειν τούτων δίκην·
ἃ δ' εἰς ἔμ' ἡμάρτηκεν αἰσθέσθαι με δεῖ.
ἀλλ' ἀγνοῶ δὴ τυχὸν ἴσως ἄφρων ἐγὼ
οὖσ', οὐκ ἂν ἀντείποιμι· καίτοι γ', ὦ πάτερ, 10
εἰ τἄλλα κρίνειν ἐστὶν ἀνόητον γυνή,
περὶ τῶν γ' ἑαυτῆς πραγμάτων ἴσως φρονεῖ . . . .
ἔστω δ' ὃ βούλει· τοῦτο τί μ' ἀδικεῖ, λέγε.
ἔστ' ἀνδρὶ καὶ γυναικὶ κείμενος νόμος,
τῷ μὲν διὰ τέλους ἣν ἔχει στέργειν ἀεί, 15

τῇ δ' ὅσ' ἂν ἀρέσκῃ τἀνδρὶ ταῦτ' αὐτὴν ποεῖν.
γέγονεν ἐκεῖνος εἰς ἔμ' οἷον ἠξίουν,
ἐμοί τ' ἀρέσκει πάνθ' ἃ κἀκείνῳ, πάτερ.
ἀλλ' ἔστ' ἐμοὶ μὲν χρηστός, ἠπόρηκε δέ.
σὺ δ' ἀνδρί μ', ὡς φής, ἐκδίδως νῦν πλουσίῳ, 20
ἵνα μὴ καταζῶ τὸν βίον λυπουμένη.
καὶ ποῦ τοσαῦτα χρήματ' ἐστίν, ὦ πάτερ,
ἃ μᾶλλον ἀνδρὸς εὐφρανεῖ παρόντα με;
ἢ πῶς δίκαιόν ἐστιν ἢ καλῶς ἔχον
τῶν μὲν ἀγαθῶν με τὸ μέρος ὧν εἶχεν λαβεῖν, 25
τοῦ συναπορηθῆναι δὲ μὴ λαβεῖν μέρος;
φέρ' ἣν ὁ νῦν ⟨δὴ⟩ λαμβάνειν μέλλων μ' ἀνήρ,
ὃ μὴ γένοιτο, Ζεῦ φίλ', οὐδ' ἔσται ποτέ,
οὐκ οὖν θελούσης οὐδὲ δυναμένης ἐμοῦ,
ἢν οὗτος αὖθις ἀποβάλῃ τὴν οὐσίαν, 30
ἑτέρῳ με δώσεις ἀνδρί; κᾆτ' ἐὰν πάλιν
ἐκεῖνος, ἑτέρῳ; μέχρι πόσου τὴν τῆς τύχης,
πάτερ, σὺ λήψῃ πεῖραν ἐν τὠμῷ βίῳ;
ὅτ' ἦν ἐγὼ παῖς, τότε σε χρῆν ζητεῖν ἐμοὶ
ἄνδρ' ᾧ με δώσεις· σὴ γὰρ ἦν τόθ' αἵρεσις· 35
ἐπεὶ δ' ἅπαξ δέδωκας, ἤδη ἐστίν, πάτερ,
ἐμὸν σκοπεῖν τοῦτ', εἰκότως· μὴ γὰρ καλῶς
κρίνασ' ἐμαυτῆς τὸν ἴδιον βλάψω βίον.
ταῦτ' ἔστιν· ὥστε μή με, πρὸς τῆς ἑστίας,
ἀποστερήσῃς ἀνδρὸς ᾧ συνῴκισας· 40
χάριν δικαίαν καὶ φιλάνθρωπον, πάτερ,
αἰτῶ σε ταύτην. εἰ δὲ μή, σὺ μὲν βίᾳ
πράξεις ἃ βούλει· τὴν δ' ἐμὴν ἐγὼ τύχην
πειράσομ' ὡς δεῖ μὴ μετ' αἰσχύνης φέρειν.

Papyr. Didot. p. 3—6: *Εὐριπίδου.* '*ὦ πάτερ — αἰσχύνης φέρειν*'. in recto papyri folio, cuius exemplum photoglypticae artis ope in Parisina editione redditum habemus, poetae versus per tres columnas digesti sunt: recurrunt iidem in verso folio ab alia, ut videtur, manu scripti. emendatius est recti folii exemplum, quod *a* litera indicamus: versi folii exemplum (nobis *b*) quamvis vitiosum eo nomine utile est quod literas quasdam praestat quae in *a* propter detritam scripturam vel chartam perforatam evanuerunt. accentus et cetera signa prosodiaca ab utroque exemplo absunt. in lectionis

varietate indicanda eam sequimur rationem ut neque omnes alterius utrius exempli lacunas nec deterioris apographi vitia omnia afferamus. v. 1 οὓς ἔγωγ' ἐρῶ λόγους malim. v. 2 ἁρμόζει Weil, αρμοττει *a*, αρμοττειν *b*. v. 4 ἐστ' ἴσως Weil, εσθισωσ *ab*. in titulis ἐφ' ἴσης, ἐφ' ἴσῃ, similia extare non nescio. v. 6 μεῖζον sive μείζον' ineptum, ubi ἕτερον vel ἄλλον dici poterat. πατρίδ' probabiliter coni. Weil *Revue de philol.* 4 p. 7. v. 8 με δεῖ cum Weilio malui scribere quam quod alii praetulerunt μ' ἔδει. v. 9 τυγχάνουσ' pro τυχὸν ἴσως coni. P. Nikitin. v. 10 ταῦτ' οὐκ ἂν Weil et Nikitin, ταυταουκαν videtur fuisse in *a*, ου.αουκαν *b*, οὐσ' οὐκ ἂν Blass. ἀντείποιμι Weil et Cobet Mnem. nov. 8 p. 57 sq., αντειπαιμι *ab*. v. 12 ισωσφρονει *a*, ισωσκοπει *b*, καλῶς σκοπεῖ Wecklein Philol. 39 p. 412. aptius fuerit περὶ τῶν γ' ἑαυτῆς ἀνδρὸς οὐχ ἧσσον φρονεῖ. post v. 12 quaedam excidisse recte agnovit Cobet Mnem. nov. 8 p. 63. v. 13 ἔστω Weil, ε.τω *a*. versum om. *b*, dum scribentis oculi ab ἔστω v. 13 ad ἔστ' · v. 14 aberrant. v. 15 τῷ μὲν Weil, μεν *a*, ωμεν *b*. v. 16 ποεῖν scripsi, ποιειν *ab*. v. 20 συδεανδριμεωσφησ *ab* (similiter alibi neglecta est elisio, velut μεανηρ v. 27, ξευφιλε v. 28, ανδραωι et τοτεαιρεσισ v. 35). ἐκδίδως Weil, εγδιδουσ *a*, εγδειδουσ *b*. νῦν parum aptum, ἐκδίδως εὐδαίμονι scribendum suspicor (cf. Eur. fr. 395, 3). v. 27 φερεαννν..λαμβανειν (pro υ primitus ο scriptum erat) *a*, .ερεοαν..υνλανβανειν *b*, quibus scripturis coniunctis φερεανονυνλαμβανειν efficitur. δὴ addiderunt Dziatzko (cf. Mus. Rhen. 35 p. 297) et Pappageorgius Κριτ. καὶ ἑρμ. p. 37 sq. v. 29 δυναμένης num ferri possit iure dubitat Wecklein Philol. 39 p. 412. fortasse spurius est versus. v. 30 ἦν Weil, αν *a*, ηαν *b*. v. 32 μέχρι πόσον δὲ τῆς τύχης bene coni. Weil. v. 33 σὺ λήψει Weil, δεληι ψει *a*, τεληιψει *b*. τὤμῷ Weil, τωιμωι *a*, τωεμω *b*. v. 34 ὅτ' ἦν (οτεην *b*) ἐγὼ παῖς scriptura vitiosa et absurda, expectes ἄζυγες ὅτ' ἦμεν. v. 36 εδωκασ *a*, δεδωκασ *b*. v. 37 καλῶς Blass, κακωσ *ab*. v. 40 τἀνδρός Wecklein. v. 41 δεικαιον *b*. v. 44 πειράσομ' ὡς δεῖ vitiosum, πειράσομαί πως coni. Kock Mus. Rhen. 35 p. 265, πειράσομαι δὴ rectius Th. Gomperz. non minus commodum fuerit τὴν δ' ἐμὴν ἡμεῖς τύχην πειρασόμεσθα. vix ferri potest quod sequitur μὴ μετ' αἰσχύνης, ubi μὴ παλιγκότως φέρειν expectatur (cf. Eur. fr. 572, 2 et Aesch. Eum. 794, quo loco βαρυστόνως libri praebent). post extremum versum addit *a* στιχοι μδ. ibidem post vacuum aliquot versuum spatium extant haec, ΕΥΡΙΠΙΔΗCCΜΟΔΕΓΑΤΗC, id enim in Weilii exemplo agnoscere mihi videbar, sed ΕΥΡΙΠΙΔΗCCΜΟΔΡΕΓΑΤΗC legit Weil, qui extremi vocabuli lectionem incertam es sefatetur p. 6: '*le* Μ *pourrait aussi être un* Π, *ou bien* ΓC; *le* Ρ, *avant l'* Ε, *couvre un* Ε; *le* Γ *pourrait, à la rigueur, être un* Τ'. correctiones temptatae sunt ab aliis aliae: velut δμηραπάτης pro σμοδρεγατησ coniecit Bergk Mus.

Rhen. 35 p. 244, *ἁλὸς ἐργάτης* suasit Cobet Mnem. nov. 8 p. 67, *Εὐριπίδης σφόδρ' ἐργάτης ⟨σπουδαῖος ἦν⟩* Th. Gomperz *Wiener Stud.* 1880 p. 15, *Σίσυφος δραπέτης* I. van Leeuwen Comment. de Aiacis Soph. authentia et integr. p. 197, adde quae dixit Wecklein Philol. 39 p. 412. mihi verum videtur quod Cobet et Gomperz proposuerunt, *ἐργάτης*. pro ΔΕΡΓΑΤΗC sive ΔΕΕΡΓΑΤΗC cum primum ΔΕΕΓΑΤΗC scriptum esset, inde factum opinor ΔΡΕΓΑΤΗC. praegressae literae non CMO sed (de quo iam Weil cogitavit) ΕΓCO (h. e. ΕΓѠ) fuisse videntur. scripserim igitur *Εὐριπίδης· ἐγὼ δὲ ἐργάτης*, quibus verbis balbutiens discipulus significare voluerit id quod rectius dici poterat *Εὐριπίδης μὲν ἐποίει, ἐγὼ δὲ ἔγραφον.*

cuius fabulae sint versus nescimus: ad *Τημενίδας* referri voluit Weil, ad *Κρεσφόντην* Bergk Mus. Rhen. 35 p. 245, ad *'Αρχέλαον* Kock ibid. p. 269 sqq., ad *Δίκτυν* Wecklein (v. quae p. 460 diximus), de satyrico dramate cogitabat Cobet Mnem. nov. 8 p. 61 sq., quam suspicionem refutat Weil *Revue de philol.* 4 p. 1 sqq., denique indignos Euripide hos versus iudicat Wilamowitz-Moellendorff Herm. 15 p. 491, at cuius poetae aut aetatis esse eos arbitretur reticet. equidem non ausim dubitare de Euripide versuum auctore, quem disputandi ratio ac numeri arguunt. sed miramur sane adeo sui dissimilem extitisse Euripidem ut versus faceret humi repentes nullisque poeticae dictionis luminibus insignes, nec possumus sine taedio legere declamationem ieiunam et passim ineptam. quae vitia inde potissimum repetenda arbitror quod Euripidis versus habemus non tales quales poeta fecit, sed multifariam interpolatos a ludi magistro, qui mutans quaecunque puerili aetati parum convenirent vel ipsi displicerent, insigni cum audacia et perversitate genuina verba corruperit.

954

Philo Iud. Quaest. in Genes. vol. 7 p. 188 ed. Richter: *optime dixit Epicharmus: quicunque, ait, minus delinquit, optimus est vir; nemo est enim innocens, nemo reprehensionis expers. et Euripides 'quicunque incontinentes sunt et redundat in eis malum inimicitiae et iniustitiae, mali sunt; in quibus autem opposita praevalent, virtute praediti; in aliis vero ita quasi aequalis sit commixtio, ita ut nulli sint qui omnia mala habeant sine ullo bono'*. ibid. p. 240: *Euripides quoque neminem irreprehensibilem dixit, tamen quibusdam abundantur malitiarum fomenta turpia iniqua, adeo pravis adversantur strenui; quibusdam tamen ita altrinsecus inest temperantia, ut nonnulli* (immo *nulli*) *omnia pessima obtineant absque ullo bono, nonnulli omnia necessaria* (exspectes *nulli omnia bona*) *sine ullo malo.* sententiam Euripideam facile agnoscimus, verba ut eruerem mihi non contigit.

955

Δήμητρος λάτριν

Philodemus de pietate p. 42: *λέγουσιν ⟨δέ τι⟩νες — κα⟨ὶ τ⟩ὴν Ἑ⟨κάτην⟩ ὀπαδὸ⟨ν Ἀρ⟩τέ⟨μιδος⟩ εἶναι, Δήμη⟨τρος⟩ δὲ λάτριν Εὐρι⟨πίδης⟩, Ὅμηρος δ' ἐν ⟨τοῖς ὕμ⟩νοις πρόπ⟨ολον⟩ καὶ ⟨ὀπ⟩άονα.* cf. Eur. Ion. 4: *δαιμόνων λάτριν.* Herc. 823: *τὴν θεῶν λάτριν.* Aesch. Prom. 941: *Διὸς λάτριν* (ita enim leg.).

956

εὔξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι.

Plat. Epist. 1 p. 309 D: *καί μοι τὸ τοῦ Εὐριπίδου κατὰ καιρὸν ἔστιν εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων 'εὔξῃ — παρεστάναι'.* in verbis prioribus versum *καὶ ξυμπεσόντων πραγμάτων ἄλλων ποτέ* latere coni. Grotius.

957

μικρὸν φρονεῖν χρὴ τὸν κακῶς πεπραγότα.

Plut. de audiendis poetis c. 8 p. 28 C: *οἷα καὶ ταῦτ' ἔστιν 'δουλοῖ — πατρὸς κακά'* (Eur. Hipp. 424 sq.) *καὶ 'μικρὸν — πεπραχότα'.* Euripideum esse versum docuit C. Wachsmuth *Studien zu den griech. Floril.* p. 108 ex Melissa Augustana cod. Monac. 429 fol. 54 r.: *τῷ Εὐριπίδῃ λέγοντι 'μικρὸν — πεπραχότα'. πεπραγότα* restituit Wagner.

958

τίς δ' ἔστι δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;

Plut. de audiendis poetis c. 13 p. 34 B: *καὶ πάλιν τοῦ Εὐριπίδου λέγοντος 'τίς — ὤν;' ὑπακουστέον ὅτι καὶ περὶ πόνου καὶ νόσου ταὐτὸν εἴρηκεν.* eundem versum om. poetae nom. afferunt Plut. Consol. ad Apollon. c. 10 p. 106 D Clemens Alex. Strom. IV p. 586 Philo Iud. vol. 2 p. 448 Cic. ad Att. 9, 2 a, 2. *δ'* om. Philo.

959

ἐγὼ δ'
οὐδὲν πρεσβύτερον νομί-
ζω τᾶς σωφροσύνας, ἐπεὶ
τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστιν.

Plut. de audiendis poetis c. 14 p. 36 C: *καὶ πάλιν ὑπὸ τοῦ Εὐριπίδου παραπλησίως 'ἐγὼ — σύνεστι'.* Stob. Flor. 5, 2: *Μενάνδρου* (sic Trinc., eclogam om. SMA). *'ἐγὼ δ' — ξύνεστι'.* v. 2 *τῆς σωφροσύνης* Stob. v. 3 *ξύνεστι* Stob., *σύνεστι* Plut.

960

τιμᾶν τὰν τέτασθε, πλούτῳ δ' ἀρετὰν κατεργά-
σασθαι δοκεῖτ', ἐν ἐσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι.

Plut. de audiendis poetis c. 14 p. 36 C: καὶ πάλιν ὑπὸ τοῦ Εὐριπίδου παραπλησίως 'ἐγὼ δ' οὐδὲν — σύνεστι' (fr. 959), καὶ τὸ 'τιμᾶν — ἄνολβοι'. v. 1 τιμᾶν τὰν τέτασθε] τιμάν τ' ἀντέτασθε Musgrave, ego τιμὰν πέπασθε temptabam. v. 1 sq. κατεργα-σάσθω libri, corr. Iannotius. v. 2 κάθησθ' scripserim.

961

φεῦ, τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

Plut. de prof. in virtute c. 15 p. 85 A: ἀξιέραστον ἡγούμενοι τὴν ἀρετὴν ὁμόσε χωρῶμεν αὐτῇ, τὸ Εὐριπίδειον ἐφ' ἑκάστῳ φθεγγόμενοι 'φεῦ — καλόν'. eundem versum om. p. nom. habet Plut. V. Pomp. c. 73. cf. Eur. fr. 329, 1.

962

. . ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ·
λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
ἄγαν δὲ μωραίνοντι νουθετήματα.

Plut. Consol. ad Apollon. c. 2 p. 102 B: κατὰ γὰρ τὸν σοφὸν Εὐριπίδην 'ἄλλ' ἐπ' — νουθετήματα'. v. 1 ⟨ἀλλ'⟩ ἄλλ' ἐπ' ἄλλῃ coni. Gataker, ἄλλο δέ γ' ἐπ' ἄλλῃ ed. Hercher codicem Venetum secutus. v. 2 et 3 om. poetae nom. habent Plut. de adulat. et amico c. 28 p. 69 D et Sotion in Stob. Flor. 113, 15. v. 2 μὲν] γὰρ Plut. Mor. p. 69. φίλων] φίλον Stob.

963

μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα,
ὅ σ' ἐξεπαρεῖ μεῖζον ἢ χρεὼν φρονεῖν,
μηδ' ἤν τι συμβῇ δυσχερές, δουλοῦ πάλιν·
ἀλλ' αὐτὸς αἰεὶ μίμνε τὴν σαυτοῦ φύσιν
σῴζων βεβαίως ὥστε χρυσὸς ἐν πυρί. 5

Plut. Consol. ad Apollon. c. 4 p. 102 F: τῶν μὲν γὰρ καλῶς λεγομένων ἔστιν ἐν ὑποθήκης μέρει καὶ τοῦτο 'μηδ' εὐτύχημα — πυρί'. Euripidi locum vindicavit Porson Adv. p. 276 sq. coll. Liban. Epist. 471: τοῦτον οὔτε εὐτυχία πώποτε ἐπῆρεν ἐν δυσκολίᾳ τε οὐκ ἔπτηξεν Εὐριπίδου μεμνημένος. v. 3 ἄν τι libri.

964

ἐγὼ δὲ ⟨ταῦτα⟩ παρὰ σοφοῦ τινος μαθὼν
εἰς φροντίδας νοῦν συμφοράς τ' ἐβαλλόμην,
φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς
θανάτους τ' ἀώρους καὶ κακῶν ἄλλας ὁδούς,
ἵν' εἴ τι πάσχοιμ' ὧν ἐδόξαζον φρενί, 5
μή μοι νεῶρες προσπεσὸν μᾶλλον δάκοι.

Plut. Consol. ad Apollon. c. 21 p. 112 D: *καλῶς γὰρ ὁ παρὰ τῷ Εὐριπίδῃ Θησεὺς παρεσκευάσθαι φαίνεται πρὸς τὰ τοιαῦτα· ἐκεῖνος γὰρ φησίν 'ἐγὼ δὲ — δάκῃ'.* Galenus vol. 5 p. 418: *τοῦτο λαβὼν Εὐριπίδης τὸ νόημα τὸν Θησέα πεποίηκε λέγοντα 'ἐγὼ δὲ — δάκοι'.* Cic. Tusc. 3, 14, 29: *itaque apud Euripidem a Theseo dicta laudantur —*

nam qui haec audita a docto meminissem viro,
futuras mecum commentabar miserias,
aut mortem acerbam aut exili maestam fugam
aut semper aliquam molem meditabar mali,
ut si qua invecta diritas casu foret,
ne me imparatum cura laceraret repens (recens?).

cf. ibid. 3, 24, 58: *atque hoc idem — Theseus 'futuras mecum commentabar miserias'.* haud dissimilia sunt verba Terent. Phorm. 241—246. v. 1 *ταῦτα* om. Plut. et Gal., supplementum Ciceroni debetur. v. 2 *εἰς φροντίδ' ἀεὶ συμφορὰς ἐβαλλόμην* Plut. ed. Duebn., *εἰς φροντίδ' ἔννους συμφοράς τ' ἐβ.* coni. H. Sauppe, *εἰς φροντίδ' ἄθλους συμφοράς τ' ἐβ.* F. G. Schmidt *Krit. Stud.* 2 p. 467. v. 4 *κακῶν*] *κακὰς* Galen. v. 5 *ἵν'*] *ὥστ'* Galen. *φρενί*] *ποτέ* Galen. v. 6 *νεαρὸν* Plut., *νεαραῖς* Galen., *νεωρὲς* Musgrave. *δάκῃ* Plut., *δάκοι* Galen. locum ex Pirithoo esse repetitum coni. Wilamowitz-Moellendorff Anal. Eur. p. 172.

965

ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν,
σοφὸς παρ' ἡμῖν καὶ τὰ θεῖ' ἐπίσταται.

Plut. Consol. ad Apollon. c. 29 p. 116 F: *καὶ ὁ Εὐριπίδης 'ὅστις δ' — ἐπίσταται'.* eosdem versus om. poetae nom. habet Epictet. Enchir. 52, ubi pro *βροτῶν* legitur *καλῶς*, quo de loco Simplicius vol. 4 p. 523: *τὸ δεύτερον δέ ἐστι μὲν Εὐριπίδου τοῦ τραγικοῦ.*

966

βίος γὰρ ὄνομ' ἔχει πόνος γεγώς.

Plut. Consol. ad Apollon. c. 34 p. 120 A: *ἄωρος ἐτελεύτησεν· οὐκοῦν εὐποτμότερος διὰ τοῦτο καὶ κακῶν ἀπείρατός ἐστιν; ὁ βίος γάρ, φησὶν Εὐριπίδης, ὄνομ' ἔχει, πόνος ἐγώ σ'. οὗτος δ' ἐπὶ τῆς εὐανθεστάτης ἡλικίας προαπεφοίτησεν κτέ.* *βίος* scripsi, *ὁ βίος* libri. *ὄνομ' ἔχει*] scribendum arbitror *ὄνομα α ἔχει* i. e. *ὄνομα μόνον ἔχει* (cf. *Mélanges Gréco-Rom.* V p. 216). *μόνον* post *ἔχει* suppleri voluit Sauppe. *πόνος*] *βίον μόρος* Hercher vix recte, aptissime *βίος* et *πόνος* inter se opponuntur (cf. Anthol. Pal. 9, 9: *αἱ δὲ περισσαὶ φροντίδες ἀνθρώποις οὐ βίος ἀλλὰ πόνος*). *γεγώς* scripsi, *ἐγώ σ'* libri.

967

εἴης μοι, μέτριος δέ πως
εἴης μηδ' ἀπολείποις.

Plut. de tuenda sanitate praec. c. 17 p. 132 B: *πρὸς δὲ τὸν οἶνον, ἅπερ Εὐριπίδης πρὸς τὴν Ἀφροδίτην, διαλεκτέον* (*λεκτέον* Reiske) '*εἴης μοι — ἀπολείποις*'. v. 1 *μέτριος* Heath, *μέτριον* libri. *δέ πως* verba vix sana. v. 2 *ἀπολήγοις* malim. v. 1 sq. *μέτριος δ' ἔρως εἴη μηδὲ πονηρός* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 503.

968

Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ.

Plut. de Iside et Osir. c. 71 p. 379 D: *Ἕλληνες μὲν γὰρ ἔν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν, ἱερὸν Ἀφροδίτης ζῷον εἶναι τὴν περιστερὰν καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος, καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης* "*Ἑκάτης — ἔσῃ* (*ἔσσιν* libri)'. locum repetiit Aristoph. Com. 2 p. 1195 ap. Eust. Od. p. 1467, 37: *καὶ κύων ἀκράχολος Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι.* cf. Hesych. v. *ἄγαλμα Ἑκάτης* et *Ἑκάτης ἄγαλμα.* ad Troades aut ad aliud drama quod cum Troadibus coaluerit, haec referri vult van de Sande Bakhuyzen de parodia in com. Ar. p. 197.

969

οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης,
μή μ' ἄφρονα κρίνῃς ἢ διδοὺς αἰτεῖν δοκῶ.

Plut' de *EI* Delphico c. 1 p. 384 D: *στιχιδίοις τισὶν οὐ φαύλως ἔχουσιν, ὦ φίλε Σαραπίων, ἐνέτυχον πρῴην, ἃ Δικαίαρχος Εὐριπίδην οἴεται πρὸς Ἀρχέλαον εἰπεῖν,* '*οὐ βούλομαι — δοκῶ*'. eadem fere extant in Menandri et Philistionis comp. v. 49 sq.: *αἰσχύνομαι πλου-*

τοὔντι δωρεῖσθαι φίλῳ, μή μ' ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ. quae num Menandro (Com. 4 p. 267) tribuenda sint dubito. non fuisse Euripideos versus ad Archelaum fabulam referendos recte iudicat Meineke Com. 4 p. 707. cum v. 1 cf. Men. mon. 360 sive Greg. Naz. vol. 2 p. 154 C: *μισῶ πένητα πλουσίῳ δωρούμενον.*

970

ἀλλ' ἀνοιστέος λόγος

Plut. de *EI* Delphico c. 13 p. 390 C: *ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς Εὐριπίδης φησίν.* Plut. de defectu oraculorum c. 38 p. 431 A: *ἀλλ' ἀνοιστέος ὁ λόγος, ὡς ὁ αὐτὸς ἀνὴρ* (sc. *Εὐριπίδης*) *φησίν, ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν.* cf. Herc. 1221: *ἐκεῖσ' ἀνοιστέον.*

971

ὃ δ' ἄρτι θάλλων σάρκα διοπετὴς ὅπως
ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς ἐς αἰθέρα.

Plut. de defectu orac. c. 13 p. 416 E: *ἡ δὲ φύσις αἰσθητὰς εἰκόνας ἐξέθηκε — ὡς Εὐριπίδης εἴκασεν ἐν οἷς εἶπεν 'ὃ δ' — αἰθέρα'.* Plut. non posse suaviter vivi sec. Epic. c. 5 p. 1090 C: *σφαλερὸν γὰρ ἡ ἐπ' ἄκρον εὐεξία, φησὶν Ἱπποκράτης· 'ὃ δ' ἄρτι — ἀστὴρ ἀπέσβη' κατὰ τὸν Εὐριπίδην.* v. 1 *σαρκὶ* p. 1090. v. 2 *ἀπέστη* p. 1090 cod. Ven. *πνεῦμα δ' ἀνεὶς* idem p. 416. *εἰς αἰθέρα* ed. Phaethontis esse locum coni. Welcker.

972

πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς κρείσσονες πεφυκότες.

Plut. de defectu orac. c. 38 p. 431 A: *πολλαῖς γὰρ οἱ θεοὶ μορφαῖς οὐ σοφισμάτων, ὡς Εὐριπίδης φησίν, ἀλλὰ πραγμάτων σφάλλουσιν ἡμᾶς.* Plut. de audiendis poetis c. 4 p. 20 F: *πάλιν Εὐριπίδου λέγοντος 'πολλαῖσι — πεφυκότες'.* Stob. Flor. 3, 3 (quam ecl. sine lemmate habet Trinc., om. SMA): *'πολλαῖσι — πεφυκότες'.* v. 2 *κρείττονες* Plut. et Stob.

973

μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς.

Plut. de defectu orac. c. 40 p. 432 C: *οὐ γάρ, ὡς Εὐριπίδης φησί, 'μάντις ἄριστος — καλῶς'.* Appian. B. civ. 2, 153: *τοῦ δὲ τὸ ἰαμβεῖον εἰπόντος, ὅτι 'μάντις ἄριστος — καλῶς'.* Arrian. Exp. Alex. 7, 16, 6: *τὸν δὲ ἀποκρίνασθαι αὐτοῖς λόγον τοῦ Εὐριπίδου τοῦ ποιητοῦ ἔπος, ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε 'μάντις δ' ἄριστος — καλῶς'.* Cic. ad Att. 7, 13 a, 4 om. p. nom.: *μάντις δ' ἄριστος.*

Gregorius Naz. vol. 1 p. 122 A (Socrates Hist. eccl. 3, 23 p. 198 C Niceph. Callist. Hist. eccl. 10, 37 vol. 2 p. 91 D): *εἴπερ μάντις ἄριστος ὅστις εἰκάζειν οἶδε καλῶς*. Plut. de Pythiae orac. c. 10 p. 399 A: *ὁ μὲν εἰκάζων καλῶς, ὃν ἄριστον μάντιν ἀνηγόρευκεν ἡ παροιμία*. Latine reddit Cic. de div. 2, 5, 12: *est quidam Graecus vulgaris in hanc sententiam versus 'bene qui coniciet, vatem hunc perhibeto optimum'*. Menandro, cuius cf. fr. 225 ed. Kock., versus tribuitur in Schol. Aristid. p. 403.

974

τῶν ἄγαν γὰρ ἅπτεται
θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ.

Plut. de cohibenda ira c. 16 p. 464 A: *ὁ μὲν οὖν θεός, ὡς Εὐριπίδης φησί, τῶν ἄγαν ἅπτεται, 'τὰ μικρὰ — ἐᾷ'*. Plut. Praec. gerendae rei publ. c. 15 p. 811 D: *ὡς ὁ τοῦ κόσμου βασιλεὺς 'τῶν ἄγαν γὰρ ἅπτεται θεός, τὰ — ἐᾷ' κατὰ τὸν Εὐριπίδην*. v. 2 *ἀφεὶς*] *ἀνεὶς* p. 811.

975

χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.

Plut. de fraterno amore c. 5 p. 480 D: *'χαλεποὶ — ἀδελφῶν', ὡς Εὐριπίδης εἴρηκεν, ὄντες χαλεπώτατοι τοῖς γονεῦσιν αὐτοῖς εἰσιν*. Aristot. Polit. 8, 7 p. 1328 a 15: *ὅθεν εἴρηται 'χαλεποὶ γὰρ πόλεμοι ἀδελφῶν'*.

976

ἀκόλασθ' ὁμιλεῖν γίγνεται δούλων τέκνα.

Plut. de cupid. divit. c. 7 p. 526 C: *οὐ γὰρ μόνον κατὰ τὸν Εὐριπίδην 'ἀκόλαστα μὲν* (*μὲν* om. codex D) *γίγνεται δούλων τέκνα', ἀλλὰ καὶ μικρολόγων*. Laert. Diog. 4, 35 de Arcesilao: *στωμύλου δὲ ἀγεννοῦς πράγματα αὐτῷ παρέχοντος ἔφη 'ἀκόλασθ' — τέκνα'*.

977

ἡ γὰρ σιωπὴ τοῖς σοφοῖσιν ἀπόκρισις.

Plut. de vitioso pudore c. 10 p. 532 F: *τὴν γὰρ σιωπὴν ὁ μὲν Εὐριπίδης φησὶ τοῖς σοφοῖς ἀπόκρισιν εἶναι*. versum ipsum habemus in Men. mon. 222, ubi *σοφοῖς ἐστ'* ed., sed *ἐστ'* a non nullis libris abest, *σοφοῖσιν* ego scripsi.

978

εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,
οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο·

νῦν δ', ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος
λαβεῖν ἀμοχθί, πᾶς τις ἥδεται λέγων
τά τ' ὄντα καὶ μή· ζημίαν γὰρ οὐκ ἔχει. 5

Plut. de se ipsum citra invidiam laudando c. 1 p. 539 B: *ὁ γοῦν Εὐριπίδης εἰπὼν 'εἰ δ' — οὐκ ἔχει', φορτικωτάτῃ κέχρηται μεγαλαυχίᾳ.* v. 3 sq. respicit Philodemus de dicendi libertate in Vol. Hercul. V fol. 35: *οὐκ ⟨ὠ⟩νούμενοι τοὺς λόγους, ἀλλ' ἐκ βαθείας ⟨αἰθ⟩έρος ἀμοχθεὶ λαμβάνοντες.* item Anonym. in Vol. Hercul. coll. alt. IX fol. 94: *παρὰ ποιητικῆς παραλαβὼν καὶ ῥητορικῆς καὶ γεωμετρίας ἔ⟨τι δὲ⟩ ἀστρολογίας καὶ μουσικῆς, ἀλλοτρίοις ἑ⟨αυτὸ⟩ν πτεροῖς ⟨κο⟩λοιοῦ ⟨δίκη⟩ν κεκόσμηκεν· κα⟨τὰ γ⟩ὰρ τὸν Εὐριπίδην ⟨ἐκ βα⟩θείας αἰθέρος λαβεῖν ⟨ἀμοχ⟩θεὶ πάρεστιν τὰ ⟨μὴ ὄντ⟩α, πίστεις ὅταν ⟨λάβ⟩ωμεν.* ita fere locum supplevit Wilamowitz-Moellendorff Herm. 11 p. 304 et 515. v. 4 *ἀμοχθεί* Philodemus (cf. Gomperz *Nachl.* p. 39), *ἀμισθί* Plut.

979

οὔτοι προσελθοῦσ' ἡ Δίκη σε, μὴ τρέσῃς,
παίσει πρὸς ἧπαρ οὐδὲ τῶν ἄλλων βροτῶν
τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ
στείχουσα μάρψει τοὺς κακούς, ὅταν τύχῃ.

Plut. de sera numinis vindicta c. 2 p. 549 A: *ὅθεν Εὐριπίδης ἄτοπος εἰς ἀποτροπὴν κακίας τούτοις χρώμενος 'οὔτοι — τύχῃ'.* Stob. Ecl. 1, 3, 21 p. 56, 5: *Εὐριπίδου. 'οὔτοι — τοὺς κακοὺς ἀεὶ βροτῶν'.* v. 1 *οὔτοι* Plut., *οὔτι* Stob. *προσάσσουσ'* coni. Mekler *Zeitschr. f. d. öst. Gymn.* 1878 p. 608. *σε μὴ τρέσῃς* Plut., *σε πώποτε* Stob., *σ' ὠκύπτερος* coni. Herwerden Exerc. crit. p. 64. v. 2 *πρὸς ἧπαρ*] *τόδ' ἦμαρ* Enger Adnot. ad poet. Gr. fr. p. 7. v. 3 *σιγῇ* Stob. huc spectat Plut. de sera num. vind. c. 3 p. 549 D: *ἡ δὲ ἀτρέμα καὶ βραδεῖ ποδὶ κατ' Εὐριπίδην καὶ ὡς ἔτυχεν ἐπιπίπτουσα Δίκη τοῖς πονηροῖς.* item Anna Comn. Alex. 1, 2 vol. 1 p. 17, 20: *οὐχ ὅτι βραδεῖ ποδὶ κατὰ τὴν τραγῳδίαν ἔστειχεν, ἀλλ' οὐδαμοῦ κατεφαίνετο.* v. 4 *μάρψει* Plut., *μάρπει* Stob. *ὅταν τύχῃ* Plut, *ἀεὶ βροτῶν* Stob.

980

τὰ τῶν τεκόντων σφάλματ' εἰς τοὺς ἐκγόνους
οἱ θεοὶ τρέπουσιν.

Plut. de sera numinis vindicta c. 12 p. 556 E: *ἃ γὰρ Εὐριπίδης ἐγκαλεῖ καὶ παρρησιάζεται πρὸς τοὺς θεοὺς τὰ τῶν τεκόντων σφάλματα εἰς τοὺς ἐγγόνους τρέποντας, αἰτιᾶσθαι νόμιζε καὶ τοὺς σιωπῶντας ἡμῶν.* cf. ibid. c. 21 p. 562 F: *ὅθεν οὐδὲ πάντα τὰ τῶν*

τεκόντων σφάλματα εἰς τοὺς ἐκγόνους οἱ θεοὶ τρέπουσιν· ἀλλ' ἐὰν μὲν ἐκ φαύλου γένηται χρηστός κτέ.

981

εἰ δὲ πάρεργόν χρή τι κομπάσαι, γύναι,
οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον,
ἵν' οὔτ' ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει·
ἃ δ' Ἑλλὰς Ἀσία τ' ἐκτρέφει κάλλιστα, γῆν
δέλεαρ ἔχοντες ⟨τήνδε⟩ συνθηρεύομεν. 5

Plut. de exilio c. 13 p. 604 E: *τίς γὰρ εἴρηκε τῆς ἑαυτοῦ πατρίδος ἐγκώμιον τοιοῦτον οἷον Εὐριπίδης; 'ἡ πρῶτα — ἐξαγώγιμοι'* (fr. 360, 7—10). *'εἰ δὲ πάρεργον — συνθηρεύομεν'. ἀλλ' ὁ ταῦτα γράψας εἰς Μακεδονίαν ᾤχετο καὶ παρ' Ἀρχελάῳ κατεβίωσεν.* num Euripidis sint versus supra scripti dubitat F. G. Schmidt *Krit. Stud.* 2 p. 503 sq. mihi duos diversarum fabularum locos Plutarchus videtur attulisse. v. 1 *εἰ δ' αὖ πάρεργον* Casaubonus Animadv. in Ath. p. 405, *εἰ δὴ πάρεργον* Barnes, *εἶτ' εἰ πάρεργον* Dobree Adv. 1 p. 319, *εἰ δ' οὖν πάρεργον* idem Adv. 2 p. 127, *εἰ δ' οὐ πάρεργον* Bergk, *εἰ γὰρ πάρεργον* O. Hense Lect. Stob. p. 11, *εἰ δ' ἐκ παρέργου* ego proposui. *γυναῖκες* libri quidam. *χρή τι κομπάσαι, φίλαι* Musgrave, *κομπάσαι γυναῖκα χρή* coni. Dobree Adv. 2 p. 127, *χρή τι κομπάσαι μ' ἄναξ* Meineke Com. 4 p. 617. v. 2 *κεκραμένον* Grotius, *συγκεκραμένον* libri. v. 3 *συμπιτνεῖ* libri. v. 4 *τ' ἐκτρέφει* Musgrave, *τε τρέφει* libri. v. 4 sq. *κάλλιστα γῆν δέλεαρ ἔχοντες τήνδε* Lobeck in Soph. Ai. p. 252 (*γῆς — τῆσδε* R. Ellis), *κάλλιστα τῆς γε δέλεαρ* (vel *τῆς δὲ ἔλεαρ*) *ἔχοντες* libri. fortasse *κάλλιστ' ἀεὶ* (sic Musgrave) *δέλεαρ ἔχοντες τήνδε γῆν θηρεύομεν* praeferendum.

982

πολλοὺς δὲ βροντῆς πνεῦμ' ἄναιμον ὤλεσεν.

Plut. Quaest. conv. 4, 2, 4 p. 666 C: *μυρίους ἤδη τεθνηκότας ἰδεῖν ἔστιν ὑπὸ βροντῆς, οὐδὲν οὔτε πληγῆς ἴχνος οὔτε καύσεως ἔχοντας, ἀλλ' ὑπὸ φόβου τῆς ψυχῆς, ὡς ἔοικεν, ὄρνιθος δίκην ἀποπταμένης τοῦ σώματος. πολλοὺς γάρ, ὥς ὁ Εὐριπίδης φησίν, 'βροντῆς — ὤλεσε'.* Theo Smyrn. Expos. rerum math. p. 48, 3: *οὐδὲ γὰρ τὸν τῆς ὑπερμεγέθους βροντῆς ψόφον ἐναρμόνιον ἐροῦμεν, ὅς γε καὶ ὀλέθριος διὰ τὴν ὑπερβολὴν πολλάκις γίνεται, ὥς τις ἔφη 'πολλοὺς δὲ — ὤλεσε'. πνεῦμα* Plut., *τραῦμ'* Theo, *πλῆγμ'* F. G. Schmidt *Krit. Stud.* 2 p. 504.

983

οἶνος περάσας πλευμόνων διαρροάς

Plut. Quaest. conv. 7, 1, 3 p. 699 A: *Εὐριπίδης δὲ σαφῶς*

δήπου λέγων ʻοἶνος — διαρροάςʼ, δῆλός ἐστιν Ἐρασιστράτου βλέπων τι ὀξύτερον. Macrob. Saturn. 7, 15, 23: *Euripides vero huius rei manifestissimus adstipulator est, ʻοἶνος — διαρροάςʼ.* cf. Plut. de stoicorum repugn. c. 29 p. 1047 D: *τῶν ποιητῶν Εὐριπίδην Ἀλκαῖον Εὔπολιν Ἐρατοσθένην, λέγοντας ὅτι τὸ ποτὸν διὰ τοῦ πνεύμονος διέξεισι. πλευμόνων* Macrob., *πνευμόνων* Plut.

984

ἄλλην θέλουσιν εἰσαγώγιμον λαβεῖν

Plut. Quaest. conv. 7, 8, 4 p. 713 D: *οὐ γὰρ μόνον ὅσοι τὴν σωτηρίαν οἴκοι καὶ παρʼ αὑτῶν ἔχοντες ʻἄλλην — λαβεῖνʼ, ὡς Εὐριπίδης εἶπεν, ἀβέλτεροί εἰσιν, ἀλλὰ καὶ ὅσοι — ἔξωθεν ἐπάγειν τὰ τέρποντα φιλοτιμοῦνται. ἐθέλουσιν* libri, corr. Xylander.

985

ὁ πετόμενος ἱερὸν ἀνὰ Διὸς αἰθέρα γοργοφόνος

Plut. Quaest. conv. 9, 15, 2 p. 747 D: *πολλὰς δὲ καὶ συνθέσεις τῶν ὀνομάτων κατὰ μέλη μιμητικῶς σχηματίζουσιν, ὡς Εὐριπίδης ʻὁ — γοργοφόνοςʼ. πετάμενος* libri.

986

πλούτῳ χλιδῶσα θνητὰ δὴ γύναι φρόνει.

Plut. Amator. c. 11 p. 755 B: *τὸν μὲν Ζεύξιππον ὁ πατὴρ ἔφη γελάσαι καὶ εἰπεῖν ἅτε δὴ καὶ φιλευριπίδην ὄντα, ʻπλούτῳ — φρονεῖςʼ. θνητὰ δὴ* Xylander, *θνητὰ δὲ* vel *θνητὰ δʼ ὦ* libri. *φρόνει* scripsi, *φρονεῖς* ed.

987

εἴθʼ ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν.

Plut. Praec. gerendae rei publ. c. 5 p. 802 A: *μηδὲ πολλάκις δέηται τῶν Εὐριπιδείων ἐκείνων ʻεἴθʼ — βροτῶνʼ.* prioris Hippolyti esse versum coni. Wecklein Philol. 38 p. 586.

988

τέκτων γὰρ ὢν ἔπρασσες οὐ ξυλουργικά.

Plut. Praec. gerendae rei publ. c. 15 p. 812 E: *ὁ δὲ — πρὸς ὃ μὴ πέφυκε μηδὲ ἤσκηται προσάγων αὑτὸν — προσακούει τὸ τοῦ Εὐριπίδου ʻτέκτων — ξυλουργικάʼ. ἔπραττες* Plutarchus.

989

ὁ τῆς τύχης παῖς κλῆρος

Plut. de solertia anim. c. 8 p. 965 E: εἶτα κατ' Εὐριπίδην ὁ τῆς τύχης παῖς κλῆρος ἐπὶ τούτῳ ταγεὶς τὰ χερσαῖα προεισάγει δίκαια τῶν ἐνάλων. Plut. Quaest. conv. 2, 10, 2 p. 644 D: παυσώμεθα τὰς μοίρας ἀτιμάζοντες καὶ τὸν τῆς τύχης παῖδα κλῆρον, ὡς Εὐριπίδης φησίν. integer trimeter ὁ τῆς τύχης παῖς κλῆρος ἐπὶ τούτῳ ταγείς olim Euripidi tributus est: at ἐτάγην aoristus novicius est et a probatorum scriptorum usu alienus, qua de re dixi *Mélanges Gréco-Rom.* IV p. 37 sq.

990

φίλης τ' ὀπώρας διπτύχους ἦρός τ' ἴσους

Plut. de animae procreat. in Timaeo c. 31 p. 1028 F: εἰ δὲ ὀρθῶς ὁ Εὐριπίδης διορίζεται θέρους τέσσαρας μῆνας καὶ χειμῶνος ἴσους, 'φίλης — ἴσους', ἐν τῷ διὰ πασῶν αἱ ὧραι μεταβάλλουσιν.

991

ἀλλ' ἔστι, κεἴ τις ἐγγελᾷ λόγῳ,
Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη.

Plut. de stoicorum repugn. c. 15 p. 1040 B: (Chrysippus) ἐπαινεῖ πάλιν ἐν ἄλλοις καὶ προφέρεται τὰ τοῦ Εὐριπίδου ταυτὶ πολλάκις 'ἀλλ' — πάθη'. v. 1 ἔστιν εἴ olim ed., ἔστι κεἴ libri non nulli. ἀλλ' ⟨ἔστιν⟩ ἔστιν Grotius suasit, ego ἀλλ' ἔστι, κεἴ τις ἐγγελᾷ ⟨τὠμῷ⟩ λόγῳ malim.

992

ἀμφίπολος Ἄρεος ἀνιέρου

Plut. Comp. Demetr. et Anton. c. 2: κοιμίζων δὲ τοὺς θιάσους καὶ τὰ βακχεῖα καταπαύων ἀμφίπολος Ἄρεος ἀνιέρου κατὰ τὸν Εὐριπίδην ἐγένετο (Demetrius).

993

φίλων λαβεῖν ⟨γὰρ⟩ πεῖραν οὐ σμικρὸν κακόν.

Plut. V. Fabii c. 17: οὐ μόνον δ' ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς Εὐριπίδης φησίν, οὐ σμικρὸν κακόν, ἀλλὰ καὶ τὸ φρονίμων στρατηγῶν. Euripidis versum restituit Boissonade. cf. Philem. Com. 4 p. 31: εὔχου μὴ λαβεῖν πεῖραν φίλων.

994

εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλόν,
εἰς ἀρετὴν καταλυσαμένους βίον.

Plut. Comp. Pelop. et Marc. c. 3: ἄριστον μὲν γὰρ νικῶντα σῴζεσθαι τὸν στρατηγόν, εἰ δὲ θανεῖν, εἰς ἀρετὴν καταλύσαντα βίον,

ὡς *Εὐριπίδης φησίν*. Plut. de audiendis poetis c. 6 p. 24 D om. p. nom.: '*εἰ δὲ — βίον*'. *καταδυσαμένους* p. 24.

995

πολλοῖσι πολλήν, δὶς τόσοις δὲ πλείονα

Plut. V. Solon. c. 22: *Λυκούργῳ καὶ πόλιν οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ καὶ χώραν κεκτημένῳ* '*πολλοῖς — πλείονα*' *κατ' Εὐριπίδην, καὶ τὸ μέγιστον εἱλωτικοῦ πλήθους — περικεχυμένου τῇ Λακεδαίμονι, καλῶς εἶχεν — τοὺς πολίτας συνέχειν ἐν τοῖς ὅπλοις. πολλοῖς* libri, *πολλοῖσι* Musgrave. *τοσοῖσδε* libri, *τόσοις δὲ* Vater in Eur. Rhes. p. 110.

996

σύμμικτον εἶδος κἀποφώλιον τρέφος

Plut. V. Thesei c. 15: *τοὺς δὲ παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ λαβυρίνθῳ διαφθείρειν ἢ πλανωμένους αὐτοὺς καὶ τυχεῖν ἐξόδου μὴ δυναμένους ἐκεῖ καταθνήσκειν, τὸν δὲ Μινώταυρον, ὥσπερ Εὐριπίδης φησί*, '*σύμμικτον — βρέφος*' *γεγονέναι καὶ* '*ταύρου — φύσει*' (fr. 997). Plut. de curios. c. 10 p. 520 C: *καὶ ζητοῦντες εἴ τι γεγένηται* '*σύμμικτον εἶδος κἀποφώλιον τέρας*'. praetulerim *σύμμεικτον*. *κἀποφώλιον*] *καὶ ἀπόφημον* in vita Thesei C codex Stephani. pro *βρέφος* vel *τέρας* scripsi *τρέφος*. non Thesei, sed Cretensium esse hunc locum et fr. 997 probabiliter coni. G. Koerte *Histor. u. philol. Aufsätze E. Curtius gewidmet* p. 205.

997

ταύρου μεμῖχθαι καὶ βροτοῦ διπλῇ φύσει

Plut. V. Thesei c. 15, v. fr. 996. *μεμίχθαι* libri, rectius *μεμεῖχθαι* scribemus.

998

αἰεὶ πρασίμοχθοι κοὔποθ' ἥσυχοι δορί

Polyb. 5, 106, 4: *οὐ γὰρ οἶδ' ὅπως ἀεί ποτε Πελοποννήσιοι — κατὰ τὸν Εὐριπίδην ἦσαν αἰεὶ πρασίμοχθοί τινες καὶ οὔποτε ἥσυχοι δορί. αἰεὶ πρασίμοχθοι* AB, *αἰεὶ πρυσίμοχθοι* FDE, *αἰεὶ πλησίμοχθοι* C pr. m., *ἀεὶ περισσόμοχθοι* coni. Heimsoeth, probabilius videtur quod olim proposui *ἀμπρευσίμοχθοι* (*ἐξαμπρεύσομεν* Aristoph. Lys. 289). *ἀπληστόμοχθοι* voluit Munro, *ἐρασίμοχθοι* van Stegeren Mnem. nov. 10 p. 302. quod sequitur *τινές* a Polybio additum esse vidit Grotius.

999

ἀγήρων ἀρετήν

Pollux 2, 14: *Θουκυδίδης δὲ τὸν ἀγήρων, ὡς καὶ Εὐριπίδης τὴν ἀγήρων ἀρετήν, καὶ Δημοσθένης τιμὰς ἀγήρως.*

1000

Ζεὺς συγγένειος

Pollux 3, 5: *καὶ Ζεύς τις συγγένειος ὁ τὰ τῆς συγγενείας δίκαια ἐφορῶν παρ' Εὐριπίδῃ.*

1001

. . λίνου κλωστῆρα περιφέρει λαβών

Pollux 7, 31: *κλωστήρ· οὕτω δὲ καὶ τὴν περιστροφὴν τοῦ λίνου Εὐριπίδης ὠνόμασεν 'λίνου — λαβών'.*

1002

κορμοῖσι πεύκης

Pollux 7, 109: *καὶ Εὐριπίδης λέγει 'κορμοῖσι πεύκης'.*

1003

λῦε πηκτὰ δωμάτων

Pollux 10, 27: *τῷ δὲ κλεῖσαι ἴσον καὶ τὸ πακτοῦν καὶ τὸ ἐπιπακτοῦν τὰς θύρας ἐστίν, ὥσπερ τῷ ἀνοίγειν ταὐτὸν τὸ λύειν, ὡς ἔφη Εὐριπίδης 'λῦε πακτὰ δωμάτων'.* Aristophanes Ach. 479 Euripidem dicentem facit: *ἁνὴρ ὑβρίζει· κλεῖε πηκτὰ δωμάτων.* unde *πακτὰ* in *πηκτὰ* mutavi.

1004

Porphyr. de abst. 3, 25 p. 222, 2: *συγγενὲς ἡμῖν τὸ τῶν λοιπῶν ζῴων γένος· καὶ γὰρ τροφαὶ αἱ αὐταὶ πᾶσιν αὐτοῖς καὶ πνεύματα ὥς Εὐριπίδης καὶ φοινίους ἔχει ῥοὰς τὰ ζῷα πάντα καὶ κοινοὺς ἁπάντων δείκνυσι γονεῖς οὐρανὸν καὶ γῆν.* in his Euripidea esse '*φοινίους ἔχει ῥοὰς | τὰ ζῷα πάντα*' coni. Valckenaer Diatr. p. 50, cf. *αἵματός τε φοινίου ῥοάς* Eur. Suppl. 690.

1005

ἐγὼ δ' ἐμός εἰμι

Priscianus Inst. 17, 110 vol. 2 p. 166, 20: *in una autem eademque persona possessor simul et possessio intransitive intellegi non potest, nisi figurate dicat aliquis 'meus ego sum et servus et dominus' et similia. Persius 'vindicta postquam meus a praetore recessi' et Euripides* '*ἐγὼ δ' ἐμός* (*ἐμοῖς* libri meliores) *εἰμι*'. similiter Prisc.

Inst. 17, 198 vol. 2 p. 205, 3. Euripidem dixisse *ἐγὼ δ' ἐμὸς ⟨νῦν⟩ εἰμι* coni. Cobet Misc. crit. p. 67 et Coll. crit. p. 232. haud dissimilis est Apollodori comici versus quem servavit Donatus in Terent. Phorm. 4, 1, 21 sic scriptum: *ἐγὼ γάρ εἰμι μόνος τῶν ἐμῶν ἐμός.* cf. Meineke Com. 4 p. 447. suspicatus olim sum coniunctis Prisciani et Donati lectionibus esse scribendum *ἐγὼ δ', ἐμὸς ⟨γάρ⟩ εἰμι τῶν ἐμῶν μόνος.*

.1006

οὐχ ἑσπέρας φάσ', ἀλλὰ καὶ μεσημβρίας
τούτους ἀφεστήκασιν ἡμέραν τρίτην.

Priscianus Inst. 18, 166 vol. 2 p. 282, 18: *Euripides* '*οὐχ ἑσπέρας — τρίτην*', *et nos* '*absum tertium diem*'. eosdem versus tanquam Euripideos affert Priscianus Inst. 18, 194 vol. 2 p. 300, 21. verba *μεσημβρίας τούτους ἀφεστήκασιν* om, poetae nom. habet Etym. Voss. p. 332 B ed. Gaisf. dixit de hoc loco Gomperz *Nachl.* p. 40.

1007

λευκοὺς λίθους χέοντες αὐχοῦσιν μέγα.

Proverb. append. 3, 69: *λίθων χοαί· ἄργυρος καὶ χρυσός. καὶ γὰρ Εὐριπίδης φησὶ* '*λευκοὺς — μέγα*'. eadem Phot. Lex. p. 223, 16 et Suidas v. *λίθων χοαί.* omisso poetae nomine versum repetit Suid. v. *λευκοὺς λίθους. φέροντες* Prov. cod. Vat. 482, *ἔχοντες* ceteri, *χέοντες* emend. Naber Mnem. nov. 1 p. 344.

1008

⟨τί φής;⟩ τί σιγᾷς; μῶν φόνον τιν' εἰργάσω;

Schol. Aesch. Eum. 276: *καὶ παρ' Εὐριπίδῃ* '*τί σιγᾷς — εἰργάσω;*' *τί φής* verba supplevi, cf. Soph. Phil. 805 951 Ar. Thesm. 144 Lysistr. 70. item *τί φής* reddendum Eur. Hipp. 297.

1009

γλαυκῶπίς τε στρέφεται μήνη

Schol. Apoll. Rh. 1, 1280 de v. *γλαυκῶπις: καὶ Εὐριπίδης ἐπὶ τῆς σελήνης ἐχρήσατο* '*γλαυκῶπις — μήνη*'. cf. Plut. de facie in orbe lunae c. 21, 7 p. 934 D: *γλαυκῶπιν αὐτὴν* (lunam) *οἱ ποιηταὶ καὶ Ἐμπεδοκλῆς* (v. 159 St.) *ἀνακαλοῦνται.* Nonnus Dionys. 5, 70: *γλαυκώπιδι μήνῃ.*

1010

ἤπειρον εἰς ἄπειρον ἐκβάλλων πόδα

Schol. Apoll. Rh. 4, 71: *ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς·*

κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς φανερὸν Εὐριπίδης πεποίηκεν 'ἤπειρον — χθόνα'. similiter Phot. Lex. p. 72, 14 Anecd. Paris. vol. 4 p. 169, 33 Anecd. Bachm. vol. 1 p. 251, 23 Suid. v. *ἤπειρος* Zon. Lex. p. 1001. *ἤπειρον*] *ἄπειρον* Schol. Apoll. L. *εἰς ἄπειρον*] *ὡς ἤπειρον* Zon. *ἐκβάλλων*] *ἐκβάλλω* Zon., *ἐκβαλὼν* v. l. in Suid. *πόδα*] *χθόνα* Schol. Apoll. eundem versum probabile est afferri in Anecd. Paris. vol. 4 p. 183, 11 et Etym. Gud. p. 247, 6: *καὶ Εὐριπίδης φησὶν*

ἤπειρον εἰς ἄπειρον ἐξεπλεύσαμεν.

quocum consentit fere Iohannes Philoponus in Aristot. Meteor. fol. 80 ed. Ald.: *ἡ γῆ — μεγίστη ὑπάρχουσα καὶ διὰ τὸ μέγεθος ἤπειρος οἱονεὶ ἄπειρος ὀνομαζομένη, οἷόν ἐστι τὸ 'ἤπειρον εἰς ἄπειρον εἰσεπλεύσαμεν'.* fortasse spectavit Euripideum versum Dionys. P. 430: *Δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται.*

1011

τί χρέος ἔβα δῶμα;

Schol. Ar. Nub. 30: *ἀτὰρ τί χρέος ἔβα με*] — *Εὐριπίδης 'τί χρέος ἔβα δῶμα'.* ad Aristophanicum *χρέος* excusandum, quod excusatione non eget, Phrynichus Lob. p. 391 dicit videri Aristophanem parodia esse usum. ceterum Euripideis verbis similia sunt quae habemus Herc. 530: *τί καινὸν ἦλθε τοῖσδε δώμασιν χρέος;*

1012

ἀεί ποτ' ⟨ἐστὶ⟩ σπέρμα κηρύκων λάλον.

Schol. Eur. Or. 896: *καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει ὅτι 'ἀεί — λάλον'.* *ποτ' ἐστὶ* Musgrave, *ποτε* libri.

1013

τὸ μὲν τέθνηκε σῶμα, τοῦτο δ' ἀναβλέπει.

Schol. Eur. Tro. 628: *ἔθος ἐστὶ τῷ Εὐριπίδῃ τῷ βλέπειν χρῆσθαι ἀντὶ τοῦ ζῆν, ὡς καὶ ἀλλαχοῦ 'τὸ μὲν — ἀναβλέπει'.* *σώματος, τὸ δ' αὖ βλέπει* scribendum suspicor, et *αὖ βλέπει* ante me suasit Cobet (v. Eur. Phoen. ed. Geel. p. 306), qui postea *τοῦτο δὲ βλέπει* praetulit Coll. crit. p. 232.

1014

πόλεως μὲν ἀρχῷ, φωτὶ δ' οὐκ ἔτῃ πρέπων

Schol. A Il. Z 239 de *ἔτης*: *δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι. παρὰ γοῦν τῷ Αἰσχύλῳ* (fr. 377) *οὕτως εὕρομεν — καὶ παρ' Εὐριπίδῃ τὸ 'πόλει — πρέπων'.* Eust. Il. p. 641, 59: *καὶ Εὐριπίδης 'πόλει — πρέπων'. πόλεως μὲν ἀρχῷ*

Bothe, *πόλει μὲν ἄρχων* Schol. Il., *πόλει μὲν ἄρχειν* Heimsoeth, qui in fine versus *πρέπον* requirit. *οὐκ ἔτῃ* Eust., *οὐκέτι* Schol. Il.

1015

αἰεὶ δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρός·
ἡ μὲν γὰρ αὑτῆς οἶδεν ὄνθ', ὃ δ' οἴεται.

Schol. M Od. δ 387: *τὰ μὲν περὶ τῶν μητέρων ἐκ γενέσεως ἱκανὰ φησὶν Ὅμηρος ἔχειν τεκμήρια, τὸ δὲ τῶν πατέρων ἀδιόριστον εἶναι — ὅθεν καὶ Εὐριπίδης* '*αἰεὶ δὲ — οἴεται*'. Schol. EM Od. α 215: *ὁμοίως Εὐριπίδης* '*μήτηρ φιλότεκνος — οἴεται*'. Eust. Od. p. 1412, 14: *ὅτι δὲ τῇ μητρὶ ἀνάκειται ἡ περὶ τῶν παίδων ἀκριβὴς εἴδησις, δηλοῖ καὶ Εὐριπίδης λέγων* '*μήτηρ φιλότεκνος — οἴεται*'. Stob. Flor. 76, 7: *Μενάνδρου* (sic MA, eclogam om. S). '*ἔστιν δὲ μήτηρ — οἴεται*'. om. poetae nom. Schol. Hermog. in Rhet. vol. 7 p. 765, 24: '*ἔστι μήτηρ — οἴεται*'. v. 1 *αἰεὶ δὲ* Schol. Od. δ, *ἔστιν* (*ἔστι* A) *δὲ* Stob., *ἔστι* Schol. Hermog., om. Schol. Od. α et Eust. *φιλότεκνον μᾶλλον πατρός* Schol. α 215 cod. M, *πατρὸς φιλοτεκνοτέρα* Schol. Hermog. v. 2 *αὑτῆς οἶδεν*] *οἶδεν αὑτῆς* Schol. Od. δ, *αὑτῆς οἶδ'* Schol. Od. α et Stob., *αὑτῆς οἶδεν* Schol. Hermog. et Eust. *ὄνθ' ὃ δ'*] *ὄντα ὁ δ'* Schol. Od. δ Eust. Schol. Hermog., *ἐόντας ὁ δ'* Schol. Od. α, *υἱόν θ'* Stob. quod Menandro hos versus tribuit Stobaeus, errore factum videtur, cf. Cobet N. L. p. 53 sq.

1016

Schol. Pind. Isthm. 4, 104 de Herculis ex Megara filiis: *καὶ περὶ τοῦ ἀριθμοῦ δὲ διαλλάττουσι· Διονύσιος μὲν ἐν πρώτῳ Κύκλων Θηρίμαχον καὶ Δηικόωντα, Εὐριπίδης δὲ προστίθησιν αὐτοῖς καὶ Ἀριστόδημον.* non perditam fabulam spectari hoc loco sed Herculem superstitem tragoediam probabiliter statuit Wilamowitz-Moellendorff Anal. Eur. p. 186. ad Euripidem translata videntur quae de interprete Euripidis dicenda erant. cf. Aesch. fr. 376 Soph. fr. 343 Robert *Bild und Lied* p. 242 sqq.

1017

τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.

Schol. Pind. Nem. 1, 13: *ἄκρως ἔνδοξος ὁ εὐτυχής. καὶ Εὐριπίδης* '*τὸν — νομίζομεν*'. om. poetae nomen Stob. Ecl. 1, 6, 12 p. 86, 2. cf. Men. mon. 497 et Simplicii locum in Agathon. fr. 6 allatum.

1018

ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.

Schol. Pind. Nem. 6, 7: *ἐμφερές τι ἔχομεν τοῖς θεοῖς· ἢ κατὰ νοῦν· θεῖος* (*θεὸς* em. Valckenaer Diatr. p. 238) *γάρ τις ἐν ἡμῖν κατὰ τὸν Εὐριπίδην*. Cic. Tusc. 1, 26, 65: *ergo animus, ut ego dico, divinus est, ut Euripides audet dicere, deus est.* Theo Rhet. vol. 1 p. 212: *οἷον Εὐριπίδης ὁ ποιητὴς τὸν νοῦν ἡμῶν ἑκάστου ἔφησεν εἶναι θεόν*. Nemesius Emes. de N. H. p. 348 sq.: *Εὐριπίδης δὲ καὶ Μένανδρος ἐν ἐνίοις τὸν νοῦν τὸν ἐν ἑκάστῳ φασὶ προνοεῖν ἑκάστου, θεῶν δὲ μηδένα*. Men. mon. 434: *'ὁ νοῦς γὰρ — θεός'*. Tzetz. Exeg. Il. p. 53, 6: *ὁ Μένανδρος πάλιν φησίν 'ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἑκάστῳ θεός'*. Plut. Quaest. Plat. 1, 1 p. 999 E: *καθάπερ Μένανδρος 'ὁ νοῦς γὰρ ἡμῶν ὁ θεός'*. Iambl. Protr. c. 8 p. 138: *ὁ νοῦς γὰρ ἡμῶν θεός, εἴτε Ἑρμότιμος εἴτε Ἀναξαγόρας εἶπε τοῦτο καὶ ὅτι 'ὁ θνητὸς αἰὼν μέρος ἔχει θεοῦ τινος'*. Men. Com. vol. 4 p. 72: *θεός ἐστι τοῖς χρηστοῖς ἀεὶ ὁ νοῦς γάρ, ὡς ἔοικεν, ὦ σοφώτατοι*. p. 90: *ὁ νοῦς γάρ ἐστιν ὁ λαλήσων θεός*. cf. Marcus Anton. 12, 26: *ἐπελάθου δὲ καὶ τοῦ ὅτι ὁ ἑκάστου νοῦς θεός*. Iulianus p. 68 D: *νῷ καὶ φρονήσει καὶ τὸ ὅλον τῷ ἐν ἡμῖν θεῷ*. idem p. 196 D: *ἀλλ' ὅτι τῷ λόγῳ καὶ τῷ ἐν ἡμῖν θεῷ τοῦτ' ἔστι τῷ νῷ ταῦτά ἐστιν ἀπόρρητα*. Hermes Poemandr. c. 12 p. 100: *οὗτος δὲ ὁ νοῦς ἐν μὲν ἀνθρώποις θεός ἐστι*. Theophil. ad Autol. 2, 4 p. 54: *θεὸν εἶναι μόνον φασὶν τὴν ἑκάστου συνείδησιν*. Seneca Epist. mor. 4, 32, 9: *quid aliud voces hunc* (sc. *animum*) *quam deum in humano corpore hospitantem?*

1019

δούλοισι γάρ τε ζῶμεν οἱ ἐλεύθεροι.

Schol. Pind. Pyth. 4, 71: *ἐπειδὴ δὲ οἱ οἰκέται τῶν δεσποτῶν τοὺς πόνους διαλύουσι τῇ θεραπείᾳ, λυσιπόνους αὐτοὺς ἐκάλεσεν, ὡς Εὐριπίδης 'δούλοισι — ἐλεύθεροι'. γάρ τοι* et *οἵ γ' ἐλεύθεροι* coni. Heath. pariter incertae sunt aliorum coniecturae.

1020

ὃ δ' ἐσφάδαζεν οὐκ ἔχων ἀπαλλαγάς.

Schol. Soph. Ai. 883: *ἀσφαδάστῳ — καὶ παρ' Εὐριπίδῃ 'ὃ δ' — ἀπαλλαγάς'. ἐσφάδαζεν* ed.

1021

Schol. Soph. Trach. 172 de Dodonaeis columbis: *Εὐριπίδης τρεῖς γεγονέναι φησὶν αὐτάς· οἳ δὲ δύο.*

1022

Serv. in Verg. A. 7, 337: *tibi nomina mille*] — *secundum Euripidem, in cuius tragoedia dicit furia se non esse unius potestatis, sed*

se fortunam, se nemesin, se fatum, se esse necessitatem. vocabatur igitur, ut ait Max. Mayer de Eur. mythopoeia p. 82, *τύχη, νέμεσις, μοῖρα, ἀνάγκη.* cf. Dio Chrys. 64, 8: *ὠνόμασται δὲ ἡ τύχη καὶ πολλοῖς τισιν ἐν ἀνθρώποις ὀνόμασι· τὸ μὲν ἴσον αὐτῆς νέμεσις, τὸ δὲ ἄδηλον ἐλπίς, τὸ δὲ ἀναγκαῖον μοῖρα, τὸ δὲ δίκαιον θέμις, πολυώνυμός τις ὡς ἀληθῶς θεὸς καὶ πολύτροπος.*

1023

Αἰθέρα καὶ Γαῖαν πάντων γενέτειραν ἀείδω.

Sextus Empir. p. 539, 15 (Hippol. Refut. haer. p. 498): *ἐκ γῆς δὲ καὶ αἰθέρος* (sc. *γεγενῆσθαι τὰ πάντα*) *Εὐριπίδης, ὡς πάρεστιν ἐκδέξασθαι ἐκ τοῦ λέγειν αὐτὸν 'αἰθέρα — ἀείδω'.* physici potius quam Euripidis hunc esse versum censuit Valckenaer: ad Antiopam referri voluit Wagner, cuius coniecturam Wilamowitz-Moellendorff confirmari arbitratur loco Philostr. Imag. 1, 10: *ᾄδει δέ* (Amphion), *οἶμαι, τὴν γῆν ὅτι 'πάντων γενέτειρα' οὖσα καὶ αὐτόματα ἤδη τείχη δίδωσιν.*

1024

φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.

Socrates Hist. eccl. 3, 16 p. 189 D: *ἀλλὰ καὶ τὸ 'φθείρουσιν — κακαί' δείκνυσι μὴ ἀνήκοον* (sc. *Παῦλον*) *τῶν Εὐριπίδου δραμάτων τυγχάνοντα.* omisso poetae nomine hunc versum afferunt Paulus Epist. ad Corinth. 1, 15, 33 Clemens Alex. Paed. II p. 198 et (quo loco *τραγικὸν ἰαμβεῖον* dicitur) Strom. I p. 350 Gregorius Naz. vol. 2 p. 191 B Cyrill. c. Iul. I p. 3 C Eusebius P. E. VI p. 249 A Theodoretus vol. 2 p. 1343 Isidorus Pelus. Epist. 4, 35 Athanasius vol. 1 p. 914 A Phot. ad Amphil. quaest. 92 p. 588 ed. Mign. Iohannes Chrysost. vol. 1 p. 565 A vol. 2 p. 909 C vol. 4 p. 42 B p. 151 C vol. 5 p. 142 E vol. 7 p. 35 B vol. 8 p. 457 C vol. 11 p. 602 D vol. 12 p. 274. cf. Men. mon. 738 et Anecd. Oxon. vol. 4 p. 303, 27. respicit Diod. Sic. 16, 54: *ταῖς πονηραῖς ὁμιλίαις διέφθειρε τὰ ἤθη τῶν ἀνθρώπων.* Latine reddidit Tertullianus ad uxorem 1, 8: *memor illius versiculi sanctificati per apostolum 'bonos corrumpunt mores congressus mali'.* Menandro (Com. 4 p. 132) tribuit Photius ad Amphiloch. quaest. 151 in Maii Script. vet. nov. coll. vol. 9 p. 102. item Hieronymus tom. 3 fol. 148 D ed. Basil.: *in alia quoque epistola Menandri ponit senarium 'φθείρουσιν — κακαί'.* cf. Hieronym. tom. 5 fol. 86 D tom. 9 p. 185 B p. 248 C.

1025

θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν
οὐδ' εἰς τὸ μεῖζον ἦλθε· τὰς θνητῶν δ' ἐγὼ
χαίρειν κελεύω θεῶν ἄτερ προθυμίας.

Stob. Ecl. 1, 1, 17 p. 28, 7 sine lemm.: 'θεοῦ — προθυμίας'. v. 1 recurrit in Men. mon. 250 (Anecd. Boiss. vol. 1 p. 155), ubi θεοῦ γὰρ χωρὶς οὐδεὶς εὐτυχεῖ βροτῶν legitur. item in Anth. Pal. 10, 107: *Εὐριπίδου.* 'θεοῦ μὲν ἐκτὸς οὐδεὶς (οὔτις Scaliger) εὐτυχεῖ βροτός.' cum Anthologia consentit, sed om. poetae nomen Ioh. Lydus de mens. 4, 7 p. 55, 6. v. 2 μεῖον F, μεῖζον Valckenaer, fortasse κρεῖσσον praeferendum. v. 3 προμηθίας Valckenaer.

1026

τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.

Stob. Ecl. 2, 8, 11 p. 155, 4: 'τὰ πλεῖστα — αὐθαίρετα'. insequenti Euripidis loco τοῦ αὐτοῦ praefigitur. idem versus legitur in Men. mon. 499.

1027

παῖς ὢν φυλάσσου πραγμάτων αἰσχρῶν ἄπο·
ὡς ἢν τραφῇ τις μὴ κακῶς, αἰσχύνεται
ἀνὴρ γενόμενος αἰσχρὰ δρᾶν· νέος δ' ὅταν
πόλλ' ἐξαμάρτῃ, τὴν ἁμαρτίαν ἔχει
εἰς γῆρας αὑτοῦ τοῖς τρόποισιν ἔμφυτον. 5

Stob. Ecl. 2, 31, 2 p. 199, 19: τοῦ αὐτοῦ (praecedit Hecubae Euripideae locus). 'παῖς ὢν — ἔμφυτον'. v. 1 φυλάττου L. ἄπο vitiosum, κλέος coni. Meineke, ἄγος F. G. Schmidt *Krit. Misc.* p. 22 sq. sive *Krit. Stud.* 2 p. 501 sq., ἐρᾶν Cobet Coll. crit. p. 231, ἔρον O. Hense. v. 2 ὡς ἂν L. v. 5 αὑτοῦ scripsi, αὐτοῖς L.

1028

ὅστις νέος ὢν μουσῶν ἀμελεῖ,
τόν τε παρελθόντ' ἀπόλωλε χρόνον
καὶ τὸν μέλλοντα τέθνηκεν.

Stob. Ecl. 2, 31, 24 p. 206, 11: *Εὐριπίδου κωμ.* 'ὅστις — τέθνηκε'. lemmatis emendatio incerta: *Εὐριπίδου χορικοῦ* scripsit Meineke, *Εὐβουλίδου Κωμαστῶν* coni. Wachsmuth.

1029

οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον·
οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων
οὔτ' εὐγενείας οὔτε θωπείας ὄχλου.
ἀρετὴ δ' ὅσῳ περ μᾶλλον ἂν χρῆσθαι θέλῃς,
τοσῷδε μείζων αὔξεται τελουμένη. 5

Stob. Flor. 1, 6 (eclogam sine lemmate habet M, om. SA): '*οὐκ ἔστιν — τελειουμένη*'. Euripidis esse locum docet Orion Flor. Eurip. 21 p. 57, 25. v. 1 respicit Georg. Lapith. Poem. mor. v. 235: *σοφίας γὰρ καὶ ἀρετῆς οὐδὲν προτιμητέον.* haud dissimilia leguntur alibi, cf. Soph. Ant. 702: *οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.* Men. mon. 416: *οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.* mon. 482: *σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.* v. 3 *εὐγενείας* Or., *ἀσφαλείας* Stob. *ὄχλου* Stob. *ὄχλων* Or. v. 4 et 5 a praegressis dirimendi videntur, cf. quae diximus de fr. 542. v. 5 *μείζων* scripsi, *μεῖζον* Orion, *μᾶλλον* Stob. *τελουμένη* Orion, *τελειουμένη* Stob., *μειουμένη* coni. Wordsworth (cf. Gomperz *Nachl.* p. 40 sq.), *καθ' ἡμέραν* Meineke Stob. Flor. vol. 4 p. LI, cui coniecturae favet Theodect. fr. 12, 5.

1030

ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.

Stob. Flor. 1, 7: *Εὐριπίδου* (sic M, eclogam om. SA). '*ἀρετὴ — καλόν*'. *καλῶν* Meineke.

1031

τὸ μὴ εἰδέναι σε μηδὲν ὧν ἁμαρτάνεις,
ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.

Stob. Flor. 4, 2: *Εὐριπίδου* (sic MA, ecl. om. S). '*τὸ — θράσους*'. v. 1 *τὸ μήδ'* (vel *τὸ δὲ μηδ'*) *εἰδέναι μηδὲν* libri, *τὸ μὴ εἰδέναι σε μηδὲν* Grotius. Menandri potius esse locum quam Euripidis statuit Dobree Adv. 2 p. 128.

1032

τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν
εἰς συμφορὰν καθῆκε πολλὰ δὴ βροτούς.

Stob. Flor. 4, 19: *τοῦ αὐτοῦ* (sc. *Εὐρ.*, sic Trinc., eclogam om. SMA). '*τὸ δ' — βροτούς*'. v. 1 *τὸ δ' ὀξὺ* coni. Meineke Herm. 3 p. 161 sq. *κάταλαίπωρον* Naber Mnem. nov. 6 p. 195. v. 2 *εἰς συμφορὰν καθίστησι πολλὴν δὴ βροτούς* Trinc., *εἰς ἡδονὰς καθῆκε πολλὰ δὴ βροτούς* ex uno cod. affert Schow. *εἰς πημονὰς* coni. Meineke *Zeitschr. f. d. Alterthumswiss.* 1846 p. 1097. *ἵστησι* Gesner,

ἔστησε Hartung Eur. rest. 2 p. 73. πολλάκις βροτούς Wagner, πόλλ' ἤδη O. Hense. ad Aeschyli Phryges locum rettulit G. Hermann.

1033

εὖ γὰρ τόδ' ἴσθι, κεἴ σ' ἐλάνθανεν πάρος,
τὸ σκαιὸν εἶναι πρῶτ' ἀμουσίαν ἔχει.

Stob. Flor. 4, 31: τοῦ αὐτοῦ (sc. *Εὐριπίδου*, sic Trinc., eclogam om. SMA). 'εὖ — ἔχει'. v. 1 κἂν εἴ σ' Trinc., κεἴ σ' Valckenaer. v. 2 ἀμουσίας Gesner. κἄργ' ἀμουσίας ἔχει F. G. Schmidt *Krit. Stud.* 2 p. 505.

1034

φεῦ φεῦ, τὸ νικᾶν τἄνδιχ' ὡς καλὸν γέρας,
τὰ μὴ δίκαια δ' ὡς ἁπανταχοῦ κακόν·
καὶ γλῶσσα φλαύρα καὶ φθόνος τοῦ μὴ φθονεῖν
ὅσῳ κάκιον μὴ καλῶς ὠγκωμένοις.

Stob. Flor. 9, 15: *Εὐριπίδου.* 'φεῦ φεῦ — ὠγκωμένοις'. v. 1 τὰ δίκαι' vel τὰ δίκαια libri, τἄνδιχ' Musgrave.

1035

δύστηνος ὅστις τὰ καλὰ καὶ ψευδῆ λέγων
οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν.

Stob. Flor. 12, 1: *Εὐριπίδου.* 'δύστηνος — ἀληθέσιν'. v. 1 καὶ τὰ καλὰ ψευδῆ SMA, τὰ καλὰ καὶ ψευδῆ Porson Adv. p. 276, τὰ καλὰ κἀψευδῆ F. G. Schmidt Anal. Soph. p. 137. v. 2 οὐκ οἶδε χρῆσθαι V. Iernstedt. καλοῖς Grotius, κακοῖς SMA. κἀληθέσιν Porson.

1036

πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω
ἢ σκλήρ' ἀληθῆ; φράζε· σὴ γὰρ ἡ κρίσις.

Stob. Flor. 13, 1: *Εὐριπίδου.* 'πότερα — κρίσις'. v. 1 μαλακὰ καὶ ψευδῆ coni. Hilberg *Princip der Silbenw.* p. 231.

1037

ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε.

Stob. Flor. 13, 15: *Εὐριπίδου* (sic SMA, lemma om. L). 'ἀτὰρ — ποτε'. γε om. L.

1038

ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο
δειναί, πλάνος τε καρδίᾳ προσίσταται.

Stob. Flor. 20, 26: τοῦ αὐτοῦ (sic S, eclogam om. MA). 'ὀργαὶ — προσίσταται'. de Archelao Euripidis lemma cod. S interpretandum esse coni. O. Hense (cf. Eur. fr. 259).

1039

ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.

Stob. Flor. 20, 39: τοῦ αὐτοῦ (sc. *Εὐρ.*, sic S, eclogam om. MA). 'ὁ θυμὸς — ἔχει'.

1040

ἐὰν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα.

Stob. Flor. 22, 5: *Εὐριπίδου.* 'ὅταν — προσδόκα' (v. 1—4). iidem versus extant in Men. et Philist. comp. v. 111—114. v. 1 ὅταν ἴδῃς Stob., ὅταν εἴδῃς Comp., ἐὰν ἴδῃς Apostol. 6, 44 c, ὅταν δ' ἴδῃς Meineke, ἐπὰν ἴδῃς Studemund. πρὸς] εἰς malim. πρὸς ὕψος ἠρμένον τινά Stob., πόνηρον εἰς ὕψος φερόμενον (αἰρόμενον Max. Conf.) Comp. v. 2 λαμπρῷ Stob., κακῶς Comp., λαμπρόν Meineke. γένει] τύχῃ Comp., illud commendatur fr. 662, 1: πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους. v. 3 ὀφρὺν δὲ Comp. τῆς τύχης] ταῖς τύχαις F. G. Schmidt Sat. crit. p. 20. v. 4 τάχιον Comp. νέμεσιν εὐθὺς προσδόκα Stob., νέμεσιν (nec plura) Comp., μεταβολὴν προσδόκα Max. Conf., τὴν μεταβολὴν προσδόκα Apostol., νέμεσιν ἵξεσθαι δόκει coni. Meineke, μεταβολὴν καραδόκει Vsener (cf. Wachsmuth *Stud. zu den griech. Floril.* p. 124), νέμεσιν εὐθὺς ἐκδέχου ego malim. accedunt apud Maximum Conf. et alios haec verba, ἐπαίρεται γὰρ μεῖζον, ἵνα καὶ μεῖζον πέσῃ, ubi non καὶ expungendum est, ut plerique fecerunt, sed prius μεῖζον in μέγ' mutandum (cf. Greg. Naz. Orat. XLIII p. 702 A: μὴ ἐπαρθῇς μέγα, ἵνα μὴ μεῖζον κατενεχθῇς. Basil. Maced. Exhort. 65: μὴ οὖν μέγα ἐπαρθῇς, φησίν, ἵνα μὴ μεῖζον πέσῃς). facile autem patet neque Euripidis neque veteris poetae istum esse versum, cuius patrocinium qui suscepit Cobet Coll. crit. p. 232 sq. vellem docuisset μέγα πίπτειν aut μεῖζον πίπτειν potuisse a probato scriptore dici.

1041

κρινεῖ τίς αὐτὸν πώποτ' ἀνθρώπων μέγαν,
ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον;

Stob. Flor. 22, 6: *τοῦ αὐτοῦ.* '*κρίνει — ὅλον;*' v. 1 *κρίνει* SMA, *κρινεῖ* Valckenaer. *τίς αὐτὸν* S, *τὶ σαυτὸν* M, *τίς αὐτὸν* A. *ἄνθρωπον* SMA, *ἀνθρώπων* Valckenaer Diatr. p. 223, *ἄνθρωπος* Matthiae.

1042

ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ' ἁμαρτάνοντες οὐ γιγνώσκομεν.

Stob. Flor. 23, 5: *Εὐριπίδου.* '*ἅπαντες — γινώσκομεν*'. eosdem versus om. p. nom. habent Anecd. Boiss. vol. 1 p. 114 Excerpta Vindob. 73 Men. mon. 46 et 47 Vita Aesopi ed. Westerm. p. 46, 5 Codex Paris. 2720 (cf. Schneidewin Progymn. in Anthol. Gr. p. 31). v. 1 *πάντες* Vita Aesop. *εἰς τὸ*] *τοῦ* Vita Aesop. v. 2 *ἁμαρτάνοντες*] *ὅταν σφάλωμεν* Stob. S, ubi *ὅταν ποιῶμεν* MA. *συνήκαμεν* Orion, *γινώσκομεν* ceteri. Euripidem imitatur Sosicrates Com. 4 p. 592: *ἀγαθοὶ δὲ τὸ κακόν ἐσμεν ἐφ' ἑτέρων ἰδεῖν, αὐτοὶ δ' ὅταν ποιῶμεν* (l. *πταίωμεν*) *οὐ γινώσκομεν.*

1043

οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.

Stob. Flor. 29, 31: *Εὐριπίδου* (sic S, ubi insequenti eclogae *τοῦ αὐτοῦ Ἀρχελάῳ* adscribitur, *Καρκίνου* MA). '*οὐδεὶς — ἐκτήσατο*'. Carcini locum excidisse coni. O. Hense.

1044

οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν οὔτ' ἀπὸ γλώσσης λόγον.

Stob. Flor. 36, 14: *Μενάνδρου.* '*οὔτ' ἐκ — λόγον*'. tragici poetae locum esse coni. Meineke Com. 4 p. XIII sq., quam coniecturam confirmat codex S, ubi insequenti Euripidis loco *τοῦ αὐτοῦ Δίκτυος* praefigitur: unde patet Menandri locum excidisse. fortasse huc respicit Plut. de garrulit. c. 10 p. 507 A: *οὔτε γὰρ πτηνὸν ἐκ τῶν χειρῶν ἀφέντα ῥᾴδιόν ἐστιν αὖθις κατασχεῖν οὔτε λόγον ἐκ τοῦ στόματος προέμενον κρατῆσαι καὶ συλλαβεῖν δυνατόν.* v. 1 *χερὸς μεθέντα*] *χερῶν ἀφέντα* legisse videtur Plut. *καρτερᾶς* non recte coni. Cobet N. L. p. 53. nec placent quae protulit F. G. Schmidt *Krit. Stud.* 2 p. 506 sq.

1045

μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος.

Stob. Flor. 39, 2 (sine lemmate cum praegressa ecloga cohaeret in S, a MA abest): '*μὴ — πειρώμενος*'. sequitur Phoenissarum locus, cui *τοῦ αὐτοῦ Φοινίσσαις* praefigit S. *πατρίδι συλλαβεῖν* coni. Maehly, *συλλαβεῖν* iam Bothe suaserat.

1046

πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου
κρείσσων πάτρα σώφρονι ναίειν.
τὸ δὲ σύντροφον ἁδύ τι θνητοῖς
ἐν βίῳ χωρεῖ.

Stob. Flor. 39, 4: *τοῦ αὐτοῦ* (sic S, praecedit Phoenissarum locus, eclogam om. MA). '*πολλοῦ — χωρεῖ*'. v. 1 *γὰρ* deleri vult Meineke. ego v. 1 sq. *πολλῷ χρυσοῦ γὰρ καὶ πλούτου κρεῖσσον* temptabam. v. 2 *κρεῖσσον παρὰ σώφρονι ναίειν* coni. F. G. Schmidt. v. 3 sq. *τὸ δὲ σῶφρον ὃν ἁδύ τι θνητοῖς τὸν βίον ὀρθοῖ* idem *Krit. Stud.* 2 p. 507. v. 3 aut *θνατοῖς* aut, quod praeferendum arbitror, *ἡδύ* requiri recte iudicat Dindorf.

1047

ἅπας μὲν ἀὴρ αἰετῷ περάσιμος,
ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.

Musonius in Stob. Flor. 40, 9: *σύμφωνα δὲ τούτοις λέγει καὶ Εὐριπίδης ἐν οἷς φησίν* '*ἅπας — πατρίς*'. v. 1 *αἰετῷ* in A corr., *ἀετῷ* ceteri libri praebere videntur. expressit hos versus Ovidius Fast. 1, 493: *omne solum forti patria est, ut piscibus aequor, ut volucri vacuo quidquid in orbe patet.*

1048

οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον·
χρῆν γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας
μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψήλ' ἄγειν.
ὅστις κατ' ἰσχὺν πρῶτος ὢν ἠτάζετο
ἢ τόξα πάλλων ἢ μάχῃ δορὸς σθένων, 5
τοῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν.

Stob. Flor. 43, 13: *τοῦ αὐτοῦ* (ita S, praecedit Eur. fr. 267, eclogam om. MA). '*οὐκ — ἐχρῆν*'. v. 1 iisdem verbis in Hecub. 805 legitur, propemodum concinit Chaerem. fr. 21, 1. v. 2 *χρῆν* S

pr. m., χρὴ ed. v. 4—6 alius esse loci coni. Matthiae recte, ut opinor, cf. quae diximus in Eur. fr. 378. v. 4 κατ' ἄστυ bene coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 507. πρῶτος ὢν ἠτάζετο Gomperz Mus. Rhen. 13 p. 478, πρῶτος ὠνομάζετο S. v. 5 τόξα βάλλων Wyttenbach, τόξ' ἰάλλων Meineke.

1049

ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ
βωμὸν προσίζει, τὸν νόμον χαίρειν ἐῶν
πρὸς τὴν δίκην ἄγοιμ' ἂν οὐ τρέσας θεούς·
κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί.

Stob. Flor. 46, 3: *Εὐριπίδου* (sic MA, τοῦ αὐτοῦ S). 'ἐγὼ — ἀεί'.

1050

ἀλλ' οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,
οὐδ' ἄνδρα χρηστὸν νεῖκος αἱρεσθαι κακοῖς·
τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.

Stob. Flor. 48, 2: *Εὐριπίδου.* 'ἀλλ' — ἀσθενεστέροις'. v. 2 ἄρασθαι Wecklein.

1051

σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς.

Stob. Flor. 51, 6: *Εὐριπίδου* (sic MA, lemma om. S) 'σὺν — βροτοῖς'.

1052

νεανίας γὰρ ὅστις ὢν Ἄρη στυγῇ,
κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος
ὅ τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων·
ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία, 5
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα·
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα,
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

Stob. Flor. 51, 14: *Εὐριπίδου.* 'νεανίας — θηρωμένη'. v. 1 ὢν om. A. στυγῇ SM, στυγεῖ A ut videtur. v. 2 ἔργμα Halm Lect. Stob. p. 52. v. 3 utitur Ath. XIV p. 641 C: ὄντως γὰρ κατὰ τὸν *Εὐριπίδην ἀποβλέψαντα ἔστιν εἰς τὰ παρακείμενα εἰπεῖν* 'ὁρᾷς — βίος'. v. 4 nondum emendatus. ὅ τ' ὄλβος ὡς ἔξωθέν ἐστι πρ.

coni. Hirschig, ὅ τ' ὄλβος ἔξωθεν (ἔξω νιν Wecklein) τίθησι πρ. F. G. Schmidt Anal. Soph. p. 137, ὥς τ' ὄλβιός τίς ἐστι πραγμάτων ⟨δίχα⟩ Herwerden *Revue de philol.* 2 p. 57. v. 7 τὴν εὐδοξίαν cum Iacobsio malim secundum fr. 237, 3. Temeno locum tribuit Wecklein Philol. 39 p. 411.

1053

μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης
μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα.

Stob. Flor. 54, 14: *Εὐριπίδου.* '*μισῶ δ' — μειλίγματα*'. quae continuo subiciuntur, τοῖς πράγμασιν γὰρ κτἑ. (Eur. fr. 287), cum his versibus non cohaerent. v. 1 καὶ] ὧν F. G. Schmidt *Krit. Stud.* 2 p. 507 sq. v. 2 μὴ πᾶσι πάντως coni. Gesner, μὴ ἑταῖσι καμάτων F. G. Schmidt. προσφέρῃ S, προσφέρει M, προφέρῃ A. Archelai esse locum coni. Wecklein Philol. 39 p. 411.

1054

ἔρωτα δεινὸν ἔχομεν· ἐκ δ' ἐμῶν λόγων
ἑλοῦ τὰ βέλτισθ'· ὡς ἄπιστόν ἐστ' ἔρως
κἂν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ.

Stob. Flor. 64, 7: *Εὐριπίδου Ἀνδρομέδας* (sic SMA, sed *Ἀνδρομέδας* referendum esse ad praegressam eclogam, cui fabulae nomen non appositum est, probabiliter coni. Fritzsche in Lucian. vol. I part. 1 p. 26). '*ἔρωτα — θέλει*'. v. 1 ⟨δεσπότην⟩ | ἔρωτα δεινὸν ἔχομεν coni. Meineke, ἐρῶ τὰ δεῖν' ὅσ' ἔχομεν Enger Adnot. ad trag. Gr. fr. p. 7, ἐρῶ δ' ἃ δηλοῦν ἔχομεν F. G. Schmidt *Krit. Stud.* 2 p. 442. ceterum ἔχωμεν Stobaei SM, ἔχομεν (supra ο scr. ω) A. ἐκ δ' ἐμῶν Enger, ἐκ δὲ τῶν SMA. v. 2 βέλτιστα S. ὡς Pierson, ὥστ' SMA. ἄπειστόν Meineke. v. 3 κἂν] καὶ A. τῷ κρατίστῳ Meineke. τῶν φρενῶν] τῶν μελῶν F. G. Schmidt. οἰκεῖν S, ἀκεῖν M, ναρκεῖν A, ἄρχειν Meineke, θακεῖν Gomperz *Bruchst. d. gr. Tr.* p. 28.

1055

οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ
ἐσθλὴ παραζευχθεῖσα καὶ σῴζει δόμους.

Stob. Flor. 67, 8: *Εὐριπίδου* (sic SM, τοῦ αὐτοῦ A). '*οἰκοφθόρον — δόμους*'. v. 1 οἰκοφθορεῖν Herwerden Exerc. crit. p. 65. v. 2 σώζει] αὔξει A.

1056

οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις
οὔτ' εὐτυχοῦσι· συμφορὰ δ' ὃς ἂν τύχῃ
κακῆς γυναικός, εὐτυχεῖ δ' ἐσθλῆς τυχών.

Stob. Flor. 69, 3: *Εὐριπίδου.* '*οὐ — τυχών*'.

1057

μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν
ἐσθλῆς γυναικός, δυστυχεῖ δ' ὁ μὴ λαβών.

Stob. Flor. 69, 5: *Εὐριπίδου.* '*μακάριος — μὴ λαβών*'. v. 1 *ὅστις ἂν τύχῃ* Lobeck in Phryn. p. 277. ceterum cf. Men. mon. 614 sive Anecd. Boiss. 1 p. 157: *μακάριος ὅστις εὐτυχεῖ γενναῖος ὤν.* v. 2 *δυστυχεῖ* Lobeck, *εὐτυχεῖ* libri.

1058

ἐγὼ γὰρ ἕξω λέκτρα αὐτοῖς καλῶς ἔχειν
δίκαιόν ἐστιν οἷσι συγγηράσομαι.

Stob. Flor. 71, 5: *Εὐριπίδου.* '*ἐγὼ — συγγηράσομαι*'. v. 1 *ἕξω* M. v. 2 *οἶσι* M. locus nondum emendatus. A. *ἐγὼ παρέξω λέκτρα σοι καλῶς ἔχειν.* B. *δίκαιόν ἐστιν, οἷσι συγγηράσομαι,* coni. Valckenaer Diatr. p. 228.

1059

δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων,
δειναὶ δὲ ποταμῶν καὶ πυρὸς θερμοῦ πνοαί,
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία,
ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν·
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτον γραφῇ 5
οὐδ' ἂν λόγος δείξειεν. εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής.

Stob. Flor. 73, 1: *Εὐριπίδου.* '*δεινὴ μὲν — δυσμενής*'. Maximus Planudes de Aesopo p. 247, 12 ed. Eberh.: *Εὐριπίδη, χρυσοῦν ἐγώ σου φημὶ τὸ στόμα τοιαῦτα λέγον* '*πολλαὶ μὲν — γυνὴ κακή*' (v. 1—4). Vita Aesopi ed. Westerm. p. 21, 5: *ὦ Εὐριπίδη, χρυσοῦν σου τὸ ἀψευδὲς στόμα, ἅτε ἔλεγες* '*πολλαὶ μὲν — κακόν*' (v. 1—4). v. 1 *δεινὴ μὲν ἀλκὴ* Stob., *πολλαὶ μὲν ὀργαὶ* Plan. et Vita Aesop., unde *ὀργὴ* fortasse recipiendum. v. 2 *δειναὶ δὲ ποταμοῦ* Stob., *δειναὶ δὲ ποταμῶν* V. Aes., *πολλαὶ δὲ ποταμῶν* Plan., *δεινὴ δὲ ποτα-*

μῶν Grotius, *δειναὶ δ' ἀελλῶν* Herwerden *Revue de philol.* 2 p. 57, *δειναὶ δὲ βροντῶν* F. G. Schmidt *Krit. Stud.* 2 p. 508. *θερμαὶ* Stobaei S. v. 4 *ἀλλ'*] *πλὴν* Plan. et V. Aes. *κακόν*] *κακή* Plan. v. 5 *τοιοῦτον* scripsi, *τοιοῦτ' ἐν* libri. pro *γραφῇ* malim *γραφεῖ.* sed fortasse *γράμμα* vitiosum est, cuius loco *πρᾶγμα* scribi voluit Naber Mnem. nov. 1 p. 332, *πῆμα* R. Prinz, *θρέμμα* Mekler *Wiener Stud.* 3 p. 34 sq. *οὐδ' ἂν γένοιτ'· οὐ γράμμα τοῖον, οὐ γραφή* coni. Herwerden in Eur. Ion. p. 129, *οὐδ' ἂν δύναιτο γράμμα τόδε φυτὸν γράφειν* F. G. Schmidt.

1060

ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν.

Stob. Flor. 73, 6: '*ἐχθροῖσιν — ἔχειν*'. 'Euripidis esse versum testatur S, qui eclogas 73, 1—36 (exceptis 2. 4. 7, quae in S post ecl. 36 ponuntur) uno lemmate *Εὐριπίδου* comprehendit'. *O. Hense.* *πολεμίαν* vix sanum, *πλουσίαν* vel *πολυτελῆ* coni. Dobree Adv. 2 p. 125.

1061

μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος·
ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος,
τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον;

Stob. Flor. 74, 10: *Εὐριπίδου.* '*μοχθοῦμεν — πλέον;*' v. 1 *φρουροῦντες* SM, *φρονοῦντες* A. v. 2 *ἔνδικος* Gesner et fortasse B, *ενδοσ* SM, *ἔνδον* A. *μὴ πέφυκ' ἔνδον μένειν* coni. Gaisford, *μὴ πέφυκε κοσμία* Meineke, *μὴ πέφυκε σωφρονεῖν* Cobet Mnem. 9 p. 91 et Mnem. nov. 5 p. 252 sq. v. 3 *τί δὴ* A. *φυλάσσει* MA. *ἢ αξαμαρτάνειν* M. *μὴ ἐξαμαρτάνῃ* Mekler Eurip. p. 8. *τί νιν φυλάσσειν μὴ ἐξαμαρτάνειν πλέον* F. G. Schmidt *Krit. Stud.* 2 p. 509.

1062

γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ.

Stob. Flor. 74, 15: *Εὐριπίδου* (sic MA, lemma om. S). '*γυναικὶ — ἔχῃ*'. *ἂν* SMA.

1063

δεῖ πυνθάνεσθαι γάρ σε νῷν χἠμᾶς σέθεν.
τὸ μὲν μέγιστον, οὔποτ' ἄνδρα χρὴ σοφὸν
λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων·
ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς·
ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρωφωμένη 5
βλέπουσά τ' εἰς πᾶν καὶ παροῦσα πανταχοῦ

τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν·
τό τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον.
ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων
σῴζει δάμαρτα, δρᾶν τι δὴ δοκῶν σοφὸν 10
μάταιός ἐστι καὶ φρονῶν οὐδὲν φρονεῖ·
ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει,
θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χαρίζεται,
λάθοι δ' ἂν Ἄργου τὰς πυκνοφθάλμους κόρας·
καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως, 15
ἀνήρ τ' ἀχρεῖος χἠ γυνὴ διοίχεται.

Stob. Flor. 74, 27: Μενάνδρου. ⟨χρὴ⟩ μὴ γαμεῖν γάρ, ἂν δ' ἅπαξ λάβῃς (γαμῇς malim), φέρειν μύσαντα πολλὴν προῖκα καὶ γυναῖκα δεῖ. 'ἐκπυνθάνεσθαι — διοίχεται'. Menandri et tragici poetae versus coaluisse vidit Pierson in Moer. p. 275, cf. Meineke Com. 4 p. 226 sq. Euripidis esse versus supra positos coniecit Cobet N. L. p. 46, quam suspicionem confirmat Choricius pro mimis 7, 4 (*Revue de philol.* 1 p. 223): εἰ δὲ μέμφῃ τοὺς ἄνδρας ὅσοι προϊέναι καὶ θεωρεῖν ταῖς αὐτῶν ἐνδιδόασι γυναιξίν, ὑπολαμβάνων, εἰ τὴν οἰκίαν αὐταῖς δεσμωτήριον καταστήσεις (l. καταστήσειαν), μεγίστην εἶναι συμφορὰν σωφροσύνης, τραγικὴν ἄκουε ῥῆσιν ἐναντία σοι λέγουσαν· 'τὸ μὲν μέγιστον — ἀπήλλακται κακῶν' (v. 2—7). ἀκούεις ἀνδρὸς μισογύνου καὶ σώφρονος οἷα τοὺς γήμαντας νουθετεῖ. v. 1 ἐκπυνθάνεσθαί τ' ἀρσένων δ' ἡμᾶς σέθεν SMA, χἠμᾶς restituit Iacobs, reliqua ego correxi, sed fortasse γάρ σ' ἐμοῦ praeferendum. v. 2 ἄνδρα χρὴ Choricius, ἄνδρ' ἢ Stobaei S, ἀνδρῆ M, ἀνδρὶ A. v. 4 ὄψις suspectum, ἥτις coni. Cobet, ego οὖν τις temptabam. post v. 4 Choricius praebet ἐρᾷ δ' ἀκούειν ὧν φυλάττεται κλύων. v. 5 ἐν ἀφθόνοισι Cobet. ταῖσδ' F. G. Schmidt *Krit. Stud.* 3 p. 35. ἀναστρωφωμένη Gesner, ἀναστροφωμένη Stobaei SM, ἀναστρεφομένη A sicut Choricius, ubi literis supra scriptis ἀναστροφωμένη indicatur in codice Matritensi. v. 6 εἰς ἅπαν καὶ παθοῦσα Choricii cod. Matr. v. 7 ἐμπλήσασ' Choricius, ἐμπλήσασά τ' Stob. v. 8 ab hoc loco alienum iudicat Wecklein *Stud. zu Eur.* p. 356. v. 9 διασφραγισμάτων S, διὰ σφραγισμάτων M, διασφραγίσμασι A. v. 10 σώζειν A. δρᾶν τι Tyrwhitt, δ' ἀνδρὶ libri. δὴ om. A. σοφῶν A. cum v. 11 cf. Eur. Bacch. 332: νῦν γὰρ πέτῃ τε καὶ φρονῶν οὐδὲν φρονεῖς. v. 14 λάθῃ A. Ἄργου A e corr. et cod. Voss., ἀργοῦ ceteri. v. 16 ἀνήρ libri. κἠ γυνὴ S.

1064

ἀλλ' ἴσθ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος,
τὸ μὴ οὐ σὲ μῆτερ προσφιλῆ νέμειν ἀεὶ

καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν.
στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν
μάλισθ'· ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει· 5
κείνου γὰρ ἐξέβλαστον· οὐδ' ἂν εἷς ἀνὴρ
γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.

Stob. Flor. 79, 27: *Εὐριπίδου.* '*ἀλλ' — πατρός*'. v. 2 *ἀεὶ* Scaliger, *δεῖ* SMA. v. 3 *τῶν* om. A. v. 6 sq. *οὐδ' ἂν εἷς ἀνὴρ τῆς μητρὸς αὐδήσειέ μ'* coni. Meineke, *οὐδ' ἂν εἷς μ' ἀνὴρ γένος σὸν αὐδήσειεν* Enger Adnot. ad poet. Gr. fr. p. 8 sq., *οὐδ' ἂν εἷς γένει γυναικὸς αὐχήσειεν* (*αὐχήσειεν* Corais) F. G. Schmidt *Krit. Stud.* 2 p. 509. locum ex Phoenice esse repetitum probabiliter coni. Evaldus Bruhn Lucubr. Eur. cap. sel. p. 305 sq.

1065

καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει·
λόγοι γὰρ ἐσθλοὶ φάρμακον φόβου βροτοῖς.

Stob. Flor. 81, 3 vel potius Ecl. 2, 4, 4 p. 27, 8: *Εὐριπίδου.* '*καὶ — βροτοῖς*'. v. 2 *λόγοι γὰρ ἐσθλοὶ* scripsi, *λόγου γὰρ ἐσθλοῦ* SMA. *φάρμακον πόνου* coni. Wachsmuth, ego *φάρμακον θυμοῦ* malim secundum Men. mon. 37: *θυμοῦ φάρμακον χρηστὸς λόγος.*

1066

ἢ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,
ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.

Stob. Flor. 88, 1: *Εὐριπίδου.* '*ἢ — μένει*'. v. 1 *ἢ* S, *ἢ* M, *ἢν* A, *εἰ* Gesner. *χρήμμασι* S. *τῶν ἐν οἴκῳ χρημάτων* coni. Maehly.

1067

τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι
χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ' ἄν; οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ.

Stob. Flor. 88, 8: *Εὐριπίδου.* '*τοσόνδε — ποτέ*'. v. 1 *τοσόνδε* SMA, *τὸν σὸν δὲ* Pierson Veris. p. 138. *παῖδας* S, *παῖδα* MA. *τούτου δὲ πατέρα* Grotius, *τὸν τοῦδε πατέρα* F. G. Schmidt *Krit. Stud.* 2 p. 510. *σωφρονοῦν* SM, *σωφρονοῦντ'* A. v. 3 sq. *πῶς οὖν ἂν αὐτίκ' ἐκ τοιοῦδ' οὕτω κακὸς ἐγένετ' ἄν* Cobet Mnem. 9 p. 91. traditam lectionem tuetur Gomperz *Nachl.* p. 43. ex Hippolyto priore locum petitum esse coni. Monk, e Phoenice (cf. fr. 812, 9) Bergk.

1068

οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται,
ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι.

Stob. Flor. 90, 3: τοῦ αὐτοῦ (sc. Eurip., sic MA, eclogam om. S). 'οὐ — πεφυκέναι'. v. 2 κακοῦ M. μὴ κακοὺς expectes.

1069

⟨A.⟩ *χρυσοῦ σὲ πλήθει, τούσδε δ' οὐ χαίρειν χρεών;*
⟨B.⟩ *σκαιὸν τὸ πλουτεῖν κἄλλο μηδὲν εἰδέναι.*

Stob. Flor. 93, 7: *Εὐριπίδου* (sic SM, τοῦ αὐτοῦ A). 'σκαιὸν — εἰδέναι' (v. 2). v. 1 et 2 om. poetae nom. habet Plut. de audiendis poetis c. 4 p. 20 D: καὶ πάλιν 'χρυσοῦ — εἰδέναι'. v. 2 σκαιόν γε Plut., σκαιὸν τὸ Stob. diversarum personarum esse versus vidit Hercher.

1070

ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτούς,
δεῖν δ' ἀγχονῶν τε καὶ πετρῶν ῥίπτειν ἄπο,
οὐκ ἐν σοφοῖσίν ἐστιν, εὐχέσθω δ' ὅμως
ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

Stob. Flor. 99, 4: *Εὐριπίδου.* 'ὅστις — ἀεί'. v. 2 δεῖν SM, δεῖ A. ἀν χρόνων S, ανχρόνων M, ἂν χρόνων A, ἀγχονῶν Pierson Veris. p. 140. ῥίπτειν M, ῥιπτεῖν SA. ἄπο] κάτα Herwerden *Revue de philol.* 2 p. 57. v. 3 εὐχέσθω δὲ πᾶς coni. Gomperz *Nachl.* p. 46. πᾶς pro τῆς v. 4 scribi voluit Musgrave.

1071

λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.

Stob. Flor. 99, 10: *Εὐριπίδου* (sic MA, τοῦ αὐτοῦ S). 'λύπαι — νόσους'. idem versus extat in Men. mon. 316. huc spectat Choricius pro mimis 14, 2 editus in *Revue de philol.* 1 p. 2: τὰ πλεῖστα γὰρ ἅπασιν ἀρρωστήματα λύπῃ κατὰ τὴν τραγῳδίαν συμβαίνει. λῦπαι] λύπαι SMA. τίκτουσι M. νόσον in Men. mon. libri non nulli.

1072

μέλλων τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον
ἰάσατ' ἤδη μᾶλλον ἢ τεμὼν χρόα.

Stob. Flor. 102, 2: *Εὐριπίδου.* 'μέλλοντ' — χρόα'. v. 1 μέλλοντ' SMA, μέλλων γ' Valckenaer Diatr. p. 230, μέλλων τ' Musgrave, μέλλων Pappageorgius Κριτ. καὶ ἑρμ. p. 28. διδοὺς] τε δοὺς Heimsoeth.

1073

οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα
ἕξειν τὸν αὐτὸν δαίμον' εἰς ἀεὶ δοκεῖν·
ὁ γὰρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν,
κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ' ὑπέρφρονες 5
καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι
ἔλεγχον ἔλαβον τῆς τύχης ἐν τῷ παθεῖν.

Stob. Flor. 105, 8: *Εὐριπίδου.* 'οὐ — παθεῖν'. v. 7 τῆς τύχης Gomperz, τὴν τύχην SMA.

1074

βέβαια δ' οὐδεὶς εὐτυχεῖ θνητὸς γεγώς.

Stob. Flor. 105, 40: *Εὐριπίδου* (sic MA, eclogam om. S). 'βέβαια — γεγώς'. θνητὸς εὐτυχεῖ MA, εὐτυχεῖ θνητὸς F. G. Schmidt *Jahrb. f. Philol.* 89 p. 331.

1075

θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει·
⟨ἢ⟩ θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν;

Stob. Flor. 108, 15: *Εὐριπίδου* (sic MA, *Ἱππολύτου* addit S, quod lemma pertinet ad Hippolyti superstitis locum, quem statim Stobaeus subicit). 'θνητὸς — ὤν;' v. 1 πήσεσθαι MA. v. 2 ἢ addidi, sed fortasse hic versus a praegresso separandus est cum Meinekio. ἀξίοις S.

1076

πάντων ἄριστον μὴ βιάζεσθαι θεούς,
στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ' ἔρως
πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν.

Stob. Flor. 108, 23: *Εὐριπίδου* (sic S, ubi 108, 11—25 uno lemmate comprehenduntur, eclogam om. MA). 'πάντων — ἀμπλακεῖν'.

1077

πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν·
τὰς γὰρ παρούσας οὐχὶ σῴζοντες τύχας
ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ.

Stob. Flor. 108, 25: *Εὐριπίδου.* 'πέπονθας — ἀβουλίᾳ'. v. 1 χἕτεροι S, καὶ ἕτεροι M.

1078

ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν,
κἀν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.

Stob. Flor. 108, 43: *Εὐριπίδου.* '*ἀνδρῶν — θεοῖς.*' eosdem versus paulo aliter scriptos affert et male Aeschylo tribuit Plut. Consol. ad Apollon. c. 29 p. 116 F: *καὶ ὁ τραγικὸς Αἰσχύλος* '*ἀνδρῶν — θεοῖς*'. v. 1 *τάδ'* Stob., *γάρ* Plut. *ἐνδίκων* Stob., *ἐναρέτων* Plut., quō adiectivo veteres abstinuisse recte observat Phrynichus Epit. p. 328. v. 2 *κἀν τοῖς δεινοῖσι* Stob. libri, *ἐν τοῖς κακοῖσι* vel *ἐν τοῖς κακίστοις* Plut.

1079

οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις·
ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ
μέθῃ ταράσσει καὶ γαληνίζει φρένα,
παραυτίχ' ἡσθεὶς ὕστερον στένει διπλᾶ. 5

Stob. Flor. 113, 5: *Εὐριπίδου* (sic S, *τοῦ αὐτοῦ* MA). '*οὐκ — διπλᾶ*'. v. 1 *ἄλλο φάρμακον βροτοῖς*] *φάρμακον βροτοῖς ἴσον* bene coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 510. servari poterit *ἄλλο φ. βροτοῖς*, si v. 2 *πλὴν* pro *ὡς* scripseris. v. 2 *παραινεσεις* sine accentu M. v. 4 *μέθῃ* Valckenaer Diatr. p. 178, *μεθ' ἧς* SA, *μέθης* M. *ταράσσει*] *μαλάσσει* probabiliter coni. Wakefield Tragoed. del. vol. 2 p. 335. v. 5 *παραυτὰ δ'* SMA, *παραυτίχ'* Gesner, *παραυθ' ὅδ'* Dobree Adv. 2 p. 128. *διπλά* M, *διπλῶς* A.

1080

ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις,
καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν·
λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει,
ὡς οὐδὲν ἔστι χεῖρον ἐν θνητῷ γένει.

Stob. Flor. 116, 6: *Εὐριπίδου* (sic SM, *τοῦ αὐτοῦ* A). '*ὦ γῆρας — γένει*'. v. 1 *γήρας* M pr. *οἷαν ἐλπίδ'* M. v. 2 *καὶ*] *ὡς* Naber Mnem. nov. 10 p. 289. *εἰς σὲ βούλετ'*] *εἴς σ' ἕτοιμος* coni. Elmsley in Eur. Med. 548, *εἴς σ' ἕλοιτ' ἂν* Munro. *βούλετ' ἀνθρώπων*] *βούλεται θνητῶν* (aut *βροτῶν*) Meineke Com. 4 p. X, *βούλεται νέων* Herwerden Exerc. crit. p. 65. v. 3 *μεταμέλεια λαμβάνει* Meineke, *μεταμέλειαν ἀλφάνει* Heimsoeth, *μεταμέλειαν ἂν λάβοι* Munro. v. 4 *ὡς*] *οἷς* SA. *ἐν θνητῷ γένει* MA, *ἐν τῷ γῆρας βαρύ* (cf. ecl. 8) S.

1081

τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.

Stob. Flor. 126, 1: *Εὐριπίδου* (sic SM, eclogam om. A). '*τύμβῳ — φίλος*'. *πιστὸς*] *ὅστις* coni. Meineke *Jahrb. f. Philol.* 87 p. 376.

1082

Ζεὺς γὰρ κακὸν μὲν Τρωσί, πῆμα δ' Ἑλλάδι
θέλων γενέσθαι ταῦτ' ἐβούλευσεν πατήρ.

Strab. IV p. 183: *φθόρον Ἑλλήνων καὶ βαρβάρων — Εὐριπίδης ἀνήνεγκεν εἰς τὸν Δία· 'Ζεὺς — πατήρ'.* v. 2 *ἐβούλευσεν, πάτερ* coni. Naber Mnem. nov. 10 p. 289, *ἐβούλευσέν ποτε* F. G. Schmidt *Krit. Stud.* 2 p. 511.

1083

πολὺν μὲν ἄροτον, ἐκπονεῖν δ' οὐ ῥᾴδιον·
κοίλη γὰρ ὄρεσι περίδρομος τραχεῖά τε
δυσείσβολός τε πολεμίοις . . . .
. . . . . καλλίκαρπον . . .
κατάρρυτόν τε μυρίοισι νάμασιν 5
καὶ βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην,
οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον
οὔτ' αὖ τεθρίπποις ἡλίου θερμὴν ἄγαν
. . . .
γαίας Λακαίνης κύριον φαύλου χθονός
. . . .
ἀρετὴν ἐχούσης μείζον' ἢ λόγῳ φράσαι 10
. . . .
Παμισὸν εἰς θάλασσαν ἐξορμώμενον
. . . .
πρόσω . . ναυτίλοισιν . . . . .
πρόσω δὲ βάντι ποταμὸν Ἦλις ἡ Διὸς
γείτων κάθηται.

Strab. VIII p. 366: *περὶ δὲ τῆς φύσεως τῶν τόπων καὶ τούτων καὶ τῶν Μεσσηνιακῶν ταῦτα μὲν ἀποδεκτέον λέγοντος Εὐριπίδου· τὴν γὰρ Λακωνικὴν φησὶν ἔχειν 'πολὺν — πολέμοις'* (v. 1—3). *τὴν δὲ Μεσσηνιακὴν 'καλλίκαρπον κατάρρυτόν τε — ἄγαν'* (v. 4—8). *καὶ ὑποβὰς τῶν πάλων φησὶν ὧν οἱ Ἡρακλεῖδαι περὶ τῆς χώρας ἐποιήσαντο τὸν μὲν πρότερον γενέσθαι 'γαίης — χθονός'* (v. 9), *τὸν δὲ δεύτερον τῆς Μεσσήνης 'ἀρετὴν — φράσαι'* (v. 10), *οἵαν καὶ ὁ Τυρταῖος φράζει. τὴν δὲ Λακωνικὴν καὶ τὴν Μεσσηνίαν ὁρίζειν αὐτοῦ φήσαντος*

'Παμισὸν — ἐξορμώμενον' (v. 11) οὐ συγχωρητέον. — οὐκ εὖ δὲ οὐδ' ὅτι τῆς Μεσσηνίας ὁμοίως ἐπιθαλαττιαίας οὔσης τῇ Λακωνικῇ, φησὶν αὐτὴν 'πρόσω ναυτίλοισιν' (v. 12) εἶναι. ἀλλ' οὐδὲ τὴν Ἦλιν εὖ διορίζει 'πρόσω — γείτων κάθηται' (v. 13 et 14). v. 3 πολέμοις libri ut videtur omnes, πολεμίοις n ex corr., cf. Aeneae Comm. poliorc. c. 8, 1: τὴν χώραν δυσείσβολον (ita Hercher, δυσεπίβολον εἶναι cod.) τοῖς πολεμίοις — κατασκευάζειν. v. 5 μυρίοισιν (vel μυρίοις) ἅρμασι libri, μυρίοισι νάμασι Casaubonus. v. 6 ποιμέσιν libri, ποίμναισιν Valckenaer in Eur. Phoen. 248. εὐβοτάτην libri, εὐβοτωτάτην Casaubonus. v. 7 πνοιαῖσι l. δυσχείμερον] δυσήνεμον malim. v. 9 γαίης libri. φύλου libri opt., φαύλου Casaubonus. v. 13 πρόσω] διὲκ Meineke. v. 14 καλεῖται proposui Philol. 4 p. 547 neque nunc improbo, quamquam librorum scriptorum tueri conatur Meineke in Callim. p. 193. Cresphontis esse hunc locum coni. Musgrave.

1084

ἥκω περίκλυστον προλιποῦσ' Ἀκροκόρινθον,
ἱερὸν ὄχθον, πόλιν Ἀφροδίτας.

Strab. VIII p. 379: τοῦ δ' οὖν Εὐριπίδου φήσαντος οὕτως 'ἥκω — Ἀφροδίτας', τὸ περίκλυστον ἤτοι κατὰ βάθους δεκτέον κτὲ. respicit Plut. Amator. c. 21, 12 p. 767 F: ἐπεὶ δὲ ἔρως ἔθιγεν αὐτῆς (Laidem dicit) Ἱππολόχου τοῦ Θεσσαλοῦ, ὕδατι χλωρῷ κατακλυζόμενον προλιποῦσ' Ἀκροκόρινθον καὶ ἀποδρᾶσα τῶν ἄλλων ἐραστῶν κρύφα μέγαν στρατὸν ᾤχετο. verba ὕδατι χλωρῷ aliunde Plutarchum sumpsisse coni. Meineke: recte idem iudicat verba illa exordium esse carminis parodici, chorumque ista canentem compositum fuisse aut ex hierodulis aut e mulieribus Corinthiacis.

1085

τὰς διωνομασμένας
ναίειν Κελαινὰς ἐσχάτοις Ἴδης τόποις

Strab. XIII p. 616: ὁ δὲ Κάικος οὐκ ἀπὸ τῆς Ἴδης ῥεῖ, καθάπερ εἴρηκε Βακχυλίδης, οὐθ' ὡς (οὐδ' ὀρθῶς coni. Meineke) Εὐριπίδης τὸν Μαρσύαν φησὶ 'τὰς διωνομασμένας ναίειν — τόποις'. ναίειν Straboni deberi videtur, Euripides ναίει aut ναίων dixerit.

1086

ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων

Suidas v. Εὐριπίδειον ἔπος: ἔφη Εὐριπίδης 'ἄλλων — βρύων'. eundem versum om. poetae nom. afferunt Plut. de adulatore et amico c. 32 p. 71 F de utilitate ex inimicis percipienda c. 4 p. 88 D

de fraterno amore c. 6 p. 481 A adv. Coloten c. 8 p. 1110 E Galenus vol. 6 p. 307 Flor. Mon. 142 Elias Cretensis in Greg. Naz. p. 29 B Eust. Il. p. 887, 5 Tzetz. in Lycophr. 805. cf. Greg. Naz. Orat. I p. 7 B: ἢ τῆς παροιμίας μὴ πόρρω θέωμεν, ἄλλους ἰατρεύειν ἐπιχειροῦντες αὐτοὶ βρύοντες ἕλκεσι. Isidor. Pelus. Epist. 5, 196: ἄτοπον γάρ σε ἁλῶναι τοῖς αὐτοῖς οἷς ἕτερον περιπεπτωκότα αἰτιᾷ καὶ ἰατρὸν ἄλλον ἐθέλειν εἶναι τὸν (malim αὐτὸν) ἕλκεσι βρύοντα. 5, 275: ὥσπερ ἂν εἴ τις ἰατρὸς ἕλκεσι βρύων τὰ τῶν πέλας θεραπεύειν ἐπιχειροίη. Euripideum esse versum unus perhibet Suidas, ego dubito an Aeschyli sit depromptus ex Prometheo ubi nunc legitur κακὸς δ' ἰατρὸς ὥς τις ἐς νόσον πεσών (v. 473 sq.) invita loci sententia, qua ἄλλων δ' ἰατρὸς αὐτὸς requiritur, cf. *Mélanges Gréco-Rom.* V p. 185 sq.

1087

εὐφημία γὰρ εὐκολώτατος πόνων.

Suidas: εὐφημία — ἡ ὄντως εὐσέβεια κοῦφόν ἐστι καὶ σωφροσύνης ἀνάπλεων καὶ ἥκιστα ἀλγεινόν. 'εὐφημία γὰρ — πόνων', ἤκουσάς που, ὦ παῖ Ἀρίστωνος, καὶ Εὐριπίδου· εὐφημία γὰρ παρὰ σπουδαίοισι κάλλιστον. extrema verba nescio cuius sint scriptoris.

1088

ἀρχαῖον εἴρηκας . .

Suidas: παλαιγενές — τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. — καὶ Εὐριπίδης 'ἀρχαῖον εἴρηκας'. ἀντὶ τοῦ εὔηθες. 'εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι'. in verbis supra scriptis λόγον suppleverim (cf. Eur. Hel. 1056: παλαιότης γὰρ τῷ λόγῳ γ' ἔνεστί τις). iambum εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι, qui a Suidae glossa alienissimus est, Aeschylo tribuit Enger (v. quae diximus in Aesch. fr. 266).

1089

σῷσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ,
πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.

Theophil. ad Autol. 2, 8 p. 72: καὶ πάλιν Εὐριπίδης 'σῶσαι — σωτηρίαν'. v. 1 in fine τινά suppleri voluit Grotius, βροτόν Duentzer Philol. 5 p. 191. ego ὁπόταν ⟨ἄνδρα⟩ temptabam, ὁπόταν ⟨δῶμα⟩ coni. Gomperz *Beitr.* 3 p. 581 coll. Aesch. fr. 156, 2. v. 2 πολλὴν δίδωσι πρόφασιν Grotius (de numero singulari Gomperz attulit Eur. fr. 404), πολλὰς λαβὰς δίδωσιν Meineke *Zeitschr. f. d. Alt.* 1843 p. 293, aequo iure πολλοὺς πόρους δίδωσιν conicias. ceterum cf. Kock Com. Att. fr. vol. 3 p. 610.

1090

ἀνέχου πάσχων· δρῶν γὰρ ἔχαιρες.

Theophil. ad Autol. 2, 37 p. 176: *ὡσαύτως καὶ Εὐριπίδης* '*ἀνάσχου — ἔχαιρες*'. '*νόμου — κακῶς*' (fr. 1091). *ἀνάσχου* libri, *ἀνέχου* Heath, *ἀνσχοῦ* Meineke *Zeitschr. f. d. Alt.* 1848 p. 293.

1091

νόμου τὸν ἐχθρὸν δρᾶν, ὅπου λάβῃς, κακῶς

Theophil. ad Aut. 2, 37 p. 176, vide fr. 1090. *νόμος* Grotius, *μέλου* F. G. Schmidt *Krit. Stud.* 2 p. 511.

1092

ἐχθροὺς κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος.

Theophil. ad Aut. 2, 37 p. 176: *καὶ πάλιν ὁ αὐτός* (sc. *Εὐρ.*) '*ἐχθροῦ — μέρος*'. *ἐχθροὺς* scripsi, *ἐχθροῦ* libri.

1093

Tzetz. in Lycophr. 175: *κατὰ δὲ Εὐριπίδην ὅτι διωκομένη ἡ Θέτις ὑπὸ Πηλέως μετήλλαττεν ἑαυτὴν ὡς ὁ Πρωτεὺς εἰς διαφόρους ἰδέας.* ibid. v. 178: *ὁ δὲ Εὐριπίδης ἅπαξ φησὶ μιγῆναι Πηλέα τῇ Θέτιδι ἐν τῇ Σηπιάδι, καὶ ἕτεροι σὺν αὐτῷ.*

1094

Varro L. L. 7, 82: *apud Ennium 'Andromachae nomen qui indidit, recte indidit'. imitari dum volt Euripidem et ponere ἔτυμον, est lapsus. nam Euripides quod Graeca posuit, ἔτυμα sunt aperta. ille ait ideo nomen additum Andromachae, quod ἀνδρὶ μάχεται. hoc Ennii quis potest intellegere viro adversam significare — ?*

1095

αἱμύλη

Anecd. Bekk. p. 363, 3: *αἱμύλος — Εὐριπίδης δὲ καὶ αἱμύλη εἶπε θηλυκῶς.* Aesch. Prom. 206: *αἱμύλας δὲ μηχανάς.*

1096

ἀμβλυωπός

Pollux 2, 51: *ἀμβλυωπία, ἀφ' ἧς ἀμβλυωπός παρ' Εὐριπίδῃ.* an *ἀμβλῶπες* legendum? Rhes. 737: *ἀμβλῶπες αὐγαί.*

1097

ἀπάγου

Anecd. Bekk. p. 414, 15: *ἀπάγου· ἀντὶ τοῦ πρὸς σαυτὸν ἄπαγε. Εὐριπίδης.* eadem Suidas v. *ἀπάγου* et (om. *Εὐριπίδης*) Zon. Lex. p. 283.

1098

ἀρκεσίγυιος

Antiphanes (Com. 3 p. 120) ap. Ath. X p. 446 A: *παραδίδου δ' ἑξῆς ἐμοὶ τὸν* (sic Casaubonus, *οἶνον* A) *ἀρκεσίγυιον, ὥς ἔφασκ' Εὐριπίδης.* <B.> *Εὐριπίδης γὰρ τοῦτ' ἔφασκεν;* <A.> *ἀλλὰ τίς;* <B.> *Φιλόξενος δήπουθεν.* <A.> *οὐδὲν διαφέρει, ὦ τᾶν· ἐλέγχεις μ' ἕνεκα συλλαβῆς μιᾶς.* ex Athenaeo hausta sunt quae tradit Eust. Od. p. 1910, 48: *ὅτε καιρὸν ἔχει ἡ πόσις τοῦ οἴνου, τότε κατὰ τὴν Εὐριπίδειον μοῦσαν ἀρκεσίγυιός ἐστιν.* dubitari potest utrum Philoxeni habeamus vocabulum an Euripidis. litem dirimit Kock Com. Att. fr. vol. 2 p. 101 his verbis: 'mihi Antiphanes ita demum intellegi posse videtur, si Euripides re vera vinum, in cantico puto, *τὸν ἀρκεσίγυιον* (fort. *ἀερσίγυιον*) dixit. id epitheton alter tam alienum ducit poesi Euripidea, ut Philoxeno potius dignum iudicet'.

1099

ἐμβριμώμενος

Etym. Gud. p. 183, 27 sive Etym. cod. Sorb. p. 955 G: *ἐμβριμώμενος· ἐπιτιμῶν — κεῖται δὲ ἡ λέξις ἐν τῷ Εὐριπίδῃ.* Aeschylus dixit *ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας* Sept. 461.

1100

εὐπαιδευσία

Pollux 9, 161: *καὶ ἡ παρ' Εὐριπίδῃ εὐπαιδευσία.* Euripidis esse versum qui legitur in Men. mon. 653: *βραβεῖον ἀρετῆς ἐστιν εὐπαιδευσία,* coni. R. Methner de trag. Gr. min. et an. obs. crit. p. 45.

1101

θυστάς

Schol. Aeschyl. Sept. 269: *θυστάδος] τῆς παρὰ ταῖς θυσίαις γινομένης, ἀφ' ἧς ἐνίοτε καὶ ἡ βάκχη. σημαίνει γὰρ καὶ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ' Εὐριπίδῃ.*

1102

Ξάνθιος

Steph. Byz. v. *Ξάνθος* p. 480, 18: *ἔστι καὶ Ξάνθος πόλις ἐν Λέσβῳ· ὁ πολίτης Ξάνθιος, ὡς Εὐριπίδης.*

1103

ξενοφόνον

Pollux 3, 58: *ξεναπάτην δὲ Εὐριπίδης εἴρηκε* (fr. 667) *καὶ ξενοφόνον.* fortasse leg. *ξενοφονεῖν*, quod extat Iph. T. 1021.

1104

ἐπροξένει

Anecd. Paris. vol. 4 p. 114, 12: *λέγουσι δὲ καὶ ἐγγύησε καὶ κατεγγύησε* (*ἠγγύησε καὶ κατηγγύησε* recte Dindorf), *καὶ Εὐριπίδης ἐπροξένει, καὶ Ἀριστοφάνης.*

1105

ῥαχίζειν

Phot. Lex. p. 482, 1: *ῥακχίζειν· τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως, ἤτοι διακόπτειν, ὡς φησὶ παρ' Εὐριπίδῃ.* eadem Anecd. Bachm. vol. 1 p. 357, 25 (ubi *ῥακχίζων* ed.) et Anecd. Paris. 4 p. 174, 21 (ubi *ῥαχίζειν*). similiter Cyrillus in Anecd. Paris. vol. 4 p. 199, 31 et Suidas: *ῥαχίζειν· τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως, ἤτοι διακόπτειν, ὡς φησὶν Εὐριπίδης.* mirum est Euripidem afferri testem verbi quo Sophocles in Aiace usus est.

1106

χνοῦν

Anecd. Bachm. vol. 1 p. 418, 24: *χνοῦν· τὸ λεπτὸν τοῦ ἀχύρου. Ἀριστοφάνης. Εὐριπίδης δὲ θηλυκῶς τὴν χνοῦν.*

FRAGMENTA DVBIA ET SPVRIA

1107

ἄρχεσθαι χρεὼν
κακοὺς ὑπ' ἐσθλῶν καὶ κλύειν τῶν κρεισσόνων.

Stob. Flor. 44, 1: *Εὐριπίδου* (sic Trinc., eclogam sine lemmate habent LSMA). '*ἄρχεσθαι — κρεσσόνων*'. v. 2 *κρεσσόνων* libri, *κρεισσόνων* Valckenaer recte, dummodo Euripidis sit locus.

1108

νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος

Argum. Eur. Rhes.: *πρόλογοι δὲ διττοὶ φέρονται* (in Euripidis Rheso). *ὁ γοῦν Δικαίαρχος* (*δικαίαν* libri) *ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λέξιν οὕτως* '*νῦν — διφρήλατος*'. *ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως* '*ὦ τοῦ — ἐκτετριμμένην*' (fr. 1109).

1109

ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος
Παλλάς, τί δρῶμεν; οὐκ ἐχρῆν ἡμᾶς ἔτι
μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα.
νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορὸς
λόγχῃ βιαίως Ἕκτορος στροβούμενοι. 5
ἐμοὶ γὰρ οὐδὲν ἔστιν ἀλγέων ἄκος,
ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν
κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας
καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν,
εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν 10
Πριάμου βίᾳ πρόρριζον ἐκτετριμμένην.

Argum. Eur. Rhes., vide fr. 1108. v. 1 *τέκος* om. B. v. 2 *τί δρῶμεν* Morstadt, *παρῶμεν* libri. v. 3 *στράτευμα* B, *στρατεύματι* A. v. 4 *μάχῃ*] *μακρῇ* B, *μακρῷ* C. v. 5 *βιαία* vel *βιαίας* libri, *βιαίως* Hermann. v. 6 *οὐκ ἔνεστι* BC, *οὐδέν ἐστιν* ceteri. *βάρβαρος* BC, *ἄλγιον βάρος* fere ceteri, *ἀλγέων ἄκος* Kirchhoff. v. 7 *ἐξ οὗ γ'*] *ἐξ ὅτ'* BC, *ἐξ ὥτ'* A. v. 8 *προσήκειν* libri, *προήκειν* Valckenaer. v. 9 *'Αθηνᾶ* libri, *'Αθάνα* Valckenaer. *φίλα γ'* B, *φίλτατ'* ceteri, *φιλτάτης* Valckenaer. v. 11 *βίᾳ* om. B.

1110

Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος
καὶ τέλος αὐτὸς ἔχει.

Aristid. vol. 2 p. 51: *οὐ γὰρ ὁμοίως, οἶμαι, οἵ τε θεοὶ τὰ μέλλοντα ἴσασι καὶ τῶν ἀνθρώπων ὅσοι φάσκουσιν. οἳ μὲν γὰρ ἃ μέλλουσι ποιεῖν ἐπίστανται καὶ πρόκειται τὰ πράγματ' αὐτοῖς ὥσπερ ἐν ὀφθαλμοῖς· διὰ τοῦτο 'Ζεὺς — ἀψευδέστατος'* (v. 1), *καὶ ὅτι γε δι' αὐτὸ τοῦτο ὁ αὐτὸς οὗτος ποιητὴς μαρτυρεῖ· τὸ γὰρ δεύτερόν ἐστιν αὐτῷ 'καὶ — ἔχει'* (v. 2)· *οἳ δ' ὥσπερ ἐν σκότῳ τὰ πράγματα κρίνουσι.* quo de loco Schol. AB ed. Dind. p. 402: *Εὐριπίδης ἐν ἀπράκτοις* (*ἀπταίστοις* inepte B) *πράγμασι* (l. *δράμασι*) *φησὶ τὸ 'Ζεὺς — ἀψευδέστατος'* (v. 1), *εἶτα μετ' ὀλίγον 'καὶ — ἔχει'* (v. 2). v. 1 *ἐν θεοῖσι μάντις*] *μάντις ἐν θεοῖσιν* A, quod praeferendum videtur. de Euripide versuum auctore quae perbibentur fide carent: Archilochi potius afferri verba ex metro recte conclusit Fr. Blass *Jahrb. f. Philol.* vol. 129 p. 496.

1111

κρίμνη σεαυτὴν ἐκ μέσης ἀντηρίδος

Etym. M. p. 112, 26: *ἀντηρὶς ἀντηρίδος, ὡς παρ' Εὐριπίδῃ 'κρημνίσαι — ἀντηρίδος'.* Etym. Gud. p. 345, 47: *κρήμνη, ὡς παρ' Εὐριπίδῃ 'κρήμνη — ἀντηρίδος'.* eundem versum om. poetae om. afferunt Choerob. Epim. p. 60, 8 Etym. M. p. 537, 35 (ubi tamen *ὡς παρ' Εὐριπίδῃ κρήμνη σεαυτὴν* praebet cod. Flor., *ὡς παρ' Εὐριπίδῃ κρήμνη σεαυτὸν ἐκ μέσης* Havn. 1971) Eust. Il. p. 903, 51. item verba *κρήμνη σεαυτήν* Eust. Il. p. 695, 43 p. 1003, 24. huc spectat Suid.: *κρήμνη, ῥηματικὸν ἐκ τοῦ κρήμνημι, ὡς ἵστη. κρήμνη σεαυτὴν* plerique, *κρήμνη σεαυτὸν* cod. Havn. in Etym. M. p. 537, *κρημνίσαι αὐτὴν* Etym. M. p. 112, *κρήμνισεν αὐτὴν* Eust. p. 903, *κρίμνη σεαυτὴν* restituit Naber Mnem. nov. 9 p. 70. *ἀντηρίδος* om. Etym. Gud. et cod. Havn. Etym. M. p. 537. comico potius quam tragico poetae sententia verborum convenit: itaque *Εὐριπίδῃ* in *Εὐπόλιδι* mutandum erit.

1112

ἔδει γὰρ ἡμᾶς τοῖς θεοῖς θύειν, ὅταν
γυναῖκα κατορύττῃ τις, οὐχ ὅταν γαμῇ.

Melissa Augustana 56, 18: *Εὐριπίδης* (*εὐρηππίδης* cod.)· *ὁ αὐτὸς ἔφη* '*ἔδει γὰρ — κατορύττεται*'. om. poetae nom. Excerpt. Vindob. 39: '*ἔδει γὰρ — ὅταν γαμεῖν*'. v. 1 *τοῖς θεοῖς* Mel. Aug., *τῷ θεῷ* Exc. Vind. v. 2 *γυναῖκα κατορύττῃ τις* Meineke, *γυνὴ κατορύττεται* Mel. Aug., *γυνὴ κατορύττηται τάφῳ* Exc. Vind. *οὐχ ὅταν γαμῇ* Ritschl Opusc. 1 p. 570, *οὐχ ὅταν γαμεῖν* Exc. Vind., om. ista verba Mel. Aug. nolui v. 2 *κατορύσσῃ* scribere, quoniam non Euripidis videtur esse locus, sed parodia Euripidei fr. 449, cf. Gomperz *Beitr.* 3 p. 580.

1113

ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.

Stob. Flor. 87, 8: *Εὐριπίδου.* '*ἡ φύσις — πατρίς*'. idem versus extat in Men. mon. 210, ubi *ἑκάστου* legitur. *πατρίς*] *πάρος* coni. Bothe. Euripidi versum tribuit Trinc., *εὐριπίδου ἠλέκτρα* lemma in S adscriptum pertinet ad Electrae Euripideae locum qui statim sequitur. in MA versus iungitur cum duobus iambis, quos libri Epicharmo tribuunt, Meineke in Men. reliq. p. 191 Attico poetae comico vindicat:

οὐκ ἔστιν οὐδεὶς ἀποδεδειγμένος τόπος,
ὃς ἢ πονηροὺς πάντας ἢ χρηστοὺς ποεῖ.

1114

ἀγοραῖος νοῦς

Anecd. Bekk. p. 339, 10: *ἀγοραῖος νοῦς· ὁ πάνυ εὐτελὴς καὶ συρφετώδης οὐδὲ πεφροντισμένος· οἱ γὰρ ἀγοραῖοι ἄνθρωποι ἀμαθεῖς καὶ ἀπαίδευτοι. οὕτως Εὐριπίδης.* potius *οὕτως Ἀριστοφάνης* (Com. vol. 2 p. 1142) dicendum fuisse suspicatur Meineke *Zeitschr. f. d. Alt.* 1843 p. 293.

1115

ἡδονὴ πανταχοῦ ἐστι καὶ πάντα δι' ἡδονῆς γίνεται.

Anecd. Oxon. vol. 4 p. 316, 15: *λιγυρῶς δὲ οὐ λέγω ἡδέως κατὰ τὸν Εὐριπίδην* '*ἡδονὴ — γίνεται*', *ἀλλὰ λιγὺ τὸ ὀξύ.* Schneidewin Coni. crit. p. 110 proposuit: *ἡδονὴ δὲ πανταχοῦ 'στὶ πάντα καὶ δι' ἡδονῆς* | *γίγνεται.* mihi obscurum est quid verba *ἡδονὴ — γίνεται* hoc loco sibi velint.

1116

Eusebius Chron. vol. 2 p. 20 sive Georgius Syncellus Chronogr. p. 283, 6: *Εὐριπίδης δὲ τὸν Ἄτλαντα ὄρος εἶναι φησὶν ὑπερνεφές.* Cosmas Hieros. in Greg. Naz. Maii Spicil. vol. 2 p. 162: *Εὐριπίδης δὲ ὁ τραγικὸς ὄρος ὑπερνέφελον ἔφησε τὸν Ἄτλαντα.* fortasse respicitur Eur. Ion. 1.

1117

κακᾶν βίων διαγωγήν

Gregorii Cor. de dial. codex Paris. 2678 ed. Schaef. p. 226: *γενικὰς τῶν πληθυντικῶν τὰς εἰς ΩΝ ληγούσας διὰ τοῦ ΑΝ προφέρουσιν οἱ Δωριεῖς, μουσᾶν λέγοντες ἀντὶ τοῦ μουσῶν, ὡς καὶ Σοφοκλῆς ἐν Αἴαντι ἁλιαδᾶν, καὶ Εὐριπίδης 'κακᾶν βίων διαγωγήν', ἀντὶ τοῦ ἁλιαδῶν καὶ κακῶν βίων.* Sophocleum *ἁλιαδᾶν* legitur Ai. 881, de Euripide quae traduntur aut ficta sunt aut corrupta.

1118

Lactantius Instit. 5, 15, 11: *neque enim falsa est illa sententia quae apud Euripidem fertur in hunc modum 'quae hic mala putantur, haec sunt in caelo bona'.* Wilamowitz-Moellendorff Anal. Eur. p. 22 censet spectari his verbis Eur. Ion. 449—451: *οὐκέτ' ἀνθρώπους κακοὺς λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν καλὰ* (ita libri et Iustinus M. de monarch. c. 5 p. 148) *μιμούμεθ', ἀλλὰ τοὺς διδάσκοντας τάδε.*

1119

Macar. 6, 83: *ὀχληρὸς δὲ ξένος ὄψιος μολών· αὕτη Εὐριπίδου ἐστίν.* Leutsch conicit respici Eur. Alc. 540: *λυπουμένοις ὀχληρός, εἰ μόλοι ξένος.*

1120

Olympiod. in Plat. Alcib. pr. p. 45 sq.: *οὗτος* (sc. *Ξέρξης*) *γὰρ οὐ μόνον κατὰ ἀνθρώπων, ἀλλὰ καὶ κατὰ τῆς φύσεως αὐτῆς καὶ τῶν στοιχείων ἐπῄρετο καὶ ὥς φησιν Εὐριπίδης ὅτι θάλατταν μὲν ἐπέζευξε.* Aeschyli locum Pers. 72 Olympiodorus spectasse videtur. certe non debebat ex h. l. concludi Euripidis esse trimetros a Plut. Consol. ad Apollon. c. 15 p. 110 D traditos, de quibus dixit Bergk Lyr. vol. 3 p. 739 sq.

1121

Olympiod. in Plat. Alcib. pr. p. 166 sq.: *ἀλλὰ καὶ φιλογυμναστίαν ἤσκουν παρὰ τὸν Εὐρώταν, ὥς φησὶν ὁ Εὐριπίδης, κοινῶς ἄνδρες καὶ γυμναζόμενοι* (l. *ἄνδρες καὶ γυναῖκες γυμναζόμενοι*). respici videtur Eur. Andr. 595 sqq.

1122

Anecd. Bekk. p. 338, 14: *ἄγλαι· ὄμμα. Εὐριπίδης.* locus corruptus: *αἶγλαι· ὄμμα* coni. Matthiae, *αὐγαί· ὄμμα* Wagner et Wecklein *Stud. zu Eur.* p. 317, *αὐγαί· ὄμματα* Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 48. fortasse legendum *ἀγλάισμα*, quo vocabulo saepius utitur Euripides; interpretationem omissam ne mireris, cf. eiusdem lexici p. 328, 31 et p. 362, 29.

1123

ἀλίαστον

Anecd. Bekk. p. 383, 8: *ἀλίαστον· τὸ μάταιον. Εὐριπίδης. ἔστι δὲ τὸ ἀνέγκλητον, ὃ οὐκ ἔστι φυλάξασθαι, κατὰ ἀπόφασιν.* interpretatio mira; pro *ἀνέγκλητον* scribendum arbitror *ἀνέκκλιτον*, *τὸ μάταιον* ad *ἅλιον* glossam quae exciderit refert Pappageorgius *Κριτ. καὶ ἑρμ.* p. 49. videtur autem respici Eur. Hec. 85: *κοὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος* (conieci *ἀλίαστον*) *φρίσσει ταρβεῖ.*

1124

ἀλλήλων

Anecd. Bekk. p. 378, 13: *ἀλλήλων ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης.* eadem Suidas v. *ἀλλήλων.* observationem perversam notavit Bernhardy. similiter in Il. *M* 105: *ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσιν*, fuerunt qui *ἀλλήλους ἀντὶ τοῦ ἑαυτούς* dictum esse docerent.

1125

ἔρρ' ἰών

Phot. Lex. p. 17, 11: *ἔρριον· εἰς φθοράν. Εὐριπίδης.* cf. Hesych. 2 p. 196: *ἔρριον· εἰς φθόρον, εἰς ὄλεθρον.* pro *ἔρριον* Blomfield coni. *ἔρρ' αἰθέριον* ex Eur. Andr. 830, probabilius *ἔρρ' ἰών* Meineke Com. 4 p. 265. sed fortasse legendum *ἔρρε· ἴθι εἰς φθοράν* cum Koernero et Cobeto Coll. crit. p. 233.

1126

κρυπταί

Ar. Thesm. 600: *κρυπτὸς ἐγκαθήμενος.* ubi Schol.: *ἀντὶ τοῦ κεκρυμμένος. καλοῦνται μὲν γὰρ καὶ κρύπται* (*κρύπτειαι* vel potius *κρυπτεῖαι* Bernhardy) *παρὰ Πλάτωνι τῷ φιλοσόφῳ καὶ παρ' Εὐριπίδῃ καὶ ἐν ταῖς τῶν Λακεδαιμονίων πολιτείαις. καὶ ἐν Θάσῳ ἀρχή τις κρύπτεται* (*κρυπτευταί* Bernhardy). Euripidis mentio iam Dindorfio suspecta fuit; fortasse legendum *καὶ παρ' Ἀριστοτέλει ἐν ταῖς τῶν Λακ. π.*, cf. V. Rose Aristot. pseudepigr. p. 491.

1127

περιδῦσαι

Pollux 7, 44: *ἀποδῦσαι καὶ ἀπολωπίσαι, ὡς Σοφοκλῆς, καὶ περιλωπίσαι, ὅπερ Ὑπερίδης* (*Εὐριπίδης* C) *περιδῦσαι εἴρηκεν.*

1128

Schol. Phleg. Trall. Mirab. c. 3 p. 48 Franz.: *μεταξὺ Σουσιανῆς καὶ Βακτριανῆς τόπος ἔστι Καταστίγωνα, ὅπερ Ἑλληνιστὶ νῆσον δηλοῖ. ἐνταῦθα δὲ ἵπποι διάφοροι γίνονται· εἰσὶ δὲ πᾶσαι ξανθαί. ὁ δὲ Εὐριπίδης πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ τὴν Νησαίαν φησὶν εἶναι.* Euripidis mentionem ad Dictyem referri iussit Vnger Theb. Parad. p. 376 coll. Suid. v. *ἵππος Νισαῖος*, cuius glossae initium cum scholio allato fere consentit, post *διάφοροι γίνονται* autem haec extant: *οἳ δὲ ἀπὸ ἐρυθρᾶς θαλάσσης· εἶναι δὲ ξανθὰς πάσας. ὁ δὲ Ἡρόδοτος τῆς Μηδίας εἶναι τὸν τόπον Νίσαιον. ὁ δὲ Πολέμων κακῶς φησὶ λευκὸν ἵππον Νισαῖον. ἐν δὲ Δίκτυι Ὀρφεὺς λέγει· ἡ Νίσα τόπος ἐστὶν ἐν ἐρυθρᾷ θαλάσσῃ.* fortasse Euripides dixit *Νησαίας ἵππους* (hanc enim glossam praebent Photius Lex. p. 299, 2 et Hesychius 3 p. 156) vel potius *Νισαίας ἵππους*, fortasse Euripidis mentio errori debetur sive librariorum sive auctoris.

1129

θεὸν δὲ ποῖον, εἰπέ μοι, νοητέον;
τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον.

Clem. Alex. Protr. p. 59: '*θεὸν — ὁρώμενον*', *Εὐριπίδης λέγει.* eosdem versus Philemoni tribuit Iustinus M. de monarchia c. 2 p. 132. Christiani hominis esse recte iudicat Meineke in Men. p. 434. v. 1 *ποῖον εἰπέ μοι*] *εἰπέ μοι ποῖον* Iustini cod. Arg. *νοητέον* Clem., *νομιστέον* Iust. v. 2 *καὐτὸν*] *αὐτὸν δ'* Iustini cod. Arg.

1130

ποῖος δ' ἂν οἶκος τεκτόνων πλασθεὶς ὕπο
δέμας τὸ θεῖον περιβάλοι τοίχων πτυχαῖς;

Clemens Alex. Strom. V p. 691: *παγκάλως τοίνυν ὁ Εὐριπίδης συνᾴδει τούτοις γράφων* '*ποῖος — πτυχαῖς;*' Christianus poeta haec scribere potuit, non potuit Euripides.

1131

ὁρᾶθ' ὅσοι νομίζετ' οὐκ εἶναι θεόν,
δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως;

ἔστιν γὰρ ἔστιν. εἰ δέ τις πράσσει καλῶς
κακὸς πεφυκώς, τὸν χρόνον κερδαινέτω·
χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην. 5

Iustinus Martyr de monarchia c. 3 p. 138: *καὶ Εὐριπίδης· ἄφθονον βίον μῆκος δίδωσι πρὸς κρίσιν. ὅστις δὲ — τυγχάνῃ Δίκῃ. 'δρᾶθ' ὅσοι — δώσει δίκην'.* eosdem versus Diphilo tribuit Clemens Alex. Strom. V p. 722 (Euseb. P. E. XIII p. 684 B), et consentiet cum Clemente Iustinus, si verba *καὶ Εὐριπίδης* loco non suo inculcata abieceris. neque Euripidis neque Diphili esse versus, sed ab homine Iudaeo vel Christiano fictos recte agnovit Valckenaer de Aristob. p. 1 sqq. v. 1 *νομίζετ'* Iust., *δοκεῖτε* Clem. Eus. v. 2 om. Clem. Eus. v. 3 om. Iustini cod. Arg. *πράσσει* Iust., *πράττει* Clem. Eus. *καλῶς* Barnes, *κακῶς* Iust. Clem. Eus. v. 4 *κερδαινέτω* Iust. Eus., *κερνάτω* (i. e. *κερδανάτω*) Clem.

1132

ΕΡΜΗΣ. *Δόμοι μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς*
οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς·
ἀρχὴν δὲ τῶνδε καὶ θεῶν ἱδρύματα
Ἀκρίσιος εἴληχεν, τύραννος τῆσδε γῆς·
Ἕλλησι δ' Ἄργος ἡ πόλις κικλήσκεται. 5
οὗτος δ' ἔρωτι παιδὸς ἄρσενος σχεθεὶς
Πυθώδ' ἀφῖκτο, καὶ λέγει Φοίβῳ τάδε·
πῶς ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμῳ,
τίνος θεῶν βροτῶν τε πρευμενοῦς τυχών;
κεῖνος δὲ δυσξύμβλητον ἐξήνεγκ' ὄπα· 10
ἔσται μὲν ἔσται παιδὸς ἄρσενος τόκος
οὐκ ἐξ ἐκείνου· πρῶτα γὰρ θῆλυν σπορὰν
φῦσαι δεήσει. κατά πως κείνη ποτὲ
εὐνὴν κρυφαίαν γνοῦσα καὶ μὴ γνοῦσα δὴ
ὑπόπτερον λέοντα τέξεται πατρί, 15
ὃς τῆσδέ τ' ἄρξει χἀτέρας πολλῆς χθονός.
τοιαῦτ' ἀκούσας Λοξίου μαντεύματα
γάμων ἀπείχεθ'· ὅμως δέ γε τίκτει λαθών,
πρὸς τοῦ παρόντος ἱμέρου νικώμενος.
Δανάην δέ πως ὠνόμασε τήνδ', ὁθούνεκα 20
πολὺς παρῆλθεν εἰς γονὴν παίδων χρόνος.
ἐν παρθενῶσι δ' εὐθὺς οἷς ἐδείματο

δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις,
εἰς ἀνδρὸς ὄψιν εὐλαβούμενος μολεῖν.
εἶθ' ὡς ὁ μακρὸς ηὔξανεν ταύτην χρόνος, 25
καὶ κάλλος εἶχεν ἔξοχον καθ' Ἑλλάδα,
φίλτροις ἀφύκτοις Ζεὺς κατασχεθεὶς πατὴρ
εὐνῇ συνελθεῖν λάθρᾳ πως ἠβούλετο.
σαφῶς δὲ πείθειν οὐκ ἔχων, εἰς μηχανὴν
τοιάνδ' ἐχώρησ', ὡς ἄπυρος χρυσὸς γεγώς, 30
ποθεινὸν εἰδὼς κτῆμα τοῦτο τοῖς βροτοῖς,
διὰ στέγους ῥεύσειεν ἐν χερσὶν κόρης.
ἡ δ' ἀγνοοῦσα τὸν κεκρυμμένον δόλον
κόλποισι τὸν θεὸν εἰσρέοντ' ἐδέξατο.
χρόνῳ δ' ἑαυτὴν ὡς κατεῖδ' ἐγκύμονα, 35
εἰς θαῦμ' ἐσῄει κἀξεπέπληκτο σφοδρῶς,
ὡς εἰς τόδ' ἦλθε μέμψιν εὐλαβουμένη.
φυγῇ δὲ λάθρᾳ τῆσδε γῆς ὁρμωμένην
μαθὼν πατήρ νιν, ἐγκατάκλειστον δόμοις
ἔργει χολωθεὶς καὶ σκότῳ κρύψας ἔχει, 40
τἀληθὲς ὄψει προσκοπούμενος μαθεῖν·
κἂν ταῦτ' ἀληθῆ καὶ σαφῶς ἔχοντ' ἴδῃ,
ἔγνωκεν ἄμφω ποντίους ἀφιέναι,
τὴν παῖδα καὶ τὸ τεχθέν. ὧν δέ γ' ἐστάλην,
μύθους Δανάῃ τούσδ' εὐπροσηγόρους ἄγων 45
ἐκ Διός, ἀφίξομαι τάχιστα σημανῶν.
ὑπηρέτην γὰρ ὄντα τἀπεσταλμένα
πράσσειν προθύμως, ὅστις ἂν γ' ᾖ νουνεχής.

ΧΟΡΟΣ. τίς ὁ καινοτρόπος οὗτος μῦθος
κατ' ἐμὰν ἥκεν ἀκουάν; 50
ἔνθ' ἀσπερχὲς μενεαίνουσα
τοῖσδε δώμασι κοιράνου ἀμφίδοξος πελάζω.
τίς δεσπότιν ἐμὴν Δανάην
βάξις ἔχει κατὰ πτόλιν;
ἣν μήποτ' ὤφελ' εἰς ὦτα φέρειν 55
ὁ πρῶτος τάδε φράσαι τολμήσας,
ὡς ἐγκύμων εἴληπται χρανθεῖσ' ἄλεκτρος
ἀνδρός· πατὴρ δέ μιν κλήσας
ἐν παρθενῶσι σφραγῖσι δέμας φυλάσσει.

ταῦτ' ἐτήτυμα μαθεῖν θέλω. 60
ἀλλ' εἰσορῶ γὰρ τῆσδε κοίρανον χθονὸς
Ἀργείας Ἀκρίσιον πρὸ δόμων στείχοντα.
ὀργῇ βαρύς, ὡς δόξαι, κέαρ.

ΑΚΡΙΣΙΟΣ. σὺ δ' εἰ κατ' οἴκους εὐνοῶν ἐτύγχανες,
οὐκ ἄν ποτ' ἦλθες εἰς τόδε θράσους . . 65

Versus istos, quos Byzantinae aetati tribuere nemo nunc dubitat, servavit codex Palatinus 287, ubi subiecti sunt Iphigeniae Aulidensi, cuius clausula eiusdem fere est pretii. primum edidit a. 1597 H. Commelin, quem parum accurate rem egisse docet apographum a Gustavo Wolffio factum. ipsis versibus praemittitur argumentum et personarum index, quae h. l. subiungo, quoniam sunt qui auctori eorum genuinam Danaen lectam fuisse suspicentur.

Ὑπόθεσις. Ἀκρίσιος Ἄργους ὢν βασιλεὺς κατὰ χρησμὸν δή τινα τὴν παῖδα Δανάην κατάκλειστον ἐν τοῖς παρθενῶσιν ἐφύλαττε καλλίστην οὖσαν· ἧς ἐρασθεὶς ὁ Ζεὺς ἐπεὶ οὐκ εἶχεν ὅπως μιχθείη αὐτῇ, χρυσὸς γενόμενος καὶ ῥυεὶς διὰ τοῦ στέγους εἰς τὸν κόλπον τῆς παρθένου, ἐγκύμονα ἐποίησεν. ἐξήκοντος δὲ τοῦ χρόνου βρέφος τὸν Περσέα ἀπέτεκε. τοῦτο μαθὼν Ἀκρίσιος εἰς κιβωτὸν ἀμφοτέρους, τήν τε μητέρα καὶ τὸ βρέφος, ἐνέβαλε καὶ κελεύει ῥίπτειν κατὰ τῆς θαλάσσης. ἰδοῦσαι δὲ ταῦθ' αἱ Νηρηίδες καὶ κατελεήσασαι τὸ γεγονὸς ἐμβάλλουσι τὴν (τὸν cod.) κιβωτὸν εἰς δίκτυα Σεριφίων ἁλιέων, κἀντεῦθεν περιεσώθη ἥ τε μήτηρ καὶ τὸ βρέφος, ὅσπερ ἀνδρωθὲν Περσεὺς ὠνομάσθη.

Τὰ τοῦ δράματος πρόσωπα. Ἑρμῆς. Δανάη. τροφός. Ἀκρίσιος. ἄγγελος. χορός. Ἀθηνᾶ.

v. 4 εἴληχεν] εἴληχ' ὢν Musgrave. v. 9 τυχών] fort. τύχω leg. cum Bothio. v. 15 ὑπόπετρον cod., ὑπόπτερον Bentley. v. 16 τῆσδέ γ' cod., τῆσδέ τ' Porson in Ar. Lys. 82. θατέρας cod., χἀτέρας Heath. v. 17 cf. Aesch. Prom. 669: τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν. v. 18 ὅμως δέ γε cod., ὁ δέ γ' ὅμως coni. Gust. Wolff. v. 19 ex Soph. fr. 846, 4 repetitus. v. 20 Δαναὴν et ὅθ' οὕνεκα cod. δέ πως] δὲ παῖδ' Boissonade, πατὴρ δ' Dobree Adv. 2 p. 126. cum v. 24 cf. Theod. Prodr. Rhod. et Dos. 2, 70. v. 28 λάθρα πως] λαθρίως Musgrave. v. 31 τοῦτο κτῆμα cod., κτῆμα τοῦτο Matthiae. v. 33 αὖ μὴ γνοῦσα cod., ἀγνοοῦσα Heath. v. 36 σαφῶς cod., σφοδρῶς Pierson Verisim. p. 137. v. 38 ὁρμωμένης cod., ὁρμωμένην Barnes. v. 40 ὀργῇ cod., ἔργει scripsi. v. 42 καὐτὰς τἀληθῆ cod., κἂν ταῦτ' ἀληθῆ Musgrave. v. 47 γὰρ ὄντα] χρεών γε? v. 48 πράσσων codex secundum Wolffium. v. 53 δέσποτιν cod. v. 60 εἰ ταῦτ' scribendum videtur. v. 61 τύραννον χθονὸς τῆσδ' cod., τῆσδε κοίρανον χθονὸς scripsi secundum Eur. Herc. 138 (cf. Alc. 507 Iph. T. 1080 Med. 71, denique ubi τῶνδε in τῆσδε mutandum est Iph. T. 1287). v. 65 εἰς τόδε θράσους] εἰς τόδ' εἰς ὃ νῦν θράσους Porson, cf. Eur. Suppl. 1091.

TRAGICI MINORES

CHOERILVS

ΑΛΟΠΗ

1

Pausan. 1, 14, 3: *Χοιρίλῳ δὲ Ἀθηναίῳ δρᾶμα ποιήσαντι Ἀλόπην ἔστ' εἰρημένα Κερκύονα εἶναι καὶ Τριπτόλεμον ἀδελφούς, τεκεῖν δὲ σφᾶς θυγατέρα Ἀμφικτύονος, εἶναι δὲ πατέρα Τριπτολέμῳ μὲν Ῥᾶρον, Κερκύονι δὲ Ποσειδῶνα.*

INCERTARVM FABVLARVM FRAGMENTA

2

⟨λίθοισι⟩ γῆς ὀστοῖσιν ἐγχριμφθεὶς πόδα

Eust. Il. p. 309, 43: *τετόλμηται δὲ καὶ γῆς ὀστᾶ τοὺς λίθους εἰπεῖν, ὡς δηλοῖ τὸ ʽγῆς — πόδα'.* *ὀστέοισιν* Eust., *ὀστοῖσιν* scripsi. qua correctione usus *⟨σκληροῖσι⟩ γῆς ὀστοῖσιν* proposuit Meineke Philol. 20 p. 718. potius *λίθοισι* supplendum, quo nomine non addito verba poetae intellegi non poterant*). similiter C. Immermann, ʽ*Alles rege sich! nur nicht der Stein, der lockern Erde haftendes Gebein*'. verba ab Eustathio allata cuius poetae sint docet Tzetzes Rhet. vol. 3 p. 650: *αἱ μέντοι λέξεις τροπικαὶ σεμνότητα ποιοῦσι· — ἂν πόρρω δὲ λαμβάνωνται, ὥσπερ ποιεῖ Χοιρίλλος καλῶν τοὺς λίθους γῆς ὀστᾶ, τοὺς ποταμοὺς γῆς φλέβας, ὡς τὴν σελήνην οὐρανοῦ πάλιν Αἰσχρίων σίγμα — τὸν λόγον ἐκτραχύνουσι.*

3

γῆς φλέβες

Tzetzes Rhet. vol. 3 p. 650, vide fr. 2.

---

*) Chaeremon fr. 17, 2 dixit *ὕδωρ τε ποταμοῦ σῶμα διεπεράσαμεν.* omissum fingas *ὕδωρ* nomen, et merum habebis aenigma, cum addito isto nomine audax metaphora excusetur. compares quae Gorgias dixit, *Ξέρξης ὁ τῶν Περσῶν Ζεύς* et *γῦπες ἔμψυχοι τάφοι*, item *μήνη τὸ καλὸν οὐρανοῦ νέον σίγμα* et *ναῦται θαλάσσης μύρμηκες* Aeschrionis, *τοὺς τῶν πόλεων βασιλεῖς νόμους* Alcidamantis, *⟨σπιν⟩θῆρες Ἁφαίστου σταλαγμοί* nescio cuius apud Philodemum de rhet. II in Hercul. vol. XI, 2 p. 39, alia.

4

Schol. Bern. in Verg. Georg. 1, 482: *ubi enim Eridanus sit, multi errant* (fort. *certant*) — *Ctesias hunc in India esse adfirmat, vel Choerilus* (*choerulus* cod.) *in Germania, in quo fluvio Phaethon* (*feton* cod.) *exstinctus est, vel Ion in Achaia.*

PHRYNICHVS

ΑΙΓΥΠΤΙΟΙ

Schol. Eur. Or. 872: *Φρύνιχος δὲ ὁ τραγικὸς φησὶ σὺν* (fort. *φησὶν ἐν*) *Αἰγυπτίοις τὸν Αἴγυπτον ἥκειν εἰς Ἄργος.*

1

ἰαίνεται

Hesych. 2 p. 336: *ἰαίνεται· χολοῦται, πικραίνεται* (*ἐπικραίνεται* cod.), *παρὰ τὸν ἰόν. Φρύνιχος Αἰγυπτίοις.*

ΑΛΚΗΣΤΙΣ

2

σῶμα δ' ἀθαμβὲς γυιοδόνητον
τείρει

Hesych. 1 p. 61: *ἀθαμβές· Φρύνιχος Ἀλκήστιδι* (*φρύνιχι ἀλκίστιδι* cod.) '*σῶμα — τείρει*'. v. 1 *γυοδόνιστον* cod., *γυιοδόνητον* Toup Emend. 4 p. 348, *γυιόδμητον* Bergk *Griech. Lit.* 3 p. 498. v. 2 *τήρει* Musurus.

3

Servius in Verg. Aen. 4, 694: *alii dicunt Euripidem Orcum in scenam inducere gladium ferentem, quo crinem Alcesti abscindat, Euripidem hoc a Phrynicho* (*poenia* F, *phenico* T, corr. O. Iahn Mus. Rhen. 9 p. 625) *antiquo tragico mutuatum.*

ΑΝΤΑΙΟΣ

Ἀνταῖος ἢ Λίβυες habet Suidas v. *Φρύνιχος*. Schol. Ar. Ran. 688: *ὁ τραγικὸς Φρύνιχος ἐν Ἀνταίῳ δράματι περὶ παλαισμάτων πολλὰ διεξῆλθεν.* Herculis igitur et Antaei luctationem poeta proposuit.

ΔΑΝΑΙΔΕΣ

4

ἔγκαρπα

Hesych. 2 p. 7: ἔγκαρτα· τοὺς κεκουρευμένους πυρούς. ἀλλὰ καὶ ἔγκαρπα. Φρύνιχος Δαναΐσιν (sic Florens Christianus, δάνεσιν codex). disputavit de hoc loco Meineke Philol. 13 p. 536.

ΜΙΛΗΤΟΥ ΑΛΩΣΙΣ

Herodotus 6, 21: Ἀθηναῖοι μὲν γὰρ δῆλον ἐποίησαν ὑπεραχθεσθέντες τῇ Μιλήτου ἁλώσι τῇ τε ἄλλῃ πολλαχῇ καὶ δὴ καὶ ποιήσαντι Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν καὶ διδάξαντι ἐς δάκρυά τε ἔπεσε τὸ θέητρον καὶ ἐζημίωσάν μιν ὡς ἀναμνήσαντα οἰκήια κακὰ χιλίῃσι δραχμῇσι, καὶ ἐπέταξαν μηκέτι μηδένα χρᾶσθαι τούτῳ τῷ δράματι. similia referunt plurimi alii, velut Strabo XIV p. 635 Plut. Praec. gerendae rei publ. c. 17 p. 814 B Aelianus V. H. 13, 17 Schol. Ar. Vesp. 1490 Ammianus Marcell. 28, 1, 4 Tzetz. in Hesiod. Op. 412 p. 224 Chil. 7, 997 Epist. p. 25 Suid. v. Φρύνιχος. cf. Liban. Decl. vol. 4 p. 247 369 454. ceterum haud iniuria dubitatum est, Μιλήτου ἅλωσις utrum titulus fuerit tragoediae an argumentum Περσῶν, quem titulum Suidas v. Φρύνιχος commemorat. paulo post olymp. 71, 3 hoc argumentum a poeta tractatum esse consentaneum est.

ΠΛΕΥΡΩΝΙΑΙ

5

στρατός ποτ' εἰς γῆν τήνδ' ἐπεστρώφα ποδί,
Ὕαντος ἣν ἔναιεν ἀρχαῖος λεώς,
πεδία δὲ πάντα καὶ παράκτιον πλάκα
ὠκεῖα μάργοις φλὸξ ἐδαίνυτο γνάθοις.

Tzetz. in Lycophr. 433 de Hyantibus: μέμνηται δὲ τοῦ ἔθνους τούτου καὶ Φρύνιχος ὁ τραγικὸς ἐν δράματι Πλευρωνίαις (Πλευρωνίᾳ Viteb. 2 et 3) λέγων 'στρατός — γνάθοις'. v. 1 ποδί] fort. πολύς leg. v. 2 Ὕαντος ὃς γῆν ναῖεν ed., Ὕαντος ὃς γυναῖαν Viteb. 2 et 3. Ὕαντος ἣν ἔναιεν Vnger, aequo iure Ὕαντες ἣν ἔναιον scribi posse dixi in Mus. Rhen. 6 p. 461. ἀρχαῖος] Ἀγραῖος Vnger Theb. Parad. p. 8. v. 3 δὲ om. Viteb. 2 et 3.

6

κρυερὸν γὰρ οὐκ
ἤλυξεν μόρον, ὠκεῖα δέ νιν φλὸξ κατεδαίσατο
δαλοῦ περθομένου ματρὸς ὑπ' αἰνᾶς κακομηχάνου.

Pausan. 10, 31, 4: τὸν δὲ ἐπὶ τῷ δαλῷ λόγον, ὡς δοθείη μὲν ὑπὸ μοιρῶν τῇ Ἀλθαίᾳ, Μελεάγρῳ δὲ οὐ πρότερον ἔδει τὴν τελευτὴν συμβῆναι πρὶν ἢ ὑπὸ πυρὸς ἀφανισθῆναι τὸν δαλόν, καὶ ὡς ὑπὸ τοῦ θυμοῦ καταπρήσειεν αὐτὸν ἡ Ἀλθαία, τοῦτον τὸν λόγον Φρύνιχος ὁ

Πολυφράσμονος πρῶτος ἐν δράματι ἔδειξε Πλευρωνίαις (*πλευρῶνι ἐς* ante Facium) '*κρυερὸν — κακομηχάνου*'. *οὐ μὴν φαίνεταί γε ὁ Φρύνιχος προαγαγὼν τὸν λόγον ἐς πλέον ὡς εὕρημα ἄν τις οἰκεῖον, προσαψάμενος δὲ αὐτοῦ μόνον ἅτε ἐς ἅπαν ἤδη διαβεβοημένου τὸ Ἑλληνικόν.*

ΤΑΝΤΑΛΟΣ

7

ἑφέδρανα

Hesych. 2 p. 238: *ἑφέδρανα· ἐφ' ὧν καθῆντο* ⟨*οἳ*⟩ *τὰς λύρας ἔχουσι. Φρύνιχος Ταντάλῳ.* lemma in *ἐφ' ἕδρανα* mutat Meineke Philol. 13 p. 536. *οἳ* addidit Musurus. *Φρύνιχος Ἀνταίῳ* coni. Leutsch Philol. 14 p. 187.

ΦΟΙΝΙΣΣΑΙ

Probabiliter Bentley de Phalaridis Epist. p. 286 sq. ed. Ribb. coniecit olymp. 75, 4 Adimanto archonte hanc fabulam actam esse, quo anno Phrynichum tragoedia vicisse testatur Plut. V. Themist. c. 5: *ἐνίκησε δὲ καὶ χορηγῶν τραγῳδοῖς* (Themistocles), *μεγάλην ἤδη τότε σπουδὴν καὶ φιλοτιμίαν τοῦ ἀγῶνος ἔχοντος· καὶ πίνακα τῆς νίκης ἀνέθηκε τοιαύτην ἐπιγραφὴν ἔχοντα· Θεμιστοκλῆς Φρεάρριος ἐχορήγει, Φρύνιχος ἐδίδασκεν, Ἀδείμαντος ἦρχεν.* argumentum idem fuit quod Aeschyli Persarum.

8

Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων

Argum. Aeschyli Pers.: *Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν Φρυνίχου φησὶ τοὺς Πέρσας παραπεποιῆσθαι· ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην* '*τάδ' — βεβηκότων*'. *πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν* ⟨*ὁ*⟩ *ἀγγέλλων ἐν ἀρχῇ τὴν Ξέρξου ἧτταν στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις.*

9

Σιδώνιον ἄστυ λιποῦσαι
καὶ δροσερὰν Ἄραδον

Ar. Vesp. 220: *μινυρίζοντες μέλη ἀρχαιομελισιδωνοφρυνιχήρατα.* ubi Schol.: *δι' ὀνόματος ἦν καθόλου μὲν ὁ Φρύνιχος ἐπὶ μελοποιίᾳ, μάλιστα δὲ τὸ ἐκ τῶν Φοινισσῶν αὐτοῦ τὸ* '*καὶ Σιδῶνος προλιπόντα ναόν*' (fr. 10) *ἢ* '*Σιδώνιον ἄστυ λιποῦσα*'. Hesych. 1 p. 435: *γλυκερῷ Σιδωνίῳ. δρᾶμα δέ ἐστιν ἐν ᾧ τῆς θεμέλης* (*θυμέλης* Mus.) *ἄρχεται οὕτως* '*Σιδώνιον — ἐρανάδαρον*'. *διαβεβόητο δὲ τὸ μέλος* (*μέρος* cod.) *τοῦτο.* v. 1 *λιπόντες* Hesych., *λιποῦσα* Schol. Ar., *λιποῦσαι* Porson. v. 2 *καῖδρος ἐρανάδαρον* cod., *καὶ δροσερὰν* Schow, *Ἄραδον* Porson *Tracts and misc. crit.* p. 283.

10

καὶ Σιδῶνος προλιπόντα ναόν

Schol. Ar. Vesp. 220, vide fr. 9. *νᾶσον* coni. Meineke *Jahrb. f. Philol.* vol. 87 p. 383.

11

ψαλμοῖσιν ἀντίσπαστ' ἀείδοντες μέλη

Ath. XIV p. 635 C: *καὶ Φρύνιχος δ' ἐν Φοινίσσαις εἴρηκε 'ψαλμοῖσιν — μέλη'.*

12

σφηκῶσαι

Antiatt. p. 114, 6: *σφηκῶσαι· τὸ δῆσαι. Φρύνιχος Φοινίσσαις* Phot. Lex. p. 560, 14 et Etym. M. p. 738, 42: *σφηκῶσαι· τὸ δῆσαι. οὕτω Φρύνιχος.*

INCERTARVM FABVLARVM FRAGMENTA

13

λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος

Ath. XIII p. 564 F: *Φρύνιχός τε ἐπὶ τοῦ Τρωίλου ἔφη 'λάμπειν ἐπὶ — ἔρωτος'.* p. 604 A: *ὡς καλῶς Φρύνιχος ἐποίησεν εἴπας 'λάμπει δ' ἐπὶ — ἔρωτος'.* eadem verba om. poetae nomine repetit Eust. Od. p. 1558, 18. *λάμπει δ'*] *λάμπεις* Eust. *πορφυραῖς* Ath. p. 564 et Eust. *παρῇσι* Porson, *παρίησι* vel *παρηίσι* Ath., *παρειῇσι* Eust.

14

τό γε μὴν ξείνια δούσαις, λόγος ὥσπερ λέγεται,
ὀλέσαι κἀποτεμεῖν ὀξέι χαλκῷ κεφαλάν

Hephaest. p. 72: *τῶν δὲ ἐν τῷ μέτρῳ μεγεθῶν τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικόν, οἷόν ἐστι τὸ Φρυνίχου τοῦ τραγικοῦ τόδε 'τό γε — κεφαλάν'. καὶ παρὰ Φρυνίχῳ τῷ κωμικῷ 'ἃ δ' — φράσομεν'.* v. 2 *καὶ ποτέ μιν* libri, *κἀποτεμεῖν* Dorville. dubito num v. 1 et 2 inter se cohaereant.

15

ἃ δ' ἄναγν' ἐσθ' ἱερεῦσιν καθαρεύειν φράσομεν.

Hephaest. p. 72 (v. fr. 14) comico Phrynicho haec verba tribuit vix recte. *ἃ δ' ἀνάγκα 'σθ'* ed., *ἅ δ' ἀνάγκασθ'* cod. Ambr., *ἃ δ' ἄναγν' ἐσθ'* scripsi.

16

ταῦρος ἀργιμήτης

Eust. Od. p. 1430, 62: *καὶ 'ταῦρος ἀργιμήτης' ἤγουν λευκός, φασί, παρὰ Φρυνίχῳ ὁ διακομίσας τὴν Εὐρώπην.* cf. Hesych. 1 p. 273: *ἀργιμήτας ταῦρος· ταχύμητις (ταχομῆτις* cod.) *ἢ λευκός, παραγώγως (παραγώγους* cod.). *λέγεται δὲ ἐπὶ τοῦ διακομίσαντος τὴν Εὐρώπην.* ad Phoenissas locum probabiliter revocat Meineke. at *ἀργιμήτης* sive *ἀργιμήτας* vitiose est formatum*) et ineptum. expectamus *ἀργιμέτωπος*, sicut de eodem tauro dicit Moschus 2, 85: *κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ.* cf. Il. Ψ 454: *ἐν δὲ μετώπῳ λευκὸν σῆμα τέτυκτο περίτροχον ἠύτε μήνη.*

17

ἔπτηξ' ἀλέκτωρ δοῦλον ὣς κλίνας πτερόν

Plut. Amator. c. 18, 4 p. 762 F: *ἅμα τῷ γε καλὸν ἰδεῖν 'ἔπτηξ' — πτερόν' καὶ τὸ θράσος ἐγκέκλασται.* eundem versum om. p. nom. habet Plut. V. Alcib. c. 4 et Pelop. c. 29. Phrynichi esse verba docet parodia Ar. Vesp. 1490: *πτήσσει Φρύνιχος ὥς τις ἀλέκτωρ.* de fabula cuius iambus fuerit non ausim coniecturam facere ex Aelian. V. H. 13, 17: *πτήσσει Φρύνιχος ὥς τις ἀλεκτρυών* (l. *ἀλέκτωρ*), *παροιμία ἐπὶ τῶν κακῶς τι πασχόντων* (l. *κακῶς πασχόντων*)· *ὑποκρινομένου γὰρ Φρυνίχου τοῦ τραγικοῦ τὴν Μιλήτου ἅλωσιν οἱ Ἀθηναῖοι δακρύσαντες ἐξέβαλον δεδοικότα καὶ ὑποπτήσσοντα.*

18

Ar. Vesp. 1490: *πτήσσει Φρύνιχος ὥς τις ἀλέκτωρ — σκέλος οὐράνιον ἐκλακτίζων.* sicut verbis *πτήσσει ἀλέκτωρ* Phrynichi versus ridetur, ita quae sequuntur non dubito quin eodem ex poeta repetita sint. compares Ar. Vesp. 1523: *ταχὺν πόδα κυκλοσοβεῖτε καὶ τὸ Φρυνίχειον ἐκλακτισάτω τις ὅπως ἰδόντες ἄνω σκέλος ὤζωσιν οἱ θεαταί.* hinc suspicor dixisse Phrynichum

ταχὺν πόδα κυκλοσοβήσω
σκέλος οὐράνιόν γ' ἐκλακτίζων.

etiam Eupolidem (Com. 2 p. 569 sive fr. 411 p. 363 Kock.) risisse Phrynicheum istud *ἐκλακτίζειν* probabile est.

19

Ar. Av. 750: *ἔνθεν ὡσπερεὶ μέλιττα Φρύνιχος ἀμβροσίων μελέων*

---

*) Vberius hac de re disputavi *Mélanges Gréco-Rom.* IV p. 108—124. omnino consentit mecum Naber Mnem. nov. 12 p. 348 et secuti sunt rationem a me propositam novissimi Iliadis editores I. van Leeuwen et M. B. Mendes da Costa.

ἀπεβόσκετο καρπόν, ἀεὶ φέρων γλυκεῖαν ᾠδήν. Phrynichei loci parodia manifesta: quid mutarit Aristophanes nescimus; cf. Ran. 1299: *ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ λειμῶνα μουσῶν ἱερὸν ὀφθείην δρέπων.*

20

ὦ φίλτατ' ἀνδρῶν, μή μ' ἀτιμάσας γένῃ.

Priscianus Inst. 18, 201 vol. 2 p. 305, 3: *participia pro verbis ponunt Attici, quod frequenter faciunt Latini. — Phroenichus* '*ὦ — γένῃ*'. comico poetae hunc versum parum probabiliter tribuit Meineke Com. 2 p. 605.

21

ἐγὼ δέ, μισεῖ γάρ μ', ἄπειμ' ἐξ ὀμμάτων.

Zon. Lex. p. 757: *ἐξ ὀφθαλμῶν οὐ λέγουσιν οὐδ' ἐκ προσώπου. Φρύνιχος* '*ἐγὼ δὲ — ἐξ ὀμμάτων*'. *ἄπειμ'* nescio quis, *ἄμειμι* ed. Tittmann. tragico poetae recte versum tribuit Welcker Tragod. p. 1499, cf. Cobet Coll. crit. p. 204.

22

ἴδριδες

Schol. A Il. Γ 219: *ὁ γὰρ Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικὴν ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες.* similiter Etym. M. p. 42, 41 et Eust. Il. p. 407, 38 (vide Soph. fr. 953). tragicum poetam dici probabiliter statuit Meineke Hist. crit. p. 159.

23

σεμέλη

Hesych. 4 p. 20: *σεμέλη· τράπεζα. παρὰ δὲ Φρυνίχῳ ἑορτή.* lemma suspectum: *θυμέλη* coni. Schrevel.

24

ψέλια

Antiatt. p. 116, 26: *ψέλια· τὰ τοῖς πήχεσιν, οὐ μόνον στρεπτά. Φρύνιχος.* Phoenissis hunc locum adscribit Blomf. in Aesch. Pers. p. IV.

PRATINAS

ΔΥΣΜΑΙΝΑΙ Η ΚΑΡΥΑΤΙΔΕΣ

1

ἀδύφωνος ὄρτυξ

Ath. IX p. 392 F: *Πρατίνας δ' ἐν Δυσμαίναις ἢ Καρυάτισιν ἀδύφωνον ἰδίως καλεῖ τὸν ὄρτυγα, πλὴν εἰ μή τι παρὰ τοῖς Φλειασίοις ἢ τοῖς Λάκωσι φωνήεντες, ὡς καὶ οἱ πέρδικες.* ubi *ἐν δυμαναις* A, *ἐν Δυμαίναις* Toup Emend. 2 p. 480, *ἐν Δυσμαίναις* Meineke Anal. Alex. p. 360 coll. Hesych. 1 p. 545: *Δύσμαιναι· αἱ ἐν Σπάρταις (Καρύαις* recte Meineke) *χορίτιδες βάκχαι.* deinde *Καρυάτισιν* Dalechamps, *καριατισιν* A.

ΠΑΛΑΙΣΤΑΙ ΣΑΤΥΡΟΙ

Argum. Aesch. Sept., vide Aesch. fr. p. 39.

ARISTIAS

Duae huius poetae tragoediae, *Περσεύς* et *Τάνταλος*, commemorantur in Argum. Aesch. Sept. (v. p. 39), ubi *Ἀνταίῳ* post *Ταντάλῳ* excidisse coni. Bergk. quae ad nos pervenerunt reliquiae omnes ex satyricis fabulis videntur esse repetitae, cf. Meineke Hist. crit. p. 504.

ΑΝΤΑΙΟΣ

1

Αἰγαίου Ποσειδῶ παῖς, πατὴρ δ' ἐμός . .

Herod. *π. μον. λέξ.* p. 10, 19 de nomine *Ποσειδῶν* disputans: *οὐδὲν περισπώμενον ἀποκόπτεται κατὰ γενικὴν (κατὰ αἰτιατικὴν* ante Dindorfium) *πτῶσιν· ἐξεκόπη παρὰ Ἀριστίᾳ ἐν Ἀνταίῳ, ἔνθα φησὶν Ἀνταῖος 'αἰγαίου — ἐμός'. Αἰγαίου] ἐγὼ* scripserim. ferri non potest quod Ahrens Philol. 23 p. 5 proponit, *Ἀνταῖος Αἰγαίου Ποσειδῶ παῖς, πατὴρ δ' | ἐμός.*

ΑΤΑΛΑΝΤΗ

2

ἀρπεδόνην τε λύσιν ἱστοῦ

Pollux 7, 31: *ἀρπεδόνας δὲ τὰ νήματα Ἡρόδοτος· Ἀριστίας δὲ ἐν Ἀταλάντῃ 'ἀρπεδόνην — ἱστοῦ' τραγικώτερον. τε λῦσον* coni. Kuehn, *τ' ἔλυσεν* Friebel Satyrogr. p. 68.

ΚΗΡΕΣ

3

σύνδειπνος ἢ ἐπίκωμος ἢ μαζαγρέτας
Ἅιδου τραπεζεύς, ἀκρατέα νηδὺν ἔχων

Ath. XV p. 686 A: *τοῖς παισὶ παρακελεύομαι κατὰ τὸν Σοφοκλέα — καὶ κατὰ τὸν Φλειάσιον δ' Ἀριστίαν· καὶ γὰρ οὗτος ἐν ταῖς ἐπιγραφομέναις Κηρσὶν ἔφη* '*σύνδειπνος — ἔχων*'. v. 1 *ἐπίκωπος* libri, *ἐπίκωμος* L. Dindorf Thes. Gr. L. vol. 3 p. 1665 D, cf. Hesych. 2 p. 158: *ἐπίκωμος· ὁ ἐπᾴδων τῇ φίλῃ, ἢ ἀπὸ οἴνου ᾄδων. σύνδειπνος ἦν ἐπίκωμος* coni. R. Methner diss. p. 14. v. 2 *αἰδοῦ* ut videtur libri, *Ἅιδου* Toup Emend. 2 p. 478. *Ἅιδου μαγείρῳ* dixit Eur. Cycl 397.

ΚΥΚΛΩΨ

4

ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ.

Suidas: '*ἀπώλεσας — ὕδωρ*' — *ἡ παροιμία γέγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὥς φησι Χαμαιλέων ἐν τῷ περὶ σατύρων.* Prov. Milleri *Mél. de litt. gr.* p. 371 sive Zenob. 2, 16 (similiter Diogenianus 2, 32): '*ἀπώλεσας — ὕδωρ*'. *ἐν Κύκλωπι δράματι Πολύφημος οὕτως πρὸς Ὀδυσσέα λέγει, ὅθεν εἰς παροιμίαν περιέστη.* utitur hoc versu poetae et fabulae nom. om. Ath. VIII p. 362 A.

ΟΡΦΕΥΣ

5

ἦν μοι παλαίστρα καὶ δρόμος ξυστὸς πέλας.

Pollux 9, 43: *λουτρῶνες, ἐφ' οἷς καὶ παλαῖστραι καὶ δρόμοι ξυστοί. — εἴρηται δὲ καὶ ἐν τῷ Ἀριστίου Ὀρφεῖ* '*ἦν — πέλας*'.

INCERTARVM FABVLARVM FRAGMENTA

6

μυκαῖσι δ' ὠρέχθει τὸ λάινον πέδον

Ath. II p. 60 B: *ΜΥΚΑΙ Ἀριστίας* '*μύκαισι — πέδον*'. Eust. Il. p. 1017, 14: *μύκης μύκητος καὶ μύκου — τῆς μὲν ἰσοσυλλαβίας χρῆσις παρά τε ἄλλοις καὶ Ἀριστίᾳ εἰπόντι* '*μύκαισι — δάπεδον*'. *ὀρέχθει* C, *ὠρέχθει* Casaubonus. *πέδον* Ath., *δάπεδον* Eust. *μυκαῖσι* Schneidewin: Athenaeus errasse videtur.

7

πευκαλεῖται

Hesych. 3 p. 328: *πευκαλεῖται· ξηραίνεται ἢ ἀντὶ τοῦ ζητεῖται.*

Ἀριστέας. ubi Ἀριστίας coni. Wagner, Ἀμερίας M. Schmidt. glossam sanam esse non arbitror.

ARISTARCHVS

ΑΧΙΛΛΕΥΣ

Ab Ennio hanc fabulam Latine redditam esse docet Festus p. 242: '*prolato aere astitit*' *Ennius in Achille* (*Ennius Achillae in* ante Scalig.) *Aristarchi cum ait, significat clypeo ante se protento.* cf. Plautus Poenul. prol. 1: *Achillem Aristarchi mihi commentari lubet, inde mihi principium capiam ex ea tragoedia.* '*sileteque et tacete atque animum advortite, audire vos iubet imperator*' *histricus.*

ΤΑΝΤΑΛΟΣ

1

καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή·
ἴσον δ' ἐρευνᾶν, ἐξ ἴσου δὲ μὴ εἰδέναι.
πλέον γὰρ οὐδὲν οἱ σοφοὶ τῶν μὴ σοφῶν
εἰς ταῦτα γιγνώσκουσιν· εἰ δ' ἄλλου λέγει
ἄμεινον ἄλλος, τῷ λέγειν ὑπερφέρει. 5

Stob. Ecl. 2, 1, 1 p. 3, 6: Ἀριστάρχου ἐκ Ταντάλου (ἐκ Ταντάλου om. L, ἐκ ταλάντου praebet P pr. m.). 'καὶ ταῦτ' — ὑπερφέρει'. v. 3 πλεῖον vulgo. v. 4 γινώσκουσιν FL. v. 5 ἄλλος L, ἄλλως F, ἄλλως (ω corr. in ο) P. ὑποφέρει F.

INCERTARVM FABVLARVM FRAGMENTA

2

Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν,
οὐκ οἶδ' ἀνάγκης θεσμόν· ᾧ πεισθεὶς ἐγὼ
οὕτω κρατηθεὶς τάσδ' ἀπεστάλην ὁδούς.
οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον. 5

Stob. Flor. 63, 9: Ἀριστάρχου. 'ἔρωτος — πόρον'. Euripidi hunc locum tribuit Arsenius p. 419, 17. v. 3 οὕτω] πόθῳ coni. Meineke, an οἴστρῳ? v. 4 θεὸς γὰρ οὗτος malim. τὸ ἀσθενῆ S. v. 5 πόρον] πόνον M, πόρους coni. Blomfield in Aesch. Prom. 59.

3

ὦ θάνατε, σωφρόνισμα τῶν ἀγνωμόνων.

Stob. Flor. 120, 2: *Ἀριστάρχου* (sic A, eclogam om. SM). '*ὦ — ἀγνωμόνων*'. *σωφρόνημα* A, *σωφρόνισμα* Meineke, fortasse *σωφρονιστὰ* praeferendum. ceterum cf. Liban. Decl. vol. 4 p. 773, 11: *θανάτου δὲ μείζων οὐκ ἔστι σωφρονισμός. ἀγνωμόνων* (quod coniectura assecutus est F. G. Schmidt *Krit. Stud.* 3 p. 1) A, *ἀμεινόνων* ed.

4

τάδ' οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος

Ath. XIII p. 612 F: *ἐγὼ δὲ κατὰ τὸν Ἀρίσταρχον τὸν τραγικὸν ποιητὴν 'τάδ' — τιμωρούμενος' καταπαύσω τὸν πρὸς σὲ — λόγον.* om. poetae nom. Demosth. c. Neaer. § 1 (Georg. Alexandr. in Rhet. vol. 6 p. 535, 10): *ὥστ' οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος ἀγωνιοῦμαι τὸν ἀγῶνα τουτονί.* item Prov. Milleri *Mél. de litt. gr.* p. 363 (Zenob. 6, 51) et Photius Lex. p. 620, 8 sive Suidas v. *ὑπάρχων*, ubi *ὡς οὐχ ὑπ.* legitur. eodem versu dicitur usus esse *Μένανδρος ἐν Ὀλυνθίᾳ* (Com. 4 p. 177). adde Chaeremonis fr. 3.

5

Schol. Soph. Oed. C. 1320: *ἔνιοι οὐ τὸν Ἀταλάντης φασὶ Παρθενοπαῖον στρατεῦσαι, ἀλλὰ τὸν Ταλαοῦ, ὃν ἔνιοι διὰ τοῦ Κ Καλαὸν προσαγορεύουσι, καθάπερ Ἀρίσταρχος ὁ Τεγεάτης καὶ Φιλοκλῆς ἱστοροῦσι, συγγραφέων δὲ Ἑκαταῖος ὁ Μιλήσιος.* Ed. Schwartz huc refert Schol. Eur. Phoen. 126: *Λερναῖα δ' οἰκεῖ* ⟨*νάμαθ' Ἱππομέδων ἄναξ*⟩· *Ἀρίσταρχος· τοῦ Ταλαοῦ τοῦ Βίαντος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως* ⟨*τοῦ Αἰόλου*⟩ *τοῦ Ἕλληνος τοῦ Διός. παῖς· Ἱππομέδοντος Πολύδωρος ἢ Δημοφῶν.* ubi si Aristarchi nomen (*ἀρίσταρχος* MA, *ἀριστάρχω* T) recte se habet, grammaticus indicari videtur.

NEOPHRON

ΜΗΔΕΙΑ

Argum. Eur. Med.: *τὸ δρᾶμα δοκεῖ* (Euripides) *ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχος τοῦ τε Ἑλλάδος βίου*) καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι.* Laert. Diog. 2, 134: *πταίουσιν οἱ λέγοντες μηδὲν αὐτὸν* (Menedemum) *ἀνεγνωκέναι πλὴν τῆς Μηδείας*

*) Ita libri plerique: *ἑλλάδι* praebet cod. Marc. 468, *περὶ* ante *τοῦ* addit Parisinus 2712. *ἐν τῷ περὶ Ἑλλάδος βίου* scripsit Kirchhoff, *ἐν α' περὶ τοῦ τῆς Ἑλλάδος βίου* R. Klotz. fortasse praeferendum *ὡς Δικαίαρχος* [*ὁ τὸν τῆς Ἑλλάδος βίον*], ita ut verba uncis inclusa tanquam recens additamentum deleantur, Dicaearchus autem intellegatur grammaticus ille cuius mentio fit in Arg. Soph. Ai. Oed. R. et Eur. Rhes.

τῆς Εὐριπίδου, ἣν ἔνιοι (ἐν τοῖς ante Menagium) *Νεόφρονος εἶναι τοῦ Σικυωνίου φασί.* Suidas: *Νεόφρων — οὗ φασιν εἶναι τὴν τοῦ Εὐριπίδου Μήδειαν.* potius fabulae oeconomiam personarumque mores quam verba aut sententias Euripidem a Neophrone mutuatum esse coniecit Elmsley in Eur. Med. p. 69, quam sententiam probaremus, nisi id quod in Argum. Eur. Med. traditur dubitationibus esset obnoxium. Neophronis Sicyonii, quem centum viginti tragoedias edidisse refert Suidas, nulla perhibetur tragoedia praeter unam Medeam: ex qua quae afferuntur Euripide esse recentiora sagacissime perspexit Wilamowitz-Moellendorff Herm. 15 p. 487, qui istam de Neophronis et Euripidis Medeis narrationem a malignis Euripidis obtrectatoribus quarto a. Chr. saeculo fictam esse et versus Neophroni subditos fraudi deberi recte statuit. ignorat Neophronis Medeam furtumque Euripideum Aristoteles in Poetica: *ὑπομνήματα* Aristotelica esse pseudepigrapha docuit V. Rose. Dicaearchum quae ab aliis relata invenisset credidisse non miramur, cum ne hodie quidem desint qui Pseudo-Neophronis declamationes ad Euripideae Medeae exemplum compositas laudibus efferant.

1

καὶ γάρ τιν' αὐτὸς ἤλυθον λύσιν μαθεῖν
σοῦ· Πυθίαν γὰρ ὄσσαν, ἥν ἔχρησέ μοι
Φοίβου πρόμαντις, συμβαλεῖν ἀμηχανῶ·
σοὶ δ' εἰς λόγους μολὼν ἂν ἤλπιζον μαθεῖν.

Schol. Eur. Med. 666: *Νεόφρων δὲ εἰς Κόρινθον τὸν Αἰγέα φησὶ παραγενέσθαι πρὸς Μήδειαν ἕνεκα τοῦ σαφηνισθῆναι αὐτῷ τὸν χρησμὸν ὑπ' αὐτῆς* [*τῆς Μηδείας*], *γράφων οὕτως 'καὶ γάρ — ἤλπιζον μαθεῖν'.* v. 1 *ἦλθον ἵνα* (vel *ὡς*) *λύσιν μάθοιν* vel *ἤθελον λύσιν μαθεῖν* coni. Herwerden Exerc. crit. p. 69. *ἤλυθον* formam a senario non esse alienam satis notum est (cf. Eur. El. 598 Tro. 374 fr. 451, 2 Rhes. 660 al.). infinitivus pendens ex eundi verbo rarus est apud veteres scriptores nec tamen inauditus. velut *προσέβαν ὑμέναιον ἀεῖσαι* dixit Eur. fr. 773, 54. cf. quae F. G. Schmidt *Krit. Stud.* 3 p. 168 sq. et ego *Mél. Gréco-Rom.* V p. 218 attulimus. v. 2 *Πυθίαν* Valckenaer in Eur. Phoen. 709, *πρὶν θείαν* libri. v. 3 *συλλαβεῖν* al. v. 3 sq. *ἀμηχανῶ· σοὶ δ'* Valckenaer, *ἀμηχάνως οἶδ'* libri. v. 4 *ἂν* Dindorf, *γὰρ* libri, *γ' ἂν* Porson in Eur. Med. 666.

2

εἶεν· τί δράσεις, θυμέ; βούλευσαι καλῶς
πρὶν ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα
ἔχθιστα θέσθαι. ποῖ ποτ' ἐξῇξας τάλας;

κάτισχε λῆμα καὶ σθένος θεοστυγές.
καὶ πρὸς τί ταῦτα δύρομαι, ψυχὴν ἐμὴν 5
δρῶσ' ἔρημον καὶ παρημελημένην
πρὸς ὧν ἐχρῆν ἥκιστα; μαλθακοὶ δὲ δὴ
τοιαῦτα γιγνόμεσθα πάσχοντες κακά;
οὐ μὴ προδώσεις, θυμέ, σαυτὸν ἐν κακοῖς;
οἴμοι δέδοκται· παῖδες ἐκτὸς ὀμμάτων 10
ἀπέλθετ'· ἤδη γάρ με φοινία μέγαν
δέδυκε λύσσα θυμόν. ὦ χέρες χέρες,
πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα· φεῦ
τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ
διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ. 15

Stob. Flor. 20, 34: *Νεόφρονος ἐν Μηδείᾳ* (sic S, eclogam om. MA). '*εἶεν — χρόνῳ*'. v. 2 *πρὶν* Porson Adv. p. 295, *πρὶν ἢ* S. v. 3 *ἐξῆξας* B m. sec. teste Gaisfordo, *ἐξῆξαι* S. v. 4 *λῆμμα* S. v. 5 *καίτοι τί* malim. *ταῦτα δύρομαι* Porson in Eur. Hec. 728, *ταῦτα ὀδύρομαι* S. *τύχην* Cobet N. L. p. 74. v. 7 *προσων* S. v. 8 *γιγνόμεσθα* Gesner, *γιγνόμεθα* S. v. 9 *προδώσεις* cod. Voss., *προδώσῃς* S. v. 10 *οἴμμοι* S. v. 11 *ἀπέλθετε* S. *ἤδη γάρ μ' ἄγαν ἡ φοινία* coni. R. Methner diss. p. 15, *ἤδη γάρ με φοίνιον νέα* F. G. Schmidt *Krit. Stud.* 3 p. 1. v. 13 *ἐξοπλιζόμεσθα* ⟨*δή*⟩ vel *ἐξοπλιζόμεσθ' ἄρα*, ut *φεῦ* extra versum positum sit, coni. Meineke in Stob. Flor. 4 p. LX, *ἐξοπλιζόμεσθ' ἄνοι* F. G. Schmidt. v. 15 *ἢ* S, *ἣ* Frob., *ᾗ* olim scripsi.

3

τέλος γὰρ αὐτὸς αἰσχίστῳ μόρῳ φέρεις,
βροχωτὸν ἀγχόνην ἐπισπάσας δέρῃ.
τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει,
διδάξεις τ' ἄλλους μυρίους ἐφημέρους
θεῶν ὕπερθε μήποτ' αἴρεσθαι βροτοῖς. 5

Schol. Eur. Med. 1387: *οἳ μὲν λέγουσι κατὰ Μηδείας χόλον ἢ κέλευσιν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς καταδαρθόντα τὸν Ἰάσονα τελευτῆσαι ἐμπεσόντος αὐτῷ ξύλου· Νεόφρων δὲ ξενικώτερον ἀγχόνῃ φησὶ τελευτῆσαι· τὴν γὰρ Μήδειαν παράγει πρὸς αὐτὸν εἰποῦσαν 'τέλος γὰρ — βροτοῖς'.* v. 1 *αὐτὸς ἐχθίστῳ* Fl. 6, *αὐτὸν ἐχθίστῳ* B, *αὐτεχθίστῳ* I, *αὐτὸς αἰσχίστῳ* Elmsley. *φέρεις*] *φθερεῖς* Elmsley, *φθερεῖ* Hermann. v. 2 *βροχωτὸν* B, *βρόχῳ τὸν* Fl. 6, *βροτὸν* I. *ἀγχόνην* Hermann, *ἀγχόνης* libri. *δέρῃ* B, *δέρην* Fl. 6, *ἔρῃ* I. hinc v. 1 et 2 *τέλος φθερεῖ γὰρ αὐτὸς αἰσχίστῳ μόρῳ, βροχωτὸν — δέρῃ* scripsit

Dindorf, *τέλος γὰρ αὐτὸς αὑτὸν αἰσχίστῳ μόρῳ φθερεῖς, βρόχον τὸν ἀγχόνης ἐπισπάσας* coni. R. Methner diss. p. 16. *ἔρρεις τέλος γὰρ αὐτὸς αἰσχίστῳ μόρῳ, δέρῃ βροχωτὸν ἀγχόνην ἐπισπάσας* ego temptabam. v. 3 *τοιάδε σ' ἄποινα* F. G. Schmidt *Krit. Stud.* 3 p. 2. v. 4 *τ'* B, *τοὺς* I Fl. 6. *δίδαξις ἄλλοις μυρίοις ἐφημέροις* Elmsley, *δείξεις δ' ἐς ἄλλους μυρίους ἐφημέρους* Conington, *ὅπως διδάξῃς μυρίους ἐφημέρους* Bergk *Griech. Lit.* 3 p. 506, *δείξεις δὲ κἄλλοις μυρίοις ἐφημέροις* F. G. Schmidt. v. 5 *μήποτ' αἱρεσθαι* Barnes, *μήποθ' αἱρεῖσθαι* libri. *βροτοῖς* B Fl. 6, *βροτούς* I, *φρένας* Bergk, *τρόπους* F. G. Schmidt.

ΙΟΝ

ΑΓΑΜΕΜΝΩΝ

1

οἴσει δὲ δῶρον ἄξιον δραμήματος
ἔκπωμα δακτυλωτόν, ἄχραντον πυρί,
Πελίου μὲν ἆθλον, Κάστορος δ' ἔργον ποδῶν.

Ath. XI p. 468 C: *δακτυλωτὸν ἔκπωμα οὕτως καλούμενον παρὰ Ἴωνι ἐν Ἀγαμέμνονι* '*οἴσει — ποδῶν*'. v. 1 *οἶσι* A. v. 2 om. fab. nom. affert Eust. Il. p. 1300, 5. cf. Hesych. 1 p. 456: *δακτυλόδικτον. δακτυλωτὸν ἔκπωμα* (*ἔκπομα* cod.)· *ἔνιοι τὸ κέρας* (*κρέας* cod.), *ἄμεινον δὲ τὸ ξωστρωτὸν* (*ξυστρωτὸν* coni. Alberti, *ἄμφωτον* Pearson) *λεγόμενον. ἢ διὰ τὸ ὦτα ἔχειν ἔξωθεν καὶ δύνασθαι τοῖς δακτύλοις κρατεῖσθαι,* ⟨*ᾧ*⟩ *οἱ δάκτυλοι ἐνείροντο.* olim *ἔκπωμα δεικηλωτόν* conieci, *ἔκπωμα δαιδαλωτόν* quondam suasit Meineke, qui explicare conatur traditam scripturam Ath. 4 p. 215 sq. v. 3 *μὲν* Dobree Adv. 2 p. 331, *μέγ'* A. *Πελίου μὲν ἔργον, Κάστορος δ' ἆθλον ποδῶν* probabiliter coni. Herwerden Exerc. crit. p. 70.

2

κακῶν ἀπέστω θάνατος, ὡς ἴδῃ κακά.

Stob. Flor. 120, 16: *Ἴωνος Ἀγαμέμνονος* (sic A, eclogam om. SM). '*κακῶν — κακά*'. *κακοῦ δ' ἀπέστω* coni. R. Methner, ⟨*ἓν*⟩ *κακὸν ἀπέστω* ego malim. *εἰδῇ* Cobet Mnem. 9 p. 146.

3

ἱππικὸν χλίδος

Hesych. 2 p. 366: *ἱππικὸν χλῖδος· Ἴων Ἀγαμέμνονι. ἀντὶ τοῦ χλίδημα, φόρημα. οἱ γὰρ ἐποχούμενοι τοῖς ἵπποις* (*ἱππείοις* cod.)

ἐχρῶντο κόσμου χάριν πλατέσι (πλατύσι cod.) χιτῶσιν, ἃς καλασίριδας (αἷς καλὰς εἴριδας cod.) καὶ ξυστίδας τινὲς λέγουσιν.

4

πεδανῷ ὕπνῳ

Hesych. 3 p. 295: πεδανῷ ὕπνῳ ⟨ἢ⟩ ἠπεδανῷ· κούφῳ. Ἴων Ἀγαμέμνονι. τινὲς δὲ οὐ βεβαίῳ.

5

αἰετός

Schol. Ar. Av. 1110: τὰς γὰρ τῶν ἱερῶν στέγας πτερὰ καὶ ἀετοὺς (αἰετοὺς V) καλοῦσιν, ὡς φησὶν Ἴων ἐν Ἀγαμέμνονι.

ΑΛΚΜΗΝΗ

6

καταφράκτοις ψυχαῖς

Hesych. 2 p. 437: καταφράκτοις ψυχαῖς· ταῖς ἐπεσκοτισμέναις (ἐπισκοτισμέναις cod.) καὶ μὴ τὸ μέλλον εἰδυίαις. Ἴων Ἀλκμήνῃ (ἀλ.μηνη cod.). saltem καταφάρκτοις expectes.

7

σάγη φερέσβιος

Pollux 10, 92: ἐν δὲ τῇ Ἴωνος Ἀλκμήνῃ ὁ εἰς τὴν τῆς τροφῆς παρασκευὴν θύλακος σάγη ὠνόμασται. Ionem dixisse σάγη φερέσβιος probabiliter coni. Wagner coll. Phot. Lex. p. 495, 21: σάγη φερέσβιος· τὸν πρὸς τροφῆς παρασκευὴν θύλακον.

8

αὐτάγητοι

Hesych. 1 p. 324: αὐτάγητοι· ἀγάμεναι ἑαυτὰς καὶ θαυμαστικῶς ἔχουσαι ἑαυτῶν. Ἴων Ἀλκμήνῃ. ἔνιοι δὲ αὐθάδεις· καὶ Ἀνακρέων οὕτω κέχρηται.

ΑΡΓΕΙΟΙ

9

ὡς παλαιὸν οἰκίας σάρον

Hesych. 4 p. 12: σάρον. Ἴων Ἀργείοις 'ὡς παλαιὸν ἀκίσσαρον'. βαρυτονητέον, ὡς παρὰ Σώφρονι. θέλει δὲ λέγειν ὅτι ἄχρηστοί εἰσι διὰ τὸ γῆρας. ἀκίσσαρον cod., οἰκίας σάρον Toup. Friebel Ἀργείοις in ἀχρεῖοι mutandum suspicabatur, debebat saltem ἀχρεῖος. Sophron τὸ σάρον ἄνελε dixit (Schol. Eur. Andr. 166).

ΕΥΡΥΤΙΔΑΙ

10

ἐκ ζαθέων πιθακνῶν ἀφύσαντες ὄλπαις
οἶνον ὑπερφίαλον κελαρύζετε.

Ath. XI p. 495 B: *ὄλπας — καθάπερ Ἴων ὁ Χῖος ἐν Εὐρυτίδαις φησίν 'ἐκ — κελαρύζετε'.* v. 1 *ἀφύσσοντες* A, *ἀφύσαντες* Bergk Comment. de reliq. com. Att. p. 91.

11

ἀθίκτους κόρας

Hesych. 1 p. 64: *ἀθίκτορας· ἀνεπάφους* (*ἀνεπάφας* cod.) *παρθένους, ἀνάνδρους. Ἴων Εὐρυτίδαις* (*οἷον εὐρύτιδες* cod., emend. Bentley). cf. Etym. M. p. 25, 10: *ἄθικτον· μιαρόν, ἀκάθαρτον. καὶ ἡ παρθένος δὲ οὕτως ἐλέγετο. καὶ ἀθίκτορας· ἀνεπάφους παρθένους, ἀνάνδρους.* vitiosum *ἀθίκτορας* in *ἀθίκτους κόρας* mutavit Bentley Epist. ad Millium p. 60.

12

ἰήιος

Hesych. 2 p. 349, quem locum attulimus in Soph. fr. 575.

13

κυδρός

Hesych. 2 p. 548: *κυδρός· ἔνδοξος καὶ τὰ ὅμοια, γαυριῶν, πεποιθώς. εὐρύτιδις. συγκοπὸν δὲ τοῦ κύδρος Καλλίστρατος* [*πεποιθώς*]. sic codex: *Ἴων Εὐρυτίδαις* agnovit Bentley Epist. ad Millium p. 94. in fine *συγκοπὲν* correxit Is. Voss, ⟨*ἐκ*⟩ *τοῦ κυδαρός* M. Haupt Opusc. 2 p. 217.

ΚΑΙΝΕΥΣ v. ΦΟΙΝΙΞ

ΛΑΕΡΤΗΣ

14

ἴθι μοι, δόμον, οἰκέτα, κλῆσον ὑπόπτερος,
μή τις ἔλθῃ βροτῶν

Ath. VI p. 267 D: *Ἴων δ' ὁ Χῖος ἐν Λαέρτῃ τὸν οἰκέτην ἐπὶ δούλου τέθεικεν εἰπών 'ἴοι μοι — βροτῶν'.* v. 1 *ἴθι* Wagner, *ἴοι* A, om. C. *κλεῖσον* vulgo.

ΜΕΓΑ ΔΡΑΜΑ

15

ψαθαρὸν νάρθηκα

Pollux 10, 177: καὶ νάρθηκα δ' ἂν εἴποις, Πλάτωνος μὲν καὶ ναρθηκοφόρους ὀνομάσαντος, Ἴωνος δὲ ἐν τῷ μεγάλῳ δράματι εἰπόντος 'ψαθαρὸν νάρθηκα'.

16

μελαγχρῆ

Hesych. 3 p. 83: μελάγχετον μεγάλῳ δράματι ἀπὸ τῶν ἀνθρώπων, οἷον ἀκμάζουσαν. ubi μελαγχαίταν· Ἴων μεγάλῳ δράματι coni. Bentley Epist. ad Millium p. 54. ego μελαγχρῆ· Ἴων μεγάλῳ δράματι praetuli.

17

ὀνοταζομένη

Hesych. 3 p. 210: ὀνοταζομένη· πορθουμένη (ἀπωθουμένη probabiliter coni. R. Methner). Ἴων μεγάλῳ δράματι. κυρίως δὲ ἐπὶ τοῦ ἐκφαυλίζεσθαι. Phot. Lex. p. 339, 12: ὀνοταζομένη· ἐκφαυλιζομένη. Ἴων μεγάλῳ δράματι.

ΟΜΦΑΛΗ ΣΑΤΥΡΟΙ

Huic fabulae fr. 59 adscribit Meineke.

18

Εὐβοΐδα μὲν γῆν λεπτὸς Εὐρίπου κλύδων
Βοιωτίας ἀκτῆς ἐχώρισεν ἐκτέμνων
πρὸς κρῆτα πορθμόν.

Strab. I p. 60: Ἴων δὲ περὶ τῆς Εὐβοίας φησὶν ἐν Ὀμφάλῃ σατύροις 'Εὐβοΐδα — πορθμόν'. Eust. in Dion. Per. 476: καὶ τὴν Εὐβοΐδα δὲ γῆν 'λεπτὸς — ἀκτῆς ἐχώρισε' (v. 1 sq.), καθά τις φησὶ ποιητής. v. 2 et 3 Βοιωτίας ἐχώρισ' ἀκτὴν ἐκτεμὼν προβλῆτα πορθμῷ coni. Bentley Epist. ad Millium p. 57.

19

σπίλον Παρνασσίαν

Hesych. 4 p. 66: σπίλον Παρνασσίαν (παρνασείαν cod.). Ἴων Ὀμφάλῃ. οὐκ εὖ· σπιλάδες γὰρ πέτραι.

20

ἴτ' ἐκφορεῖτε, παρθένοι,
κύπελλα καὶ μεσομφάλους

Ath. XI p. 501 F: Ἴων δ' ἐν Ὀμφάλῃ 'ἴτ' — μεσομφάλους'. οὕτω δ' εἴρηκε τὰς βαλανειομφάλους. om. fab. nom. Eust. Il. p. 1261, 24. cf. Hesych. 3 p. 94: μεσομφάλους· φιάλας (φιάλαι cod.). Ἴων

(ἰὼν cod.) Ὀμφάλῃ. hinc μεσομφάλους ⟨φιάλας⟩ Ioni tribuerunt Bergk et Meineke. cf. Pollux 6, 98: μεσόμφαλοι δὲ φιάλαι καὶ βαλανειόμφαλοι τὸ σχῆμα προσηγορίαν ἔχουσι, χρυσόμφαλοι δὲ τὴν ὕλην.

21

ἐνιαυσίαν γὰρ δεῖ με τὴν ἑορτὴν ἄγειν

Ath. VI p. 258 F: δοκεῖ δέ μοι οὗτος, ἄνδρες φίλοι, ὁ καλὸς γάστρις οὐκ ἂν ὠκνηκέναι εἰπεῖν καὶ τὰ ἐξ Ὀμφάλης Ἴωνος τοῦ τραγῳδιοποιοῦ 'ἐνιαυσίαν — λέγειν' οἷον καθημερινήν. ὀρτὴν Dindorf. λέγειν A, ἄγειν Bentley Epist. ad Millium p. 56, τελεῖν C. Schirlitz *Philol. Anz.* 6 p. 229. τὴν ἑορτὴν δεῖ μ' ἄγειν Meineke Ath. 4 p. 114.

22

ἀλλ' εἶα, Λυδαὶ ψάλτριαι, παλαιθέτων
ὕμνων ἀοιδοί, τὸν ξένον κοσμήσατε.

Ath. XIV p. 634 F: τὰς Λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ διὰ τούτων 'ἀλλ' — κοσμήσατε'. v. 1 αλλεια A, ἀλλ' εἶα Bentley Epist. ad Millium p. 56. παλαιφάτων coni. Dobree Adv. 2 p. 348, παλαιτέρων M. Schmidt in Hesych. 3 p. 258. v. 2 κοιμήσατε Meineke.

23

Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς

Ath. XIV p. 634 C de magadide: Ἴων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ ὡς περὶ αὐλῶν λέγει διὰ τούτων 'Λυδός — βοῆς'. ὅπερ ἐξηγούμενος ἰαμβεῖον Ἀρίσταρχος ὁ γραμματικὸς — γένος αὐλοῦ φησὶν εἶναι τὸν μάγαδιν. Didymus teste Athenaeo p. 634 F statuit ἐλλείπειν τὸν ΤΕ σύνδεσμον, ἵν' ᾖ μάγαδις αὐλὸς ὁ προσαυλούμενος τῇ μαγάδι. Hesych. 3 p. 61: μαγάδεις· αὐλοὶ κιθαριστήριοι, ὄργανον ψαλτικόν — Ἴων Ὀμφάλῃ 'ἢ μαγάδης αὐλὸς ἢ γηθηβοῆς' ἀντὶ τοῦ ὁ συνᾴδων τῇ μαγάδι (μαγάδῃ cod.).

24

βακκάρεις δὲ καὶ μύρα
καὶ Σαρδιανὸν κόσμον εἰδέναι χροὸς
ἄμεινον ἢ τὸν Πέλοπος ἐν νήσῳ τρόπον.

Ath. XV p. 690 B: ὀνομάζεταί τι μύρον βάκκαρις, οὗ μνημονεύει — Ἴων Ὀμφάλῃ 'βάκκαρις — τρόπον'. v, 1 βάκκαρις libri, βακκάρεις Dindorf.

25

καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον

Pollux 5, 101: *ἴσως δ' ἂν τοῖς κόσμοις προσήκοι — ἡ στίμμις παρ' Ἴωνι ἐν Ὀμφάλῃ 'καὶ — ὀμματογράφον'*. Choerob. in Theodos. p. 373, 28 (Anecd. Bekk. p. 1208): *εὑρέθη δὲ καὶ τὸ στίμμι θηλυκῶς λεγόμενον, οἷον ἡ στίμμις τῆς στίμμιδος Ἰωνικῶς καὶ ⟨τῆς⟩ στίμμεως Ἀττικῶς· ἡ αἰτιατικὴ τὴν στίμμιν, ὡς Ἴων Ὀμφάλῃ* (ita fere scribendum ope codicis Marciani 489) *'καὶ — ὀμματογράφον'*. Anecd. Oxon. vol. 2 p. 413, 3: *ἡ στίμμις* (*στίμμι* ed.) *τῆς στίμεως· Ἴων Ὀμφάλῃ 'καὶ — ὀμματογράφον'*. eundem versum om. fab. nom. Eust. Od. p. 1761, 33 affert, sine poetae et fab. nom. Anecd. Oxon. vol. 2 p. 259, 18 Schol. Il. Θ 545 in Anecd. Paris. vol. 3 p. 46, 8 Eust. Il. p. 728, 53. inserenda esse haec verba in fr. 24 ante v. 2 probabiliter coni. Herwerden Obs. crit. in fragm. com. p. 130.

26

οἶνος οὐκ ἔνι
ἐν τῷ σκύφει . . . .

Ath. XI p. 498 E: *Ἴων δ' ἐν Ὀμφάλῃ 'οἶνος — σκύφει' τῷ σκύφει ἰδίως ἀπὸ τοῦ σκύφος σχηματίσας οὐδετέρως ἔφη.* om. fab. nom. Eust. Od. p. 1775, 19.

27

ἔπεισας· ἀλλὰ πῖθι Πακτωλοῦ ῥοάς

Etym. M. p. 671, 41: *'πῖθι — ῥοάς'· ἀντὶ τοῦ πίε. Ἴων ἐν Ὀμφάλῃ.* Etym. Flor. p. 244: *πῖθι σημαίνει τὸ πίε, οἷον 'ἔπεισας — ῥοάς'. ἔπεισας* vitiosum, *ἔσπεισας* coni. Gomperz, *ἔγευσά σ'* F. G. Schmidt *Krit. Stud.* 3 p. 3.

28

ἐξανθρακώσας πυθμέν' εὔκηλον δρυός

Phot. Lex. p. 34, 2: *εὔκηλον· εὔκαυστον, εὔσχιστον. Ἴων ἐν Ὀμφάλῃ 'ἐξανθρακώσας — δρυός'.* Etym. M. p. 392, 12: *εὔκηλον· εὔσχιστον, εὔκαυστον* (*εὔκλαστον* FV). *'ἐξανθρακώσας — δρυός'.* vitiose Hesychius 2 p. 224: *εὔκληρον δρυός· εὔσχιστον, εὔξυλον, εὔκαυστον.*

29

ὑπὸ δὲ τῆς βουλιμίας
κατέπινε καὶ τὰ κᾶλα καὶ τοὺς ἄνθρακας.

Ath. X p. 411 B: *Ἴων δ' ἐν Ὀμφάλῃ ἐμφανίσας αὐτοῦ* (Herculis) *τὴν ἀδηφαγίαν ἐπιφέρει 'ὑπὸ — ἄνθρακας'.* Eust. Il. p. 870, 12: *τῷ παμφάγῳ Ἡρακλεῖ, ὃς καὶ τὰ κάλα καὶ τοὺς ἄνθρακας κατέπινε.* similiter idem Od. p. 1817, 18. v. 1 *εὐφημίας* A, *βουλιμίας*

Bentley Epist. ad Millium p. 56 (sic ὑπὸ τῆς ἀπληστίας dixit Pherecr. Com. 2 p. 342), εὐθυμίας Boissonade in Aen. Gaz. p. 519, ἐπιθυμίας R. Methner. v. 2 καλὰ Athenaei A, κάλα C. Eust., κᾶλα Schweighaeuser.

30

Pollux 2, 95: διστοίχους δ' εἶχεν ἄρα (Timarchus Nicoclis Cyprii pater) τῷ Ἀριστοτέλους λόγῳ τοὺς ὀδόντας, κατὰ δὲ τὴν Ἴωνος τοῦ Χίου δόξαν τριστοίχους Ἡρακλῆς. Tzetz. Chil. 3, 957: ὡς καὶ τὸν Ἡρακλέα δὲ ὁ Χῖος Ἴων λέγει ἔχειν ὀδόντων τρίστοιχον θέσιν ἀρραγεστάτην. ad Omphalen probabiliter haec rettulit Nieberding.

31

ἐρρωπίζομεν

Hesych. 2 p. 197: ἐρρωπίζομεν· Ἴων Ὀμφάλῃ. τινὲς ῥωπίζειν ἀπέδοσαν τὸ ἀτεχνιτεύεσθαι καὶ ἀμαθεύεσθαι, κακῶς· ἔστι γὰρ ῥῶπος ὁ λεπτὸς φόρτος κτέ. Phot. Lex. p. 17, 19: ἐρρωπίζομεν· σύμμικτα καὶ συμπεφυρμένα ἐποιοῦμεν. vitiosa est glossa Hesych. 2 p. 192: ἐριωπιζόμην· ἢ τεχνητευόμην ἢ σύμμικτα σχήματα εἶχον, ubi ἐρρωπίζομεν· ἠτεχνιτεύομεν ἢ σύμμικτα χρώματα εἴχομεν corr. Bentley Epist. ad Millium p. 55.

32

θίασος

Harpocr. p. 98, 14: θίασος — τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ θεῶν — Ἴων δὲ ἐν Ὀμφάλῃ κοινῶς ἐπὶ παντὸς ἀθροίσματος ἔταξε τοὔνομα. similiter om. fab. nom. Phot. Lex. p. 92, 11 Suid. v. θίασος Zon. Lex. p. 1045.

33

χελιδόνες

Schol. Ar. Av. 1680: Ἴων ἐν Ὀμφάλῃ τοὺς βαρβάρους χελιδόνας ἀρσενικῶς φησίν.

ΤΕΥΚΡΟΣ

34

ἄιδροι

Hesych. 1 p. 73: ἀιδροί· αἴδριες. Ἴων Τεύκρῳ (ἰῶν [υἱ] τευκρ[ω] cod.). cf. Etym. M. p. 42, 31: ἄιδροι· αἴδριες, ἀμαθεῖς, ἄπειροι. de accentu v. Herod. Arcad. p. 74, 25.

35

ἀμφιβώτης

Hesych. 1 p. 158: ἀμφιβώτης· περιβόητος. Ἴων (υἱῶν cod.) Τεύκρῳ. scribendum aut περιβοήτου cum Bentleio aut ἀμφίβωτος cum L. Dindorfio in Thes. Gr. L. vitiosa est glossa Hesych. 1 p. 164: ἀμφιρῶτις· περιβόητος.

ΦΟΙΝΙΞ

Bis simpliciter *Φοῖνιξ* laudatur (fr. 36 et 37), quater (fr. 38—41) *Φοῖνιξ ἢ Καινεύς*, bis *Φοῖνιξ δεύτερος* (fr. 42 et 43).

36

καὶ τὸν πετραῖον πλεκτάναις ἀναίμοσιν
στυγῶ μεταλλακτῆρα πουλύπουν χροός

Ath. VII p. 318 E: τοῦ πολύποδος μνημονεύει καὶ ὁ τραγικὸς Ἴων ἐν Φοίνικι λέγων 'καὶ τὸν — χροός'. om. fab. n. Eust. Od. p. 1541, 43. v. 1 καὶ om. Eust. ἀναίμοσι] ἀναίμονα Eust., ἀναίμοσιν ed. Meineke, qui post hoc vocabulum versum excidisse conicit vol. 4 p. 140. v. 2 πολύπουν A Eust.

37

ἀλλ' ὦ θυρέτρων τῶνδε κωμῆται θεοί

Pollux 9, 37: κωμήτας τοὺς γείτονας καὶ κωμήτιδας ὠνόμαζον· — Ἴων δὲ ἐν Φοίνικι σαφέστερον 'ἀλλ' ὦ — θεοί'.

38

ἀλλ' ἔν τε χέρσῳ τὰς λέοντος ᾔνεσα
ἢ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας·
ὃς εὖτ' ἂν ἄλλων κρεισσόνων ὁρμὴν μάθῃ,
στρόβιλος ἀμφ' ἄκανθαν εἱλίξας δέμας
κεῖται δακεῖν τε καὶ θιγεῖν ἀμήχανος. 5

Ath. III p. 91 D: ὅτι δὲ οἱ ἐχῖνοι — ἑαυτῶν εἰσι φυλακτικοὶ πρὸς τοὺς θηρῶντας προβαλλόμενοι τὰς ἀκάνθας ὥσπερ τι χαράκωμα, Ἴων ὁ Χῖος μαρτυρεῖ ἐν Φοίνικι ἢ Καινεῖ (ἐν φοινίκηι καινη A) λέγων οὕτως 'ἀλλ' — ἀμήχανος'. eosdem versus om. fab. nom. affert Zenobius 5, 68 (unde corrupta verba ἑλίξας δὲ μὲν κεῖται v. 4 sq. decerpsit Diogenian. 7, 83), sine p. et fab. nom. Schol. Il. Ο 714 in Anecd. Paris. vol. 3 p. 387, 10. extremos duos versus habet Plut. de solertia anim. c. 16, 8 p. 971 F: προσιούσης γὰρ αὐτῆς, ὥς φησιν ὁ Ἴων 'στρόβιλος — ἀμήχανος'. v. 1 ἔν τε χέρσῳ] ἔν γε χέρσῳ Schol. Il., neutrum sanum; ἔν γε θηρσὶ coni. Herwerden Exerc. crit. p. 71. τοὺς λέοντας Meineke. v. 2 καὶ τὰς Schol. Il. et Zenob. v. 3 κρεισσόνων ὁρμὴν] θηρίων ὀσμίαν Schol. Il., θηρίων ὀσμὴν

Zenob. v. 4 *στροβιλὸς* scribendum erit, si fides Herodiano. *ἀμφάκανθον* Salmasius. v. 5 *δακεῖν τε καὶ θίγειν* Ath., *δακεῖν δὲ καὶ θίγειν* Schol. Il., *θιγεῖν τε καὶ δακεῖν* Plut. et Zenob. fr. 38 et 36 coniungi vult Meineke Ath. 4 p. 42.

39

ἐπὶ δ' αὐλὸς ἀλέκτωρ Λύδιον ὕμνον ἀχέων

Ath. IV p. 184 F: *Ἴων δ' ἐν Φοίνικι ἢ Καινεῖ ἀλέκτορα τὸν αὐλὸν καλεῖ ἐν τούτοις* '*ἐπὶ δ' — Ἀχαιῶν*'. *ἐπὶ δ'* A, *ἐπῇδ'* L. *Ἀχαιῶν* vulgo, *ἀχέων* coni. Emperius Opusc. p. 111, *ἰαχῶν* Meineke. locum respicit Eust. Od. p. 1479, 27: *Ἴων δὲ ὁ τραγικὸς ἀλέκτορα τὸν αὐλὸν εἶπε.*

40

δρυός μ' ἱδρὼς
καὶ θαμνομήκης ῥάβδος ἥ τ' Αἰγυπτία
βόσκει λινουλκὸς χλαῖνα θήραγρος πέδη.

Ath. X p. 451 D: *Ἴων δ' ἐν Φοίνικι ἢ Καινεῖ δρυὸς ἱδρῶτα εἴρηκε τὸν ἰξὸν ἐν τούτοις* '*δρυὸς — πέδη*'. Eust. Il. p. 865, 15: *ἰξὸν δὲ δρυὸς ἱδρῶτα, ὡς τὸ* '*δρυὸς ἱδρὼς καὶ θαμνομήκης κλάδος*'. v. 1 *δρυός μ'* Casaubonus, *δρυὸς μὲν* AC. v. 2 *θαμνομήκης* Athenaei A et Eust., *ταμνομήκης* deteriores Athenaei codices, neutra lectio ferri potest, quamquam *θαμνομήκης* explicare studet Herwerden Mnem. nov. 4 p. 313. nec sufficit quod olim proposui *ταναομήκης*. aptius fuerit *ἥ τε ταναήκης ῥάβδος*, sicut *σχοίνους ταναήκεας* dixit Oppianus Hal. 4, 53. at ne hoc quidem probabile. *αἰγυπτίη* A, om. C. v. 3 *λίνουλκος* libri, *λινουλκὸς* Koepke, *λινόκλως* Lobeck in Phryn. p. 612. *χλαῖνα* vitiosum, *τάλανα* coni. R. Methner diss. p. 22. *θηραγρὸς* A.

41

εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος ⟨ἢ τρόπον, ὦ⟩ πολιῆται

Ar. Ran. 706: *εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος ἢ τρόπον ὅστις ἔτ' οἰμώξεται.* ubi Schol.: *τοῦτο Ἴωνός ἐστιν ἐκ Φοίνικος ἢ Καινέως* (*ἢ καὶ Οἰνέως* ante Bentleium) '*εἰ δ' — πολιῆται*'. *δ' ἐγὼ*] *δὲ τὸ* VΘM. *ἢ τρόπον* ex Aristophane addidit Meineke Philol. 15 p. 142 coll. fr. 53, 1. *ὦ* addidit Bentley Epist. ad Millium p. 54.

42

ἔκτυπον ἄγων βαρὺν αὐλὸν τρέχοντι ῥυθμῷ

Ath. IV p. 185 A: *ἐν δὲ τῷ δευτέρῳ Φοίνικι ὁ αὐτὸς Ἴων φησὶν* '*ἔκτυπον — ῥυθμῷ*', *οὕτω λέγων τῷ Φρυγίῳ· βαρὺς γὰρ οὗτος.* Io-

nem scripsisse *ἐκτύπουν, ἄγων βαρὺν | αὐλόν, τρέχοντα ῥυθμόν* coni. Bentley Epist. ad Millium p. 55. non minus incerta sunt quae temptarunt Meineke Ath. 4 p. 85 M. Schmidt Philol. 18 p. 230 sq. R. Methner diss. p. 23.

43

τιμαλφής

Hesych. 4 p. 157: *τιμαλφής· ἔντιμος, τιμὴν ἀλφάνουσα, διὰ τιμῆς ἀγομένη. Ἴων Φοίνικι δευτέρῳ.*

ΦΡΟΥΡΟΙ

Proclus Chrestom. p. 460: *Ὀδυσσεὺς δὲ αἰκισάμενος ἑαυτὸν κατάσκοπος εἰς Ἴλιον παραγίνεται, καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλένης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντίθεται· κτείνας τε τινὰς τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται.* hoc fabulae argumentum fuisse e fr. 44 conclusit Welcker Tragod. p. 948.

44

σιγᾷ μέν, ἐχθαίρει δέ, βούλεταί γε μήν

Ar. Ran. 1425: *ποθεῖ μέν, ἐχθαίρει δέ, βούλεται δ' ἔχειν.* ubi Schol. (cf. Suid. v. *Σίφνιοι*): *παρὰ τὰ ἐκ τῶν Ἴωνος Φρουρῶν, ὅπου ἡ Ἑλένη πρὸς τὸν Ὀδυσσέα φησί* '*σιγᾷ — μήν*'.

45

ῥοθεῖ δέ τοι σῦριγξ Ἰδαῖος ἀλέκτωρ

Ath. IV p. 185 A: *Ἴων δ' ἐν Φοίνικι ἢ Καινεῖ ἀλέκτορα τὸν αὐλὸν καλεῖ — ἐν δὲ Φρουροῖς τὸν ἀλεκτρυόνα Ἰδαῖον εἴρηκε σύριγγα* (*ἐν δὲ Φρουροῖς ἀλεκτρυόνα Ἰδαῖον εἴρηκε τὴν σύριγγα* coni. Kaibel, recte nisi quod *ἀλέκτορα* praeferendum) *διὰ τούτων* '*προθεῖ — ἀλέκτωρ*'. *προθεῖ* A, *ῥοθεῖ* scripsi, cf. Poll. 4, 69: *καὶ γὰρ τοιαῦτα ἔστιν εἰπεῖν, εἰ ἐπαινοίης αὐλητὴν ῥοθίῳ μὲν τῷ φυσήματι χρώμενον, διὰ δὲ μέγεθος κτέ.*

46

νιφόεσσ' Ἑλένη

Hesych. 3 p. 159: *νιφόεσσα Ἑλένη· ἀντὶ τοῦ λευκή. Ἴων Φρουροῖς.* Photius Lex. p. 301, 7: *νιφόεσσα σελήνη· λευκή.* utrum verum sit nescimus.

47

πυργείαν σκοπήν

Hesych. 3 p. 411: *πυργήρως· μετέωρος ὡς πύργος. καὶ ἐν Φρουροῖς* '*πυργείαν κοπήν*'. Ionem *ἐν Φρουροῖς* dici intellexit Florens

Christianus. videtur *πυργήρης* (sic Guyet) ex alia eiusdem poetae fabula allatum fuisse ab Hesychii auctore. *κοπήν* in *κώπην* mutavit Musurus, *σκοπήν* restituit Dindorf Thes. Gr. L. 6 p. 2253 D. aliam medelam temptavit Lobeck Pathol. prol. p. 266.

48

στέφανοι χειρῶν

Schol. Plat. p. 935 b 4: *ὅρμους περὶ τὸν τράχηλον ἢ τὰς χεῖρας, οὓς καὶ στεφάνους χειρῶν λέγει Ἴων ἐν Φρουροῖς.*

49

κλητῆρα

Hesych. 2 p. 493: *κλητῆρα· τὸν καλέσαντα. Ἴων Φρουροῖς.*

INCERTARVM FABVLARVM FRAGMENTA

50

ἐκ τῶν ἀέλπτων μᾶλλον ὤρχησαι φρένας.

Ath. I p. 21 A (cf. Eust. Od. p. 1942, 4): *ἔταττον γὰρ τὸ ὀρχεῖσθαι ἐπὶ τοῦ κινεῖσθαι καὶ ἐρεθίζεσθαι. — Ἴων 'ἐκ τῶν — φρένας'.* *ὤρχησε* C, *ὤρχησεν* Dindorf, *ὤρχησαι* Meineke, *ὤργησεν* Herwerden Observ. crit. in fragm. com. p. 130 sq.

51

κότυλον οἴνου πλέων

Ath. XI p. 478 B: *μνημονεύει δ' αὐτοῦ* (sc. *τοῦ κοτύλου*) *καὶ Ἴων ὁ Χῖος κότυλον οἴνου πλέον* (*πλέων* Dindorf) *λέγων.*

52

Νυμφαῖον ὄχθον

Hesych. 3 p. 163: *Νυμφαῖον ὄχθον. Ἴων. παρόσον* (*ὁ πάρος* ὃν cod., emend. M. Schmidt) *ὁ Ἀλφειὸς τὴν Ἀρκάδων* (*ἀρκάδαν* cod., corr. Meineke) *παραμειβόμενος* (*κατὰ* add. Meineke) *τὰς λεγομένας* (*νυμφῶν* addendum suspicor) *γλυφὰς διέρχεται. οἱ δὲ περὶ ποταμόν. Νυμφαῖον δ' ὄρος ἀκούει τὸ περὶ τὴν Ἀρκαδίαν.* extrema verba non expedio: *οἱ δὲ περὶ Πολέμωνα Νυμφαῖον ὄρος ἀκούουσι τὸ περὶ τὴν Ἀρκαδίαν* coni. Dobree Adv. 1 p. 581. cf. Phot. Lex. p. 304, 14: *Νύμφαιον ὄρος Ἀρκαδίας.* ceterum hoc loco nixus M. Schmidt dubitat an ex Ione tragico repetita sit glossa Hesych. 3 p. 25: *Λέοντ⟨ε⟩ιος πόρος· ὁ Ἀλφειός, καθότι ἐπὶ ταῖς πηγαῖς αὐτοῦ λεόντων εἴδωλα ἀφίδρυται.*

53

οὐδ' ὅ γε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ' ὅ γε δουλοσύνας προβέβουλεν.

Philo Iud. vol. 2 p. 466: *τοῦ δὲ περὶ τοὺς ὄρνιθας ἐναγωνίου μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων 'οὐδ' ὅ γε — προβέβουλε'.* locum esse Phoenicis sive Caenei ex fr. 41 probabiliter conclusit Meineke.

54

ἐξῆλθον ὑμῶν ἱκέτις ἡβώντων τροφὸς
παίδων, βόθρους λιποῦσα πενθητηρίους.

Plut. Consol. ad Apollon. c. 22 p. 113 B: *εἰς βόθρους τινὰς καταδύντας ἱστοροῦσιν ἐπὶ πλείους ἡμέρας μένειν μηδὲ τὸ τοῦ ἡλίου φῶς ὁρᾶν βουλομένους, ἐπειδὴ καὶ ὁ τετελευτηκὼς ἀπεστέρηται τούτου. Ἴων οὖν ὁ τραγικὸς ποιητὴς οὐκ ἀνήκοος ὢν τῆς τούτων εὐηθείας πεποίηκέ τινα λέγουσαν 'ἐξῆλθον — πενθητηρίους'.* v. 1 *ὑμῶν ἱκέτις ἡβώντων* codex Paris. B, *ἡμῶν καὶ τὰ ἡμῶν* vel *ἡμωνῆται καὶ τοὺς ἡμῶν* al., *ἡ μόνη τε καὶ τλήμων* Iacobs Animadv. in Eur. trag. p. 58.

55

τὸ γνῶθι σαυτὸν τοῦτ' ἔπος μὲν οὐ μέγα,
ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν.

Plut. Consol. ad Apollon. c. 28 p. 116 D: *ἔν τε γὰρ τῷ γινώσκειν ἑαυτὸν περιέχεται τὸ μηδὲν ἄγαν καὶ ἐν τούτῳ τὸ γινώσκειν ἑαυτόν. διὸ καὶ περὶ μὲν τούτων φησὶν ὁ Ἴων οὕτως 'τὸ γνῶθι — θεῶν'.* eosdem versus om. poetae nom. habent Schol. Plat. p. 919 b 29 et Olympiod. in Plat. Alcib. pr. p. 201. v. 1 *τοῦτ' ἔπος μὲν οὐ* Plut., *ἐν λόγοις οὐδὲν* Schol. Plat. et Olymp. v. 2 *ἔργον δ' ὅσον Ζεὺς μόνος* Plut., *ἔργῳ δὲ μόνος τοῦτ'* Schol. Plat., *ἔργον μόνος δὲ Ζεὺς* Olymp., *ἔργον δ' ὃ μοῦνος Ζεὺς* coni. R. Enger Adnot. ad poet. Gr. fr. p. 6. *θεῶν* Plut. et Olymp., *θεός* Schol. Plat.

56

φίλων δ' ὅ τ' ἐλθὼν λυπρὸς ὅ τ' ἀπιὼν βαρύς.

Plut. de tranq. animi c. 3 p. 466 D (Stob. Flor. 4, 117): *καὶ γὰρ ἡ γυνὴ λυπεῖ καὶ τὸν ἰατρὸν αἰτιῶνται καὶ δυσχεραίνουσι τὸ κλινίδιον, 'φίλων — βαρύς', ὡς ὁ Ἴων φησίν. λυπηρὸς* libri, *λυπρὸς* Grotius.

57

μέλας γὰρ αὐταῖς οὐ πεπαίνεται βότρυς.

Plut. Quaest. conv. 3, 10, 1 p. 658 C: *τὴν δὲ σελήνην ἀδρανεστέρας ἀφιέναι τὰς αὐγάς· ʻμέλας — βότρυςʼ κατὰ τὸν Ἴωνα. μέλας γὰρ αὐγαῖς* coni. E. Koepke, *μήνης γὰρ αὐγαῖς* M. Schmidt. Plut. de facie in orbe lunae c. 16, 5 p. 929 A: *αὐτῆς* (lunae) *δὲ νωθείαν καὶ τάχους ἀμβλύτητα καὶ τὸ θερμὸν ἀδρανὲς καὶ ἀμαυρόν, ᾧ* (*καὶ* pro *ᾧ* praebet Paris. B, om. E) *κατὰ τὸν Ἴωνα ʻμέλας οὐ πεπαίνεται βότρυςʼ, εἰς τί θησόμεθα πλὴν ἀσθένειαν αὐτῆς καὶ πάθος* —; quod Stobaeus Ecl. 1, 26, 1 p. 218, 16 tradit, Ionem dixisse lunam *σῶμα τῇ μὲν ὑελοειδὲς διαυγές, τῇ δʼ ἀφεγγές*, a tragoedia alienum est (cf. Muelleri Fragm. Hist. vol. 2 p. 50).

58

κακὴ γὰρ ἡ δελφῖνος ἐν χέρσῳ βία.

Plut. V. Demosth. c. 3: *τὸ δὲ τοὺς λόγους* (Demosthenis et Ciceronis) *ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. κἀκεῖ* (*κακὴ* l) *γάρ, ὥς φησιν ὁ Ἴων, δελφῖνος ἐν χέρσῳ βία, ἣν ὁ περιττὸς ἐν ἅπασι Καικίλιος ἀγνοήσας ἐνανιεύσατο σύγκρισιν τοῦ Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν.* Ionis versum restituit Reiske. *κάμνει* pro *κακεῖ* sive *κακὴ* malit R. Methner.

59

βραχὺν λίνου κύπασσιν ἐς μηρὸν μέσον
ἐσταλμένος

Pollux 7, 60: *ὁ δὲ κύπασσις λίνου πεποίητο, σμικρὸς χιτωνίσκος ἄχρι μέσου μηροῦ, ὡς Ἴων φησί ʻβραχὺν — ἐσταλμένοςʼ.* Omphalae esse locum, quo Hercules describatur Omphalae tunica indutus, probabiliter coni. Meineke Anthol. del. p. 144.

60

ὅταν δὲ πόντου πεδίον Αἰγαῖον δράμω

Schol. Eur. Phoen. 209: *ἀκάρπιστα δὲ πεδία τὴν θάλασσαν φησίν — ὡς καὶ Ἴων ʻὅταν — δράμωʼ.*

61

τύπτων τὸν αὐτοῦ κρᾶτα

Schol. Eur. Phoen. 1149: *ἀμφίβολον πότερον τὸν κρᾶτα εἶπεν ἢ τὸ κρᾶτα, ἐπεὶ — καὶ Ἴων ʻτύπτων — κρᾶταʼ. αὐτοῦ* libri, *αὑτοῦ* scripsi.

62

Schol. Bern. in Virg. Georg. 1, 482: *ubi enim Eridanus sit, multi errant* (fort. *certant*): *Ctesias hunc in India esse adfirmat, vel Choerilus in Germania, in quo flumine Phaethon* (*feton* cod.) *extinctus est, vel Ion in Achaia.*

63

οὐ γὰρ λόγοις Λάκαινα πυργοῦται πόλις,
ἀλλ' εὖτ' ἂν Ἄρης νεοχμὸς ἐμπέσῃ στρατῷ,
βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται.

Sextus Empir. p. 679, 27 de Spartanis: *ἔνθεν ὁ τραγικὸς Ἴων κινηθεὶς εἶπεν ἐπ' αὐτῶν 'οὐ γὰρ — ἐπεξεργάζεται'.* v. 2 *εὖτ' Ἄρης ἂν* coni. Meineke. v. 3 Schol. BT Il. *B* 273: *οὕτως φησὶν Ἴων 'βουλὴ — ἐπεξεργάζεται'.* poetae nomen om. Schol. BLT Il. *H* 153, ubi *βουλὴ γὰρ ἄρχει* legitur.

64

βομβυλιός

Pollux 6, 98: *βομβυλιὸς δὲ τὸ στενὸν ἔκπωμα καὶ βομβοῦν ἐν τῇ πόσει, ὡς Ἀντισθένης ἐν Προτρεπτικῷ. τὸ δὲ ποτήριον Ἴων ἐκάλεσεν.*

65

πυκναία

Hesych. 3 p. 408: *πυκναὶ πτερά· τὸ ἐν Ἀθήναις δικαστήριον, τὴν πύκνα Ἴων* (*τὴν πυκναῖων* cod.). 'duae glossae coniunctae sunt, altera *πυκνὰ πτερά*, cuius explicatio excidit, altera *πυκναίαν· τὸ ἐν Ἀθήναις δικαστήριον, τὴν πύκνα, Ἴων.* docet hoc quamvis corruptus Theognostus p. 23, 13: *πυκναῖα πτερά. πυκνίας τὸ ἐν Ἀθήναις δικαστήριον'.* *Meineke.* partem veri viderat iam Pearson Advers. Hesych. 2 p. 603. Steph. Byz. p. 529, 4: *πνύξ, τὸ παρ' Ἀθηναίοις δικαστήριον — λέγεται καὶ πυκναία.* ceterum ad *Ἐπιδημίας* Ionis Hesychii glossam referri malit Gomperz.

66

ῥᾴ

Strab. VIII p. 364, v. Soph. fr. 982.

67

ταχεῖ

Choerob. in Theodos. p. 230, 34 (Anecd. Bekk. p. 1195): *τὸ τραχὺς* (*ταχὺς* cod. Marc. 489) *μόνον εὑρίσκεται συναιρούμενον κατὰ*

τὴν εὐθεῖαν τῶν δυϊκῶν εἰς τὴν ΕΙ δίφθογγον παρὰ Ἴωνι τῷ τραγικῷ, οἷον τὼ τραχέε τὼ τραχεῖ (*τὼ ταχέε τὼ ταχεῖ* cod. Marc.).

68

φοινικόλεγνον

Hesych. 4 p. 252: *φοινικόλεγνον* (*φοινικόλαγνον* cod., corr. Musurus). *Ἴων. τὸν πηνέλοπα τὸ ὄρνεον· τὸν γὰρ τράχηλον ἐπίπαν φοινικοῦν· ἡ δὲ λέγνη* (*λάγνη* ante Musurum) *παρέλκει.*

ACHAEVS

ΑΔΡΑΣΤΟΣ

1

ἀργᾶς

Harpocr. p. 32, 16: *ἀργᾶς. Αἰσχίνης περὶ τῆς ἀποδόσεως. πιθανώτερόν ἐστι λέγειν ὅτι Δωριεῖς, μάλιστα δ' Ἀργεῖοι, τὸν ὄφιν ἀργᾶν ἐκάλουν, ὡς Ἀχαιὸς ἐν Ἀδράστῳ.* similia omissa Achaei mentione tradunt Anecd. Bekk. p. 442, 32 et Hesych. v. *ἀργᾶς* vol. 1 p. 272. Achaei verba fuisse *ἀργῆν ἔπεφνε* (adesp. fr. 199) coni. Vrlichs, qui argumentum fabulae idem fuisse suspicatur quod in Hypsipyla tractavit Euripides.

ΑΖΑΝΕΣ

Ad Lycaonis impietatem fabulam spectasse coniecit Meineke Anal. Alex. p. 161.

2

νῦν οὖν ἡμεῖς ἱκέται . . .
θαλλούς τε θεῶν γέρας . . . .
τίθεμεν πρὸ ποδῶν τῶν σῶν λῆξαι
τῆς ἀστερόπου Ζηνὸς θυσίας.

Schol. Eur. Or. 383: *ἐξάπτων ἔφη παρ' ὅσον οὓς ἱκέτευον τούτοις παρετίθεσαν τὰς ἱκετηρίας. Ἀχαιὸς Ἀζᾶσι 'νῦν οὖν — θυσίας'.* v. 1 et 2 lacunas indicavi cum Meinekio Anal. Alex. p. 161, qui *ἱκέται στεφάνους* et *γέρας ἀθανάτων* supplet et chori esse verba putat Lycaonem obtestantis ut ab sacrificio aut Nyctimi aut Arcadis absistat. v. 2 *θεῶν γέρας* Arsenius, *θεῶν τε σέβας* libri. v. 4 *ἀστερόπου* MB, *ἀστεροπῆς* T.

ΑΘΛΑ

Vtrum *Ἆθλα* an *Ἆθλοι* drama inscriptum fuerit dubitari potest.

3

⟨A.⟩ *πότερα θεωροῖς εἴτ' ἀγωνισταῖς λέγεις;*
⟨B.⟩ *πόλλ' ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος.*
⟨A.⟩ *ποδαποὶ γάρ εἰσιν οἱ ξένοι;* ⟨B.⟩ *Βοιώτιοι.*

Ath. X p. 417 F de Boeotorum voracitate: *Ἀχαιὸς δ' ἐν Ἄθλοις 'πότερα — Βοιώτιοι'.* personarum notas libri om. v. 1 *εἶτ' ἀγωνισταῖς* A, *ἢ ταγηνισταῖς* Meineke Ath. 4 p. 181. graviore corruptela versum laborare censet F. G. Schmidt *Krit. Stud.* 3 p. 3 sq.

4

γυμνοὶ γὰρ ὤθουν φαιδίμους βραχίονας
ἥβῃ σφριγῶντες ἐμπορεύονται, νέῳ
στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας·
ἄδην δ' ἐλαίου στέρνα καὶ ποδῶν κύτος
χρίουσιν, ὡς ἔχοντες οἴκοθεν τρυφήν. 5

Ath. X p. 414 D: *καὶ ὁ Ἀχαιὸς* (sic Casaubonus, *ἀχίλλιος* A) *δὲ ὁ Ἐρετριεὺς περὶ τῆς εὐεξίας τῶν ἀθλητῶν διηγούμενος φησί 'γυμνοὶ — τρυφήν'.* locum ex *Ἄθλοις* petitum esse coni. Schweighaeuser. v. 1 *ὤθουν* corruptum, *ὤμους* coni. Bergk Comm. de reliq. com. Att. ant. p. 423, *ὀθόνης* Boissonade in Pachym. p. 136 sq., *ὄρθρου* R. Ellis *Journal of philol.* IV p. 265, *ὀσφὺν* Kaibel. *γυμνοὶ δ' ἄνωθεν* Meineke, *γυμνοὶ παρ' ἆθλον* F. G. Schmidt *Krit. Stud.* 3 p. 4. v. 2 *σφριγῶντας* Bergk. v. 4 *ποδῶν* vitiosum, *τὸ πᾶν* coni. Schneidewin, *πλευρῶν* Emperius Opusc. p. 349. *κεὐόδμου λίπους* F. G. Schmidt. v. 5 *χρείουσιν* A, *βρύουσιν* F. G. Schmidt.

5

ἰσαργύρου τ' εἰς χεῖρα Κυπρίου λίθου
δώσουσι κόσμον χριμάτων τ' Αἰγυπτίων

Ath. XV p. 689 B: *τοῦ δ' Αἰγυπτίου μύρου μνημονεύων Ἀχαιὸς ἐν Ἄθλοις φησὶν 'εἰς ἀργυροῦν — Αἰγυπτίων'.* v. 1 *εἰς ἀργυροῦν τις* A, *ἰσάργυρόν τ' εἰς* Heringa, *ἰσαργύρου τ' ἐς* Meineke, qui statim *χεῖρε* malit. v. 2 *χριμμάτων* A, *χριμάτων* Canter. subiecisse poetam *ἄλειμμα* coni. Meineke.

ΑΙΘΩΝ ΣΑΤΥΡΙΚΟΣ

Aethonem esse Vlixem ex Odyss. τ 183 coni. Welcker, cf. Vrlichs Philol. 1 p. 599 sqq. Crenius Erysichthonem intellegit (de quo Callim. Hymn. in Cerer. 25 sqq. Ov. Met. 8, 738 sqq.) duce Ath. X p. 416 B: *Ἑλλάνικος δὲ ἐν πρώτῳ Δευκαλιωνείας Ἐρυσίχθονα φησὶ τὸν Μυρμιδόνος, ὅτι ἦν ἄπληστος βορᾶς, Αἴθωνα κληθῆναι.*

6

. . ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως
οὐκ ἔστι· πεινῶσιν γὰρ ἡ Κύπρις πικρά.

Ath. VI p. 270 B: 'ἐν κενῇ — πικρά' Ἀχαιός φησιν ἐν Αἴθωνι σατυρικῷ. fabulae nomen om. Eust. p. 1596, 43. v. 1 οὐκ ἐν κενῇ γὰρ Herwerden Obs. crit. in fragm. com. p. 131, ἐν μὲν κενῇ γὰρ Meineke Ath. 4 p. 118. v. 2 ἔνεστι Herwerden.

7

κεκερματίσθω δ' ἄλλα μοι παροψίδων
κάθεφθα καὶ κνισηρὰ παραφλογίσματα.

Ath. IX p. 368 A: ἐπὶ τοῦ σκεύους οὖν (sc. τὸ παροψίς) εἴρηκεν — Ἀντιφάνης — Ἀχαιὸς δ' ἐν Αἴθωνι σατυρικῷ 'κεκερματίσθω — παραφλογίσματα'. v. 2 κάθεφθα C, κατέφθα A.

8

πεταλίδων δέ τοι συῶν
. . . μορφαῖς ταῖσδε πόλλ' ἐπάιον.

Ath. IX p. 376 A: πεταλίδων συῶν μνημονεύει Ἀχαιὸς ὁ Ἐρετριεὺς ἐν Αἴθωνι σατυρικῷ λέγων οὕτως 'πεταλίδων — ἐπάιον'. πεταλίδας δ' αὐτὰς εἴρηκε μεταφέρων ἀπὸ τῶν μόσχων· οὗτοι γὰρ πέτηλοι λέγονται ἀπὸ τῶν κεράτων, ὅταν αὐτὰ ἐκπέταλα ἔχωσι. cf. Hesych. 3 p. 326: πεταλίδων ὑῶν (υἱῶν cod.)· μεταίη (μετῆκται?) ἀπὸ τῶν μόσχων· πέτηλοι γὰρ οὗτοι λέγονται. v. 2 φωνῆς ἐν ὄρφναις probabiliter coni. M. Schmidt.

9

⟨A.⟩ μῶν Ἀχελῷος ἦν κεκραμένος πολύς;
⟨B.⟩ ἀλλ' οὐδὲ λεῖξαι τοῦδε τῷ γένει θέμις.
⟨A.⟩ καλῶς μὲν οὖν ἄγειν σκύθῃ πιεῖν.

Ath. X p. 427 C: Ἀχαιὸς δ' ἐν Αἴθωνι σατυρικῷ τοὺς σατύρους ποιεῖ δυσχεραίνοντας ἐπὶ τῷ ὑδαρῆ πίνειν καὶ λέγοντας 'μῶν — πιεῖν'. personarum notas libri omittunt. v. 1 om. poetae et fab. nom. attulit Eust. Od. p. 1624, 53. ἀχελῶος vel ἀχελῷος libri, Ἀχελῷος Meineke. ἐγκεκραμένος Ed. Mueller, ἔνι κεκραμένος Meineke Ath. 4 p. 194. v. 2 λῆξαι A, λεῖξαι Meineke. τοῦδ' ἐμῷ γένει coni. Iacobs, τοῦδε τοῦ γάνους R. Methner diss. p. 27. v. 3 καλῶς μὲν οὖν ἂν ἐγχέαις (sic) Σκύθῃ πιεῖν coni. Meineke, καλὸς μὲν οὖν ἄγαν ἂν ἦν Σκύθῃ πιεῖν R. Methner. alia temptavit F. G. Schmidt *Krit. Stud.* 3 p. 5 sq., qui σκύθῃ in σκύφῃ mutat.

10

. . *βακκάρει χρισθέντα καὶ ψυκτηρίοις*
πτεροῖς ἀναστήσαντα προσθίαν τρίχα

Ath. XV p. 690 B: *ὀνομάζεταί τι μύρον βάκκαρις, οὗ μνημονεύει καὶ Ἱππῶναξ — Ἀχαιὸς δ' ἐν Αἴθωνι σατυρικῷ ʽβακκάρει — τρίχα'.* v. 2 *προσθεῖαν* A, *προσθίαν* Canter.

11

χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, [*χαῖρ' ὦ Χάρων,*]
ἦ που σφόδρα θυμοῖ;

Ar. Ran. 184: *χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων.* ubi Schol.: *Δημήτριος φησὶν Ἀχαιοῦ ὅλον εἶναι ἐκ τοῦ Αἴθωνος. λέγουσι δ' αὐτὸ οἱ* (*αὐτοὶ* ante Dobraeum) *σάτυροι* (*σαπροί* ante Bentleium) ʽ*χαῖρ' — θυμοῖ;*' v. 1 tertium *χαῖρ' ὦ Χάρων* om. R. v. 2 *εἶπον* R. verba *ἦ που σφόδρα θυμοῖ* Achaei esse negat R. Methner diss. p. 28.

ΑΛΚΜΕΩΝ ΣΑΤΥΡΙΚΟΣ

12

καρυκοποιοὺς προσβλέπων βδελύσσομαι

Ath. IV p. 173 D: *Ἀχαιὸς δ' ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι τῷ σατυρικῷ καρυκοποιοὺς καλεῖ τοὺς Δελφοὺς διὰ τούτων ʽκαρυκκοποιοὺς — βδελύττομαι', παρ' ὅσον τὰ ἱερεῖα — ἐκαρύκευον. καρυκκοποιοὺς* ante Casaubonum. *βδελύττομαι* libri.

13

τίς ὑποκεκρυμμένος μένει,
σαραβάκων κοπίδων συνομώνυμε;

Ath. IV p. 173 D: *κἀν τοῖς ἑξῆς δ' ὁ Ἀχαιὸς φησίν ʽτίς — συνομώνυμε;' ἐπισκώπτουσι γὰρ οἱ σάτυροι τοὺς Δελφοὺς ὡς περὶ τὰς θυσίας καὶ τὰς θοίνας διατρίβοντας.* Achaei verba corrupta. v. 1 *τί δ' ὑποκεκρυμμένος μένεις* coni. Meineke Ath. 4 p. 82. v. 2 *σαραβικῶν* idem.

14

ἀλλ' ὡς τάχιστα ⟨μέλανα⟩ δεῦρ' ἀμνὸν φέρειν
κοινόν τε γρῇ κρατῆρι καὶ κυλιχνίδας.

Ath. XI p. 480 F: *Ἀχαιὸς δ' ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι ἀντὶ τοῦ κύλικες παραγώγως κυλιχνίδας εἴρηκε διὰ τούτων ʽἀλλ' ὡς — κυλιχνίδας'.* v. 1 *μέλανα* add. L, om. PV. *δεῦρα μόνον* A, *δεῦρ'*

ἀμνὸν scripsi. v. 2 *κοινόν τε* A, *οἴνου τε* coni. Schneidewin, *κοῖλόν τε* R. Methner diss. p. 31. *κοινὸν κρατῆρα* dixit Longus 4, 13. *κρητῆρα* ante Dindorfium.

15

ἀμηνίτως

Hesych. 1 p. 146: *ἀμηνίτως· ἀμέμπτως. Ἀχαιός* (*ἀχαιοί* cod., emend. Soping). fabulae nomen sagacissime idem Soping agnovit in glossa quae sequitur: *ἅμα ἡμέραι ἀλκαιῶνι ἅμήοι.* ita codex, *ἅμ' ἠοῖ· ἅμ' ἡμέρᾳ* correxit Is. Voss.

ΑΛΦΕΣΙΒΟΙΑ

16

ἔναστρος ὥστε μαινάς

Hesych. 2 p. 87: *ἔναστρος ὥστε μαινάς* (*ὡστεμένας* ante Valesium). *Ἀχαιὸς Ἀλφεσιβοίᾳ, ἀντὶ τοῦ θυάς· τὰς γὰρ βάκχας θυάδας ἔλεγον.* codicis scripturam *ὑάς* et *ὑάδας* correxit Valesius. *ἔνοιστρος* coni. Reiske, traditum *ἔναστρος* tueri conatur Lobeck Aglaoph. p. 839 et Pathol. elem. 1 p. 103.

ΕΡΓΙΝΟΣ

Notitia fabulae debetur catalogo librorum Piraeico, C. I. Att. II 992 I 15, ubi ΑΧΑΙΟΤΕΡΓΙ⟨*νος*⟩ legitur.

ΗΦΑΙΣΤΟΣ ΣΑΤΥΡΙΚΟΣ

Argumentum idem fuisse quod Epicharmus in *Ἡφαίστῳ ἢ Κωμασταῖς* tractavit, probabiliter coni. Welcker, cf. Phot. Lex. p. 74, 1 Hygin. fab. 166 Paus. 1, 20, 3. fortasse spectat hanc fabulam Philodemus de pietate p. 48 Gomp.

17

⟨ΔΙ.⟩ *θοίνῃ σε πρῶτον τέρψομεν· πάρεστι δή.*
⟨ΗΦ.⟩ *τὸ δεύτερον* ⟨*δὲ*⟩ *τῷ με κηλήσεις τρόπῳ;*
⟨ΔΙ.⟩ *μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας.*
⟨ΗΦ.⟩ *ὕδωρ δὲ νίψαι χεῖρας οὐ πρόσθεν δίδως;*
⟨ΔΙ.⟩ *ναί·* ⟨*καὶ*⟩ *τράπεζά γ' ἐκποδὼν ἀπαίρεται.* 5

Ath. XIV p. 641 D: *οἱ δὲ παλαιότεροι* (mensas secundas) *ἁπλῶς τραπέζας ἔλεγον, ὡς Ἀχαιὸς ἐν Ἡφαίστῳ σατυρικῷ 'θοίνην — ἀπαίρεται'.* v. 1 *θοίνην δὲ* libri, *θοίνῃ σε* Casaubonus. *πάρεστι δή* Iacobs, *πάρεστι δέ* libri, *πάρεστι γάρ* Casaubonus. v. 2 *δὲ* addidit Casaubonus. v. 3 *μυροσε* A. v. 5 *καὶ* addidit Casaubonus. versus

1 3 5 esse Bacchi, v. 2 et 4 Volcani, intellexit Welcker: Athenaeus personarum notas non apposuit.

ΘΗΣΕΥΣ

18

Ἄρτεμις Σαρωνία

Hesych. 4 p. 12: *Σαρωνία Ἄρτεμις. Ἀχαιὸς Θησεῖ, ἀπὸ τοῦ ἐν Τροιζῆνι* (*τρυζῆνι* cod.) *Σαρωνικοῦ κόλπου.* similiter om. poetae et fab. nom. Photius Lex. p. 502, 6.

ΙΡΙΣ ΣΑΤΥΡΟΙ

19

λιθάργυρος δ'
ὄλπη παρῃωρεῖτο χρίματος πλέα
τὸν Σπαρτιάτην γραπτὸν κύρβιν ἐν διπλῷ ξύλῳ

Ath. X p. 451 C: *Ἀχαιὸς δ' ὁ Ἐρετριεὺς γλαφυρὸς ὢν ποιητὴς περὶ τὴν σύνθεσιν, ἔσθ' ὅτε καὶ μελαίνει τὴν φράσιν καὶ πολλὰ αἰνιγματωδῶς ἐκφέρει, ὥσπερ ἐν Ἴριδι σατυρικῇ· λέγει γάρ 'λιθάργυρος — ξύλῳ'. τὸν γὰρ λευκὸν ἱμάντα βουληθεὶς εἰπεῖν, ἐξ οὗ ἡ ἀργυρᾶ λήκυθος ἐξήρτητο, Σπαρτιάτην γραπτὸν ἔφη κύρβιν ἀντὶ τοῦ Σπαρτιᾶτιν σκυτάλην.* v. 2 *χρίματος* Meineke (cf. Cobet V. L. p. 127), *χρησματος* A. v. 2 sq. *πλεκτὸν* AC, *πλέα τὸν* Friebel Satyrogr. p. 39, *πλέα* agnoverat Toup Emend. 2 p. 444. v. 3 *γραπτὸν ἐν διπλῷ ξύλῳ κύρβιν* coni. Bergk Comm. de reliq. com. Att. ant. p. 120. alia proposuerunt Goettling *Ges. Abhandl.* 2 p. 75 et R. Methner diss. p. 33.

20

Philodemus de pietate p. 36 Gomp.: *νοσοῦντα πεποι<ή>κασι τ<ὸν> Ἡρακλέ<α> — καὶ μα<νίᾳ> κατά<σ>χετον, <ὡς> Σοφοκλῆς <καὶ Ε>ὐριπίδης, κ<αὶ τὸ>ν Διόνυσον, ὡ<ς Ἀχ>αιὸς ἐν Ἴριδι* (*εν ειριδει* pap.) *σατ<ύρ>οις καὶ <Φερ>εκ<ύδης ὁ> Ἀθη<ναῖ>ος.*

21

ἀκτηρίς

Pollux 10, 157: *ἀκτηρίδα δὲ τὴν βακτηρίαν Ἀχαιὸς ἐν Ἴριδι ὠνόμασεν. βακτηρίδα δὲ* coni. Passow.

22

ἐκολλόπωσε

Hesych. 2 p. 48: *ἐκολλόπωσε· συνήρμοσε* (*συνήρμωσε* cod.) *κόλλη* —. *Ἀχαιὸς Ἴριδι.* Etym. M. p. 323, 22: *ἐκολλόπωσε· κόλλῃ συνήρ-*

μοσεν. Eust. Od. p. 1915, 12: *ἐν ἑτέρῳ δὲ λεξικῷ γράφεται καὶ ὅτι ἐκολλόπωσε τὸ ἐκόλλησε.*

23

σελῆναι

Suid. v. *βοῦς ἕβδομος*, quem locum attulimus in Eur. fr. 350.

ΚΥΚΝΟΣ

24

Κύκνου δὲ πρῶτα πρὸς δόμους ἐλήλυμεν

Hephaest. p. 17: *τὸ ἐλήλυμεν ἐδείξαμεν καὶ ἐν ἄλλοις μέτροις συνήθως αὐτοῖς λεγόμενον, ὡς παρ' Ἀχαιῷ ἐν Κύκνῳ 'Κύκνου — ἐλήλυμεν'. παρ' ᾧ καὶ τὸ δεύτερον ἔστιν ἀκολούθως πρόσωπον 'τοιοῦδε — ἐλήλυτε'* (fr. 43). cf. Georg. Choerob. Exeg. in Hephaest. enchir. p. 51, 5 de *ἐλήλυμεν* forma: *ἔστι γὰρ καὶ παρὰ Ἐπιχάρμῳ, οἷον παρατίθεται αὐτὸς ὁ μετρικός· ἡ δὲ χρῆσις ἐν Κύκνῳ 'τοιοῦδε — ἐλήλυμεν', οὐ κεῖται δὲ οὕτως ἡ χρῆσις, ἀλλὰ 'Κύκνου — ἐλήλυμεν'· καὶ οὕτως δεῖ γράφειν, ὅστις κατὰ ἀναλογίαν ἐχρήσατο καὶ τῷ δευτέρῳ προσώπῳ ἐλήλυτε.* non Epicharmi, sed Achaei duos versus attulit Hephaestion.

25

πεινῶντι γὰρ ἀνδρὶ μᾶζα τιμιωτέρα
χρυσοῦ τε κἀλέφαντος

Ath. VI p. 270 E: *'πεινῶντι — κἀλέφαντος' κατὰ τὸν τοῦ Ἐρετριέως Ἀχαιοῦ Κύκνον* (*κύκλον* ante Casaubonum). om. fab. nom. Eust. Od. p. 1818, 11. v. 1 *πεινῶντι γὰρ* Athenaei A, *πεινῶντι* C, *πεινῶντι δ'* Eust. *πεινῶντί γ' ἀνδρὶ* malim.

ΛΙΝΟΣ ΣΑΤΥΡΙΚΟΣ

26

ῥιπτοῦντες ἐκβάλλοντες ἀγνύντες, τί μ' οὐ
λέγοντες, ὦ κάλλιστον Ἡρακλεῖ λάταξ

Ath. XV p. 668 A de cottabi ludo: *Ἀχαιὸς δ' ἐν Λίνῳ περὶ τῶν σατύρων λέγων φησὶ 'ῥιπτοῦντες — λάταξ'. τοῦτο δὲ 'λέγοντες' παρ' ὅσον τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοσσάβους.* cf. Schol. Ar. Pac. 1244: *ὅτι δὲ τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοττάβους, δῆλον ποιεῖ Ἀχαιὸς ἐν Λίνῳ* (*ἐν Λινῷ* V, ceteri om.) *καὶ Καλλίμαχος.* v. 1 *ῥίπτοντες* expectes, cf. Elmsley in Eur. Heracl. 150. at omnino quae nunc habemus intellegi non possunt. *κτυποῦσιν ἐκβάλλοντες*

vel κτυποῦντες ἐκβάλλουσιν (rectius ἐκβάλλουσ') ἀπ' ἀγκύλης ὁμοῦ (ὁμοῦ iam Fiorillo coniecerat) λέγοντες ὦ κάλλιστος Ἡράκλεις ἄναξ vel ὦ κάλλιστον Ἡρακλείδιον temptavit R. Methner diss. p. 34 sqq.

ΜΟΙΡΑΙ

Fortasse ad hanc fabulam fr. 40 referendum est.

27

πολὺς γὰρ ὅμιλος ποντίου κύκλου σοβῶν
ἐνάλιος θεωρία,
χραίνοντες οὐραίοισιν εὐδίαν ἁλός

Ath. VII p. 277 B: κατὰ τὰς Ἀχαιοῦ δὲ Μοίρας 'πολὺς — ἁλός'. v. 1 πολὺς δ' ὅμιλος Erfurdt. πόντιος κύκλῳ coni. Blomfield in Aesch. Sept. p. 139, ποντίου βυθοῦ G. A. Hirschig. v. 1 et 2 πολὺς δ' ὅμιλος πόντιος ⟨παρέσπετο⟩, κύκλῳ σοβοῦντες, ἐνάλιος θεωρία coni. Herwerden Exerc. crit. p. 72. v. 3 χραίνοντος θυραίοισιν libri, χραίνοντες οὐραίοισιν Casaubonus. οὐραίαισιν malim, cf. Soph. fr. 695.

28

βαβαὶ βαβαί, βήσομαι γυναῖκας

Hesych. 3 p. 164: νυμφόβας· Ἀχαιός — καὶ ἐν μυ (ρ superscr.) 'βαβαὶ — γυναῖκες'. ἐπὶ τῆς Ἀφροδίτης. ubi legendum esse καὶ ἐν Μοίραις vidit Casaubonus. γυναῖκας correxit Toup Emend. 2 p. 525. Achaeo unum νυμφόβας tribuit M. Schmidt, qui Μοίρας intellegi vult Hermippi comici: cf. Th. Zielinski Quaest. com. p. 26. extrema Hesychiani loci verba ἐπὶ τῆς Ἀφροδίτης ad insequentem glossam νυμφοκόμος refert R. Methner diss. p. 38 sq.

ΜΩΜΟΣ

29

Ἄρης ὁ λῃστὴς σὺν δόρει σὺν ἀσπίδι

Ar. Vesp. 1081: εὐθέως γὰρ ἐκδραμόντες σὺν δόρει (δορὶ libri) σὺν ἀσπίδι ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες. ubi Schol. Ven.: τὸ τοῦ Ἀχαιοῦ ἀπὸ (ἁ cod.) Μώμου δράματος. Ar. Pac. 357: ἐς Λύκειον κἀκ Λυκείου σὺν δόρει (δορὶ libri) σὺν ἀσπίδι. ubi Schol. Ven. v. 353: τὸ δὲ σὺν δόρει σὺν ἀσπίδι Ἀχαιοῦ ἐστιν ἐκ Μώμου. οὐδὲν δὲ χεῖρον ὁλόκληρον θεῖναι τὸ ἰαμβεῖον, ὅπερ οὕτως ἔχει 'Ἄρης — ἀσπίδι'. ubi item δορὶ pro δόρει codex praebet sicut Suidas v. σὺν δορί Eust. Il. p. 243, 11 Macarius 7, 89, qui verba σὺν δορὶ

σὺν ἀσπίδι (*ἀσπίσιν* Macar.) sine p. et fab. nomine afferunt. erravit Choerob. in Theodos. p. 376, 18 (Anecd. Bekk. p. 1364): *τὸ σὺν δόρει σὺν ἀσπίδι, ὅπερ Ἀριστοφάνης παρενυφαίνει* (ita pro *παρεμφαίνει* legendum) *ἐν Εἰρήνῃ, ἐν Μώμῳ Σοφοκλέους προκείμενον ὡς ἀπὸ τοῦ δόρος ἐστίν.*

ΟΙΔΙΠΟΥΣ

30

ἀκάθαρτον

Hesych. 1 p. 91: *ἀκάθαρτον· μανιῶδες. Ἀχαιὸς Οἰδίποδι.*

31

ἐκλωτίζεται

Hesych. 2 p. 47: *ἐκλωπίζεται· ἐξανθίζεται. Ἀχαιὸς Οἰδίποδι. ἐκλωτίζεται* Salmasius.

ΟΜΦΑΛΗ ΣΑΤΥΡΙΚΗ

32

. . . *ὡς εὔδουλος, ὡς εὔοικος ἦν*

Ath. VI p. 267 D: *Ἴων δ' ὁ Χῖος ἐν Λαέρτῃ τὸν οἰκέτην ἐπὶ δούλου τέθεικεν —, Ἀχαιὸς δ' ἐν Ὀμφάλῃ περὶ τοῦ σατύρου λέγων φησὶν* '*ὡς εὔδουλος — ἦν*', *ἰδίως λέγων ὡς χρηστὸς ἐς τοὺς δούλους ἐστὶ καὶ τοὺς οἰκέτας. ὡς εὐοικέτης* coni. G. Kaibel.

33

ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ πάλαι
τὸ γράμμα φαίνων· δέλτ' ἰῶτα καὶ τρίτον
Ω νῦ τό τ' Υ πάρεστι, κοὐκ ἀπουσίαν
ἐκ τοὐπέκεινα σὰν τό τ' Ο κηρύσσετον.

Ath. XI p. 466 F: *Ἀχαιὸς δ' ὁ τραγικὸς ἐν Ὀμφάλῃ καὶ αὐτὸς περὶ γραμματικοῦ ποτηρίου ποιεῖ τοὺς σατύρους τάδε λέγοντας* '*ὁ δὲ σκύφος — κηρύσσετον*'. v. 1 cf. Ath. XI p. 498 E: *καὶ Ἀχαιὸς ἐν Ὀμφάλῃ* '*ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ*'. v. 2 *φαῖνον* libri, *φαίνων* Toup Emend. 2 p. 552. v. 3 *ω̄ νῦ* A, *ΟΥ ΝΥ* Cobet Coll. crit. p. 219. *τό τ' Υ* Toup, *τοῦ ῡ* A. *πάρεστιν, οὗ κἀπουσίαν* Porson *Tracts and misc. crit.* p. 242. verba *πάρεστι, κοὐκ ἀπουσίαν* et quae sequuntur alteri personae tribuit Gomperz *Beitr.* 1 p. 265 sqq. v. 4 *το τε ου* A, *τό τ' Ο* P correctus et V. hoc verum esse docet Athenaeus haec subiciens p. 467 A: *ἐν τούτοις λείπει τὸ Υ στοιχεῖον, ἐπεὶ πάντες οἱ ἀρχαῖοι τῷ Ο* (*τῷ ΟΥ* vel *τὸ ΟΥ* libri) *ἀπεχρῶντο οὐ μόνον ἐφ' ἧς νῦν τάττεται δυνάμεως, ἀλλὰ καὶ ὅτε τὴν δίφθογγον διασημαίνει, διὰ τοῦ Ο* (*ΟΥ* libri) *μόνου γράφουσι.*

34

ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχὺς
καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.

Laert. Diog. 2, 133 (cf. Hesych. Miles. 44 p. 37, 4 Fl.): *πρὸς τοὺς ἀντιπολιτευομένους ταῦτα, φασί, προεφέρετο* (Menedemus) '*ἡλίσκετ' — χρόνῳ*'. *ταῦτα δ' ἐστὶν Ἀχαιοῦ ἐκ τῆς σατυρικῆς Ὀμφάλης.* v. 1 *ἡλίσκετ' ἄρα* libri, *ἁλίσκεταἄρα* coni. Meineke Com. 3 p. 14, *ἡλίσκετ' ἂν γὰρ* F. G. Schmidt *Krit. Stud.* 3 p. 6. *ἀπτήνων* coni. Th. Gomperz. v. 2 *βραχεῖ χρόνῳ* verba vitiosa, *βραχεῖ πόνῳ* coni. F. G. Schmidt, fortasse *μόχθῳ βραχεῖ* praeferendum.

35

Φαναῖος Ἀπόλλων

Hesych. 4 p. 230: *Φαναῖος Ἀπόλλων. Ἀχαιὸς Ὀμφάλῃ. παρὰ Χίοις οὕτω λέγεται.*

ΠΕΙΡΙΘΟΥΣ

Rectius *Περίθους* scribetur, cf. p. 547.

36

ἀμφερκῆ πίθον

Hesych. 1 p. 157: *ἀμφερκῆ πίθον* (*ἀμφερκήπιθον* ante Scaligerum)· *τὸν πάντοθεν κύκλῳ περιειργόμενον. Ἀχαιὸς Πειρίθῳ.* cf. Etym. M. p. 89, 27: *ἀμφερκῆ· πάντοθεν περιειργόμενον.*

ΦΙΛΟΚΤΗΤΗΣ

De argumento huius fabulae probabiliter disputavit Vrlichs in dissert. de Achaeo, Bonnae 1834 p. 37.

37

ὥρα βοηθεῖν ἐστ'· ἐγὼ δ' ἡγήσομαι.
προσβαλλέτω τις χεῖρα φασγάνου λαβῇ,
σάλπιγγι δ' ἄλλος ὡς τάχος σημαινέτω·
ὥρα ταχύνειν, ἐλελελεῦ.

Suidas v. *ἐλελελεῦ* (sic E cum Schol. Ar., *ἐλελεῦ* cet.): *οἱ προϊόντες εἰς πόλεμον τὸ ἐλελελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως, καθὸ καὶ Ἀχαιὸς Ἐρετριεὺς ἐν τῷ Φιλοκτήτῃ ποιεῖ τὸν Ἀγαμέμνονα παραγγέλλοντα τοῖς Ἀχαιοῖς* '*ὥρα — ἐλελεῦ*'. eadem omissis Achaei verbis Schol. Ar. Av. 364. v. 1 *ἐστίν* libri, *ἐστ'* Toup Emend. 1 p. 163. v. 2 *προσλαβέτω* libri, *προσβαλλέτω* Grotius. *φασιανοῦ* libri, *φασγάνου* Portus. *λαβῆς* libri, *λαβῇ* Grotius. v. 3 *σάλπιγγα — σημαίνεται* ante Portum. v. 4 *ἐλελεῦ* ante Toupium.

ΦΡΙΞΟΣ

38

Πελεός

Hesych. 3 p. 301: *Πελεός. Ἀχαιὸς Φρίξῳ. καὶ μήποτε τὴν παρ' Ὁμήρῳ Πτελεόν* (*πτελέον* cod.). *δύναται δὲ καὶ τὰ Πέλη* (*Πέλα*?) *τὰ ἐν Θεσσαλίᾳ λεγόμενα* (*λεγομένα* M. Schmidt) *δηλοῦν.*

INCERTARVM FABVLARVM FRAGMENTA

39

δίχολοι γνῶμαι

Hesych. 1 p. 522: *δίχολοι· διάφοροι. Ἀχαιὸς καταπεῖραι* ‘*δίχολοι γνῶμαι*’ (*διχολογνῶναι* cod.), *παρὰ τὸ δίχα· ἢ δίτροποι κατὰ μετάληψιν· χόλος γὰρ ἡ ὀργὴ καὶ* (recte Kuester addit *ὀργὴ ὁ*) *τρόπος.* verba *δίχολοι γνῶμαι* recurrunt apud paroemiographos (Zenob. 3, 25 Diogenian. 4, 32), ubi auctoris nomen non indicatur. in corrupto *καταπεῖραι* fortasse dramatis nomen latet; *Ἀχαιὸς Πειρίθῳ* coni. Perger, ego suspicabar *Αἰσχύλος Καβείροις*. Achaeum dixisse *κακαί περ αἱ δίχολοι γνῶμαι* coni. R. Methner diss. p. 39 sq., *κάτηραὶ διχόνοι γνῶμαι* F. G. Schmidt *Krit. Stud.* 3 p. 7, ubi *διχόνοι* certum videtur. alias coniecturas protulit Bergk Lyr. 3 p. 193.

40

Ταραντῖναι βαφαί

Phot. Lex. p. 569, 12: *Ταραντῖναι βαφαί· παρὰ Ἀχαιῷ* (*ἀχαιων* cod.) *οἶμαι τὰ ἁλουργῆ* (*ἁλουργὰ* cod.) *ἢ τὰ ἀπὸ τοῦ ὀστρέου.* Etym. M. p. 746, 15: *Ταραντινόν, λεπτὸν καὶ διαφανὲς ἱμάτιον — καὶ Ταραντιναὶ βαφαί, παρὰ Ἀχαιῷ* (*παρὰ ἀχαῖ* V, *παρὰ τὸ ἀχαιῶν* D, *πε ἀχαιῶν* M) *οἶμαι* (hoc vocabulum om. VM) *τὰ ἁλουργῆ* (*ἁλουργὰ* libri) *ἢ τὰ ἀπ' ὀστρέου.* Hesych. 4 p. 130: *Ταραντῖναι αἵματι βαφαί· τινὲς δὲ τὰς πορφύρας.* verba *παρὰ Ἀχαιῶν οἶμαι* suspecta: fortasse *παρὰ Ἀχαιῷ Μοίραις* legendum. *Ταραντῖναι βαφαί· παρὰ Ἀχαιῷ θαἰμάτια ἁλουργῆ ἢ ἐπὶ τῶν ὀστρέων* in Phot. et Etym. M. parum probabiliter coni. R. Methner diss. p. 40.

41

ἐδεξιοῦτο Βιβλίνου μέθης ἐκπώματι

Ath. I p. 31 A: *Στράττις δὲ τὸν Σκιάθιον ἐπαινεῖ — Ἀχαιὸς* (*ἀχαιοὶ* C) *δὲ τὸν Βίβλινον* ‘*ἐδεξιοῦτο — ἐκπώματι*’. Hesych. 2 p. 15: *ἐδεξιοῦτο· ἐξεναγώγησεν. Βιβλίνου* Casaubonus, *βιβλίου* C. *μεθεὶς* ⟨*χερὸς*⟩ | *ἔκπωμα* coni. Kaibel, ego *μέθης ἐκπώματι* suspicabar ortum esse ex *μεθύσματι*, cui *ἐκπώ* esset adscriptum.

42

. . . . . ἢ τοσούσδ' Αἴτνη τρέφει
κοχλίας κεράστας;

Ath. II p. 63 B de v. κοχλίας: Ἀχαιός 'ἢ — κεράστας'.

43

τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυτε

Hephaest. p. 17 et Georg. Choerob. Exeg. in Hephaest. p. 51, 3 (vide fr. 24). ἐλήλυτε Hephaest., ἐλήλυμεν Choerob.

44

ἥκω πεπραγὼς δεινά, σὺ δ' ὑγίαινέ μοι.

Lucianus de lapsu c. 6 vol. 1 p. 732: πολὺ δ' ἂν καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ εὕροις τὸ ὑγιαίνειν πρῶτον εὐθὺς λεγόμενον· — ὁ δὲ Ἀχαιός 'ἥκω — μοι'.

45

τὰ μὴ νοσοῦντα συννοσεῖν ἀναγκάσ⟨εις;⟩

Plut. Consol. ad Apollon. c. 21 p. 112 E: ἐκτρέπονται πρὸς τὰς ἐσχάτας ταλαιπωρίας, τὸ μηδὲν αἴτιον σῶμα τιμωρούμενοι καὶ τὰ μὴ νοσοῦντα κατὰ τὸν Ἀχαιὸν συναλγεῖν ἀναγκάζοντες. Achaei verba Grotius haec videre sibi visus est: τί χρὴ | τὰ μὴ νοσοῦντα συννοσεῖν ἀναγκάσαι; ac συννοσεῖν probabile est, ἀναγκάσεις exempli causa posui.

46

Schol. Arat. 172: Θαλῆς μὲν οὖν β' αὐτὰς (Hyadas) εἶπεν εἶναι —, Ἀχαιὸς δὲ δ'. cf. Eur. fr. 780.

47

χάσκοντα λιμῷ μόσχον ὡς χελιδόνος

Eust. Il. p. 753, 55 (Schol. Il. *I* 323 in Anecd. Paris. vol. 3 p. 236, 26): Ἀχαιὸς δὲ σκληρότερον ἔφη τὸ (τὸν Schol.) 'χάσκοντα — χελιδόνος', δέον ὂν εἰπεῖν νεοττὸν ἤγουν ἀλλὰ χελιδονιδῆ. ὡς om. Schol. cf. Aelianus N. A. 7, 47: Ἀχαιὸς δὲ ὁ τῆς τραγῳδίας ποιητὴς τὸν νεοττὸν τῆς χελιδόνος μόσχον ὠνόμασεν.

48

αἰόλη

Anecd. Bekk. p. 361, 1: αἰόλη· ἡ ταχεῖα. οὕτως Ἀχαιός. scri-

bendum esse *αἰόλη· ⟨ποικίλη⟩ ἢ ταχεῖα* coni. R. Methner diss. p. 40 sq. coll. Hesych. 1 p. 82: *αἰόλα· ποικίλα, ταχέα.*

49

καιρότερον

Hesych. 2 p. 391: *καιρότερον· ἐνωρότερον* (*ἐνωρώτερον* cod.). *ἀχαιεί. Ἀχαιός* coni. Alberti.

50

κύτταροι

Hesych. 2 p. 560: *κύτταροι· οὕτω τὰς τρήμας* (*τὰ τρήματα* coni. M. Schmidt) *τῶν κηρίων ἔφη Ἀχαιός. τινὲς δὲ σφῆκας.*

51

μάλευρον

Phot. Lex. p. 244, 11: *μάλευρον· τὸ ἄλευρον. Ἀχαιός.* Zonar. Lex. p. 1334: *μάλευρον· τὸ ἄλευρον. καὶ πλεονασμῷ τοῦ Μ μάλευρον. ʽμίγδα μάλευρονʼ.* Achaei esse verba *μίγδα μάλευρον* coni. Hermann.

52

νυμφόβας

Hesych. 3 p. 164: *νυμφόβας· Ἀχαιός. ὁ Σειληνὸς* (*ὃς ἦν δεινὸς* cod., corr. Casaubonus) *ἐπιβαίνων ταῖς νύμφαις.* Phot. Lex. p. 305, 5: *νυμφόβας· ὁ Σειληνὸς τῶν νυμφῶν ἀνήρ.*

53

πανόπτης

Hesych. 3 p. 266: *πανόπτης· πολυόφθαλμος, Ζεύς. Ἀχαιοί.* ubi *Ἀχαιός* coni. Vrlichs, fortasse *Αἰσχύλος* leg. coll. Eum. 1045.

54

ἁλιβάπτοις

Hesych. 1 p. 121: *ἁλιβάπτοις πορφυρᾶν ὄρνιν. Ἀχαιὸς καὶ ἀλ.μάς* (*Ἀλκμάν* Musurus). *ἁλιβάπτοις· πορφυροῖς* cum Etym. M. p. 63, 45 scripsit M. Schmidt, qui ea quae sequuntur verba ab hac glossa aliena existimat. *Ἀχαιὸς* in *Ἀλκαῖος* mutari voluit Vrlichs Philol. 1 p. 558.

55

δραχμῇ παχείᾳ

Hesych. 3 p. 294: *παχείᾳ χειρί· τῇ ἰσχύι. παχείῃ δραχμῇ· τὸ δίδραχμον. Ἀχαιοί.* scribendum esse *παχείᾳ δραχμῇ· τὸ δίδραχμον. Ἀχαιός. παχείῃ χειρί· τῇ ἰσχυρᾷ* coni. Meineke Philol. 13 p. 550,

quem secutus est M. Schmidt. *λεπτὰς καὶ παχείας δραχμάς* commemorat Hesych. 3 p. 26, cf. Poll. 9, 76.

56

οἴνη

Hesych. 3 p. 187: *οἴνη· ἡ ἄμπελος. καὶ κυβευτικὸς λόγος* (f. *λέγεται*, nisi *λόγος* delendum cum Musuro) *βόλος ὁ κενὸς καὶ ἀντικείμενος τῷ ἕξ* (*τὴν ἔξω* cod.). *Ἀχαιός. οἰνίζειν γὰρ τὸ μονάζειν κατὰ γλῶσσαν.* fortasse pro *Ἀχαιός* legendum *ὁ καὶ Χῖος* cum Iunio, cf. Pollux 7, 204, ubi *οἰνή* scribitur: barytonon requirit Herod. Arcad. p. 112, 6.

PHILOCLES

ΠΑΝΔΙΟΝΙΣ

Tetralogia Pandionis eiusque filiarum, Procnes et Philomelae, et Terei mythum complexa. singularum fabularum titulos ignoramus, nisi quod *Τηρεὺς ἢ Ἔποψ* commemoratur in Schol. Ar. Av. 281. Aristophanis haec sunt verba: ΠΕΙΘ. *οὐ σὺ μόνος ἄρ' ἦσθ' ἔποψ, ἀλλὰ χοὖτος ἕτερος;* ΕΠΟΨ. *ἀλλ' οὗτος μέν ἐστι Φιλοκλέους ἐξ ἔποπος, ἐγὼ δὲ τούτου πάππος.* ubi Schol.: *οὗτος ὁ Φιλοκλῆς ἔποπα ἐσκεύασεν ἐν τῇ Πανδιονίδι τετραλογίᾳ —. ἄλλως. Φιλοκλεῖ ἐστι δρᾶμα Τηρεὺς ἢ Ἔποψ. ἄλλως. ὁ Σοφοκλῆς πρῶτον τὸν Τηρέα ἐποίησεν· εἶτα Φιλοκλῆς. — ἐν ἐνίοις ὑπομνήμασιν, ὅτι προκέφαλός ἐστιν ὁ Φιλοκλῆς ὡς ὁ ἔποψ· ἀλλ' οὐδαμοῦ κεκωμῴδηται. εἴη ἂν οὖν τὸν ἔποπα ἐσκευοποιηκὼς τῇ Πανδιονίδι τετραλογίᾳ, ἣν καὶ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις ἀναγράφει. Ἔποψ* fabulae titulum fuisse non credo.

1

σὲ τῶν πάντων δεσπότην λέγω

Schol. Ar. Av. 282: *οὗτος ὁ Φιλοκλῆς ἔποπα ἐσκεύασεν ἐν τῇ Πανδιονίδι τετραλογίᾳ, οὗ ἡ ἀρχή 'σὲ — λέγω'. τῶν]* τὸν V, *τῶνδε* coni. Dindorf. *σὲ τῶν ἁπάντων* Wagner, *σὲ τῶν ἁπάντων ⟨Ἥλιε⟩* V. Rose Aristot. pseud. p. 552 sq. ego *Ἥλιε, σὲ πάντων τῶνδε δεσπότην λέγω* praetulerim.

ΤΗΡΕΥΣ v. ΠΑΝΔΙΟΝΙΣ

INCERTARVM FABVLARVM FRAGMENTA

2

Schol. M Eur. Andr. 32 (quo de loco cf. Wilamowitz-Moellendorff Ind. schol. hib. univ. Gryph. a. 1877 p. 4): *Φιλ⟨ο⟩κλῆς δὲ ὁ*

τραγῳδοποιὸς καὶ ... προεκδοθῆναι φησὶν (φασὶν ed. Dindorf) ὑπὸ Τυνδάρεω τὴν Ἑρμιόνην τῷ Ὀρέστῃ, εἶτα (ὅσα cod. ut videtur, εἶτα δ' C. Robert) ὕστερον ὑπὸ Μενελάου δοθῆναι ⟨Ν⟩εοπτ⟨ο⟩λέμῳ. similia praebent alii qui non Philoclem sed Sophoclem testem adhibent, cf. quae attulimus p. 176.

3

Schol. Soph. Oed. C. 1320: Ταλαοῦ, ὃν ἔνιοι διὰ τοῦ Κ Καλαὸν προσαγορεύουσι, καθάπερ Ἀρίσταρχος ὁ Τεγεάτης καὶ Φιλοκλῆς ἱστοροῦσι, συγγραφέων δὲ Ἑκαταῖος ὁ Μιλήσιος.

4

δορυφόνος

Hesych. 1 p. 531: δορυφόνον· [τὸν δολοφονοῦντα] Ἀριστοφάνης Δαιδάλῳ. ὅτι δὲ Φιλόκτητος (Φιλοκλῆς Pearson) τῇ λέξει ἐχρήσατο πρῶτος, δηλοῖ Τηλεκλείδης ἐν Πρυτάνεσι. δηλοῖ δὲ τὸν δολοφονοῦντα. quae ante Ἀριστοφάνης nomen leguntur verba τὸν δολοφονοῦντα delenda iudicat M. Schmidt. interpretatio grammatici perversa.

5

οὐδ' ἂν ἐγκέφαλον ἔσθων λίποι.

Ath. II p. 66 B: καὶ γὰρ Φιλοκλῆς τε ἐγκέφαλον φησὶν 'οὐδ' — λίποι' καὶ Ἀριστοφάνης (Ran. 134) 'ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο'. Eust. Il. p. 757, 46: τῷ εἰπόντι ὡς 'οὐδ' ἂν ἐγκεφάλων ἔσθων λίπῃ'. non dubito quin vitiosa lectione Athenaeus vel is quem sequitur deceptus sit. requiritur οὐδ' ἂν ἔγκαφος | ἔσθων λίποι, sicut dixit Eupolis Com. 2 p. 565: οὐ γὰρ λέλειπται τῶν ἐμῶν οὐδ' ἔγκαφος. neque tragoediae ista verba conveniunt, sed comoediae. ac testari videtur comicum Philoclem titulus C. I. Att. II 977 fragm. *w* p. 407.

MELANTHIVS

Medeam a Melanthio scriptam esse ex Schol. Ar. Pac. 1012 (adesp. fr. 6) non concluserim.

1

τὰ δεινὰ πράσσει, τὰς φρένας μετοικίσας

Plut. de cohibenda ira c. 2 p. 453 F: ὁ δὲ θυμὸς οὐχ, ἧ φησὶν ὁ Μελάνθιος, 'τὰ δεινὰ πράσσει — μετοικίσας', ἀλλ' ἐξοικίσας τελείως. Plut. de sera numinis vindicta c. 5 p. 551 A: ὡς γὰρ ὁ

θυμὸς κατὰ τὸν Μελάνθιον 'τὰ δεινὰ πράττει — μετοικίσας', οὕτω καὶ ὁ λογισμὸς τὰ δίκαια πράττει. Tzetz. in Hesiod. Op. 336: καὶ Μελάνθιος ὁ τραγικὸς περὶ θυμοῦ φησί 'πράσσει τὰ δεινὰ — μετοικίσας'. respicit Iulianus (Epist. 10 p. 378 D) ap. Socrat. Hist. eccl. 3, 3 p. 171 C: καὶ θυμός, ὅσπερ οὖν εἴωθε τὰ δεινὰ πράττειν τὰς φρένας μετοικίσας. τὰ δεινὰ πράσσει (vel πράττει) Plut. et Iul., πράσσει τὰ δεινὰ Tzetz. ceterum cf. adesp. fr. 390.

IOPHON

Iophonti Sophoclis filio fuerunt qui huius Antigonam tribuerent, cf. Anecd. Oxon. vol. 4 p. 315, 21: πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς ἡ Σοφοκλέους Ἀντιγόνη· λέγεται γὰρ εἶναι Ἰοφῶντος (Ἀντιφῶντος cod., correxit Cramer) τοῦ Σοφοκλέους υἱοῦ. qua de re dixit Schneidewin in Soph. Antig. p. 32 (p. 30 edit. nonae).

ΑΥΛΩΙΔΟΙ ΣΑΤΥΡΟΙ

1

καὶ γὰρ εἰσελήλυθεν
πολλῶν σοφιστῶν ὄχλον ἐξηρτημένος.

Clemens Alex. Strom. I p. 329: Ἰοφῶν τε ὁμοίως ὁ κωμικὸς (ὁ τραγικὸς Casaubonus) ἐν Αὐλῳδοῖς σατύροις ἐπὶ ῥαψῳδῶν καὶ ἄλλων τινῶν λέγει 'καὶ γὰρ — ἐξηρτημένος'. v. 2 ὄχλον Cobet Λογ. Ἑρμ. 1 p. 427 et Coll. crit. p. 234, ὄχλος L.

ΒΑΚΧΑΙ Η ΠΕΝΘΕΥΣ

Duplicem fuisse fabulae titulum docet Suidas v. Ἰοφῶν.

2

ἐπίσταμαι δὲ καὶ τάδ' οὖσά περ γυνή,
ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν
ζητεῖ, τοσούτῳ μᾶλλον ἧσσον εἴσεται.

Stob. Ecl. 2, 1, 9 p. 5, 5: Ἰοφῶντος Βακχῶν (παιάν (ω supra v) ἰοφῶντος βακχῶν F, παιάνω ἰοφῶντος βακχῶν P, ⟨ἰ⟩οφῶντος solum L). 'ἐπίσταμαι — εἴσεται'. v. 1 δὲ om. L. τάδε FP, τόδ' malim. v. 3 ἧσσον] οὐδὲν scribendum suspicor.

INCERTAE FABVLAE FRAGMENTVM

3

Schol. Ven. Ar. Ran. 330: ἡ μυρσίνη ᾠκείωται τοῖς χθονίοις

θεοῖς Διονύσου δεδωκότος, ὅτε ἀνήγαγε τὴν Σεμέλην. τρία γὰρ αὐτῷ ᾠκείωται, κισσὸς ἄμπελος μυρσίνη. μυθολογοῦσι δ' ἐν Σάμῳ μόνῃ θεῶν) μὴ προσφέρεσθαι τῇ Ἥρᾳ. ἐπεὶ γάρ, ὥς φασιν, ἐξῃτεῖτο τὴν ψυχὴν τῆς Σεμέλης τοὺς κάτω θεούς, καθάπερ ἦν ἐπηγγελμένον, ὑποσχέσθαι λέγουσιν αὐτῇ τὸν Ἅιδην τοῦτο δράσειν τοῦ Διονύσου τῶν μάλιστα τερπόντων αὐτῷ ἀντίψυχον ἀντ' ἐκείνης πέμψαντος· τὸν δὲ Διόνυσον πυθόμενον τὰ παρὰ τῶν κάτω θεῶν ἐπεσταλμένα σοφίσασθαι πρὸς ταῦτα καὶ τριῶν ὄντων αὐτῷ μάλιστα ἠγαπημένων, τοῦ τε κισσοῦ καὶ τῆς ἀμπέλου καὶ τῆς μυρσίνης, ἀποστεῖλαι τοῖς κάτω θεοῖς αὐτήν. δηλοῖ δὲ καὶ Ἰοφῶν ὁ τραγικός.*

NICOMACHVS

De Nicomachis tragico et comico vide quae disputavit Meineke Hist. crit. p. 496—98. Geryonem tragoediam Welcker Trag. p. 1015 commemorari suspicabatur ab Aristotele Probl. 19, 48 p. 922 b 13: *ἦθος δὲ ἔχει ἡ μὲν ὑποφρυγιστὶ πρακτικόν, διὸ καὶ ἐν τε τῷ Γηρυόνῃ ἡ ἔξοδος καὶ ἡ ἐξόπλισις ἐν ταύτῃ πεποίηται, ἡ δὲ ὑποδωριστὶ μεγαλοπρεπὲς καὶ στάσιμον.*

1

μέλπουσιν ἀηδόνειον κλαγγήν

Anecd. Bekk. p. 349, 11: *ἀηδόνειος κλαγγή. Νικόμαχος 'μέλπουσιν ἀηδόνειον κλαγγήν'. ἀηδόνιον* Meineke Hist. crit. p. 498.

2

ἀγηλατῶν

Anecd. Bekk. p. 337, 11: *ἀγηλατῶν· ἀντὶ τοῦ διώκων, φυγαδεύων. οὕτως Νικόμαχος. ἁγηλατῶν* Wagner.

STHENELVS

1

ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν.

Prov. Milleri *Mél. de litt. gr.* p. 364: *'ἐκ — ἐρᾶν'. τοῦτον τὸν στίχον οἳ μὲν Σθενέλου, οἳ δὲ Ἀγάθωνος τοῦ τραγικοῦ φασὶν εἶναι.* cf. quae dicemus in Agath. fr. 29.

*) *Σάμῳ μόνῃ θεῶν* Dindorf, codex haec praebet *Σάμῳ ἐκ δὲ μυρσίνης ἐκ δὲ τοῦ πάθους δεισιδαίμονι θεῖον.* aliam medelam frustra quaesivi.

AGATHON

ΑΕΡΟΠΗ

1

εἰσῆσαν

Etym. M. p. 301, 57: *εἰσῆμεν — καὶ εἰσῆσαν ἀντὶ τοῦ εἰσήεσαν* (*εἰσίησαν* cod. F) *σὺν τῷ Ι, Ἀγάθων Ἀερόπῃ.*

ΑΛΚΜΕΩΝ

2

ἀθέμιτοι μοῦσαι

Anecd. Bekk. p. 353, 7: *ἀθέμιστα καὶ ἀνόσια δρᾶν Δείναρχος εἶπε καὶ Σοφοκλῆς, καὶ ἀθεμιστότεροι Ξενοφῶν· καὶ ἀθέμιτοι* (*ἀθέματοι* ante Bekkerum) *μοῦσαι εἶπεν Ἀγάθων ἐν Ἀλκμαίωνι.*

ΑΝΘΟΣ

Aristot. Poet. 9 p. 1451 b 21: *οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς τραγῳδίαις ἐνίαις μὲν ἓν ἢ δύο τῶν γνωρίμων ἔστιν ὀνομάτων, τὰ δὲ ἄλλα πεποιημένα, ἐν ἐνίοις δὲ οὐθέν, οἷον ἐν τῷ Ἀγάθωνος Ἄνθει· ὁμοίως γὰρ ἐν τούτῳ τά τε πράγματα καὶ τὰ ὀνόματα πεποίηται, καὶ οὐδὲν ἧττον εὐφραίνει· ὥστ' οὐ πάντως εἶναι ζητητέον τῶν παραδεδομένων μύθων, περὶ οὓς αἱ τραγῳδίαι εἰσίν, ἀντέχεσθαι.* titulus fabulae suspectus.

ΘΥΕΣΤΗΣ

3

κόμας ἐκειράμεσθα μάρτυρας τρυφῆς,
ἤ που ποθεινὸν χρῆμα παιζούσῃ φρενί.
ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος,
Κούρητες εἶναι, κουρίμου χάριν τριχός.

Ath. XII p. 528 D: *Ἀγάθων δ' ἐν τῷ Θυέστῃ τοὺς τὴν Πρώνακτος θυγατέρα μνηστεύοντας τοῖς τε λοιποῖς πᾶσιν ἐξησκημένους ἐλθεῖν καὶ κομῶντας τὰς κεφαλάς· ἐπεὶ δ' ἀπέτυχον τοῦ γάμου, 'κόμας ἐκειράμεσθα' φησί 'μάρτυρας — τριχός'.* similiter om. fab. nom. Eust. Il. p. 1292, 58. v. 1 *ἐκειράμεσθα* C, *ἐκειράμεθα* P et Eust.

ΜΥΣΟΙ

Plut. Quaest. conv. 3, 1, 1 p. 645 E: *θαυμάζω δὲ καὶ Ἐράτωνα τοῦτον, εἰ τὰς μὲν ἐν τοῖς μέλεσι παραχρώσεις βδελυττόμενος καὶ κατηγορῶν τοῦ καλοῦ Ἀγάθωνος, ὃν πρῶτον εἰς τραγῳδίαν φασὶν ἐμβαλεῖν καὶ ὑπομῖξαι τὸ χρωματικόν, ὅτε τοὺς Μυσοὺς ἐδίδασκεν,*

αὐτὸς δὲ ἡμῖν, ὡς ὁρᾶτε, ποικίλων χρωμάτων καὶ ἀνθηρῶν τὸ συμπόσιον ἐμπέπληκε.

ΤΗΛΕΦΟΣ

In Telepho fuisse Thesei partes credidit Welcker Tragod. p. 990, Meineke Ath. 4 p. 205 pro *Τηλέφῳ* scribendum coniecit *Τληπολέμῳ* coll. Schol. Ar. Pac. 528: *ἔστι δὲ Εὐριπίδου ἐκ Τηλέφου ἢ Τληπολέμου.*

4

γραφῆς ὁ πρῶτος ἦν μεσόμφαλος κύκλος·
ὀρθοί τε κανόνες ἐζυγωμένοι δύο,
Σκυθικῷ τε τόξῳ ⟨τὸ⟩ τρίτον ἦν προσεμφερές·
ἔπειτα τριόδους πλάγιος ἦν προσκείμενος·
ἐφ' ἑνός τε κανόνος ἦσαν [ἐζυγωμένοι δύο]· 5
ὅπερ δὲ τὸ τρίτον ἦν, καὶ τελευταῖον πάλιν.

Ath. X p. 454 D: *τὸ δ' αὐτὸ πεποίηκε καὶ Ἀγάθων ὁ τραγῳδιοποιὸς ἐν τῷ Τηλέφῳ· ἀγράμματος γάρ τις κἀνταῦθα δηλοῖ τὴν τοῦ Θησέως ἐπιγραφὴν οὕτως 'γραφῆς — πάλιν'.* v. 3 *τὸ* addidit Schweighaeuser, om. A. v. 4 *προσκείμενος* A, *προκείμενος* P. v. 5 *ἦσαν ἐζυγωμένοι δύο*] *ἦσαν* delebat olim Meineke, qui postea agnovit *ἐζυγωμένοι δύο* verba ex v. 2 temere repetita esse, et scribendum coniecit *ὑπτιωμένοι δύο* vel *ἦσαν ὕπτιοι δύο* (cf. Ath. 4 p. 206). *ἰσόμετροι ῥάβδοι δύο* Wecklein *Stud. zu Eur.* p. 444, *ἦσαν ἰσόμετροι δύο* R. Methner diss. p. 42 sq. v. 6 *τὸ τρίτον* AC, *τρίτον* Musurus. *ὅπερ δὲ τὸ τρίτον, ἦν τὸ λοίσθιον πάλιν* coni. Meineke Ath. 4 p. 361.

INCERTARVM FABVLARVM FRAGMENTA

5

μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται,
ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα.

Aristot. Eth. Nicom. 6, 2 p. 1139 b 10: *τὸ δὲ γεγονὸς οὐκ ἐνδέχεται μὴ γενέσθαι· διὸ ὀρθῶς Ἀγάθων 'μόνου — πεπραγμένα'.* v. 1 *μόνου δὲ τούτου* coni. Blaydes in Soph. Ai. p. 93. v. 2 *ἄκραντα* in Eur. vol. 3 p. XIX ego conieci, *ἄπρακτα* O. Hense *Krit. Bl.* 1 p. 71.

6

τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην.

Aristot. Eth. Nicom. 6, 4 p. 1140 a 19: *τρόπον τινὰ περὶ τὰ αὐτά ἐστιν ἡ τύχη καὶ ἡ τέχνη, καθάπερ καὶ Ἀγάθων φησί 'τέχνη — τέχνην'.* Simplic. in Aristot. Phys. ausc. fol. 73 b: *καὶ τῶν*

ποιητῶν δὲ ἔνιοι πάντα σχεδὸν εἰς τὴν τύχην ἄγουσιν (l. *ἀνάγουσιν*), *ὥστε καὶ τῆς τέχνης οἰκείαν αὐτὴν ποιεῖν λέγοντες* '*τέχνη — τέχνην*'. *τὸν εὐτυχοῦντα δὲ καὶ φρονεῖν φασί* (Eur. fr. 1017). cf. Men. monost. 495: *τύχη τέχνην ὤρθωσεν, οὐ τέχνη τύχην*. Gnomol. cod. Vrb. *Π* 10 p. 444: *πόνος τέχνην ὤρθωσεν, οὐ τέχνη πόνον.*

7

φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡσσώμενοι
θανεῖν ἐρῶσιν.

Aristot. Eth. Eud. 3, 1 p. 1230 a 1: *οὐδὲ τῶν τοιούτων* (sc. *τῶν τὸ πονεῖν φευγόντων*) *οὐδεὶς ἀνδρεῖος, καθάπερ καὶ Ἀγάθων φησί* '*φαῦλοι — ἐρῶσιν*'.

8

καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσειν, τὰ δὲ
ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται.

Aristot. Rhet. 2, 19 p. 1392 b 8: *εἰ ἄνευ τέχνης καὶ παρασκευῆς δυνατὸν γενέσθαι, μᾶλλον διὰ τέχνης καὶ ἐπιμελείας δυνατόν· ὅθεν καὶ Ἀγάθωνι εἴρηται* '*καὶ μὴν — προσγίγνεται*'. v. 1 *τῇ*] *χρὴ* Porson in Eur. Med. 1090. *τύχῃ* plerique libri. *πράσσει* A[c].

9

τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι,
βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα.

Aristot. Rhet. 2, 24 p. 1402 a 10: *καὶ ἐν τοῖς ῥητορικοῖς ἐστι φαινόμενον ἐνθύμημα παρὰ τὸ μὴ ἁπλῶς εἰκός, ἀλλά τι εἰκός. ἔστι δὲ τοῦτο οὐ καθόλου, ὥσπερ καὶ Ἀγάθων λέγει* '*τάχ' ἄν — εἰκότα*'. Aristot. Poet. 18 p. 1456 a 24: *ἔστιν δὲ τοῦτο εἰκὸς ὥσπερ Ἀγάθων λέγει· εἰκὸς γὰρ γίνεσθαι πολλὰ καὶ παρὰ τὸ εἰκός.* ibid. c. 25 p. 1461 b 15: *εἰκὸς γὰρ καὶ παρὰ τὸ εἰκὸς γίνεσθαι.*

10

Aristot. Poet. 15 p. 1454 b 14: *ἐπεὶ δὲ μίμησίς ἐστιν ἡ τραγῳδία βελτιόνων, ἡμᾶς δεῖ μιμεῖσθαι τοὺς ἀγαθοὺς εἰκονογράφους· καὶ γὰρ ἐκεῖνοι ἀποδιδόντες τὴν ἰδίαν μορφήν, ὁμοίους ποιοῦντες, καλλίους γράφουσιν. οὕτω καὶ τὸν ποιητὴν μιμούμενον καὶ ὀργίλους καὶ ῥαθύμους καὶ τἆλλα τὰ τοιαῦτα ἔχοντας ἐπὶ τῶν ἠθῶν, τοιούτους ὄντας ἐπιεικεῖς ποιεῖν παράδειγμα σκληρότητος, οἷον τὸν Ἀχιλλέα Ἀγάθων καὶ Ὅμηρος.* Achillem drama ab Agathone inscriptum esse conicit Welcker Tragod. p. 991 sq. in loco corrupto ne illud quidem certum est, recte se habere *Ἀγάθων*: *ἀγαθῶν* cod., *ἀγάθων* vel *ἀγαθὸν* apographa.

11

τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα,
τὸ δ' ἔργον ὡς πάρεργον ἐκπονούμεθα.

Ath. V p. 185 A: *ἡμεῖς γὰρ κατὰ τὸν καλὸν Ἀγάθωνα 'τὸ μὲν — ἐκπονούμεθα'.* Clemens Alex. Strom. V p. 733: *καταπαυστέον ἤδη τὸν λόγον, ὅπως μὴ τὸ τοῦ τραγῳδοποιοῦ Ἀγάθωνος πάθωμεν καὶ αὐτοί, 'τὸ μὲν — ἐκπονούμενοι'.* v. 1 *ποιούμεθα* Ath., *ἡγούμενοι* Clem. v. 2 *ἐκπονούμεθα* Ath., *ἐκπονούμενοι* Clem. fortasse spectat hunc locum Synesius de insomn. p. 146 D: *οὗτος ἥκει κομίζων ἀνθρώποις, τοῦτο δὴ τὸ λεγόμενον, ἔργου μεῖζον τὸ πάρεργον.*

12

εἰ μὲν φράσω τἀληθές, οὐχί σ' εὐφρανῶ·
εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω.

Ath. V p. 211 E: *κατὰ γὰρ τὸν Ἀγάθωνα 'εἰ μὲν — τἀληθὲς φράσω'.*

13

ἀπολεῖς μ' ἐρωτῶν καὶ σὺ χὠ νέος τρόπος
ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος.

Ath. X p. 445 C: *καὶ ὃς ἔφη 'ἀπολεῖς μ' ἐρωτῶν' κατὰ τὸν καλὸν Ἀγάθωνα 'καὶ σὺ — χρώμενος'.* v. 1 *ὀλεῖς* malim.

14

. . *γυνή τοι σώματος δι' ἀργίαν*
ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ.

Ath. XIII p. 584 A: *κατὰ γὰρ τὸν Ἀγάθωνα 'γυνὴ — φορεῖ'.* v. 1 *γυνὴ τὸ σῶμα* libri, *γυνή τοι σώματος* Porson in Ar. Nub. 53, *σώματος* praeierat Grotius.

15

ἐκφέρετε πεύκας φωσφόρους

Ath. XV p. 701 B: *ἵνα κἀγὼ κατὰ τὸν καλὸν Ἀγάθωνα ἀναφωνήσω τάδε τὰ τοῦ ἡδίστου Ἀριστοφάνους* (Com. 2 p. 1180) *'ἐκφέρετε πεύκας κατ' Ἀγάθωνα φωσφόρους'.* cf. Eur. Tro. 351: *εἰσφέρετε πεύκας.*

16

Marcus Anton. 4, 18: *ὅσην ἀσχολίαν κερδαίνει ὁ μὴ βλέπων τί ὁ πλησίον εἶπεν ἢ ἔπραξεν ἢ διενοήθη, ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ καὶ ὅσιον ἢ κατὰ τὸν ἀγαθὸν (Ἀγάθωνα*

Xylander) μὴ μέλαν (μὴ ἄλλων coni. I. Stich) ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς τρέχειν ὀρθόν, μὴ διερριμμένον. Agathonis verba qui restituere conati sunt, operam perdiderunt.

17

Schol. Soph. Trach. 639: συνάγονται οἱ Ἀμφικτύονες εἰς τὴν λεγομένην Πυλαίαν, περὶ ἧς Ἀγάθων φησὶ Πυλάδην τὸν Στροφίου πρῶτον συστήσασθαι ἐν τῇ Φωκίδι καθαιρόμενον τὸ ἐπὶ Κλυταιμήστρᾳ μύσος καὶ ἀπ' αὐτοῦ τὴν σύνοδον Πυλαίαν προσαγορεύεσθαι.

18

οὐ πώποτ' ἠξίωσα χρήσασθαι τρόποις

Stob. Ecl. 1, 8, 7 p. 94, 19: Ἀγάθωνος. 'οὐ πώποτ' — τρόποις'. χρήσασθαι χρόνοις Meineke, χαρίσασθαι χρόνοις C. Wachsmuth.

19

σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι.

Stob. Ecl. 1, 8, 14 p. 95, 14: Λακώνων (sic F, lemma om. qui νικοστράτ λακώνων praegresso Nicostrati loco apponit P). 'σοφὸν — πεφυκέναι'. pro Λακώνων scribendum suspicor Ἀγάθωνος, quod nomen falso praefigitur epigrammati quod habet Stob. Ecl. 1, 8, 16 p. 96, 5: Ἀγάθωνος (sic F, ἀγάθονος μόνον P). 'ὤφελεν ὡς ἀφανὴς οὕτω φανερώτατος εἶναι καιρός, ὃς αὐξάνεται πλεῖστον ἀπ' εὐλαβίης'.

20

οὐ τῇ φρονήσει, τῇ τύχῃ δ' ἐσφάλμεθα.

Stob. Flor. 3, 16: Ἀγάθωνος (sic MA, ecl. om. S). 'οὐ — ἐσφάλμεθα'. ἐσφάλμεθα] ἐπητέον Trinc. et Arsen. p. 582, 22.

21

ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.

Stob. Flor. 29, 39: Ἀγάθωνος. 'ἰδίας — φύσεις'.

22

ἀδικεῖν νομίζων ὄψιν αἰδοῦμαι φίλων.

Stob. Flor. 31, 17: Ἀγάθωνος (sic LSM, ecl. om. A). 'ἀδικεῖν — φίλων'. ἀδικεῖν S, ἀδικεῖ M, δοκεῖν L.

23

ὄλοιθ' ὁ τοῖς ἔχουσι τἀγαθὰ φθονῶν.

Stob. Flor. 38, 7: 'ὄλοιθ' — φθονῶν'. eclogam sine lemmate habent SMA, eandem post Flor. 38, 21 cum lemmate ἀγάθωνος repetunt MA. ὄλοιτο τοῖς M post ecl. 21. τὰ ἀγαθὰ ὁ φθονῶν MA post ecl. 21.

24

οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος,
εἰ πάντες ἦμεν ἐξ ἴσου πεφυκότες.

Stob. Flor. 38, 12: Ἀγάθωνος. 'οὐκ — πεφυκότες'. v. 2 ἐξίσου ed.

25

σοφίας φθονῆσαι μᾶλλον ἢ πλούτου καλόν.

Stob. Flor. 38, 23: Ἀγάθωνος (sic S, τοῦ αὐτοῦ post iteratam ecl. 7 MA). 'σοφίας — καλόν'.

26

νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες.

Stob. Flor. 52, 6: Ἀγάθωνος. 'νέων — φρένες'.

27

γνώμη δὲ κρεῖσσόν ἐστιν ἢ ῥώμη χερῶν.

Stob. Flor. 54, 4: Ἀγάθωνος. 'γνώμη — χερῶν'. ἐστιν ex ἔστη correctum S pr. m.

28

ὡς ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα.

Stob. Flor. 79, 12: Ἀγάθωνος. 'ὡς — τέκνα'.

29

ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν.

Prov. Milleri *Mélanges de litt. gr.* p. 364: 'ἐκ — ἐρᾶν'. τοῦτον τὸν στίχον οἱ μὲν Σθενέλου, οἱ δὲ Ἀγάθωνος τοῦ τραγικοῦ φασὶν εἶναι. eundem versum om. poetae nomine afferunt Diogenianus 4, 49 Macarius 3, 72 Hesych. v. ὀμμάτειος πόθος (cf. Soph. fr. 161) Clemens Alex. Paed. III p. 273 Schol. A Il. Γ 424 Schol. B Il. Γ 425. fortasse respicit Philostr. Epist. 52: ἀπὸ τοῦ ὁρᾶν τὸ ἐρᾶν. varietas lectionis vix digna quae afferatur. γὰρ ἐσορᾶν Hesych., γὰρ εἰσορᾶν plerique, εἰσορᾶν (om. γὰρ) Diogen. Macar. γίνετ' Diogen.

et plerique paroemiographi, *γίνεται* ceteri. *ἀνθρώποις*] *τὸ τοὺς ἀνθρώπους* Schol. B Il. *Γ* 425. si ex tragoedia petitus est versiculus, consentaneum erit scribi *γίγνεται βροτοῖς ἐρᾶν.*

30

ἀντεύφρασμα

Anecd. Bekk. p. 407, 5 et Suidas: *ἀντεύφρασμα· τὸ ἐναντίον τῇ εὐφροσύνῃ. Ἀγάθων* (*ἀγαθῶν* libri, correxit Bruno).

31

Dionys. Hal. de admir. vi dicendi in Demosth. c. 26 p. 1035 R.: *καὶ ταῦτα τὰ πάρισα οὐ Λικύμνιοι ταῦτ' εἰσὶν οὐδ' Ἀγάθωνες οἱ λέγοντες ὕβριν ἢ πριν μισθῷ· ποθὲν ἢ μόχθον πατρίδων, ἀλλ' ὁ δαιμόνιος ἑρμηνεῦσαι Πλάτων.* locus graviter corruptus sine melioribus libris restitui non potest. delenda suspicor verba *ταῦτα τὰ πάρισα*, quae propter insequens *ταῦτ'* inutilia sunt. postea *ὕβριν ἢ Κύπριν ὅσσων πόθον ἢ μόχθον πραπίδων* coni. M. Schmidt (cf. Bergk Lyr. ed. alt. p. 986). Agathonis anapaestos, *ὕβριν ἤ σε Κύπριν | νομίσω; πόθον ἢ μόχθον πραπίδων;* agnoscere sibi visus est H. Weil *Revue de philol.* 4 p. 128. utrum vero Agathonis an Licymnii an utriusque poetae verba attulerit Dionysius, plane incertum est.

THEOGNIS

1

φόρμιγξ ἄχορδος

Demetrius de eloc. 85: *ἔνιοι δὲ καὶ ἀσφαλίζονται τὰς μεταφορὰς ἐπιθέτοις ἐπιφερομένοις, ὅταν αὐτοῖς κινδυνώδεις δοκῶσιν, ὡς ὁ Θέογνις παρατίθεται τὸν τοξοφόρμιγγα ἄχορδον ἐπὶ τοῦ τῷ τόξῳ βάλλοντος· ἡ μὲν γὰρ φόρμιγξ κινδυνῶδες ἐπὶ τοῦ τόξου, τῷ δὲ ἀχόρδῳ* (*ἄχορδος* malim) *ἠσφάλισται.* scribendum arbitror *παρατίθεται τῷ τόξῳ 'φόρμιγγα ἄχορδον'*, cf. Aristot. Rhet. 3, 11 p. 1413 a 1: *οἷον ἡ ἀσπίς, φαμέν, ἐστὶ φιάλη Ἄρεος* (ita Timotheus dixit, v. Bergk. Lyr. 3 p. 625) *καὶ τὸ τόξον φόρμιγξ ἄχορδος.* ceterum *φόρμιγξ ἄχορος* scite olim coni. Lobeck, cuius v. Aglaoph. p. 840.

XENOCLES

Xenoclem olymp. 91 a. 1 *Οἰδίποδι καὶ Λυκάονι καὶ Βάκχαις καὶ Ἀθάμαντι σατυρικῷ* vicisse testatur Aelianus V. H. 2, 8, cuius locum attulimus p. 373.

ΛΙΚΥΜΝΙΟΣ

1

ὦ σκληρὲ δαῖμον, ὦ τύχαι χρυσάμπυκες

Ar. Nub. 1264: ΑΜΥΝ. *ὦ σκληρὲ δαῖμον, ὦ τύχαι θραυσάντυγες ἵππων ἐμῶν· ὦ Παλλάς, ὥς μ' ἀπώλεσας.* ΣΤΡΕΨ. *τί δαί σε Τληπόλεμός ποτ' εἴργασται κακόν;* ubi Schol. RV: *ταῦτα Ξενοκλέους ἐστὶν ἐκ τοῦ Λικυμνίου. λέγεται δὲ ὑπ' Ἀλκμήνης Λικύμνιον τεθνηκέναι ὑπὸ Τληπολέμου. διὸ καὶ ἐπιφέρει 'τί δαί — κακόν;' Εὐφρόνιος παρὰ Ξενοκλεῖ φησιν εἶναι τὸ χρυσάμπυκες* (*χρυσάμπυχες* V, *χρυσάντυγες* Hermann), *ἐξ οὗ παραπεποιῆσθαι τὸ θραυσάντυγες τοῦτο.* codex Paris. 2821 haec praebet: *οἱ μὲν φασὶν ὡς ὁ Τληπόλεμος οὗτος ποιητὴς ὢν πεποίηκε τὸν Φιλόξενον ταῦτα τὰ ἰαμβεῖα ᾄδειν ἀπὸ τοῦ 'ὦ σκληρὲ δαῖμον' μέχρι τοῦ 'ὥς μ' ἀπώλεσας'. ἄλλοι δὲ φασὶν ὡς Σοφοκλῆς ἐποίησε τὸν Τληπόλεμον ταῦτα λέγοντα· — ἔοικε δὲ μᾶλλον τοῦ Σοφοκλέους εἶναι ταῦτα. διὸ καὶ ἐπάγει 'τί δὲ Τληπόλεμός σε κακὸν εἴργασται;' ὡς τοῦ Τληπολέμου ταῦτα εἰπόντος.* veri simile est, ut ait W. H. van de Sande Bakhuyzen de parod. in comoed. Aristoph. p. 49, e Xenoclis tragoedia petitos esse Nubium v. 1264 et 1265, sed quid scripserit Xenocles, parum constat. dubitari vix potest quin verba *ὦ Παλλάς, ὥς μ' ἀπώλεσας* tragoediae debeantur, sicut *Ἧλι', ὥς μ' ἀπώλεσας* dixit Euripides fr. 779, 11. ex edit. Aldina affertur hoc scholion: *Εὐφρόνιος δὲ φησὶ τὸ 'ὦ Παλλάς, ὥς μ' ἀπώλεσας' Ξενοκλέους εἶναι ἐκ τοῦ Λικυμνίου.*

CRITIAS

ΠΕΙΡΙΘΟΥΣ

Haec fabula, cuius fragmenta exhibuimus p. 547—550, utrum Euripidis esset an Critiae dubitatum est teste Ath. XI p. 496 B, quicum cf. Vita Eurip. p. 135, 33. Critiam, cum ex Thessalia Athenas reversus esset, docuisse tetralogiam *Τέννην Ῥαδάμανθυν Πειρίθουν Σίσυφον* complexam istamque tetralogiam posteriore tempore Euripidi tributam esse coni. Wilamowitz-Moellendorff Anal. Eur. p. 166.

ΣΙΣΥΦΟΣ

1

ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος
καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης,
ὅτ' οὐδὲν ἆθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν
οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίγνετο.
κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους 5
θέσθαι κολαστάς, ἵνα δίκη τύραννος ῇ
. . . . . τήν θ' ὕβριν δούλην ἔχῃ·
ἐζημιοῦτο δ' εἴ τις ἐξαμαρτάνοι.
ἔπειτ' ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι
ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ, 10
λάθρᾳ δ' ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ
. . πυκνός τις καὶ σοφὸς γνώμην ἀνὴρ
γνῶναι θεοὺς θνητοῖσιν ἐξευρεῖν, ὅπως.
εἴη τι δεῖμα τοῖς κακοῖσι, κἂν λάθρᾳ
πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί ⟨τι⟩. 15
ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο,
ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ
νόῳ τ' ἀκούων καὶ βλέπων φρονῶν τε καὶ
προσέχων τε ταῦτα καὶ φύσιν θείαν φορῶν,
ὃς πᾶν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται, 20
⟨τὸ⟩ δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται.
ἐὰν δὲ κἂν σιγῇ τι βουλεύῃς κακόν,
τοῦτ' οὐχὶ λήσει τοὺς θεούς· τὸ γὰρ φρονοῦν
. . ἔνεστι. τούσδε τοὺς λόγους λέγων
διδαγμάτων ἥδιστον εἰσηγήσατο 25
ψευδεῖ τυφλώσας τὴν ἀλήθειαν λόγῳ.
ναίειν δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθ' ἵνα
μάλιστ' ἂν ἐξέπληξεν ἀνθρώπους λέγων,
ὅθεν περ ἔγνω τοὺς φόβους ὄντας βροτοῖς
καὶ τὰς ὀνήσεις τῷ ταλαιπώρῳ βίῳ, 30
ἐκ τῆς ὕπερθε περιφορᾶς, ἵν' ἀστραπὰς
κατεῖδεν οὔσας, δεινὰ δὲ κτυπήματα
βροντῆς τό τ' ἀστερωπὸν οὐρανοῦ σέλας,
χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ,

ὅθεν τε λαμπρὸς ἀστέρος στίλβει μύδρος 35
ὅ θ' ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορεύεται.
τοίους πέριξ ἔστησεν ἀνθρώποις φόβους
δεινοὺς καλῶς τε τῷ λόγῳ κατῴκισεν
τὸν δαίμονα καὶ ἐν πρέποντι χωρίῳ,
τὴν ἀνομίαν τε τοῖς φόβοις κατέσβεσεν. 40

. . . .

οὕτω δὲ πρῶτον οἴομαι πεῖσαί τινα
θνητοὺς νομίζειν δαιμόνων εἶναι γένος.

Sextus Empir. p. 403, 1: καὶ Κριτίας δὲ εἷς τῶν ἐν Ἀθήναις τυραννησάντων δοκεῖ ἐκ τοῦ τάγματος τῶν ἀθέων ὑπάρχειν, φάμενος ὅτι οἱ παλαιοὶ νομοθέται ἐπίσκοπόν τινα τῶν ἀνθρωπίνων κατορθωμάτων καὶ ἁμαρτημάτων ἔπλασαν τὸν θεὸν ὑπὲρ τοῦ μηδένα λάθρᾳ τὸν πλησίον ἀδικεῖν, εὐλαβούμενον τὴν ὑπὸ τῶν θεῶν τιμωρίαν. ἔχει δὲ παρ' αὐτῷ τὸ ῥητὸν οὕτως. 'ἦν χρόνος — κατέσβεσεν' (v. 1—40). καὶ ὀλίγα προσδιελθὼν ἐπιφέρει 'οὕτω δὲ — εἶναι γένος' (v. 41 et 42). Sextus Empir. p. 172, 18: θεοὺς γὰρ οἱ μὲν πολλοί φασιν εἶναι, τινὲς δὲ οὐκ εἶναι, ὥσπερ οἱ περὶ Διαγόραν τὸν Μήλιον καὶ Θεόδωρον καὶ Κριτίαν τὸν Ἀθηναῖον. Euripidi non nullos horum versuum tribuit Plut. de placitis philos. 1, 7, 2 p. 880 E: καὶ Εὐριπίδης ὁ τραγῳδοποιὸς ἀποκαλύψασθαι μὲν οὐκ ἠθέλησε (deos non esse) δεδοικὼς τὸν Ἄρειον πάγον, ἐνέφηνε δὲ τοῦτον τὸν τρόπον· τὸν γὰρ Σίσυφον εἰσήγαγε προστάτην ταύτης τῆς δόξης καὶ συνηγόρευσεν αὐτοῦ ταύτῃ τῇ γνώμῃ (haec verba repetiit Eusebius P. E. XIV p. 753 C). 'ἦν γὰρ χρόνος' φησίν 'ὅτ' ἄτακτος ἦν ἀνθρώπων — ὑπηρέτης' (v. 1 et 2). ἔπειτα φησὶ τὴν ἀνομίαν λυθῆναι νόμων εἰσαγωγῇ· ἐπεὶ γὰρ ὁ νόμος τὰ φανερὰ τῶν ἀδικημάτων εἴργειν ἐδύνατο, κρύφα τε (l. δὲ) ἠδίκουν πολλοί, τότε τις σοφὸς ἀνὴρ ἐπέστησεν ὡς δεῖ ἀεὶ ψευδεῖ λόγῳ τυφλῶσαι τὴν ἀλήθειαν καὶ πεῖσαι τοὺς ἀνθρώπους 'ὡς ἔστι — φρονεῖ τ' ἄγαν' (v. 17 et 18). cf. Plut. ibid. 1, 6, 7 p. 879 F: ὅθεν καὶ Εὐριπίδης φησί 'τὸν ἀστερωπὸν — σοφοῦ' (v. 33 et 34). Galenus Hist. philos. c. 8 vol. 19 p. 253: ὅθεν Εὐριπίδης εἶπεν 'ἀστέρες δ' ἐν οὐρανῷ ποίκιλμα τέκτονος σοφοῦ' (cf. v. 33 sq.). idem Galenus vol. 19 p. 250: οὐ γὰρ εἶναι θεοὺς τετολμήκασιν. ἔοικε δὲ ταύτης τῆς ὑπολήψεως Εὐριπίδης, κἂν τοῦτο μὲν αὐτὸς οὐ λέγῃ —, ἀλλὰ τὸν Σίσυφον εἰσήγαγε τοῦτο λέγοντα. v. 1 ἦν ἄτακτος Sextus, ἄτακτος ἦν Plut. v. 3 ἄεθλον ante Barnesium. v. 6 ἵνα ἡ δίκη CR. v. 7 γένους βροτείου suppleri voluit Grotius, θρόνους ἔχουσα O. Hense Exerc. crit. p. 59, ἰσχὺν δὲ πᾶσαν Enger Adnot. ad poet. Gr. fr. p. 1. ἔχῃ δούλην CR. v. 10 ἀπεῖργον Normann, ἀπῆγον libri. βίᾳ suspectum. v. 11 sq. λάθρᾳ δ' ἔπρασσον πολλά (ἄδικα Bach), τηνικαῦτά μοι | δοκεῖ πυκνός τις Pierson Veris. p. 136. potius v. 12

mutilus videtur, ubi πυκνός τις ἄλλος coni. Grotius, πυκνός τις ὄντως Normann, φρένας πυκνός τις Meineke, πρῶτον πυκνός τις Enger, γνῶναι πυκνός τις Wecklein. v. 13 γνῶναι δὲ ὃς CR, γνῶναι δεόση cod. Laur., γνῶναι δέος Petitus, γνῶναι δέον Normann, γνῶναι θεοὺς Koechly *Akad. Vorträge* p. 277, εἶναι θεοὺς Hense Exerc. crit. p. 60, γνῶναι σέβας Enger, θεῶν δέος Wecklein, δεῖμ' ἄλλο τοῖς F. G. Schmidt *Krit. Stud.* 3 p. 8. ἐξευρεῖν cod. Monac., ἐξευρὼν ceteri. v. 15 τι addidit Grotius. v. 18 νόῳ τ' ἀκούων καὶ βλέπων φρονῶν τε καὶ Sextus, ὃς ταῦτ' ἀκούει καὶ βλέπει φρονεῖ τ' ἄγαν Plut. τῷ νῷ F. G. Schmidt. φρονεῖ τ' ἀεὶ Bach. v. 18 sq. βλέπων τά τ' ὄνθ' ἑκὰς πρὸ ποδῶν τε πάντα coni. F. G. Schmidt, πάντα praeierat Grotius. v. 19 ταύτῃ τε προύχων coni. Enger, παρέχων τε ταῦτα Gomperz *Beitr.* 1 p. 273. φύσιν τοίαν F. G. Schmidt. v. 20 ὑφ' (vel ἐφ') οὗ πᾶν μὲν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούεται libri, corr. Normann. ὃς δὴ βροτοῖσι πᾶν τὸ μὲν λεχθὲν κλύειν coni. Gomperz p. 274. v. 21 τὸ addidit Normann. v. 22 σιγῇ S, σὺν σιγῇ ceteri libri, καὶ σιγῇ Meineke, ego κἂν σιγῇ praetuli. ἐὰν δέ τῳ σιγῇ Enger. v. 24 ⟨θεοῖς⟩ ἔνεστι Normann, ἔνεστιν ⟨αὐτοῖς⟩ Heath, τούτοις ἔνεστι Hermann, ἔνεστι ⟨παντί⟩ Gomperz p. 271. ἔνεστι τούσδε τοὺς λόγους ⟨κεῖνος⟩ λέγων vel πλέκων F. G. Schmidt. τούσδε τις λόγους Musgrave. v. 25 δίδαγμά τοι μέγιστον (μέγιστον cum R. Methnero) F. G. Schmidt. ego διδαγμάτων κέρδιστον temptabam. v. 26 τυφλώσας Plutarchi ope Porson Adv. p. 275, καλύψας Sext. v. 27 ναίειν Pierson Veris. p. 136, αἰεὶ libri. v. 28 μάλιστ' ἂν Toup Emend. 1 p. 227, μάλιστα libri. ἐκπλήξειεν Grotius. λέγων Grotius, ἄγων libri. v. 29 περ om. C. v. 30 ὀνήσεις Normann, πονήσεις libri, πτοήσεις Alb. Iahn in Gregor. Pal. Prosop. p. 60. v. 31 sq. ἵν' ἀστραπῆς κατεῖδ' ἐναύσεις Musgrave. v. 32 κατεῖδε φύσας coni. F. G. Schmidt. v. 33 τό τ'] τὸν Plut. σέλας Plut., δέμας Sextus. v. 34 χρόνον Plutarchus et Sexti cod. Laur. χρόνων κανόνα, ποίκιλμα coni. F. G. Schmidt. spectare videtur haec verba Philo Iud. vol. 1 p. 652: τὸ τοῦ θεοῦ καλὸν ποίκιλμα, ὅδε ὁ κόσμος, ἐπιστήμῃ πανσόφῳ τετελεσιούργηται. v. 35 ἀστέρος] αἰθέρος Boissonade, διάπυρος Herwerden Exerc. crit. p. 74 sq., ego ἡλίου malim. στίλβει Wecklein, στείχει libri. v. 36 ἐκπορίζεται Musgrave, ἐκπιδύεται vel ἐκπροΐεται Wecklein. v. 37 τοίους (ego οὕτω malim) πέριξ ἔστησεν Meineke Com. 4 p. XII, τοιούτους δὲ περιέστησεν libri. v. 38 δεινοὺς Wecklein *Stud. zu Eur.* p. 361, δι' οὓς libri. κολαστὴν τῶν κακῶν κατοικίσας scripserim, ubi κολαστὴν et κατοικίσας debemus Engero. v. 39 τὸν δαίμον' οἰκοῦντ' Pierson, τὸν δαίμον' οἰκεῖν Hermann. neutrum sufficit. v. 40 φόβοις F. G. Schmidt, νόμοις libri. v. 42 δαιμόνων εἶναι cod. Monac., εἶναι δαιμόνων ceteri.

INCERTARVM FABVLARVM FRAGMENTA

2

ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον.

Stob. Ecl. 1, 8, 10 p. 95, 5: *Κριτίου.* '*ὁ χρόνος — φάρμακον*'. fortasse *ὀργῆς ἁπάσης ὁ χρόνος ἐστὶ φάρμακον* leg., nisi lemmata confusa sunt, cf. Meineke Com. 4 p. XIII, qui Critiae esse suspicatur qui praecedunt versus (adesp. fr. 507), dum Wachsmuth Critiae nomen spectare conicit ad ecl. 11: *μετὰ τὴν σκιὰν τάχιστα γηράσκει χρόνος*, vel ad 12: *πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίγνεται.*

3

ὅστις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν
πράσσων ὁμιλεῖ, τὴν παραυτίχ' ἡδονὴν
ἔχθραν καθίστησ' εἰς τὸν ὕστερον χρόνον.

Stob. Flor. 14, 2: *Κριτίου.* '*ὅστις — χρόνον*'. v. 2 *ὁμιλῇ* M. v. 3 *καθίστησιν* SM.

4

δεινὸν δ' ὅταν τις μὴ φρονῶν δοκῇ φρονεῖν.

Stob. Flor. 23, 1: *Κριτίου* (sic SMA, *Εὐριπίδου* Trinc.). '*δεινὸν — φρονεῖν*'. idem versus adscripto *Κριτηρίου* (pro *Κριτίου*) lemmate extat in Georgidae excerptis quae protulit Mai Spicil. Rom. 6 p. 614. *δεινὸν δ'* Stob., *δεινὸν* Georg., *δεινόν γ' ὅταν τις* malim. *δοκεῖ* Stobaei S et Georg., unde ⟨*ἢ*⟩ *δεινὸν ὅστις μὴ φρονῶν δοκεῖ φρονεῖν* possis conicere.

5

σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν
κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν.

Stob. Flor. 97, 10: *Κριτίου.* '*σοφῆς — ἔχειν*'.

6

εὐξυνεσία

Pollux 9, 161: *καὶ ἡ παρ' Εὐριπίδῃ εὐπαιδευσία, καὶ ἡ παρὰ Κριτίᾳ εὐξυνεσία, καὶ ἡ παρ' Ἀριστοφάνει εὐοδία.*

7

ποδεῖα

Pollux 2, 196 et 7, 91. vide Aesch. fr. 259.

8

ταχύχειρ

Pollux 2, 149: *εὔχειρ, ταχύχειρ ὡς Κριτίας, καὶ ἀπ' αὐτῶν εὐχειρία, ταχυχειρία.* sed hoc vocabulo fortasse in elegiis Critias usus est.

9

ψευδομάρτυρες

Pollux 6, 152: *οἱ μὲν γὰρ ψευδομάρτυρες εἴρηνται παρὰ Κριτίᾳ, καὶ ὁ ψευδομάρτυς οὐκ οἶδ' ὅπου.*

DICAEOGENES

ΚΥΠΡΙΟΙ

Aristot. Poet. c. 16 p. 1455 a 1: *ἡ τρίτη* (sc. *ἀναγνώρισις*) *διὰ μνήμης τῷ αἰσθέσθαι τι ἰδόντα, ὥσπερ ἡ ἐν Κυπρίοις τοῖς Δικαιογένους· ἰδὼν γὰρ τὴν γραφὴν ἔκλαυσεν.*

ΜΗΔΕΙΑ

Schol. Eur. Med. 167: *Τιμαχίδας — Ἄψυρτον φησὶ λέγειν αὐτήν* (Medeam), *τοῦ Εὐριπίδου μήτε ἐνταῦθα μήτε ἐν τῷ Αἰγεῖ δηλώσαντος τὸν Ἄψυρτον ὀνομαστί. ὁ δὲ Φερεκύδης διὰ τοῦ Ξ ὀνομάζει αὐτόν. Δικαιογένης δὲ ἐν τῇ Μηδείᾳ Μεταπόντιον αὐτὸν ὀνομάζει.*

INCERTARVM FABVLARVM FRAGMENTA

1

ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσιν,
θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα
ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσιν.

Stob. Flor. 64, 1: *Δικαιογένους* (*Διογένους* A). '*ὅταν — πεφυκόσι*'. v. 1 *ἄρκυσι* ed. v. 2 *πρὸς χάριν πονούμεθα* Meineke Stob. 4 p. LXXII, rectius *τὴν νόσον μηνύομεν* Cobet Mnem. 9 p. 133. v. 3 *τοῖς ἀπ' ἀρχῆς* scribendum suspicor, *τοῖσιν ἄγχιστ'* Meineke, cf. quae diximus in Iambl. de vita Pythag. p. 210. *πεφυκόσι* ed.

2

μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι
παῖδας παρασπίζοντας ἀλκίμους ἔχει.

Stob. Flor. 75, 1: *Διογένους* (sic MA, *διογ°* S, *Δικαιογένους* scribendum videtur). '*μακάριος — ἔχει*'.

3

Stob. Flor. 75, 10: Δικαιογένους (sic S, Διογένους ceteri). ζηλωτὸς ὅστις εὐτύχησεν ἐν τέκνοις καὶ μὴ ἐπισήμοις συμφοραῖς ὠδύρετο. Euripidis hi versus (Or. 541) librariorum errore tribuuntur Dicaeogeni, cuius locum intercidisse recte fortasse coni. O. Hense. quamquam fieri potest ut Dicaeogenis sint versus qui Flor. 75, 9 Menandro (Com. 4 p. 261) adscribuntur:

οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρὶ
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ.

ubi v. 2 σωφρονοῦντα κεὐτυχοῦντ' ἰδεῖν coni. Meineke in Men. p. 230, σωφρονοῦντα κεὐποροῦντ' ἰδεῖν Herwerden Obs. crit. in fragm. com. Gr. p. 95. v. 2 sq. σωφρονοῦντα κεὐθενοῦντα παῖδ' ἰδεῖν τὸν ἐξ ἑαυτοῦ F. G. Schmidt *Krit. Stud.* 3 p. 12.

4

αὐτὸς τραφεὶς δὲ τῶν φυτευσάντων ὕπο
καλῶς, τὸν αὐτὸν ἔρανον αὐτοῖσιν νέμεις.

Stob. Flor. 79, 6: Δικαιογένους. 'αὐτὸς — νέμεις'. v. 1 αὐτὸς δὲ θρεφθεὶς Porson Adv. p. 304. v. 2 νέμοις Arsenius p. 341, 21.

5

θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονῆς.

Stob. Flor. 79, 33: Δικαιογένους. 'θεὸς — γονεῖς'. θεὸς μέγιστος] θεοὶ μέγιστοι Men. mon. 238. γονῆς scripsi.

DIOGENES ATHENIENSIS

De Diogenibus Atheniensi et Sinopensi optime disputavit Meinekius Exerc. in Ath. 1 p. 46—49 sive Ath. 4 p. 305—309.

ΣΕΜΕΛΗ

1

καίτοι κλύω μὲν Ἀσιάδος μιτρηφόρους
Κυβέλας γυναῖκας, παῖδας ὀλβίων Φρυγῶν,
τυπάνοισι καὶ ῥόμβοισι καὶ χαλκοκτύπων
βόμβοις βρεμούσας ἀντίχερσι κυμβάλων
σοφὴν θεῶν ὑμνῳδὸν ἰατρόν θ' ἅμα· 5

κλύω δὲ Λυδὰς Βακτρίας τε παρθένους
ποταμῷ παροίκους Ἅλυϊ Τμωλίαν θεὸν
δαφνόσκιον κατ' ἄλσος Ἄρτεμιν σέβειν
ψαλμοῖς τριγώνων πηκτίδων ἀντιζύγοις
ὁλκοῖς κρεκούσας μάγαδιν, ἔνθα Περσικῷ 10
νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς.

Ath. XIV p. 636 A: *Διογένης δὲ ὁ τραγικὸς διαφέρειν πηκτίδα μαγάδιδος λέγων οὕτως ἐν τῇ Σεμέλῃ 'καίτοι — χοροῖς'*. v. 1 *κλύω μὲν* Schweighaeuser, *κλύωμεν* P. *Ἀσιάδας* Dalechamps. *μιτρηφόρου* malim. v. 2 expectamus id quod tacite scripsit Wecklein *Stud. zu Eur.* p. 315 *Κυβέλης*, cum adiectivum *κυβέλας γυναῖκας*, de quo cogitabat Meineke in Callim. p. 148, teste careat. mire tamen dictum *Κυβέλης γυναῖκας*, ubi *Κυβέλης ὀπαδούς* dici poterat. v. 3 *τυπάνοισι* Casaubonus, *τυμπάνοισι* A. *ῥόμβοισι* Pierson Veris. p. 204, *βομβοῖσι* A. v. 4 *ἀντὶ χερσὶ* libri, *ἀντίχερσι* Casaubonus. *κυμβάλων ἀντηχέσι* Methner progr. a. 1882 p. 5 sq., qui huc referendum suspicatur quod habet Hesychius 1 p. 396: *βρεμούσας· ἠχούσας*. v. 5 *σοφὴν* corruptum, *σέβειν* coni. Bergk, fortasse praestat *ψοφεῖν* (cf. *κελαδεῖν τινα*). *ἠχὴν* Wecklein *Stud. zu Eur.* p. 316. *ψόφον ψοφεῖν ὑμνῳδὸν* Heimsoeth *Wiederherst. der Dramen des Aesch.* p. 473, *σέβειν σοφόν θ' ὑμνῳδὸν* Methner progr. a. 1882 p. 6. v. 6 *κλύω δὲ* ed. Casaub., *ἤλυωδε* BP. *Βακτρίας* suspectum, *βακχίας* scripsit Meineke, *ψαλτρίας* R. Methner coll. Ion. fr. 22. v. 7 *παροίκους Ἅλυϊ Τμωλίαν* ed. Casaub., *παροικοῦσα λυιτμωλίαν* P. v. 8 *ἕλσος* B. v. 10 *ὁλκοῖς*] *ὁμοῦ* Methner. *κρεκούσας* Casaubonus, *κρεκούσαις* A. *ἔνθα*] *ἐν δὲ* Methner. v. 11 *νομῷ* Methner. *ὁμοθροεῖ* coni. Meineke, *ὁμοφωνεῖ* Methner.

ASTYDAMANTES

Astydamanti minori, maioris filio, haec dramata ab Suida tribuuntur: *Ἡρακλῆς σατυρικός, Ἐπίγονοι, Αἴας μαινόμενος, Βελλεροφόντης, Τυρώ, Ἀλκμήνη, Φοῖνιξ, Παλαμήδης*. patris scimus fuisse *Παρθενοπαῖον*: fortasse eiusdem erant *Ἀλκμέων, Ἕκτωρ, Ἑρμῆς, Ναύπλιος*, quae fabulae ab aliis scriptoribus commemorantur, sicut *Ἀχιλλεύς, Ἀθάμας, Ἀντιγόνη, Λυκάων*, quas praeter Parthenopaeum offert titulus C. I. Att. II 973.

ΑΛΚΜΕΩΝ

Obiter meminit huius tragoediae Aristot. Poet. c. 14 p. 1453 b 33: *ἔστι δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον*

ἀναγνωρίσαι τὴν φιλίαν, ὥσπερ ὁ Σοφοκλέους Οἰδίπους. τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος· ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷον ὁ Ἀλκμέων ὁ (*ὁ Ἀλκμαίων ὁ* Victorius, *ὁ ἀλκμαίωνος* cod.) *Ἀστυδάμαντος ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ.*

1

⟨οὐ⟩ τοῦ δοκεῖν μοι, τῆς δ' ἀληθείας μέλει.

Stob. Ecl. 2, 15, 1 p. 185, 19: *Ἀστυδάμαντος Ἀλκμαίωνος* (*στυδάμαντος ἀλκμαι* νος L). '*τοῦ — μέλει*'. *οὐ* addidit Gaisford.

ΕΚΤΩΡ

Plut. de gloria Athen. c. 7 p. 349 F: *ταῦτα ἡ πόλις ἑορτάζει καὶ ὑπὲρ τούτων θύει τοῖς θεοῖς, οὐκ ἐπὶ ταῖς Αἰσχύλου νίκαις ἢ Σοφοκλέους, οὐδὲ ὅτε Καρκίνος Ἀερόπῃ συνῆν* (*εὐημέρει* coni. Porson in Eur. Hec. 533) *ἢ Ἕκτορι Ἀστυδάμας.* Astydamantis vestigia legisse Naevium in Hectore proficiscente coni. Welcker Tragod. p. 1059.

2

δέξαι κυνῆν μοι, πρόσπολ' . . . . .
μὴ καὶ φοβηθῇ παῖς

Schol. A Il. Z 472: *ἀπὸ κρατὸς κόρυθ' εἵλετο*] *σημειοῦνταί τινες τοῦτον διὰ τὸ τὸν τραγικὸν Ἀστυδάμαντα παράγειν τὸν Ἕκτορα λέγοντα* '*δέξαι κοινήν μοι πρὸς πόλεμον δὲ καὶ φοβηθῇ παῖς*'. v. 1 *δέξαι κυνῆν μοι πρόσπολ', ὧδε προσμολών* probabiliter coni. Porson in Eur. Hec. 533, ubi tamen extrema verba dubitationi sunt obnoxia. *πρόσπολε, τελαμῶνά τε* minus feliciter temptavit F. G. Schmidt *Krit. Stud.* 3 p. 14. v. 2 *μή μοι* (*μὴ καὶ* Dindorf) *φοβηθῇ παῖς* Cobet V. L. p. 495.

ΕΡΜΗΣ

Satyricam fuisse fabulam recte iudicavit Friebel Satyrogr. p. 75.

3

κρατῆρε μὲν πρώτιστον ἀργυρὼ δύο
φιάλας δὲ πεντήκοντα, δέκα δὲ κυμβία,
ῥέοντα δώδεχ', ὧν τὰ μὲν δέκ' ἀργυρᾶ
ἦν, δύο δὲ χρυσᾶ, γρύψ, τὸ δ' ἕτερον Πήγασος.

Ath. XI p. 496 E: *ῥέοντα· οὕτως ποτήριά τινα ἐκαλεῖτο. μνημονεύει δ' αὐτῶν Ἀστυδάμας ἐν Ἑρμῇ λέγων οὕτως* '*κρατῆρε — Πήγασος*'. v. 3 et 4 om. poetae et fabulae nomine hinc Eust. Il. p. 1286, 25 repetiit. v. 1 *ἀργυρῶ* libri, ut videtur. v. 3 *ῥέοντα δώδεκα*

(δέδωκα Eust.) τόσα ἀργυρᾶ C et Eust. v. 4 ἦν om. C et Eust. γρυψί libri, γρύψ Casaubonus. τὸ δ' ἄλλο Πήγασος O. Hense Exerc. crit. p. 45 sq.

ΗΡΑΚΛΗΣ ΣΑΤΥΡΙΚΟΣ

4

Ath. X p. 411 A:

> Ἀλλ' ὥσπερ δείπνου γλαφυροῦ ποικίλην εὐωχίαν
> τὸν ποητὴν δεῖ παρέχειν τοῖς θεαταῖς τὸν σοφόν,
> ἵν' ἀπίῃ τις τοῦτο λαβὼν καὶ φαγὼν καὶ προσπιὼν
> ⟨ᾧ⟩ χαίρει καὶ σκευασία μὴ μί' ᾖ τῆς μουσικῆς·

Ἀστυδάμας ὁ τραγικὸς ἐν Ἡρακλεῖ σατυρικῷ, ἑταῖρε, φησί, Τιμόκρατες. φέρε εἴπωμεν ἐνταῦθα τοῖς προειρημένοις τὰ ἀκόλουθα, ὅτι ἦν καὶ ὁ Ἡρακλῆς ἀδηφάγος. ἀποφαίνονται δὲ τοῦτο σχεδὸν πάντες ποιηταὶ καὶ συγγραφεῖς. Ἐπίχαρμος μὲν ἐν Βουσίριδι κτέ. versus Eupolideos supra allatos non Astydamantis esse sed poetae comici, verissime iudicavit Casaubonus: utrum Athenaeus errarit an librarii, non ausim decernere; sed probabile est de voracitate Herculis Astydamantem testem allatum fuisse. v. 3 καὶ προσπιὼν Kaibel, ὥσπερ πιὼν A. v. 4 ᾧ addidit Hermann.

ΝΑΥΠΛΙΟΣ

5

> χαῖρ', εἰ τὸ χαίρειν ἔστι τοῖς κάτω χθονός·
> δοκῶ δ'· ὅτῳ γὰρ μὴ ἔστι λυπεῖσθαι βίῳ,
> ἔστιν τὸ χαίρειν τῶν κακῶν λελησμένῳ.

Stob. Flor. 120, 15: Ἀστυδάμαντος Ναυπλίου (sic A, fabulae nomen om. S, eclogam om. M). 'χαῖρ' — λελασμένῳ'. v. 1 τοῖς F. G. Schmidt *Krit. Stud.* 3 p. 14, που SA. v. 2 δὲ που vel δὲ ποῦ SA (sed δὲ in rasura S, χρ prius scriptum agnoscere sibi visus est Mekler), δ' ὅπου Tyrwhitt, δ' ὅτῳ F. G. Schmidt. μήστι S, μήτι A, μή ἐστι Trinc. v. 3 λελασμένῳ vel λελασμένω SA, λελησμένῳ scripsi.

ΠΑΡΘΕΝΟΠΑΙΟΣ

Mentio fit huius fabulae in titulo Corp. Inscr. Att. II 973 v. 21: ⟨π⟩οη(ταί)· Ἀστυδάμας Παρθενοπαίῳ, ὑπε(κρίνετο) Θετ⟨ταλός⟩. eandem commemorat Zenobius 5, 100: σαυτὴν ἐπαινεῖς — Ἀστυδάμας γὰρ ὁ Μορσίμου εὐημερήσας ἐν τῇ ὑποκρίσει Παρθενοπαίου ἐψηφίσθη εἰκόνος ἐν τῷ θεάτρῳ ἀξιωθῆναι· γράψας οὖν αὐτὸς ἐπίγραμμα ὁ Ἀστυδάμας ἔπαινον ἑαυτοῦ ἔχον ἀνήνεγκεν ἐπὶ τὴν βουλήν, οἳ δὲ ἐψηφίσαντο ὡς ἐπαχθὲς αὐτὸ μηκέτι ἐπιγραφῆναι. similiter Photius

Lex. p. 502, 23 et Suid. v. σαυτὴν ἐπαινεῖς, item Schol. Liban. Epist. 317 p. 153.

INCERTARVM FABVLARVM FRAGMENTA

6

. . . . θνητοῖσι τὴν ἀκεσφόρον
λύπης ἔφηνεν οἰνομήτορ' ἄμπελον.

Ath. II p. 40 B: τὴν πανσίλυπον ἄμπελον δοῦναι βροτοῖς — Εὐριπίδης ἐν Βάκχαις φησί. καὶ Ἀστυδάμας δέ φησι 'θνητοῖσι — ἄμπελον'.

7

γλώσσης περίπατός ἐστιν ἀδολεσχία.

Stob. Flor. 36, 4: Ἀστυδάμαντος. 'γλώσσης — ἀδολεσχία'. comico poetae versiculus iste convenit, non tragico.

8

γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν ὅστις ἂν δίκαιος ᾖ
τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν.
ἓν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα,
κεἰ τοῦτον οἱ ζητοῦντες εἰσὶ μυρίοι. 5

Stob. Flor. 86, 3: Ἀστυδάμαντος. 'γένους — μυρίοι'. v. 1 ἐστιν ἀφρονέστατος coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 14. v. 2 καλὸν δ' ἐπαινεῖν F. G. Schmidt, aequo iure χρὴ δ' ἄνδρ' ἐπαινεῖν possis conicere. olim temptabam ἑνὸς δ' ἔπαινός ἐστιν ἀσφαλέστατος, κατ' ἄνδρ' ἐπαινεῖν. v. 4 et 5 suspicor comici esse poetae. v. 4 ἕνεκα τῶν ἐστὶν εὑρεῖν ἄνδρ' ἕνα SMA, ἕν' ἄνδρα τούτων ἐστὶν εὑρεῖν δυσχερές A m. rec. in marg., ⟨ἀλλ' οὐκ⟩ ἐν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα coni. Grotius, ἐν δ' ἑκατόν ἐστιν ἔργον (ἔργον ἐστὶν Cobet Mnem. nov. 2 p. 437) εὑρεῖν ἄνδρ' ἕνα Porson Adv. p. 305, ⟨μόλις δ'⟩ ἐν ἑκατὸν ἔστιν εὑρεῖν ἄνδρ' ἕνα O. Hense, ἐν δ' ἑκατὸν εὑρεῖν ἄνδρ' ἕν ἐστι δυσχερές Conington, τὸν ἄνδρα δ' εὑρεῖν τοῦτόν ἐστι δυσχερές Gomperz. v. 5 κεἰ Porson, καὶ SMA. κἂν αὐτὸν οἱ ζητοῦντες ὦσι μύριοι Gomperz.

9

Schol. Soph. Oed. C. 57: καὶ Ἴστρος δὲ μνημονεύει τοῦ χαλκοῦ ὀδοῦ (ὁδοῦ cod.) καὶ Ἀστυδάμας. Antigonam Astydamantis spectari coni. P. Nikitin.

SOPHOCLES IVNIOR

1

Clemens Alex. Protr. c. 2 p. 26: *Πατροκλῆς τε ὁ Θούριος καὶ Σοφοκλῆς ὁ νεώτερος ἐν τρισὶ* (l. *ἔν τισι* cum Welckero) *τραγῳδίαις ἱστορεῖτον τοῖν Διοσκούροιν πέρι* (*ἱστορείτων τὼ διοσκούρω πέρι* libri, corr. Sylburg).

POLYIDVS

ΙΦΙΓΕΝΕΙΑ

Aristot. Poet. c. 16 p. 1455 a 6: *τετάρτη δὲ* (sc. *ἀναγνώρισις*) *ἡ ἐκ συλλογισμοῦ, οἷον ἐν Χοηφόροις — ἡ Πολυείδου τοῦ σοφιστοῦ περὶ τῆς Ἰφιγενείας· εἰκὸς γὰρ τὸν Ὀρέστην συλλογίσασθαι ὅτι ἥ τ' ἀδελφὴ ἐτύθη καὶ αὐτῷ συμβαίνει θύεσθαι.* ibid. c. 17 p. 1455 b 10: *ἐλθὼν δὲ* (Orestes) *καὶ ληφθεὶς θύεσθαι μέλλων ἀνεγνώρισεν, εἴθ' ὡς Εὐριπίδης εἴθ' ὡς Πολύειδος ἐποίησεν, κατὰ τὸ εἰκὸς εἰπὼν ὅτι οὐκ ἄρα μόνον τὴν ἀδελφὴν ἀλλὰ καὶ αὐτὸν ἔδει τυθῆναι, καὶ ἐντεῦθεν ἡ σωτηρία.*

MELETVS

ΟΙΔΙΠΟΔΕΙΑ

Tetralogia Oedipi res complexa. Schol. Plat. p. 893 a 14: *ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν καθῆκεν* (*ἔθηκεν* ante Meinekium), *ὡς Ἀριστοτέλης Διδασκαλίαις.*

CHAEREMON

ΑΛΦΕΣΙΒΟΙΑ

1

καὶ σώματος μὲν ὄψεις κατειργάζετο
στίλβοντα λευκῷ χρώματι διαπρεπῆ·
αἰδὼς δ' ἐπερρύθμιζεν ἠπιώτατον
ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι·

κόμαι δὲ κηροχρῶτες, ὡς ἀγάλματος 5
αὐτοῖσι βοστρύχοισιν ἐκπεπλασμένου,
ξουθοῖσιν ἀνέμοις ἐντρύφων φορούμεναι.

Ath. XIII p. 608 D allato Chaeremonis fr. 14 haec subicit: *ἐπικατάφορος δὲ ὢν ὁ ποιητὴς οὗτος καὶ ἐπὶ τὰ ἄνθη ἐν Ἀλφεσιβοίᾳ* (sic Casaubonus, *ἀλεσιβοᾳ* A) *φησί 'καὶ σώματος — φορούμενοι'*. v. 1 *καὶ σώματ' ἐς μὲν ὄψιν ἀντηυγάζετο* coni. Hermann in Eur. Hecub. p. 70 ed. alt., postea idem (*Zeitschr. f. d. Alt.* 1843 p. 635 sq.) suasit *Πέρσης δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος εἰς ὄμματος μὲν ὄψιν ἀντηυγάζετο στίλβοντα λευκοχρώματ' ἄρθρα διαπρεπῆ*, quorum versuum primum ex fr. 14, 16 huc referri voluit. de v. 1 adoptavit posteriorem Hermanni coniecturam Meineke, sed *μὲν* in *μὴν* mutavit. v. 2 *στίλβουσα λευκῷ χρωτὶ* (*χρωτὶ* cum Wagnero) *καὶ διεκπρεπής* Meineke, qui simul alia temptat (Ath. 4 p. 290 sq.). v. 5 *κηροχρῶτες* (rectius *κηρόχρωτες*) vix sanum. v. 6 *ἐκπεπλασμένοι* libri, *ἐκπεπλασμένου* vel *εὖ πεπλασμένου* Meineke. v. 7 *φορούμεναι* Hermann, *φορούμενοι* libri. in his versibus florum nulla est mentio; hinc Friebel Satyrogr. p. 82 coniecit ex Alphesiboea petitos esse fragmenti 14 duos versus extremos, locum supra exhibitum post eiusdem fragmenti v. 11 esse collocandum. consentit cum Friebelio Meineke ita ut ad Alphesiboeam unum referat fragmenti 14 versum paenultimum, *ἔρσῃ δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος*.

ΑΧΙΛΛΕΥΣ ΘΕΡΣΙΤΟΚΤΟΝΟΣ

Θερσίτης dicitur Suidae. videtur satyrica fuisse fabula. de argumento cf. Proclus Chrestom. p. 458: *Ἀχιλλεὺς Θερσίτην ἀναιρεῖ λοιδορηθεὶς πρὸς αὐτοῦ καὶ ὀνειδισθεὶς τὸν ἐπὶ τῇ Πενθεσιλείᾳ λεγόμενον ἔρωτα, καὶ ἐκ τούτου στάσις γίγνεται τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. μετὰ δὲ ταῦτα Ἀχιλλεὺς εἰς Λέσβον πλεῖ καὶ θύσας Ἀπόλλωνι καὶ Ἀρτέμιδι καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυσσέως.* Eust. Il. p. 208, 2: *ἡ δὲ νεωτέρα ἱστορία καὶ ἀναιρεθῆναι τὸν Θερσίτην ὑπ' Ἀχιλλέως λέγει κονδυλισθέντα, ὁπηνίκα τὴν Ἀμαζόνα Πενθεσίλειαν ἐκεῖνος ἀνελὼν οἶκτον ἔσχεν ἐπὶ τῇ κειμένῃ κτέ.*

2

τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.

Stob. Ecl. 1, 6, 7 p. 85, 7: *Χαιρήμονος ἐξ Ἀχιλλέως Θερσιτοκτόνου. 'τύχη — εὐβουλία'.* ubi *πράγματ'* om. F. idem versus om. poetae et fab. nom. exstat in Plut. de fortuna c. 1 p. 97 C Eustath. Macremb. de Hysmines et Hysminiae amor. 8, 21 p. 250, 9 Men. mon. 725. cf. Libanius Decl. vol. 2 p. 66: *καὶ ἐπαινοῦσι δὴ τὸν εἰπόντα 'τύχη τὰ θνητῶν πράγματα'.* Theodorus Prodr. in *Notices*

et Extr. VIII, 2 p. 83: τὸ 'τύχη τὰ θνητῶν πράγματα' τῆς τραγῳδίας ἀποτεμνόμενοι. Demosth. 2, 22: μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα. Alciphr. 3, 44, 3: οὐδὲν γὰρ ἐν ἀνθρώποις γνώμη, πάντα δὲ τύχη. Nicostratus (Com. 3 p. 285) ap. Ath. XV p. 693 A: τύχη τὰ θνητῶν πράγμαθ', ἡ πρόνοια δὲ τυφλόν τι. Plat. Leg. IV p. 709 B: τύχας δ' εἶναι σχεδὸν ἅπαντα τὰ ἀνθρώπινα πράγματα. Iohannes Georgid. in Anecd. Boiss. vol. 1 p. 78: σκιὰ τὰ θνητῶν καὶ οὐκ εὐβουλία. Isidorus Pelus. Epist. 5, 244: σκιὰ γὰρ τὰ θνητῶν, λέγει ἡ κωμῳδία, οἷς οὐκ οἶδ' ὅπως ἑάλως, καίτοι τὸν κωμικὸν θαυμάζων. Constantinus Man. fr. 9, 6 p. 574 ed. Herch.: ὅτι σκιὰ τὰ τῶν θνητῶν. Latine versum reddidit Cicero Tusc. 5, 9, 25: *vitam regit fortuna, non sapientia.* similiter Publilius Syr. Sent. 192: *fortuna hominibus plus quam consilium valet.*

3

ὡς οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος

Suidas: 'ὡς — τιμωρούμενος'. παροιμία. ὁ στίχος δέ ἐστι Χαιρήμονος ἐκ Θερσίτου. dictum de hoc versu supra p. 729. Aristarchi tragici versum a Chaeremone in satyris ad lepidum argumentum translatum esse coni. O. Crusius Anal. crit. ad paroemiogr. Gr. p. 152.

ΔΙΟΝΥΣΟΣ

Argumentum idem videtur fuisse quod Bacсharum Euripidis. Welcker probabiliter huc refert fr. 15 et 16.

4

Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος

Aristot. Rhet. 2, 23 p. 1400 b 24: ὡς Χαιρήμων 'Πενθεὺς — ἐπώνυμος'. huic fabulae versum adscripsit Elmsley in Eur. Bacch. 508.

5

χορῶν ἐραστὴς κισσός, ἐνιαυτοῦ δὲ παῖς

Ath. XIII p. 608 E allato Chaeremonis fr. 10 pergit: ἐν δὲ Διονύσῳ 'χορῶν — παῖς'. Eust. Od. p. 1658, 56: Χαιρήμων οὖν, φασίν, ὁ τὸν κισσὸν χορῶν εἰπὼν ἐραστὴν κοινῶς μὲν τὰ ἄνθη ἔαρος τέκνα ἐκάλεσεν (fr. 9), ἰδίως δὲ τὰ ῥόδα ὀξυφεγγῆ (fr. 8) καὶ ἔαρος τιθηνήματα (fr. 13, 2).

6

στεφάνους τεμόντες ἀγγέλους εὐφημίας

Ath. XV p. 676 F: καὶ ἐν τῷ Διονύσῳ δὲ ὁ αὐτὸς ἔφη ποιητής

(Chaeremon) 'στεφάνους — εὐφημίας'. στεφάνους τ' ἔχοντες scripserim, defendit traditam lectionem Meineke in Theocr. 18, 40.

7

κισσῷ τε ναρκίσσῳ τε τριέλικας κύκλῳ
στεφάνων ἑλικτῶν

Ath. XV p. 679 F: *καλοῦνται δέ τινες καὶ ἑλικτοὶ στέφανοι — μνημονεύει δ' αὐτῶν Χαιρήμων ὁ τραγῳδιοποιὸς ἐν Διονύσῳ διὰ τούτων 'κισσῷ — ἑλικτῶν'.* v. 1 fortasse *κύκλους* leg.

ΘΕΡΣΙΤΗΣ v. ΑΧΙΛΛΕΥΣ ΘΕΡΣΙΤΟΚΤΟΝΟΣ

ΘΥΕΣΤΗΣ

8

ῥόδ' ὀξυφεγγῆ κρίνεσιν ἀργεννοῖς ὁμοῦ

Ath. XIII p. 608 F allato Chaeremonis fr. 13 pergit: *καὶ ἐν Θυέστῃ 'ῥόδ' — ὁμοῦ'. ὀξυφεγγεῖς κρίνοισιν* P. cf. Eust. locus in fr. 5 allatus.

ΙΩ

9

. . . . *ἀνθηροῦ τέκνα*
ἔαρος πέριξ στρώσαντες

Ath. XIII p. 608 D: *ἐν δὲ τῇ Ἰοῖ ἔαρος τέκνα προσηγόρευε* (Chaeremon) *τὰ ἄνθη 'ἀνθηροῦ — στρώσαντες'.* v. 2 *ἀέρος* A, *ἔαρος* Eust., cuius locum attulimus in fr. 5.

ΚΕΝΤΑΥΡΟΣ

Δρᾶμα πολύμετρον dixit Athenaeus (fr. 10), cf. Aristot. Poet. c. 1 p. 1447 b 21: *ὁμοίως δὲ κἂν εἴ τις ἅπαντα τὰ μέτρα μιγνύων ποιοῖτο τὴν μίμησιν, καθάπερ Χαιρήμων ἐποίησε Κένταυρον μικτὴν ῥαψῳδίαν ἐξ ἁπάντων τῶν μέτρων, οὐκ ἤδη καὶ ποιητὴν προσαγορευτέον.* ibid. c. 24 p. 1460 a 2: *τὸ δὲ ἰαμβεῖον* (*ἰαμβίον* cod.) *καὶ τετράμετρον κινητικὰ καὶ* (*κινητικαὶ* cod., corr. Vahlen) *τὸ μὲν ὀρχηστικὸν τὸ δὲ πρακτικόν· ἔτι δὲ ἀτοπώτερον εἰ μιγνύοι τις αὐτά, ὥσπερ Χαιρήμων.*

10

ἔνθ' αἳ μὲν αὐτῶν εἰς ἀπείρονα στρατὸν
ἀνθέων ἄλογχον ἐστράτευσαν, ἡδοναῖς
θηρώμεναι . . οντα λειμώνων τέκνα

Ath. XIII p. 608 E allato fr. 9 pergit: ἐν δὲ Κενταύρῳ, ὅπερ δρᾶμα πολύμετρόν ἐστι, λειμῶνος τέκνα 'ἔνθ' — τέκνα'. v. 1 ἔνθεν μὲν ed., ἔνθεμεν A, ἔνθ' αὖ μὲν Meineke. v. 2 ἀλόχων libri, ἀλόγχων Stanley in Aesch. Pers. 620, ἄλογχον Meineke Hist. crit. p. 517 sq. v. 3 θηρώμενον τὰ A, θηρώμεναι κομῶντα Hermann *Zeitschr. f. d. Alt.* 1843 p. 637 sq., θηρώμεναι γελῶντα F. G. Schmidt *Krit. Stud.* 3 p. 14, θηρώμεναι θάλλοντα ego proposui.

11

στεφάνους ἑτοιμάζουσιν, οὓς εὐφημίας
κήρυκας εὐχαὶ προυβάλοντο δαιμόνων.

Ath. XV p. 676 E: οἱ γὰρ παῖδες κατὰ τὸν Χαιρήμονος Κένταυρον 'στεφάνους — δαιμόνων'. v. 2 προυβάλλοντο A, προυβάλοντο Canter.

ΜΙΝΥΑΙ

Minyas dici Argonautas coni. O. Mueller; sed fortasse in Athenaei loco pro *Μινύαις* (quam lectionem iam Suidas v. *Χαιρήμων* invenit) *Μινυάσι* scribendum est; quae si vera est suspicio, huc referenda erit narratio Anton. Lib. c. 10 et Aeliani V. H. 3, 42.

12

πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν
ἄκραισι περκάζουσαν οἰνάνθαις χρόνου.

Ath. XIII p. 608 F allato fr. 8 haec subicit: ἐν δὲ Μινύαις 'πολλὴν — χρόνου'. v. 2 ἁβραῖσι περκάζουσιν οἰνάνθαις ὁμοῦ Meineke, qui haec mecum communicavit: 'hoc dicit, multas adfuisse puellas adultas simul cum aliis ad maturitatem succrescentibus. περκάζουσιν οἰνάνθαις dixit poeta ut Pindarus Ol. 6, 15 πυρᾶν νεκρῶν τελεσθέντων, Aeschylus Ag. 562 δρόσοι — τιθέντες ἔνθηρον τρίχα, Theocritus Id. 15, 119 σκιάδες μαλακῷ βρίθοντες ἀνήθῳ. nomen ὀπώρα nisi de nubilibus puellis dici non potuit, nec περκάζειν nisi de maturescentibus'. adscitis Meinekii coniecturis ὁμοῦ et παρῆν vocabula sedem mutare vult F. G. Schmidt *Krit. Stud.* 3 p. 15 sq.

ΟΔΥΣΣΕΥΣ

Quae Ath. XIII p. 562 F habet, ὁ δ' αὐτὸς οὗτος ποιητὴς (praecedit Chaeremonis mentio) καὶ περὶ τῶν ἐρώντων ἐν τῷ ἐπιγραφομένῳ Τραυματίᾳ φησὶν οὕτως 'τίς οὐχὶ φήσει τοὺς ἐρῶντας ζῆν μόνους —' κτέ., non Chaeremonis esse sed Alexidis, vidit Meineke Hist. crit. p. 519 sqq. itaque quae olim ferebatur huius fabulae inscriptio, Ὀδυσσεὺς τραυματίας, nullo nititur fundamento, et Ari-

stotelis Poet. c. 14 p. 1453 b 23 mentio, ὁ *Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ*, de Sophocle potius intellegenda erit, cf. p. 230.

13

κόμαισιν ὡρῶν σώματ' εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον.

Ath. XIII p. 608 E allato Chaeremonis fr. 5 pergit: *περὶ δὲ ῥόδων ἐν Ὀδυσσεῖ φησὶν οὕτως* '*κόμαισιν — ἐκπρεπέστατον*'. v. 1 *σώματ'*] *στέμματ'* Iacobs. v. 2 cf. Eust. locus allatus in fr. 5.

ΟΙΝΕΥΣ

14

ἔκειτο δ' ἡ μὲν λευκὸν εἰς σεληνόφως
φαίνουσα μαστὸν λελυμένης ἐπωμίδος,
τῆς δ' αὖ χορεία λαγόνα τὴν ἀριστερὰν
ἔλυσε· γυμνὴ δ' αἰθέρος θεάμασιν
ζῶσαν γραφὴν ἔφαινε, χρῶμα δ' ὄμμασιν 5
λευκὸν μελαίνης ἔργον ἀντηύγει σκιᾶς.
ἄλλη δ' ἐγύμνου καλλίχειρας ὠλένας,
ἄλλης προσαμπέχουσα θῆλυν αὐχένα.
ἡ δὲ ῥαγέντων χλανιδίων ὑπὸ πτυχαῖς
ἔφαινε μηρόν, κἀξεπεσφραγίζετο 10
ὥρας γελώσης χωρὶς ἐλπίδων ἔρως.
ὑπνωμέναι δ' ἔπιπτον ἑλενίων ἔπι,
ἴων τε μελανόφυλλα συγκλῶσαι πτερὰ
κρόκον θ', ὃς ἡλιῶδες εἰς ὑφάσματα
πέπλων σκιᾶς εἴδωλον ἐξωμόργνυτο, 15
[*ἕρση δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος*]
λειμῶσι μαλακοῖς ἐξέτεινον αὐχένας.

Ath. XIII p. 608 B: *ὁ γοῦν τοῦ τραγικοῦ Χαιρήμονος Οἰνεὺς περὶ παρθένων τινῶν διηγούμενος ὧν ἐθεᾶτο, φησὶν ἐν τῷ ὁμωνύμῳ δράματι* '*ἔκειτο γὰρ — αὐχένας*'. v. 1—11 post v. 17 collocari iussit Hermann. versui 11 fragmentum 1 subici voluit Friebel. v. 1 *γὰρ* Ath., *δ'* Iacobs. v. 3 *χορείας* vel *χορίας* libri, *χορεία* Casaubonus. v. 4 *ἔλυσε* tueri vult Boissonade in Theophyl. Sim. p. 299, ego *ἔδειξε* praetulerim. *γυμνῆς* A, *γυμνοῖς* P, *γυμνὴ* scripsi. v. 5 *ὄμμασι* vulgo. v. 6 *ἔργον* corruptum. *ἀντηύγει* Schweighaeuser, *ἀνταυγεῖ* P. *λευκὸν μελαίνῃ στέρνον ἀντηύγει σκιᾷ* coni. Dobree

Adv. 2 p. 346. v. 9 ἡ δ' ἔκλαγεν τῶν A, ἡ δ' ἐκραγέντων Casaubonus, ἡ δὲ ῥαγέντων Meineke. πτύχας vulgo, πτυχαῖς scripsi. v. 10 κἀξαπεσφραγίζετο Hermann *Zeitschr. f. d. Alt.* 1843 p. 637. v. 12 ὑπτώμεναι A, ὑπνωμέναι Lobeck in Phryn. p. 682. ἑλενίων ante Dindorfium. v. 15 οἰκίας libri, σκιᾶς Casaubonus. εἰσομόργνυται ante Meinekium. v. 16 Friebelio duce ad Alphesiboeam refert Meineke. πέρσης libri, ἕρσαις Lobeck Aglaoph. p. 839, ἕρσῃ Bergk. v. 17 μαλακοῖς Grotius, μαλθακοῖσιν A.

INCERTARVM FABVLARVM FRAGMENTA

15

γέλωτα, σοφίαν, ἀμαθίαν, εὐβουλίαν

Ath. II p. 35 D: *Χαιρήμων δὲ ὁ τραγῳδὸς παρασκευάζειν φησὶ τὸν οἶνον τοῖς χρωμένοις* 'γέλωτα — εὐβουλίαν'. εὐμάθειαν C, ἀμαθίαν Wagner in ed. Didot. εὐβουλίαν in δυσθυμίαν mutat F. G. Schmidt *Krit. Stud.* 3 p. 16. ad Διόνυσον versum refert Welcker.

16

τῶν χρωμένων γὰρ τοῖς τρόποις κεράννυται.

Aristot. Probl. 3, 16 p. 873 a 25: *διὰ τί ὁ οἶνος καὶ τετυφωμένους ποιεῖ καὶ μανικούς; — ὥσπερ Χαιρήμων εἶπε* 'τῶν — κεράννυται'. Plut. de Pythiae oraculis c 23 p. 406 B: *ὁ μὲν γὰρ οἶνος, ὡς ἔλεγε Χαιρήμων, τοῖς τρόποις κεράννυται τῶν πινόντων.* Ath. XIII p. 562 E: *Θεόφραστος δ' ἐν τῷ Ἐρωτικῷ Χαιρήμονα φησὶ τὸν τραγικὸν λέγειν ὡς τὸν οἶνον τῶν χρωμένων* (τοῖς τρόποις add. Grotius) *κεράννυσθαι, οὕτως καὶ τὸν Ἔρωτα.* Anecd. Paris. vol. 1 p. 167, 15: *Πλάτων δὲ ὁ κωμῳδοποιὸς ἔλεγε τὸν οἶνον μίγνυσθαι τοῖς τῶν πινόντων τρόποις.* ubi mox p. 167, 22: *ἄρα οὖν τοῖς τρόποις τῶν χρωμένων ὁ οἶνος μιγνύμενος κιρνᾶται.* Stob. Ecl. 2, 33, 12 p. 256, 25: *Ἀριστοτέλους. ὥσπερ ὁ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ ἡ φιλία τοῖς τῶν χρωμένων ἤθεσι.*

17

ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν
ὕδωρ τε ποταμοῦ σῶμα διεπεράσαμεν

Ath. II p. 43 C: *τὸ ὕδωρ ποταμοῦ σῶμα φησί που Εὔβουλος ὁ κωμικὸς εἰρηκέναι Χαιρήμονα τὸν τραγικόν* 'ἐπεὶ — διεπεράσαμεν'. Eust. Od. p. 1545, 50: *ἐνταῦθα δὲ χρήσιμον καὶ τὸ* 'ἐπεὶ — διεπεράσαμεν', *ὃ δὴ Χαιρήμονος λέγεται εἶναι τοῦ τραγικοῦ.* cf. Meinek. Com. 3 p. 266.

18

χρεία δ' ἀνάγκης οὐκ ἀπῴκισται πολύ.

Stob. Ecl. 1, 4, 2a p. 70, 23: *Χαιρήμονος* (lemma hic om. FP, sed praecedentis eclogae versui 2 *αιρήμονος* apponit F). '*χρεία — πολύ*'. *ἀπῴκισται μακράν* conieci in Iambl. de vita Pyth. p. 211.

19

ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη.

Stob. Ecl. 1, 6, 15 p. 87, 2: *Χαιρήμονος* (sic P, *αιρήμονος* insequenti versui apponit F). '*ἅπαντα — τύχη*'. idem senarius legitur in Menandri et Philist. comp. v. 22, ubi *τύχην* cod. *ἅπαντα κινεῖ* coni. Heimsoeth. Stobaeus continuo subiungit *οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς* (*μὴ θελησάσης* Meineke) *τύχης*, quae verba comici poetae esse suspicor.

20

σχολῇ βαδίζων ὁ χρόνος ἀφικνεῖται τὸ πᾶν.

Stob. Ecl. 1, 8, 30 p. 98, 13: *Χαιρήμονος* (*αιρήμονος* F, *χαιρήμον* P). '*σχολῇ — τάν*'. *ἀφικνεῖται τὰν* FP, *ἀφικνεῖται τὸ πᾶν* Grotius, *ἐκφανεῖ τὸ πᾶν* Meineke.

21

οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ὅτι
οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται.

Stob. Ecl. 1, 8, 32 p. 98, 19: *Χαιρήμονος*. '*οὐκ ἔστιν — ἐξευρίσκεται*'. idem locus sine lemmate extat in Stob. Ecl. 1, 8, 4 p. 94, 8. v. 1 cf. *οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον* Eur. Hec. 805 et fr. 1048, 1. v. 2 *οὐ κἂν χρόνῳ* malim. *ζητοῦσιν* ecl. 4, *γε ζητοῦσιν* ecl. 32. fortasse *ζητοῦσί γ'* legendum.

22

χρόνος μαλάσσει πάντα κἀξεργάζεται.

Stob. Ecl. 1, 8, 33 p. 99, 2: *τοῦ αὐτοῦ* (lemma om. P, eclogae 33 et 34 apponit F). '*χρόνος — κἀξεργάζεται*'.

23

ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει.

Stob. Flor. 3, 17: *οὐχ ὡς νομίζεις τὸ φρονεῖν εἶπας κακῶς. τό τοι κράτιστον πανταχοῦ τιμητέον.* '*ὁ γὰρ — ἔχει*'. v. 1 et 2 om. MA, a S omnino absunt primi tituli. versui 2 *Χαιρήμονος*

lemma apponit Trinc., versui 3 A, Sophocli tertium versum tribuit Apostolius p. 765, 1. tria esse fragmenta recte, ut opinor, coni. Gaisford. cf. adesp. fr. 518.

24

οὐ ζῶσιν οἵ τι μὴ συνιέντες σοφόν.

Stob. Flor. 4, 14: *Χαιρήμονος.* '*οὐ — σοφόν*'.

25

πρὶν γὰρ φρονεῖν εὖ καταφρονεῖν ἐπίστασαι.

Stob. Flor. 4, 15: *τοῦ αὐτοῦ* (sc. *Χαιρήμονος*). '*πρὶν γὰρ φρονεῖν εὖ καταφρονεῖν ἐπίστασαι. οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν. σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ*'. sic edidit Gaisford, sed v. 2 om. MA, qui v. 1 et 3 bis *τοῦ αὐτοῦ* praefigunt. *πρὶν μέγα φρονεῖν γὰρ* (*πρὶν καταφρονεῖν γὰρ* C. F. Mueller de pedibus solutis in trag. min. fr. p. 20) *εὖ φρονεῖν ἐπίστασο* proposui in Eur. vol. 3 p. XIX. similiter (*πρὶν γὰρ φρονεῖν μέγ' εὖ φρ. ἐπ.*) F. G. Schmidt *Krit. Stud.* 2 p. 471. apte Th. Gomperz admonet Plat. Lys. p. 210 D: *οἷόν τε οὖν ἐπὶ τούτοις, ὦ Λύσι, μέγα φρονεῖν, ἐν οἷς τις μήπω φρονεῖ;*

26

σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ.

Stob. Flor. 4, 15. vide fr. 25.

27

ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν.

Stob. Flor. 12, 15: *Χαιρήμονος.* '*ψευδῆ — λέγειν*'. *ἐσθλῆσιν* M.

28

ἡγοῦ δ' ἐν ὀργῇ πάντα γίγνεσθαι κακά.

Stob. Flor. 20, 15: *Χαιρήμονος.* '*ἡγοῦ — κακά*'. *γίνεσθαι* SMA.

29

ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.

Stob. Flor. 20, 16: *τοῦ αὐτοῦ* (sc. *Χαιρήμονος*). '*ὀργὴ — κακά*'. *πολλοὺς* Stob., *πολλὰ* Men. mon. 429.

30

ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα.

Stob. Flor. 22, 10: *Χαιρήμονος.* ‘*ὅλως — μέγα*’. *ὅλως τὸ κρεῖσσον* SMA, *ὅλως γὰρ τὸ κρεῖσσον* Brux., *ἐσθλοὺς τὸ κρεῖσσον* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 16.

31

σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς
κρίνειν, τὸ δ' εἰκῇ καὶ μετὰ σπουδῆς κακόν.

Stob. Flor. 46, 8: *Χαιρήμονος.* ‘*σοφῶν — κακόν*’.

32

γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.

Stob. Flor. 68, 22: *Χαιρήμονος.* ‘*γυναῖκα — γαμεῖν*’. idem versus legitur in Men. mon. 95 et Exc. Vindob. 40. *Χαιρήμονος* in *Φιλήμονος* mutandum esse probabiliter coni. Meineke Com. 4 p. 690. *γυναῖκα γὰρ θάπτειν* Exc. Vind. *κρεῖττόν* Stob., *κρεῖσσόν* Men. mon., om. Exc. Vind.

33

γένοιτό μοι τὰς χάριτας ἀποδοῦναι πατρί.

Stob. Flor. 79, 25: *Χαιρήμονος* (sic MA, eclogam om. S). ‘*γένοιτό — πατρί*’.

34

βούλου γονῆς πρώτιστον ἐν τιμαῖς ἔχειν.

Stob. Flor. 79, 30: *Φιλήμονος.* ‘*βούλου — ἔχειν*’. Flor. 79, 31: *Χαιρήμονος.* ‘*βεβαιοτέραν ἔχε τὴν φιλίαν πρὸς τοὺς γονεῖς*’. lemmata transponenda esse suspicor. *γονεῖς* Stob. et Men. mon. 72, *γονῆς* scripsi. *πρώτιστον*] *πρὸ παντὸς* Men. mon.

35

πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.

Stob. Flor. 83, 14: *Χαιρήμονος.* ‘*πρὸς — πατήρ*’. versus recurrit in Men. mon. 451 et 701.

36

πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰὼν
οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης τυχεῖν,
ἀλλ' ἔστι σεμνός· ἐν δὲ δόσει βροτῶν
ἡδὺς συνοικεῖν καί τιν' εἰληχὼς χάριν.

Stob. Flor. 91, 11: *Χαιρήμονος.* ‘*πλοῦτος — χάριν*’. v. 1 *τὰς*

ὅλας τιμὰς verba corrupta, *τὰς πόλεως τιμὰς* coni. Meineke, *τὰς ἁμαρτίας* Gomperz Mus. Rhen. 13 p. 479, *τοὺς ἀλιτρίας* Heimsoeth coll. Hesych. 1 p. 124: *ἀλιτρίας· ἁμαρτωλούς*. v. 2 *οὐκ ἔστι σεμνὸς* et v. 3 *ἀλλ' ἔσχεν ὄγκον* scripserim. mox *δόσει* SA, *δώσει* M, *δώμασιν* coni. O. Hense Exerc. crit. p. 25, *λῴοσιν* ego olim temptavi.

37

οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός.

Stob. Flor. 108, 4: *Χαιρήμονος*. '*οὐδεὶς — σοφός*'. Dobree hunc versum Euripidis esse suspicatur, Chaeremoni vindicans Flor. 108, 5 (cf. Men. mon. 707): *πειρῶ τύχης ἄνοιαν ἀνδρείως* (*εὐχερῶς* Men. mon.) *φέρειν*. vide quae diximus in Eur. fr. 174.

38

γέρων γὰρ ὀργῇ πᾶς ὑπηρετεῖν κακός.

Stob. Flor. 116, 25: *Χαιρήμονος* (sic MA, eclogam om. S). '*γέρων — κακός*'. *γέρων δ' ἔρωτι* apte coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 17 sq.

39

τοῦ τε δυσκαπνωτάτου
φοίνικος ἐκ γῆς ῥιζοφιτύτους φλέβας

Theophr. Hist. plant. 5, 9, 5: *ὁ φοῖνιξ, ὃν δὴ καὶ μάλιστά τινες ὑπειλήφασι δύσκαπνον· ὅθεν καὶ Χαιρήμων ἐποίησε* '*τοῦ τε — φλέβας*'. v. 1 *δυσκαπνοτάτου* ante Scaligerum. v. 2 *ῥιζοφοιτήτους* ante Schneidewinum.

40

Georgius Pachym. in Rhet. vol. 1 p. 553, 21: *Χαιρήμων ἔφη* '*πάντα τὰ ἀγαθὰ ἐν μόνῳ τῷ φρονεῖν ἐστιν*'. Chaeremonem dixisse *ἅπαντα τἀγάθ' ἐν μόνῳ 'στι τῷ φρονεῖν* coni. Pappageorgius *Κριτ. καὶ ἑρμην.* p. 51, item *πάντα τἀγαθὰ | ἐν τῷ φρονεῖν ἔνεστιν* temptare possis.

41

ἔαρος ἡ νύμφη τέκνον τι μετὰ θέρους ἐς ὕστερον,
ἐν χειμῶνι δ' οἴχεται σὺν τῷ ἀνέμῳ κεκαρμένη.

Cocondrius *περὶ τρόπων* in Rhet. vol. 8 p. 789: *αἴνιγμά ἐστι λέξις ἢ λόγος ἀποκρύπτων τὸ νοούμενον διὰ τὰ ἀνακεχωρηκότα τῶν συμβεβηκότων, οἷόν ἐστι Χαιρήμονος* '*ἔαρος — κεκαρμένη*'. *ἄμπελον γὰρ δηλοῖ διὰ τούτου.* poetae verba Meineke in Theocr. p. 323 haec fuisse conicit, *εἴαρος | νύμφη τεκνοῖ τι μέγα θέρους, εἶθ' ὕστερον |*

χειμῶνος οἰχνεῖ συντόμως κεκαρμένη. aliter Schneidewin Philol. 3 p. 125. mihi num tragici hi versus sint dubium videtur.

ANTIPHON

ΑΝΔΡΟΜΑΧΗ

Aristot. Eth. Eud. 7, 4 p. 1239 a 37: *σημεῖον δέ· ἕλοιτ' ἂν ὁ φίλος μᾶλλον, εἰ μὴ ἐνδέχοιτ' ἄμφω, γινώσκειν ἢ γινώσκεσθαι, οἷον ἐν ταῖς ὑπερβολαῖς αἱ γυναῖκες ποιοῦσι, καὶ ἡ Ἀνδρομάχη ἡ Ἀντιφῶντος.*

ΙΑΣΩΝ

1

διετίθουν

Antiatt. p. 90, 5: *διετίθουν· διετίθεσαν. Ἀντιφῶν* (*Ἀντιφάνης* coni. Meineke Hist. crit. p. 316) *Ἰάσονι.*

ΜΕΛΕΑΓΡΟΣ

Aristot. Rhet. 2, 2 p. 1379 b 15: *τοῖς δὲ φίλοις* (sc. *ὀργίζονται*), *ἐὰν μὴ αἰσθάνωνται δεομένων, ὥσπερ ὁ Ἀντιφῶντος Πλήξιππος τῷ Μελεάγρῳ.* Ath. XV p. 673 F: *ἐκδόντος γὰρ τούτου* (Adrantum dicit) *πέντε μὲν βιβλία περὶ τῶν παρὰ Θεοφράστῳ — ζητουμένων, ἕκτον δὲ περὶ τῶν ἐν τοῖς Ἠθικοῖς Νικομαχείοις Ἀριστοτέλους, ἐν οἷς ἀμφιλαφῶς παραθεμένου περὶ τοῦ παρὰ Ἀντιφῶντι τῷ τραγῳδιοποιῷ Πληξίππου καὶ πλεῖστα ὅσα καὶ περὶ αὐτοῦ τοῦ Ἀντιφῶντος εἰπόντος,* (Hephaestion) *σφετερισάμενος καὶ ταῦτ' ἐπέγραψέ τι βιβλίον περὶ τοῦ παρὰ Ξενοφῶντι ἐν τοῖς Ἀπομνημονεύμασιν Ἀντιφῶντος, οὐδὲν ἴδιον προσεξευρών.* huius fabulae fortasse sunt adesp. fr. 80 et 81.

2

οὐχ ἵνα κάνωσι θῆρ', ὅπως δὲ μάρτυρες
ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα.

Aristot. Rhet. 2, 23 p. 1399 b 26: *καὶ τὸ ἐκ τοῦ Μελεάγρου τοῦ Ἀντιφῶντος 'οὐχ — Ἑλλάδα'.* ubi Schol. fol. 45 b 17: *περὶ τοῦ Μελεάγρου ὁ Ἀντιφῶν γράφει ὅτι συνῆλθον τῷ Οἰνεῖ τῷ πατρὶ τοῦ Μελεάγρου οἱ ἔκκριτοι τῶν Αἰτωλῶν, οὐχ ἵνα κτάνωσι τὸν σῦν ἐξελθόντες* (*τὸν συνεξελθόντα* ed.) *τὸν Ἐρυμάνθιον, ἀλλ' ἵνα ἴδωσι τὸν Μελέαγρον ὅπως τὸν θῆρα ἀπέκτεινε καὶ μαρτυρῶσι τοῦτο.* v. 1 *κτάνωσι* libri, *κάνωσι* Meineke Hist. crit. p. 315.

ΦΙΛΟΚΤΗΤΗΣ

3

σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ παθόν.

Stob. Flor. 115, 15: *Ἀντιφάνους ἐκ Φιλοκτήτου* (sic MA, ecl. 15 et 16 uno lemmate *Σοφοκλέους* comprehendit S). '*σοφόν — παθόν*'. v. 1 *ἔχει*] *ἐστὶ* S et m. sec. Voss., ubi *πέλει* m. pr. *ἔφυ* malim. *σοφόν γέ τοὔστι πρὸς τὸ βουλεύειν καλῶς* coni. Bergk. v. 2 *παθόν* MA, *μαθόν* ceteri. in lemmate *Ἀντιφῶντος* coni. Meineke.

INCERTAE FABVLAE FRAGMENTVM

4

τέχνῃ κρατοῦμεν ὧν φύσει νικώμεθα.

Aristot. Mechan. 1 p. 847 a 20: *καθάπερ γὰρ ἐποίησεν Ἀντιφῶν ὁ ποιητής, οὕτω καὶ ἔχει· 'τέχνῃ γὰρ κρατοῦμεν — νικώμεθα'.*

DIONYSIVS

ΑΔΩΝΙΣ

1

νυμφῶν ὑπὸ σπήλυγγα τὸν αὐτόστεγον
σύαγρον ἐκβόλειον εὔθηρον κλύειν,
ὁπλάς τ' ἀπαρχὰς ἀκροθινιάζομαι.

Ath. IX p. 401 F de nomine *σύαγρος*: *Διονύσιος δὲ ὁ τύραννος ἐν τῷ Ἀδώνιδι 'νυμφῶν — ἀκροθινιάζομαι'.* v. 1 *τὸν*] *τὴν* Dindorf, *τόνδ'* coni. Kaibel, qui *αὐτόστεγον* corruptum indicat. v. 2 *σύαγρον, ἀκρόλειον εὔθηρον, κλονῶ* Haupt Opusc. 3 p. 393. v. 3 *ᾧ πλεῖστ' ἀπαρχὰς* vulgo, *ᾧ πλεῖστ' ἀπάργματ'* Meineke (coll. Hesych. 1 p. 227: *ἀπάργματα· ἀπαρχαί*), *ὁπλάς τ' ἀπαρχὰς* Haupt.

ΑΛΚΜΗΝΗ

2

εἰ δ' ἀξιοῖς σοι μηδὲν ἀλγεινόν ποτε
μηδὲν ἔσεσθαι, μακαρίως ἔχεις φρενῶν·
θεῶν γὰρ ἄξειν βίοτον, οὐ θνητῶν δοκεῖς.

Stob. Flor. 98, 30: *Διονυσίου τυράννου Ἀλκμήνης* (sic MA, eclogam om. S). '*εἰ δ' — δοκεῖς*. v. 1 *ἀξίοις* MA, *ἀξιοῖς* Gesner.

v. 2 *Μήδει' ἔσεσθαι* coni. qui titulum fabulae vitiosum esse censebat Elmsley in Eur. Med. p. 74, *μὴ δεῖν' ἔσεσθαι* ego olim temptavi, *δεινόν τ' ἔσεσθαι* Heimsoeth, *μέλλειν ἔσεσθαι* Wecklein Mus. Rhen. 28 p. 179, *μέλημ' ἔσεσθαι* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 18, aptius fuerit *ὦ τᾶν ἔσεσθαι*. v. 3 *ἔξειν* libri, *ἄξειν* F. G. Schmidt.

ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ

Tzetz. Chil. 5, 180: *οὗτος ὁ Διονύσιος πολλὰς μὲν τραγῳδίας ἐν ταῖς Ἀθήναις ἀναγνοὺς δεύτερος, τρίτος ἦλθεν· εἰς Λύτρα δὲ τοῦ Ἕκτορος καλούμενόν τι δρᾶμα ἀναγνωσθὲν ἐνίκησεν πάντας ἐν ταῖς Ἀθήναις.* Nausigene archonte olymp. 103, 1 hanc fabulam scenae commissam esse ex Diod. 15, 74, 1 collegit Clinton Fast. Hell. vol. 2 p. 125 ed. Kr.

ΛΗΔΑ

3

θνητῶν δὲ μηδεὶς μηδέν' ὄλβιόν ποτε
κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ·
ἕν' ἀσφαλὲς γὰρ τὸν θανόντ' ἐπολβίσαι.

Stob. Flor. 105, 2: *Διονυσίου τυράννου ἐκ Λήδας* (sic MA, *ἐκ Λήδας* om. S, *ἐκ Μηδείας* coni. Elmsley). '*θνητῶν — ἐπαινέσαι*'. v. 2 *εὐτελευτήσαντ'* M, *εὐτελήσαντ'* A. v. 3 *ἐν ἀσφαλεῖ — ἐπαινέσαι* libri, *ἕν' ἀσφαλὲς — ἐπολβίσαι* F. G. Schmidt *Krit. Stud.* 3 p. 18 sq.

ΛΙΜΟΣ (?)

Schol. LT Il. *Λ* 515: *οἷον γὰρ ἦν πυρέττοντα τὸν ἥρωα παραλαβεῖν ἢ κενούμενον τὴν γαστέρα ἢ προποτιζόμενον· ταῦτα γὰρ κωμικά, ὡς καὶ τῷ Διονυσίῳ πεποίηται ἐν Λιμῷ τῶν νόσων Ἡρακλῆς, Σειληνὸς δὲ κλύζειν πειρᾶται τὸν Ἡρακλέα.* Eust. Il. p. 859, 49: *γελοῖος οὖν, φασί, καὶ Διονύσιος, ᾧ πεποίηται νοσῶν Ἡρακλῆς καὶ Σιληνὸς κλύζειν αὐτὸν πειρώμενος.* verba *ἐν Λιμῷ τῶν νόσων* variis modis sanare temptarunt, *ἐν Λιμώττοντι νοσῶν* coni. Heyne, *ἐν Λίνῳ νοσῶν* Meineke Hist. crit. p. 420 et Com. 3 p. 554.

INCERTARVM FABVLARVM FRAGMENTA

4

ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.

Plut. de Alexandri fortuna c. 5 p. 338 C: *ὁ δὲ πατὴρ αὐτοῦ* (Dionysii minoris) *τῶν μὲν πολιτῶν μυρίους ἢ καὶ πλείους ἀνελὼν — ἐν δὲ τραγῳδίᾳ γράψας αὐτός* '*ἡ γὰρ — ἔφυ*'. Stob. Flor. 49, 9: *Διονυσίου τυράννου* (sic SA, eclogam om. M). '*ἡ γὰρ — ἔφυ*'. om.

poetae nom. Prov. append. 2, 99. de auctore versus fuisse qui ambigerent docet Prov. Milleri *Mél. de litt. gr.* p. 364: 'ἡ γὰρ — ἔφυ'. τοῦτο Διονυσίῳ τινὲς τῷ Σικελίας τυράννῳ προσάπτουσιν.

5

ὁ τῆς Δίκης ὀφθαλμὸς ὡς δι' ἡσύχου
λεύσσων προσώπου πάνθ' ὅμως ἀεὶ βλέπει.

Stob. Ecl. 1, 3, 19 p. 55, 17: *Διονυσίου.* 'ὁ τῆς — βλέπει'. Theophil. ad Autol. 2, 37 p. 178: ὅτι ὁ θεὸς τὰ πάντα ἐφορᾷ — καὶ περὶ τούτου Διονύσιος εἴρηκεν 'ὁ τῆς — βλέπει'. v. 1 ὡς διὰ σκότου F. G. Schmidt *Krit. Stud.* 3 p. 19. v. 2 λεύσων προσώπῳ πανὸς ὁμόσαι εἰβλέπει Theoph. ὁμῶς pro ὅμως scripsit Canter. πρόσω περ ὄνθ' ὅμως F. G. Schmidt. de sententia cf. adesp. fr. 421, item Heliod. 8, 13: δεινὸς δὲ ὁ τῆς Δίκης ὀφθαλμὸς ἐλέγχειν τὰ κρύφια.

6

ἢ λέγε τι σιγῆς κρεῖσσον ἢ σιγὴν ἔχε.

Stob. Flor. 34, 1: *Διονυσίου* (sic SM, *Εὐριπίδου* Trinc., eclogam om. A). 'ἢ λέγε — ἔχε'. κρεῖττον Stobaeus sicut Men. mon. 208 Macar. 4, 44 Greg. Cypr. Mosq. 3, 61 Prov. append. 3, 7. cf. Stob. Flor. 34, 7: *Πυθαγόρας* ἔλεγε 'χρὴ σιγᾶν ἢ κρείσσονα σιγῆς λέγειν'.

7

ἔπειτα δ' οὐδὲ τοῦτο γιγνώσκεις, ὅτι
τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ;

Stob. Flor. 38, 2: *Διονυσίου.* 'ἔπειτα — φθονεῖ;' fortasse hic locus comici est poetae, cf. Meineke Com. 3 p. 555 et F. G. Schmidt *Krit. Stud.* 3 p. 16. separanda duxi quae continuo accedunt, ἀεὶ τὰ σεμνὰ κτἑ., vide adesp. fr. 530 et 531.

8

αὐτὸς πενόμενος τοῖς ἔχουσι μὴ φθόνει.

Stob. Flor. 38, 6: *Διονυσίου* (sic SMA, *Διογένους* Trinc.). 'λιτὸς — φθόνει'. idem versus est in Men. mon. 43 et Anecd. Boiss. 1 p. 153. αὐτὸς πενόμενος Anecd. Boiss., αὐτὸς πενωθεὶς Men. mon., λιτὸς γενόμενος Stob. τοῖς ἔχουσι Stob. Men. mon., εὐτυχοῦσι Anecd. Boiss. ceterum cf. Meineke Com. 3 p. 555. ab hoc versu separandus est cum Grotio qui accedit, εἰσίν τινες νῦν, οὓς τὸ βασκαίνειν τρέφει (adesp. fr. 533).

9

Δωρὶς τέθνηκεν ἡ Διονυσίου γυνή.

Lucianus adv. indoctum c. 15 vol. 3 p. 112: *λέγεται γὰρ καὶ Διονύσιον τραγῳδίαν ποιεῖν φαύλως πάνυ καὶ γελοίως. — οὗτος τοίνυν πυθόμενος ὡς ἐγγελᾶται, τὸ Αἰσχύλου πυξίον, εἰς ὃ ἐκεῖνος ἔγραφε, σὺν πολλῇ σπουδῇ κτησάμενος αὐτὸς ᾤετο ἔνθεος ἔσεσθαι καὶ κάτοχος ἐκ τοῦ πυξίου, ἀλλ' ὅμως ἐν αὐτῷ ἐκείνῳ μακρῷ γελοιότερα ἔγραφεν, οἷον κἀκεῖνο τὸ 'δωρικὸν — γυνή' καὶ πάλιν 'οἴμοι — ἀπώλεσα'* (fr. 10)· *καὶ τοῦτο γὰρ ἐκ τοῦ πυξίου καὶ τὸ 'αὐτοῖς — βροτῶν'* (fr. 11). *Δωρικὸν ἧκεν* libri, *δωρὶς τέθνηκεν* C. F. Hermann. versiculus iste num in tragoedia locum habuerit, dubitari potest.

10

οἴμοι, γυναῖκα χρησίμην ἀπώλεσα.

Lucian. adv. indoctum c. 15, vide fr. 9.

11

αὑτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν.

Lucian. adv. indoctum c. 15, vide fr. 9. Tzetzes Epist. p. 3: *μήπως καὶ — ἀκούσειαν τὴν Διονυσίου τραγῳδίαν ἐπᾴδοντος αὐτοῖς προσαρμόζουσαν. φησὶ γὰρ ἐκεῖνος ὁ τύραννος οὑτωσὶ μετρικῶς ἐκβοῶν 'αὑτοῖς — βροτῶν'.* Tzetz. Chil. 5, 185: *ἐν δὲ τῷ κατὰ Πλάτωνος δράματι γεγραμμένῳ πλέον κωμικωτέρῳ μὲν ἢ τραγῳδίας ὄντι, δοκῶ, τὸν στίχον ἔλεξεν ὃς τῇ ἀρχῇ ἐγράφη 'αὑτοῖς — βροτῶν'. αὑτοῖς] αὐτοῖς* Luciani AF.

12

Helladius in Photii Bibl. p. 532 b 27: *παρεζήλωσε δὲ* (Euphorion Chalcidensis) *τὸν πρῶτον Διονύσιον τὸν Σικελίας τύραννον, ὃς — ἐπεχείρησε καὶ τραγῳδίας γράφειν, ἐν αἷς καὶ τοιαῦτα συνεφόρησε ῥήματα, τὸ μὲν ἀκόντιον καλῶν βαλάντιον, τὸν δὲ κάδον ἑλκύδριον, σκέπαρνον δὲ τὸ ἔριον* (cf. Eust. Opusc. p. 46, 39), *τὴν δὲ χλαῖναν ἐριώλην οἷον ὄλεθρον οὖσαν τῶν ἐρίων.* de eodem Dionysio paulo post (p. 532 b 33): *θυέστην τὸν δοίδυκα ἐκάλει.* Ath. III p. 98 D: *ὑπερδραμόντες τὸν Σικελιώτην Διονύσιον, ὃς τὴν μὲν παρθένον ἐκάλει μένανδρον ὅτι μένει τὸν ἄνδρα* (cf. Procl. in Plat. Crat. § 83 p. 43 ed. Boiss.), *καὶ τὸν στῦλον μενεκράτην ὅτι μένει καὶ κρατεῖ, βαλάντιον δὲ τὸ ἀκόντιον ὅτι ἐναντίον βάλλεται, καὶ τὰς τῶν μυῶν διεκδύσεις μυστήρια ἐκάλει ὅτι τοὺς μῦς τηρεῖ. Ἄθανις δ' ἐν πρώτῳ Σικελικῶν τὸν αὐτὸν φησὶ Διονύσιον καὶ τὸν βοῦν γαρόταν καλεῖν καὶ τὸν χοῖρον ἴακχον.* adde Socrat. Epist. 35. ex tragoediis nugas istas derivatas esse non crediderim. cf. Meineke Anal. Alex. p. 136.

CARCINVS

ΑΕΡΟΠΗ

Plut. de gloria Athen. c. 7 p. 349 F: *οὐδὲ ὅτε Καρκίνος Ἀερόπῃ συνῆν ἢ Ἕκτορι Ἀστυδάμας* (vide supra p. 778). idem drama fortasse significat Aristot. Poet. c. 16 p. 1454 b 23: *πρώτη μὲν (ἀναγνώρισις) — ἡ διὰ τῶν σημείων. τούτων δὲ τὰ μὲν σύμφυτα, οἷον ‘λόγχην ἣν φοροῦσι γηγενεῖς’ ἢ ἀστέρας οἵους ἐν τῷ Θυέστῃ Καρκίνος, τὰ δὲ ἐπίκτητα.* neque alio spectare videtur Aelian. V. H. 14, 40: *Ἀλέξανδρος ὁ Φεραίων τύραννος ἐν τοῖς μάλιστα ἔδοξεν ὠμότατος εἶναι. Θεοδώρου δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ* (immo *ὑποκριτοῦ*) *ὑποκρινομένου τὴν Ἀερόπην* (*τὴν Μερόπην* Valckenaer Diatr. p. 182) *σφόδρα ἐμπαθῶς, ὅδε εἰς δάκρυα ἐξέπεσεν.*

ΑΙΑΣ

Prov. Milleri *Mél. de litt. gr.* p. 355: *Αἰάντειος γέλως — λέγουσι δὲ ὅτι Πλεισθένης ὁ ὑποκριτὴς τὸν Καρκίνου Αἴαντα ὑποκρινόμενος εὐκαίρως ἐγέλασε· τοῦ γὰρ Ὀδυσσέως εἰπόντος ὅτι τὰ δίκαια χρὴ ποιεῖν, μετὰ εἰρωνείας ὁ Αἴας τῷ γέλωτι ἐχρήσατο.*

ΑΛΟΠΗ

Aristot. Eth. Nic. 7, 8 p. 1150 b 10: *οὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἡττᾶται ἢ λυπῶν, θαυμαστόν, ἀλλὰ συγγνωμονικόν, εἰ ἀντιτείνων, ὥσπερ ὁ Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἔχεως πεπληγμένος ἢ ὁ Καρκίνου ἐν τῇ Ἀλόπῃ Κερκύων.* Aspasius in Aristot. Eth. Nic. (7, 8 p. 1150 b 10) cuius verba edidit Val. Rose in Herm. 5 p. 105: *ἔοικε δὲ καὶ Καρκίνος εἰσάγειν τὸν Κερκυόνα ἡττώμενον ὑπὸ μεγάλων ἡδονῶν* (l. *ὀδυνῶν*). Schol. Aristot. in Anecd. Paris. vol. 1 p. 243, 20: *ὁ Καρκίνος τραγικὸς ἦν. ὁ δὲ Κερκύων εἶχε θυγατέρα τὴν Ἀλόπην· μαθὼν δὲ ὅτι ἐμοιχεύθη ἡ αὐτοῦ θυγάτηρ Ἀλόπη, ἠρώτησεν αὐτὴν τίς ὁ μοιχεύσας, λέγων, εἴ μοι τοῦτον εἴποις, οὐδ' ὅλως ἂν λυπηθείης. εἶτα εἰπούσης τῆς Ἀλόπης τὸν αὐτὴν μοιχεύσαντα οὐκέτι ὁ Κερκύων ὑπὸ τῆς λύπης ἔφερε τὸ ζῆν, ἀλλὰ τὸ ζῆν ἀπελέγετο.*

ΑΜΦΙΑΡΕΩΣ

Aristot. Poet. c. 17 p. 1455 a 26: *σημεῖον δὲ τούτου ὃ ἐπετιμᾶτο Καρκίνῳ· ὁ γὰρ Ἀμφιάραος ἐξ ἱεροῦ ἀνῄει, ὃ μὴ ὁρῶντα* (*ὁρῶντ' ἂν* Vahlen) *τὸν θεατὴν ἐλάνθανεν, ἐπὶ δὲ τῆς σκηνῆς ἐξέπεσε δυσχερανάντων τοῦτο τῶν θεατῶν.*

ΑΧΙΛΛΕΥΣ

1

βαθεῖαν εἰς αὐλῶνα περίδρομον στρατοῦ

Ath. V p. 189 D: *καλοῦσι δ' ἀρσενικῶς τοὺς αὐλῶνας — οἱ καταλογάδην συγγραφεῖς, οἱ δὲ ποιηταὶ θηλυκῶς. Καρκίνος μὲν Ἀχιλλεῖ 'βαθεῖαν — στρατοῦ'.*

ΘΥΕΣΤΗΣ v. ΑΕΡΟΠΗ

ΜΗΔΕΙΑ

Aristot. Rhet. 2, 23 p. 1400 b 9: *ἄλλος τόπος τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν ἢ ἀπολογεῖσθαι, οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ οἳ μὲν κατηγοροῦσιν ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς· ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων· ἣ δ' ἀπολογεῖται ὅτι οὐκ ἂν τοὺς παῖδας, ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινεν· τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν.*

ΟΙΔΙΠΟΥΣ

Aristot. Rhet. 3, 16 p. 1417 b 18: *ἂν δ' ᾖ ἄπιστον, ὑπισχνεῖσθαί τε καὶ αἰτίαν λέγειν εὐθύς, καὶ διατάττειν οἷς βούλονται, οἷον ἡ Ἰοκάστη ἡ Καρκίνου ἐν τῷ Οἰδίποδι ἀεὶ ὑπισχνεῖται πυνθανομένου τοῦ ζητοῦντος τὸν υἱόν.*

ΟΡΕΣΤΗΣ

Phot. Lex. p. 132, 20 et Suidas: *Καρκίνου ποιήματα. Μένανδρος Ψευδηρακλεῖ· αἰνιγματώδη. ὁ γὰρ Καρκίνος Ὀρέστην ἀπὸ ἡλίου* (*ἀπὸ ἰλίου* Suid., *ὑπὸ Μενελάου* coni. Hemsterhuys, *ὑπὸ Ἀπόλλωνος* Dobree in Phot. p. 710, *ὑπ' Οἴακος* C. Robert de Apollod. bibl. p. 94) *ἀναγκαζόμενον ὁμολογῆσαι ὅτι ἐμητροκτόνησεν, ἐποίησε δι' αἰνιγμάτων ἀποκρινόμενον.*

ΣΕΜΕΛΗ

2

Ὦ νύκτες

Ath. XIII p. 559 F, vide fr. 3.

3

ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν;
ἀρκοῦν ἂν εἴη, κἂν γυναῖκ' εἴπῃς μόνον.

Ath. XIII p. 559 F: *Καρκίνος δ' ὁ τραγικὸς ἐν Σεμέλῃ, ἧς ἀρχὴ 'ὦ νύκτες', φησίν 'ὦ Ζεῦ — μόνον'.* v. 1 *γυναῖκά σ' ἐξειπεῖν* Herwerden Exerc. crit. p. 73.

ΤΥΡΩ

4

ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς·
ἔχων γὰρ ἄμφω ταῦτα μακάριός θ' ἅμα
κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται.

Stob. Flor. 103, 3: *Καρκίνου Τυρεύς* (sic SMA, *Carcinus in Tereo* Gesner, *Καρκίνου Τηρεύς* ed. Gaisford, ego *Καρκίνου Τυροῦς* malim). '*ἀσκεῖν — δυνήσεται*'. v. 2 *ἔχων* libri, *οὔχων* Herwerden Exerc. crit. p. 73. *μακάριος θάμα* M. v. 3 *τἀγαθὸς* A.

INCERTARVM FABVLARVM FRAGMENTA

5

λέγουσι Δήμητρός ποτ' ἄρρητον κόρην
Πλούτωνα κρυφίοις ἁρπάσαι βουλεύμασιν
δῦναί τε γαίας εἰς μελαμφαεῖς μυχούς·
πόθῳ δὲ μητέρ' ἠφανισμένης κόρης
μαστῆρ' ἐπελθεῖν πᾶσαν ἐν κύκλῳ χθόνα· 5
καὶ γῆν μὲν Αἰτναίοισι Σικελίας πάγοις
πυρὸς γέμουσαν ῥεύμασιν δυσεμβόλοις
πᾶσαν στενάξαι, πένθεσιν δὲ παρθένου
σίτων ἄμοιρον Διοτρεφὲς φθίνειν γένος,
ὅθεν θεὰς τιμῶσιν ἐς τὰ νῦν ἔτι. 10

Diod. Sic. 5, 5, 1: *Καρκίνος μὲν γὰρ ὁ τῶν τραγῳδιῶν ποιητὴς πλεονάκις ἐν ταῖς Συρακούσαις παρεπιδεδημηκὼς καὶ τὴν τῶν ἐγχωρίων τεθεαμένος σπουδὴν περὶ τὰς θυσίας καὶ πανηγύρεις τῆς τε Δήμητρος καὶ Κόρης, κατεχώρισεν ἐν τοῖς ποιήμασι τούσδε τοὺς στίχους* '*λέγουσι — τὰ νῦν ἔτι*'. v. 1 *λέγουσι* om. A. v. 2 *Πλούτων* AB. *βουλεύμασι* ed. v. 3 *μελαμβαθεῖς* Cobet Coll. crit. p. 254. at *μελαμφαὲς ἔρεβος* Eur. Hel. 518, *κελαινοφαὴς ὄρφνα* Ar. Ran. 1331, *μελαμφα⟨έω⟩ν τε βερέθρων* Hymn. Isid. (Epigr. Kaib. 1028) v. 43, *atro lumine fumantis* Verg. Aen. 7, 457. cf. Valckenaer in Eur. Phoen. 1017. v. 4 *μητρὸς* B. v. 6 *τὴν* vulgo, *γῆν* scripsi. *Αἰτναίοις* ABD. *Σικελίαν* Rhodoman. v. 8 *παρθένους* ABD. v. 9 *ἄμοιρος διοτροφοὺς* FG. v. 10 *θεᾶς* D.

6

οὐ κεῖνος ἐξέστησε· τὰς γὰρ ἐμφύτους
ὀρθῶς παγείσας . . . . . φρένας
οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.

Harpocr. v. *Καρκίνος* p. 106, 10: *περὶ δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ τοῦ Ξενοκλέους υἱοῦ Λυσίας ἐν τῷ πρὸς Μνησίμαχον φησί· συντίθεται δὲ τούτοις καὶ Καρκίνος ὁ ποιητὴς εἰπών 'οὐ κεῖνος — ἐξαμαρτάνειν'.* v. 1 *νοῦ* (ita iam Valesius) *κεῖνος ἐξέστηκε* coni. Valckenaer, *οὐκ οἶνος ἐξέστησε* Luzac, *οὐ κέρδος ἐξέστησε* F. G. Schmidt *Krit. Stud.* 3 p. 19 sq. v. 2 *παγείσας φρένας* AB, *παγείσας μὲν φρένας* al., *παγείσας* ⟨*ἀνδρὸς εὐγενοῦς*⟩ *φρένας* F. G. Schmidt. v. 3 *καιρὸν* BC. v. 2 et 3 olim proposui *ὀρθῶς παγείσας ἐξαμαρτάνειν φρένας οὐδεὶς ἐπαίρει* (vel *ἐπαρεῖ*) *καιρός.*

7

πολλῶν γὰρ ἀνθρώποισι φάρμακον κακῶν
σιγή, μάλιστα δ' ἐστὶ σώφρονος τρόπου.

Stob. Flor. 33, 1: *Καρκίνου* (sic SM, eclogam om. A). *'πολλοῖς — τρόπου'.* v. 1 *πολλῶν* scripsi, *πολλοῖς* SM. *φάρμακον κακὸν* M.

8

χαίρω σ' ὁρῶν φθονοῦντα, τοῦτ' εἰδὼς ὅτι
ἓν δρᾷ μόνον δίκαιον ὢν ποιεῖ φθόνος·
λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα τοὺς κεκτημένους.

Stob. Flor. 38, 18: *Καρκίνου* (sic SMA, lemma om. Brux.). *'χαίρω — κεκτημένους'.* v. 1 *χαίρειν σ' ἐῶ φθονοῦντα* F. G. Schmidt *Krit. Stud.* 1 p. 85. v. 2 *ἴδιον* SMA, *ἥδιον* Brux., *δίκαιον* Porson. *ποεῖ* malim. v. 3 *αὐτὸ κτῆμα* coni. Wakefield, *αὖ τὸ κτῆμα* Welcker Tragod. p. 1067, *αὐτοὺς κτῆμα* F. G. Schmidt, *αὐτόχρημα* ego olim scripsi.

9

. . *δειλόν ἐσθ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.*

Stob. Flor. 93, 8: *Καρκίνου* (sic MA, eclogam om. S). *'δεινόν — κακόν'. δεινόν* MA, *δειλόν* Grotius. Eur. Phoen. 597: *δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.* Carcini locus fortasse excidit.

10

ὦ πολλὰ πλοῦτος δυστυχέστατος κυρῶν
ὅμως μέγιστον ζῆλον ἐν βροτοῖς ἔχει.

Stob. Flor. 93, 11: *Καρκίνου* (sic A, *καρκῖνος* M, eclogam om. S). *'ὦ πολλὰ — ἔχει'.* v. 1 *ὁ πολλὰ* Grotius, *ὡς πολλὰ* Valckenaer, ego *ἐς πολλὰ* praefero (cf. Eur. Phoen. 619 1643 fr. 45). *ὦ πολλὰ* servans v. 2 *ἔχεις* requirit Meineke.

THEODECTES

ΑΙΑΣ

Aristot. Rhet. 2, 23 p. 1399 b 28: *καὶ τὸ ἐκ τοῦ Αἴαντος τοῦ Θεοδέκτου, ὅτι ὁ Διομήδης προείλετο Ὀδυσσέα οὐ τιμῶν, ἀλλ' ἵνα ἥττων ᾖ ὁ ἀκολουθῶν.* ibid. p. 1400 a 27: *οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα, διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος οὐ δοκεῖ.* hinc patet *ὅπλων κρίσιν* fuisse fabulae argumentum.

ΑΛΚΜΕΩΝ

1

σαφὴς μὲν ἐν βροτοῖσιν ὑμνεῖται λόγος
ὡς οὐδέν ἐστιν ἀθλιώτερον φυτὸν
γυναικός.

Porphyr. in Euseb. P. E. X p. 466 D: *τοῦ δὲ Εὐριπίδου εἰπόντος* (Med. 231) '*γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν*', *Θεοδέκτης* (*Θεόδεκτος* CFG) *ἐν Ἀλκμαίωνι φησί* '*σαφὴς — γυναικός*'.

2

⟨ΑΛΦ.⟩ *μητέρα δὲ τὴν σὴν οὔτις ἐστύγει βροτῶν;*
⟨ΑΛΚ.⟩ . . . *ἀλλὰ διαλαβόντα χρὴ σκοπεῖν.*
⟨ΑΛΦ.⟩ *πῶς;*
⟨ΑΛΚ.⟩ *τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν.*

Aristot. Rhet. 2, 23 p. 1397 b 3: *δεῖ σκοπεῖν χωρὶς εἰ ἄξιος ὁ παθὼν παθεῖν καὶ ὁ ποιήσας ποιῆσαι, εἶτα χρῆσθαι ὁποτέρως ἁρμόττει· ἐνίοτε γὰρ διαφωνεῖ τὸ τοιοῦτον καὶ οὐδὲν κωλύει, ὥσπερ ἐν τῷ Ἀλκμαίωνι* (*ἀλκμέονι* A^c) *τῷ Θεοδέκτου* '*μητέρα — βροτῶν;*' (v. 1) *φησὶ δ' ἀποκρινόμενος* '*ἀλλὰ — σκοπεῖν*' (v. 2). *ἐρομένης δὲ τῆς Ἀλφεσιβοίας* '*πῶς;*' *ὑπολαβὼν φησί* '*τὴν μὲν — κτανεῖν*' (v. 4). cf. Schol. h. l. fol. 43 b 20 et 24. personarum notas addidi. v. 2 *ἅπαντες* ego suppleverim, *μάλιστά γ'* Herwerden Exerc. crit. p. 78. *διαλαβόντα χρὴ* A^c, *διαλαβόντας* ceteri.

ΕΛΕΝΗ

Hanc fabulam Welcker Tragod. p. 1074 respici suspicatur ab Aristot. Rhet. 2, 24 p. 1401 b 35: *ἄλλος παρὰ τὴν ἔλλειψιν τοῦ πότε καὶ πῶς, οἷον ὅτι δικαίως Ἀλέξανδρος ἔλαβε τὴν Ἑλένην· αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός· οὐ γὰρ ἀεὶ ἴσως, ἀλλὰ τὸ πρῶτον· καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος.*

3

θείων δ' ἀπ' ἀμφοῖν ἔκγονον ῥιζωμάτων
τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν;

Aristot. Polit. 1, 6 p. 1255 a 37: *τοὺς δὲ βαρβάρους οἴκοι μόνον* (sc. *εὐγενεῖς νομίζουσιν*), *ὡς ὄν τι τὸ μὲν ἁπλῶς εὐγενὲς καὶ ἐλεύθερον, τὸ δ' οὐχ ἁπλῶς· ὥσπερ ἡ Θεοδέκτου Ἑλένη φησί 'θεῖον — λάτριν;'* v. 1 *ἔκγονον*] *ἐκγόνοι* et *ἐκ γόνοιν* al.

ΛΥΓΚΕΥΣ

Aristot. Poet. c. 18 p. 1455 b 29: *ἐν τῷ Λυγκεῖ* (sic apogr., *λυκεῖ* cod.) *τῷ Θεοδέκτου δέσις μὲν τά τε προπεπραγμένα καὶ ἡ τοῦ παιδίου λῆψις, καὶ πάλιν ἡ αὐτῶν δὴ ⟨ἀπαγωγή⟩, λύσις δ' ἡ ἀπὸ τῆς αἰτιάσεως τοῦ θανάτου* (*τοῦ Δαναοῦ* coni. Vahlen) *μέχρι τοῦ τέλους.* ubi *ἀπαγωγή* addidit Vahlen. cf. c. 11 p. 1452 a 27: *καὶ ἐν τῷ Λυγκεῖ ὁ μὲν ἀγόμενος ὡς ἀποθανούμενος, ὁ δὲ Δαναὸς ἀκολουθῶν ὡς ἀποκτενῶν· τὸν μὲν συνέβη ἐκ τῶν πεπραγμένων ἀποθανεῖν, τὸν δὲ σωθῆναι.* hinc argumentum dramatis summatim describere conatus est Odofr. Mueller Graecorum de Lynceis fabulas referens, Gotting. 1837 p. 11. cf. Welckeri Tragod. p. 1076 sq.

ΜΑΥΣΩΛΟΣ

Gellius N. A. 10, 18, 7: *exstat nunc quoque Theodecti tragoedia quae inscribitur Mausolus, in qua eum magis quam in prosa placuisse Hyginus in exemplis refert.* cf. Suid. v. *Θεοδέκτης*. de argumento huius tragoediae coniecturas protulerunt admodum incertas O. Ribbeck Mus. Rhen. 30 p. 146 sq. et Egger *Journal des savants* 1881 p. 504—508.

ΟΙΔΙΠΟΥΣ

4

εἰσὶ κασίγνηται διссαί, ὧν ἡ μία τίκτει
τὴν ἑτέραν, αὐτὴ δὲ τεκοῦσ' ὑπὸ τῆσδε τεκνοῦται.

Ath. X p. 451 F allato Theodect. fr. 18 haec addit: *κἀν τῷ Οἰδίποδι δὲ τῇ τραγῳδίᾳ* (*κἀν ταὐτῇ δὲ τῇ τραγῳδίᾳ* coni. R. Methner progr. a. 1882 p. 8 sq.) *τὴν νύκτα καὶ τὴν ἡμέραν εἴρηκεν αἰνιττόμενος 'εἰσὶ — τεκνοῦται'.* eosdem versus afferunt Tryphon in Rhet. vol. 8 p. 734 Moschop. Opusc. p. 75 Georg. Choerob. in Rhet. vol. 8 p. 816. in Anthol. Pal. 14, 40 duo accedunt versus inepti,

ὥστε κασιγνήτας οὔσας ἅμα καὶ συνομαίμους
αὐτοκασιγνήτας κοινῇ καὶ μητέρας εἶναι.

v. 1 *διτταὶ* Ath. Moschop., *δισσαὶ* Tryph. *κασίγνηται δύ' ἀδελφεαί· ἡ μία* Anth. Oedipi esse fr. 18 probabiliter coni. Methner.

ΟΡΕΣΤΗΣ

5

δίκαιόν ἐστιν, ἥτις ἂν κτείνῃ πόσιν

Aristot. Rhet. 2, 24 p. 1401 a 35: *τὸ ἐν τῷ Ὀρέστῃ τοῦ Θεοδέκτου· ἐκ διαιρέσεως γάρ ἐστιν. 'δίκαιόν — πόσιν,' ἀποθνήσκειν ταύτην, καὶ τῷ πατρί γε τιμωρεῖν τὸν υἱόν· οὐκοῦν καὶ ταῦτα πέπρακται· συντεθέντα γὰρ ἴσως οὐκέτι δίκαιον.*

ΤΥΔΕΥΣ

Aristot. Poet. c. 16 p. 1455 a 9: *τετάρτη δὲ* (sc. *ἀναγνώρισις*) *ἡ ἐκ συλλογισμοῦ, οἷον — ἐν τῷ τοῦ Θεοδέκτου Τυδεῖ, ὅτι ἐλθὼν ὡς εὑρήσων υἱὸν αὐτὸς ἀπόλλυται.*

ΦΙΛΟΚΤΗΤΗΣ

Aristot. Eth. Nic. 7, 8 p. 1150 b 9: *οὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἡττᾶται ἢ λυπῶν, θαυμαστόν, ἀλλὰ συγγνωμονικόν, εἰ ἀντιτείνων, ὥσπερ ὁ Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἔχεως πεπληγμένος.* Aspasius in Aristot. Eth. Nic. quem locum edidit V. Rose Herm. 5 p. 105: *ὁ παρὰ τῷ Θεοδέκτῃ Φιλοκτήτης ὑπὸ τῆς ἔχεως πεπαρμένος κρύπτειν βουλόμενος τοὺς περὶ τὸν Νεοπτόλεμον μέχρι μέν τινος ἀνέχει* (l. *ἀντέχει*), *ὕστερον δὲ οὐχ ὑπομένων τὸ μέγεθος τῶν ἀλγηδόνων φανερὸς γίνεται.* Schol. Aristot. in Anecd. Paris. vol. 1 p. 243, 15: *Θεοδέκτης τραγικὸς ἦν, καὶ παράγει τὴν χεῖρα δεδηγμένον τὸν Φιλοκτήτην ὑπὸ ὄφεως· καὶ μέχρι μὲν πολλοῦ ἀντέτεινε πρὸς τὰς λύπας καὶ τοὺς πόνους, ὕστερον δὲ ἡττήθη καὶ ἐβόα 'κόψατε τὴν ἐμὴν χεῖρα'.* noli credere Theodectae ista esse verba.

INCERTARVM FABVLARVM FRAGMENTA

6

γραφῆς ὁ πρῶτος ἦν μαλακόφθαλμος κύκλος·
ἔπειτα δισσοὶ κανόνες ἰσόμετροι πάνυ,
τούτους δὲ πλάγιος διαμέτρου συνδεῖ κανών,
τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές.
ἔπειτα τριόδους πλάγιος ὡς ἐφαίνετο, 5
πέμπται δ' ἄνωθεν ἰσόμετροι ῥάβδοι δύο,
αὗται δὲ συντείνουσιν εἰς βάσιν μίαν·
ἕκτον δ' ὅπερ καὶ πρόσθεν εἶφ', ὁ βόστρυχος.

Ath. X p. 454 E: *καὶ Θεοδέκτης δ' ὁ Φασηλίτης ἄγροικόν τινα ἀγράμματον παράγει καὶ τοῦτον τὸ τοῦ Θησέως ὄνομα διασημαίνοντα· 'γραφῆς — βόστρυχος'.* v. 1 *μαλακόφθαλμος* corruptum, *καλόφθαλ-*

μος coni. Scaliger, μεσόμφαλος Valckenaer in Eur. Phoen. p. 261, μεσόφθαλμος Welcker Tragod. p. 1079, μακρόφθαλμος Herwerden Exerc. crit. p. 78. κύκλος C, κύκλωι A. v. 2 δισσοὶ Valckenaer, δύο οἱ AC, δοιοὶ Meineke Ath. 4 p. 206. v. 3 διαμέτρου AC, διὰ μέσου Musurus. v. 4 προσεμφερής AC, προσεμφερές Musurus. v. 5 ὥστ' A, ὡς C. v. 6 ἰσόμετροι] ὕπτιοι (vel potius ὕπτιαι) coni. Meineke. v. 8 εἶφ' ὁ C, εἶπ' ὁ A. πρόσθεν εἶπον, βόστρυχος coni. Herwerden, fortasse praestat πρόσθ' ἔφην, ὁ βόστρυχος.

7

ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον.

Stob. Ecl. 1, 1, 1 p. 23, 6: Θεοδέκτου. 'ἀπὸ — πρέπον'. ἐκ τῶν malim.

8

ὅστις δὲ θνητῶν μέμφεται τὰ θεῖ', ὅτι
οὐκ εὐθὺς ἀλλὰ τῷ χρόνῳ μετέρχεται
τοὺς μὴ δικαίους, πρόφασιν εἰσακουσάτω.
εἰ μὲν γὰρ αὐτίκ' ἦσαν αἱ τιμωρίαι,
πολλοὶ διὰ φόβον κοὐ δι' εὐσεβῆ τρόπον 5
θεοὺς ἂν ηὗξον· νῦν δὲ τῆς τιμωρίας
ἄπωθεν οὔσης τῇ φύσει χρῶνται βροτοί·
ὅταν δὲ φωραθῶσιν ἔρδοντες κακά,
τίνουσι ποινὰς ὑστέροισιν ἐν χρόνοις.

Stob. Ecl. 1, 3, 22 p. 56, 10: Θεοδέκτου (lemma versui 1 adscribit F, v. 3 P). 'ὅστις δὲ — ἐν χρόνοις'. v. 4 εἰ μὲν γὰρ παρ' αὐτίκ' FP, εἰ μὲν παραυτίκ' mecum scripsit Wachsmuth. ἦσαν vulgo, ᾖσαν praetuli. v. 5 κοὐ F, καὶ οὐ P. v. 6 ηὔξαντο F P m. sec., ηὔξατο P pr., ηὗξον Meineke *Zeitschr. f. d. Alt.* 1844 p. 13. v. 7 ἄποθεν F P pr. m., ἄπωθεν P m. sec. v. 8 βουραθῶσιν P pr. ὀφθέντες κακοί FP, ἔρξαντες κακά Meineke, ἔρδοντες κακά F. G. Schmidt *Krit. Stud.* 3 p. 20.

9

ἀλλ' ὦ τάλαν Θυέστα, καρτέρει δάκνων
ὀργῆς χαλινόν· παρακελεύομαι δὲ σοὶ
τεθηγμένῳ νῦν· ἀλλ' ὁ μυρίος χρόνος
τὰ πάντ' ἀμαυροῖ χὐπὸ χεῖρα λαμβάνει.

Stob. Ecl. 1, 8, 6 p. 94, 14: Θεοδέκτου. 'ἀλλ' ὦ — λαμβάνει'. v. 1 δαθανὼν F, διαθανὼν (θανὼν m. sec.) P, δάκνων Grotius. v. 2 δέ σοι vulgo. v. 3 τεθειγμένον ἐν F, τεθηγμένον ἐν P, τεθηγμένῳ

νῦν scripsi. *ἄλλοις μυρίοις χρόνοις* FP, *ἀλλ' ὁ μυρίος χρόνος* scripsi, *χρόνος* iam Grotius correxit. v. 4 *καὶ ὑπὸ χεῖρα* FP. coniecerunt ex hoc loco Thyesten tragoediam a Theodecta scriptam esse.

10

ὦ καλλιφεγγῆ λαμπάδ' εἱλίσσων φλογὸς
ἥλιε, ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας,
εἶδές τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν
ἐλθόντ' ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν;
ὅπου κατηγορεῖ μὲν ἐν λόγοισί μου 5
γυνή, πρὸς ὃν δ' εἴρηκε, τυγχάνει πόσις,
κρινοῦσι δ' οἵπερ καὶ κατηγοροῦσί μου.

Stob. Flor. 10, 8: *Θεοδέκτου.* '*ὦ καλλιφεγγῆ — μου*'. v. 3 *οἶδας* A. *τινα ἄλλον πώποτε* S. v. 5 *ἐν λόγοις σίμου* M. v. 6 *δ'* om. M. v. 7 *κρινοῦσι* scripsi, *κρατοῦσι* SMA.

11

πολλὰ δεῖ
μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς·
ῥᾳθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν
λαβοῦσα λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ.

Stob. Flor. 29, 35: *Θεοδέκτου.* '*πολλὰ — φιλεῖ*'. v. 2 *εὐκλεῶς* ineptum, *ἢ κλέος* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 20, *εὐκλεᾶ* Wecklein.

12

ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ
[καὶ πρὸς τελευτὴν ἔρχεται τὰ τοῦ χρόνου]
πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνης·
αὕτη δ' ὅσῳ περ αὔξεται θνητῶν γένος,
τοσῷδε μείζων γίγνεται καθ' ἡμέραν. 5

Stob. Flor. 32, 6: *Θεοδέκτου.* '*ἅπαντ' — ἡμέραν*'. eclogam praebent LSMBrux. v. 2, qui inter lineas legitur in S, manifesto spurius est. *τὰ* LSMBrux., *τὴν* Arsenius p. 303, 13. v. 3 *μόνης* Meineke, *μόνον* libri. v. 4 *αὕτη* S, *αὐτὴ* LMBrux. v. 5 *γίνεται* S. *μείζων αὔξεται* possis conicere secundum Eur. fr. 1029, 5.

13

ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις,
οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον,

ὁμοῦ δὲ τῇδ' ἔτ' εἰσκομίζεται λαβὼν
καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον.

Stob. Flor. 69, 1: *Θεοδέκτου.* '*ὅταν — τοὐναντίον*'. v. 3 *τῇδέ τ' εἰσκομίζεται* libri, *τῇδ' ἔτ' εἰσκομίζεται* scripsi. *μόνην* malim. tragici poetae hos esse versus, non comici, ut ipse dubitans opinabatur Meineke vol. 4 p. 691, demonstrat Cobet N. L. p. 47. itaque quod Iacobs proposuit *τῇδ' ἐπεισκομίζεται* ferri non potest. iure autem quae Stobaeus Flor. 68, 26 Theodectae tribuit, *παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος κτέ.*, comoediae vindicavit Meineke vol. 4 p. 690. intercidisse illic Theodectae locum coni. O. Hense.

14

γονέων τὰ τέκνα σῴζουσιν αἱ συμβουλίαι.

Stob. Flor. 83, 8: *Θεοδέκτου* (sic MA, ecl. om. S). '*γονέων — συμβουλίαι*'. *τὰ τέκν' ἔσωσαν* coni. Mekler Lect. gr. spec. p. 15.

15

ἐγὼ μὲν οὔποτ' εὐγένειαν ᾔνεσα
τὴν προστάταισι χρωμένην ἀναξίοις.

Stob. Flor. 86, 5: *Θεοδέκτου.* '*ἐγὼ — ἀναξίοις*'. v. 1 *οὔποτ' οὐδεμίαν ἐπῄνεσα γῆν* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 22. v. 2 *ἀναξίως* Arsenius p. 376, 25.

16

πολυσπερὴς μέν, ὦ γέρον, καθ' Ἑλλάδα
φήμη πλανᾶται καὶ διέγνωσται πάλαι,
τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας.

Stob. Flor. 105, 25: *Θεοδέκτου.* '*πολυσπερὴς — τύχας*'. v. 1 *πολυσπερεῖ* SA, *πολύσπερ εἰ* M. v. 3 affert Clemens Alex. Strom. VI p. 745: *ὁ τραγικὸς ὁμοίως Θεοδέκτης γράφει* '*τὸ μὴ — τύχας*'.

17

ἧς ἀγχιτέρμων ἥλιος διφρηλατῶν
σκοτεινὸν ἄνθος ἐξέχρωσε λιγνύος
εἰς σώματ' ἀνδρῶν καὶ συνέστρεψεν κόμας
μορφαῖς ἀναυξήτοισι συντήξας πυρός.

Strab. XV p. 695: (Onesicritus vituperat) *Θεοδέκτην εἰς αὐτὸν τὸν ἥλιον ἀναφέροντα τὸ αἴτιον* (sc. *τοῦ μέλανας εἶναι καὶ οὐλότριχας τοὺς Αἰθίοπας*), *ὅς φησιν οὕτως* '*οἷς — πυρός*'. v. 1 *οἷς*] *ἧς* CDFhi.

v. 2 fort. *αἶθος εἰσέχρωσε* leg., ubi *εἰσέχρωσε* debetur Meinekio. v. 4 *μορφαῖς* vitiosum, *ὀμφαῖς* coni. Porson *Tracts and misc. crit.* p. 231, *φοραῖς* Lobeck Paral. p. 459, *ὁρμαῖς* Meineke Vind. Strab. p. 244, *αὐγαῖς* I. Bernhard Ind. graec. trag. I p. 10. *βολαῖς* (vel *στεροπαῖς*) *ἀναλγήτοισι* Methner progr. a. 1882 p. 8, *ὁρμαῖς ἀνικήτοισι* Herwerden Mnem. nov. 15 p. 452.

18

τίς φύσις οὔθ' ὅσα γαῖα φέρει τροφὸς οὐδ' ὅσα πόντος
οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν,
ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη,
ἐν δὲ μέσαις ἀκμαῖς μικρά, γήρᾳ δὲ πρὸς αὐτῷ
μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων; 5

Ath. X p. 451 E: *Θεοδέκτην δὲ τὸν Φασηλίτην φησὶν Ἕρμιππος — ἱκανώτατον γεγονέναι ἀνευρεῖν τὸν προβληθέντα γρῖφον καὶ αὐτὸν προβαλεῖν ἑτέροις ἐπιδεξίως, οἷον τὸν περὶ σκιᾶς· ἔφη γὰρ εἶναί τινα φύσιν ἣ περὶ τὴν γένεσιν καὶ φθίσιν ἐστὶ μεγίστη, περὶ δὲ τὴν ἀκμὴν ἐλαχίστη. λέγει δ' οὕτως* (*ἐν τῷ Οἰδίποδι* addit Methner progr. a. 1882 p. 8) '*τῆς — ἁπάντων*'. v. 1 *τῆς φύσεως* A, *τίς φύσις* Porson. v. 5 *μεῖζον* A.

CLEAENETVS

1

γεννητόρων ἕκατι κατθανεῖν καλόν.

Stob. Flor. 79, 5: *Κλεαινέτου* (sic M, *κλενε*^{τ} A, lemma om. S, qui cum insequenti ecloga versum coniungit). '*γεννητόρων — καλόν*'.

2

λύπη γὰρ ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον
ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται.

Stob. Flor. 99, 2: *Κλεαινέτου.* '*λύπη — γίγνεται*'. v. 2 *ἐλθόντε μανίαν τοῖς ἔχουσι τίκτετον* coni. Cobet V. L. p. 360.

DIOGENES SINOPENSIS

Diogenis Sinopensis teste Laert. Diog. 6, 80 tragoediae ferebantur septem: *Ἑλένη, Θυέστης, Ἡρακλῆς, Ἀχιλλεύς, Μήδεια, Χρύσ-*

ιππος, *Οἰδίπους*. quas tragoedias alii Philisco Aeginetae tribuerunt (praeter Laert. Diog. cf. Iulian. p. 186 C p. 210 C p. 212 A), alii Pasiphonti cuidam (Laert. Diog. 6, 73). easdem nunquam in scena exhibitas esse ex ipsarum indole, qualis ab Iuliano et Clemente Alex. describitur, recte conclusit Meineke Ath. 4 p. 305 sqq. facile apparet Diogenem Cratetem alios, sicubi tragoedias scriberent, non tam poetas egisse quam philosophos, qui placita sua versibus decantata exponerent et in utramque partem disputando confirmare studerent. ceterum quos versus Plutarcho auctore de Antisthene dixit Diogenes, *ὅς με ῥάκη τ' ἤμπισχε κτἑ.*, ab antiquiore poeta deprompsisse videtur (v. adesp. fr. 394).

ΗΡΑΚΛΗΣ

Tertullianus Apolog. c. 14: *sed et Diogenes nescio quid in Herculem ludit, et Romanus cynicus Varro trecentos Ioves, sive Iupiteres dicendum, sine capitibus introducit.*

ΘΥΕΣΤΗΣ

Laert. Diog. 6, 73: (Diogenes Sinopensis dixit) *μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθνῶν· καὶ τῷ ὀρθῷ λόγῳ πάντα ἐν πᾶσι καὶ διὰ πάντων εἶναι λέγων· καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέας εἶναι καὶ ἐν τῷ λαχάνῳ ἄρτον, καὶ τῶν σωμάτων τῶν λοιπῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων καὶ ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων, ὡς δῆλον ἐν τῷ Θυέστῃ ποιεῖ, εἴ γε αὐτοῦ αἱ τραγῳδίαι καὶ μὴ Φιλίσκου τοῦ Αἰγινήτου ἐκείνου γνωρίμου ἢ Πασιφῶντος τοῦ Λουκιανοῦ* (*Λουσιάτου* coni. Roeper Philol. 3 p. 62, *Ἐρετριακοῦ* Wilamowitz-Moellendorff *Antigonos von Karystos* p. 142), *ὅν φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ μετὰ τὴν τελευτὴν αὐτοῦ συγγράψαι.* Philodemus de philosophis in Herc. vol. VIII col. 14: *τὸ περὶ ⟨τ⟩ῆς ⟨ἀ⟩νθ⟨ρ⟩ωποφα⟨γίας⟩ δόγμα — — Δ⟨ι⟩ογέν . . — — — ⟨Διο⟩γένης ἐν τ⟨ῷ Θυέστῃ⟩ κ⟨αὶ⟩ τῷ Οἰδίποδι.* Theophilus ad Autol. 3, 5 p. 198: *ἀθεωτέρα τις φωνὴ εὑρίσκεται ἡ τοῦ Διογένους διδάσκοντος τὰ τέκνα τοὺς ἑαυτῶν γονεῖς εἰς θυσίαν ἄγειν* (*γονεῖς θυσιάζειν* malim) *καὶ τούτους κατεσθίειν.*

ΟΙΔΙΠΟΥΣ

V. Philodemi locum modo allatum.

INCERTARVM FABVLARVM FRAGMENTA

1

οἱ τῆς ἀνάνδρου καὶ διεσκατωμένης
τρυφῆς ὑφ' ἡδοναῖσι σαχθέντες κέαρ
πονεῖν θέλοντες οὐδὲ βαιά

Clemens Alex. Strom. II p. 492: *τί γὰρ ἕτερον ἡ τρυφὴ ἢ φιλήδονος λιχνεία καὶ πλεονασμὸς περίεργος πρὸς ἡδυπάθειαν ἀνειμένων; ἐμφαντικῶς* (*ἐμφατικῶς* Meineke Ath. vol. 4 p. 306) *ὁ Διογένης ἔν τινι τραγῳδίᾳ γράφει* '*οἵ τῆς — βαιά*', *καὶ τὰ ἐπὶ τούτοις ὅσα αἰσχρῶς μὲν εἴρηται, ἐπαξίως δὲ τῶν φιληδόνων.* v. 2 *ἡδοναῖσιν ἀχθέντες* L, *ἡδοναῖσι σαχθέντες* Meineke Anal. Alex. p. 393.

2

θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.

Theodorus Hyrtac. Epist. 17 in *Notices et Extr.* vol. 5 p. 737: *Διογένη τὸν κύνα θαυμάσομαι σταλαγμὸν τύχης μᾶλλον ἢ πίθον φρενῶν προτιμήσαντα.* versum supra scriptum sine auctoris nomine multi afferunt, cf. Men. mon. 240 Cosmas ad Greg. Naz. in Maii Spicil. Rom. vol. 2 p. 233 Choerob. in Theod. p. 5, 3 Choerob. in Psalm. p. 30, 31 Anecd. Oxon. vol. 1 p. 189, 6 Etym. M. p. 415, 30 Etym. Gud. p. 233, 54 Suid. v. *ἦ*. verba prima *θέλω τύχης σταλαγμόν* habet Eust. Il. p. 651, 28. adde Apophth. Vindob. 2 (Gnomol. Vatic. 97 quod edidit Leo Sternbach *Wiener Stud.* X p. 12): *Ἀλέξανδρος ὁ βασιλεὺς ἰδὼν Διογένην τὸν αὐτὸν κοιμώμενον ἐν πίθῳ εἶπε* '*πίθε μεστὲ φρενῶν*'. *ὁ δὲ φιλόσοφος ἀναστὰς εἶπεν· ὦ βασιλεῦ μέγιστε, θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον, ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες*'. etiam alterum hunc versum Diogeni tribuit C. Wachsmuth *Studien zu den gr. Flor.* p. 140. denique Greg. Naz. vol. 2 p. 156 A: *ἔφησέ τις που τῶν φιλοχρύσων τάδε* '*θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον*'· *πρὸς ὃν τις ἀντέφησε τῶν φιλοφρόνων* '*ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βυθὸς τύχης*'. versus qui est '*ῥανὶς — τύχης*' recurrit Anecd. Oxon. vol. 1 p. 189, 7 Etym. M. p. 415, 31 et 58 Etym. Gud. p. 233, 55. quod constanter scribitur *θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον* dubito num ferri possit: praetulerim *φρενῶν βυθόν* (cf. Plut. Amator. c. 13 p. 757 C: *βυθὸν ἀθεότητος*, Porph. de abst. 1, 42 p. 118, 8: *βυθὸς ἐξουσίας*), neque obstat huic emendationi titulus Inscr. R. Neap. 2175 (sive C. I. 5868 vol. 3 p. 760 Epigr. Kaibel. 1112 p. 502): *θέλω τύχης σταλαγμ⟨ὸ⟩ν ἢ φρενῶν* . ΙΘΟΝ, ubi ΒΥΘΟΝ in lapide primitus extitisse suspicor.

CRATES

1

οὐχ εἷς πάτρα μοι πύργος, οὐ μία στέγη,
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

Laert. Diog. 6, 98: γέγραφε (Crates) καὶ τραγῳδίας ὑψηλότατον (fort. ψιλότατον) ἐχούσας φιλοσοφίας χαρακτῆρα, οἷόν ἐστι κἀκεῖνο 'οὐχ εἷς — πάρα'. v. 1 πάτρας ante Grotium. μία] μία μοι codex Arund. ceterum cf. adesp. 392.

2

οὐκ οἶσθα, πήρα δύναμιν ἡλίκην ἔχει
θέρμων τε χοῖνιξ καὶ τὸ μηδενὸς μέλειν;

Teles in Stob. Flor. 97, 31 p. 274 ed. Gaisf. (p. 216, 22 Mein.): οὐκ ἀηδῶς γὰρ Κράτης 'οὐκ οἶσθα' φησί 'πήρα — μέλειν'. tragoediae eiusdem ac fr. 1 hos versus esse coni. Gomperz *Nachl.* p. 49.

3

ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα,
οὗ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν· ἢν δ' ἔλθῃ ποτέ,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

Stob. Flor. 115, 9: Κράτητος ἐξ Ἀντιφάνους (ἐξ ἀν̂φ̂ S). v. 2 ᾧ libri, οὗ Gesner. θάνατος δ' A. ἐστ' S. v. 3 ἢν] ἂν libri. Sophoclis est qui accedit versus, τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ (fr. 63). lemma scribendum esse Κράτητος ἢ Ἀντιφάνους coni. Meineke Hist. crit. p. 62, qui Antiphanis esse locum suspicatur Com. 2 p. 247.

4

ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

Stob. Flor. 116, 31: Κράτητος (sic S, eclogam om. MA). 'ὁ γὰρ — ἀσθενέστερα'. v. 1 τέκτων με σοφός S Voss. pr. m., τέκτων μὲν σοφός Voss. m. sec., τέκτων οὐ σοφός Trinc. scite Gomperz animadvertit spectari his verbis Critiae fr. 1, 34: χρόνου — τέκτονος σοφοῦ.

PYTHON

ΑΓΗΝ ΣΑΤΥΡΙΚΟΣ

Cf. F. Duhn *Jahrb. f. Philol.* 111 (a. 1875) p. 37 sq.

1

ἔστιν δ' ὅπου μὲν ὁ κάλαμος πέφυχ' ὅδε
φέτωμ' ἄορνον· οὐξ ἀριστερᾶς δ' ὅδε

πόρνης ὁ κλεινὸς ναός, ὃν δὴ Παλλίδης
τεύξας κατέγνω διὰ τὸ πρᾶγμ' αὑτοῦ φυγήν.
ἐνταῦθα δὴ τῶν βαρβάρων τινὲς μάγοι 5
ὁρῶντες αὐτὸν παγκάκως διακείμενον,
ἔπεισαν ὡς ἄξουσι τὴν ψυχὴν ἄνω
τὴν Πυθιονίκης. ἐκμαθεῖν δέ σου ποθῶ
μακρὰν ἀποικῶν κεῖθεν, Ἀτθίδα χθόνα
τίνες τύχαι κατέχουσιν ἢ πράττουσι τί; 10
⟨A.⟩ *ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον,*
ἱκανὸν ἐδείπνουν· νῦν δὲ τὸν χέδροπα μόνον
καὶ τὸν μάραθον ἔσθουσι, πυροὺς δ' οὐ μάλα.
⟨B.⟩ *καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον*
αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάσσονας 15
σίτου διαπέμψαι καὶ πολίτην γεγονέναι.
⟨A.⟩ *Γλυκέρας ὁ σῖτος οὗτος ἦν· ἔστιν δ' ἴσως*
αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών.

Ath. XIII p. 595 F: *μετὰ δὲ τὴν Πυθιονίκης τελευτὴν ὁ Ἅρπαλος Γλυκέραν μετεπέμψατο καὶ ταύτην ἑταίραν, ὡς ὁ Θεόπομπος ἱστορεῖ φάσκων ἀπειρηκέναι τὸν Ἅρπαλον μὴ στεφανοῦν ἑαυτόν, εἰ μή τις στεφανώσειε καὶ τὴν πόρνην. — συνεπιμαρτυρεῖ δὲ τούτοις καὶ ὁ τὸν Ἀγῆνα τὸ σατυρικὸν δραμάτιον γεγραφώς, ὅπερ ἐδίδαξε Διονυσίων ὄντων ἐπὶ τοῦ Ὑδάσπου τοῦ ποταμοῦ, εἴτε Πύθων ἦν ὁ Καταναῖος ἢ ὁ Βυζάντιος ἢ καὶ αὐτὸς ὁ βασιλεύς. ἐδιδάχθη δὲ τὸ δρᾶμα ἤδη φυγόντος τοῦ Ἁρπάλου ἐπὶ θάλατταν καὶ ἀποστάντος. καὶ τῆς μὲν Πυθιονίκης ὡς τεθνηκυίας μέμνηται, τῆς δὲ Γλυκέρας ὡς οὔσης παρ' αὐτῷ καὶ τοῖς Ἀθηναίοις αἰτίας γινομένης τοῦ δωρεὰς λαμβάνειν παρὰ τοῦ Ἁρπάλου, λέγων ὧδε 'ἔστιν δ' — τὴν Πυθιονίκης'* (v. 1—8). *Παλλίδην δ' ἐνταῦθα ἐκάλεσε τὸν Ἅρπαλον· ἐν δὲ τοῖς ἑξῆς τῷ κυρίῳ καλέσας αὐτὸν φησίν 'ἐκμαθεῖν — ἀρραβών'* (v. 8—18). cf. Ath. XIII p. 586 D: *ὁ δὲ γράψας τὸν Ἀγῆνα τὸ σατυρικὸν δραμάτιον, εἴτε Πύθων ἐστὶν ὁ Καταναῖος ἢ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος**), *φησί 'καὶ μὴν — ἀρραβών'* (v. 14—18). v. 1 sq. *πέφυκεν ὁ δ' ἐφέτωμα ὄρνον* libri, *πέφυχ' ὅδε* Dindorf, *φάτνωμ' ἄορνον* Fiorillo, *φηγὼν ἄορνος* Friebel Satyrogr. p. 116, *ἕλωμ' ἄορνον* Meineke (Ath. 4 p. 280), qui conicit indicari locum in vicinia Babylonis eum quem describat Lucianus Necyom. 9 vol. 1 p. 468. v. 3 *λαὸς* libri, *ναός* Casaubonus ex Soph. El. 7: *οὑξ ἀριστερᾶς δ' ὅδε Ἥρας ὁ κλεινὸς*

---

*) Ath. II p. 50 F: *ὅτι Ἀγῆνα σατυρικόν τι δρᾶμα ἀμφιβάλλεται εἴτε Πύθων ἐποίησεν ὁ Καταναῖος ἢ Βυζάντιος ἢ καὶ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος.*

ναός. Παλλίδης] *Φαλλίδης* coni. Meineke. v. 4 *αὐτοῦ*] *αὑτοῦ* V. v. 5 *δὲ* P, *δὴ* Iacobs, *δ' ἐκ* malim. v. 6 *παγκάλως* ante Iacobsium. v. 7 *ἀξιοῦσι* ante Casaubonum. v. 8 sq. *ποθῶν ἄκραν ἀποικων* A, *ποθῶ μακρὰν ἀποικῶν* Iacobs. v. 10 *καλοῦσιν* libri, *κατέχουσιν* Schweighaeuser. *πράσσουσι* malim. v. 12 *χεδρώπαν ὠμόν* A, *χέδροπα μόνον* Porson et Iacobs. v. 13 *μάραθων* A. v. 15 *ἐλάττονος* p. 586, ubi v. 16 *παραπέμψαι*, v. 17 *ἔσται*, v. 18 *αὐτοῖς*.

MOSCHION

ΘΕΜΙΣΤΟΚΛΗΣ

Fabulam spectasse ad victoriam Salaminiam coni. Meineke Hist. crit. p. 522, qui superstites versus ex nuntii oratione petitos suspicabatur. diversam sententiam sequitur O. Ribbeck Mus. Rhen. 30 p. 147 sqq.

1

καὶ γὰρ ἐν νάπαις βραχεῖ
πολὺς σιδήρῳ κείρεται πεύκης κλάδος,
καὶ βαιὸς ὄχλος μυρίας λόγχης κρατεῖ.

Stob. Flor. 51, 21: *Μοσχίωνος ἐκ Θεμιστοκλέους.* '*καὶ γὰρ — κρατεῖ*'.

ΤΗΛΕΦΟΣ

2

ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη
μοῖρ', ὦ λιταῖς ἄτεγκτε δυστήνων βροτῶν,
πάντολμ' ἀνάγκη, στυγνὸν ἣ κατ' αὐχένων
ἡμῶν ἐρείδεις τῆσδε λατρείας ζυγόν.

Stob. Ecl. 1, 4, 1 p. 70, 18: *Μοσχίωνος Τηλέφου.* '*ὦ καὶ — ζυγόν*'. v. 2 *μοῖρ' ὦ* Grotius, *μοίρα* FP. *λιτραῖς ἄτρωτε μοῖρα* Iacobs. *ἄτεγκτε* scripsi, *ἄτρωτε* FP. v. 3 *πᾶν τολῆμ' ἀνάγκης* FP, *πάντολμ' ἀνάγκη* Tyrwhitt (v. Gaisf. in Stob. Ecl. p. XIV) et Porson in Eur. Phoen. 1622. v. 4 *τῆς τε* FP, *τῆσδε* Ruhnken in Hymn. Cer. 217. *ζυγῶν* (*ὸν* supra scr. pr. m.) F.

ΦΕΡΑΙΟΙ

Argumentum fabulae fuisse interitum Alexandri crudelissimi Pheraeorum tyranni a Theba coniuge eiusque fratribus perempti censet O. Ribbeck Mus. Rhen. 30 p. 155 sqq., qua de re cf. Conon

Narrat. 50 et Plut. Pelop. 35. insecutam esse in fabula suspicatur Ribbeck p. 158 altercationem de sepeliendo occisi tyranni cadavere secundum Schol. V Il. Ω 428.

3

κενὸν θανόντος ἀνδρὸς αἰκίζειν σκιάν·
ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές.

Stob. Flor. 125, 3: *Μοσχίωνος ἐκ Φεραιῶν* (sic MA, *μοσχίωνος* om. fab. nomine S). '*κενὸν — σκιάν*'. 125, 4: '*ζῶντας — εὐσεβές*'. versus in SMA cohaerentes vulgo male dirimuntur. v. 1 *καινὸν* MA, *σκαιὸν* parum apte coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 22.

INCERTARVM FABVLARVM FRAGMENTA

4

ὅμως τό γ' ὀρθὸν καὶ δίκαιον οὔποτε
σιγῇ παρήσω· τὴν γὰρ ἐντεθραμμένην
ἀστοῖς Ἀθάνας τῇ τε Θησέως πόλει
καλὸν φυλάξαι γνησίως παρρησίαν.

Stob. Flor. 13, 14: *Μοσχίωνος* (sic SMA, lemma om. L). '*ὅμως — παρρησίαν*'. v. 3 *ἀθανᾶς* M.

5

μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους
οὓς σοὶ κομίζω· τὸν κλύοντα γὰρ λαβὼν
ὁ μῦθος εὔνουν οὐ μάτην λεχθήσεται.

Stob. Flor. 46, 14: *Μοσχίωνος* (sic S, eclogam om. MA). '*μόνον — λεχθήσεται.*' v. 2 *οὓς σὺ* S, *οὗς σοι* Trinc.

6

πρῶτον δ' ἄνειμι καὶ διαπτύξω λόγῳ
ἀρχὴν βροτείου καὶ κατάστασιν βίου.
ἦν γάρ ποτ' αἰὼν κεῖνος, ἦν ποθ' ἡνίκα
θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί,
ὀρειγενῆ σπήλαια καὶ δυσηλίους 5
φάραγγας ἐνναίοντες· οὐδέπω γὰρ ἦν
οὔτε στεγήρης οἶκος οὔτε λαΐνοις
εὐρεῖα πύργοις ὠχυρωμένη πόλις.
οὐ μὴν ἀρότροις ἀγκύλοις ἐτέμνετο

μέλαινα καρποῦ βῶλος ὀμπνίου τροφός, 10
οὐδ' ἐργάτης σίδηρος εὐιώτιδος
θάλλοντας οἴνης ὀρχάτους ἐτημέλει,
ἀλλ' ἦν ἀκύμων κωφεύουσα ῥέουσα γῆ.
βοραὶ δὲ σαρκοβρῶτες ἀλληλοκτόνους
παρεῖχον αὐτοῖς δαῖτας· ἦν δ' ὁ μὲν νόμος 15
ταπεινός, ἡ βία δὲ σύνθρονος Διί.
[ὁ δ' ἀσθενὴς ἦν τῶν ἀμεινόνων βορά.]
ἐπεὶ δ' ὁ τίκτων πάντα καὶ τρέφων χρόνος
τὸν θνητὸν ἠλλοίωσεν ἔμπαλιν βίον,
εἴτ' οὖν μέριμναν τὴν Προμηθέως πάρα 20
εἴτ' οὖν ἀνάγκην εἴτε τῇ μακρᾷ τριβῇ
αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον,
τόθ' ηὑρέθη μὲν καρπὸς ἡμέρου τροφῆς
Δήμητρος ἁγνῆς, ηὑρέθη δὲ Βακχίου
γλυκεῖα πηγή, γαῖα δ' ἡ πρὶν ἄσπορος 25
ἤδη ζυγουλκοῖς βουσὶν ἠροτρεύετο,
ἄστη δ' ἐπυργώσαντο καὶ περισκεπεῖς
ἔτευξαν οἴκους καὶ τὸν ἠγριωμένον
εἰς ἥμερον δίαιταν ἤγαγον βίον.
κἀκ τοῦδε τοὺς θανόντας ὥρισεν νόμος 30
τύμβοις καλύπτειν κἀπιμοιρᾶσθαι κόνιν
νεκροῖς ἀθάπτοις, μηδ' ἐν ὀφθαλμοῖς ἐᾶν
τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβοῦς.

Stob. Ecl. 1, 8, 38 p. 100, 2: *Μοσχίωνος* (*οσχίωνος* F, lemma om. P). '*πρῶτον — δυσσεβές*'. v. 3 *ἦν ποθ' ἡνίκα* scripsi, *ἦν ὁπηνίκα* FP. v. 4 *θηρσὶ* FP. v. 5 *δυσηλίους* dubito num integrum sit, olim *δυσαυλίους* proposui, nunc *δυσχειμέρους* malim. v. 7 *λαγγήνοις* F, *λαγήνοις* P pr. m., *λαίνοις* P m. sec. v. 8 *ὠχυρομένους* F. v. 9 *καμπύλοις* malim, cf. *καμπύλ' ἄροτρα* Hymn. Cer. 308 et Solon. fr. 13, 48 et *εὐκαμπὲς ἄροτρον* Mosch. 2, 81 et Maxim. *περὶ καταρχῶν* 458. *ἐγέμνετο* F. v. 10 *κάρπος* (*καρπὸν* sec. m.) P. *ὀμπίου* P. v. 11 *εὐγωτίδος* FP, *εὐιώτιδος* Grotius. v. 12 *ὀρχάτουσε τημέλλει* F, *ὀρχατους . . . μένει* P, *ὀρχάτους ἐτημέλει* Salmasius. v. 13 *κωφεύουσα ῥέουσα* FP, *κοὐ τροφὴν φέρουσα* coni. Tyrwhitt, *κωφά τ' ἐκφύουσα* (vel *ἐκφέρουσα*) Heeren, *κωφὰ χηρεύουσα* (aptius erat *χερσεύουσα*) Meineke, ego *κοὐ φυτοῖς βρύουσα* praetulerim. *κνωδάλων βρύουσα* Methner progr. a. 1882 p. 9, *κἀφυῶς ἀργοῦσα* Haupt Opusc. 3 p. 471 sq., *κωφόνους τ' ἀργοῦσα* Vsener, *καὶ φυτῶν ἀργοῦσα* F. G.

Schmidt *Krit. Stud.* 3 p. 22. v. 14 *βροτοὶ δὲ σαρκοβρῶτες* I. Bernhard. v. 15 *αὐτοῖς* idem. *ἦν* om. P. v. 16 *σύνθακος* malim (cf. Phot. Lex. p. 554, 27: *σύνθακος· σύνθρονος*). *νηὶ* corr. in *δὶι* P, *νηὶ* F, *δίκῃ* Canter. v. 17 aptius est *τῶν ἀρειόνων*, quod a. 1847 ego proposui et a. 1855 Meineke, ac saepe *ἀρείων* et *ἀμείνων* confunduntur (velut Il. *Z* 479 *O* 641 *T* 56 Orac. Herodot. 4, 157 et 6, 86). at totum versum spurium esse recte iudicat Wachsmuth. v. 18 *τρέφων* FP, *τρέπων* coniecit nescio quis in ex. Gotting., *φθείρων* Herwerden Exerc. crit. p. 79 aptissime si sententiam spectes (cf. Aristot. Phys. 4, 13 p. 222 b 17: *ἐν δὲ τῷ χρόνῳ πάντα γίνεται καὶ φθείρεται*), sed sufficiet *στρέφων* (cf. Eur. fr. 536 Men. mon. 712). v. 20 *πάρα* scripsi, *σπάσας* FP, *πλάσας* Meineke. v. 23 *τότ' εὑρέθη* FP. v. 24 *δημήτερος* P. *εὑρέθη* FP. v. 27 *ἄστη* Wesseling, *αὕτη* FP. *ἐπύργωσάν τε* Valckenaer. v. 30 *ὥρισεν* F, *ὤισε* P. v. 32 *νεκροὺς ἀθάπτους* FP, *νεκροῖς ἀθάπτοις* Meineke, cf. Pseudo-Phocyl. 99: *γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσιν.* v. 33 *δυσσεβές* FP, *δυσσεβοῦς* Valckenaer.

7

⟨τί⟩ κέρδος οὐκέτ' ὄντας ὑβρίζειν νεκρούς;
τί τὴν ἄναυδον γαῖαν αἰκίζειν πλέον;
ἐπὰν γὰρ ἡ κρίνουσα καὶ τὰς ἡδονὰς
καὶ τἀνιαρὰ φροῦδος αἴσθησις φθαρῇ,
τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου. 5

Stob. Flor. 125, 14: *Μοσχίωνος* (sic MA, lemma om. S). '*⟨τί⟩ κέρδος — πέτρου.*' v. 1 *ὑβρίζειν νεκρούς* scripsi (cf. Eur. El. 902 Phoen. 1663), *αἰκίζειν νεκρούς* libri. v. 2 *γαῖαν ὑβρίζειν* libri, *γαῖαν αἰκίζειν* scripsi. manifesto poeta imitatur Il. *Ω* 54: *κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.* v. 3 *ἐπὴν* Wagner. *τὰ ἥδιονα* SMA, *τὰς ἡδονὰς* Porson *Tracts and misc. crit.* p. 231. v. 3 sq. *καὶ τἀλγίονα καὶ τἀπίχαρτα* F. G. Schmidt *Krit. Stud.* 3 p. 22 sq. v. 5 *εἴληχεν* Valckenaer in Eur. Hipp. p. 174.

8

ἦν ἄρα τρανὸς αἶνος ἀνθρώπων ὅδε,
ὡς τὸν πέλας μὲν νουθετεῖν βραχὺς πόνος,
αὐτὸν δ' ἐνεγκεῖν ὕβριν ἠδικημένον
πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος.

Stob. Flor. 114, 9: *Μοσχίωνος.* '*ἦν — βάρος*'. v. 1 *ἄρα* libri. v. 2 *τοὺς πέλας* coni. Burges. *βραχὺς χρόνος* A. v. 3 *αὐτὸν* S, *αὑτὸν* MA.

9

σὺν αἶσι δόξῃ πρόσθε καὶ γένει μέγας
Ἄργους δυνάστης, λειτὸς ἐκ τυραννικῶν
θρόνων, προσίκτην θαλλὸν ἠγκαλισμένος
ἔστειχεν εἰς γῆν, ὄμμα συμπαθὲς φέρων
καὶ πᾶσι δεικνὺς ὡς τὰ λαμπρὰ τῆς τύχης 5
τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει.
ὃν πᾶς μὲν ἀστῶν ἠλέησεν εἰσιδών,
ἅπας δὲ χεῖρα καὶ προσήγορον φάτιν
ὤρεξε κανθούς τ' ἐξέτηξε δακρύοις
τύχαις συναλγῶν· τἀξίωμα γὰρ νοσοῦν 10
τὸ πρόσθε πολλοῖς οἶκτον ἐμποεῖ βροτῶν.

Stob. Flor. 105, 22: *Μοσχίωνος.* '*σὺν αἶσι — βροτῶν*'. v. 1 *συνέσει δόξῃ* S, *σὺν αἶσι δόξῃ* M, *σὺν αἶσσι* (*συνέσει* supra scr. m. sec.) *δόξη* (supra scr. *ας* m. sec.) A, *σὺν αἷς ὁ* ego proposui, *συνέσει γε δόξας* Valckenaer in Eur. Hipp. 96, *φυγὰς δ' ὁ δόξῃ* F. G. Schmidt *Krit. Stud.* 3 p. 23. *πρόσθεν* S. v. 2 *λειτὸς* scripsi, *λιτὸς* vulgo. v. 4 *ἔστιχεν* M. *ἐκ γῆς* coni. F. G. Schmidt. *συννεφὲς* malim cum Meinekio. v. 6 *νέμει*] *ἔχει* Cobet Mnem. 9 p. 144. v. 8 *κεὐ προσήγορον* Valckenaer. *φάτην* MA. v. 9 *κάνθους* S, *κἄνθους* M, *κανθούς* A. v. 11 *πρόσθεν* S. *ἐμποιεῖ* Haupt, *εὐπορεῖ* SMA.

10

κεῖνος δ' ἁπάντων ἐστὶ μακαριώτατος,
ὃς διὰ τέλους ζῶν ὁμαλὸν ἤσκησεν βίον.

Clemens Alex. Strom. VI p. 745: *Βακχυλίδου τε εἰρηκότος* '*παύροισι δὲ θνατῶν — πρὶν ἐγκῦρσαι δύᾳ*', *Μοσχίων ὁ κωμικὸς γράφει* '*κεῖνος — βίον*'. v. 2 *ἐκύρησεν* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 24, *εἴληχεν* Wecklein. versus supra scriptos non esse Moschionis tragici e metro recte conclusit Meineke: trisyllabis enim pedibus sicut Sositheus et alii quidam ita Moschion abstinuit*).

*) Exclusimus Stob. Flor. 123, 3: *Μοσχίωνος.* '*ἐάσατ' ἤδη — δεῖ λαβεῖν*'. ubi Moschioni tribuuntur sex trimetri qui leguntur in Eur. Suppl. 531—536. intercidisse in Stob. Flor. Moschionis locum et lemma *Εὐριπίδου* recte iudicat O. Hense.

ALEXANDER AETOLVS

Vide quae de Alexandri Aetoli tragoediis et de Alexandro comico disputavit Meineke Anal. Alex. p. 216 sq. et Hist. crit. p. 487 sq.

ΑΣΤΡΑΓΑΛΙΣΤΑΙ

Schol. TV Il. Ψ 86: *παῖδα γὰρ ἀνεῖλεν* (sc. Patroclus Amphidamantis filium), *ὃν οἱ μὲν* (*ὃν μὲν* T) *Κλεισώνυμον, οἱ δὲ Αἰανῆ* (*ἑανῆ* T), *οἱ δὲ Λύσανδρον καλεῖσθαι· ἀπέκτεινε δὲ αὐτὸν παρὰ Ὀθρυονεῖ τῷ γραμματιστῇ, ὡς φησὶν Ἀλέξανδρος ὁ Αἰτωλὸς ἐν Ἀστρολογισταῖς.* ubi *ἐν Ἀστραγαλισταῖς* correxit Meineke, cf. verba Homerica, *ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος, νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς.*

LYCOPHRON

ΜΕΝΕΔΗΜΟΣ ΣΑΤΥΡΟΙ

Titulus dramatis satyrici repetitus est a Menedemo philosopho Eretriensi, quem irrisum hac fabula refert Athenaeus II p. 55 D, laudatum Laertius Diogenes 2, 140.

1

παῖδες κρατίστου πατρὸς ἐξωλέστατοι,
ἐγὼ μὲν ὑμῖν, ὡς ὁρᾶτε, στρηνιῶ·
δεῖπνον γὰρ οὔτ' ἐν Καρίᾳ, μὰ τοὺς θεούς,
οὔτ' ἐν Ῥόδῳ τοιοῦτον οὔτ' ἐν Λυδίᾳ
κατέχω δεδειπνηκώς, Ἄπολλον, ὡς καλόν. 5

Ath. X p. 420 B: *μαρτυρεῖ δὲ καὶ περὶ τούτων* (de Menedemi victu) *Λυκόφρων ὁ Χαλκιδεὺς γράψας σατύρους Μενέδημον, ἐν οἷς φησὶν ὁ Σιληνὸς πρὸς τοὺς σατύρους 'παῖδες — καλόν'.* v. 1 *παιδὸς* AC, *πατρὸς* Canter. v. 5 *κατέχω*] *ἔχω* malim.

2

ἀλλὰ κυλίκιον
ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου,
ἀτρέμα παρεξεστηκός· ὅ τ' ἀλιτήριος
καὶ δημόκοινος ἐπεχόρευε δαψιλὴς
θέρμος, πενήτων καὶ τρικλίνου συμπότης. 5

Ath. l. l. pergit: καὶ προελθών (προσελθὼν A, corr. Musurus) 'ἀλλὰ — συμπότης'. v. 3 ἠρέμα Herwerden Exerc. crit. p. 81. παρεξεστηκός, ἀλιτήριος Methner progr. a. 1882 p. 10. v. 4 et 5 attulit Ath. II p. 55 D: Λυκόφρων δ' ὁ Χαλκιδεὺς ἐν σατυρικῷ δράματι ὃ ἐπὶ καταμωκήσει ἔγραφεν εἰς Μενέδημον τὸν φιλόσοφον, ἀφ' οὗ ἡ τῶν Ἐρετρικῶν ὠνομάσθη αἵρεσις, διασκώπτων τῶν φιλοσόφων τὰ δεῖπνα φησί 'καὶ — συμπότης'. v. 4 δημόνικος p. 420, δημόκριτος p. 55, δημόκοινος Casaubonus, κοινόδημος Methner. v. 5 τρικλίνων p. 55, τρικλίνους p. 420. κοὐ τρικλίνων Methner.

3

ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
αὐτοῖς κυκλεῖται πρὸς μέτρον, τράγημα δὲ
ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος.

Laert. Diog. 2, 140 (cf. Hesych. Miles. 44): τράγημα θέρμος ἢ κύαμος, ἔστι δ' ὅτε καὶ τῶν ὡρίων ἄπιος ἢ ῥοιὰ ἢ ὦχροι (ὄχναι Hesych. Mil.) ἢ νὴ Δί' ἰσχάδες. ἃ πάντα φησὶν ὁ Λυκόφρων ἐν τοῖς πεποιημένοις σατύροις αὐτῷ, οὓς Μενέδημος ἐπέγραψεν, ἐγκώμιον τοῦ φιλοσόφου ποιήσας τὸ δρᾶμα. ὧν καί τινά ἐστι τοιαυτί 'ὡς ἐκ — λόγος'. Ath. X p. 420 C: ἑξῆς δὲ φησὶν ὅτι ζητήσεις ἦσαν παρὰ πότον· 'τράγημα — λόγος' (v. 2 et 3). v. 2 δὲ] γὰρ Ath. v. 3 τοῖς φιληκόοις] πᾶσιν ἐν μέσῳ Ath.

4

ὁ τὴν ἕω καλῶν
κατέλαβεν ὄρνις· τοῖσι δ' οὐδέπω κόρος.

Ath. X p. 420 C: ἱστορεῖται (ἱστορεῖ Meineke) δὲ καὶ ὅτι πολλάκις συννόντας αὐτοὺς ἐπὶ πλεῖον ὁ ὄρνις κατελάμβανε τὴν ἕω καλῶν, τοῖσι δὲ οὐδέπω κόρος. versus restituit Meineke Ath. 4 p. 186.

ΠΕΛΟΠΙΔΑΙ

5

ἀλλ' ἡνίκ' ἂν μὲν ᾖ πρόσω τὸ κατθανεῖν,
Ἅιδης ποθεῖται τοῖς δεδυστυχηκόσιν·
ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου,
τὸ ζῆν ποθοῦμεν· οὐ γὰρ ἔστ' αὐτοῦ κόρος.

Stob. Flor. 119, 13: Λυκόφρονος ἐκ Πελοπιδῶν (πελοπίδῶν A, λυκόφρονος nec plura S, eclogam om. M). 'ἀλλ' — κόρος'. v. 1 ἡνίκα SA, ἡνίκ' ἂν Iacobs. v. 4 ἐστιν A. τὸ ζῆν ποθοῦμεν κοὐκέτ' ἔστ' malim.

PHILISCVS

Philisco comico ab Suida tribuitur inter alias fabulas Θεμιστοκλῆς, quam fabulam tragici poetae fuisse coniecit Meineke Hist. crit. p. 424. nec satis liquet utrius poetae sint versus a Stobaeo Flor. 29, 40 servati (fr. 1).

1

οὐκ ἔστιν, ὦ μάταιε, σὺν ῥᾳθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.

Stob. Flor. 29, 40: *Φιλίσκου.* '*οὐκ — λαβεῖν*'.

2

Schol. German. Caes. Arat. p. 70, 15 (cf. p. 129, 6): *sunt in hoc signo in eius testa aliae stellae, quas asinos appellant. Graeci enim ὄνους dicunt. quos Liber astris intulit, quod cum ab Iunone insania obiecta fugeret ad occasus, ut in Dodonaei Iovis templo responsa peteret, ut Philiscus refert, et magnis imbribus cum grandine ortis stagna, quae transiturus erat, inundata detinerent iter eius, asini ex contrario transeunt per aquas. ex his uno insidens et ipse transvectus est sine periculo insaniaque liberatus dicitur. uno itaque ex his fecisse ut voce humana loqueretur. qui cum sensum accepisset, post paucum tempus cum Priapo de membro naturali contendere coepit.* cf. Hygin. Poet. astron. 2, 23. spectari Philisci fabulam satyricam arbitratur C. Robert Eratosth. Catast. reliq. p. 32.

SOSIPHANES

ΜΕΛΕΑΓΡΟΣ

1

μάγοις ἐπῳδαῖς πᾶσα Θεσσαλὶς κόρη
ψευδὴς σελήνης αἰθέρος καταιβάτις

Schol. Apoll. Rhod. 3, 533: *τὸ παλαιὸν ᾤοντο αἱ φαρμακίδες τὴν σελήνην καὶ τὸν ἥλιον καθαιρεῖν· διὸ καὶ μέχρι τῶν Δημοκρίτου χρόνων πολλοὶ τὰς ἐκλείψεις καθαιρέσεις ἐκάλουν. Σωσιφάνης ἐν Μελεάγρῳ* '*μάγοις — καταιβάτις*'. v. 1 *θεσσαλὶς* f, *πεσσαλίς* L. v. 2 graviter corruptus. *κεύθει σελήνην αἰθέρος καταιβάτιν* coni. Wecklein *Stud. zu Eur.* p. 445, *σπεύδει σελήνης αἰθέρος καθαίρεσιν* I. Bernhard.

INCERTARVM FABVLARVM FRAGMENTA

2

νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω, γέρον·
νυνὶ δεῖ γ' ὀργήν, ἡνίκ' ἠδικοῦ, λαβεῖν.

Stob. Flor. 20, 18: *Σωσιφάνους* (sic S, eclogam om. MA). '*νῦν σοι — λαβεῖν*'. v. 1 *νῦν σοι 'π' ἄμειψιν* coni. Mekler Lect. Gr. spec. p. 15, *νῦν σοι πρὸς ὅπλα* F. G. Schmidt *Krit. Stud.* 3 p. 24. neutrum placet. v. 2 *νυνὶ δεῖ γ' ὀργὴν* S, unde *νῦν ἡδύ γ' ὀργὴν* scripserim, *νῦν ἔργον ὀργήν* Hense Lect. Stob. p. 28 sq. *ἠδικοῦ* Mekler, *ἠδείκου* ut videtur S, *ἔνδικον* Gesner. *νῦν ἡνί' ὀργῆς, ἡνίκ' ἔνδικον, χάλα* Gomperz *Mélanges Graux* p. 52 sq., qui nuperrime *νῦν δεῖ δι' ὀργῆς — μολεῖν* proposuit.

3

ὦ δυστυχεῖς μὲν πολλά, παῦρα δ' ὄλβιοι
βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις,
ἃς ἓν τ' ἔδωκε φέγγος ἕν τ' ἀφείλετο;
ἢν δ' εὐτυχῆτε, μηδὲν ὄντες εὐθέως
ἴσ' οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον 5
Ἅιδην παρεστῶτ' οὐχ ὁρᾶτε πλησίον.

Stob. Flor. 22, 3: *Σωσιφάνους.* '*ὦ δυστυχεῖς — πλησίον*'. v. 1 *ὦ*] *ὡς* M. v. 2 fortasse *ταῖσιν οὐσίαις* leg. v. 3 *ἀφείλατο* A. v. 4 *ἢν* Wagner, *ἂν* libri. v. 6 *ἀδὴ* SA pr. m., *ἅδην* MA sec. m. *προεστῶτ'* M. *πλούσιον* SA pr. m., *πλησίον* MA sec. m.

4

Schol. Eur. Phoen. 1010: *Σωσιφάνης ὁ τραγικὸς ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοικέα, Νικόστρατος* (*Νικοκράτης* coni. Hecker Philol. 5 p. 428) *δὲ ὑπὸ τῆς Σφιγγός.*

5

Schol. Theocr. 18, 45: *Μενελάου δὲ καὶ Ἑλένης ἀναγράφονται παῖδες Σωσιφάνης* (*Σωσιφάνει* coni. Duebner) *Νικόστρατος καὶ Ἴολμος· οἳ δὲ Θρόνιον· θυγατέρες δὲ Μελίτη καὶ Ἑρμιόνη.* ubi *Νικόστρατος καὶ Αἰθιόλας* restituit Valckenaer ex Schol. A Il. *Γ* 175.

6

Schol. A Il. *I* 453 (Eust. Il. p. 763, 11), ubi pro *τῇ πιθόμην καὶ ἔρεξα* Aristodemus *οὐ πιθόμην οὐδ' ἔρξα* scripsisse traditur, haec

accedunt: πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εὗρε γραφήν· καὶ Εὐριπίδης δὲ ἀναμάρτητον εἰσάγει τὸν ἥρωα ἐν τῷ Φοίνικι.

SOSITHEVS

ΑΕΘΛΙΟΣ

1

εἷς μυρίους ὄρνιθας αἰετὸς σοβεῖ
λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ.

Stob. Flor. 51, 23: Σωσιθέου ἐξ Ἀεθλίου (sic M, ἐξ ἀθλίου A, fabulae nomen om. S). 'εἷς — ἀνήρ'. v. 1 ἀετὸς SM, αἰετὸς A. v. 2 εὐθαρσὴς coni. Herwerden Exerc. crit. p. 81, εὐτραφὴς F. G. Schmidt *Krit. Stud.* 3 p. 24.

ΔΑΦΝΙΣ Η ΛΙΤΥΕΡΣΗΣ

Schol. Theocr. 8 argum.: Σωσίθεος δὲ Δάφνιν γενόμενον, ὑφ' οὗ νικηθῆναι Μενάλκαν Πανὸς [καὶ νυμφῶν] κρίναντος, γαμηθῆναι δὲ αὐτῷ Θάλειαν. cum loco mutilo, in quo καὶ νυμφῶν verba delenda esse agnovit Buecheler Mus. Rhen. 39 p. 275, compares Schol. Theocr. 8, 92: ἱστοροῦσι γὰρ αὐτὸν (Daphnin) ἀγαπηθῆναι ὑπό τινος νύμφης, ἣν Σωσίθεος Θάλειαν λέγει. adde Serv. in Verg. Bucol. 8, 68 (cuius loci aliquot vitia sustulit O. Iahn Herm. 3 p. 180 sq.): *alii hunc Daphnin Pimpleam amasse dicunt, quam cum a praedonibus raptam Daphnis per totum orbem quaesisset, invenit in Phrygia apud Lityersem regem servientem, qui hac lege in advenas saeviebat, ut cum multas segetes haberet, peregrinos advenientes secum metere faceret victosque iuberet occidi. sed Hercules miseratus Daphnidis venit ad regiam et audita condicione certaminis falcem ad metendum accepit eaque regi ferali sopito metendi carmine caput amputavit. ita Daphnin a periculo liberavit et ei Pimpleam, quam alii Thaliam dicunt, reddidit, quibus dotis nomine aulam quoque regiam condonavit.* Schol. Theocr. 10, 42: οὗτος δὲ ὁ Λυτιέρσης ᾤκει Κελαινὰς τῆς Φρυγίας, υἱὸς τυγχάνων νόθος τοῦ Μίδου· γεωργὸς δὲ ὢν τοὺς παριόντας τῶν ξένων εὐωχῶν ἠνάγκαζε θερίζειν μετ' αὐτοῦ, εἶτα ἑσπέρας ἀποτέμνων αὐτῶν τὰς κεφαλὰς τὸ λοιπὸν σῶμα ἐν τοῖς δράγμασι συνειλῶν ᾖδεν. Ἡρακλῆς δὲ ὕστερον τοῦτον ἀποκτείνας ἔρριψεν εἰς τὸν Μαίανδρον ποταμόν· ὅθεν καὶ νῦν οἱ θερισταὶ κατὰ Φρυγίαν ᾄδουσιν αὐτὸν ἐγκωμιάζοντες ὡς ἄριστον θεριστήν. sine dubio Daphnis Sosithei satyrica fuit fabula haud dissimilis Alcestidi Euripideae.

2

τούτῳ Κελαιναὶ πατρίς, ἀρχαία πόλις
Μίδου γέροντος, ὅστις ὦτ' ἔχων ὄνου
ἤνασσε καὶ νοῦν φωτὸς εὐήθους ἄγαν.
οὗτος δ' ἐκείνου παῖς πατρὶ πλαστὸς νόθος,
μητρὸς δ' ὁποίας ἡ τεκοῦσ' ἐπίσταται, 5
ἔσθει μὲν ἄρτων τρεῖς ὄνους κανθηλίους
τρὶς τῆς βραχείας ἡμέρας, πίνει δ' ἅμα
καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον.
ἐργάζεται δ' ἐλαφρὰ πρὸς τὰ σιτία.
ὄγμον θερίζει, τῇ μιᾷ δ' ἐν ἡμέρᾳ 10
δαίνυσί τ' ἔμπης συντίθησιν εἰς τέλος.
χὤταν τις ἔλθῃ ξεῖνος ἢ παρεξίῃ,
φαγεῖν τ' ἔδωκεν εὖ κἀπεχόρτασεν
καὶ τοῦ ποτοῦ προὔτεινεν ὡς ἂν ἐν θέρει
πλέον· φθονεῖν γὰρ τοῖς θανουμένοις ὀκνεῖ. 15
ἐπιστατῶν οἴδηα Μαιάνδρου ῥοαῖς
καρπευμάτων ἀρδευτὰ δαψιλεῖ πότῳ
τὸν ἀνδρομήκη πυρὸν ἠκονημένῃ
ἅρπῃ θερίζει· τὸν ξένον δὲ δράγματι
αὐτῷ κυλίσας κρατὸς ὀρφανὸν φέρει 20
γελῶν θεριστὴν ὡς ἄνουν ἠρίστισεν.

Anonymus in Mythogr. Westerm. p. 346, 16: *Λιτυέρσης Μίδου υἱὸς νόθος, ὃν ὁ Ἡρακλῆς ἀνεῖλεν ὄντα κακόξενον· ἠνάγκαζε γὰρ τοὺς ξένους συνθερίζειν αὐτῷ, εἶτα εὐωχῶν ἀπεκεφάλιζε, τὰ δὲ σώματα ἐκόμιζεν ἐν τοῖς δράγμασιν ὡς παραλελογισμένων. ἱστορεῖ ταῦτα κατὰ μέρος Σωσίβιος**) *ἐν Δάφνιδι λέγων οὕτως* '*οὔτε οἱ — ἠρίστισεν*'. Tzetz. Chil. 2, 596: *ὁ Λιτυέρσης* (*Λυτιέρσης* ed.) *δὲ υἱὸς νόθος ὑπάρχ ν Μίδου οἴνου μὲν πίθον ἐξαντλῶν ὅλον ὑπῆρχε πίνων, ἄρτους δὲ τρώγων ἤσθιεν ὄνων τριῶν φορτίον, ὡς ἐν τῷ Δάφνιδι φησὶ Σωσίβιος ἰάμβοις* '*οὗτος δ' — φορτία*' (v. 4—9). Ath. X p. 415 B: *Λιτυέρσας δὲ ἦν μὲν υἱὸς Μίδου νόθος, Κελαινῶν δὲ τῶν ἐν Φρυγίᾳ βασιλεύς, ἄγριος ἰδέσθαι καὶ ἀνήμερος ἄνθρωπος, ἀδηφάγος δ' ἰσχυρῶς. λέγει δὲ περὶ αὐτοῦ Σωσίθεος ὁ τραγῳδιοποιὸς ἐν δράματι Δάφνιδι ἢ*

*) Sosibii vel potius Sosithei versus primus edidit Casaubonus Lect. Theocr. cap. XII, postea Heeren *Bibl. für Litt. u. Kunst, Stück* VII. uterque eodem codice usus est: quamquam codices commemorat Heeren, qui in lectione indicanda neglegentissimus fuit.

Λιτυέρσα οὕτως '*ἔσθει — πῖθον*' (v. 6—8). verba quae manserunt esse Daphnidis Herculem de rerum statu edocentis coni. O. Iahn Herm. 3 p. 181. v. 1 *οὔτε οἱ* cod., *τούτῳ* scripsi. v. 3 *φατὸς εὐειδοῦς* cod., *φωτὸς εὐήθους* Arnaud. v. 4 *ὁ κείνου* malim. *περίπλαστος* Anon., *παράπλαστος* Tzetz., *πατρὶ πλαστὸς* Hermann: sic *πλαστὸς ὡς εἴην πατρί* Soph. Oed. R. 780. v. 6 *ἄρτων τρεῖς ὄνους κανθηλίους* Casaubonus. *ἄρτους* Anon. et Tzetz., *αὐτοὺς* Athenaei A. *ὄνους* Athenaei C et Anon., *ὅλους* Athenaei A et Tzetzes. *ἄρτους τρεῖς ὄνου κανθηλίου* coni. Eichstaedt. v. 7 *τρὶς τῆς* Ath. et Anon., *τῆς δὲ* Tzetz. *πίνει θ' ἅμα* Anon. et Tzetz., *πίνει δ' ἕνα* Ath. v. 8 *καλῶν* Anon. et Tzetz., *καλὸν* Ath., *κάδον* proposui Philol. 12 p. 195, quamquam persanatum locum hac coniectura non arbitror. *δεκάμφορον* Anon. et Tzetz., *δὲ καρποφόρον* Ath. v. 9 *ἐργάζεται δὲ φλαῦρα* coni. Meineke Ath. 4 p. 182. *ἐλαφρά πως* ego olim temptavi. *σιτία* Anon., *φορτία* Tzetz. v. 10 *ὄγμους θερίζων* Hermann. *ὄγμον θερίζων ἕνα, μιᾷ δ' ἐν ἡμέρᾳ* Meineke, ubi improbandus est pes trisyllabus. v. 11 *δαίνυσί τ' ἔμπης* verba desperata. v. 12 *ξένος* ante Casaubonum. v. 13 *εὖ καὶ πεχόρτασεν* cod., *εἶτα κἀπεχόρτασεν* Hermann, *ἦα κἀπεχόρτασεν* Meineke, *εὖ καλῶς τ' ἐχόρτασεν* ego olim scripsi. v. 14 *προυτειν'* cod. v. 15 *πλείστου* Meineke. *ὤκνει* cod. post v. 15 quaedam desiderari indicat O. Iahn. v. 16 *ἔπειτ' ἄγων εἰς λῆα* temptabam. v. 17 *κηπευμάτων* Hermann, *ταφρευμάτων* ⟨τ'⟩ Methner progr. a. 1882 p. 12. v. 18 sq. *ἠονημένη ἄρπη* cod., corr. Casaubonus. v. 20 *ἁδρῷ 'γκυλίσας* Meineke, *αὐτῷ 'γκυλίσας* Methner. v. 21 *γέρων* et *ἠρίστησεν* cod., *γελῶν* et *ἠρίστισεν* Casaubonus.

3

θανὼν μὲν οὖν Μαίανδρον ἐρρίφη ποδὸς
σόλος τις ὥσπερ· ἦν δ' ὁ δισκεύσας ἀνὴρ
πυθιο· τίς γὰρ ἀνθ' Ἡρακλέους;

Anonymus in Westerm. Mythogr. haec subicit p. 347, 9: *ὅτι δ' ἀπέθανεν ὑφ' Ἡρακλέους φησὶ λέγων* '*θανὼν — Ἡρακλέους*'. v. 1 *οὖν*] *εἰς* Eichstaedt. v. 2 *σοφός τις ὥσπερ δίσκος* cod., *σόλος τις ὥσπερ* Casaubonus, *ὥσπερ σόλος τις* Hermann. v. 3 *πυθιο . . .*] fortasse *Τιρύνθιός* ⟨*τις*⟩ legendum.

INCERTARVM FABVLARVM FRAGMENTA

4

οὓς ἡ Κλεάνθους μωρία βοηλατεῖ

Laert. Diog. 7, 173: *Σωσιθέου τοῦ ποιητοῦ ἐν θεάτρῳ εἰπόντος πρὸς αὐτὸν* (Cleanthem) *παρόντα* '*οὓς — βοηλατεῖ*' *ἔμεινεν ἐπὶ τοῦ αὐτοῦ σχήματος· ἐφ' ᾧ ἀγασθέντες οἱ ἀκροαταὶ τὸν μὲν ἐκρότησαν,*

τὸν δὲ Σωσίθεον ἐξέβαλον. μεταγινώσκοντα δὲ αὐτὸν ἐπὶ τῇ λοιδορίᾳ προσήκατο, εἰπὼν ἄτοπον εἶναι τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δὲ ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν. cf. Hesychius Miles. 42 p. 32, 4 ed. Fl. versiculus depromptus est ex satyrica fabula. Sositheus aequalem philosophum in scena commemorans non audacior fuit quam qui Menedemum scripsit Lycophron.

5

Eratosth. Catast. 28: *ὃν* (int. *Τοξότην* sive *Κρότον τὸν Εὐφήμης τῆς τῶν μουσῶν τροφοῦ υἱόν*) *καὶ αἱ μοῦσαι τὴν τοξείαν εὑράμενον τὴν τροφὴν ἀπὸ τῶν ἀγρίων ἔχειν ἐποίησαν, καθάπερ φησὶ Σωσίθεος.* cf. Hygin. Poet. astr. 2, 27 p. 479 et Schol. German. Caes. Arat. p. 90, 4 et p. 159, 1.

PTOLEMAEVS PHILOPATOR

ΑΔΩΝΙΣ

Schol. Ar. Thesm. 1059: *ἐπεὶ εἰσήγαγε κακοστένακτον τὴν Ἠχὼ ὁ Εὐριπίδης ἐν τῇ Ἀνδρομέδᾳ, εἰς τοῦτο παίζει. ἐζήλωσε δὲ αὐτὸν Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐν ᾗ πεποίηκε τραγῳδίᾳ Ἀδώνιδι, περὶ ἧς ὁ ἐρώμενος αὐτῷ Ἀγαθοκλῆς γέγραφεν, ὁ ἀδελφὸς τῆς ἐρωμένης αὐτοῦ πάλιν Ἀγαθοκλείας.*

AESCHYLVS ALEXANDRINVS

ΑΜΦΙΤΡΥΩΝ

1

τίς δ' ἔστ' ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν,
ἐξὸν σιωπᾶν κἀν σκότῳ κρύπτειν τάδε;

Ath. XIII p. 599 E: '*τίς δ' — τάδε;*' *Αἰσχύλος ἔφη ὁ Ἀλεξανδρεὺς ἐν Ἀμφιτρύωνι· οὗτος δ' ἐστὶν Αἰσχύλος ὁ καὶ τὰ Μεσσηνιακὰ ἔπη συνθείς, ἀνὴρ εὐπαίδευτος.* v. 1 *τίς δ' ἔσται* A.

APOLLONIDES

Meminit huius poetae Philodemus de piet. p. 39, sed ex loco mutilo nihil potest extricari.

1

φεῦ φεῦ, γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα
οὐ χρυσός, οὐ τυραννίς, οὐ πλούτου χλιδὴ
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία καὶ φρονοῦσα τἄνδικα. 5

Stob. Flor. 67, 3: *Ἀπολλωνίδου.* '*φεῦ φεῦ — τἄνδικα*'. Clemens Alex. Paed. III p. 303: *πάνυ γοῦν θαυμασίως ἡ τραγῳδία* '*φεῦ φεῦ, γυναῖκες*', *φησίν*, '*ὡς ἐν ἀνθρώποις — φρονοῦσα τἀνδρικά*'. v. 2 *οὐ πλοῦτος, οὐ τυραννίς, οὐ χρυσοῦ χλιδή* requiri arbitror. v. 3 *εἶχεν* Clem., *ἔσχε* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 25. v. 5 *κοινὴ δίαιτα* F. G. Schmidt *Krit. Stud.* 3 p. 27. *τἄνδικα* Stob., *τἀνδρικά* Clem., *ταῦτ' ἀεί* Herwerden Exerc. crit. p. 80, *πάντ' ἴσα* Enger Adnot. ad poet. Gr. fr. p. 17.

2

γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι
σοφοῦ τινος γένοιτ' ἂν ἵστορος λόγων.

Stob. Flor. 67, 6: *Ἀπολλωνίδου* (sic MA, Euripidi locum tribuit S, ubi eclogae 6—8 10 12 uno lemmate *Εὐριπίδου* comprehenduntur). '*γυναικὸς — λόγων*'.

BIOTVS

ΜΗΔΕΙΑ

1

. . *τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις*
πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

Stob. Flor. 78, 3: *Βιότου ἐκ Μηδείας.* '*τὸ — τέκνα*'. lemma frustra in suspicionem vocatum esse docuit Meineke *Monatsb. d. Preuss. Akad. d. Wiss.* 1850 p. 257. poetae et fabulae nomine omisso eundem locum affert Clemens Alex. Paed. I p. 127.

CHARES

1

γαστρὸς δὲ πειρῶ πᾶσιν ἡνίαν κρατεῖν·
μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν,
ἀεὶ δὲ τοῦ δοθέντος ἐνδεῖται πλέον.
ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται,
οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά. 5

Stob. Flor. 17, 3: Χάρητος. 'γαστρὸς δὲ — κακά'. Greg. Naz. vol. 2 p. 213 C: ἤκουσα τοῦτο τῆς σοφῆς τραγῳδίας 'γαστρὸς δὲ — χάριν' (v. 1 et 2). v. 1 recurrit in Men. mon. 81. v. 3 δὲ] γὰρ A. δέοντος SMA, δοθέντος scripsi. v. 4 et 5 om. poetae nom. extant in Anecd. Boiss. vol. 3 p. 469. v. 4 ὅστις δὲ μὴ γαστρὸς Stobaei S, ὅστις δὲ γαστρὸς μὴ MA, γαστρὸς ὅστις μὴ Anecd. Boiss. v. 5 οὗτος om. Stobaei S, οὕτως Anecd. Boiss.

2

γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν,
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει·
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.

Stob. Flor. 33, 4: Χάρητος (sic SM, eclogam om. A). 'γλώσσης — κεκτημένη'. v. 1 recurrit in Men. mon. 80, ubi πανταχῇ legitur. v. 2 ὡς καὶ malim. v. 3 interpolatoris esse coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 27.

3

μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός.

Stob. Flor. 38, 3: Χάρητος. 'μὴ φθόνει — κακός'.

DEMONAX

Tragicum poetam fuisse Demonactem affirmarunt Meineke Hist. crit. p. 525 et Fritzsche in Lucian. II, 1 p. 188, postea iidem (Meineke in Stob. Flor. 4 p. LXI et Fritzsche in Lucian. III, 2 p. XV) philosophum Demonactem fuisse suspicati sunt, qui alienis versibus usus esset. receptum inter tragicos poetas Demonactem comprobat Wachsmuth *Stud. zu den griech. Floril.* p. 130.

1

θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς.

Stob. Flor. 22, 16: *Δημώνακτος.* '*θνητοὶ — θεούς*'. *φρονεῖτ'* S. cf. Men. mon. 243: *θνητὸς πεφυκὼς μὴ φρονῇς ὑπέρθεα.*

2

κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος.

Anecd. Boiss. vol. 1 p. 118: *Δημώνακτος.* '*κόλαζε — θυμούνος*'. idem versus extat in Men. mon. 576 et in Cecaumeni *Στρατηγικῷ* p. 20, 15 ed. Iernstedt. Mel. Aug. c. 34, 17 et alios quosdam testes excitavit Wachsmuth Gnomol. Byzant. 254 p. 206.

HIPPOTHOON

Hippothoontis poetae memoria uno nititur Stobaei Florilegio, cuius testimonii fidem frustra impugnavit Meineke vol. 3 p. III: 'nunc dubito fere utrum Hippothous vel Hippothoon (fluctuat enim scriptura) poetae an fabulae nomen fuerit. Hippothoon, Alopae filius, percommodum erat atticae tragoediae argumentum'. nusquam Hippothoon fabula commemoratur, et si talis fabula extitisset, vix potuit fieri ut constanter unus fabulae titulus apponeretur poetae nomine omisso. at tragicum poetam fuisse Hippothoontem non ausim contendere.

1

ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.

Stob. Flor. 22, 25: *Ἱπποθόωντος* (sic M, *ἱπποθ°* S, *ἱπποθύοντος* A). '*ἄνθρωπος — τύχης*'. eundem versum om. poetae nom. habet Vita Aesopi p. 46, 6 ed. Westerm. cf. Men. mon. 8 et Doxop. in Rhet. vol. 2 p. 294 et 295.

2

φθόνος κάκιστος κἀδικώτατος θεός,
κακοῖς τε χαίρει κἀγαθοῖς ἀλγύνεται.

Stob. Flor. 38, 15: *Ἱπποθόωντος.* '*φθόνος — ἀλγύνεται*'. non cohaerent cum his versibus quae codices adiungunt (adesp. fr. 534), *οὐδεὶς ἂν εἴποι κτέ.*

3

ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος.
ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.

Stob. Flor. 67, 13: *Εὐριπίδου Ἀντιγόνης* (sic MA, simpliciter *ἀντιγ°* S). '*ζευχθεὶς — ἐξαμαρτάνειν*'. Flor. 67, 14: *Ἱπποθόωντος.* '*ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή*'. lemmata sedem mutare iussi Eur. fr. 164. v. 1 recurrit in Men. mon. 197 et cum lemmate *Ἱπποθώου* (sic SM, *ἱπποθόου* A) in Stob. Flor. 68, 24. v. 2 *ἐν*] *οὖν* praetulerim. v. 3 *δέδοικε*] *φυλάσσει* coni. Wecklein.

4

παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς.

Stob. Flor. 83, 15: *Ἱπποθόου.* '*παίδων — σοφούς*'.

5

γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν.

Stob. Flor. 115, 14: *Ἱπποθόωντος* (sic MA, *ἱππο^θ* S). '*γῆρας — νεβρῶν*'. *ἀλκμαίων* Stobaei A.

6

γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν·
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σῴζει μόνη.

Stob. Flor. 72, 5: *Ἱππώνακτος.* '*γάμος — μόνη*'. v. 2 *ἕδνον λαμβάνειν* Haupt Opusc. 3 p. 637, *ἕδνα λαμβάνειν* Bergk Lyr. 2 p. 486, qui in tertia Lyricorum edit. *ἐν δόμοις λαχεῖν* proposuerat. lemma in *Ἱπποθόωντος* mutandum esse coni. Meineke Com. 4 p. 714. quos addit Stob. versus tres,

> *ὅστις δὲ τρυφερῶς τὴν γυναῖκ' ἄγει λαβών,*
> *συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει*
> *εὔνουν βεβαίαν εἰς ἅπαντα τὸν βίον,*

a praegressis separandos esse vidit Valckenaer. *ὅστις δὲ τρυφερῶς ζῆν γυναῖκ' εἴργει λαβὼν* bene coni. F. G. Schmidt *Krit. Stud.* 1 p. 153, sed *λαβών* dubito num ferri possit. extremus versus, *εὔνουν — βίον*, ab interpolatore videtur esse additus.

ISIDORVS

1

μορφὰς ἀτερπεῖς ὄψεσιν κεκτημένος
παρεμφερεῖς ταύταισι τοὺς τρόπους ἔχεις·
ἐκ τοῦ κακοῦ γὰρ ἡ φύσις τίκτει κακόν,
ὡς ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίγνεται.

Stob. Flor. 90, 9: Ἰσιδώρου (sic Meineke, ἐκιδώρου MA, εἰσιδώρου S). 'μορφὰς — γίγνεται'. v. 3 κακόν] καλόν M. v. 4 γίνεται SM. Thersiten compellari coni. Meineke.

2

θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν.

Stob. Flor. 22, 27: Ἰσιδώρου (sic SM, ἰσηδώρου A). 'θνητὸς — βλέπειν'. idem versus est in Men. mon. 249. τὰ ὀπίσω Stobaei SMA, τἀπίσω Brux., τοὐπίσω Men. mon. hinc τοὐπίσω μὴ ἔρα βλέπειν coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 27. rectius fortasse τἀπὶ σοὶ πειρῶ βλέπειν scribemus cum Apostol. 3, 8 p. 289, 19.

MIMNERMVS

ΝΕΟΠΤΟΛΕΜΟΣ

Neoptolemum nescimus cuius poetae commemorat Aristoteles Poet. c. 23, quem locum attulimus in Soph. fr. p. 246.

1

δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ
ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι.

Stob. Flor. 125, 12: Μιμνέρμου ἐκ Νεοπτολέμου (sic MA, μιμνέρμου nec plura S). 'δεινοὶ — αἰνέσαι'. v. 1 κλεινῷ γὰρ — ἐσμὲν εὔκολοι malit F. G. Schmidt *Krit. Stud.* 3 p. 27 sq. v. 2 ζῶντι suspectum, cf. Hilberg *Princip der Silbenw.* p. 216. intercidisse Mimnermi locum et nomen poetae qui Neoptolemum scripserit coni. Meineke Stob. Flor. 4 p. XXV, cf. Bergk Lyr. 2 p. 33.

INCERTAE FABVLAE FRAGMENTVM

2

. . οἷα δὴ φιλοῦσιν ἰατροὶ λέγειν,
τὰ φαῦλα μείζω καὶ τὰ δείν' ὑπὲρ φόβον,
πυργοῦντες αὑτούς

Stob. Flor. 102, 3: *Μιμνέρμου κατὰ ἰατρῶν* (sic S, *κατὰ ἰατρῶν μιμνέρμου νάννου* MA). '*οἷα — αὑτούς*'. v. 1 *ὁποῖα* coni. Bergk. *ἰατροὶ* Gaisford, *οἱ ἰατροὶ* SMA. v. 2 *ὑπέρφοβα* B. v. 3 *αὑτοὺς* MA, *αὐτοί* F. G. Schmidt *Krit. Stud.* 3 p. 28. Euripidis esse locum coni. Bergk Lyr. 2 p. 33, Menandro tribuunt Porson et Meineke Com. 4 p. 217.

PATROCLES THVRIVS

1

καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη
εἰς ὧδε μικρὸν τεῦχος ἤθροισεν τύχη.
τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην
δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους,
καὶ πάντα συννοοῦμεν ἐκπράξειν χερί, 5
πρόσω βλέποντες; τὴν δὲ πλησίον τύχην
οὐκ ἴσμεν οὐδ' ὁρῶμεν ἀθλίου μόρου.

Stob. Flor. 111, 3: *Πατροκλέους* (sic S, eclogam om. MA). v. 2 *ὧδε* Trinc., *ὅδε* S. v. 5 *πάντες ἐννοοῦμεν* coni. Herwerden Exerc. crit. p. 80, *πάντα συννοούμεθ'* Wecklein *Stud. zu Eur.* p. 445.

2

Clemens Alex. Protr. p. 26: *Πατροκλῆς τε ὁ Θούριος καὶ Σοφοκλῆς ὁ νεώτερος ἔν τισι τραγῳδίαις ἱστορεῖτον τοῖν Διοσκούροιν πέρι* (vide quae diximus p. 781).

POMPEIVS MACER

Disputavit de hoc poeta Meineke Vind. Strab. p. 213 sq., qui Theophanis Mitylenaei sive filium sive nepotem fuisse eum conicit.

1

δεῦτ' ὦ τέκν', ὦ στεργχθένθ' ὅσον πλεῖστον θέμις,
ὦ πολλὰ τέρψαντ' οὐδὲ λυπήσαντά τι
μητέρα, τί προσλάζεσθε κἀξαρτᾶσθέ μου;
βούλεσθ' ἀθύρειν; παίζετ', ὦ νέαι φρένες·
ὡς ἔστιν ὑμῖν τοῦτ' ἔαρ παντὸς βίου, 5
ἥβη δὲ λῦπαι φροντίδες θ' ἡβῶσ' ὁμοῦ.

Stob. Flor. 78, 7: *Πομπηίου Μάκρου* (sic S, *πομπηίου μακροῦ* MA). '*δεῦτ' ὦ — ὁμοῦ*'. v. 1 *ὦ τέκνα ὦστ' ἐρχθέντα* SM. v. 2 *τέρψαντ'* ex *τέρψαντά τι* corr. S pr. m. v. 3 *προσλάζεσθε* SMA, *προσλάζυσθε* cod. Voss. *κἀξάρτεσθέ μου* libri, corr. Valckenaer. v. 4 *νέε* SMA, *νέαι* cod. Voss. v. 5 *ὑμῖν* fortasse cod. Voss., *ἡμῖν* SMA.

SERAPION

1

οὐ τῆς ἐμῆς ἕκατι καρδίας φέρεις
λόγους προσηνεῖς, τοῦ δὲ σοῦ κέρδους χάριν.

Stob. Flor. 10, 2: *Σεραπίωνος.* '*οὐ — χάριν*'.

ZENODOTVS

1

κηρύσσεται ⟨γὰρ⟩ ἀρετή· κακὸς δ' ἀνὴρ
σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον.

Stob. Flor. 2, 12: *Ζηνοδότου* (sic MA, eclogam ignorat S, *Ζήνωνος* coni. Meineke). '*κηρύσσεται — βίον*'. v. 1 *κηρύσσεται ἀεὶ ἀρετὴ* MA, *κηρύσσεται μὲν ἡ 'ρετή* (debebat *ἀρετή*) Valckenaer. pro *μὲν* ego malui *γὰρ* scribere. v. 2 *θανῶν* M.

ZOPYRVS

1

μηδεὶς ἄπειρος τῶν ἐμῶν εἴη φίλων
ἔρωτος, εὐτυχῶν δὲ τὸν θεὸν λάβοι.

Stob. Flor. 63, 8: *Ζωπύρου* (sic MA, eclogam om. S). '*μηδεὶς — λάβοι*'. v. 2 *βροτὸς* libri, *ἔρωτος* coni. Gesner. *εὐτυχῶν* Gesner, *εὐτυχὼν* MA, *ἐντυχὼν* coni. Meineke, *εὖ φρονῶν* O. Hense Exerc. crit. p. 25, *εὐαγῶν* Enger Adnot. ad poet. Gr. fr. p. 13. *εὐτυχοῖ δὲ τὸν θεὸν λαβών* F. G. Schmidt Anal. Soph. p. 49, *εὐμενοῦς δὲ τοῦ θεοῦ τύχοι* ego malim.

THESPIS

Thespidis quaecumque feruntur ab impostoribus esse ficta vix est quod moneam, et proditur hoc fraudis genere usus esse Heraclides Ponticus. Laert. Diog. 5, 92: *φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς καὶ τραγῳδίας αὐτὸν* (Heraclidem) *ποιεῖν καὶ Θέσπιδος αὐτὰς ἐπιγράφειν*. Heraclidis igitur crediderim esse fr. 1—3: nam fr. 4 non dubito quin alteri post Christum saeculo debeatur.

ΠΕΝΘΕΥΣ

1

ἔργῳ νόμιζε νεβρίδ' ἔχειν ἐπενδύτην

Pollux 7, 45: *ὁ ἐπενδύτης ἐστὶν ἐν τῇ τῶν πολλῶν χρήσει — καὶ Θέσπις δέ που φησὶν ἐν τῷ Πενθεῖ* '*ἔργῳ — ἐπενδύτην*'. *ἔργον* coni. R. Methner progr. a. 1882 p. 13. ceterum cf. Eur. Bacch. 137: *νεβρίδος ἔχων ἱερὸν ἐνδυτόν.*

INCERTARVM FABVLARVM FRAGMENTA

2

οὐκ ἐξαθρήσας οἶδ', ἰδὼν δέ σοι λέγω.

Anonymus Letronnii *Les papyrus grecs* p. 102: *Θέσπις ὁ ποιητὴς οὕτως ἀπέφασκεν* '*οὐκ — λέγω*'. *ἐξακούσας* probabiliter coni. Methner progr. a. 1882 p. 13. *οι δα* papyrus.

3

ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν,
οὐ ψεῦδος οὐδὲ κόμπον, οὐ μῶρον γέλων
ἀσκῶν, τὸ δ' ἡδὺ μοῦνος οὐκ ἐπίσταται.

Plut. de audiendis poetis c. 14 p. 36 B: τὰ δὲ τοῦ Θέσπιδος ταυτί 'ὁρᾷς — ἐπίσταται'. v. 3 ἀσκεῖ malim. cum verbis quae sequuntur cf. Aesch. Prom. 980: τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.

4

ἴδε σοὶ σπένδω κναξζβὶ τὸ λευκὸν
ἀπὸ θηλαμόνων θλίψας κνακῶν·
ἴδε σοὶ μέλιτι χθύπτην τυρὸν
μίξας ἐρυθρῷ κατὰ τῶν σῶν, Πὰν
δίκερως, τίθεμαι βωμῶν ἁγίων. 5
ἴδε σοὶ βρομίου [αἴθοπα] φλεγμὸν λείβω.

Clemens Alex. Strom. V p. 675: ἐπέψαλλεν δὲ ὥς εἰπεῖν ὁ λαός 'βέδυ ζὰψ χθὼν (leg. χθὼμ) πλῆκτρον σφίγξ· κναξζβὶ χθύπτης φλεγμὸς δρώψ'. μέμνηται τῆς ἱστορίας καὶ Καλλίμαχος ἐν ἰάμβοις. κναξζβὶ (κναζβὶ L, corr. Sylburg) δὲ κατὰ παραγωγὴν ἡ νόσος παρὰ τὸ κναίειν καὶ διαφέρειν (l. διαφθείρειν cum Sylburgio), θῦψαί τε (θρύψαι τε L, corr. Sylburg) τὸ κεραυνῷ φλέξαι. Θέσπις μέντοι ὁ τραγικὸς διὰ τούτων ἄλλο τι σημαίνεσθαι φησὶν ὧδέ πως γράφων 'ἴδε σοι σπένδω — λείβω'. αἰνίσσεται, οἶμαι, τὴν ἐκ τῶν τεσσάρων καὶ εἴκοσι στοιχείων ψυχῆς γαλακτώδη πρώτην (πρώκτην L, corr. Heinsius) τροφήν, μεθ' ἣν ἤδη πεπηγὸς γάλα τὸ βρῶμα, τελευταῖον δὲ αἷμα ἀμπέλου τοῦ λόγου τὸν αἴθοπα οἶνον τὴν τελειοῦσαν (fort. τέλος οὖσαν) τῆς ἀγωγῆς εὐφροσύνην διδάσκει. vide quae de hoc loco disputavit Bentley Epist. ad Millium p. 47 sqq. v. 1 κνὰξ ζβὶχ λευκὸν coni. Salmasius Hesychii glossis κνάξ et ζβίχ nixus, κναξζβὶ λευκὸν Toup Emend. in Suid. 2 p. 565. v. 2 ἀπὸ] γάλα malim. v. 3 sq. μέλιτι χθύπτην τυρὸν μίξας (an μείξας?) ἐρυθρῷ scripsi, χθύπτην τυρὸν μίξας ἐρυθρῷ μέλιτι vulgo. v. 4 sq. Πὰν δίκερως Sylburg, πανδικαίρως L. v. 6 βρομίου Sylburg, βρωμίου L. αἴθοπα delendum suspicor. φλεγμὸν Potter, φλογμὸν L, φλεγμὼ Bentley. ceterum κναξζβί et χθύπτης formas (v. 1 et 3) confirmat Porphyrii locus e cod. Oxoniensi a Bentleio editus, contra κνάξ ζβίχ θύπτης habet Hesychius (2 p. 496: κνάξ· γάλα λευκόν. 2 p. 254: ζβίχ· λευκόν, ubi ζαβίχ praebet cod. invito litterarum ordine. 2 p. 330: θύπτης· ὁ τυρός). φλεγμός et δρώψ Clementi et Hesychio communia sunt (cf. Hesych. 1 p. 540: δρώψ· ἄνθρωπος. 4 p. 247: φλεγμός· τὸ αἷμα), φλεγμώ et δρώψ rectius Porphyrius.

ADESPOTA

ΑΘΑΜΑΣ

1

βρυαζούσης λεαίνης

Hesych. 1 p. 402: *βρυαζούσης λεαίνης· ἐν Ἀθάμαντι. ἀκμαζούσης* (*ἐν Ἀθάμαντι α΄ ἢ βραζούσης* coni. M. Schmidt) *ἢ ἐγκύμονος.* Aeschyli Athamas dici videtur.

ΑΠΟΠΛΟΥΣ

Commemorat hanc fabulam Aristot. Poet. c. 23 p. 1459 b 7, vide Soph. fr. p. 246.

ΕΛΛΗ (?)

Aristot. Poet. c. 14 p. 1454 a 8: *καὶ ἐν τῇ Ἕλλῃ ὁ υἱὸς τὴν μητέρα ἐκδιδόναι μέλλων ἀνεγνώρισεν.* scribendum esse *Ἀντιόπῃ* coni. Valckenaer Diatr. p. 59, *Ὑψιπύλῃ* Hartung Eur. rest. 2 p. 431.

ΕΠΙΓΟΝΟΙ

2

ὀλόμενε παίδων, ποῖον εἴρηκας λόγον;

Ath. XIII p. 584 D: *Ἀνδρονίκου δὲ τοῦ τραγῳδοῦ ἀπ' ἀγῶνός τινος, ἐν ᾧ τοὺς Ἐπιγόνους* (*τοῖς Ἐπιγόνοις* coni. Dobree Adv. 2 p. 345, *τοὺς Ἐπιγόνους ὑποκρινόμενος* Meineke) *εὐημερήκει, πίνειν μέλλοντος παρ' αὐτῇ* (sc. *Γναθαίνῃ*) *καὶ τοῦ παιδὸς κελεύοντος τὴν Γνάθαιναν προαναλῶσαι, 'ὀλόμενε παίδων' ἔφη 'ποῖον εἴρηκας λόγον;'* utrum Sophoclis an Aeschyli sit versus nescimus.

3

Cic. Tusc. 2, 25, 60: *Cleanthem, cum pede terram percussisset, versum ex Epigonis ferunt dixisse,*

audisne haec, Amphiarae, sub terram abdite?

Epigonos Sophoclis intellexerim cum Heathio et aliis. Graeca verba fuisse suspicor

κλύεις τάδ', Ἀμφιάραε, γῆς κεύθων κάτω;

ΕΥΡΥΠΥΛΟΣ

Aristot. Poet. c. 23 p. 1459 b 6, vide Soph. fr. p. 246. cf. Procli Chrestom. p. 459 sq.: *Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν ἀποκτείνει Νεοπτόλεμος.*

ΙΞΙΩΝ

4

τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο,
τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖ.

Plut. de audiendis poetis c. 3 p. 18 E: *τὸ 'εἴπερ γὰρ ἀδικεῖν χρή, τυραννίδος πέρι κάλλιστον ἀδικεῖν'* (Eur. Phoen. 524 sq.) *καὶ τὸ 'τοῦ μὲν — κερδανεῖς' καὶ τὸ 'τάλαντον ἡ προίξ —'* (Com. vol. 4 p. 668) *μοχθηροὶ μέν εἰσι λόγοι καὶ ψευδεῖς, Ἐτεοκλεῖ δὲ καὶ Ἰξίονι καὶ τοκογλύφῳ πρεσβύτῃ πρέποντες.* Stob. Flor. 2, 8 (quam eclogam sine lemmate praebet Trinc., om. SMA): *'τοῦ μὲν — κερδανεῖς'.* v. 2 *κερδανεῖς* Plut. et Stob., *κερδανεῖ* scripsi. Euripidi locus tribuitur satis probabiliter.

5

ἐχθρὸς μὲν ἀνήρ, ἀλλὰ τὴν δίκην σέβω.

Stob. Ecl. 1, 3, 30 p. 58, 2: *Ἰξίονος* (sic Wachsmuth, *ἠξίωνος* lemma praebet P, om. F). *'ἐχθρὸς — σέβω'.* *ἀνήρ* Gaisford, *ἀνὴρ* FP.

ΚΙΝΥΡΑΣ

Suetonius Calig. c. 57: *et pantomimus Mnester* (al. *Mnestor*) *tragoediam saltavit, quam olim Neoptolemus tragoedus ludis quibus rex Macedonum Philippus occisus est egerat.* Iosephus Ant. Iud. 19, 1, 13: *ὅ τε ὀρχηστὴς δρᾶμα εἰσάγει Κινύραν, ἐν ᾧ αὐτός τε ἐκτείνετο καὶ ἡ θυγάτηρ Μύρρα — ὁμολογεῖται δὲ καὶ τὴν ἡμέραν ἐκείνην γενέσθαι ἐν ᾗ Φίλιππον τὸν Ἀμύντου Μακεδόνων βασιλέα κτείνει Παυσανίας εἷς τῶν ἑταίρων εἰς τὸ θέατρον εἰσιόντα.* de argumento fabulae cf. Ovid. Met. 10, 298—502 Hygin. fab. 58 Serv. in Verg. Bucol. 10, 18 al.

ΜΗΔΕΙΑ

6

ὀλόμαν ὀλόμαν ἀποχηρωθείς

Ar. Pac. 1013: *κᾆτα Μελάνθιον ἥκειν ὕστερον εἰς τὴν ἀγοράν, — εἶτα μονῳδεῖν ἐκ Μηδείας 'ὀλόμαν ὀλόμαν ἀποχηρωθεὶς τᾶς ἐν τεύτλοισι λοχευομένας'· τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν.* ubi Schol. v. 1012: *μήποτε ἐκ τῆς Εὐριπίδου Μηδείας παραγράφει ἐκεῖνα 'ὢ δύστηνος ἐγὼ μελέα τε πόνων, πῶς ἂν ὀλοίμαν'. οἱ δὲ αὐτοῦ τοῦ*

Μελανθίου φασὶν εἶναι Μήδειαν, ἐξ ἧς ταῦτα. Euripidea de fabula vana est suspicio, quam suspicionem, si Melanthii Medea extitisset, nemo unquam prolaturus erat. ex Morsimi potius Medea illud *ὀλόμαν ὀλόμαν ἀποχηρωθεὶς* petitum esse probabiliter coni. Fritzsche in Ar. Ran. p. 105. Iasonis esse verba manifestum est. quae subicit Aristophanes, *τᾶς ἐν τεύτλοισι λοχευομένας*, nescimus unde detorta sint.

ΝΙΟΒΗ

7

λεπτοσπαθήτων χλανιδίων ἐρειπίοις
θάλπουσα καὶ ψύχουσα καὶ πόνῳ πόνον
ἐκ νυκτὸς ἀλλάσσουσα τὸν μεθ' ἡμέραν

Plut. Quaest. conv. 6, 6, 2 p. 691 D: *ἡ τραγικὴ ἐκείνη τροφὸς τὰ τῆς Νιόβης τέκνα τιθηνεῖται 'λεπτοσπαθήτων — ψύχουσα'* (v. 1 et 2). Plut. de amore prolis c. 4 p. 496 E: *μηδὲν ἡδὺ καρπουμένη μηδὲ χρήσιμον, ἀλλ' ἐπιπόνως καὶ ταλαιπώρως ἀναδεχομένη τῶν σπαργάνων 'ἐρειπίοις θάλπουσα — ἡμέραν'.* v. 3 *μεθ' ἡμέραν* Cobet Mnem. nov. 1 p. 379, *καθ' ἡμέραν* libri. Sophoclis Niobae probabiliter locum vindicat Valckenaer in Phalar. p. X.

ΟΔΥΣΣΕΥΣ ΨΕΥΔΑΓΓΕΛΟΣ

Aristot. Poet. c. 16 p. 1455 a 13: *ἔστι δέ τις καὶ συνθετὴ* (sc. *ἀναγνώρισις*) *ἐκ παραλογισμοῦ τοῦ θεάτρου, οἷον ἐν τῷ Ὀδυσσεῖ τῷ ψευδαγγέλῳ· ὃ μὲν γὰρ τὸ τόξον ἔφη γνώσεσθαι ὃ οὐχ ἑωράκει, τὸ δὲ ὡς δι' ἐκείνου ἀναγνωριοῦντος, διὰ τούτου ποιῆσαι παραλογισμός* (*παραλογισμόν* cod., corr. Vahlen).

ΟΙΔΙΠΟΥΣ

8

οἰκτρῶς θανεῖν μ' ἄνωγε σύγγαμος πατήρ

Sueton. Neron. c. 46: *observatum etiam fuerat novissimam fabulam cantasse eum* (Neronem) *publice Oedipum exulem atque in hoc desisse versu* '*θανεῖν — πατήρ*'. Dio Cass. 63, 28: *Νέρων μὲν δὴ τοιαῦτα ἐτραγῴδει καὶ τὸ ἔπος ἐκεῖνο συνεχῶς ἐνενόει 'οἰκτρῶς — πατήρ'. οἰκτρῶς* om. Suet. *πατήρ*] *μήτηρ πατήρ* Suet. Euripideum esse versum coni. Welcker.

ΠΑΡΘΕΝΟΠΑΙΟΣ

Laert. Diog. 5, 92 (unde non nulla repetiit Suidas v. *παραστιχίς*): *Διονύσιος ὁ μεταθέμενος ἢ Σπίνθαρος, ὥς ἔνιοι, γράψας τὸν Παρθενοπαῖον ἐπέγραψε Σοφοκλέους. ὃ δὲ* (Heraclides Ponticus)

*πιστεύσας εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους. αἰσθόμενος δ' ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ τὸ γεγονός. τοῦ δ' ἀρνουμένου καὶ ἀπιστοῦντος ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε Πάγκαλος· οὗτος δ' ἦν ἐρώμενος Διονυσίου. ὡς δ' ἔτι ἀπιστῶν ἔλεγε κατὰ τύχην ἐνδέχεσθαι οὕτως ἔχειν, πάλιν ἀντεπέστειλεν ὁ Διονύσιος ὅτι καὶ ταῦτα εὑρήσεις 'γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ· ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται', καὶ πρὸς τούτοις ''Ηρακλείδης γράμματα οὐκ ἐπίσταται'. ὃ δ' ᾐσχύνθη**).

ΠΤΩΧΕΙΑ

Aristot. Poet. c. 23 p. 1459 b 6, vide Soph. fr. p. 246.

ΣΚΥΛΛΑ

Ovidius Trist. 2, 393: *impia nec tragicos tetigisset Scylla cothurnos, ni patrium crinem desecuisset amor.* de Scylla Nisi filia, quae Minois amore incensa patrem prodidit et a Minoe repudiata est, cf. Apollod. 3, 15, 8 Hygin. fab. 198 Ovid. Met. 8, 6 sqq. Schol. Dionys. Per. 420 al. obiter commemorat Scyllae proditionem Aeschylus Choeph. 613—622, nec tamen istum locum Ovidio obversatum esse credibile est: videntur potius Scyllae fata integrae tragoediae fuisse argumentum. quae vero leguntur in Aristot. Poet. c. 15 p. 1454 a 31: *ἔστι δὲ παράδειγμα πονηρίας μὲν ἤθους μὴ ἀναγκαῖον οἷον ὁ Μενέλαος ὁ ἐν τῷ Ὀρέστῃ, τοῦ δὲ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος ὅ τε θρῆνος Ὀδυσσέως ἐν τῇ Σκύλλῃ καὶ ἡ τῆς Μελανίππης ῥῆσις*, et c. 26 p. 1461 b 32: *οἱ φαῦλοι αὐληταὶ κυλιόμενοι, ἂν δίσκον δέῃ μιμεῖσθαι καὶ ἕλκοντες τὸν κορυφαῖον, ἂν Σκύλλαν αὐλῶσιν*, nolim de tragoedia accipi: potius dithyrambum Timothei Milesii intellegendum esse docuit Th. Gomperz *Anzeiger der philos.-hist. Cl. der Wiener Akad.* 1886 et *Jahrb. f. Philol.* 133 p. 771—775.

ΣΚΥΡΙΟΙ

9

σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
ξαίνεις ἀρίστου πατρὸς Ἑλλήνων γεγώς;

Plut. de audiendis poetis c. 13 p. 34 D: *τὴν δὲ πρὸς τὸν Ἀχιλλέα τὸν ἐν Σκύρῳ καθήμενον ἐν ταῖς παρθένοις γεγενημένην ἐπίπληξιν ὑπὸ τοῦ Ὀδυσσέως* '*σὺ δ'* — *γεγώς;*' Plut. de adulat. et amico c. 33 p. 72 E: *καὶ ὁ ἐν τοῖς Σκυρίοις Ὀδυσσεύς* '*σὺ δ'* — *γεγώς;*' Sophocli locum tribuit Brunck. v. 1 *ἀποσβεννὺς*] *καταισχύνων* p. 72.

*) Ita extrema verba scribenda sunt; vulgo legitur *Ἡρακλείδης γράμματα οὐκ ἐπίσταται οὐδ' ᾐσχύνθη*. fortasse Dionysius cum ipse olim deceptus esset Heraclidis fraude ea quam p. 832 commemoravimus, postea vindictam ab Heraclide sumpsit et par pari rettulit.

ΦΙΛΟΚΤΗΤΗΣ

10

τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα
δέξαιτ' ἄν; εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας.

Plut. an seni sit gerenda res publ. c. 9 p. 789 A: *ὁ γαμεῖν παρασκευαζόμενον γέροντα ἐστεφανωμένον καὶ μυριζόμενον ἀποτρέπων καὶ λέγων τὰ πρὸς τὸν Φιλοκτήτην 'τίς — τάλας', οὐκ ἄτοπός ἐστι.* Plut. V. Solon. c. 20: *ἀλλὰ γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς ἄρχων ἢ νομοθέτης τὸ πρὸς τὸν Φιλοκτήτην 'εὖ γ' οὖν — τάλας'* (v. 2). v. 2 *γ' οὖν* Plut., *γοῦν* Musgrave. Euripidi locum tribuit Musgrave, Sophocli Hermann, Matthiae Strattidi comico, cf. Meineke Com. 4 p. 673 Herwerden Exerc. crit. p. 87 Kock Com. Att. 3 p. 609.

ΦΙΝΕΙΔΑΙ

Aristot. Poet. c. 16 p. 1455 a 10: *τετάρτη δὲ* (sc. *ἀναγνώρισις*) *ἡ ἐκ συλλογισμοῦ, οἷον — ἡ ἐν τοῖς Φινείδαις* (sic Reiz, *φινίδαις* cod.)· *ἰδοῦσαι γὰρ τὸν τόπον συνελογίσαντο τὴν εἱμαρμένην, ὅτι ἐν τούτῳ εἵμαρτο ἀποθανεῖν αὐταῖς· καὶ γὰρ ἐξετέθησαν ἐνταῦθα.* cf. Timocles Com. 3 p. 593: *ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι τυφλοί.* eiusdem tituli tragoediam scripsit Accius.

ΩΡΑΙ (?)

11

πᾶν εὐμαρὲς θεοῖσι κοὐδαμῇ μακράν.

Orion Flor. 5, 8 p. 47, 22: *ἐκ τῶν Ὡρῶν. 'πᾶν — μακράν'.* *πανευμαρὲς* cod. tragici poetae esse versum coni. Schneidewin p. 80. fortasse *ἐκ τῶν Κωφῶν* (Sophoclis) legendum. *ἐκ τῶν Μοιρῶν* (Achaei) coni. Meineke Philol. 18 p. 536.

12

ἐλευθέραν μέν, ὡς ἔφυν, δούλην δὲ νῦν

Achilles Tat. 5, 17, 3 p. 144, 5 ed. Herch.: *καὶ 'ἐλέησόν με' ἔφη 'δέσποινα, γυνὴ γυναῖκα, ἐλευθέραν μέν, ὡς ἔφυν, δούλην δὲ νῦν, ὡς δοκεῖ τῇ Τύχῃ'.*

13

Aelian. N. A. 3, 47: *δότε μοι τοὺς τραγῳδοὺς πρὸς τοῦ πατρῴου Διὸς καὶ πρό γε ἐκείνων τοὺς μυθοποιοὺς ἐρέσθαι τί βουλόμενοι τοσαύτην ἄγνοιαν τοῦ παιδὸς τοῦ Λαΐου καταχέουσι τοῦ συνελθόντος τῇ μητρὶ τὴν δυστυχῆ σύνοδον, καὶ τοῦ Τηλέφου τοῦ μὴ πειραθέντος*

μὲν τῆς ὁμιλίας, συγκατακλινέντος δὲ τῇ γειναμένῃ καὶ πράξαντος ἂν τὰ αὐτά, εἰ μὴ θείᾳ πομπῇ διεῖρξεν ὁ δράκων. quae de Auga et Telepho hoc loco significantur magis quam produntur uberius exponit Hyginus fab. 100. cuius tragici poetae quam fabulam spectet Aelianus nescimus.

14

σωτῆρες ἔνθα κἀγαθοὶ παραστάται

Aelian. V. H. 1, 30: *Διόσκουροι τοῖς δειλαίοις γενώμεθα σωτῆρες ἔνθα κἀγαθοὶ παραστάται, τοῦτο δὴ τὸ λεγόμενον ἐπὶ τῶν θεῶν τούτων.* *ἔνθα* corruptum, *ἐσθλοὶ* probabiliter coni. R. Hercher, *ἄμφω* F. G. Schmidt *Krit. Stud.* 3 p. 28.

15

Alciphr. 2, 2, 7: *ὁ Ἀτρεὺς οὗτος 'ἔξελθε' φησὶν 'ἐκ τῆς ἐμῆς μοναγρίας'.* 'videntur haec ad tragoediam Graeci poetae, fortasse Sophoclis, referenda esse; nec inepte quis coniciat sequentia ipsa poetae verba esse: *ἔξελθε* — ⏑ *τῆς ἐμῆς μοναρχίας*, cui scriptor suo consilio accommodate *μοναγρίας* substituit'. *Meineke.*

16

μάτην ἀδήλους ἐλπίδας καραδοκῶν

Alciphr. 3, 13, 3: *τίς ἂν οὖν ἔτι πονοίη, μάτην ἀδήλους ἐλπίδας ἐκ γεωργίας καραδοκῶν; μετιτέον μοι ἐφ' ἕτερον βίον.* verba *ἐκ γεωργίας* aut delenda aut post *μετιτέον μοι* collocanda sunt: quae si removeris, habebis trimetrum tragico poeta haud indignum.

17

ὦ δαῖμον ὅς μ' εἴληχας, ὡς πονηρὸς εἶ.

Alciphr. 3, 49, 1: *ὦ δαῖμον ὅς με [κεκλήρωσαι καὶ] εἴληχας, ὡς πονηρὸς εἶ καὶ λυπεῖς ἀεὶ τῇ πενίᾳ συνδέων.* verbis *κεκλήρωσαι καὶ* expunctis senarium restituit Cobet V. L. p. 64. utrum comici sit versus an tragici, non ausim decernere. simillima sunt verba Theocriti 4, 40: *αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος, ὅς με λελόγχει* (*λέλογχεν* malim).

18

σιγῶ· σιωπὴ δ' ἐστὶ τοῦ θυμοῦ τροφή.

Alciphr. 3, 63, 2: *ἡμᾶς δὲ τέως μὲν ἀνάγκη κρύπτειν τὸ κακὸν καὶ πρὸς τὸ παρὸν σιγώην· σιγὴ* (*σιωπὴ* cod. Ven.) *δέ ἐστι τοῦ θυμοῦ τροφή· ἐπειδὰν δέ τι κἂν βραχὺ λυπήσωσι — εἴσεται τὸ γεγονὸς ὁ Φαιδρίας.* scribendum *πρὸς τὸ παρὸν σιγᾶν. σιγῶ· σιωπὴ δ' ἐστὶ τοῦ*

θυμοῦ τροφή. quod I. A. Wagner dicit, verba σιγὴ δέ ἐστι τοῦ θυμοῦ τροφή, ex Euripide esse desumpta, nescio quo testimonio nitatur.

19

Alexis (Com. 3 p. 419) apud Ath. XII p. 552 D:

Ἑρμῆ νεκρῶν προπομπὲ καὶ Φιλιππίδου
κληροῦχε, νυκτός τ' ὄμμα τῆς μελαμπέπλου.

his verbis tragica parodia videtur inesse. v. 1 νεκρῶν Casaubonus, θεῶν libri. an θεῶν κληδοῦχε καὶ Φιλιππίδου προπομπέ legendum?

20

ἐν βροτοῖς αὐδώμενος

Alexis (Com. 3 p. 492) ap. Ath. VI p. 242 C: εἶθ' ὁ Μοσχίων, ὁ παραμασήτης ἐν βροτοῖς αὐδώμενος. extrema verba ex tragoedia desumpta sunt, cf. Meineke Ath. 4 p. 105.

21

Alexis (Com. 3 p. 512) ap. Ath. II p. 39 B:

ἄνθρωπος οὐδεὶς φιλοπότης ἐστὶν κακός·
ὁ γὰρ διμάτωρ Βρόμιος οὐ χαίρει συνὼν
ἀνδράσι πονηροῖς οὐδ' ἀπαιδεύτῳ βίῳ.

quod v. 2 habemus διμάτωρ Βρόμιος ex poeta lyrico vel tragico sumptum esse agnovit Meineke. v. 1 οὐδεὶς φιλοπότης ἄνθρωπός ἐστι κακός C, quod correxi.

22

ἀείζων πένθος

Anecd. Bekk. p. 347, 30: ἀείζων πένθος ἐρεῖς, ὡς Σοφοκλῆς (fr. 675) ἀείζωον ἕλκος. verba ἀείζων πένθος tragici esse poetae coni. Fritzsche in Ar. Ran. p. 101.

23

ἀντίον δορὸς ὀρνύμενος Ἀχιλλέως

Anecd. Oxon. 1 p. 122, 26: ἡ εὐθεῖα δόρυ — ἡ γενικὴ δούρατος καὶ ἐν συγκοπῇ δουρός, ὑφέσει τοῦ Υ δορός· 'ἀνταίου — Ἀχιλλέως'. ἀνταίου ed., ἀντίον corr. Lehrs in Herod. p. 119. locum ex tragoedia depromptum esse coni. Bergk Lyr. 3 p. 720.

24

μισῶ παρ' ἐχθρῶν θῶπας εὐειδεῖς λόγους.

Anecd. Oxon. 2 p. 414, 6: τωθάζω — ἐκ τοῦ θώψ, ὃ σημαίνει

τὸν κόλακα (τὸ κολυμα ed.)· τὸ θώψ μέγα ἐκ τῆς χρήσεως· ʻμισῶ — λόγῳʼ. eundem versum servavit Etym. M. codex F teste Millero p. 289. μισῶ γὰρ ἐχθρῶν coni. E. Miller, μισῶ γὰρ ἔμφρων vel ἔχθω γὰρ ἔχθω F. G. Schmidt *Krit. Stud.* 3 p. 36. λόγους F, λόγῳ Anecd. Oxon.

25

πρὸς σὲ πελάζω
τὸν ὀπισθοβάτην πόδα γηροκομῶν.

Anonymus in Hercul. vol. coll. alt. VII f. 94: τοῦ δὲ ʻπρὸς σὲ — γηροκομῶνʼ τὸ παρεῖναι καμπύλας βακτηρίας ἔχοντας πρεσβύτα⟨ς⟩, τοῦ δὲ ʻἥκω φέρων σοι τῶν ἐμῶν βοσκημάτωνʼ (Eur. El. 494) ⟨τὸ⟩ φέρειν ἄρν⟨α⟩. locum indicavit et πρεσβύτα⟨ς⟩ pro πρεσβυτα correxit Th. Gomperz, qui Euripidi hos anapaestos tribuit *Nachl.* p. 14.

26

καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσιν νόμον
ὄψει διαθρῶν· οὐδὲν ἦν πάντῃ καλὸν
οὐδ' αἰσχρόν, ἀλλὰ ταὔτ' ἐποίησεν λαβὼν
ὁ καιρὸς αἰσχρὰ καὶ διαλλάξας καλά.

Anonymi diss. in Orellii Opusc. sent. vol. 2 p. 216: παρεξοῦμαι δὲ καὶ ποίημά τι ʻκαὶ γὰρ — καλάʼ. v. 1 καὶ γάρ τιν' ἄλλον τόνδε scribendum arbitror. v. 2 διαθρῶν Valckenaer in Eur. Phoen. p. 183, διαιρῶν libri, an διαρθρῶν leg.? οὐδὲν ἦν scripsi, οὐδὲν ἂν vulgo, οὐδὲν ὃν Cobet Coll. crit. p. 235 sq. v. 3 ταῦτ' ed., ταὔτ' Meineke in Men. p. 201, qui Euripidis hos esse versus coniecit.

27

τὸ μέν τι χαίρω, τὸ δέ τι καὶ λυπούμεθα.

Anonymus de barbarismo et soloecismo in Append. Lex. Vindob. p. 291, 8 sive Anecd. Boiss. vol. 3 p. 239: γίνεται δὲ (sc. σολοικισμός) — περὶ τοὺς ἀριθμούς ʻτὸ μέν — λυπούμεθαʼ.

28

μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

Anthol. Pal. 10, 95: τοῦ αὐτοῦ (i. e. Palladae). ʻμισῶ — τρόποιςʼ. iterum hi versus in Anth. Pal. post 15, 20 leguntur, in Plan. epigramma est ἄδηλον sicut in Zenob. 3, 23. fortasse in poetae nomine erratum est, utique tragoedia digni sunt versus.

29

οὐκ οἶδ' ὅπως χρὴ . . σαφῶς κατειδότα
τῆς Ἡρακλείας φροντίδος κατηγορεῖν.

Anonymus Letronnii *Les papyrus grecs* p. 94 sq.: 'οὐκ οἶδ' — κατηγορεῖν'. v. 1 ⟨τὸν⟩ σαφῶς Letronne, ⟨μὴ⟩ σαφῶς Fix. Euripideos esse versus coni. Letronne, ad Syleum refert R. Methner diss. p. 5 sq.

30

οὐκ οἶδα· τἀληθὲς γὰρ ἀσφαλὲς φράσαι.

Anonymus Letronnii *Les papyrus grecs* p. 101 sq.: οὕτως ἀπεφήνατό τις 'οὐκ — φράσαι'. Euripidi fr. 30 et 31 tribuit Bergk.

31

οὐκ ἀξιῶ μικρῶν σε, μεγάλα δ' οὐκ ἔχω.

Anonymus Letronnii *Les papyrus grecs* p. 106: εἰ οὕτως ἀπεφαίνετό τις τῶν ποιητῶν 'οὐκ — ἔχω'. μικων papyrus.

32

τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ
. . . . . δοῖεν

Antiphanes Com. 3 p. 89 ap. Ath. X p. 446 C et XI p. 494 D: τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ τῷ δημιουργῷ δοῖεν, ὅς ἐποίησέ σε. nominis τέκνον prior syllaba producta ostendit tragici poetae imitationem. v. 1 πολλὰ κἀγάθ'] πόλλ' ἀγαθὰ p. 446.

33

πυρὸς δ' ἐξ ὀμμάτων
ἔλαμπεν αἴγλην

Apollod. 2, 4, 9 de Hercule: ἦν δὲ καὶ θεωρηθεὶς φανερὸς ὅτι παῖς Διὸς ἦν· τετραπηχυαῖον μὲν γὰρ εἶχε τὸ σῶμα, πυρὸς δὲ ἐξ ὀμμάτων ἔλαμπεν αἴγλην· οὐκ ἠστόχει δὲ οὔτε τοξεύων οὔτε ἀκοντίζων. verba supra adscripta poetae videntur tragici, ex Euripidis Syleo repetita esse coni. R. Methner dissert. p. 5. mire dictum ἔλαμπεν αἴγλην, scripserim ἤστραπτεν αἴγλην.

34

οἴκημα καμπαῖς πολυπλόκοις

Apollod. 3, 1, 4: ἦν δὲ ὁ λαβύρινθος [ὃν Δαίδαλος κατεσκεύασεν] οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον. tragici poetae verba

agnovit Schaefer Meletem. crit. p. 88. eadem fere recurrunt 3, 15, 8: *πολυπλόκοις γὰρ καμπαῖς (ὁ λαβύρινθος) τὴν ἀγνοουμένην ἔξοδον ἀπέκλειε*, quae interpolatoris esse perspexit Hercher.

35

ἤτοι στρατεύσεις ἢ μένων ἔσῃ κακός.

Apollon. Lex. Hom. p. 85, 7: *ἤτοι — διαζευκτικὸς σύνδεσμος· ʽἤτοι στρατεύσει σημαίνων ἔσῃ κακός'. στρατεύσεις ἢ μένων* correxit Toup Emend. 3 p. 24. versum suspicor Sophocleum esse ex *Ἀχαιῶν συλλόγῳ* petitum; videtur Vlixes Achillem alloqui.

36

μαίνεται δ' ὅστις βροτῶν
ψυχῆς νομίζει τοὺς φίλους ὑπερτέρους.

Apophth. Vind. 136: *ʽ⟨μ⟩αίνεται — ὑπερτέρους'*. v. 1 *μαίνεται δ'* Wachsmuth, *αίνεται δὲ* V. v. 2 *φίλους νομίζει τοὺς τῆς ψυχῆς ὑπερτέρους* V, *φίλους νομίζει τῆς τύχης ὑπερτέρους* Wachsmuth, *φίλους νομίζει τοὺς τύχης ὑπηρέτας* Is. Hilberg, *ψυχῆς νομίζει τοὺς φίλους ὑπερτέρους* ego praetuli. Euripidis esse locum affirmat Wachsmuth.

37

κακοῦ γὰρ ἀνδρός ἐστι τοὺς καινοὺς φίλους
τιμᾶν, ἀτιμάζειν δὲ τοὺς παλαιτέρους.

Apophth. Vind. 138: *ʽ⟨κ⟩ακοῦ — παλαιοτέρους'*. v. 2 *παλαιτέρους* Wachsmuth, *παλαιοτέρους* V.

38

ὦ Ἡράκλεις

Aristid. vol. 1 p. 59: *τί δ' ἂν εἴποις τὴν περιβόητον κλῆσιν ἔν τε δὴ κωμῳδίαις καὶ τραγῳδίαις καὶ πᾶσι λόγοις, ἔτι καὶ νῦν παντὸς ὡς εἰπεῖν ʽὦ Ἡράκλεις' βοῶντος* —; de tragoediis falli videtur. neque enim in censum venit Eur. Herc. 175: *τὴν σὴν νομίζω δειλίαν, Ἡράκλεες*, ubi *ὦ Ἡράκλεις* (pro *Ἡράκλεες*) praebet Plut. V. Caton. min. c. 52.

39

. . . . . *ἔφορος οἰάκων* . .

Aristid. vol. 1 p. 65: *σωτὴρ τῶν ὅλων καὶ φύλαξ τῶν ἀθανάτων, εἰ δὲ θέλεις τραγικώτερον εἰπεῖν, ἔφορος οἰάκων, σῴζων τά τε ὄντα ἀεὶ καὶ τὰ γιγνόμενα.*

40

φίλων γὰρ ἄρξεις μὴ κρατῶν ὅσον θέλεις.

Aristid. vol. 1 p. 792: *μεστὴ δὲ καὶ ἡ τραγῳδία τῶν ταῦτα παραινούντων. ὃ μέν γέ τις αὐτῶν που λέγει 'φίλων — θέλεις', ὃ δ' αὖ* (Soph. Ai. 1353) *φησί 'κρατεῖς τοι τῶν φίλων ἡσσώμενος'.* Euripidis esse priorem versum coni. Porson Adv. p. 277. *ὅσον σθένεις* malit F. G. Schmidt *Krit. Stud.* 3 p. 28.

41

στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν

Ar. Ach. 33: *στυγῶν — ποθῶν.* ubi Scholia: *ὁ στίχος ἐκ τραγῳδίας.*

42

δυσπινῆ πεπλώματα

Ar. Ach. 426: *ἀλλ' ἦ τὰ δυσπινῆ θέλεις πεπλώματα ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;* vide quae dixi p. 443. *δυσπινεῖς στολάς* Soph. Oed. C. 1597.

43

ὦ Ζεῦ πανόπτα καὶ κατόπτα πανταχοῦ

Ar. Ach. 435: *ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχοῦ.* haec verba ut alia multa ibidem ex Euripide adumbrata esse suspicatur Meineke Vind. Aristoph. p. 8 coll. anonymo de Arati interpr. in Petavii Vranol. p. 275 C: *μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί· ὅτι καὶ οἱ ποιηταὶ πανόπτην καλοῦσι πανταχοῦ. ὦ Ζεῦ πανόπτα. καὶ ἥλιος ὃς πάντ' ἐφορᾷς.* ubi scribendum censet *πανόπτην καλοῦσιν· 'ὦ Ζεῦ πανόπτα καὶ κατόπτα πανταχοῦ' καὶ 'ἥλιος ὃς πάντ' ἐφορᾷς'.*

44

ἄπελθε λαΐνων σταθμῶν

Ar. Ach. 449: ΕΥΡ. *τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.* manifesta parodia tragici versus, fortasse Euripidei, cf. quae diximus p. 580. item Euripidea esse verba suspicor quae statim subiciuntur Ach. 450:

ὦ θύμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων.

45

ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν
λείπω φάος τόδ'· οὐκέτ' ⟨οὐδέν⟩ εἰμ' ἐγώ.

Ar. Ach. 1184: *δεινὸν ἐξηύδα μέλος 'ὦ — ἐγώ'.* v. 2 *φάος*

τοὐμόν, οὐκέτ' εἰμ' ἐγώ codex Rav., φάος τόδ'· οὐκέτ' οὐδέν εἰμ' ἐγώ Meineke *Zeitschr. f. d. Alt.* 1845 p. 1063. Ar. Eq. 1243: οἴμοι κακοδαίμων· οὐκέτ' οὐδέν εἰμ' ἐγώ. Eur. Alc. 387: ὡς οὐκέτ' οὖσαν οὐδέν. discedit a Meinekio F. G. Schmidt *Krit. Stud.* 3 p. 37, qui τοὐμόν in τὸ κοινόν mutat.

46

τί δῆτα χεῖρες οὐκ ἂν ἐργασαίατο;

Ar. Av. 1147: τί δῆτα πόδες ἂν οὐκ ἂν ἐργασαίατο; ubi Scholia: παρὰ τὴν παροιμίαν 'τί δῆτα χεῖρες οὐκ ἂν ἐργασαίατο;' Sophoclis hunc esse versum coni. Naber Mnem. nov. 11 p. 25.

47

ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου
δίνης πτερωτὸς φθόγγος ἐξακούεται.

Ar. Av. 1197: 'ὡς — ἐξακούεται'. tragicum colorem facile agnoscimus: dubitari tamen potest num integra verba Aristophanes servarit. cf. van de Sande Bakhuyzen de parodia p. 101, qui etiam αἰθὴρ δονεῖται verba Av. 1183 ex tragoedia derivat.

48

ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει φρένας

Ar. Av. 1238: 'ὦ μῶρε — φρένας'. fortasse Sophoclis versus sicut v. 1240 levi mutatione facta ex Sophocle repetitus est.

49

Ar. Av. 1708—17:

δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις·
προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς
ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ
οὔθ' ἡλίου τηλαυγὲς ἀκτίνων σέλας
τοιοῦτον ἐξέλαμψεν, οἷον ἔρχεται —
πάλλων κεραυνόν, πτεροφόρον Διὸς βέλος·
ὀσμὴ δ' ἀνωνόμαστος εἰς βάθος κύκλου
χωρεῖ, καλὸν θέαμα· θυμιαμάτων δ'
αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ.

imitatio tragoediae manifesta, sed dubitari non potest quin hic illic ab exemplari suo Aristophanes discesserit.

50

Ar. Eccl. 1: Ὦ λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου. ubi Scholia: ὑποπτεύεται δὲ ὁ ἴαμβος ἢ τοῦ Ἀγάθωνος ἢ τοῦ Δικαιογένους,

διὰ τὰς ἑταίρας ἐγκαθιζομένας. fortasse inanis ista suspicio, quamquam parodiam tragoediae et in hoc versu et in iis qui sequuntur videmur agnoscere. tragicum poetam dixisse *τοῦ διφρηλάτου κύκλου* coni. R. Methner progr. a. 1882 p. 14, *κύκλου* agnoverat van de Sande Bakhuyzen de parod. p. 180.

51

. . *γυναικῶν θηλύφρων ξυνουσία*

Ar. Eccl. 110: *καὶ πῶς γυναικῶν θηλύφρων ξυνουσία.* ubi Scholia: *ἐκ τραγῳδίας τοῦτο.* ex Euripidis Hypsipyle repetitum censet Meineke Vind. Ar. p. 186.

52

οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν
δρᾶσουσ'· ὅμως δ' οὖν ἐστι καρτερητέον.

Ar. Eccl. 325: *οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθε δράσουσ'· ὅμως δ' οὖν ἐστιν ἀποπατητέον.* videntur tragoediae esse versus: *ἀποπατητέον* pro *καρτερητέον* Aristophanes substituit.

53

Οὐλύμπου νόμον

Aristoph. Eq. 9: *ξυναυλίαν κλαύσωμεν Οὐλύμπου νόμον.* verba *Οὐλύμπου νόμον* ex tragoedia sumpta esse coni. Meineke Vind. Ar. p. 50.

54

Ar. Eq. 221: *ἀλλὰ στεφανοῦ καὶ σπένδε τῷ Κοαλέμῳ.* ubi Schol.: *ἀντὶ τοῦ ἀνοίᾳ· ἀναπλάττει δὲ αὐτὴν ὡς δαίμονα. τοῦτο δὲ παρῴδησεν ἐκ τῆς τραγῳδίας.* 'conferatur Eur. Bacch. 313: *καὶ σπένδε καὶ βάκχευε καὶ στέφου κάρα.* quem versiculum afferens non dico Aristophanem eum imitatum esse, nam Bacchae dudum post Equites doctae sunt'. van de Sande Bakhuyzen de parod. p. 31.

55

λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.

Ar. Eq. 1244: '*λεπτή — ὀχούμεθα*'. versus, nisi fallor, e tragoedia susceptus. cf. Ar. Com. 2 p. 1005: *ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ὠχεῖσθ' ἄρα.*

56

Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.

Ar. Eq. 1253: "*Ἑλλάνιε — νικητήριον*'. versus tragoediam sapit.

57

τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;

Ar. Lys. 707: '*τί μοι — δόμων;*' Euripidi hunc versum vindicabat Valckenaer Diatr. p. 210, cf. Eur. fr. 699.

58

ὦ πότνι' Εἰλείθυια

Ar. Lys. 742: *ὦ πότνι' Εἰλείθυι'* (*εἰλήθυι'* R Aug.), *ἐπίσχες τοῦ τόκου, ἕως ἂν εἰς ὅσιον μόλω ἐγὼ χωρίον*. Eccl. 369: *ὦ πότνι' Εἰλείθυια, μή με περιίδῃς διαρραγέντα.* dubitari non potest quin verba utriusque loci communia tragoediae debeantur. neque aliter iudicarim de Philem. Com. 4 p. 21: *Ἄρτεμι φίλη δέσποινα, τοῦτόν σοι φέρω, ὦ πότνι', ἀμφιφῶντα*, ubi A. Kalkmann de Hippolytis Eur. quaest. nov. p. 27 Euripidis Hippolytum velatum spectari conicit. integrum Lysistratae versum, *ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου*, ex Euripidis Auga repetitum esse coni. Meineke Vind. Aristoph. p. 129. at *ἐπίσχες τοῦ τόκου* verbis finiri tragicus iambus non potuit et vitiosa est *ἐπίσχε* forma a Meinekio commendata (cf. *Mélanges Gréco-Rom.* IV p. 289 sq. V p. 142 sq.). potuit vero Euripides scribere *ἐπίσχες μου τόκον*. etiam insequentem Lysistratae versum tragicae esse originis ex *μολεῖν* verbo colligit Herwerden Append. ad Studia crit. p. 13, nec tamen tragoediae convenit talis trimeter iambicus qualem finxit, *ἕως ἂν ἐς ὅσιον μόλω 'γὼ χωρίον* (cf. F. G. Schmidt *Krit. Stud.* 3 p. 40 sq.).

59

ναὶ ναί, καταιδέσθητι πατρῷον Δία.

Ar. Nub. 1468: '*ναὶ ναί — Δία*'. Euripidis esse versum coni. Porson in Med. 1314.

60

τί δ' ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;

Ar. Pac. 140: '*τί δ' ἢν — βάθος;*' his verbis tragoediam rideri ut metrum ita dicendi genus arguit. Scholia v. 141 has proferunt coniecturas: *τοὺς τραγικοὺς παίζει διὰ τὰ περὶ Ἰκάρου λεγόμενα· ἢ ἐπεὶ δοκεῖ ὁ Βελλεροφόντης τὴν τοῦ Προίτου γυναῖκα μετὰ τὴν τῆς Χιμαίρας ἀναίρεσιν ἐπανελθὼν εἰς Κόρινθον ἀπατῆσαι ὡς ἕξων γυναῖκα καὶ ἐπιβιβάσας τοῦ Πηγάσου εἰς μέσην ῥῖψαι τὴν θάλασσαν.* Stheneboeae Euripideae versum tribuit Meineke Ath. 4 p. 188, Bellerophonti Porson in Eur. Hec. 1010.

61

ὅς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου

Ar. Plut. 9: τῷ δὲ Λοξίᾳ, 'ὅς — χρυσηλάτου'. ubi Schol.: ἐτραγικεύσατο τῇ φράσει. cf. van de Sande Bakhuyzen de parod. p. 183, qui hoc cum versu coniungit Plut. 39:

τί δῆτα Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;

ubi Schol.: ἔλακεν ἐκ τῶν στεμμάτων] ἡ λέξις Εὐριπίδου.

62

καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον
χώραν τε πᾶσαν Κέκροπος ἥ μ' ἐδέξατο.

Ar. Plut. 771: 'καὶ προσκυνῶ γε — ἥ μ' ἐδέξατο'. ex tragoedia haec derivata esse conieci Philol. 6 p. 404. v. 2 κλεινὴν πόλιν Steph. Byz. p. 34, 10 rectius, ut opinor. v. 3 ἥ μ' ἐγείνατο tragicum poetam dixisse suspicor.

63

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

Ar. Plut. 1127: 'ποθεῖς — καλεῖς'. versum ex tragoedia derivatum esse iudicavit Hemsterhuys. Schol.: τοῦ Θησέως Ἡρακλῆν εἰς τὴν Ἀργὼ ἐμβιβάσαντος, ἡνίκα πρὸς Κολχοὺς ἀπέστειλεν αὐτὸν κομίσοντα τὸ χρυσόμαλλον δέρας, συμπαρέλαβε μεθ' ἑαυτοῦ ὁ Ἡρακλῆς καὶ Ὕλαν τὸν ἑαυτοῦ ἐρώμενον. ἐν δὲ τῷ παραπλέειν τῇ χέρσῳ κρήνην ἰδών τινα ὁ Ἡρακλῆς ἀπέστειλε τὸν Ὕλαν κομίσοντα ὕδωρ. ὃς καὶ ὑπὸ τῶν Νηρηΐδων ἁρπαγεὶς ἀφανὴς γέγονεν. Ἡρακλῆς οὖν μηκέτι τοῦ μείρακος ὑποστρέψαντος περιήει πᾶσαν τὴν ἐκεῖσε ὕλην ζητεῖν (l. ζητῶν) τὸν ἐρώμενον καὶ ἐξ ὀνόματος καλῶν· πρὸς ὃν αἱ Νηρηΐδες τοῦτ' ἔφασαν 'ποθεῖς τὸν οὐ παρόντα'. Theodorus Hyrtac. Epist. 56 in *Notices et Extr.* VI p. 22: ποθεῖν δὲ τὸν μὴ παρόντα καὶ μάτην καλεῖν, ὡς Ἡρακλῆς Ὕλαν (ὕλλαν cod.) κατὰ τὴν παροιμίαν, ἀξυντελὲς καὶ ἀνόητον. *Hylas* in tragoediarum argumentis commemoratur ab Ovidio Trist. 2, 406.

64

ποντίῳ σάλῳ
κάμνοντας ἐν χειμῶνι καὶ ναυαγίαις

Ar. Thesm. 872: ὅστις ξένους δέξαιτο ποντίῳ σάλῳ κάμνοντας ἐν χειμῶνι καὶ ναυαγίαις. verba ποντίῳ — ναυαγίαις Euripidis esse arbitror, quem Aristophanes haec dicentem facit. dubitat van de Sande Bakhuyzen de parod. p. 124.

65

θάσσεις τάσδε τυμβήρεις ἕδρας

Ar. Thesm. 889: *τί δὴ* (*δὲ* libri) *σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας φάρει καλυπτός, ὦ ξένη;* dubitari potest utrum ex tragoedia haec repetita sint an ad similitudinem tragoediae ab Aristophane ficta.

66

βάυζε τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.

Ar. Thesm. 895: '*βάυζε — ψόγῳ*'. loquitur Mnesilochus. versum aut Euripidis aut ad eius imitationem factum esse iudicat Porson.

67

. . . . . *στρέψον ἀνταυγεῖς κόρας.*

Ar. Thesm. 902: *γύναι, τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.*

68

τί δ' ἔστιν, ὦ παῖ; παῖδα γάρ, κἂν ᾖ γέρων,
καλεῖν δίκαιον ὅστις ἂν . . . .

Ar. Vesp. 1297: '*τί δ' ἔστιν — δίκαιον*' *ὅστις ἂν πληγὰς λάβῃ.* Ar. Thesm. 582: *τί δ' ἔστιν, ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν, ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.* Euripidem his versibus rideri verissime agnovit Fritzsche. incerta est v. 2 clausula, ubi *ὅστις ἂν* ⟨*μῶρος φανῇ*⟩ proponit Gomperz.

69

ἄγ' ὦ μεγαλώνυμα τέκνα
τοῦ θαλασσίου ⟨*θεοῦ*⟩

Ar. Vesp. 1518: '*ἄγ' ὦ — θαλασσίου*'. tragicum videtur arguere dicendi genus. v. 2 *θεοῦ* addidit Bergk. cf. quae attulimus in Eur. fr. 885.

70

νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ;

Ar. (Com. 2 p. 954) in Suid. v. *ἀχηνία*: '*νόσῳ — ἀχηνίᾳ*'. versus ex tragoedia desumptus videtur, cf. van de Sande Bakhuyzen de parod. p. 193.

71

μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου . .

Ar. (Com. 2 p. 1048) in Schol. Ar. Pac. 923 et Schol. Ar.

Plut. 1198: *μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας, μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.* parodiam tragicam agnovit van de Sande Bakhuyzen p. 194. at *χύτρας* Aristophani debetur, tragicus poeta fortasse *σέβας* scripsit.

72

ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω,
Ἄρης κατέσκηψ', ἔς τε μονομάχου πάλης
ἀγῶνα νῦν ἑστᾶσιν.

Ar. (Com. 2 p. 1167) ap. Ath. IV p. 154 E: '*ἐς Οἰδίπου — ἑστᾶσιν*'. dicendi genus antiquo tragico dignum.

73

ἄκων κτενῶ σε, τέκνον.

Ar. (Com. 2 p. 1194) ap. Eust. Od. p. 1419, 51: *ἄκων κτενῶ σε, τέκνον. ὃ δ' ἀπεκρίνατο 'ἐπὶ Παλλαδίῳ τἄρ', ὦ πάτερ, δώσεις δίκην'.* verba *ἄκων κτενῶ σε, τέκνον* ex tragoedia deprompta esse recte iudicavit Meineke, cf. Cobet N. L. p. 29.

74

ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον.

Aristot. soph. elench. c. 4 p. 166 a 36: *ὁ γὰρ αὐτὸς λόγος διῃρημένος καὶ συγκείμενος οὐκ ἀεὶ ταὐτὸ σημαίνειν ἂν δόξειεν, οἷον 'ἐγώ — ἐλεύθερον'.* repetunt versum Paraphr. in Aristot. Soph. elench. ed. Hayduck. p. 6, 14 et p. 8, 11 Alexander in Aristot. Soph. el. ed. Br. p. 299 b 8 Theo Progymn. in Rhet. vol. 1 p. 179 Doxopater in Aphthon. Rhet. vol. 2 p. 224. cf. Terent. Andr. 37: *feci ex servo ut esses libertus mihi.* comico poetae versum tribuit Meineke vol. 4 p. 604, tragico Herwerden Obs. cr. in fragm. com. p. 113 sq. et Cobet Mnem. 11 p. 120.

75

ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέφος

Aristot. Meteorol. 2, 6 p. 364 b 13 (cf. Gellius 2, 22, 24 et Apulei. de mundo c. 14): *ὁ δὲ καικίας οὐκ αἴθριος, ὅτι ἀνακάμπτει εἰς αὑτόν· ὅθεν καὶ λέγεται παροιμία 'ἕλκων — νέφος'.* eundem versum proverbialem afferunt Aristot. Probl. 26, 29 p. 943 a 33 Theophr. de ventis § 37 p. 772 Plut. Praec. gerendae rei publ. 31, 9 p. 823 C Diogenianus 4, 66 Schol. Ar. Eq. 437 Olympiod. in Aristot. Meteor. fol. 4 a ed. Ald., respicit Plut. de util. ex inimicis percip. c. 4 p. 88 E. *ἕλκων ἐφ' αὑτὸν*] *κακὰ ἐφ' ἑαυτὸν ἕλκων* Schol. Ar.,

κακὸν (vel κακὰ) ἐφ' αὑτὸν Apul. ὥστε] ὥσπερ Aristot. Probl., ὥσπερ ὁ Olymp., ὡς Gellius, ὡς ὁ Diogenian. Schol. Ar. νέφος] νέφη Theophr. Plut. tragici esse versum nolim affirmare.

76

ἅλις ἐγὼ δυστυχῶν.

Aristot. Eth. Nicom. 9, 11 p. 1171 b 18: *μεταδιδόναι γὰρ ὡς ἥκιστα δεῖ τῶν κακῶν, ὅθεν τὸ 'ἅλις ἐγὼ δυστυχῶν'.* scribendum suspicor *ἅλις ἔγωγε δυστυχῶν*, quicum cf. Soph. Oed. R. 1061: *ἅλις νοσοῦσ' ἐγώ.* non videtur spectari Eur. Or. 240: *ἅλις ἔχω τὸ* (*τοῦ* et *τῷ* al.) *δυστυχεῖν.*

77

μόχθος οἱ τηλοῦ φίλοι.

Aristot. Eth. Eud. 7, 12 p. 1245 a 23: *διὸ φησί 'μόχθος — φίλοι', ὡς οὐ δεῖ γενέσθαι ἀπ' ἀλλήλων τούτου γινομένου.* cf. Proverb. append. 3, 99, quem locum afferemus in fr. 94.

78

οἵ τοι πέρα στέρξαντες οἵδε καὶ πέρα
μισοῦσιν.

Aristot. Polit. 8, 7 p. 1328 a 16: *ὅθεν εἴρηται 'χαλεποὶ γὰρ πόλεμοι ἀδελφῶν'* (Eur. fr. 975) *καὶ 'οἵ τοι — μισοῦσιν'.* v. 1 *οἱ δὲ* ed., *οἶδα* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 28, *οἵδε* Gomperz *Nachl.* p. 49.

79

ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν.

Aristot. Rhet. 2, 21 p. 1394 b 21: *ἐν ὅσαις ἐμφαίνεται τοῦ λεγομένου τὸ αἴτιον, οἷον ἐν τῷ 'ἀθάνατον — ὤν'.* idem versus legitur in Boissonadii Anecd. vol. 3 p. 467, ubi *φύλαττε* scribitur. Men. mon. 4: *ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.* Gnomol. Barocc. 223 in Wachsmuthii *Stud. zu den griech. Floril.* p. 206: *θνητὸς ὢν ἀθάνατον μὴ φύλαττε ὀργήν.*

80

εἴπερ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν
ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν,
οὐδ' ἂν ἀναγκασθείς τις εὖ δράσῃ τινά,
προσῆκον οἶμαι τῷδ' ὀφείλεσθαι χάριν.

Aristot. Rhet. 2, 23 p. 1397 a 13: *'εἴπερ — χάριν'.* v. 1 *πε-*

πραχόσιν A^c^. v. 2 *ἀκουσίοις* Gomperz. *πίπτειν* deteriores libri, *πίτνειν* coni. Elmsley in Eur. Med. p. 94. v. 3 pro *ἂν* aut *ἦν* aut *ἂν* scribendum. v. 4 *οἶμαι* scripsi, *εἶναι* A^c^, *ἐστι* deteriores libri. *τῶνδ'* malim.

81

καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατήρ·
Οἰνεὺς δ' ἄρ' οὐχὶ κλεινὸν ἀπολέσας γόνον;

Aristot. Rhet. 2, 23 p. 1397 b 18: *ὅθεν εἴρηται 'καὶ σὸς — γόνον;'* v. 2 *οὐχὶ τὸν Ἑλλάδος κλεινὸν* libri, *τὸν Ἑλλάδος* delevit nescio quis. Scholia h. l. in Anecd. Paris. 1 p. 292, 21: *καὶ σὸς μὲν οἰκτρός] οἶμαι ταῦτα πρὸς τὴν Ἀλθαίαν λέγειν τὸν Οἰνέα λυπουμένην δι' ἀδελφὸν αὐτῆς ἀναιρεθέντα παρὰ Μελεάγρου καὶ διὰ τὸν πατέρα αὐτῆς λυπούμενον.* ex Antiphontis Meleagro petitos esse hos versus sicut adesp. fr. 80 post alios coni. H. Sauppe *Nachrichten von der K. Gesellschaft der Wissensch. zu Göttingen* 1863 p. 44 sq.

82

πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φρενῶν
μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα
τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας.

Aristot. Rhet. 2, 23 p. 1399 b 22: *ὅθεν καὶ τοῦτ' εἴρηται 'πολλοῖς — ἐπιφανεστέρας'.* v. 1 *φρενῶν* Schneidewin, *φέρων* libri.

83

λιμένας εἰς Ἀχαϊκούς

Aristot. Rhet. 3, 6 p. 1407 b 34: *ἑνὸς ὄντος λιμένος ὅμως λέγουσι 'λιμένας εἰς Ἀχαϊκούς'.*

84

λόγχην ἣν φοροῦσι γηγενεῖς

Aristot. Poet. 16 p. 1454 b 22: *εἴδη δὲ ἀναγνωρίσεως, πρώτη μὲν ἡ διὰ τῶν σημείων. τούτων δὲ τὰ μὲν σύμφυτα, οἷον 'λόγχην ἣν φοροῦσι γηγενεῖς', ἢ ἀστέρας οἵους ἐν τῷ Θυέστῃ Καρκίνος, τὰ δὲ ἐπίκτητα.* verba supra scripta ex Euripidis Antiopa desumpta esse coni. Max. Mayer de Eur. mythopoeia p. 74. *γηγενεῖς ⟨σπαρτοί⟩* supplet Wecklein *Sitzungsb. der philos.-philol. u. hist. Cl. der K. B. Akad. d. Wissensch. zu München* 1878 vol. 2 p. 190. cf. Dio Chrys. 4, 23: *τοῖς μὲν ἐν Θήβαις σπαρτοῖς ποτε λεγομένοις σημεῖον λέγεται εἶναι τοῦ γένους λόγχη τις, οἶμαι, ἐπὶ τοῦ σώματος.* Iulianus p. 81 C: *λόγχη δὲ λέγεται περὶ τὴν Βοιωτίαν τοῖς σπαρτοῖς ἐντυπωθῆναι παρὰ*

τῆς τεκούσης καὶ θρεψαμένης αὐτοὺς βώλου καὶ τὸ ἐντεῦθεν ἐπὶ πολὺ διασωθῆναι τοῦτο τῷ γένει σύμβολον. Hygin. fab. 72: *ex draconteo genere omnes in corpore insigne habebant.* Greg. Naz. Epist. 139: Σπαρτιάτας ἡ λόγχη γνωρίζει, ὦμος τοὺς Πελοπίδας. recte indicat Aristoteles genitivis notis tragicos usos esse ad ἀναγνωρίσεις, cf. Lobeck Aglaoph. p. 1147.

85

σπείρων θεοκτίσταν φλόγα

Aristot. Poet. 21 p. 1457 b 29: τὸ τὸν καρπὸν μὲν ἀφιέναι σπείρειν, τὸ δὲ τὴν φλόγα ἀπὸ τοῦ ἡλίου ἀνώνυμον· ἀλλ' ὁμοίως ἔχει τοῦτο πρὸς τὸν ἥλιον καὶ τὸ σπείρειν πρὸς τὸν καρπόν. διὸ εἴρηται 'σπείρων θεοκτίσταν φλόγα'. utrum lyrici sit an tragici incertum esse dicit Bergk Lyr. vol. 3 p. 742, qui ⟨Ἅλιος⟩ σπείρων supplet.

86

Ἀχιλλέως πέρι

Aristot. Poet. c. 22 p. 1459 a 1: Ἀριφράδης τοὺς τραγῳδοὺς ἐκωμῴδει, ὅτι ἃ οὐδεὶς ἂν εἴποι ἐν τῇ διαλέκτῳ (fort. διαλέξει), τούτοις χρῶνται, οἷον τὸ 'δωμάτων ἄπο' ἀλλὰ μὴ 'ἀπὸ δωμάτων' καὶ τὸ 'σέθεν' καὶ τὸ 'ἐγὼ δέ νιν' καὶ τὸ 'Ἀχιλλέως πέρι' ἀλλὰ μὴ 'περὶ Ἀχιλλέως' καὶ ὅσα ἄλλα τοιαῦτα. sicut ἐγὼ δέ νιν habemus in Soph. Oed. Col. 986, ita Ἀχιλλέως πέρι verba ex tragico poeta desumpta arbitror. item fortasse δωμάτων ἄπο verba ignotae nobis tragoediae debentur: δόμων ἄπο dixit Eur. Hec. 665 Andr. 73.

87

στέψατε δώματα

Arrian. Epict. diss. 1, 24, 16: οἱ δὲ βασιλεῖς ἄρχονται μὲν ἀπ' ἀγαθῶν· 'στέψατε δώματα'· εἶτα περὶ τρίτον ἢ τέταρτον μέρος 'ἰώ, Κιθαιρών, τί μ' ἐδέχου;' ut extrema verba Sophoclea sunt, ita priora ex tragico poeta petita esse suspicor.

88

οὐ κατθανεῖν γὰρ δεινόν, ἀλλ' αἰσχρῶς θανεῖν.

Arrian. Epict. diss. 2, 1, 13: διὰ τοῦτο ἐπαινοῦμεν τὸν εἰπόντα 'οὐ — θανεῖν'. Euripidis esse versum coni. O. Hense. Men. mon. 504: τὸ γὰρ θανεῖν οὐκ αἰσχρόν (l. οὐ δεινόν), ἀλλ' αἰσχρῶς θανεῖν.

89

καὶ τὴν μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει.

Arrian. Peripl. P. Eux. p. 88, 1 ed. alt. Herch. (in Muelleri Geogr. min. vol. 1 p. 371): ὡς μὴ κατὰ τὰς κώπας μόνον, ἀλλὰ καὶ ὑπὲρ τὰς παρεξειρεσίας ἐπεσρεῖν ἡμῖν ἑκατέρωθεν ἀφθόνως τοῦ ὕδατος, τοῦτο δὴ τὸ τραγικόν 'καὶ τὴν — ἐπεισέρρει'. cf. Lucian. Hermot. 61 vol. 1 p. 803: ἐπιρρεῖ γὰρ κατὰ τὴν παροιμίαν τὸ πρᾶγμα ἐξαντλούμενον ἐς τὸ ἔμπαλιν ἢ ὁ τῶν Δαναΐδων πίθος. ubi Schol. p. 119 (cf. Anecd. Bachm. vol. 2 p. 347, 3): ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει, τοῦτο ἡ παροιμία. Zenobius 1, 75 Diogenianus 2, 22 Suid. (cf. Diogen. Vindob. 1, 34 Greg. Cypr. 1, 44 Greg. Cypr. Mosq. 1, 41 Greg. Cypr. Leid. 1, 15): ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει· ἐπὶ τῶν πονούντων καὶ οὐδὲν πλέον ἀνυόντων. Ath. IV p. 156 E: τῆς τραπέζης παρατεθείσης ἐδειπνοῦμεν καὶ τὴν μὲν ἐξηντλοῦμεν φακῆν, ἡ δ' ἐπεισέρρει. ἐξηντλοῦμεν] ἐξαντλοῦμεν Suidas, ut poetam (Euripidem) scripsisse suspicatur Meineke Ath. 4 p. 73. ego malim scribi τὴν μὲν γὰρ (sic Fritzsche in Lucian. II, 2 p. 203) ἐξηντλοῦμεν, ἡ δ' ἐπερρύη.

90

ἀλλὰ ξενῶνας οἶγε καὶ ῥᾶνον δόμους
στρώννυ τε κοίτας καὶ πυρὸς φλέξον μένος,
κρατῆρά τ' αἶρου καὶ τὸν ἥδιστον κέρα.

Ath. II p. 48 A: 'ἀλλὰ — κέρα'. repetiit hos versus Eust. Od. p. 1887, 44. v. 3 αἶρου Eust., ἄργου C. locum satyrici esse dramatis consentit mecum Cobet N. L. p. 47 et 593.

91

ἀπόλωλα· πέπλων μ' ὤλεσαν περιπτυχαί.

Ath. III p. 107 E: Ἡγήσανδρος ὁ Δελφὸς ἐν ὑπομνήμασι φησὶ Μετάνειραν τὴν ἑταίραν ὡς ἐν τοῖς κεκαλυμμένοις ἠπατίοις αὐτὴ πνευμόνιον ἔλαβε, καὶ ὡς περιελοῦσα τὸ στέαρ εἶδεν, ἀνέκραγεν 'ἀπόλωλα — περιπτυχαί'. ὄλωλα malim.

92

κακός σε δαίμων καὶ κακὴ τύχη λάβοι.

Ath. IV p. 156 F: εἶτα πάλιν φακοὶ προσηνέχθησαν ὄξει βεβρεγμένοι, καὶ ὁ Διιτρέφης δραξάμενος ἔφη 'Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος φακῶν' (cf. Eur. Med. 332), καὶ ἄλλος ἑξῆς ἀνεβόησε 'φακός σε δαίμων καὶ φακὴ τύχη λάβοι'. tragicum versum eruit Leopardus.

93

μέλη πάραυλα κἀκρότητα κύμβαλα

Ath. IV p. 164 E: ὑπὸ τῆς ἐμφύτου γαστριμαργίας καὶ ἡδυλογίας

κολάβρους (κολαρους A, corr. Casaubonus) ἀναγινώσκει καὶ μέλη πάραυλα καὶ ἀκρότητα κύμβαλα. trimetrum agnovit Valckenaer in Theocr. Adon. p. 225 A, qui huc rettulit Hesych. 1 p. 107: ἀκρότητα· πολυκρότητα (potius δυσκρότητα expectes cum Lobeckio Pathol. Elem. 1 p. 33) γενόμενα, ὥστε μηδὲ συγκροτεῖσθαι μηδὲ συμπεσεῖν αὐτοῖς (ita M. Schmidt). Cratino versum tribuit Valckenaer, satyrico dramati Cobet N. L. p. 48.

94

τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶν φίλοι.

Ath. V p. 187 A: τῇ μισανθρωποτάτῃ τῶν παροιμιῶν ἁρμόττον 'τηλοῦ — εἰσὶν φίλοι'. Proverb. append. 3, 99: μόχθος οἱ τηλοῦ φίλοι· παροιμία, καὶ 'τηλοῦ — εἰσὶν φίλοι'. Nicephorus Gregoras in *Notices et Extr.* vol. XII, 2 p. 22: ἡ μὲν παροιμία 'τηλοῦ — εἰσὶν φίλοι' φάσκουσα κτέ.

95

πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι
τοὐφήμερον ζῆν ἡδέως· ὁ γὰρ θανὼν
τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός·
μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών.

Ath. VIII p. 336 B: καὶ ἄλλος δέ τις φησί — 'πᾶσιν δὲ — χρεών'. v. 2 τοὐφ' ἡμέραν Casaubonus. Euripidis esse versus coni. Porson Adv. p. 101.

96

ἴσχειν κελεύω χεῖρα διψῶσαν φόνου.

Ath. X p. 433 F (cf. Eust. Od. p. 1701, 30): καὶ τῶν τραγικῶν δέ τις ἔφη 'ἴσχειν — φόνου'. similiter Soph. Ai. 50: καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου (ubi γρ. διψῶσαν φόνου Schol., fortasse μαργῶσαν φόνου scribendum). Lycophr. 1171: μαιμῶν κορέσσαι χεῖρα διψῶσαν φόνου.

97

λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος

Ath. X p. 457 B: τοιοῦτον δ' ἐστὶν καὶ τὸ ῥήματα λέγειν ἀνθρώπων ὀνόμασιν ὅμοια, οἷον 'λαβὼν — κράτος'. fortasse Aeschyli est versus.

98

ἐγὼ δὲ φεύξομαί ⟨γ'⟩ ἐλεύθερος γεγώς.

Ath. XIV p. 658 F: ἔφυγε σὺν αὐτῇ. 'ἐγὼ δὲ — γεγώς'. οὐδὲ

γὰρ ἂν εὕροι τις ὑμῶν δοῦλον μάγειρόν τινα ἐν κωμῳδίᾳ κτέ. φεύξομαι libri, φεύξομαί γ' Schweighaeuser, cui favet Ar. Ach. 203: ἐγὼ δὲ φευξοῦμαί γε τοὺς Ἀχαρνέας.

99

πῶς οὖν τάδ' εἰσορῶντες ἢ θεῶν γένος
εἶναι λέγωμεν ἢ νόμοισι χρώμεθα;

Athenag. Suppl. pro Christ. c. 25 p. 134: 'πολλάκι — ἄγει' (Eur. fr. 901). ⟨εἰ⟩ τὸ (ita legendum esse vidit Alfr. Gercke Chrysipp. Lips. 1885 p. 27) παρ' ἐλπίδα καὶ δίκην εὖ πράττειν ἢ κακῶς ἐν ἀφασίᾳ τὸν Εὐριπίδην ἐποίησε, τίνος ἡ τοιαύτη τῶν περιγείων διοίκησις, ἐν ᾗ εἴποι τις ἂν 'πῶς οὖν — χρώμεθα;' v. 1 εἰσορῶντας Bodl. 1 2 al. θεῶν ἑνὸς Bodl. 1 et 2, θεῶν ἕνος Aeton. v. 2 λέγομεν Bodl. 1 2 Aeton. al. εἰ νόμοις Bodl. 1 2 al. Euripidi locus vulgo tribuitur sine ratione idonea.

100

πόντου πλάνητες Λευκοθέαν ἐπώνυμον

Athenag. Suppl. pro Christ. c. 29 p. 154: ὁπότε καὶ Ἰνὼ μετὰ τὴν μανίαν καὶ τὰ ἐπὶ (ὡς Bodl. 1 et 2, fort. ἀπὸ) τῆς μανίας πάθη θεὸν δοξάζουσι γεγονέναι 'πόντου (πόντος Bodl. 1 et 2 Aeton.) πλάνητες Λευκοθέαν ἐπώνυμον', καὶ τὸν παῖδα αὐτῆς 'σεμνὸς — κεκλήσεται' (fr. 101).

101

σεμνὸς Παλαίμων ναυτίλοις κεκλήσεται.

Athenag. Suppl. pro Christ. c. 29 p. 156, quem locum attulimus fr. 100. σεμνὸς om. Bodl. 1 et 2 Aeton.

102

τὸ μέλλον οὐδεὶς ἀσφαλῶς ἐπίσταται·
ἡ γὰρ τύχη βραχεῖαν ἣν λάβῃ ῥοπήν,
καὶ τοὺς ταπεινοὺς . . . .
καὶ τοὺς ἀφ' ὕψους εἰς ζόφον κατήγαγεν.

Pseudo-Callisth. 2, 16 p. 73 b: ἀληθῶς τὸ μέλλον οὐδεὶς ἀσφαλῶς βουλεύεται (ἐπίσταται C)· ἡ γὰρ τύχη βραχεῖαν ἐὰν λάβῃ ῥοπήν, ἢ τοὺς ταπεινοὺς ὑπεράνω τῶν νεφῶν ἀναβιβάζει ἢ τοὺς ἀφ' ὕψους (τοὺς ὑψηλοὺς C) εἰς ζόφον (εἰς ᾅδην L) κατάγει. v. 1 extat in Men. mon. 412 sic scriptus: οὐδεὶς τὸ μέλλον ἀσφαλῶς ἐπίσταται, unde ἐπίσταται cum Callisthenis codice C praetuli. cf. Men. mon. 415 sive Greg. Naz. vol. 2 p. 155 B: οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς

βουλεύεται (*βουλεύσεται* Gnomol. Barocc. 225, v. Wachsmuth *Stud. zu den gr. Flor.* p. 207). v. 2 *ἐὰν* in *ἦν* mutavi. v. 3 temptare possis *ἦρεν ὑπεράνω νεφῶν* vel quod F. G. Schmidt *Krit. Stud.* 3 p. 29 proposuit *ἦρε τῶν νεφῶν ἄνω.* sed probabilius arbitror *ἦρεν εἰς ὕψος μέγα*, cf. Eur. Phoen. 404 Anecd. Paris. vol. 4 p. 346, 4 p. 365, 6 Georg. Lapith. Poem. mor. v. 586 in *Notices et Extr.* XII, 2 p. 39. v. 4 *κατάγει* libri, *κατήγαγεν* scripsi. v. 3 et 4 *καὶ τοὺς* pro *ἢ τοὺς* restitui.

103

Αἴσωνος υἱὸς Κρηθέως ἀφ' αἵματος

Excerpta ex libris Herodiani techn. p. 19, 12 (cf. Choerob. in Theod. p. 76, 35 sive Anecd. Bekk. p. 1309 sq.): *τὸ Αἴσων κύριον ὄνομα διχῶς κλίνεται, καὶ διὰ τοῦ Ω καὶ διὰ τοῦ Ο. διὰ τοῦ Ω μὲν κατὰ τὸν κανόνα τοῦτον, 'Αἴσωνος — αἵματος', διὰ τοῦ Ο δὲ ποιητικῶς διὰ τὸ μέτρον.* Euripidis esse versum coni. Bekker.

104

δέδοικα δὴ
μή τοι νοήσῃς, Οἰδίπου

Cic. Epist. ad Att. 6, 4, 3: *δέδοικα δὴ μήτι νοήσῃς, εἰς δήπου τοῦτο δὴ περισκεψάμενος τὰ λοιπὰ ἐξ ἀσφαλείας* (*ἐξασφαλίσαι* ed. Asc. pr.). *non quo tantum quantum vereor scribere.* tragici veteris verba supra scripta agnoscere sibi visus est Valckenaer Diatr. p. 193.

105

ἄλλοις ἐν ἐσθλοῖς τόνδ' ἀπωθοῦνται ψόγον

Cic. Epist. ad Att. 14, 22, 2: *itaque me Idus Martiae non tam consolantur quam antea; magnum enim mendum continent, etsi illi iuvenes 'ἄλλοις — ψόγον'.* *ἄλλοισιν ἐσθλοῖς* coni. Herwerden Exerc. crit. p. 85, *ἔργοισιν* (vel *ἀγῶσιν*) *ἐσθλοῖς* F. G. Schmidt *Krit. Stud.* 3 p. 29. Sophocli versum tribuit Valckenaer Diatr. p. 192, Euripidi post Wagnerum Cobet Coll. crit. p. 491.

106

ἡ δεῦρ' ὁδός σοι τί δύναται, θεοπρόπε;

Cic. Epist. ad Att. 15, 11, 3: *hoc dempto munere amoris atque officii sequebatur ut mecum ipse 'ἡ δεῦρ' — νῦν, θεοπρόπε;'* 16, 6, 2: *mehercule, mi Attice, saepe mecum 'ἡ δεῦρ' ὁδός σοι τί δύναται;' cur ego tecum non sum?* *θεοπρόπε* Cobet N. L. p. 29, *νῦν θεοπρόπε* libri.

107

πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων.

Cic. Epist. ad Fam. 9, 7, 2: *adventat enim Dolabella. cum puta magistrum fore.* 'πολλοὶ — διδασκάλων'. Lucillus Anth. Pal. 11, 176: τὸν πτανὸν Ἑρμᾶν, τὸν θεῶν ὑπηρέταν — ὁ νυκτικλέπτας Αὖλος εἶπε βαστάσας 'πολλοὶ — διδασκάλων'. κρείττονες Cic., κρείσσονες Anthol. similiter καλοὺς μαθητὰς ἐκ κακῶν διδασκάλων Gregor. Naz. vol. 2 p. 155 C et χείρων μαθητὴς τοῦ σοφοῦ διδασκάλου ibid. p. 242 D.

108

ἄπερρε· μή μοι στέφανον ἀμφιθῇς κάρᾳ.

Clemens Alex. Paed. II p. 211: τοιαύτη δὲ καὶ τῶν στεφάνων ἡ χρῆσις κωμαστικὴ καὶ πάροινος· 'ἀπέρρεε — κάρα'. ἄπερρε Potter, ἄπαιρε N, ἀπέρρεε ceteri libri. κάρᾳ pro κάρα restituit Sylburg. senarium a Pottero agnitum ex tragoedia repetit Cobet N. L. p. 342.

109

Μιλησία

σμάραγδος ἐμπόλημα τιμαλφέστατον

Clemens Alex. Paed. II p. 241: ἴασπιδες καὶ τοπάζιον ἥ τε 'Μιλησία — τιμηέστατον'. comico poetae versum tribuit Meineke vol. 4 p. 611, tragico Cobet N. L. p. 48. τιμηέστατον libri, τιμιέστατον olim scripsi, nunc praefero τιμαλφέστατον quod coni. Fl. Lobeck Philol. 5 p. 244, cf. Philo Iud. vol. 2 p. 151 sq.: λίθοι σμαράγδου πολυτελοῦς δύο τιμαλφέστατοι.

110

οὐκ ἦν ἄρ' οὐδὲν πῆμ' ἐλευθέραν δάκνον
ψυχὴν ὁμοίως ἀνδρὸς ὡς ἀτιμία.
οὕτως πέπονθα καί με συμφορᾶς ἀεὶ
βαθεῖα κηλὶς ἐκ βυθῶν ἀναστρέφει
λύσσης πικροῖς κέντροισιν ἠρεθισμένον. 5

Clemens Alex. Strom. II p. 462: ἀλλ' οὐδὲ Αἴας σιωπᾷ, μέλλων δὲ ἑαυτὸν ἀποσφάττειν κέκραγεν 'οὐδὲν οὖν ἦν πῆμα ἐλευθέρου ψυχὴν δάκνον οὕτως ὡς ἀνδρὸς ἀτιμία. οὕτως πέπονθα — ἠρεθισμένον'. Anonymus Letronnii *Les papyrus grecs* p. 96 sq.: εἰ ἀπεφήνατό τις 'οὐκ — ἀτιμία' (v. 1 et 2). v. 1 αρα ουθεν πημα pap. ἐλευθέρου Clem. v. 3 συμφορᾶς ἀεὶ Suevern, συμφοροῦσα libri, συμφρουροῦσ' ἀεὶ Cobet N. L. p. 343. cuius poetae sit locus nescimus, cf. Leeuwen Comm. de Aiacis Soph. auth. p. 60.

111

. . ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ·
παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν
πόνους δρῶντας εἰς ὅσους φυτεύομεν.

Clemens Alex. Strom. III p. 520: λέγει γὰρ ἡ τραγῳδία 'τὸ μὴ — πόνους;' (Eur. fr. 908) καὶ ἔθ' ὁμοίως 'ἐμοὶ γένοιντο — φυτεύομεν'. v. 1 ἐμοὶ γένοιντο L, ἔμοιγε νῦν τε Grotius (cf. Soph. Ant. 181: κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ. El. 676: νῦν τε καὶ πάλαι λέγω), ⟨οὕτως⟩ ἔμοιγε νῦν τε Herwerden Exerc. crit. p. 88, ἔμοιγε ⟨μέντοι⟩ νῦν τε V. Iernstedt, ἔμοιγε ⟨τοῦτο⟩ νῦν τε F. G. Schmidt *Krit. Stud.* 3 p. 29. Euripidis esse locum probabiliter coni. Meineke *Jahrb. f. Philol.* vol. 87 p. 381, Sophocli tribui mavult Fr. Schroeder de iteratis apud tragicos Gr. (Argentor. 1882) p. 116.

112

ὦ δυστυχεῖν φὺς καὶ κακῶς πεπραγέναι,
ἄνθρωπος ἐγένου καὶ τὸ δυστυχὲς βίου
ἐκεῖθεν ἔλαβες, ὅθεν ἅπασιν ἤρξατο
τρέφειν ὅδ' αἰθὴρ ἐνδιδοὺς θνητοῖς πνοάς·
μή νυν τὰ θνητὰ θνητὸς ὢν ἀγνωμόνει. 5

Clemens Alex. Strom. III p. 521: ἐν δὲ τοῖς αὖθις (f. εὐθὺς) λεγομένοις καὶ τὴν αἰτίαν τῶν κακῶν ἐναργῶς ἐπὶ τὰς ἀρχὰς ἐπανάγει λέγων ὧδε 'ὦ — ἀγνωμόνει'. v. 1 πεπραγέναι Musgrave, πεπραχέναι L. v. 3 ἅπαντ' ἐνήρξατο Valckenaer Diatr. p. 248. v. 4 ὅδ' Potter, ὅτ' L. v. 5 μή νυν Valckenaer, μὴ τοίνυν L.

113

πόλλ' ἀπιστία δέδρακεν ἀγαθὰ ⟨καὶ⟩ πίστις κακά.

Clemens Alex. Strom. IV p. 566: οἱ πολλοὶ δὲ τῇ τῶν χειμώνων καταστάσει ὁμοίαν ἔχουσι τὴν διάθεσιν ἀνέδραστόν τε καὶ ἀλόγιστον. 'πολλ' — κακά'. καὶ addidit Klotz. πόλλ' ἀπιστία | δέδρακεν ἀγαθά, ⟨πολλὰ δ' αὖ⟩ πίστις κακά coni. Sylburg.

114

ἃ δ' ἐκπυθέσθαι τῆς ἐμῆς χρῄζεις φρενός,
οὔτ' ἂν καταίθων οὔτε κρατὸς ἐξ ἄκρου
δεινὸν καθιεὶς πρίον' εἰς ἄκρους πόδας
πύθοι' ἄν, οὐδ' εἰ δεινὰ πάντα προσβάλοις.

Clemens Alex. Strom. IV p. 585: 'ἃ δ' — προβάλοις' ἀφόβως

ἀνδρεϊζομένη παρὰ τῇ τραγῳδίᾳ λέγει γυνή. v. 3 *δεινὸν καθιεὶς πρίον'* Porson in Eur. Med. 5, *δεινοὺς καθιεὶς πρίονας* L. v. 4 *δεινὰ πάντα* Cobet N. L. p. 563, *δεσμὰ πάντα* L.

115

τοῦ σώματος γὰρ εἵνεχ' οἱ πολλοὶ πόνοι,
τοῦδ' εἵνεκ' οἶκον στεγανὸν ἐξηυρήκαμεν
λευκόν τ' ὀρύσσειν ἄργυρον σπείρειν τε γῆν,
τά τ' ἄλλ' ὅσ' ἡμεῖς ὀνόμασιν γιγνώσκομεν.

Clemens Alex. Strom. IV p. 586: '*τοῦ σώματος — γινώσκομεν*'. v. 1 *οὕνεκα οἱ* L. v. 2 *τοῦδ' ἕνεκ'* L. *ἐξευρήκαμεν* L. v. 3 *ὀρύττειν* L. v. 4 *γινώσκομεν* L. *ὀνομάσαι δυναίμεθ' ἄν* expectabam. *ὅσ' εἰς ὄνησιν ὄντ' ἐγνώκαμεν* coni. Gomperz *Nachl.* p. 50.

116

ὁθούνεκ' ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη
οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει,
αὐτὴ δ' ἑαυτὴν ἆθλα τῶν πόνων ἔχει.

Clemens Alex. Strom. IV p. 588: *κινδύνων ὑπερφρονῶ διὰ τὴν πρὸς σὲ ἀγάπην,* '*ὁθούνεκ' — ἔχει*'. v. 3 *δ' ἑαυτὴν* Sylburg, *δὲ αὐτὴν* L.

117

ἄγαλμα θεῖον καὶ θεῷ προσεμφερές

Clemens Alex. Strom. VII p. 837: *μάλιστα γὰρ* '*ἄγαλμα — προσεμφερὲς*' *ἀνθρώπου δικαίου ψυχή.* fortasse versum spectat Iohannes Eugenicus in Boissonadii Anecd. nov. p. 343: *σύ μοι καὶ ἄνθος καὶ καρπός, ἔρνος χαρίτων, Ὑμήττιον μέλι, — φῶς, ἄγαλμα θεῖον.*

118

τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένος
εὔπιστος ἀνδρῶν ὅστις ἐλπίζει θεοὺς
ὀστῶν ἀσάρκων καὶ χολῆς πυρουμένης,
ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα,
χαίρειν ἀπαρχαῖς καὶ γέρας λαχεῖν τόδε; 5

Clemens Alex. Strom. VII p. 851: *ἐπεὶ τίς ὧδε μωρὸς κατὰ τὴν ποιητικὴν χάριν* '*καὶ λίαν — λαχεῖν τόδε*' *καὶ χάριν τούτων τοῖς δρῶσιν ἐκτίνειν* (*ἐκτείνειν* L), *κἂν πειραταὶ κἂν λῃσταὶ κἂν τύραννοι τύχωσιν;* Porphyr. de abst. 2, 58 (Cyrill. c. Iul. IX p. 306 E): *λέγουσι γοῦν καὶ τῶν ποιητῶν οἱ ἐπ' ὀλίγον σωφρονοῦντες* '*τίς ὧδε —*

λαχεῖν τόδε;' v. 1 *μωρὸς* libri. *ἀνειμένως* Grotius. v. 2 *εὔπειστος* coni. Meineke Com. 4 p. 613. *ἐλπίζῃ* Cyrill. v. 4 *κυσὶ* Clem. v. 5 *ἀπαρχῇ* Grotius, *ἀπαρχαῖς* Porson in Eur. Hec. 41, *ἅπαντα* Clem., *ἅπαντας* Porph. Cyr. tragico poetae hos versus adscripsit Gataker, vetere poeta indignos iudicat Cobet *Λογ. Ἑρμ.* 1 p. 524, qui ex Clementis verbis addi vult *καὶ τῶνδε τοῖσι δρῶσιν ἐκτίνειν χάριν.*

119

[πρόσεστιν ἀεὶ τῷ πένητ' ἀπιστία,
κἂν σοφὸς ὑπάρχῃ κἂν λέγῃ τὸ συμφέρον,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν κακῶς.]
τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος·
ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ, 5
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν σαφές.

Comp. Men. et Philist. v. 29—34: '*πρόσεστιν — ἀσφαλές*'. v. 1 *πρόσεστιν αἰεὶ* (*ἀεὶ* Studemund) *τῷ πένητ'* Morellus, *πρόσεστιν δὲ τῷ πένητ'* QP. v. 2 *καὶ λέγῃ τι συμφέρον* Meineke Com. 4 p. 39. v. 3 *κακῶς* Rutgers, *οὐκ ὀρθῶς* QP. v. 3 eiecit Rigaltius, utique v. 1—3 recentis sunt originis. v. 4—6 Euripidi tribuit Dobree in Ar. Plut. 689. v. 5 *ψευδηγορῇ* ex *ψευδηγορεῖ* correctum QP. v. 6 *τοῖς ἀκούουσιν ἀσφαλές* QP, *τοῖς ἀκούουσιν σαφές* (vel *καλῶς* vel *καλόν*) Dobree, *τοῖς κλύουσιν ἀσφαλές* Meineke, *τοῖς παροῦσιν ἀσφαλές* Kock Com. Att. fr. vol. 2 p. 511.

120

ὦ παῖ, φυλάσσου μὴ σφαλῇς· ἡ γλῶσσά τοι
αὐτὴ μὲν οὐδέν, ἡνίκ' ἂν λέγῃ, πονεῖ,
ὅταν δ' ἁμάρτῃ, πολλὰ προσβάλλει κακά.

Corpus Inscr. Gr. 6745 (Epigr. Kaib. 1117): *Οὐκ ἤμην, γενόμην· ἤμην, οὐκ εἰμί· τοσαῦτα. εἰ δέ τις ἄλλ' ἐρέει, ψεύσεται· οὐκ ἔσομαι. Χαῖρε δίκαιος ἐών.* '*Ὦ παῖ — κακά*'. Euripideos esse hos trimetros coni. Dobree Adv. 2 p. 125.

121

ἐδεξάμην, ἔτικτον, ἐκτρέφω, φιλῶ.

Demetrius de eloc. 194: *ὅτι δὲ ὑποκριτικὸν ἡ λύσις, παράδειγμα ἐγκείσθω τόδε* '*ἐδεξάμην — φίλε*'. *φίλε* libri, *φιλῶ* Cobet N. L. p. 92. Menandro versum tribuit Meineke Com. 4 p. 284 sq.

122

κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με.

Demosth. de cor. § 267: *παρανάγνωθι καὶ σύ μοι τὰς ῥήσεις ἃς ἐλυμαίνου· 'ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας' καὶ 'κακαγγελεῖν — με' καὶ 'κακὸν κακῶς σε' μάλιστα μὲν 'οἱ θεοί', ἔπειτα οὗτοι πάντες 'ἀπολέσειαν'.* hinc versum repetiit Hermog. in Rhet. vol. 3 p. 321.

123

κακὸν κακῶς σέ γ' ἀπολέσειαν οἱ θεοί.

Demosth. de cor. § 267, vide fr. 122. Ath. IV p. 150 C: *ἡσθεὶς ὁ Ὦχος τῷ δείπνῳ, κακὸν κακῶς σε, ἔφη, ὦ Αἰγύπτιε, ἀπολέσειαν οἱ θεοί.* trimetrum agnovit Meineke Exerc. in Ath. spec. 2 p. 7, qui postea (Ath. 4 p. 71) *κακὸν κακῶς σε πάντες ὀλέσειαν θεοί* scribi voluit minus probabiliter. Cf. Arist. Vesp. 2-3

124

σοφὴ μὲν ἤμην, ἀλλὰ πάντ' οὐκ εὐτυχής.

Dio Chrys. 64, 4: *ἐπιγραφὴ δὲ ἐπί τινος στήλης πλησίον 'σοφὴ — εὐτυχής'.* eundem locum ex cod. Paris. Suppl. Gr. 134 protulit E. Miller *Mélanges orientaux* p. 221, ubi *ἀλλὰ οὐ πάντα εὐτυχής* scribitur. videtur inscriptio ista tragici poetae versum referre. *πάντ'*] *τἄλλ'* vel *τἄρ γ'* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 30. de *ἤμην* forma cf. Eur. Hel. 931 Tro. 474 Phryn. Ecl. p. 152.

125

⟨ἔμελλεν⟩ αἰσχρὰ κερδανεῖν θεάματα

Dio Chr. 64, 6: *ἐγὼ δὲ καὶ τὴν ἐκείνου* (Oedipi) *πήρωσιν εὐτυχίαν καλῶ. Τέλλος μὲν γὰρ βλεπέτω τοὺς παῖδας καὶ Κυδίππη καὶ Αἴολος καὶ εἴ τις ἄλλος ἦν πατὴρ εὐτυχής· Οἰδίπους δὲ ἐκ τῆς πηρώσεως αἰσχρὰ κερδανεῖ* (*κερδαίνειν* cod. Vat.) *θεάματα.* addidi *ἔμελλεν* et e librorum vestigiis *κερδανεῖν* correxi.

126

ποῖ μεταστρέφεσθ', ὦ κακοὶ
κἀνάξιοι τῆς ἐμῆς σπορᾶς,
Αἰτωλίδος ἀγάλματα μητρός;

Dio Chrys. 78, 44: *τὸν γοῦν Ἡρακλέα φασίν, ἐπειδὴ οὐκ ἐδύνατο ἰάσασθαι τὸ σῶμα ὑπὸ νόσου δεινῆς κατεχόμενον, τοὺς υἱοὺς καλέσαι πρώτους κελεύοντα ὑποπρῆσαι λαμπροτάτῳ πυρί, τῶν δὲ ὀκνούντων*

καὶ ἀποστρεφομένων λοιδορεῖν αὐτοὺς ὡς μαλακούς — λέγοντα, ὡς ὁ ποιητὴς φησί '*ποῖ — μητρός;*' v. 1 *μεταστρέφεσθ' ὦ* Mr, *μεταστρεφέσθων* B. v. 2 *καὶ ἀνάξιοι* libri. *σπορᾶς τᾶς ἐμᾶς* Emperius. v. 3 *ματρός* idem.

127

φρονεῖτε νῦν αἰθέρος ὑψηλότερον
καὶ μεγάλων πεδίων ἀρούρας,
φρονεῖθ' ' *ὑπερβαλλόμενοι*
δόμων δόμους, ἀφροσύνᾳ
πρόσω βιοτὰν τεκμαιρόμενοι. 5
ὃ δ' ἀμφιβάλλει ταχύπουν
κέλευθον ἕρπων σκοτίαν,
ἄφνω δ' ἄφαντος προσέβα
μακρὰς ἀφαιρούμενος ἐλπίδας
θνατῶν πολύμοχθος Ἅιδας. 10

Diod. Sic. 16, 92, 3: *Νεοπτόλεμος ὁ τραγῳδὸς — προστάξαντος αὐτῷ τοῦ Φιλίππου προενέγκασθαι τῶν ἐπιτετευγμένων ποιημάτων καὶ μάλιστα τῶν ἀνηκόντων πρὸς τὴν κατὰ τῶν Περσῶν στρατείαν, ὁ μὲν τεχνίτης — ἤρξατο λέγειν τόδε τὸ ποίημα* '*φρονεῖτε νῦν — πολύμοχθος Ἅιδας*' *καὶ τὰ τούτων ἐφεξῆς προσσυνεῖρε, πάντα πρὸς τὴν ὁμοίαν φερόμενα διάνοιαν.* post v. 2 non nulla excidisse coni. Mekler. v. 3 *φρονεῖτε ὑπερβαλόμενοι* (*ὑπερβαλλόμενοι* Arsenius Viol. p. 371) Diod., corr. Rhodoman. v. 4 *δόμων δόμους* verba vix sana, *θεῶν δόμους* olim coni. F. G. Schmidt (cuius cf. *Krit. Stud.* 3 p. 30 sq.), *θεῶν νόμους* R. Methner progr. 1882 p. 16. v. 5 *βιοτὰν*] *τὸ χρεὼν* coni. Bergk Lyr. 3 p. 745. v. 6 *ὁ δ'*] *ἴδ'* Burges in Aesch. Eum. 364, *τὸ δ'* Bergk. *ἀμφιβαίνει* F. G. Schmidt. *ταχύπους* Burges. v. 7 *ἕρπων* Buecheler Mus. Rhen. 15 p. 290, *ἔργῳ* libri, *ἕρκει* Bergk. v. 8 et 9 utitur Philodemus de morte IV col. 38 ed. Mekl. (Herc. vol. IX col. 20): *ἄφνω δ' ἄφαντον προσέβα μακρὰς ἀφαιρούμενον ἐλπίδας τὸ χρεών.* v. 10 *θνατῶν* Reiske, *θανάτων* Diod., *θνητῶν* Arsenius. Aeschyleos esse versus coni. Burges.

128

Κόρινθος ἄστρον οὐκ ἄσημον Ἑλλάδος

Diod. Sic. 32, 27, 1 (sive Exc. Vat. p. 107): *περὶ τῆς Κορίνθου καὶ οἱ ποιηταὶ προειρηκότες ἦσαν* '*Κόρινθος — Ἑλλάδος*'. cf. Scymn. 233: *ἄστρον τι κοινὸν τῆς ὅλης οἰκουμένης.*

129

ὦ χρυσέ, βλάστημα χθονός,
οἷον ἔρωτα βροτοῖσι φλέγεις,
πάντων κρατιστεύων τύραννε·
πολέμοις δ' Ἄρεως
κρείσσον' ἔχων δύναμιν, 5
⟨τᾷ⟩ πάντα θέλγεις· ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς
εἵπετο δένδρεα καὶ
θηρῶν ἀνόητα γένη,
σοὶ δὲ καὶ χθὼν πᾶσα καὶ πόντος καὶ ὁ παμμήστωρ Ἄρης.

Diod. Sic. 37, 30, 2 (sive Exc. Vat. p. 135): *διὰ τὴν ὑπερβολὴν τῆς πρὸς τοῦτον* (sc. *τὸν χρυσόν*) *ἐπιθυμίας παρ' ἕκαστα προφέρονται τούτους τοὺς στίχους τῶν ποιητῶν* '*ὦ χρυσέ, δεξίωμα — ἡδονάς*' (Eur. fr. 324) *καὶ πάλιν* '*ἔα με — κακόν*' (adesp. fr. 181, 1) *καὶ τὰ διὰ τῶν μελῶν πεποιημένα* '*ὦ χρυσέ — Ἄρης.*' v. 3 *πάντων κρατιστεύων τύραννε* scripsi, *πάντων κράτιστε πάντων τύραννε* cod., *πάντων κράτιστε* verba deleri volebat Hermann, *κράτιστε πάντων τυράννων* coni. R. Methner progr. 1882 p. 17. v. 4 *πολέμους δ'* cod., ⟨*κὰν*⟩ *πολέμοις* scripserim. v. 6 *τᾷ* addidit Meineke. v. 8 *θηρίων* cod., *θηρῶν* L. Dindorf. v. 9 *παμνήστωρ* ed. Mai codice invito. ceterum metro requiri videtur *χ' ὁ παμμήστωρ Ἄρης*. quae si vera est coniectura, dubitari non potest quin novicium sit carmen (cf. Meineke Ath. 4 p. 339).

130

πότνια σοφία, σύ μοι ἅνδανε·
ὄλβου δ' ἐμοὶ μὴ χρυσέου φαεννὰν
ἀκτῖνα δαίμων διδοίη
πάρος σοφίας ἢ τυραννίδα.
Διὸς ἀπωτάτω 5
κεῖται καλὸς θησαυρὸς ὅτῳ προσέβαλε.

Diod. Sic. 37, 30, 3 (Exc. Vat. p. 135): *καίτοι γε πόσῳ κρεῖττόν ἐστιν ἐκφέρεσθαι τῶν ποιημάτων τὰ τὴν ἐναντίαν ἔχοντα τούτοις παράκλησιν*, '*πότνια — προσέβαλε*'. v. 1 *πότνι' ὦ σοφία* Hermann. v. 2 *χρυσίου φαννὰν* cod., *χρυσέου φαεννὰν* L. Dindorf. v. 6 *προσέβα* Hermann. metrum pariter ac sententia carminis laborat.

131

Αἰγύπτου πότμος

Diogenian. 2, 55 sive Prov. Bodl. 176: *Αἰγύπτου γάμος· ἐπὶ*

τῶν ἀλυσιτελῶς γαμούντων. eadem Macarius 1, 48, qui addit, *Αἴγυπτον γὰρ καταλιπόντα τὴν γαμετὴν δι' αἰσχρότητα ὁ κηδεστὴς ἀνεῖλε Δαναός.* pro *γάμος* cod. Escor. praebet *πόειμος*, genuinum *πότμος* restituit F. Schoell ex cod. Laur. plut. 80, 13, ubi inter *τ* et *μ* erasum est *α*. verba *Αἰγύπτου πότμος* tragici poetae esse suspicor.

132

ἄκων μέν, ὡς Ζεὺς οἶδεν

Diogenianus 2, 82: '*ἄκων — οἶδεν*'· *ἐπὶ τῶν ἀκόντων ὑπισχνουμένων τι.*

133

ἅπαντα τοῖς καλοῖσιν ἀνδράσιν πρέπει.

Diogenianus 3, 28: '*ἅπαντα — πρέπει*'· *δῆλον τοῦτο.* eadem fere Macarius 2, 25. *ἀνδράσι* vulgo.

134

ἣν μὴ καθάρῃς κἀλέσῃς, οὐ μὴ φάγῃς.

Diogenian. 5, 17: '*ἣν μὴ — φάγῃς*'· *ἐπὶ τῶν σὺν μόχθῳ τὴν ἀναγκαίαν ποριζομένων τροφήν. εἶπε δὲ Δήμητρα πρὸς Τριπτόλεμον.* ex Sophoclis Triptolemo versum repetitum esse coni. Preller *Demeter u. Persephone* p. 303.

135

μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.

Diogenian. 6, 59: '*μὴ πρὸς — μάχης*'· *ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.* cf. Suid. v. *δορκάς* et *μὴ πρὸς λέοντα* Greg. Cypr. 3, 5 Diogenian. Vind. 3, 26.

136

λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.

Dionys. de comp. verb. c. 17 vol. 5 p. 105 (p. 218 Schaef.): *σχῆμα δ' αὐτοῦ* (sc. *τοῦ πυρριχίου*) *τοιόνδε* '*λέγε — μέλεα*'. de Pentheo dilaniato verba dicta putavit Vpton. *νεόλυτα* al.

137

ποίαν δῆθ' ὁρμάσω; ταύταν
ἢ κείναν; κείναν ἢ ταύταν;

Dionys. de comp. verb. c. 17 vol. 5 p. 105 (p. 220 Schaef.): *παράδειγμα δὲ αὐτοῦ* (sc. *τοῦ σπονδείου*) *τόδε* '*ποίαν — ταύταν*'. cf. Porson in Eur. Hec. 161.

138

ἐπεὶ σχολὴ πάρεστι, καὶ Μενοιτίου

Dionys. de comp. verb. c. 17 vol. 5 p. 106 (p. 220 Schaef.): *παράδειγμα δὲ τοῦ προτέρου* (sc. *τοῦ ἰάμβου*) *τοιόνδε* '*ἐπεὶ — Μενοιτίου*'.

139

ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες

Dionys. de comp. verb. c. 17 vol. 5 p. 107 (p. 222 Schaef.): *παράδειγμα δὲ αὐτοῦ* (sc. *τοῦ μολοττοῦ*) *τόδε* '*ὦ — σωτῆρες*'. *καλλίστας* coni. Schaefer. Terpandri hunc esse locum coni. Leutsch Philol. 11 p. 342.

140

Ἴακχε θρίαμβε, σὺ τῶνδε χοραγέ

Dionys. de comp. verb. c. 17 vol. 5 p. 108 (p. 222 Schaef.): *ἀμφίβραχυς — διακέκλασταί τε καὶ πολὺ τὸ θῆλυ καὶ ἀγενὲς ἔχει, οἷά ἐστι ταυτί* '*Ἴακχε — χοραγέ*'. *διθύραμβε* libri, *θρίαμβε* L. Dindorf.

141

κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν

Dionys. de comp. verb. c. 17 vol. 5 p. 109 (p. 226 Schaef.): *παράδειγμα αὐτοῦ* (sc. *τοῦ ἀναπαίστου*) *φέροντες τοιόνδε* '*κέχυται — γᾶν*'.

142

οἳ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις.

Dionys. de comp. verb. c. 17 vol. 5 p. 110 (p. 226 Schaef.): *ὑπόδειγμα δ' αὐτοῦ* (sc. *τοῦ κρητικοῦ*) *τοιόνδε* '*οἳ δ' — χαλκεμβόλοις*'. *ἐπήγοντο* olim conieci Philol. 6 p. 396. *ἀπήναισι χαλκεμβόλοις* cod. Mon. et Darmst. 1, *ἀπήνῃσι χαλκεμβόλοισιν* al.

143

σοὶ Φοῖβε μούσαις τε σύμβωμοι

Dionys. de comp. verb. c. 17 vol. 5 p. 110 (p. 226 Schaef.) de cretico numero: *ἐὰν δὲ τὴν ἀρχὴν αἱ δύο μακραὶ κατάσχωσι, τὴν δὲ τελευτὴν βραχεῖα, οἷά ἐστι ταυτί* '*σοὶ — συμβῶμεν*', *ἀνδρῶδες δὲ πάνυ τοῦτο τὸ σχῆμα.* *μοῦσαί τε* libri, *μούσαις τε* Bergk Lyr. ed. alt. p. 1067, qui pro *σύμβωμοι* (sic Mon. 1) vel *συμβῶμεν* scribendum censet *σύμβωμον*.

144

τίν' ἀκτάν, τίν' ὕλαν δράμω; ποῖ πορευθῶ;

Dionys. de comp. verb. c. 17 vol. 5 p. 111 (p. 228 Schaef.) de cretico numero: *τὸ δ' αὐτὸ συμβήσεται, κἂν ἡ βραχεῖα πρώτη προτεθῇ τῶν μακρῶν — παράδειγμα δ' αὐτοῦ τόδε 'τίν' ἀκτάν — πορευθῶ;'*

145

Diphilus (Com. 4 p. 388) ap. Ath. VI p. 223 A:

ὦ τόνδ' ἐποπτεύουσα καὶ κεκτημένη
Βραυρῶνος ἱεροῦ θεοφιλέστατον τόπον.

ex tragico poeta haec expressa esse coniecit G. Dindorf in Thes. Gr. L. 2 p. 397 A. quae subicit Diphilus, *Λητοῦς Διός τε τοξόδαμνε παρθένε, ὡς οἱ τραγῳδοὶ φασίν*, spectant ad Eur. Hipp. 1451.

146

Epiphanius Ancor. p. 108 D (vol. 1 p. 208 ed. Dind.): *Ζῆνες δὲ οὐχ εἷς ἢ δύο, ἀλλὰ καὶ τρεῖς καὶ τέσσαρες γεγόνασι τὸν ἀριθμόν. ὁ μὲν γὰρ εἷς αὐτῶν Κρονίδης ὁ προειρημένος —, ἄλλος δὲ ὁ τραγῳδὸς ὁ καὶ τὴν χεῖρα αὐτοῦ καύσας· τάχα δὲ θεὸς ὢν ἐπελάθετο ὅτι δάκνει τὸ πῦρ.* respici drama satyricum probabiliter coni. Meineke Philol. 3 p. 320. cf. Theophil. ad Autol. 3, 8 p. 210: *τί γάρ μοι καταλέγειν — ὅτι ὁ Ζεὺς ὁ καλούμενος τραγῳδὸς κατακαύσας (κατακλύσας* libri, emend. Otto) *τὴν ἑαυτοῦ χεῖρα, ὥς φασί, νῦν παρὰ Ῥωμαίοις θεὸς τιμᾶται;*

147

ἀκταῖνον μένος

Etym. M. p. 54, 37: *ἀκταίνειν· τὸ μετεωρίζεσθαι καὶ ἐπαίρεσθαι καὶ γαυριᾶν. — καὶ 'ἀκταῖνον μένος' τὸ ἀνάγον καὶ δυνάμενον ἀνορθοῦν.* eadem fere Etym. Gud. p. 30, 15 et Etym. Sorb. (Gaisf. p. 147 D), ubi *ἀκταινόμενον* scribitur.

148

ἦ γὰρ βέβηκε χεῖρας ἀρτάμων φυγών;

Etym. M. p. 149, 55: *ἄρταμος, ὁ μάγειρος. 'ἦ γὰρ — φυγών;'* *εἰ γὰρ* (pro *ἦ γὰρ*) praebet Etym. Flor. p. 46. hoc loco *ἄρταμος* potius *ἐπὶ φονέως* dictum videtur, quam ob rem Gaisford Sophoclis esse versum coniecit, cuius vide fr. 921.

149

ὕδωρ δὲ πίνει, τὸν δὲ Βίβλινον στυγεῖ.

Etym. M. p. 197, 32: Βίβλινος οἶνος· οἷον 'ὕδωρ — στυγεῖ', ἀπὸ Βιβλίνης οὕτω καλουμένης Θρακίας ἀμπέλου. Cratini Πυτίνῃ versum tribuit Meineke, Euripidi Hemsterhuys, satyrico dramati Cobet N. L. p. 48.

150

δίφρου τέτυκται βλῶσις εὔζυγον τέρας

Etym. M. p. 201, 19: βλῶσις· ἡ ἕδρα, οἷον 'δίφρου τέτυκται βλῶσις'. verba εὔζυγον τέρας accesserunt ex cod. F Milleri *Mél. de litt. gr.* p. 66. dubitari potest num veteris sit poetae versus.

151

ὦ Ζεῦ, γενέσθαι τῆσδέ μ' ἐξάντη νόσου.

Etym. M. p. 346, 43: ἐξάντης — ἀβλαβὴς καὶ ὑγιής, ὁ ἔξω ἄτης, οἷον 'ὦ Ζεῦ — νόσου'. similiter Suidas v. ἐξάντη. τῆσδέ μ' libri quidam Etym. M., με τῆσδ' Suid. sicut Etym. M. DF. ἐξάντην Etym. M., ἐξάντη Suid.

152

. . . ᾔδη ταῦτ' ἐγὼ φράσαι καλῶς

Etym. Flor. p. 143: ᾔδεισθα — τούτου τὰ πληθυντικὰ ᾔδειμεν ᾔδειτε ᾔδεισαν καὶ κατ' ἔλλειψιν ᾔδεμεν, καὶ τὸ 'ᾔδει — καλῶς'. ᾔδη scripsi, ᾔδει F.

153

Χρυσεὺς δ' ὁ μάντις

Etym. Flor. p. 194: κουρίδας — εἰ δὲ παρὰ τὸ κουρεύς, ἐνέλιπε τὸ Η (τὸ Ι F, corr. Miller), ὥσπερ τὸ Βρισηίς ἀπὸ τοῦ Βρισέως. — ὅταν οὖν εὕρῃς τὸ Χρυσηίς, οὐκ ἀπὸ τῆς Χρύσης ἐστίν, ἀλλ' ἀπὸ τοῦ Χρυσεύς, οἷον 'Χρυσεὺς δ' ὁ μάντις'.

154

λαθραίαν κύπριν, αἰσχίστην νόσων

Eubulus Com. 3 p. 238 ap. Ath. XIII p. 569 A: καὶ μὴ λαθραίαν κύπριν αἰσχίστην νόσων πασῶν διώκειν. tragoediae imitatio ex metro apparet, cf. Cobet Mnem. nov. 8 p. 278. ὅσων Ath. A, νόσων Casaubonus, νόσον Meineke.

155

φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.

Eubulus (Com. 3 p. 240) ap. Ath. VI p. 239 A: ὅστις δ' ἐπὶ δεῖπνον ἢ φίλον τιν' ἢ ξένον καλέσας ἔπειτα συμβολὰς ἐπράξατο, 'φυγὰς — λαβών.' postremum versum ex Euripide derivatum esse suspicatur Meineke.

156

Eupolis Com. 2 p. 477 in Schol. Ar. Nub. 1001 et al.: εἶσ' Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες, βληχητὰ τέκνα κοὐδαμῶς τοῦ σοῦ τρόπου. probabiliter Meineke conicit Euripidis versum parodia ludi, velut ἔχθιστα τέκνα κοὐδαμῶς τοὐμοῦ τρόπου.

157

ὑπέρ τε πόντου χεῦμ' ὑπέρ τε Πλειάδα

Euseb. P. E. XV p. 854 D: μηδὲν γὰρ ἡμῖν ἔσεσθαι πλέον ἀλλ' οὐδ' εἰ μετεωρότεροι τοῦ Περσέως ἀρθέντες 'ὑπέρ τε — Πλειάδα' αὐτοῖς τοῖς ὄμμασι κατίδοιμεν τὸν πάντα κόσμον. Euripidis esse versum coni. Gaisford, ad Andromedam (cuius cf. fr. 124) refert Meineke *Zeitschr. f. d. Alterth.* 1845 p. 1066.

158

ἐπεὶ δ' ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος

Eustath. Macremb. de Hysmines et Hysminiae amor. 11, 15: δι' ὅλης ἐκείνης νυκτὸς ἐφερόμεθα προσηνῶς εὐδίῳ τῷ πνεύματι· ἐπεὶ δ' ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος, καθορῶμεν τὴν γῆν καὶ πόλιν παρὰ τῇ γῇ. senarium agnovit Hercher. cf. Aesch. Ag. 658: ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου σέλας. Greg. Naz. vol. 2 p. 22 A: τοσοῦτον ἐξέλαμψεν ἡλίου σέλας. inepte iunguntur λαμπρός et ἐξέλαμψεν.

159

ἀνὴρ ἐς οὐδὲν χρεῖος

Eust. Il. p. 218, 8: τοῦ ἀχρεῖος τὸ ἁπλοῦν εὕρηται παρὰ τῷ εἰπόντι 'ἀνὴρ εἰς οὐδὲν χρεῖος'.

160

πανοῦχον ἅψαντες φλόγα

Eust. Il. p. 1189, 24: πανός ἀπὸ τοῦ φαίνειν σχηματισθείς, φασί, κατὰ μεταβολὴν τοῦ Φ, οἷον 'πανοῦχον ἅξαντες φλόγα'. ἅψαντες pro ἅξαντες correxit Meineke, qui Sophocli verba tribuit et ad Ἑλένης γάμον (fr. 185) rettulit.

161

χρόαν δὲ τὴν σὴν ἥλιος λάμπων φλογὶ
αἰγυπτιώσει

Eust. Od. p. 1484, 27: *αἰγυπτιάσαι καὶ αἰγυπτιάζειν οὐ μόνον τὸ ἐπικαῦσαι, οἷον ʻχρόαν — αἰγυπτιάσειʼ, ἀλλὰ καὶ τὸ πανουργεῖν.* v. 2 *αἰγυπτιάσει* Eust., *αἰγυπτιώσει* Meineke. Hesychius 1 p. 71: *αἰγυπτιῶσαι· μελᾶναι.* Etym. M. p. 30, 18: *αἰγυπτιῶσαι· μελᾶναι καὶ ἐπικαῦσαι.* v. 1 *λαμπρᾷ φλογὶ* olim conieci, fortasse *βάλλων φλογὶ* praeferendum. Meinekio parodia videtur loci Aeschylei Prom. 22: *σταθευτὸς δʼ ἡλίου φοίβῃ φλογὶ χροιᾶς ἀμείψεις ἄνθος.* tragico poetae locum tribuit Cobet N. L. p. 48, Theopompo comico Naber in Phot. Lex. vol. 1 p. 155. cf. Kock Com. Att. fr. vol. 3 p. 399.

162

Κίλιξ δὲ χώρα καὶ Σύρων ἐπιστροφαί

Eust. Od. p. 1484, 49: *οὕτω δέ, φασί, καὶ ἄλλα ἐξ ἀρρενικῶν ἐπὶ θηλυκὰ μεταφέρονται· ὡς τὸ ʻΚίλιξ — ἐπιστροφαίʼ. Σηρῶν* Eust., *Σύρων* Meineke. Aristid. vol. 1 p. 388: *οὔτε Αἴγυπτος οὕτω πόρρω οὔτε Τυρρηνικὸν πέλαγος οὔτε Σύρων καὶ Κιλίκων, ποιητὴς ἂν εἴποι, ἐπιστροφαί* (*ἐνστροφαί* libri, correxit Bergk). Aeschylo (cuius vide fr. 271) versum vindicat Bergk.

163

ἄτρυτος ἐν πόνοις

Eust. Od. p. 1517, 12: *ἐκ δὲ τοῦ τρύω καὶ ʻἄτρυτος ἐν πόνοιςʼ λέγεται ὃν πόνοι οὐ τείρουσιν.* tragici poetae haec esse verba coni. L. Dindorf in Thes. Gr. L. vol. I, 2 p. 2413 B, qui huc refert Hesych. 1 p. 317: *ἀτρύπονος· πολύπονος.* similiter *ἄτρυτον ὑπὸ παντὸς πόνου* dixit M. Anton. 3, 4. contra *πόνοις ἀτρύτοις* Philo Iud. vol. 1 p. 412 Appian. Hannib. c. 54 p. 189, 6 B. civ. 2, 124 p. 808, 25 Damasc. in Phot. Bibl. p. 345 b 28.

164

ὃς τόνδʼ ἔχεις τὸν σηκόν, ἵλεως γενοῦ.

Eust. Od. p. 1625, 24: *σηκὸς γοῦν, φασίν, ἡρῷον, οἷον ʻὃς — γενοῦʼ.*

165

ἡ δὲ προυκαλεῖτό με
βαυβᾶν μεθʼ αὑτῆς

Eust. Od. p. 1761, 27: *βαυβᾶν τὸ κοιμᾶσθαι, οἷον ʻἡ δὲ —*

αὐτῆς'. v. 2 μετ' αὐτῆς Eust., μεθ' αὐτῆς scripsi. olim haec Sophocli tribuebantur: ego comici esse poetae suspicabar, nunc malo satyrico dramati adscribere: consentit Cobet N. L. p. 48.

166

μικρόν γ' ἔλεξας βασιλικοῦ σηκὸν τάφου·
διπλάσιος ἔστω.' τοῦ καλοῦ δὲ μὴ σφαλεὶς
δίπλαζ' ἕκαστον κῶλον ἐν τάχει τάφου.

Eratosth. ap. Eutoc. in Archimed. p. 144: τῶν ἀρχαίων τινὰ τραγῳδοποιῶν φασὶν εἰσαγαγεῖν τὸν Μίνω τῷ Γλαύκῳ κατασκευάζοντα τάφον, πυθόμενον δὲ ὅτι πανταχοῦ ἑκατόμπεδος (f. ἑκατόμποδος leg., cf. Lobeck in Phryn. p. 546) εἴη εἰπεῖν 'μικρόν — τάχει τάφου'. ἐδόκει διημαρτηκέναι (l. δοκεῖ δ' ἡμαρτηκέναι)· τῶν γὰρ πλευρῶν διπλασιασθεισῶν τὸ μὲν ἐπίπεδον γίνεται τετραπλάσιον, τὸ δὲ στερεὸν ὀκταπλάσιον. v. 1 βασιλειkov F, βασιλικοῦ Valckenaer. σικον F. v. 2 διπλάσιος Valckenaer, διπλασιον F. του δε του καλου F (κύβου pro καλοῦ B m. sec.), τοῦ κύβου δὲ Valckenaer. σφαλης F. v. 3 δίπλαζ' scripsi, διπλασιαζ' F. Euripidis Polyido hos versus adscripsit Valckenaer Diatr. p. 203 non recte, sine dubio antiquioris sunt poetae, fortasse Aeschyli.

167

τῶν εὐτυχούντων ἀνταγωνιστὴς φθόνος.

Exc. Vindob. 11: 'τῶν — φθόνος'. aliis in florilegiis haec Aristoteli tribuuntur, cf. C. Wachsmuth Gnomol. Byz. 110 p. 184. ὁ φθόνος Exc. Vind. et al., φθόνος scripsi, quam emendationem confirmat cod. Paris.

168

θεὸς οὐχὶ ληπτός· εἰ δὲ ληπτός, οὐ θεός.

Floril. Monac. 3: 'θεὸς — οὐ θεός'. cf. Wachsmuth Gnomol. Byz. 3 p. 166. οὐχὶ ληπτός scripsi, οὐ ληπτός libri. versum ex tragoedia repetit R. Methner.

169

εἰ μὲν θεοὶ σθένουσιν, οὐκ ἔστιν τύχη·
εἰ δ' οὐ σθένουσιν, οὐδέν ἐστιν ἡ Τύχη.

Floril. Monac. 108: 'εἰ μὲν — ἡ τύχη'. recurrunt hi versus in Schol. Lucian. p. 171. eosdem spectat Ioh. Lydus de mensibus 4, 7 p. 55, 15: εἰ μὲν γὰρ τύχη ἔστιν, οὐδὲν δεῖ θεοῦ· εἰ δὲ θεὸς σθένει, οὐδὲν ἡ τύχη. v. 2 οὐδὲν ἔστιν ἢ τύχη G. Wolff Mus. Rhen. 19 p. 464. Agathonis esse locum coni. Meineke.

170

σιγᾶν γε μέντοι πολλὰ πολλαχοῦ καλόν.

Floril. Monac. 114: '*σιγᾶν — καλόν*'.

171

τὴν εὐγένειαν, ἣν θέλῃς ἀνασκοπεῖν,
ἐν τοῖς καλῶς φρονοῦσιν εὑρήσεις βροτῶν.

Floril. Monac. 121: '*τὴν — βροτῶν*'.

172

τοῦ λαμβάνειν γὰρ πάντες ἡσσῶνται βροτοί.

Floril. Monac. 125: '*τῷ — βροτοί*'. *γὰρ* om. cod. Mon., si Walzio fides, unde *ἅπαντες* ed. Meineke. *τῷ λαμβάνειν* et *ἡττῶνται* cod. Leid. et Mon., scripsi *τοῦ λαμβάνειν* et *ἡσσῶνται*. fortasse *τῷ λαμβάνειν — ἥδονται βροτοί* praeferendum, cf. Men. mon. 513: *τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.*

173

οὐκ ἔστιν ἐπιτήδευμα χρησιμώτερον
τῆς πραότητος.

Floril. Monac. 144: '*οὐκ — πραότητος*'.

174

εἴθ' ὤφελεν τὸ κάλλος ὅ με διώλεσεν
κακῶς ὀλέσθαι.

Galenus vol. 1 p. 15: *πολλοῖς συνέβη περιβλέπτοις διὰ κάλλος γεγενημένοις ἀμελῆσαι τῆς ἑαυτῶν ψυχῆς, εἶθ' ὕστερον ὅτ' οὐδὲν ὄφελος λέγειν* '*εἴθ' — ὀλέσθαι*'. Helenae videntur esse verba. v. 1 *διώλεσε* ed.

175

ὁ θυμὸς αὐτὸν τῶν φρενῶν ἐξῆρ' ἄνω.

Galenus vol. 5 p. 293: *οὐ μὴν τοῦτό γ' ἦν σοι τὸ ἀμφισβητούμενον, εἰ τὸ θυμούμενον τῆς ψυχῆς ἐν καρδίᾳ κατῴκισται, ἀλλ' εἰ τὸ λογιζόμενον, ὅπερ ἐχρῆν ἀποδείξαντα μὴ πολλὰ κάμνειν ὑπὲρ τοῦ θυμουμένου μηδ' ἐμπιπλάναι τὸ βιβλίον ἐπῶν ποιητικῶν, ὧν ἐφεξῆς γράφεις ὡδί* '*ὅς γε πολὺ γλυκίων —*' *καὶ πάλιν* '*ὁ θυμὸς — ἄνω*' *καὶ πάλιν* '*πηδῶν — μαντεύεται*' (fr. 176). *ἐξῆρεν ἄνω* ed., correxit Valckenaer in Eur. Hipp. p. 198, qui Euripidi versum tribuit.

176

πηδῶν δ' ὁ θυμὸς ἔνδοθεν μαντεύεται.

Galenus vol. 5 p. 293 (v. fr. 175). *πηδῶν ὁ θυμὸς* verba recurrunt adesp. fr. 390. Euripidis esse versum coni. Wyttenbach.

177

σὺ μὲν βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς,
σὺ δ' ἀμφὶ Θήβας στεῖχε τὰς Καδμηίδας.

Galenus vol. 13 p. 363: *πότερα γάρ, φασίν, ἐφεστηκώς τις αὐτοῖς προστάττει, καθάπερ ἐν τῇ τραγῳδίᾳ 'σὺ μὲν — Καδμηίας', οὕτως ἐνταῦθα κτέ.* v. 1 servavit etiam Laert. Diog. 7, 67: *προστακτικὸν δέ ἐστι πρᾶγμα ὃ λέγοντες προστάσσομεν, οἷον 'σὺ μὲν — ῥοάς'.* v. 1 *τὴν ἐπ' Ἰνάχου ῥοάς* Cobet Mnem. nov. 13 p. 9. v. 2 *Καδμηίας* vulgo, *Καδμηίδας* scripsi.

178

εἰ μή σε Λητὼ καλλίπαις ἐγείνατο

Galenus vol. 17, 2 p. 145: *νοσοῦντος γάρ τινος, εἶτ' εἰπόντος τῷ Καλλιάνακτι 'τεθνήξομαι', φασὶν αὐτὸν ἐπιφωνῆσαι τόδε τὸ ἔπος 'εἰ μή — ἐγείνατο'. ἑτέρῳ δὲ ταὐτὸ τοῦτ' εἰπόντι φάναι 'κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων'.*

179

ἀνώμαλοι πλάστιγγες ἀστάτου τύχης.

Gnomol. cod. Vrbin. *Α* 30 p. 427: *'ἀνώμαλοι — τύχης'.*

180

πολλοί σε μισήσουσιν, ἢν σαυτὸν φιλῇς.

Greg. Cypr. 3, 42 et Macar. 7, 26: *'πολλοί — φιλῇς'.* idem versus legitur in Gnomol. cod. Vrbin. *Π* 20 p. 445. Greg. Cypr. Leid. 2, 96 (item Mosq. 4, 81) et Suidas v. *πολλοί σε* haec addunt: *τοῦτο φασὶ τὰς νύμφας πρὸς τὸν Νάρκισσον εἰπεῖν ἀποβλέποντα εἰς πηγὴν καὶ τὴν οἰκείαν ποθοῦντα μορφήν. ἢν*] *ἂν* vel *ἐὰν* libri.

181

ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν·
κρεῖσσον γὰρ ἢ σέβοντα τοὺς θεῶν νόμους
πένητα ναίειν δόξαν ἠμπολημότα.

Greg. Naz. vol. 2 p. 210 B: *μήτ' οὖν ἐκεῖνα προσδέχου τὰ μὴ*

καλὰ βίβλων παλαιῶν, ὠγάθ', αἷς ἐνετράφης· 'ἔα με — ἠμποληκότα'. μή μοι γένος γένιζε (*ξένιζε* cod. Vat.), *μᾶζά μοι γένος. τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα* (Eur. Phoen. 442). *πένητος ἀνδρὸς οὐδὲν ἀθλιώτερον* (cf. Men. Com. 4 p. 247). *ἄνευ δὲ χαλκοῦ Φοῖβος οὐ μαντεύεται. 'οὐκ ἔστιν — ἀροῖ πλάκα'* (Eur. fr. 661). v. 1 *ἔα με — κακόν* afferunt Diod. Sic. 37, 30, 2 (Exc. Vat. p. 135) et Schol. Aphthon. in Rhet. vol. 2 p. 24 p. 594. Latine reddidit Seneca Epist. 115, 14 (vide adesp. fr. 461): *sine me vocari pessimum, ut dives vocer.*

182

μί' εὐγένεια τὸν τρόπον χρηστὸν φορεῖν.

Greg. Naz. vol. 2 p. 251 C: *τὸν εὐγενῆ μέν, δυσγενῆ δὲ τῷ τρόπῳ νεκρὸν νομίζω τῶν καλῶν ὀδωδότα· 'μί' — φέρειν'.* extremum versum antiqui poetae esse suspicor. *φορεῖν* scripsi, *φέρειν* ed.

183

οὗτος μὲν οὖν μοι δεῦρ' ἀεὶ τείνει λόγος.

Harpocr. p. 6, 20: *ἀεί ἀντὶ τοῦ ἕως παρ' Ἀντιφῶντι Σαμοθρᾳκικῷ. πολλὴ δὲ χρῆσις αὐτοῦ. καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ οὕτως ἤρξατο 'οὕτω μὲν — λόγους'.* locus lacunosus. Thucydidis significatur (de quo Sauppe Orat. Att. fr. p. 143 admonuit) 1, 18: *ἀπὸ τῶν Μηδικῶν εἰς τόνδε ἀεὶ τὸν πόλεμον.* verba *οὕτω μὲν κτέ.* tragici sunt poetae, Euripidis esse coni. Meier de Lycurg. p. CXIX. *οὗτος* pro *οὕτω* correxit Stanley in Aesch. Eum. 599, *λόγους* in *λόγος* ego mutavi. eodem spectat Schol. Aeschyl. Eum. 596: *τὸ ἀεί ἐπὶ τοῦ ἕως τάττουσιν Ἀττικοὶ πολλάκις· 'δεῦρο μέν μοι τόνδ' αἰεὶ τείνει λόγον'.* simillimum est Eur. fr. 363: *εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.*

184

κλύειν μαίεται

Hephaest. p. 61: *τὸ καλούμενον δοχμιακόν, οἷον 'κλύειν μαίεται. τὸν ἐγχώριον'.*

185

τὸν ἐγχώριον

Hephaest. p. 61. v. fr. 184.

186

πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται Κύπρις.

Hermias in Plat. Phaedr. p. 76: *οἳ μὲν γὰρ ὑπέλαβον ἁπλῶς φαῦλον τὸ ἐρᾶν ὡς Ἐπίκουρος — καὶ ὁ εἰπών 'πλήρει — Κύπρις'.* Euripidis esse versum coni. Meineke Com. 4 p. 171.

187

διссὰ πνεύματα πνεῖς, Ἔρως

Hermias in Plat. Phaedr. p. 76: *καὶ τὸν τραγῳδὸν τὸν εἰπόντα 'δισσὰ — Ἔρως'.* Lucian. Amor. 37 vol. 2 p. 438: *δισσὰ γὰρ ὄντως κατὰ τὸν τραγικὸν πνεύματα πνεῖ ὁ Ἔρως, ἑνὸς δὲ ὀνόματος οὐχ ὅμοια πάθη κεκοινώνηκε.* Euripidi versum tribuit Meineke Com. 4 p. 171.

188

ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὸν σῦν ἐμέ.

Hermog. in Rhet. vol. 3 p. 442: *τὸ 'ὦ Ζεῦ — ἐμέ' ἀμφίβολον φασὶν εἶναι.* eundem versum habemus in Aristid. vol. 2 p. 764 (sive Rhet. vol. 9 p. 404) Anonymi Paraphr. Aristot. Sophist. elench. ed. Hayduck p. 6, 10 et p. 7, 5 Schol. Aristot. Rhet. fol. 61a 42 (vide Eur. fr. 515) Eust. Il. p. 753, 12. *ὦ Ζεῦ* verba om. Paraphr. Aristot. et Galenus vol. 14 p. 583: *καθάπερ ἔχει τὸ 'γένοιτο καταλαβεῖν* (l. *καταβαλεῖν*) *τόνδ'* (l. *τὸν σῦν*) *ἐμέ'.* deprompsit ista Galenus, ut ait, ex Aristotelis *περὶ σοφιστικῶν ἐλέγχων*, ubi frustra quaeruntur: nimirum ad Aristotelem transtulit quae de interprete Aristotelis dicenda erant (de quo errorum genere cf. Aesch. fr. 376 Soph. fr. 343 Eur. fr. 1016 Anth. Pal. 14, 67 Stob. Flor. 111, 14 al.). ex Euripidis Meleagro petitum esse versiculum coni. Valckenaer Diatr. p. 145.

189

νοσσιὰν τέκνων

Herodianus q. d. *περὶ ἀκυρολογίας* in Anecd. Boiss. 3 p. 267 (sive Append. Lex. Vindob. p. 317, 18): *ὁ γοῦν λέγων 'νοσσιὰν τέκνων' ἀκυρολογεῖ.* similiter Ammon. Valck. p. 145 et Etym. Gud. p. 560, 31. *νοσσιὰν τῶν τέκνων* Ammon.

190

Αἴαντε δ' ὁρμήσαντες ἐκ ξυνωρίδος

Herodian. q. d. *π. σολοικ.* in Anecd. Boiss. vol. 3 p. 244 (Append. Lex. Vindob. p. 297, 10) *ἐπὶ δυϊκοῦ 'Αἴαντε — ξυνωρίδος'· ἔδει γὰρ ἐπενεχθῆναι δυϊκῷ δυϊκόν. δ' ὁρμήσαντες* AC, *διορμήσαντες* BD. *συνωρίδος* A.

·191

ἦλθεν δὲ λαοὶ μυρίοι πρὸς ἠόνα.

Herodian. *π. σολοικ.* in Anecd. Boiss. vol. 3 p. 244 (Append. Lex. Vind. p. 297, 13): *τὸ δὲ πληθυντικὸν τῷ ἑνικῷ συναφθὲν ἀσχη-*

μονεῖ· ‛ἦλθε δὲ — ᾐόνα’. ἦλθε libri, *ἦλθεν* Boissonade. Sophoclis esse versum coni. Schneidewin Coni. crit. p. 92.

192

χεῖρας δὲ Τρώων ὅπλ’ ἔδωκαν ‛Ελλάδος

Herodian. *π. σολοικ.* in Anecd. Boiss. vol. 3 p. 245 (Append. Lex. Vind. p. 298, 8): *αἰτιατικὴν ἀντὶ δοτικῆς· ‛χεῖρας — ‛Ελλάδος’, ἀντὶ τοῦ δοτικῇ χρήσασθαι ‛χερσὶ δὲ Τρώων ὅπλ’ ἔδωκαν’.* vitiosa scriptura deceptum esse grammaticum coni. Herwerden Exerc. crit. p. 85, qui temptat *χήρας δὲ Τρώων ὅπλ’ ἔθηκαν ‛Ελλάδος ⟨γυναῖκας⟩* vel *χήρας δὲ Τρώων ὅπλ’ ἔδωκαν ‛Ελλάδι.*

193

τιμᾶν Μακεδόνων εἵνεκ’ εὐανδρησίας

Herodian. *π. σολοικ.* in Anecd. Boiss. vol. 3 p. 246 (Append. Lex. Vindob. p. 298, 11): *ἀντὶ αἰτιατικῆς γενικήν· ‛τιμᾶν — εὐανδρησίας’, ἀντὶ τοῦ αἰτιατικῇ χρήσασθαι, Μακεδόνας τιμᾶν. τιμᾶν] τιμὴν* BD. *εὐανδρησίας] ἀνδρησίας* BD. *εὐανδρησία* formam iure in suspicionem vocat Lobeck Pathol. prol. p. 427. olim lectum fuisse *τιμᾶν, Μακεδόνων ἕνεκα τῆς εὐανδρίας* coni. Herwerden Exerc. crit. p. 41. haud dissimilia sunt verba Soph. El. 983: *τιμᾶν ἅπαντας εἵνεκ’ ἀνδρείας χρεών.*

194

ἐγάμησεν ‛Ελένη τὸν θεοῖς στυγούμενον

Herodian. *π. σολοικ.* in Anecd. Boiss. vol. 3 p. 249 (Append. Lex. Vind. p. 301, 13): *γίνεται σολοικισμός, ὅταν τις τῷ πάσχοντι ἐνεργητικὸν ῥῆμα περιάψῃ, οἷον ‛ἐγάμησεν — στυγούμενον’. ἔδει γὰρ τὸ παθητικὸν τῇ γυναικὶ περιάψαι. ἐγάμησεν] ἐγήματο* C, *ἔγημεν* expectaris. de fide fr. 194 et 195 dubitat R. Methner diss. p. 6 sq., qui duo ista soloecismi exempla a grammatico ficta arbitratur ex Eur. Or. 19: *γαμεῖ δ’ ὃ μὲν δὴ τὴν θεοῖς στυγουμένην Μενέλαος ‛Ελένην.* ac profecto *θεῶν μίσημα* rectius Helena appellari poterat quam Menelaus.

195

γαμεῖ δ’ ὃ μὲν δὴ Τυνδάρεω κόρην μίαν

Herodian. *π. σολοικ.* in Anecd. Boiss. vol. 3 p. 253 (Append. Lex. Vind. p. 305, 5): *ἔσθ’ ὅτε δέ τινες ἀντὶ παρῳχημένου τῷ ἐνεστῶτι χρῶνται, οἷον ‛γαμεῖ — μίαν’, ἀντὶ τοῦ ἐγάμησε. δὴ* om. BD. *κορᾶν μίαν* coni. Herwerden Exerc. crit. p. 85. at v. quae de fr. 194 diximus.

196

αὐλῶνά θ' ἣν ἄρδουσι

Herodian. π. σολοικ. in Anecd. Boiss. vol. 3 p. 255 (Append. Lex. Vind. p. 306, 19): *γίνεται τοίνυν σολοικισμὸς περὶ τὰ ἄρθρα ἀρσενικοῖς ἀκολούθως· 'αὐλῶνά τε ἣν ἄρδουσι' δέον λέγειν 'ὃν ἄρδουσιν'.* poetis nomen *αὐλών* feminini esse generis docet Ath. V p. 180 D.

197

τοίων γὰρ ἀνδρῶν σπέρμ' ἔδωκεν Ἑλλάδος

Herodian. π. σολοικ. in Anecd. Boiss. vol. 3 p. 255 (Append. Lex. Vind. p. 307, 3): *ἢ ὅταν ἀντὶ προτακτικοῦ χρήσηταί τις τῷ ὑποτακτικῷ· 'τοίων — Ἑλλάδος', τῆς κατὰ Τροίαν.* locus lacuna laborare videtur. *σπέρμ' ἔδωκεν* Wagner, *σπέρμα ἔδωσεν* ed.

198

ἄλλη συνωρίς

Hesych. 1 p. 127: *ἀλλησίνωρις* (*ἄλλη συνωρίς* Musurus)· *ἄλλη κατάστασις.* cf. Kock Com. Att. fr. vol. 3 p. 555.

199

ἀργῆν ἔπεφνεν

Hesych. 1 p. 273: *ἀργῆν ἔπεφνεν* (*ἀργηνέπεφν*^αι cod.)· *ὄφιν. ἔστι δὲ ἐπίθετον δράκοντος.* cf. Achaei fr. 1 p. 746.

200

ἄσειρος ἵππος

Hesych. 1 p. 297: *ἄσειρος ἵππος· ὁ μὴ ἔχων σειρὰν μηδὲ δέσιν, ἀλλ' ἄφετος καὶ ἄνετος.*

201

αὐτόχθων ἑστία

Hesych. 1 p. 329: *αὐτόχθων* (*αὐτοχθρῶν* cod.) *ἑστία· ἡ τοῦ Χείρωνος, παρ' ὅσον ἐν τοῖς ὄρεσι διῆγεν.* cf. Etym. M. p. 173, 41 Eust. Il. p. 1332, 14.

202

Ἀχίλλειον πλάκα

Hesych. 1 p. 344: *Ἀχίλλειον πλάκα· τὴν Ἀχιλλέως νῆσον τὴν Λευκὴν λεγομένην. — εἰσὶ δὲ καὶ Ἀχιλλέως δρόμοι περὶ ταύτην τὴν νῆσον.* cf. Soph. fr. 507.

203

βαθυρρίζου πέτρας

Hesych. 1 p. 352: *βαθυρρίζου* (*βαθυρίζου* cod.) *πέτρας· τῆς ὑψηλῆς*.

204

Βάκχου Διώνης

Hesych. 1 p. 355: *Βάκχου Διώνης· οἱ μὲν βακχευτρίας Σεμέλης, οἱ δὲ Βάκχου τοῦ Διονύσου καὶ Ἀφροδίτης τῆς Διώνης, παρ' ὅσον διωνυμία* (*διώνυμα* cod.) *περὶ τὰς θεάς. Πράξιλλα δὲ ἡ Σικυωνία Ἀφροδίτης παῖδα τὸν θεὸν ἱστορεῖ.* Anecd. Bekk. p. 225, 4: *Βάκχου Διώνη· οἱ μὲν βακχεύτριαν Σεμέλης, οἱ δὲ Διονύσου καὶ Ἀφροδίτης.*

205

γλῶσσαν οὐκ ἐμπήξετε

Hesych. 1 p. 437: *γλώσσας οὐκ ἐμπήξεται· οὐκ ἂν διαφάγοιτο, οὐκ ἂν γεύσοιτο.* scribendum *γλῶσσαν οὐκ ἐμπήξετε· οὐκ ἂν φάγοιτε, οὐκ ἂν γεύσαισθε*, ut vidit Cobet Mnem. nov. 3 p. 293. *γλῶσσαν* praeceperat Meineke Philol. 13 p. 532, qui dramatis satyrici verba afferri coniecit.

206

δεσπότην κεκαρμένοι

Hesych. 1 p. 476: *δεσπότην κεκαρμένοι* (*κρεμμένοι* cod.)*· ἔνιοι μὲν ἵππου κουρᾶς εἶδος εἶναι φασίν. ἐκαλεῖτο δὲ ἀπὸ τοῦ κείρειν τοὺς αὐχένας, ἐπειδὰν ὁ δεσπότης τοῦ ἵππου τελευτήσῃ. βέλτιον* (*βελήντιον* cod.) *δὲ δεσπότην πενθοῦντες, ἐπειδὴ καὶ τοὺς ἵππους ἀπέκειρον ἐπὶ τοῖς θανάτοις τῶν δεσποτῶν.* vitiose Suidas: *δεσπότου κεκαρμένου· ἀπενθοῦντος.*

207

δι' ἔνδειαν φρενῶν

Hesych. 1 p. [illegible]: *δι' ἔνδειαν φρενῶν· διὰ μωρίαν.*

208

ἐμπεδὴς γαμόρος μάρψεν Ἀΐδης

Hesych. 2 p. 78: *ἐμπεδὴς γάμορος μάρψεν Ἀΐδης· ἔμπεδον ἔλεγον τὸν Ἅιδην, ὡς Ἱππῶναξ. ἀντίον τοῦ οὖν ἐμπέδου χθόνιος. οἱ δὲ οὕτως· ὁ Ἅιδης ἐπιμελής ἐστι γάμορος καὶ ἀσφαλής, οὐκ ἀμελῶν οὐδενός, ἀλλ' εἰς τὴν γῆν λαμβάνων τὴν μερίδα, οἷον τὴν γῆν μεριζόμενος.* locus corruptus criticorum conatus elusit. afferri ab

Hesychio Aeschylea verba *ἐμπέδας σε γάμορος μάρψειεν Ἅιδης* coni. Burges in Aesch. Suppl. p. 193. pro *ἐμπεδὴς* alios *ἐμμελὴς* legisse, poetam *ἐμ πέδῃς* scripsisse suspicatur M. Schmidt.

209

. . *ἔνορχιν λαόν*

Hesych. 2 p. 105: *ἐνόρχην λαόν· τὸν ἐπὶ ἥβης· ἀφ' οὗ καὶ τὸ 'ὀρχηδόν'* (*ὀρχίδιον* cod., em Kuster). traditum *ἐνόρχην* in *ἔνορχιν* mutavi. Aeschylea esse verba coni. M. Schmidt, cf. Wecklein in Aesch. Sept. 11.

210

ἐπ' ἀστράβης ὄχημ' ἀκινδύνως φέρων

Hesych. 2 p. 170: *ἐπιστράβης ὄχημα* (*.πιστράβη . . χημα* cod.) *ἀκινδύνως φέρων*. senarium agnovit Pierson in Moer. p. 58, qui *ἐπ' ἀστράβης* correxit; fortasse sufficit *ἐπὶ στράβης* scribi cum Bergkio Lyr. 3 p. 291, cf. adesp. fr. 239.

211

ἐς μέσον συνίεσαν

Hesych. 2 p. 203: *ἐς μέσον συνίεσαν* (*συνήεσαν* Mus.)· *εἰς τὸ φανερὸν ἀλλήλοις ὡμολόγησαν* (an *ὡμίλησαν*?).

212

ὄχος γὰρ οὐδὲ τοῖσιν εὐόργοις ἔπος.

Hesych. 2 p. 228: *εὐόργοις· 'ὄχος γὰρ εὐδέτοισιν εὐόργοις ἔπος'. νῦν ἐπὶ ψόγου, τοῖς μὴ ὀργιζομένοις ἐφ' οἷς δεῖ, ἀλλὰ πάντα εὖ φέρουσιν· ἔσθ' ὅτε δὲ ἐπὶ ἐγκωμίου. ὄχος* vitiosum, *ἄχος* coni. Musurus, *τλητὸν* Heinsius, *κακὸν* Alberti. *εὐδέτοισιν* cod., *οὐδὲ τοῖσιν* Heinsius. ⟨*Ἀρχίλ*⟩*οχος*· ⟨*τλητὸν*⟩ *γὰρ οὐδὲ τοῖσιν εὐόργοις ἔπος* Heinsio duce coni. Bergk Lyr. 2 p. 439. ego *ἄχος* (cum Musuro) *γὰρ οὐδὲν* temptabam.

213

εὔπλουτον κανοῦν

Hesych. 2 p. 229: *εὔπλουτον κανοῦν· εὖ ἔχον πλούτου, διὰ τὰς ἐπ' αὐτῷ ὀλάς. πλοῦτον γὰρ ἔλεγον τὴν ἐκ τῶν κριθῶν καὶ τῶν πυρῶν περιουσίαν.*

214

ἱππικὴ βάσις

Hesych. 2 p. 366: *ἱππικὴ βάσις· ἡ νευρὰ τοῦ τόξου διὰ τὸ ἐξ*

ἱππείων γίνεσθαι νευρῶν (*τριχῶν* Musurus). *οἱ δὲ θώμιγγα νευρῶν ἱππικὴν* (*θεόμιγγα νευρῶν πικὴν* cod.) *καλοῦσιν*. vitiosum videtur *βάσις*, quod in *τάσις* parum probabiliter mutari iussit Scaliger. extrema verba fortasse sic scribenda, *οἱ δὲ θώμιγγα 'νευρὰν ἱππικήν' καλοῦσιν* (sicut *nervum equinum* dixerunt Accius Philoct. fr. 9 et Verg. Aen. 9, 622).

215

θώμιγγα νευρῶν ἱππικήν

Hesych. 2 p. 366, vide fr. 214.

216

. . *καταῖθυξ ὄμβρος*

Hesych. 2 p. 424: *καταῖθυξ ὄμβρος· ὁ καταιθύσσων* (*καταιθύξομβρος ὁ καταιθυσῶν* cod., corr. Musurus). *γράφεται* (*γὰρ φαίνεται* cod., emend. Dindorf) *δὲ καὶ καταίφλεξ* ⟨*ὁ*⟩ *καταφλεγόμενος καὶ ἀναζέων*.

217

ἀλλά σ' αἰδεσθεῖεν οἱ θεοί.

Hesych. 2 p. 428: *καταλογισθεῖεν* (*καταλογισθίειη* cod., em. Schow) *Ἀττικώτερον* (*ἀττικότερον* cod.) '*ἀλλὰ σὲ αἰδεσθεῖεν οἱ θεοί*'. verba tragici esse poetae coni. Meineke Philol. 12 p. 619.

218

καταλλαγὴν δορός

Hesych. 2 p. 427: *καταλλαγὴν δορός· ἀνάπαυλαν, μεταλλαγήν, κατάλλαγμα.*

219

κενὸν φάους

Hesych. 2 p. 464: *κενὸν φάους· τυφλόν* (*τυφλῶν* cod.). Anecd. Bachm. vol. 1 p. 275, 20 et Suidas: *κενῶν φάους· τυφλῶν*, at apud Suidam *κενὸν* litterarum ordine requiritur. *νέφος κενὸν φάους* ex Cyrilli lexico affert M. Schmidt in Hesych. 5 p. 34.

220

κεχήλευμαι πόδας

Hesych. 2 p. 472, quo de loco diximus in Soph. fr. 445.

221

Κιμμερὶς θεά

Hesych. 2 p. 483: *Κιμμερὶς θεά· ἡ μήτηρ τῶν θεῶν.*

222

κληδοῦχος γυνή

Hesych. 2 p. 492: *κληδοῦχος γυνή, ἀπὸ τοῦ τὰς κλεῖς τῆς οἰκίας ἔχειν.*

223

κλύετ' οἰμωγῆς

Hesych. 2 p. 494: *κλοιτοιμωγεῖς· ἀκουσταὶ θρήνου.* corrigendum esse *κλύετ' οἰμωγῆς· ἀκούετε θρήνου* vidit Dindorf Thes. 4 p. 1664 C.

224

κνάπτειν κελεύω γλῶσσαν

Hesych. 2 p. 496: *κνάπτειν κελεύω γλῶσσαν· συνέχειν ἐντὸς τῶν ὀδόντων κελεύω τὴν γλῶτταν.* Wecklein *Stud. zu Eur.* p. 445 *κάπτειν κελεύω γλῶσσαν* requirit vix recte, cf. Naber Mnem. nov. 9 p. 66.

225

Κνώσια κῶλα

Hesych. 2 p. 499: *Κνώσια κῶλα* (*κνωσιάκωλα* cod., emend. Salmasius)· *τὰ ὁρμητικά* (*ὀρχηστικά* malim). tragico poetae haec verba tribuit Meineke Philol. 13 p. 514 coll. Soph. Ai. 699: *ὅπως μοι Νύσια Κνώσι' ὀρχήματ' αὐτοδαῆ ξυνὼν ἰάψεις.*

226

οὔτ' εἶπον οὐδὲν πρὸς ⟨σὲ⟩ κῦρον, ὦ γύναι.

Hesych. 2 p. 558: *κύρον. 'οὔτ' — γύναι'. σοὶ ἀνῆκον, εἰς σὲ τεῖνον. οὐδὲν πρὸς σὲ κῦρον* Musurus, *οὐδὲ πρὸς κύρον* cod. Aristophani versum tribuit Fritzsche, cf. Com. 2 p. 1093.

227

λαιθάργῳ ποδί

Hesych. 3 p. 5: *λαιθάργῳ· ποδὶ λαθραίῳ.* distinguas *λαιθάργῳ ποδί· λαθραίῳ.* ibid. p. 4: *λαθάργῳ· λαθραίῳ.*

228

λακὶς χθονός

Hesych. 3 p. 8: *λακὶς χθονός· χάσμα γῆς.* tragici poetae verba haec esse coni. M. Schmidt.

229

Λερναία χολή

Hesych. 3 p. 27: *Λερναία χολή.* Macar. 5, 58: *Λερναία χολή ἐπὶ τῶν ὀργίλων καὶ τραχέων, ἀπὸ τῆς ὕδρας.*

230

λεοντόκρανον ὅπλον

Hesych. 3 p. 25: *λεοντόκρανον· Ἀμαζονικὸν ὅπλον. ἀλαζονικὸν ὅπλον* coni. Meineke Philol. 13 p. 511, nisi *ὅπλον λεοντόκρανον* verba tragici sint poetae.

231

βοὸς λεπάργου

Hesych. 3 p. 26: *λεπάργου βοός· τοῦ λαπάρας* (*λεπαργοῦβος τοῦ λεπάρας* cod., emend. Soping) *λευκὰς ἔχοντος ἢ ὅλον τὸ δέρμα.* Eust. Od. p. 1430, 59: *ὁ λέπαργος βοῦς ἤτοι ὁ λαπάρας ἔχων λευκάς.* tragici poetae esse verba *βοὸς λεπάργου* coni. M. Schmidt.

232

λιβρὸν σέλας

Hesych. 3 p. 37: *λιβρόν· σκοτεινόν, μέλαν* [*δίυγρον*]. *ἢ* (*καὶ* M. Schmidt) *λιβρὸν σέλας*, ubi *δίυγρον* ad glossam *λιαρόν* cum *διερόν* adiectivo confusam probabiliter rettulerunt Alberti et M. Schmidt (cf. Klein in Erot. p. 92). Phot. Lex. p. 222, 25: *λιβρόν· τὸ σκοτεινὸν καὶ ἀόρατον οἱ τραγικοί.* cf. Soph. fr. 234, 3.

233

Λίβυς τ' ἀηδών

Hesych. 3 p. 37: *Λίβυς τε ἀηδών* (*λιβυστεαήδων* cod.)· *αἱ γὰρ ἐν Καρχηδόνι, τῆς Λιβύης δέ εἰσι* (*ἐστι* Meineke), *γυναῖκες αἱ* (*αἱ* delet Meineke) *τὰ ἴδια τέκνα κατά τι νόμιμον ἐσφαγίαζον Κρόνῳ. τινὲς δὲ τὴν ἐρημίαν ἀπέδοσαν, οὐ καλῶς.* ad Sophoclis Triptolemum hanc glossam revocari vult Meineke Philol. 12 p. 633, in Andromeda Sophoclea Cepheum aut Cassiopeam lusciniam Libycam dictam esse coni. M. Schmidt. ceterum *Λίβυσσα ἀηδών* scripsit Musurus.

234

λιτῆρα θαλλόν

Hesych. 3 p. 45: *λιτῆρα θαλλόν* (*θαλόν* cod.)· *τὸν ἱκέσιον.* cf. *ἱκτῆρι θαλλῷ* Eur. Suppl. 10.

235

λύϑρον μαστιγοφόνον

Hesych. 3 p. 54: *λύϑρον μαστιγοφόρον· χῶρος αἵματος ἰχώρ. τὸ ἀπὸ φόνου καὶ τὸ ἐξ αἵματος καὶ κόνεως μόλυσμα. μαστιγοφόνον* restituit Meineke Philol. 13 p. 554. quod sequitur *χῶρος* scribendum esse *μετ' ἰχῶρος* et ad glossam quae sequitur relegendum esse vidit M. Schmidt.

236

. . *λωτοβοσκὸν φῦλον*

Hesych. 3 p. 60: *λωτοβοσκὸν φῦλον* (*λωτόβοσκον φύλλον* cod.)· *οἱ μὲν τὴν Θρᾴκην, οἱ δὲ τὴν Αἴγυπτον, ἄλλοι Σκυϑίαν.* ex Aeschyli Prometheo soluto glossam derivat Meineke Philol. 19 p. 719.

237

μέγ' ἀχήσεται

Hesych. 3 p. 79: *μεγ' ἀχήσεται* (*μεγαχήσεται* cod., corr. Soping)· *μέγα βοήσει.*

238

ὡς οἰνοπλῆγες ⟨καὶ⟩ μεϑυστάδες γάμων

Hesych. 3 p. 82: *μεϑυστάδες· ὡς οἰνόπληγες μεϑυστάδες γάμων, μεϑύουσαι καὶ εἰς γάμους συνιοῦσαι, οἷον τὸ παρϑένους λέγεσϑαι ἀπέβαλον, ἢ αἱ βαρυνϑεῖσαι ὑπὸ μέϑης οὐκέτι παρϑένοι ἦσαν.* addita *καὶ* particula senarium restituit Salmasius. Aeschyleae Lycurgiae versum esse coni. Hermann. quod post *συνιοῦσαι* habetur *οἷον* in *Ἴων* mutari vult M. Schmidt, qui proponit *ὡς Ἴων· αἱ δ' οἰνοπλῆγες μεϑυστάδες γάμῳ* (de dativo cf. *μεϑύων ἔρωτι* Anacr. f. 19 Oppian. Hal. 5, 603 Achill. Tat. 1, 6).

239

μοναστραβὴς ὄχος

Hesych. 3 p. 119: *μονοστραβὴς ὄχος· ἡμίονος. μοναστραβὴς* coni. Soping, cf. fr. 210.

240

νεόφϑιτος κόρη

Hesych. 3 p. 150: *νεόφϑιτος κόρη· ἡ ἄρτι φϑαρεῖσα, ἡ τελευτήσασα, νεόφϑιτος* (*νεόφϑαρτος* cum Cyrillo Alberti).

241

χρόνου
πολλοῦ νόστον προμαθόντες

Hesych. 3 p. 161: *νόστου προμαθόντες* (*προμαχόντες* cod., *νόστον προμαθόντες* Scaliger)· '*χρόνου πολλοῦ νόστον προμαθόντες*'. comico poetae haec tribuit Meineke vol. 4 p. 645.

242

ὅδιος οἰωνός

Hesych. 3 p. 178: *ὅδιος οἰωνός· αἴσιος. καὶ ἐπίθετον Ἑρμοῦ.*

243

ὁμόπαιδα κάσιν Κασάνδρας

Hesych. 3 p. 204: *ὁμόπαιδα κάσιν* (*κάσι* cod.) *Κασάνδρας· ὁμοῦ παιδευθέντα* (*παιδευθέντες* cod.) *ἢ ὁμοῦ τεκνωθέντα, ἐπειδὴ δίδυμοί εἰσιν.* de Paride haec verba dicta esse coni. Bergk Lyr. 3 p. 710.

244

ὀρείοις ποσί

Hesych. 3 p. 216: *ὀρείοις ποσί· κώπαις, ἐπεὶ ἡ ἐλάτη ὄρειος.* Phot. Lex. p. 345, 17: *ὄρειοι πόδες· αἱ κῶπαι.* tragico poetae tribuit M. Schmidt.

245

ὀρσίπους βοή

Hesych. 3 p. 224: *ὀρσίπους βοή· ἐριστικοὺς παρασκευάζουσα πρὸς τὸν τῶν ποδῶν δρόμον.*

246

ὁσίους θαλάμους

Hesych. 3 p. 227: *ὁσίους θαλάμους· τοὺς μὴ θείους, ἀλλ' ἀνθρωπείους.*

247

ὄτοβος ἅλιμος

Hesych. 3 p. 230: *ὄτοβος ἅλιμος* (*ἄλιμος* cod., emend. Alberti). *θάλασσα θορυβώδης.*

248

οὐκ ἄμοιρος ἦν

Hesych. 3 p. 234: *οὐκ ἄμοιρος ἦν· οὐκ ἐκτὸς μοίρας ἦν.*

249

οὐκ εὐθυσκόπου

Hesych. 3 p. 237: *οὐκ εὐθυσκόπου· οὐκ ἀκριβῶς ἢ ὀρθῶς βλέποντος.*

250

Hesych. 3 p. 247: *ὀχᾶσθαι ἀλλ' ἄλλεσθαι. ὁ λόγος ἐπὶ Ἀχιλλέως· οὐ βαρυσκέλης ποιεῖ ὁ τῶν νεβρῶν μυελός.* locus graviter laborat. *ὀχᾶσθαι· ἀνάλλεσθαι* coni. Alberti, rectius *ὀχᾶσθαι· ἅλλεσθαι* scribemus duce Toupio Emend. 3 p. 562. *βαρυσκέλης* in *βαρυσκελεῖς* mutavit Musurus, fortasse *βαρυσκελῆ* praeferendum. *ὀχᾶσθαι δ' οὐ βαρυσκελεῖς ποιεῖ | ὁ τῶν νεβρῶν μυελός* proposuit L. Dindorf Thes. 5 p. 2465 B, qui in *Ἀχιλλέως ἐρασταῖς* Sophoclis aut simili fabula dici haec potuisse censet. compares Hesych. 2 p. 60: *ἐλαφογενές* (*βρῶμα* addit Meineke Philol. 19 p. 718)· *τῆς ἐλάφου ὁ μυελός*, et 3 p. 125: *μυελαυξεῖ τροφῇ· τῇ τὸν μυελὸν τρεφούσῃ.*

251

ὀχεῖα πόντια

Hesych. 3 p. 247: *ὀχεία ποντία· ἡ ἄγκυρα, παρὰ τὸ ὀχεῖν ἐν τῷ πόντῳ τὰς ναῦς.* lemma emendavit L. Dindorf Thes. Gr. L. 5 p. 2466 A ex Theognost. p. 128, 27: *ὀχεῖον ἡ ἄγκυρα.* tragico incerto tribuit M. Schmidt.

252

παμβῶτις ἐλπίς

Hesych. 3 p. 263: *παμβῶτις τύχη· ἐλπὶς παντοτρόφος.* scribendum esse *παμβῶτις τύχη* (vel *τύχοι*) *ἐλπίς· παντοτρόφος* coni. M. Schmidt, *παμβῶτις* [*τύχη*] *ἐλπίς· κουροτρόφος* V. Iernstedt.

253

παρεμβάλοιτο κλῆρον

Hesych. 3 p. 282: *παρεμβάλοιτο* (*παρεμβάλλοιτο* cod., corr. L. Dindorf in Thes. Gr. L. 6 p. 473 A) *κλῆρον· συγκληρώσαιτο.* tragico poetae verba adscripsit Meineke Philol. 13 p. 549.

254

περισπερχοῦς βοῆς

Hesych. 3 p. 319: *περισπέρχου βοῆς· ὑπερεπειγούσης.* codex *περισπέ.του βοῆς*, *περισπερχοῦς βοῆς* Alberti. ad Soph. El. 798 haec revocat Meineke Philol. 13 p. 551.

255

πηκτὸς θάνατος

Hesych. 3 p. 331: *πηκτὸς θάνατος· ὁ τοῦ Σαλαμινίου Αἴαντος τοῦ μανέντος, ὃς τῷ ξίφει ἐπιπεσὼν* (*περιπεσὼν* M. Schmidt) *ἀπέθανεν.* Phot. Lex. p. 428, 1: *πηκτὸς θάνατος· ὁ τοῦ Αἴαντος· περιεπάγη γὰρ τῷ ξίφει.*

256

ποιναῖς ἐφικταῖς

Hesych. 3 p. 352: *ποιναῖς ἐφικταῖς· ἐρινύσι, τιμωρίαις. ποιναῖσι φρικταῖς* coni. Hemsterhuys, *ποιναῖς ἀφύκτοις* M. Schmidt.

257

πολλὴ φαρέτρα

Hesych. 3 p. 354: *πολλὴ φαρέτρα· πολλοὶ τοξόται.* ad Aesch. Pers. 20 glossam revocabat Hermann.

258

πόντια ῥάκη

Hesych. 3 p. 360: *πόντια ῥάκκη· σπόγγοι ἢ τὰ τούτων σπαράγματα.* Phot. Lex. p. 443, 10: *ποντα ῥάκη· τὰ σπαράγματα τῶν σπόγγων.*

259

πρέμνον ἑστίας

Hesych. 3 p. 369: *πρέμνον ἑστίας· τῆς οἰκίας θεμέλιος.*

260

. . *προσαιθρίζουσα πόμπιμον φλόγα*

Hesych. 3 p. 385: *προσαιθερίζουσα πόμπιμον φλόγα· πρὸς τὸν αἰθέρα ποιοῦσα* (l. *πέμπουσα*), *ὥστε ἄνω πέμπεσθαι* (l. *φέρεσθαι*) *τὴν φλόγα. προσαιθρίζουσα* recte Alberti. Aeschyli Agam. 301 ex hoc loco emendandum esse praeclare coni. Dindorf in Aeschyli ed. sec. Oxon. 1851 p. VI sq., ubi libri *φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο φρουρὰ πλέον καίουσα τῶν εἰρημένων*, Dindorf *φρουρὰ προσαιθρίζουσα πόμπιμον φλόγα.* cf. H. L. Ahrens Philol. suppl. vol. 1 p. 487 sq.

261

νοτὶς προσαυρίζουσα χερσαίᾳ τροχῇ

Hesych. 3 p. 385: *προσαυρίζουσα* (*προσαυρίζουσαι* cod.) *χερσαίᾳ τροχῇ· ὑπὸ τῆς αὔρας ἡ νοτὶς προσπίπτουσα τῇ τροχῇ. δύναται δὲ οἷον καταλαμβάνουσα· ἐπαυρεῖν γὰρ τὸ καταλαμβάνειν καὶ ἐπιτυγχάνειν.* initio versus *νοτὶς* addidit Salmasius.

262

Πυθίων ἀνακτόρων

Hesych. 3 p. 407: *Πυθίων ἀνακτόρων· ἐπὶ τοῦ ἐν Χρύσῃ* (*χρ* . . codex) *ἱεροῦ, ἤγουν Ἀπόλλωνος.*

263

σαρκήρη στάχυν

Hesych. 4 p. 11: *σαρκήρη* (*σαρκήρης* cod.) *στάχυν· τὸν* (*τῶν* cod.) *ἐκ σαρκῶν συνηρμοσμένον καὶ οὐκ ἐκ κριθῶν συνεστῶτα, οἷον ἄνθρωπον* (fort. *ἀνθρώπων*).

264

σαυροβριθὲς ἔγχος

Hesych. 4 p. 14: *σαυροβριθὲς ἔγχος· ἐκ τοῦ σαυρωτῆρος βαρύ.* lemma corruptum videtur: apte *σιδηροβριθὲς ἔγχος* (Eur. fr. 531 sive Ar. Ran. 1402) comparat M. Schmidt.

265

σηματίζονται πέδον

Hesych. 4 p. 24: *σηματίζονται πέδον, ὅσοι* (*οἷον* Meineke) *σημειοῦνται ὅσοι Τρῶες* (*πόδες* Meineke) *λέγονται εἶναι.*

266

τετραέλικτον ἅλμαν

Hesych. 4 p. 146: *τετραέλικτον ἅλμαν· ἤγουν τρικυμίαν.* Alcaei tradi verba olim coni. Bergk Lyr. 3 p. 193.

267

τέχνης γὰρ οὐχ ἥμαρτες

Hesych. 4 p. 150: *τέχνης γὰρ οὐχ ἥμαρτες.* comico poetae haec tribuit Meineke vol. 4 p. 648. supplendum esse *ἡ τύχη δ' ἀπῆν* coni. Th. Gomperz *Nachl.* p. 51.

268

τίεσκε μύθους

Hesych. 4 p. 156: *τίεσκε μύθους· ἐτίμα λόγους.* ex tragoedia glossam repetit M. Schmidt.

269

Τιρύνθιον πλίνθευμα, κυκλώπων ἕδος

Hesych. 4 p. 159: *Τιρύνθιον πλίνθευμα* (*πλίνθεμα* cod.)*· ἀντὶ τοῦ* [*τὸ*] *τεῖχος. ὑπὸ δὲ κυκλώπων κατεσκεύαστο.* Hesych. 2 p. 550:

Κυκλώπων ἕδος· ἐπειδὴ Κύκλωπες ἐτείχισαν τὰς Μυκήνας. glossas coniunxit Meineke Anal. Alex. p. 51. videtur Aeschyleus esse versus.

270

τραπεζίτην Πάριν

Hesych. 4 p. 169: *τραπεζίτην Πάριν· τὸν παραβάντα τὴν τράπεζαν καὶ ἀτιμάσαντα τὸν Μενέλαον.* nisi gravior est corruptela, saltem *τραπεζείτην* scribendum erit secundum grammaticorum locos in Thes. 7 p. 2359 sq. allatos. *⟨παρα⟩τραπεζίτην* coni. Meineke, *τραπεζώστην* M. Schmidt.

271

φοινικελίκτην καὶ λόγων ἀλαζόνα

Hesych. 4 p. 251: *φοινικελίκτην καὶ λόγων ἀλαζόνα· ἀπατηλὸν καὶ κάπηλον.* cf. Meineke Com. vol. 4 p. 648. nomen *φοινικελίκτης* restituendum Theognost. p. 25, 31. versus Archilocheum colorem habere videtur Cobeto N. L. p. 506.

272

χαλκόδοντας στόλους

Hesych. 4 p. 272: *χαλκόδοντας στόλους· χαλκοῦς ὀδόντας ἔχοντας. ὀδόντας δὲ ἔλεγον τὰ ἔμβολα, ἃ τινες ἐμβόλια. χαλκώδοντας* ex ordine litterarum scripsit H. Stephanus.

273

χθονίαν λώβαν

Hesych. 2 p. 285: *χθονίαν λώβαν· ἀντὶ τοῦ μεγάλην ὕβριν, καὶ τὴν χθονὸς λώβην.*

274

χθονίους Ἰναχίδας

Hesych. 4 p. 285: *χθονίους Ἰναχίδας· αὐτόχθονας καὶ οὐκ ἐπήλυδας.*

275

. . *χρωματισθεὶς εὐθὺς ἐξ εὐνῆς φόνῳ*

Hesych. 4 p. 300: *χρωματισθεὶς εὐθὺς ἐξ εὐνῆς φοάω· ἀντὶ τοῦ χρωτισθείς. φόνῳ* Meineke. Herculem dici coni. M. Schmidt.

276

χυτλὸς δὲ κρατὸς ὄγκος εὔσκιος παρῆν

Hesych. 4 p. 301: *χύτλασον· ὕγρανον* (*ὕγραινον* cod.) '*χυτλὸς*

δὲ κράτος (κρατὸς Musurus) ὀκοσεύσκιος παρῆν'. ἐσπαρμένος (ἐσπαρμένοις Musurus) εἰκῆ καὶ οὐκ ἐν τάξει μένουσιν. locum diversis ex elementis conflatum esse perspexit R. Methner progr. a. 1883 p. 4, qui tres glossas distinguit sic fere instaurandas:

χύτλασον (Ar. Vesp. 1213)· ὕγρανον.
⟨χυτός· χωστός.⟩ 'χυτὸς δὲ — εὔσκιος παρῆν'.
⟨χύδην⟩ ἐσπαρμένοις· ⟨ἐσκεδασμένοις⟩ εἰκῆ — μένουσιν.

pro corrupto ὀκοσεύσκιος alii alia temptarunt, velut ὄσχος εὔσκιος Funger, κόσμος εὔσκιος Toup, ὄγκος εὔσκιος Iacobs Ex. cr. 1 p. 102 et Buecheler Mus. Rhen. 39 p. 274.

277

. . . . . Ψυλλικὸς γύης . .

Hesych. 4 p. 314: Ψυλλικὸς γύης· ὁ τῶν Ψύλλων (ψυλλῶν cod.). οἱ δὲ Ψύλλοι ἔθνος Λιβύης. Ψυλλικὸς γόης coni. Salmasius.

278

ὥσπερ ὀφθαλμὸς Διός

Hesych. 4 p. 332: ὥσπερ ὁ ὀφθαλμὸς τοῦ Διός· ὡς ἀστραπή. tragico poetae haec vindicans Meineke Philol. 12 p. 630 ὥσπερ οὑφθαλμὸς Διός proposuit.

279

οἴμοι, τί δράσω; δυσὶ κακοῖς μερίζομαι.

Hieroclis et Philagrii Facet. 239 p. 52: νεανίσκος τραγῳδὸς ἠγαπήθη ὑπὸ γυναικῶν δύο, ὀζοστόμου καὶ ὀζοχρώτου, καὶ — ἀνεβόησεν 'οἴμοι — μερίζομαι'. novicii poetae hunc esse versum docet δυσί forma (cf. Haupt Opusc. 3 p. 498), comoediae tribui vult Eberhard p. 69. μερίζομαι in χειμάζομαι mutandum esse olim ego conieci, πιέζομαι vel ἑλίσσομαι malebat F. G. Schmidt Sat. crit. p. 12. traditam lectionem fortasse tuentur Achill. Tat. 5, 24 p. 151, 16 ed. Herch.: ἐμεμέριστο πολλοῖς ἅμα τὴν ψυχήν, αἰδοῖ καὶ ὀργῇ καὶ ἔρωτι καὶ ζηλοτυπίᾳ, et Theophyl. archiep. Bulg. Epist. 37 p. 63: ἡδονῇ καὶ λύπῃ μερίζομαι.

280

τίς ἆρ' ἐμοῦ γένοιτ' ἂν ἀθλιώτερος;

Iulianus Epist. 40 p. 418 B: εἰ δὲ ὡς ἀληθῶς ἐλλείψαντά τι τοῦ πρός σε καθήκοντος αἰτιᾷ, τίς ἂν ἐμοῦ γένοιτ' ἂν ἀθλιώτερος; τίς ἀντ' ἐμοῦ M. Schmidt in Didym. p. 342, τίς ἆρ' ἐμοῦ ego praetuli. similis est versus Sophocleus Oed. R. 815: τίς τοῦδε νῦν ἔστ' ἀνδρὸς ἀθλιώτερος; quem ipsum spectari ab Iuliano censet Pappageorgius.

cf. Suidas v. *φαῦλον*: *Λυσίας ἐν ἐπιστολῇ λέγων 'εἰ γὰρ ἦθος τοιοῦτον καὶ τρόπον — μὴ καθ' ὑπερβολὴν ἀσπάζομαι, τίς γένοιτ' ἂν ἐμοῦ ἀθλιώτερος;'*

281

ἐν γῆς φίλης μυχοῖσι κρυφθῆναι καλόν.

Laert. Diog. 4, 25 de Crantore: *λέγεται δὲ καὶ τὴν οὐσίαν καταλιπεῖν Ἀρκεσιλάῳ — καὶ ἐρωτηθέντα πρὸς αὐτοῦ ποῦ βούλεται ταφῆναι, εἰπεῖν 'ἐν γῆς — καλόν'.* Teles in Stob. Flor. 40, 8: *ἢ ἐκ Θηβῶν μόνον εἰς Ἅιδου ὁ Χάρων πορθμεύει; 'καὶ γῆς φίλης ὄχθοισι κρυφθῇ καὶ τάφῳ'. εἰ δὲ μὴ κρυφθείης — τί τὸ δυσχερές; ἐν* Laert. Diog., *καὶ* Stob. *φίλης* Stob. (ex *φίλοις* corr. S pr. m.), *φίλοις* Laert. Diog. *μυχοῖσι* Laert. Diog., *ὄχθοισι* Stob. *κρυφθῆναι καλόν* Laert. Diog., *κρυφθῇ καὶ* (*καὶ* om. M) *τάφῳ* Stob. Phoenissis Euripidis hunc versum inseruit Hermann post 1450 meae edit.

282

ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχω;

Laert. Diog. 4, 35: *ἐπεὶ δὲ καὶ παρακίναιδος ὢν* (sc. *Ἥμων ὁ Χῖος*) *ὡς εἰς βαρὺν τὸν Ἀρκεσίλαον ἔφη 'ἔξεστ' — ἔχειν;' ὑπολαβὼν ἔφη 'γύναι — λαλεῖς;'* (fr. 283). *ἔχω* scripsi, *ἔχειν* vulgo.

283

γύναι, τί μοι τραχεῖα κοὐκ εἰθισμένως
λαλεῖς;

Laert. Diog. 4, 35. vide fr. 282. v. 2 *λαλεῖς* a poetae verbis alienum esse censet Wilamowitz-Moellendorff *Antigonos von Karystos* p. 74.

284

ἄπολις ἄοικος, πατρίδος ἐστερημένος,
πτωχὸς πλανήτης, βίον ἔχων τοὐφ' ἡμέραν

Laert. Diog. 6, 38 de Diogene Sinopensi: *εἰώθει δὲ λέγειν τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι· εἶναι γοῦν 'ἄπολις — τοὐφ' ἡμέραν'.* Aelian. V. H. 3, 29: *Διογένης ὁ Σινωπεὺς συνεχῶς ἐπέλεγεν ὑπὲρ ἑαυτοῦ ὅτι τὰς ἐκ τῆς τραγῳδίας ἀρὰς αὐτὸς ἐκπληροῖ καὶ ὑπομένει· εἶναι γὰρ 'πλάνης ἄοικος — τὸν ἐφήμερον'.* v. 1 *πλάνης* Aelianus, *ἄπολις* Laert. Diog., cui favet Iulianus Orat. VI p. 195 B: *ἆρά σοι μικρὰ φαίνεται ἀνὴρ 'ἄπολις ἄοικος, πατρίδος ἐστερημένος', οὐκ ὀβολόν, οὐ δραχμήν, οὐκ οἰκέτην ἔχων;* et ad Themist. p. 256 D: *τὸν Διογένους ἐκεῖνον 'ἄπολιν ἄοικον, πατρίδος ἐστερημένον'.* v. 2 recurrit in Gnomol. Vat. 201 (v. L. Sternbach *Wiener Studien* X

p. 48): ὁ αὐτὸς (Diogenes) ἔφη πάντα ἔχειν τὰ ἐν ταῖς τραγῳδίαις. εἶναί τε γὰρ 'πτωχὸς — ἐφήμερον'. πλανήτης Laert. Diog. et Gnomol. Vat., δυσείμων Aelianus. τοὐφ' ἡμέραν Laert. Diog., ἐφήμερον Gnom. Vat., τὸν ἐφήμερον Aelianus. ex Euripidis Oedipode versus repetitos esse coni. Meineke Ath. 4 p. 308, Euripidi tribuerat iam Valckenaer in Hipp. 1029, cf. A. Kalkmann de Hippol. Eur. quaest. nov. p. 13.

285

τάδ' ἔστ' ὀνείρων νυκτέρων φαντάσματα.

Laert. Diog. 6, 95: οὗτος (Metrocles) τὰ ἑαυτοῦ συγγράμματα, ὥς φησιν Ἑκάτων ἐν πρώτῳ Χρειῶν, ἐπέλεγε 'τάδ' — φαντάσματα'. νερτέρων vulgo, νυκτέρων scripsi *Zeitschr. f. d. Alterth.* 1855 p. 115, cf. quae dixi *Mélanges Gréco-Rom.* V p. 192. eundem versum spectari ab Iuliano VIII p. 248 A: τυχὸν οὐκ ὀνείρων νυκτερινῶν ἰνδάλμασι προσέξομεν, coni. Cobet Mnem. 9 p. 8.

286

ὡς Πριαμίδαισιν ἐμφερὴς ὁ βουκόλος.

Laert. Diog. 7, 67: ὅμοιον δ' ἐστὶν ἀξιώματι — 'ὡς — βουκόλος'. Sextus Emp. p. 302 sq.: τὸ μὲν τοιοῦτο 'Πριαμίδῃσιν — βουκόλος' ἀξίωμά ἐστιν — τὸ δὲ οὕτως ἔχον 'ὡς — βουκόλος' πλέον τι ἀξιώματός ἐστι. Πριαμίδῃσιν Laert. Diog. et priore loco Sextus. versus aut Euripidis aut Sophoclis videtur esse petitus ex Alexandro.

287

ἀκριβὲς οἰάκισμα πρὸς σταθμὸν βίου

Laert. Diog. 9, 12 (Suid. v. Δηλίου κολυμβητοῦ) de libro Heracliti: ἐπιγράφουσι δὲ αὐτὸ οἱ μὲν μούσας, οἱ δὲ περὶ φύσεως, Διόδοτος δὲ 'ἀκριβὲς — βίου'. στάθμην ante Buttmannum. parum probabilis est coniectura R. Methneri diss. p. 4 versiculum vindicantis Philoctetae Euripidis, cuius cf. fr. 803.

288

οὐ μνημονεύω· μὴ λίαν μ' ἡγοῦ σοφόν.

Longinus in Rhet. vol. 9 p. 570 (vol. 1 p. 313, 14 Speng.): ὁ δὲ ἄκρως μνημονευτικός τε καὶ μνήμων διαφερόντως σοφός· ὅθεν καὶ τοῦτο ὀρθῶς ἐστιν εἰρημένον 'οὐ μνημονεύω μὴ λίαν ἢ μὲν τοῦ σοφοῦ' καὶ (Pind. Ol. 2, 86) 'σοφὸς ὁ πολλὰ εἰδὼς φύσει'. trimetrum restituit Finckh.

289

ἐξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες.

Longin. de subl. c. 23, 3: *χυθεὶς εἰς τὰ πληθυντικὰ ὁ ἀριθμὸς συνεπλήθυσε καὶ τὰς ἀτυχίας, ὡς καὶ ἐκεῖνα πεπλεόνασται* '*ἐξῆλθον — Σαρπηδόνες*'.

290

Lucianus Nigrin. c. 31 vol. 1 p. 73: *τοὺς ὅρους συγχέουσι πάντοθεν τῇ τρυφῇ παραδόντες αὑτῶν τὰς ψυχὰς πατεῖν, καὶ τοῦτο δὴ τὸ ἐν ταῖς τραγῳδίαις τε καὶ κωμῳδίαις λεγόμενον, ἤδη καὶ* '*παρὰ θύραν*' *εἰσβιαζόμενοι.* scripsisse Lucianum *τὸ ἐν ταῖς κωμῳδίαις λεγόμενον* coni. Sommerbrodt.

291

λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον

Lucian. Pisc. 2 vol. 1 p. 572: *ἄριστον ἦν καθάπερ τινὰ Πενθέα ἢ Ὀρφέα* '*λακιστὸν — μόρον*'. ex Luciano adscivit hunc versum Theodorus Prodr. in *Notices et Extr.* VI p. 553.

292

χαῖρ', ὦ δυνάστα τῆσδε γῆς Τιρυνθίας.

Lucian. de lapsu c. 2 vol. 1 p. 726: *πρῶτον μὲν ἰδόντες ἀλλήλους ἔλεγον αὐτό* (sc. *τὸ χαίρειν*), *ὡς τὸ* '*χαῖρ' — Τιρυνθίας*'. *χαῖρ' ὦ*] *χαίροις* F. *γῆς*] *τῆς* F. ad Eur. Stheneboeam refert Hartung.

293

οὐκ οἶσθ', ἐπεί τοι κἂν ἐκώκυες μέγα.

Lucianus Iov. trag. 2 vol. 2 p. 644 verbis in Eur. fr. 940 allatis haec subicit: *ἀγνοεῖν ἡμᾶς νομίζεις τὴν αἰτίαν τῆς λύπης ἥτις ἐστί σοι;* ΖΕΥΣ. '*οὐκ — μέγα*'. Euripideum hunc esse versum coni. Porson in Eur. Med. 675.

294

χρυσὸς γάρ ἐστιν ὃς βροτῶν ἔχει κράτη.

Lucian. Somn. 14 vol. 2 p. 725: *ἀκούεις δὲ καὶ τῶν ποιητῶν λεγόντων* '*ὦ χρυσέ, δεξίωμα κάλλιστον*' (Eur. fr. 324, 1) *καὶ* '*χρυσὸς — κράτη*'. *κράτος* malim cum Greg. Naz. vol. 2 p. 14 C: *ἐγὼ δ' ἂν εἶπον χρυσὸν ὡς ἔχει κράτος.* versum quem ad Eur. Danaen referri volebat Fritzsche in Lucian. I, 1 p. 126, fortasse spectat Publilius Syr. 458: *pecuniae uni* (sic Ribbeck, *pecunia* F) *regimen est rerum omnium.*

295

δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει
πηδᾶν ἐπ' ἀνδρῶν σώμαθ', ὡς πλησθῇ φόνου,
ἄνδρας δ' ὁπλίτας πολέμιον ταρβεῖν δόρυ.

Lucian. Muscae enc. 11 vol. 3 p. 98: *ἡ μὲν γὰρ τραγῳδία καὶ σὺν μεγάλῳ ἐπαίνῳ μέμνηται τῆς μυίας, ὡς ἐν τούτοις 'δεινόν — δόρυ'*. Aeschyli hos esse versus coni. Bergk Mus. Rhen. 35 p. 250.

296

ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά,
τοῦτ' αὐτὸ πρῶτον, ἐξαφαιρεῖται φρενῶν
τὸν νοῦν τὸν ἐσθλόν· εἰς δὲ τὴν χείρω τρέπει
γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.

Lycurg. c. Leocr. § 92: *καί μοι δοκοῦσι τῶν ἀρχαίων τινὲς ποιητῶν ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγενομένοις τάδε τὰ ἰαμβεῖα καταλιπεῖν 'ὅταν — ἁμαρτάνει'*. v. 2 *ἐξαφαιρεῖται* ed. Ald., *ἐξαιρεῖται* A.

297

οὐδ' ἀγρία γὰρ ὄρνις, ἢν πλάσῃ δόμον,
ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν.

Lycurg. c. Leocr. § 132: *τὰ γοῦν [ζῷα] πετεινὰ ἃ μάλιστα πέφυκε πρὸς τάχος, ἔστιν ἰδεῖν ὑπὲρ τῆς αὑτῶν νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν· ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν 'οὐδ' — ἠξίωσεν'*. v. 2 *ἄλλην* Coraes, *ἄλλῃ* AN. *ἐντεκεῖν ἠξίωσεν* ante Scaligerum.

298

ἀγὼν γὰρ οὐ μέλλοντος ἀθλητοῦ μένει
ἀλκήν.

Macar. 1, 16: *'ἀγὼν — ἀλκήν'. ἐπὶ τοῦ μὴ ὑπερβάλλοντος.* ex Aristophanis Thesmophoriazusis secundis haec petita esse coni. Leutsch, tragoediae tribuit Schneidewin in Ibyc. p. 165.

299

ἔνεισιν ἐν δειλοῖσιν ἀνδρεῖοι λόγοι.

Macar. 3, 82: *'ἔνεισιν — λόγοι'*. discrepat Zenobius 3, 73: *ἔνεισιν ἐν δειλοῖσι κἄνανδροι λόγοι· ὅτι, φησί, καὶ οἱ λόγοι ταῖς ψυχαῖς συσχηματίζονται καὶ τυποῦνται.* utrum verum sit, non ausim dicere.

300

ἐν τοῖς ἐμαυτοῦ δικτύοις ἁλώσομαι.

Macarius 3, 85: '*ἐν τοῖς — ἁλώσομαι*' *ἐπὶ τῶν ὑπὸ τῶν ἰδίων πανουργιῶν ἁλισκομένων.*

301

σφάλλειν σὺν ἐχθροῖς καὶ φίλους κέρδος φέρει.

Macar. 7, 95: '*σφάλλειν — φέρει*' *ὁμοία ταύτῃ* '*ἀπόλοιτο καὶ φίλος σὺν ἐχθροῖς*'.

302

τὸν μέγαν Ἀγαμέμνονα

Macrob. Sat. 2, 7, 13: *cum canticum quoddam saltaret Hylas, cuius clausula erat* '*τὸν μέγαν Ἀγαμέμνονα*', *sublimem ingentemque Hylas velut metiebatur. non tulit Pylades, sed exclamavit e cavea* '*σὺ μακρὸν οὐ μέγαν ποιεῖς*'. verba *τὸν μέγαν Ἀγαμέμνονα* ex tragoedia petita esse coni. Meineke Philol. 14 p. 14.

303

θεόθεν δὲ πνέοντ' οὖρον ἀνάγκη
τλῆναι καμάτοις ἀνοδύρτοις.

Marcus Anton. 7, 51: '*θεόθεν — ἀνοδύρτοις*'. Aeschylea esse haec verba conicit Wagner.

304

δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου.

Marcus Anton. 11, 30: '*δοῦλος — λόγου*'. eodem versu utitur Philo Iud. vol. 2 p. 453.

305

ἀγαθὴν τιθήνην καὶ τροφὸν γνώμης νέας

Maximus Tyr. XXXVII p. 201: *παρακαλείτω δὲ* (sc. *ἡ φιλοσοφία*) *ξυλλήπτορας ἐσομένας αὐτῇ καὶ ἄλλας τέχνας, — τὴν μὲν τὸ σῶμα τῇ ψυχῇ παρασκευάζουσαν ὄχημα εὐπειθὲς καὶ ἐρρωμένον τοῖς προστάγμασιν ὑπηρετεῖν, γυμναστικὴν ταύτην ὀνομάζουσα, τὴν δὲ ἄγγελον τῶν τῆς ψυχῆς διανοημάτων, ῥητορικὴν ταύτην ὀνομάζουσα, τὴν δὲ* '*ἀγαθὴν — νέας*', *ποιητικὴν ταύτην ὀνομάζουσα.* poetae verba agnovit Reiske.

306

οὐκ ἂν γένοιτ' ἐρῶντος ἀθλιώτερον
οὐδὲν γέροντος.

Menander (Com. 4 p. 220) in Stob. Flor. 116, 9: 'οὐκ ἂν — γέροντος', πλὴν ἕτερος γέρων ἐρῶν. verba supra scripta tragoediae deberi ex dicendi forma recte colligit Gomperz *Beitr.* 3 p. 578. probabiliter idem statuit quae sequuntur verba πλὴν ἕτερος γέρων ἐρῶν alteri personae esse tribuenda. cf. Ar. Plut. 106, ubi verba πλὴν ἐγώ Carionis sunt, quod cum non intellexisset Meineke versum damnavit.

307

νῦν δ' ἔρρ' ἀπ' οἴκων τῶνδε

Menander (Com. 4 p. 265) ap. Clem. Alex. Paed. III p. 254: νῦν δ' ἕρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γὰρ τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποεῖν. prima verba, ubi ἔρρ' (pro ἕρπ') correxit Meineke, tragici poetae esse coni. Cobet N. L. p. 30.

308

ἄνθρωπον ὄντα δεῖ φρονεῖν ἀνθρώπινα.

Men. mon. 1: 'ἄνθρωπον — τἀνθρώπινα'. scripsi ἀνθρώπινα ex Vita Aesop. ed. Westerm. p. 46, 8: ἄνθρωπος ὢν ἀνθρώπινα φρόνει.

309

γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.

Men. mon. 112: 'γνώμης — γίνεται'.

310

ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην.

Men. mon. 164: 'ἐχθροῖς — βλάβην'.

311

ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.

Men. mon. 195: 'ζῆλος — δόμον'.

312

θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.

Men. mon. 247: 'θεῷ — τύχῃ'. τύχῃ μάχεσθαι δεινόν ἐστι καὶ θεῷ scite coni. V. Iernstedt, cf. Simonideum illud, ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται.

313

θεῶν ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.

Men. mon. 255: 'θεοῦ ὄνειδος — εὐδαιμονεῖν'. θεοῦ δ' coni. Arsenius, θεῶν Meineke.

314

κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.

Men. mon. 274: 'κακοῖς — κακός'. cf. Greg. Naz. vol. 2 p. 159 A: κακοῖς ὁμιλῶν καὶ κακὸς πάντως ἔσῃ. Anecd. Oxon. 4 p. 298, 26: κακοῖς ὁμιλῶν ἀνόητος ἔσῃ. Men. mon. 475: σοφοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ σοφός.

315

κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ.

Men. mon. 276: 'κρίνει — πῦρ'.

316

λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον.

Men. mon. 310: 'λίαν — φίλον'.

317

λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ.

Men. mon. 313: 'λόγῳ — σοφωτάτῳ'. libri non nulli λόγῳ με πεῖσον, Gnomol. cod. Vrbin. Δ 4 p. 437 λόγῳ δὲ πεῖθου praebet minus recte, cf. Tertull. de pallio c. 6: *sermone, inquit, me suasisti medicamine sapientissimo.*

318

τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.

Men. mon. 716: 'τῷ — πατρίς'. fortasse hunc iambum spectavit Ar. Plut. 1151: πατρὶς γάρ ἐστι πᾶσ' ἵν' ἂν πράττῃ τις εὖ (quem Euripidis esse versum coni. Hemsterhuys). ex Stobaei cod. Brux. O. Hense p. 35 haec edidit: Ἀριστοφάνους: πατρὶς δὲ πᾶσα τῷ πένητι προσφιλής, ἀφ' ἧς τροφήν τε καὶ τὸ μὴ πεινῆν ἔχει. cf. Cic. Tusc. 5, 37, 108: *itaque ad omnem rationem Teucri vox accommodari potest, 'patria est ubicumque est bene'.* Macar. 6, 45: ὅπου γὰρ εὖ πράσσει τις, ἐνταυθοῖ πατρίς. Lysias 31, 6: γνώμῃ δὲ χρῶνται ὡς πᾶσα γῆ πατρὶς αὐτοῖς ἐστιν ἐν ᾗ ἂν τὰ ἐπιτήδεια ἔχωσιν. Eust. Opusc. p. 200, 20: πατρίδα κρίνοντες εἶναι πᾶσαν ἐν ᾗ εὖ παθεῖν περιγίνεται. Prov. Milleri *Mél. de litt. gr.* p. 366 (Zenob. 5, 74): πᾶσα γῆ πατρίς· τοῦτο μέρος ἐστὶ χρησμοῦ κτἑ.

319

τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποεῖ.

Men. mon. 724: 'τὸ — ποιεῖ'. traditum ποιεῖ in ποεῖ mutavi.

ceterum cf. Alexis Com. 3 p. 416: *πολὺς γὰρ οἶνος πόλλ' ἁμαρτάνειν ποεῖ.* Eur. fr. 576: *ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν.*

320

ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.

Men. mon. 726: '*ταὐτόματον — βουλεύεται*'. verbis *ταὐτόματον ἡμῶν* utitur Cic. Epist. ad Att. 1, 12, 1. *καλλίω* in *βέλτερον* mutat Meineke *Jahrb. f. Philol.* 87 p. 380. haud dissimilis est versus Menandri Com. 4 p. 148: *ταὐτόματον ἡμῖν ἀφανὲς ὂν συλλαμβάνει.*

321

φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί.

Men. mon. 736: '*φιλίας — γοναί*'.

322

Λυδῶν τῶν πολυχρύσων ἄναξ

Nicolaus (Com. 4 p. 580) in Stob. Flor. 14, 7: *καὶ νῦν μ' ὁ Λυδῶν τῶν πολυχρύσων ἄναξ σύνδειπνον αὑτῷ κέκρικεν εἶναι καὶ φίλον.* verba *Λυδῶν τῶν πολυχρύσων ἄναξ* ex tragico poeta esse petita recte coni. Meineke. item fortasse tragoediam spectat Philo Iud. vol. 1 p. 548: *ἐλεύθεροι γὰρ — οὐδένα τῶν ἀφρόνων νομίζουσι πλούσιον ἢ ἔνδοξον εἶναι, πάντας δὲ ὡς ἔπος εἰπεῖν ἀδόξους καὶ πένητας, καὶ ἐὰν βασιλέων πολυχρύσων τύχας ὑπερβάλλωσιν.* quocum cf. Ambros. Epist. 1, 53, 8 (quem locum indicavit Haupt Opusc. 3 p. 442): *alter despiciens animo βασιλέων τὰς πολυχρύσους τύχας imperialesque gazas suo erat contentus palmite.* hinc conicias *βασιλέων τῶν πολυχρύσων τύχας* tragicum nescio quem dixisse.

323

δεινὸς σοφιστής, τῶν ἀγυμνάστων σφαγεύς

Numenius in Euseb. P. E. XIV p. 730 C: *ὠνομάζετο οὖν* (Arcesilaus) '*δεινὸς — σφαγεύς*'. huius testimonii ope Wilamowitz-Moellendorff Herm. 11 p. 303 emendandum censet Eur. Suppl. 903, ubi in libris legitur *ἐν ἀσπίδι δεινὸς σοφιστὴς πολλά τ' ἐξευρεῖν σοφά* (*σοφός* coni. Valckenaer in Eur. Hipp. 921).

324

πολλῷ δὲ κρεῖσσόν ἐστι μὴ δεδοικότα
παθεῖν τὸ μέλλον δεινὸν ἢ δεδοικότα.

Phalarid. Epist. 87: *τὸ γὰρ εἱμαρμένον ἥξει, κἂν Ἀρισταίνετος*

μᾶλλον ἢ δεῖ φοβηθῇ. 'πολλῷ — ἢ δεδοικότα', ἵνα σοι καὶ μετὰ παραδειγμάτων ποιητικῶν ἐπιστέλλω. Agathonis esse versus coni. Porson in Eur. Med. 139 sq. v. 1 κρεῖττόν ἐστι libri. μὴ δεδοικότα] μηδὲν εἰδότα malim (cf. Eur. fr. 205), quamquam dixisse fertur Antiphanes Com. 3 p. 102: ῥοφεῖν φακῆν ἐσθ' ἡδὺ μὴ δεδοικότα, μαλακῶς καθεύδειν ἄθλιον δεδοικότα.

325

πάσης μὲν ὠμότητος ἀνάπλεων φόνον,
παντὸς δὲ θανάτου δυσποτμώτερον μόρον

Phalarid. Epist. 122, 1: ἐπεὶ δὲ ἀναπτύξας τὸ πλευρὸν ἐγύμνωσε, 'πάσης μὲν — μόρον', τότε δὴ τῆς τέχνης αὐτὸν ἐπαινέσαντες τῶν τρόπων ἐτιμωρούμεθα. versus agnovit Porson in Eur. Med. 139 sq.

326

οὐ γὰρ μετεῖναι τῶν νόμων δούλοις ἔφυ.

Philo Iud. vol. 2 p. 453: ὅθεν καὶ τὰ τρίμετρα φιλοσόφως ἐκεῖνα φασὶν εἰρῆσθαι· 'οὐ γὰρ — ἔφη' καὶ 'δοῦλος — λόγου' (adesp. fr. 304). ἔφυ pro ἔφη scripsit Mangey.

327

ἐγὼ δ' ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι
ἄρχειν θ' ὁμοίως, τἀρετῇ σταθμώμενος
τὰ πάντα.

Philo Iud. vol. 2 p. 469: ἐγὼ δ' ἐμαυτοῦ κατὰ τὸν τραγικὸν 'καὶ κλύειν — τὰ πάντα'. Euripidis verba videntur, cuius Syleo olim tributa sunt.

328

. . κεραυνοῦν πυριβόλους μὲν . . πλάκας

Philodemus de piet. p. 48 Gomp.: μη⟨δ' ἂν τὸ σε⟩μνὸν πῦρ ⟨νιν εἰργα⟩θεῖν Διὸς τ⟨ὸ μὴ οὐ κε⟩ραυνοῦν πυ⟨ρι⟩βόλους μὲν ⟨τὰς⟩ πλάκας. prior versus legitur in Eur. Phoen. 1175, alterius nec de auctore nec de forma satis constat.

329

μηδὲ σὺ ζήτει πυθέσθαι

Phot. Lex. p. 54, 3 et Suidas: ζητεῖν ἐπὶ τοῦ βούλεσθαι τιθέασιν Ἀττικοί· μὴ δὲ σὺ ζήτει τι πυθέσθαι. τι delevit Dobree, qui contulit Eur. Hel. 156: μήτε σὺ ζήτει μαθεῖν ἐγώ τε σιγῶ.

330

οὐδὲν φρονεῖ δίκαιον . . . ἀνήρ.

Phot. Lex. p. 358, 1 et Suidas: *οὐδὲν φρονεῖ δίκαιον ἐστυκὼς ἀνήρ.* eundem versum affert Eust. Il. p. 455, 40 et (ubi vitiose *μέγα φρονεῖ* pro *φρονεῖ δίκαιον* scribitur) Suidas v. *ἐστυκώς.* parodiam tragicam sagaciter agnovit Gomperz *Beitr.* 3 p. 579. cf. Eur. fr. 425, 2. incertum est *ἐστυκὼς* cuius vocabuli locum teneat: *οἰνωθεὶς* vel *ὀργισθεὶς* coni. Gomperz, non minus aptum erit *αὐθάδης.*

331

οὐκ ἂν δύναιο γαστρὶ πενθῆσαι νεκρόν.

Phot. Lex. p. 358, 19 et Suidas: '*οὐκ ἂν δύναιο γαστρὶ πενθῆσαι νεκρόν*'. *νέκυν* Suidas, qui addit *καὶ Ὅμηρος* (Il. *T* 225) '*γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς*'.

332

ἄνδρες Ἑλλήνων ἄριστοι

Phot. Lex. p. 390, 23: *παράστασις ἡ διδομένη δραχμὴ ὑπὲρ τοῦ εἰσαχθῆναι τὴν δίκην· 'ἄνδρες Ἑλλήνων ἄριστοι καταβαλεῖν παράστασιν'.* comici versus prima tria verba ex tragoedia petita esse vidit Gomperz *Beitr.* 3 p. 580.

333

περισφάτως ἔχων

Phot. Lex. p. 423, 24: *περισφάτως ἔχων· περιωδύνως.* Hesych. 3 p. 321: *περισφάτως· περιωδύνως, περιβοήτως.*

334

τὴν ἐμὴν κάμνειν νόσον

Phot. Lex. p. 586, 4 et Suidas: *τὴν ἐμὴν κάμνειν νόσον· παροιμία, ὡς ἡ τοιαύτη· ταὐτὸν ἕλκομεν ζυγόν.* infinitivus *κάμνειν* ex *ἔοικας* vel simili verbo potuit pendere, cf. Kock Com. Att. fr. vol. 3 p. 627. fortasse alterum quoque proverbium

ἐγὼ δὲ καὶ σὺ ταὐτὸν ἕλκομεν ζυγόν

a tragico poeta profectum est.

335

τυφλῶν ὀνείρων

Phot. Lex. p. 611, 17 et Suid.: *τυφλῶν ὀνείρων· ἤτοι τῶν ἀπατηλῶν — ἢ ὅτι μύουσι προσδιαλέγονται.* cf. Diogenian. 8, 26 Etym. M. p. 772, 25. hinc correxerunt locum Hesychii 4 p. 188: *τύφλων ὁ ἥρων.* fortasse respicitur Eur. Iph. T. 571, ubi *πτηνῶν ὀνείρων* libri.

336

ἀκύματος δὲ πορθμὸς ἐν φρίκῃ γελᾷ.

Phryn. Bekk. p. 6, 1: *ἀκύμων θάλασσα· Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾶν τέθεικεν, ὡσανεὶ ἀγόνου. ὡσαύτως δὲ καὶ Ἀριστοφάνης. λέγεται δὲ καὶ ἀκύματος. 'ἀκύματος δὲ — γελᾷ'.* ita Bekker edidit, contra Ruhnken ap. Valckenarium in Eur. Phoen. p. 81: *λέγεται δὲ καὶ ἀκύματος. Εὐριπίδης 'ἀκύματος δὲ — γελᾷ'.* hunc igitur versum utrum Euripidis esse statuamus an poetae incerti, a codicis auctoritate pendebit. quae supra fit Euripidis mentio ad Andr. 158 spectat, *νηδὺς δ' ἀκύμων.* Phrynichus enim hoc voluit: *ἀκύμων* proprie dicitur *θάλασσα*, Euripidi autem et Aristophani *ἀκύμων* i. q. sterilis.

337

ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον

Phryn. Bekk. p. 17, 20: *'ἄψυχον — συνέμπορον', ἀντὶ τοῦ δειλόν.* comico poetae versum tribuit Meineke vol. 4 p. 663.

338

διςχιδὴς ὁδός

Phryn. Bekk. p. 35, 1: *διςχιδὴς* (*διασχιδὴς* cod.) *ὁδός· ἡ δύο ἐκτροπὰς ἔχουσα.*

339

δυσμάραντον κακόν

Phryn. Bekk. p. 35, 8: *δυσμάραντον κακόν· τὸ ἄπαυστον κακὸν καὶ ἀειθαλές.*

340

δυσήλιον θέρος

Phryn. Bekk. p. 36, 18: *δυσήλιον θέρος· τὸ καταφλέγον θέρος ἄκρως.*

341

διχόρροπος γνώμη

Phryn. Bekk. p. 37, 9: *διχόρροπος γνώμη· ἡ εἰς ἑκάτερα ἥκουσα* (l. *νεύουσα*) *καὶ μὴ ἐφ' ἑνὸς ἑστηκυῖα.*

342

ἐλαφρὸν παραινεῖν ⟨τῷ⟩ κακῶς πεπραγότι.

Phryn. Bekk. p. 38, 7: *'ἐλαφρὸν — πεπραγότι'. ἐλαφρὸν σημαίνει τὸ ῥᾴδιον καὶ κοῦφον. τῷ* addidit Bekker. comici poetae

esse versum coni. Meineke vol. 4 p. 664, ex Aesch. Prom. 263—265 locum derivatum esse arbitratur F. G. Schmidt Anal. Soph. p. 21.

343

εὔορνις τύχη

Phryn. Bekk. p. 40, 21: εὔορνις τύχη· ἡ αἴσιος καὶ εὐοιώνιστος (εὐώνιστος cod.) καὶ εὐτυχής.

344

οὐδὲν κακὸν ⟨γὰρ⟩ ῥᾳδίως ἀπόλλυται.

Phryn. Bekk. p. 53, 21: οὐδὲν κακὸν ῥᾳδίως ἀπόλλυται· ἐπὶ τῶν εὖ πραττόντων πονηρῶν. interpretationem omittit Macarius 6, 76. γὰρ addidit Meineke Com. 4 p. 666. spectari Soph. Phil. 446: οὐδέν πω κακόν γ' ἀπώλετο, censet R. Methner diss. p. 7.

345

σκοτεινὸς ὀργήν

Phryn. Bekk. p. 64, 5: σκοτεινὸς ὀργήν· ὁ δόλιος καὶ οὐ φανερὸς (φανερῶς cod.) ὀργήν. cf. Procop. Hist. arc. 1 vol. 3 p. 161, 1: ἦν γὰρ σκορπιώδης τε καὶ ὀργὴν σκοτεινή.

346

χωρὶς γὰρ οἰκοῦσ' ἀρεταὶ τῶν ἡδονῶν.

Phryn. Bekk. p. 72, 24: χωρὶς οἰκοῦσιν· οἷον διεστήκασιν. 'χωρὶς — ἡδονῶν'. οἰκοῦσιν ἀρεταὶ cod., corr. Dobree Adv. 1 p. 619.

347

φίλων ἔρημος, ὦ τάλας, ἀπόλλυμαι.

Plat. Epist. 1 p. 310 A: ὑπομνῆσαι δέ σε βούλομαι διότι καὶ τῶν ἄλλων τραγῳδοποιῶν (praecedit Euripidis mentio) οἱ πλεῖστοι, ὅταν ὑπό τινος ἀποθνήσκοντα τύραννον εἰσάγωσιν, ἀναβοῶντα ποιοῦσι 'φίλων — ἀπόλλυμαι'.

348

ἐάν τι δέλτος ἐν πτυχαῖς πόντου πάθῃ

Plat. Epist. 2 p. 312 D (Clem. Alex. Strom. V p. 685 Euseb. P. E. XI p. 541 C): φραστέον δή σοι δι' αἰνιγμῶν, ἵν' ἄν τι (ἤν τι Clem.) δέλτος (ἡ δέλτος Plat.) ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ. latere in his verbis senarium tragicum, ἵν' ἤν τι δέλτος ἐν πτυχαῖς πόντου πάθῃ, coni. Cobet Λογ. Ἑρμ. 1 p. 456 sq.

349

ὦ μηχάνημα λυγκὸς αἰολώτερον

Plut. de audiendis poetis c. 2 p. 16 D: δυνάμενος λέγειν ἑκάστοτε πρὸς αὐτήν (sc. τὴν ποιητικήν) 'ὦ — αἰολώτερον'. λυγγὸς libri.

350

τί δῆτα θύειν δεῖ σε κατθανούμενον;
ἄμεινον οὐδεὶς κάματος εὐσεβεῖν θεούς.

Plut. de audiendis poetis c. 4 p. 20 D: καὶ 'τί — θεούς'. v. 1 οὖσιν codex Ven., οὖσι al., θύειν Cobet Orat. de arte interpr. p. 80. v. 2 ἄμεινον] ⟨B.⟩ ἀλλ' ἔστιν coni. Gomperz *Mélanges Graux* p. 52. Ἀγάμεμνον, οὐδεὶς κάματος εὖ σέβειν θεούς Valckenaer in Eur. Phoen. 1331, qui locum ex Euripidis Palamede repetitum esse vult, et priorem versum Agamemnoni, Palamedi alterum tribuit.

351

ὦ Ζεῦ, τίς εἶναι φησὶ σοῦ σοφώτερος;

Plut. de audiendis poetis c. 6 p. 23 D: ὅταν μὲν γὰρ λέγωσι 'Ζεῦ πάτερ, Ἴδηθεν μεδέων' καὶ 'ὦ Ζεῦ — σοφώτερος;' τὸν θεὸν αὐτὸν λέγουσιν.

352

εἱμαρμένον δὲ τῶν κακῶν βουλευμάτων
κακὰς ἀμοιβάς ἐστι καρποῦσθαι βροτοῖς.

Plut. de audiendis poetis c. 6 p. 23 E: 'εἱμαρμένον — βροτοῖς'. iidem versus extant in Stob. Ecl. 1, 3, 8 p. 53, 18 et in Stob. Flor. 5, 8 (quam eclogam praebet Trinc., om. SMA). v. 1 δὲ Stob., γὰρ Plut. v. 2 βροτούς Stob. Ecl.

353

Ζεὺς γὰρ τὰ μὲν μέγιστα φροντίζει βροτῶν,
τὰ μικρὰ δ' ἄλλοις δαίμοσιν παρεὶς ἐᾷ.

Plut. de audiendis poetis c. 6 p. 24 C: ἐνταῦθα κυρίως ὀνομάζεσθαι τὸν θεὸν νομίζομεν· ὥσπερ — 'Ζεὺς — ἐᾷ'. v. 1 τὰ μέγιστα cod. Paris. D, τὰ μὲν τοιαῦτα deteriores libri, unde τὰ μὲν σπουδαῖα scribi voluit F. G. Schmidt *Krit. Stud.* 3 p. 32. Euripidis esse versus coni. Gataker in M. Anton. 7, 31.

354

τόδ' ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις, ὅτῳ
τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ.

Plut. de audiendis poetis c. 12 p. 33 E: *χρωμένους τοῖς λεγομένοις* '*τόδ' — πέσῃ*'.

355

⟨A.⟩ *πρὸς θῆλυ νεύει μᾶλλον ἢ ἐπὶ τἄρσενα;*

⟨B.⟩ *ὅπου προσῇ τὸ κάλλος, ἀμφιδέξιος.*

Plut. de audiendis poetis c. 12 p. 34 A: '*πρὸς — ἀμφιδέξιος*'. *ἦν δὲ βέλτιον εἰπεῖν* '*ὅπου προσῇ τὸ σῶφρον, ἀμφιδέξιος*'. Plut. Amator. c. 21, 3 p. 766 sq.: *οὐ γὰρ ὁ μὲν φιλήδονος ἐρωτηθεὶς εἰ* '*πρὸς θῆλυ — τἄρρενα*', *καὶ ἀποκρινάμενος* '*ὅπου προσῇ — ἀμφιδέξιος*', *ἔδοξεν οἰκείως ἀποκρίνασθαι τῆς ἐπιθυμίας;* v. 1 *τἄρρενα* Plut. Sophocleos esse versus coni. Valckenaer in Eur. Hipp. 780, Euripideos Cobet Mnem. nov. 9 p. 446, comico tribuit Kock vol. 3 p. 476.

356

φόβος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν.

Plut. de audiendis poetis c. 12 p. 34 A: '*φόβος — βροτῶν*'. *καὶ μὴν οὐδαμῶς, ἀλλὰ θάρσος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν.* Stob. Flor. 5, 3 (quam eclogam praebet Trinc., om. SMA) sine lemm.: '*φόβος — βροτῶν*'. *τὰ*] *δὲ τὰ* Stob.

357

τῆς δειλίας γὰρ αἰσχρὰ γίγνεται τέκνα.

Plut. de audiendis poetis c. 13 p. 34 E: '*τῆς — τέκνα*', *καὶ ναὶ μὰ Δία τῆς ἀκολασίας καὶ τῆς δεισιδαιμονίας καὶ τοῦ φθόνου καὶ τῶν ἄλλων νοσημάτων ἁπάντων.* vitiosum videtur *τέκνα*, fortasse in *τέλη* mutandum.

358

ΑΛΚΜ. *ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς.*

ΑΔΡ. *σὺ δ' αὐτόχειρ γε μητρὸς ἥ σ' ἐγείνατο.*

Plut. de audiendis poetis c. 13 p. 35 E: *ὁ τραγικὸς Ἄδραστος τοῦ Ἀλκμέωνος εἰπόντος πρὸς αὐτὸν* '*ἀνδροκτόνου — ἔφυς*', *ἀπεκρίνατο* '*σὺ δ' — ἐγείνατο*'. Plut. de utilitate ex inimicis percip. c. 5 p. 88 F: '*ἀνδροκτόνου — ἔφυς*' *πρὸς τὸν Ἄδραστον ὁ Ἀλκμέων· τί οὖν ἐκεῖνος; οὐκ ἀλλότριον ἀλλ' ἴδιον αὐτῷ προφέρων ὄνειδος,* '*σὺ δ' — ἐγείνατο*'. ad Sophoclis Alcmeonem hos versus referri voluit Valckenaer Diatr. p. 150 sq., ad Epigonos sive Eriphylen O. Ribbeck *Röm. Tragöd.* p. 495.

359

ἰὼ τυραννὶ βαρβάρων ἀνδρῶν φίλη.

Plut. de audiendis poetis c. 14 p. 36 F: *καὶ 'ἰὼ — φίλη'.*

360

ἡ βροτῶν τ' εὐπραξία
τῶν τἀλάχιστα γίγνεται λυπουμένων.

Plut. de audiendis poetis c. 14 p. 37 A: *καὶ 'ἡ βροτῶν τ' — λυπουμένων'.*

361

κινοῦσα χορδὰς τὰς ἀκινήτους φρενῶν

Plut. de audiendo c. 12 p. 43 E: *περιμανὴς ἐξ ἔρωτος ἐπιθυμία 'κινοῦσα — φρενῶν'.* eundem versum habet Plut. de cohibenda ira c. 6 p. 456 C de animi et corp. affect. c. 2 p. 501 A de garrul. c. 1 p. 502 D Quaest. conv. 3, 9, 1 p. 657 D. respicit Gregorius Palamas Prosop. p. 31: *νόσῳ δὲ συσχεθεῖσα κινούσῃ τὰς ἀκινήτους χορδὰς τῶν φρενῶν.*

362

ἐρρέτω φίλος σὺν ἐχθρῷ

Plut. de adulat. et amico c. 4 p. 50 F: *ἡμεῖς δὲ εἰ μηδαμῇ μηδαμῶς ἐπαινοῦμεν τὸ 'ἐρρέτω φίλος σὺν ἐχθρῷ', διὰ πολλῶν ὁμοιοτήτων τὸν κόλακα τῷ φίλῳ συμπεπλεγμένον ἀποσπάσαι ζητοῦντες κτἑ.* Macarius 4, 12: *'ἐρρέτω — ἐχθρῷ'· ἐπὶ τῶν δι' ἐχθρὸν καὶ φίλους σφαλλόντων.* Cic. pro Deiot. 9, 25: *de Domitio dixit versum Graecum eadem sententia qua etiam nos habemus Latinum 'pereant amici, dum inimici una intercidant'.*

363

οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ.

Plut. de adulat. et amico c. 5 p. 51 C: *ὁ κόλαξ αὐτὸν ὥσπερ ὕλην τινὰ ῥυθμίζει — ὥστ' εἰπεῖν 'οὐ παῖς — αὐτὸς εἶ'.* Plut. Vit. Alcib. c. 23: *ἐν γοῦν τῇ Λακεδαίμονι πρὸς τὰ ἔξωθεν ἦν εἰπεῖν· οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος εἴη ἂν αὐτός.* Sophocleae fabulae *Φιλοκτήτου τοῦ ἐν Τροίᾳ* hunc esse versum coni. Blaydes in Soph. Phil. 357.

364

γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει,
παῖς παιδί, καὶ γυναικὶ πρόσφορον γυνή,
νοσῶν τ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

Plut. de adulat. et amico c. 6 p. 51 E: ἐφ' οἷς καὶ ταῦτα εἴρηται 'γέρων — πειρωμένῳ'. Euripidi locum tribuit Valckenaer Diatr. p. 148. v. 1 affert Sextus Empir. p. 668, 19: καὶ ὡς 'γέρων — ἔχει', οὕτως οἱ μὲν ἐρωτομανεῖς καὶ μέθυσοι τὰς Ἀλκαίου καὶ Ἀνακρέοντος ποιήσεις ἀναγνόντες προσεκκαίονται. v. 2 verba γυναικὶ πρόσφορον γυνή recurrunt in Eur. Hel. 830. v. 4 ἐστι τἀπορουμένῳ Herwerden Exerc. crit. p. 86, τῷ ταλαιπωρουμένῳ Kock Com. 3 p. 606.

365

σύνθημ' ἐρωτῶν, ἄλλο μαστεύων χρέος

Plut. de adulat. et amico c. 14 p. 58 B: πᾶσι συνεπινεύων καὶ ἀποδεχόμενος πάντα καὶ βοῶν παρ' ἕκαστον ὡς εὖ καὶ καλῶς, γίγνεται καταφανὴς 'σύνθημ' — χρέος', ἐπαινέσαι καὶ συνεπιτυφῶσαι βουλόμενος.

366

αὐτόν ⟨τε⟩ πράσσων εὖ τίθησιν εἰς μέσον,
τοῦ δυστυχοῦς τε λαγχάνων οὐκ ἄχθεται.

Plut. de amicorum multit. c. 3 p. 94 C: φίλους πολλούς — ὧν ἕκαστος αὐτός θ' 'αὐτὸν πράττων — ἄχθεται'. v. 1 τε addidit Xylander. πράττων libri.

367

ἀλλ' ἓν διδοῦσα πάντα μαλθάσσει τάδε.

Plut. de fortuna c. 3 p. 98 D: μόνος δ' ὁ ἄνθρωπος — ἄστρωτος ὑπὸ τῆς φύσεως ἀπολέλειπται. 'ἀλλ' ἓν — τάδε', τὸν λογισμὸν καὶ τὴν ἐπιμέλειαν καὶ τὴν πρόνοιαν. μαλάσσει duo codices Veneti.

368

τό τοι χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποεῖν.

Plut. Consol. ad Apollon. c. 4 p. 103 B: οὐκ ἔστι γὰρ ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ (Eur. fr. 661, 1), καὶ νὴ Δία 'τό τοι — ποιεῖν'. ποιεῖν ed., ποεῖν scripsi. simillimus est versus Eur. Herc. 311: ὃ χρὴ γὰρ οὐδεὶς μὴ χρεὼν θήσει ποτέ. cf. Eur. fr. 733, 3.

369

λιμὴν γὰρ Ἀίδας ἀνιᾶν.

Plut. Cons. ad Apollon. c. 10 p. 106 D: τοῦτον γὰρ ἀπεμιμήσατο καὶ ὁ εἰπών 'ὦ θάνατε παιάν, ἰατρὸς μόλοις' (v. Aesch. fr. 255, 1). λιμὴν γὰρ ὄντως Ἀίδας ἀν' αἶαν. ἀνιᾶν correxit Wyttenbach. tragici poetae esse verba supra scripta coni. G. Kaibel.

370

Ἅιδην δ' ἔχων βοηθὸν οὐ τρέμω σκιάς.

Plut. Consol. ad Apollon. c. 10 p. 106 D: *μέγα γάρ ἐστι τὸ μετὰ πείσματος τεθαρρηκότος εἰπεῖν 'τίς δ' ἔστι — ὤν'* (Eur. fr. 958) *καὶ 'Ἅιδην δ' — σκιάς'.*

371

μηδεὶς φοβείσθω θάνατον ἀπόλυσιν πόνων.

Plut. Consol. ad Apollon. c. 13 p. 108 E: *οὐκ ἀπᾴδειν δ' ἔοικε τούτων οὐδ' ὁ εἰπών 'μηδεὶς — πόνων', ἀλλὰ καὶ κακῶν τῶν μεγίστων.* cf. Plut. V. Arat. c. 54: *ὥστε τὸν θάνατον αὐτῷ — μὴ συμφορὰν ἀλλ' ἀπόλυσιν κακῶν γενέσθαι.*

372

ποῦ γὰρ τὰ σεμνὰ κεῖνα; ποῦ δὲ Λυδίας
μέγας δυνάστης Κροῖσος ἢ Ξέρξης βαθὺν
ζεύξας θαλάσσης αὐχέν' Ἑλλησποντίας;
ἅπαντ' ἐς Ἅιδην ἦλθε καὶ Λήθης δόμους.

Plut. Consol. ad Apollon. c. 15 p. 110 D: *ἡ δὲ Μερόπη λόγους ἀνδρώδεις προφερομένη κινεῖ τὰ θέατρα, λέγουσα τοιαῦτα 'τεθνᾶσι — βίον'* (Eur. fr. 454). *τούτοις γὰρ οἰκείως ἄν τις ταῦτα συνάψειε 'ποῦ γὰρ — δόμους'.* v. 1 *Λυδίης* libri. v. 2 *βαθὺν* Wyttenbach, *βαρὺν* libri. v. 4 *ἅπαντες ἅιδαν ἦλθον* libri, *ἅπαντ' ἐς ᾅδαν ἦλθε* Bergk Lyr. 3 p. 740. *λάθας* libri. v. 1—3 Euripidis esse existimabat Meineke in Men. p. 578 nixus verbis Olympiod. in Plat. Alcib. pr. p. 46 ed. Creuz.: *ὥς φησιν ὁ Εὐριπίδης ὅτι* (Xerxes) *θάλατταν μὲν ἐπέζευξε*, cui testimonio dubito num fides habenda sit. v. 4 ex alio poeta, fortasse lyrico, assumptum esse vult Meineke, qua in re assentientem habet Bergkium, qui v. 1—3 iambographi recentioris esse conicit. denique recentiori tragico locum tribuit C. Buresch Consolat. a Graecis Romanisque scriptarum hist. crit. p. 63 sq.

373

. . . θαλέθοντι βίῳ
βλάσταις τε τέκνων βριθομένα
γλυκερὸν φάος ὁρῶσα

Plut. Consol. ad Apollon. c. 28 p. 116 C: *εἰ γοῦν ἡ Νιόβη κατὰ τοὺς μύθους πρόχειρον εἶχε τὴν ὑπόληψιν ταύτην ὅτι καὶ ἡ 'θαλέθοντι — ὁρῶσα' τελευτήσει, οὐκ ἂν οὕτως ἐδυσχέραινεν ὡς καὶ τὸ ζῆν ἐθέλειν ἐκλιπεῖν διὰ τὸ μέγεθος τῆς συμφορᾶς καὶ τοὺς θεοὺς*

ἐπικαλεῖν ἀνάρπαστον αὐτὴν γενέσθαι πρὸς ἀπώλειαν τὴν χαλεπωτάτην. lyrico poetae locum tribuit Bergk vol. 3 p. 720 sq., alii ad Sophoclis Niobem rettulerunt. v. 1 *θάλλοντι* malim. v. 2 *βλάσταις τέκνων* ed. Wytt., *βλάσταις τε τέκνων* recentiores. v. 3 *γλυκερὸν εἰσορῶσα φάος* malim.

374

ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθ'· ἐγὼ δέ σε
ὡς ἔργον ἤσκουν· σὺ δ' ἄρ' ἐδούλευες τύχῃ.

Plut. de superstit. c. 1 p. 165 A: *ἀλλ' αἵτινές εἰσι τοιαῦται κρίσεις καὶ ὑπολήψεις, 'ὦ τλῆμον — ἤσκουν', ἀφεὶς τὴν πλουτοποιὸν ἀδικίαν καὶ τὴν γόνιμον ἁπάσης ἡδονῆς ἀκολασίαν, ταύτας ἄξιόν ἐστιν οἰκτίρειν ὁμοῦ καὶ δυσχεραίνειν.* Dio Cass. 47, 49 (cf. Zonar. Annal. 10, 20 vol. 2 p. 365, 9) *καὶ ἀναβοήσας* (Brutus) *τοῦτο δὴ τὸ Ἡράκλειον 'ὦ τλῆμον — τύχῃ' παρεκάλεσέ τινα τῶν συνόντων ἵν' αὐτὸν ἀποκτείνῃ.* Theodorus Prodr. in *Notices et Extr.* vol. 8, 2 p. 82: *ἃ γάρ φησί* (Brutus) *'τλῆμον — τύχῃ', ἀγεννῆ ταῦτα λέγω καὶ Βρούτου ψυχῆς ἀνάξια.* v. 1 *ὦ τλῆμον ἀρετή*] *ὦ τλᾶμον ἀρετά* Zon., *τλῆμον ἀρετή* Theod. Prodr. *λόγος ἄρ' ἦσθ'*] *ἄλλως ἄρ' ἦσθα λόγος* Zon., *λόγος ἄρ' ἦσθα μόνος* Theod. Prodr. v. 2 *ἤσκουν*] *ἐτίμων* Theodr. Prodr. *ἄρ'*] *αὖ* Zon.

375

ἀλλ' εἴτ' ἔνυπνον φάντασμα φοβῇ
χθονίας θ' Ἑκάτης κῶμον ἐδέξω

Plut. de superstit. c. 3 p. 166 A: *σπαθῶσιν εἰς ἀγύρτας καὶ γόητας ἀνθρώπους ἐμπεσόντες λέγοντας 'ἀλλ' — ἐδέξω', τὴν περιμάκτριαν κάλει γραῦν.* Aeschyli esse locum coni. Porson in Eur. Or. 401.

376

δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορὰ
δούλοις γενέσθαι δεσπότας τε δυσχερεῖς
λαβεῖν.

Plut. de superstit. c. 4 p. 166 E: *τὸ δουλεύειν ἀτύχημα ἡγοῦνται καὶ λέγουσι 'δεινὴ — λαβεῖν'.* v. 2 *δούλοις* duo Veneti et Ambr., *δούλους* al. *δυστυχεῖς* libri, *δυσχερεῖς* Valckenaer in Eur. Phoen. 393, qui Euripidi versus tribuit.

377

φεύγει μέγα λαῖφος ὑποστολίσας
ἐρεβώδεος ἐκ θαλάσσης

Plut. de superstit. c. 8 p. 169 B: *κυβερνήτης εὔχεται μὲν ὑπεκ-*

φυγεῖν καὶ θεοὺς ἐπικαλεῖται σωτῆρας, εὐχόμενος δὲ τὸν οἴακα προσάγει, τὴν κεραίαν ὑφίησι, φεύγει μέγα λαῖφος ὑποστολίσας ἐρεβώδεος ἐκ θαλάσσης. cf. Plut. de tranquill. animi c. 17 p. 475 F: *ἀλλ' ἕως οὐκ ἀπέγνωκε, τῇ τέχνῃ χρώμενος φεύγει μέγα* (*μάλα* Paris. D et duo Ven.) *λαῖφος ὑποστολίσας, ἔστε ἐνέρτερον ἱστὸν ἐρεβώδεος ἐκ θαλάττης ὑπέρσχῃ, τρέμων κάθηται καὶ παλλόμενος.* quo de loco Bergk Lyr. 3 p. 730 protulit coniecturam improbabilem.

378

Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα.

Plut. Regum et imperatorum apophth. p. 205 C: *Οὐοκωνίῳ δὲ ἀπαντήσας* (Cicero) *μετὰ τριῶν θυγατέρων ἀμορφοτάτων τὴν ὄψιν, ἀτρέμα πρὸς τοὺς φίλους εἶπεν 'Φοίβου — τέκνα'.* similiter Plut. V. Cic. c. 27. ex Euripidis Oedipode versum petitum esse coni. Meineke *Zeitschr. f. d. Alt.* 1843 p. 289.

379

εἴκει γὰρ ἤδη θυμὸς οὐδ' ἔτ' ἀντέχει
θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλῳ.

Plut. de virtute mor. c. 6 p. 446 A: *'ἕλκει γὰρ — σάλῳ', θινῶδες ἄγκιστρον οὐ φαύλως λέγων τὸ μὴ κάτοχον τοῦ λογισμοῦ μηδ' ἀραρός, ἀλλὰ μανότητι τῆς ψυχῆς καὶ μαλακίᾳ προϊέμενον τὴν κρίσιν.* Plut. ad principem ineruditum c. 6 p. 782 D: *'ἐκεῖ γὰρ — σάλον'.* v. 1 *ἕλκει γὰρ* p. 446, *ἐκεῖ γὰρ* p. 782, *εἴκει γὰρ* F. G. Schmidt *Krit. Stud.* 3 p. 32. *οὐδ'*] *οὐκ* p. 782. v. 2 *σάλον* vel *σάλων* p. 782.

380

ναῦς ὥς τις ἐκ μὲν γῆς ἀνήρτηται βρόχοις,
πνεῖ δ' οὖρος, ἡμῖν δ' οὐ κρατεῖ τὰ πείσματα.

Plut. de virtute mor. c. 6 p. 446 B: *οὐ πόρρω δὲ τῆς εἰκόνος ταύτης κἀκεῖνα εἴρηται 'ναῦς — πείσματα'. πείσματα γὰρ λέγει τὰς ἀντεχούσας κρίσεις πρὸς τὸ αἰσχρόν, εἶτα ὥσπερ ὑπὸ πνεύματος πολλοῦ ῥηγνυμένας τοῦ πάθους.* v. 2 *οὐ* Turnebus, *εὖ* libri.

381

οὔτοι πρέπει τὸ σχῆμα· τοὺς αὐλοὺς μέθες
καὶ θὦπλα λάζευ καὶ γνάθους εὐθημόνει.

Plut. de cohibenda ira c. 6 p. 456 B: *καὶ γὰρ καὶ τὴν Ἀθηνᾶν λέγουσιν οἱ παίζοντες αὐλοῦσαν ὑπὸ τοῦ σατύρου νουθετεῖσθαι καὶ μὴ προσέχειν· 'οὔτοι — εὐθημόνει'· θεασαμένην δὲ τοῦ προσώπου τὴν ὄψιν ἐν ποταμῷ τινι δυσχερᾶναι καὶ προέσθαι τοὺς αὐλούς —*

καὶ ὁ Μαρσύας ὡς ἔοικε φορβειᾷ τινι καὶ περιστομίοις [*βίᾳ*] *τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐγκαθεῖρξε.* Tzetz. Chil. 1, 366: *ἄλλοι φασὶ τὴν Ἀθηνᾶν εὑρεῖν τὴν αὐλῳδίαν· Μαρσύᾳ τῷ σατύρῳ δὲ ταῦτα καταμεμφθεῖσα 'οὔτοι — εὐθημόνει', πρὸς ὕδωρ ἐπικύψασα, τὰς γνάθους ὠγκωμένας ἰδοῦσα, τούτῳ δέδωκε τὴν τέχνην τῷ Μαρσύᾳ.* v. 2 *καὶ θ' ὅπλα* Plut. et Tzetz., *κἄθ' ὅπλα* Duebner, *καὶ θὤπλα* Meineke, qui pro *λάζευ* (ita enim Plut. et Tzetz.) *λάζου* tacite substituit. *εὐσχημόνει* deteriores libri Plutarchei. Euripidi locum tribuit Meineke Ath. 4 p. 295 collato huius poetae fr. 1085.

382

ἄνδρ' ἠδίκησας· ἄνδρ' ἀνεκτέον τόδε;

Plut. de cohibenda ira c. 9 p. 457 C: *ἄρχομαι καταφρονεῖν τῶν λεγόντων· ἄνδρ' ἠδίκησας, ἄνδρ' ἀνεκτέον τόδε.* cf. Gomperz *Beitr.* 1 p. 260 sq.

383

καὶ γὰρ κάπρον φριξαύχεν' οὐ μόνον γυνή,
παῖς δ' ἂν νεογνὸς χειρὶ προσκνήθων νέᾳ
κλίνοι παλαιστοῦ παντὸς εὐμαρέστερον.

Plut. de cohibenda ira c. 14 p. 462 E: '*καὶ γὰρ — εὐμαρέστερον*'. *ἀλλ' ἡμεῖς ἀγριαίνοντα τιθασεύομεν ζῷα κτἑ.* v. 3 *κλίνοι* scripsi, *κλίναι* libri. Aeschyli hos esse versus coni. G. Dindorf Thes. vol. 8 p. 1059, Alexandrino potius quam Attico poetae tribuit Cobet *Λογ. Ἑρμ.* 1 p. 489.

384

φίλων γε μέντοι χρῆσις ἡ πρὸς αἵματος
μόνη κακοῦ ῥέοντος ὠφελεῖν φιλεῖ.

Plut. de fraterno amore c. 6 p. 481 B: *ποῖος δ' ἂν ἦν ὁ Ἀτρεύς, εἰ τοιαῦτα δειπνίσας τὸν ἀδελφὸν ἐγνωμολόγει πρὸς τοὺς παῖδας 'φίλων — φιλεῖ'*; v. 2 *κακοῦ παρόντος* legendum suspicor. Euripidis esse versus coni. Porson Advers. p. 235.

385

ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὴν χεῖρ' ἔχει.

Plut. de garrulitate c. 22 p. 513 E: *οὐ γὰρ μόνον 'ὅπου — ἔχει', ἀλλὰ καὶ τὸ ἡδόμενον ἔχει τὴν φωνὴν ἐν ἑαυτῷ καὶ περιάγει τὴν γλῶτταν.* Stob. Flor. 99, 25: *παροιμία. 'ὅπου — ἔχει'.* Amphidi versum male tribuit Arsenius. *κεῖθι* Plut., *κεῖσε* recte Stob. (cf. Eur. Phoen. 360 fr. 781, 56 fr. 1063, 12.) *τὴν χεῖρ'* Plut., *τὸν νοῦν* Stob.

386

οἴμοι, τὸ κακὸν τῆς εὐτυχίας
ὡς μᾶλλον ἐς οὓς φέρεται θνητῶν.

Plut. de curiositate c. 6 p. 518 A: καὶ τὸ 'οἴμοι — θνητῶν' ἐπὶ τῶν πολυπραγμόνων εἰρημένον ἐστὶν ἀληθῶς.

387

ἀεὶ δ' ἀοιδῶν μοῦνος ἐν στέγαις ἐμαῖς
κωκυτὸς ἐμπέπτωκεν

Plut. de curiositate c. 6 p. 518 C: 'ἀεὶ δ' — ἐμπέπτωκεν', αὕτη τοῖς πολυπράγμοσι μοῦσα καὶ σειρὴν μία. de cohibenda ira c. 15 p. 463 B: ἀεὶ δ' ἀοιδῶν μοῦνος ἐν στέγαις ὀργίλου ἀνδρὸς κωκυτὸς ἐμπέπτωκε. v. 1 ἀείδων p. 518 ed. Duebn.

388

ὄλοιο θνητῶν ἐκλέγων τὰς συμφοράς.

Plut. de curiositate c. 10 p. 520 B: εἴ τις ἐπιὼν τὰ συγγράμματα τῶν παλαιῶν ἐκλαμβάνοι τὰ κάκιστα τῶν ἐν αὐτοῖς — ἆρ' οὐκ ἔστι τῆς τραγικῆς κατάρας ἄξιος; 'ὄλοιο — συμφοράς'. eundem versum habet Lucianus Lexiph. 17 vol. 2 p. 342. cf. Plut. de Herodoti malign. c. 3 p. 855 D: ὁ δὲ παρενθήκην τοῦ λόγου τὸ βλασφημεῖν καὶ ψέγειν ποιούμενος ἔοικεν εἰς τὴν τραγικὴν ἐμπίπτειν κατάραν, θνητῶν ἐκλέγων τὰς συμφοράς. Greg. Naz. vol. 2 p. 238 D: φεῦ φεῦ, πενήτων συλλέγεις τὰς συμφοράς.

389

οὐκ ἔστ' ἐν ἄντροις λευκός, ὦ ξέν', ἄργυρος.

Plut. de vitioso pudore c. 10 p. 533 A: ὁ δ' ἀβελτερίᾳ καὶ μαλακίᾳ πρὸς τὸν αἰτοῦντα δυσωπούμενος εἰπεῖν 'οὐκ ἔστ' — ἄργυρος', εἶτα ὥσπερ ἐνέχυρον προέμενος τὴν ἐπαγγελίαν κτέ. fortasse huc spectat Hor. Carm. 2, 2, 1: *nullus argento color est avaris abdito terris.*

390

πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω

Plut. de sera numinis vindicta c. 5 p. 550 F: φλέγεται καὶ σφαδᾴζει 'πηδῶν ὁ θυμὸς — ἀνωτέρω'. comparat Cobet Coll. crit. p. 142 verba Choricii in Arat. 6, 3 (*Revue de philol.* 1 p. 72): ὅ γε θυμὸς εἰς ἀβουλίαν ἠρέθισε προπηδήσας τοῦ λογισμοῦ. Euripidi versum tribuit Ruhnken. ego Melanthium dixisse suspicor, πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω τὰ δεινὰ πράσσει, τὰς φρένας μετοικίσας.

391

θύννος βολαῖος πέλαγος ὡς διαστροβεῖ.

Plut. de sera numinis vindicta c. 10 p. 554 F: *ἔχεται γὰρ ἕκαστος ἀδικήσας τῇ δίκῃ — τὸ δὲ συνειδὸς ἐγκείμενον ἔχων καὶ ἀποτίνον 'θύννος — διαστροβεῖ'.* eundem versum habet Plut. V. Luculli c. 1, ubi *διεστρόβει* scripsit.

392

Ἀργεῖος ἢ Θηβαῖος· οὐ γὰρ εὔχομαι
μιᾶς· ἅπας μοι πύργος Ἑλλήνων πατρίς.

Plut. de exilio c. 5 c. 600 F (Stob. Flor. 40, 3): *ὅθεν εὖ μὲν ὁ Ἡρακλῆς εἶπεν ''Ἀργεῖος — πατρίς'· ὁ δὲ Σωκράτης βέλτιον, οὐκ Ἀθηναῖος οὐδὲ Ἕλλην ἀλλὰ κόσμιος εἶναι φήσας.* v. 1 *εἶ ἢ* Stobaei SM, *εἴη* A pr. m., *ἢ* Brux. sicut Plut. cum Cratetis fr. 1 coniungit hos versus Ferd. Duemmler Antisthen. p. 68, qui huc refert quae habet Teles in Stob. Flor. 40, 8: *Ἡρακλῆς δ' ἐξ Ἄργους ἐκπεσὼν Θήβας κατῴκει.*

393

σκληρὰν ἄκαρπον καὶ φυτεύεσθαι κακήν

Plut. de exilio c. 8 p. 602 C: *αἱρήσεται καὶ νῆσον οἰκεῖν φυγὰς γενόμενος, Γύαρον ἢ Κίναρον 'σκληρὰν — κακήν', οὐκ ἀθυμῶν οὐδ' ὀδυρόμενος. κἀμφυτεύεσθαι* malit Naber. Cratino versum tribuit Kock 3 p. 613 sq.

394

ὅς με ῥάκη τ' ἤμπισχε κἀξηνάγκασεν
πτωχὸν γενέσθαι καὶ δόμων ἀνάστατον.

Plut. Quaest. conv. 2, 1, 7 p. 632 F: *ποιεῖ δ' εὔχαρι σκῶμμα καὶ μέμψις ἐμφαίνουσα χάριν· ὡς Διογένης περὶ Ἀντισθένους ἔλεγεν 'ὅς — ἀνάστατον'.* v. 1 *κἀξηνάγκασε* vulgo. v. 2 *κακ δόμων* cod. Vind. ceterum v. 2 ex tragoedia desumptum, priorem ab ipso Diogene fictum esse coni. Methner diss. p. 11.

395

κακῶν κατάρχεις τήνδε μοῦσαν εἰσάγων.

Plut. Quaest. conv. 2, 1, 12 p. 634 F: *οἷον τὸ Τιμαγένους* (sc. *σκῶμμα*) *πρὸς ἄνδρα τῆς ἐμετικῆς· 'κακῶν — εἰσάγων'.* Ath. XIV p. 616 C: *Τελεσφόρον γὰρ ἕνα τῶν ὑπάρχων αὐτοῦ, ἐπειδὴ ἔσκωψέ ποτε ἐν συμποσίῳ τὴν Ἀρσινόην, γυνὴ δὲ ἦν τοῦ Λυσιμάχου, ὡς ἐμετικὴν οὖσαν εἰπὼν 'κακῶν κατάρχεις τήνδ' ἐμοῦσαν εἰσάγων', ὁ Λυσίμαχος ἀκούσας ἐμβληθῆναι αὐτὸν ἐκέλευσεν εἰς γαλεάγραν. κατάρ-*

χεις Ath., *γὰρ ἄρχεις* Plut. versum Euripidis esse ex Antiopa petitum coni. Porson in Eur. Med. 139 sq.

396

ἥ ⟨τ'⟩ ἄγνος ἀνθεῖ χὠ βότρυς πεπαίνεται.

Plut. Quaest. conv. 2, 7, 2 p. 641 D: *ὡς εἴ τις οἴοιτο τῇ ἀνθήσει τοῦ ἄγνου πεπαίνεσθαι τὸν τῆς ἀμπέλου καρπόν, ὅτι δὴ τοῦτο τὸ λεγόμενον 'ἡ ἄγνος — πεπαίνεται'.*

397

λήγει δὲ Κύπρις θαλίαι τε νέων,
οὐδ' ἔτι θύρσος φύλλα βακχείου

Plut. Quaest. conv. 3, 6, 4 p. 655 A: *ἐν ᾧ καιρῷ φροῦδα τὰ τῆς ἡδονῆς, 'λήγει — φίλος βακχείου'· συντείνουσι γὰρ αἱ φροντίδες.* v. 2 *οὐδέ τι* libri, *οὐδ' ἔτι* Méziriac. *φύλλα*] *φύλα* cod. Vind., *φίλος* olim ed. *φίλα βακχεύει* coni. Meineke in Soph. Oed. C. p. 149, *θαλλὸς Ἰάκχου* F. G. Schmidt *Krit. Stud.* 3 p. 32, fortasse praeferendum *θύσθλα τ' Ἰάκχου*, ubi *θύσθλα* debetur Theodoro Gomperz.

398

⟨ὦ⟩ γλῶσσα, μέτριον εἴ τι κομπάσαι θέλεις,
ἔξειπε

Plut. Quaest. conv. 7, 6, 2 p. 707 E: *οὐκ ἔστιν ὅτε μᾶλλον ἀνθρώποις ἐφιᾶσιν εἰπεῖν 'γλῶσσα — ἔξειπε', καὶ παρρησία πλείστη μετὰ παιδιᾶς ἀναμέμικται τοῖς λεγομένοις ἐν οἴνῳ καὶ πραττομένοις.* ὦ addidi in Eur. vol. 3 p. XXIV.

399

τὸν παῖδά μοι τόνδ' ἀξίως Ἡρακλέους
ἡμῶν τε θρέψαι.

Plut. Quaest. conv. 9, 1, 2 p. 736 F: *ἦν διὰ στόματος πᾶσιν — ὁ παρὰ τῷ Δημητρίῳ τῷ βασιλεῖ ἀπρόθυμος ὢν ᾄδειν μετὰ τὸ δεῖπνον, ὥς τε* (l. *ὡς δὲ*) *προσέπεμψεν αὐτῷ τὸν υἱὸν ἔτι παιδάριον ὄντα τὸν Φίλιππον, ἐπιβαλὼν εὐθὺς 'τὸν — θρέψαι'.* Euripidis haec esse verba coni. Porson in Eur. Med. 675, ad Augen referri voluit Welcker Tragod. p. 765, cui adstipulatur Wilamowitz-Moellendorff Anal. Eur. p. 193.

400

ἐγένοντο, τοῦ μὲν Ἡρακλῆς, τοῦ δ' Ἴφικλος.

Plut. Quaest. conv. 9, 15, 2 p. 747 F: *τοῖς ἄγαν πεζοῖς καὶ κακομέτροις, ὡς τὰ τοιαῦτα· ʽ ἐγένοντο — Ἴφιτος'.* traditum *Ἴφιτος* in *Ἴφικλος* mutavi secundum Schol. AB Il. Ξ 323: *ὡς δὲ ὑποστρέψας ἀπὸ τῆς στρατείας (Ἀμφιτρύων) ἦγε τοὺς γάμους ἑαυτοῦ τε καὶ Ἀλκμήνης, τῇ αὐτῇ νυκτὶ ἐρασθεὶς αὐτῆς Ζεὺς καὶ εἰκασθεὶς Ἀμφιτρύωνι ἐμίγη — ἤδη δ' ἐκείνης τὸν ἑπταμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διός, Ἴφικλος δὲ ἐξ Ἀμφιτρύωνος.* cf. Serv. in Verg. A. 8, 103. versum quem ex Euripideo prologo repetit Cobet Coll. crit. p. 526, ad Alcmenam Euripidis rettulerim.

401

μισεῖς· ἐγὼ δὲ ῥαδίως μισήσομαι
πρὸς κέρδος ἕλκων τὴν ἐμὴν ἀτιμίαν.

Plut. Amator. c. 4 p. 750 F: *ἀκούεις δέ τινος τραγικοῦ γαμέτου λέγοντος πρὸς τὴν γυναῖκα ʽ μισεῖς — ἀτιμίαν'.*

402

βίᾳ δ' ἔπραξας χάριτας ἢ πείσας κόρην;

Plut. Amator. c. 5 p. 751 D: *ὁ δὲ Ἡρακλῆς ὑπό τινος ἐρωτᾶται· ʽ βίᾳ — κόρην;' δὲ πράξας* libri, *δ' ἔπραξας* Reiske.

403

γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος.

Plut. Amator. c. 5 p. 752 A: *τὰς ὀφρῦς αἴρει καὶ φιλοσοφεῖν φησὶ καὶ σωφρονεῖν ἔξω διὰ τὸν νόμον· εἶτα νύκτωρ καὶ καθ' ἡσυχίαν ʽ γλυκεῖ' — ἐκλελοιπότος'.* versus proverbialis (cf. Diogenian. 3, 95 Diogenian. Vind. 2, 17 Greg. Cypr. 1, 98 Greg. Cypr. Mosq. 2, 52 Suid. al.), quem e tragoedia derivatum esse probabile est.

404

τόδ' ἐξοπλίζει τοὔπος Ἀργεῖον λεών.

Plut. Amator. c. 6 p. 752 C: *ἐνταῦθα μέντοι καὶ ὁ πατὴρ ἔφη τοῦ Πρωτογένους ἐπιλαβέσθαι καὶ εἰπεῖν ʽ τόδ' — λεών'.*

405

οὐ γάρ με Νὺξ ἔτικτε δεσπότην λύρας,
οὐ μάντιν οὐδ' ἰατρόν, ἀλλὰ θνητὸν ἅμα
ψυχαῖς

Plut. Amator. c. 15 p. 758 B: *ἔστι δέ τις ἐκεῖ — κατευναστὴς*

καὶ ψυχοπομπός, ὥσπερ ὁ Ὕπνος (ita Haupt Opusc. 3 p. 547, *ὥσπερ οὗτος* libri)· '*οὐ γάρ — ψυχαῖς*'. v. 2 *ἀλλ' ἠγήτορα* coni. Valckenaer in Eur. Phoen. p. 506, *ἀλλ' εὐνήτορα* (potius *εὐνάτορα* scribendum erat) Iacobs, *ἀλλ' ὀνήτορα* Bergk.

406

τίς καλλίκαρπον θύρσον ἀνασείει θεῶν;

Plut. Amator. c. 16 p. 759 A: *λείπεται δὲ τῆς ἐξαλλαγῆς ἐν ἀνθρώπῳ καὶ παρατροπῆς οὐκ ἀμαυρὸν οὐδὲ ἡσυχαῖον — μόριον, ὑπὲρ οὗ βούλομαι τουτονὶ Πεμπτίδην ἐρέσθαι * τί * καρπον θύρσον ἀνασείει θεῶν τὸν φιλητικὸν τοῦτον περὶ παῖδας ἀγαθοὺς καὶ σώφρονας γυναῖκας ἐνθουσιασμόν;* ita libri, *τίς καλλίκαρπον* A. G. Winckelmann.

407

ἐφέσπερον δαίουσα λαμπτῆρος σέλας

Plut. Amator. c. 16 p. 759 F: *Γναθαίνιον* '*ἐφέσπερον — σέλας*' *ἐκδεχομένη καὶ καλοῦσα παροδεύεται πολλάκις.*

408

πῦρ καὶ θάλασσαν καὶ πνοὰς τὰς αἰθέρος
περᾶν ἕτοιμος

Plut. Amator. c. 17 p. 760 D: *ἀνὴρ γὰρ ὑποπλησθεὶς Ἔρωτος οὐδὲν Ἄρεως δεῖται μαχόμενος πολεμίοις, ἀλλὰ τὸν αὑτοῦ θεὸν ἔχων συνόντα,* '*πῦρ καὶ — ἕτοιμος*' *ὑπὲρ τοῦ φίλου οὕπερ ἂν κελεύῃ.*

409

ὕβρις τάδ', οὐχὶ Κύπρις ἐξεργάζεται.

Plut. Amator. c. 23 p. 768 E: *τὴν μὲν πρὸς ἄρρενα ἄρρενος ὁμιλίαν, μᾶλλον δὲ ἀκρασίαν καὶ ἐπιπήδησιν, εἴποι τις ἂν ἐννοήσας* '*ὕβρις — ἐξεργάζεται*'. *οὐχ ἡ* libri, *οὐχὶ* Meineke Com. 4 p. 695. versum esse Agathonis, cuius cf. fr. 31, coni. Gomperz *Beitr.* 3 p. 594. cf. Maneth. 4, 495: *μοιχείας τ' ἀγαπῶντες, ἐν αἷς ὕβρις, οὐ Κύπρις ἄρχει.*

410

πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ,
. . *μήτι πανσώμεσθα δρῶντες εὖ βροτούς.*

Plut. an seni gerenda sit res publ. c. 14 p. 791 D: *ταύτας ὑπαγορεύει* (sc. *ἡ φύσις*) *τὰς φωνὰς τοῖς μὴ διεφθορόσι τελείως ὑπ' ἀργίας καὶ μαλακίας*· '*πολλοῦ — πατήρ*', *καὶ* '*μήτε πανσαίμεθα —*

βροτούς'. Plut. non posse suaviter vivi sec. Epic. c. 17, 4 p. 1099 A: ὅθεν οὐδὲ κάμνουσιν ὠφελοῦντες οὐδὲ ἀπαγορεύουσιν, ἀλλὰ τοιαύτας αὐτῶν ἀκούομεν φωνάς 'πολλοῦ — πατήρ', καὶ 'μή γε πανσώμεθα — βροτούς'. v. 2 καὶ fortasse poetae verbis addendum. μήτε (μή τι ed. Duebner) p. 791, μή γε p. 1099. πανσαίμεθα p. 791, πανσώμεθα (πανσώμεσθα ed. Duebner) p. 1099.

411

φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ.

Plut. Praec. gerendae rei publ. c. 14 p. 809 D: εὐγενὲς καὶ φρονήματος μεγάλου τὸ ἀναφωνῆσαι 'φιλῶ — μᾶλλον φιλῶ'. Cic. Epist. ad fam. 12, 14, 7: *sodalis et familiarissimus Dolabellae eram, coniunctissimus sanguine Antoniis, provinciam quoque illorum beneficio habebam; sed* πατρίδα ἐμὴν μᾶλλον φιλῶν *omnibus meis bellum primus indixi.* versum ex Euripidis Erechtheo petitum esse coni. Porson, cui suspicioni favet Lycurgus c. Leocr. § 101: φύσει γὰρ οὐσῶν φιλοτέκνων πασῶν τῶν γυναικῶν ταύτην ἐποίησε (Praxitheam Euripides) τὴν πατρίδα μᾶλλον τῶν παίδων φιλοῦσαν.

412

δεινὸς κολαστὴς πέλεκυς αὐχένος τομεύς.

Plut. Praec. gerendae rei publ. c. 17 p. 813 F: πολλοῖς μὲν ἐπέβη 'δεινὸς — τομεύς'. Plut. de libidine et aegritud. fr. 8 (vol. 5 p. 706 ed. Wyttenb., p. 4, 46 Duebn.): καὶ ὁ λέγων 'δεινὸς — αὐχένος τεμεῖν', αὐτὸ κολάζει ὃ εἴρηκεν (l. οὐ τὸ ὃ κολάζει εἴρηκεν), ἀλλ' ᾧ κολάζουσιν. fortasse huc spectat Hesych. 4 p. 164: τομεύς· τμήτης, ἤγουν ὁ τέμνων. Euripideum esse versum ex Telepho depromptum coni. van de Sande Bakhuyzen de parod. in com. Aristoph. p. 3.

413

μικρὸν δὲ ποδὸς
χαλάσαι μεγάλῃ κύματος ἀλκῇ

Plut. Praec. gerendae rei publ. c. 24, 4 p. 818 A: ὁ γὰρ περὶ πάντα λίαν ἀκριβὴς καὶ σφοδρὸς οὐδὲν ὑποχωρῶν — ἀντιφιλονεικεῖν τὸν δῆμον αὐτῷ καὶ προσδυσκολαίνειν ἐθίζει· μικρὸν δὲ ποδὸς χαλάσαι μεγάλῃ κύματος ὁρμῇ, τὰ μὲν αὐτὸν ἐνδιδόντα — τὰ δὲ ὥσπερ ἐν οἰκίᾳ νέων ἁμαρτήματα προσποιούμενον παρορᾶν καὶ παρακούειν. verba μικρὸν δὲ ποδὸς κτἑ. cum ceteris cohaerebunt, si μακρὸν δὲ ⟨δεῖ⟩ ποδὸς scripseris, quod suasit Madvig Adv. crit. 1 p. 661, vel μακρὸν δέον ποδὸς cum Gregorio N. Bernardakis Symb. crit. et palaeogr. p. 123. hinc dubitari potest an sola verba χαλάσαι — ἀλκῇ poetae tribuenda sint.

414

ἄκραντα γάρ μ' ἔθηκε θεσπίζειν θεός,
καὶ πρὸς παθόντων κἂν κακοῖσι κειμένων
σοφὴ κέκλημαι, πρὶν παθεῖν δὲ μαίνομαι.

Plut. Praecepta gerendae rei publ. c. 28, 5 p. 821 B: ὥσπερ οὖν τῆς Κασάνδρας ἀδοξούσης ἀνόνητος ἦν ἡ μαντικὴ τοῖς πολίταις, 'ἄκραντα γάρ με' φησίν 'ἔθηκε — μαίνομαι', οὕτως ἡ πρὸς Ἀρχύταν πίστις καὶ πρὸς Βάττον εὔνοια — ὠφέλησε. cf. Orph. Lith. 765: (Ἀπόλλων) Κασσάνδρην ἐκέλευσεν ἀκούοντεσσιν ἅπαντα (ἄπιστα coni. Merrick, ἄκραντα Toup in Longin. de subl. p. 316 ed. Oxon.) θεσπίζειν Τρώεσσιν ἐτήτυμά περ φρονέουσαν. Cic. Epist. ad Att. 8, 11, 3: προθεσπίζω *igitur, noster Attice, non ariolans ut illa cui nemo credidit, sed coniectura prospiciens.* v. 3 πρὶν παθεῖν δὲ μαινόλις coni. Herwerden Exerc. crit. p. 32, aptius fuerit μὴ παθοῦσι δ' ἐμμανής. Euripidis esse locum ex Alexandro petitum coni. Musgrave.

415

στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν.

Plut. Praec. gerendae rei publ. c. 31, 7 p. 823 A: οὐδ' αὐθέκαστός ἐστιν ὁ σώφρων ἀνὴρ καὶ 'στείχει — πικρόν', ἀλλὰ πρῶτον μὲν εὐπροσήγορος κτέ.

416

κραταιῷ περιβαλὼν βραχίονι
εὕδει πιέζων χειρὶ δεξιᾷ ξύλον.

Plut. de solertia animalium c. 10, 13 p. 967 C: ὥστε μὴ πάνυ θαυμάζειν τοῦ Ἡρακλέους, εἰ τόξα μασχάλῃ ὑποθεὶς καὶ 'κραταιῷ — ξύλον'. v. 1 τὰ τόξα μασχάλῃ | ὑποθεὶς κραταιῷ περιβαλὼν Meineke Ath. 4 p. 128. ad scenam a Philostr. Imag. 2, 22 et Psello p. 132 descriptam hos versus referendos esse coni. O. Iahn *Berichte über d. Verhandl. d. Sächs. Ges. d. Wissensch., philol.-histor. Cl.* 1853 p. 139.

417

ὅδ' αὖτ' ἐκείνου φθόγγος ἐξωλέστερος.

Plut. de communibus sent. c. 34 p. 1076 E: ἀλλὰ πᾶν μὲν ἔμψυχον οὕτως ἴσχεσθαι καὶ οὕτω κινεῖσθαι πέφυκεν ὡς ἐκεῖνος (sc. Ζεύς) ἄγει κἀκεῖνος ἐπιστρέφει καὶ ἴσχει καὶ διατίθησαν, 'ὅδ' αὖτ' — ἐξωλέστερος'. haud dissimiles sunt Aristophanis versus, Eccl. 1053: τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον. 1070: τοῦτ' αὖ πολὺ τούτου τὸ κακὸν ἐξωλέστερον. Plut. 443: Πενία — ἧς οὐδαμοῦ οὐδὲν

πέφυκε ζῷον ἐξωλέστερον. cf. Antiphanes Com. 3 p. 86: *τούτου γὰρ οὐδέν ἐστιν ἐξωλέστερον.* Diphilus Com. 4 p. 415: *οὐκ ἔστιν οὐδὲν τεχνίον ἐξωλέστερον.*

418

κλίθητι καὶ πίωμεν· οὐ καὶ σιτία
πάρεστιν; ὦ δύστηνε, μὴ σαυτῷ φθόνει.
οἱ δ' εὐθὺς ἠλάλαξαν, ἐν δ' ἐκίρνατο
οἶνος, φέρων δὲ στέφανον ἀμφέθηκέ τις.
ὑμνεῖτο δ' αἰσχρῶς κλῶνα πρὸς καλὸν δάφνης 5
ὁ Φοῖβος οὐ προσῳδά· τήν τ' ἐναύλιον
ὠθῶν τις ἐξέκλαγξε σύγκοιτον φίλην.

Plut. non posse suaviter vivi sec. Epicurum c. 16, 8 p. 1098 C: *οἱ θεράποντες ὅταν Κρόνια δειπνῶσιν ἢ Διονύσια κατ' ἀγρὸν ἄγωσι περιιόντες, οὐκ ἂν αὐτῶν τὸν ὀλολυγμὸν ὑπομείναις — τοιαῦτα ποιούντων καὶ φθεγγομένων· 'τί κάθῃ — φίλην'.* comico poetae hunc locum non recte tribuerunt Bergk et Meineke (vol. 4 p. 676) sicut Kock Com. Att. fr. vol. 3 p. 604 sq., cum et oratio et metrum tragoediam arguant. v. 1 *τί κάθῃ* libri, *κλίθητι* Meineke coll. Eur. fr. 691, 1. *σῖτα* libri, *σιτία* Bergk. v. 5 *ὑμνεῖτο* libri pleriqne, *ὑμνεῖ* al. v. 7 *ἐξέκλαγξε* codex Venetus, ut coni. Reiske. parum felices de hoc loco coniecturas protulit Kock Herm. 22 p. 145 sqq.

419

Κρητικοὺς αὐλοὺς θανούσης κῶλα ποικίλης νεβροῦ

Plut. non posse suaviter vivi sec. Epicurum c. 26, 3 p. 1104 D: *καὶ ὅπλα καὶ σκεύη καὶ ἱμάτια συνήθη τοῖς τεθνηκόσι, καὶ ὡς ὁ Μίνως τῷ Γλαύκῳ 'Κρητικοὺς — νεβροῦ' συνθάπτοντες ἥδιον ἔχουσι.* versum ex Euripidis Polyido depromptum esse coni. Valckenaer Diatr. p. 203. *Κρητικῆς αὐλοὺς θανόντι* proposuit Hecker.

420

σύμμικτον ὥστε γλεῦκος ὑλιστήριον

Plut. adv. Coloten c. 5 p. 1109 E: *οἳ πᾶν μὲν τὸ αἰσθητὸν κρᾶμα παντοδαπῶν ποιοτήτων ἀποφαίνουσι 'σύμμικτον — αὐλητήριον'.* *σύμμεικτον* malim. *αὐλητήριον* libri, *ὑλητήριον* Toup Emend. 4 p. 332, *ὑλιστήριον* Vsener Epicur. p. 184.

421

ἔστιν Δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ.

Plut. adv. Coloten c. 30 p. 1124 F: *χλευάζουσι δὲ ταῦτα καὶ*

γελῶσιν 'ἔστιν — ὁρᾷ'. idem versus extat in Men. mon. 179 et in novicii poetae loco, quem Philemoni tribuit Iustinus Martyr de monarchia c. 3 p. 138, Diphilo Clemens Alex. Strom. V p. 721 Euseb. P. E. XIII p. 683 D Theodoretus Therap. 6 p. 88, 55. respicit Polybius 23, 10, 3 (Suid. v. δίκης ὀφθαλμός et ἔστι τις): διότι κατὰ τὴν παροιμίαν ἔστι Δίκης ὀφθαλμός, ἧς μηδέποτε δεῖ καταφρονεῖν. item fortasse auctor epigr. in Anth. Pal. 7, 357: ὄμμα Δίκης καθορᾷ πάντα τὰ γινόμενα. cf. Dionys. fr. 5 adesp. fr. 491 et 510, 2.

422

σοφοὶ σοφοὺς σῴζουσιν, ἢν ὦσιν σοφοί.

Plut. V. Anton. c. 80: ὁ δὲ (sc. Φιλόστρατος) — Ἀρείῳ παρηκολούθει τοῦτον ἀεὶ τὸν στίχον ἀναφθεγγόμενος 'σοφοὶ — ἂν ὦσι σοφοί'. Euripideum esse versum coniecit Dobree Adv. 2 p. 69.

423

ἄδοξον, ἄκραν γλῶσσαν ἠκονημένον

Plut. Comp. Lysandri et Sullae c. 4: τρυφὴν γὰρ οἶμαι καὶ παιδιὰν πρὸς Ἀντίοχον διαναυμαχεῖν τὸν Ἀλκιβιάδου κυβερνήτην καὶ Φιλοκλέα τὸν Ἀθηναίων ἐξαπατᾶν δημαγωγὸν 'ἄδοξον — ἠκονημένον'.

424

ἁγνὸν εἰς σηκὸν θεοῦ

Pollux 1, 6: σηκὸν τὸν τῶν ἡρώων λέγουσιν, οἱ δὲ ποιηταὶ καὶ τὸν τῶν θεῶν, ὡς οἱ τραγῳδοί 'ἁγνὸν — θεοῦ'.

425

ἔργων μυστικῶν προφάντιδες

Pollux 1, 14: αἱ δὲ θήλειαι ἱέρειαι, προφήτιδες καὶ ἔργων μυστικῶν προφάντιδες. dicendi genus tragoediam sapit, cf. Aesch. fr. p. 28.

426

ῥινηλάτην κύνα

Pollux 2, 74: ῥινηλατεῖν τὸ τὰς ὀσμὰς ἕλκειν καὶ ῥινηλάτην κύνα ἡ τραγῳδία.

427

στηρίγματ' οἴκου

Pollux 3, 12: τέκνα, φυτεύματα, γεννήματα — τροφεῖς, ταφεῖς, στηρίγματα οἴκου ἢ βίου, ἐπίκουροι ἀναγκαῖοι. non dubito quin στηρίγματα οἴκου tragicus aliquis poeta dixerit. similiter Eur. Iph.

T. 57: *στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.* poeta com. Charisii Inst. gramm. IV p. 284 sq. (Ribbeck Com. Rom. reliq. p. 120): *pater, qui te tutamen fore sperarat familiae domuique columen.*

428

χωρίτης λεώς

Pollux 9, 13: *ἀπὸ δὲ χώρας 'χῶρος ἱερός'* (Soph. Oed. C. 16) *καὶ 'χωρίτης λεώς' καὶ 'χωριτικὸν πρᾶγμα'.*

429

ἀπτέρῳ τάχει

Pollux 9, 152: *ταχέως, διὰ ταχέων, ὅτι τάχιστα, ὡς τάχιστα, ὡς εἶχε τάχους, ἐν τάχει, ἀπτέρῳ τάχει.* usi sunt hac dicendi forma recentiores quidam scriptores velut Leo Diaconus ed. Bonn. p. 50, 4 p. 97, 3 p. 114, 8 Constantinus Man. Comp. chron. 6400 Nicetas Chon. Hist. p. 469, 16 Georgius Pachymeres de Mich. Palaeol. vol. 1 p. 29, 15 p. 106, 21 Manuel Philes vol. 1 p. 311 p. 323 vol. 2 p. 247 Ephraemius v. 4959 5477 6254. similiter *πτηνῷ τάχει* Theodorus Prodr. de Rhod. et Dos. 9, 360. *ἀρρήτῳ τάχει* Ignatius in Adam. 12.

430

ὁ δρῶν τὰ τοῦ μέλλοντος οἴχεται φέρων.

Polyb. 31, 21, 12: *τὸ δὲ πιττάκιον περιεῖχε τὰς γνώμας ταύτας. 'ὁ δρῶν — φέρων'.* fortasse tragici poetae versus sicut is qui statim sequitur *ἴσον φέρει νύξ, τοῖς δὲ τολμῶσιν πλέον* Euripideus est (Phoen. 726).

431

⟨θεοὺς δὲ⟩ καὶ λαθεῖν ἀμήχανον.

Porph. Epist. ad Marc. 21: *καὶ εἰσὶν ἄγγελοι θεῖοί τε καὶ ἀγαθοὶ δαίμονες ἐπόπται τῶν πραττομένων, οὓς καὶ λαθεῖν ἀμήχανον.* Porph. de abst. 2, 24 (Euseb. P. E. IV p. 152 B): *τὸν δὲ θεὸν ἀμήχανον καὶ λαθεῖν.*

432

Amelius in Porphyr. V. Plotini c. 17: *ἠνάγκασμαι δ', ὡς ἔοικεν, ὥς που φησὶν ἡ τραγῳδία, ὢν φιλοπράγμων τῇ ἀπὸ τῶν τοῦ καθηγεμόνος ἡμῶν δογμάτων διαστάσει εὐθύνειν τε καὶ ἀποποιεῖσθαι.* in his quae insint tragici poetae verba non assequor. Methner progr. a. 1883 p. 5 huc revocat Plat. Gorg. p. 499 C: *καὶ ὡς ἔοικεν ἀνάγκη μοι κατὰ τὸν παλαιὸν λόγον τὸ παρὸν εὖ ποιεῖν καὶ τοῦτο δέχεσθαι τὸ διδόμενον παρὰ σοῦ,* et tragici poetae versum fingit hunc: *⟨ἀλλ'⟩*

ἀνάγκη γ', ὡς ἔοικε, τὸ παρὸν εὖ ποιεῖν ⟨ἐμοί⟩. id quo iure faciat, alii videant.

433

ὡς πάντα πράγματ', ἣν καλὰς ἀρχὰς λάβῃ,
καλῶς τελευτᾶν καὶ μεσοῦν φιλεῖ βροτοῖς.

Proclus in Plat. Tim. II p. 103 B: ὡς ἅπαντα τὰ πράγματα, 'ἣν καλὰς — βροτοῖς'. v. 1 ὡς πάντα scripsi, aequo iure ἅπαντα scribi poterit.

434

. . . δῶρα καὶ θεοὺς παρήπαφεν.

Prov. Coisl. 177 in Paroem. Gott. vol. 1 p. 235: δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας — ὅμοιον τὸ 'δῶρα καὶ σοφοὺς (supra scr. γρ. θεοὺς) παρήπαφεν'. sine dubio θεοὺς praeferendum. praeter Hesiodeum versum (fr. 180 G.) cf. Eur. Med. 964: πείθειν δῶρα καὶ θεοὺς λόγος. Ovid. Art. am. 3, 635: *munera, crede mihi, capiunt hominesque deosque. placatur donis Iuppiter ipse datis.* adde versum graviter corruptum quem prodidit Clemens Alex. Strom. VI p. 743: δῶρα γὰρ ἀνθρώπων νόον ἤπαφεν ἠδὲ καὶ ἔργα, ubi requiritur δῶρα γὰρ ἀθανάτων νόον ἤπαφεν ἠδ' ἀνθρώπων. ceterum dubito num trimetro tragico conveniat παρήπαφεν verbum, cuius loco scripserim παρήγαγεν.

435

ἀλλ' ἕπου χώρας τρόποις.

Proverb. append. 1, 20 (Bodl. 190): ἄλλος που χώρας τρόποις· ὅτι δεῖ τὰ ἑκάστης χώρας ἔθη μιμεῖσθαι τὸν ἐν ἑκάστῃ (l. ἐν αὐτῇ) διατρίβοντα. Suidas: ἀλλ' ἕπου χώρας τρόποις· ὅτι δεῖ χώρας ἑκάστης, ἐν ᾗ ἄν τις γένηται, μιμεῖσθαι τὰ ἔθη.

436

δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα.

Proverb. append. 1, 100 (Coisl. 114): 'δοῦλε — καὶ ἄδικα'· ἐπὶ τῶν ἀπειθῶν δούλων. οἱ δὲ οὕτως αὐτὴν λέγουσιν 'κρεισσόνων γὰρ καὶ δίκαια καὶ ἄδικα ἔστ' ἀκούειν'. prior versus extat in Schol. Aesch. Choeph. 78, ubi item καὶ ἄδικα traditum est. cf. Diogenian. 2, 99: ἄρχων (ἀρχῶν K) ἄκουε καὶ δικαίως καὶ ἀδίκως (κἂν δίκῃ κἂν μὴ δίκῃ K)· ἐκ τῶν [τοῦ] Σόλωνος [ἐλεγείων] παραινετική. ubi τοῦ et ἐλεγείων deleverim, Solonis autem iambum hunc fuisse suspicor, ἀρχῶν ἄκουε κἂν δοκῇ κἂν μὴ δοκῇ.

437

κρεισσόνων γὰρ καὶ δίκαια κἄδικ' ἔστ' ἀκουστέα.

Proverb. append. 1, 100 (Coisl. 114), vide fr. 436. *κἄδικ' ἔστ' ἀκουστέα* (vel *ἀκουστέον*) restituit Schneidewin, cf. Soph. El. 340: *τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.*

438

μετὰ γὰρ νοσούντων, φασί, μαίνεσθαι καλόν.

Proverb. append. 3, 87 et Suidas: *μετὰ γὰρ νοσούντων μαίνεσθαι φασὶ καλόν· ὅτι χρὴ συνεξομοιοῦσθαι τοῖς παροῦσι.* ubi *γὰρ* et *τοῖς παροῦσι* om. Prov. app., *φασί* om. Suidas. versum restitui *φασὶ μαίνεσθαι* transponens. Men. Com. 4 p. 196: *οὐ πανταχοῦ τὸ φρόνιμον ἁρμόττει παρόν, καὶ συμμανῆναι δ' ἔνια δεῖ* (l. *ἐνίοθ' ἡδύ*). Seneca de tranq. an. c. 15, 16: *nam sive Graeco poetae credimus, aliquando et insanire iucundum est, sive Platoni, frustra poeticas fores conpos sui pepulit.*

439

πρὸς μάντιν οὐδεὶς εὐτυχὴς ἀπέρχεται.

Schol. Aesch. Agam. 1135: *παρὰ τὸ λεγόμενον ἐν τῇ συνηθείᾳ, οὐδεὶς εὐτυχὴς πρὸς μάντιν ἀπέρχεται.* versum restituit Stanley.

440

ταὐτὸ πρὸς τύμβον τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον.

Schol. Aesch. Choeph. 926: *ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην*] *παροιμίαν* (*παροιμία* M m. sec.) *εἶναι τοῦτο φασὶ πρὸς τύμβου* (*τύμβον* Robort.) *τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον.* prodi videtur versus tragicus. *παροιμία εἶναι ταὐτόν φησι* probabiliter correxit Hartung. *νήπιον* dubito num sanum sit, expectes *ἀνήμερον.*

441

τοῖς δευσοποιοῖς φαρμάκοις ξανθίζεται

Schol. Anthol. Pal. p. 826: *οὐ τέρπομαι τῷ τῶν ἱερείων αἵματι, ὁποῖα ἡ κάχλη, ὃ ἐστιν ἱερεῖον* (*ἔριον* coni. Iacobs), '*τοῖς — ξανθίζεται*'.

442

χρημάτων τε γάργαρα

Schol. Ar. Ach. 3: *ψαμμακοσιογάργαρα — καὶ ἐν τῇ τραγῳδίᾳ* '*χρημάτων τε γάργαρα*'. cf. Suid. v. *ψαμμακοσιογάργαρα.*

443

ἄλλος γυναικὸς κόσμος, ἄλλος ἀρσένων

Schol. Clem. Alex. p. 444, 21: παρὸ εἴρηται τὸ ʻἄλλος — ἀρρένων'. scripsi ἀρσένων.

444

γνησίων ἐπὶ σπορᾷ
παίδων

Schol. Eur. Andr. 4: παιδοποιός] adscriptum est in codice M ʻγνησίων ἐπὶ σπορᾷ παίδων' teste Cobeto, qui Euripidi haec verba tribuit. sic παίδων ἐπ' ἀρότῳ γνησίων Procopius Epist. 135 et alii, cf. Meinek. in Alciphr. p. 90 sq.

445

ἐν πρώτοις ἄγω

Schol. A Eur. Med. 1027: (ἀγῆλαι) δηλοῖ καὶ τὸ τιμῆσαι. ἄγειν γὰρ τὸ τιμῆσαι φησὶν ἐν πρώτοις ἐγώ· καὶ ʻἠγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος τῶν ἐκεῖ'. extrema Sophoclis sunt verba Oed. R. 775, in praegressis latere fragmentum tragicum vidit Schneidewin, qui ἐγώ in σ' ἄγω mutavit.

446

Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας.

Schol. B Il. *Α* 175: καὶ παροιμία ʻΖεὺς κατεῖδε — διφθέρας'. idem proverbium afferunt Zenob. 4, 11 Greg. Cypr. cod. Leid. 2, 19 cod. Mosq. 3, 53 Diogenianus 4, 95 a. ⟨ὁ⟩ Ζεὺς Valckenaer Diatr. p. 185. εἰς τὰς] ἐπὶ Diogen. Aeschyli esse versum coni. Valckenaer, tragoediae parum probabiliter abiudicat Bernhardy *Grundr. der griech. Litt.* ed. tert. vol. 1 p. 454. impugnare videtur hunc ipsum versum Eur. fr. 506.

447

ὡς αἰσχρόν ἐστι μὴ καλῶν ἀπ' ὀμμάτων
κλᾶον πρόσωπον καὶ δακρυρροοῦν ὁρᾶν.

Schol. BLT Il. *Β* 269: τὸ πρόσωπον τοῖς δάκρυσιν ἀμορφώσας, ʻὡς αἰσχρόν — ὁρᾶν'. v. 1 μὴ καλῶν BT, καὶ καλῶν ed. Bekker. καὶ καλῶν γε σωμάτων coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 32 sq. ex Euripidis Syleo locum esse petitum coni. Fritzsche in Ar. Thesm. p. 157.

448

θεὸς δ' ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται,
ἀλλ' ὡς λέβης τις μείζονος δεῖται πυρός.

. Schol. BLT Il. *Γ* 414: *τὸ ἀνεξίκακον δὲ τῆς θείας ἐδήλωσε φύσεως· 'θεὸς — πυρός'*. v. 1 *θεὸς δ'* scripsi, *θεὸς γὰρ* B, *ἡ θεὸς* T, *ὁ θεὸς* coni. Valckenaer in Eur. Hipp. 119, *σμικροῖς* B, *σμικροῖς ὀνείδεσιν* T. v. 2 *λέβης τις* T, *λέβης* B, *λέβης τοῦ* male Valckenaer.

449

ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλοῦ κακός.

Schol. A Il. *Η* 93: *καὶ παροιμία 'ὅ τοι — κακός'*. Eust. Il. p. 667, 41: *θρασὺς γὰρ πρὸς ἔργον ἐκ πολλοῦ κακός, κατὰ τὴν παροιμίαν.* num sana sit scriptura dubito etiam post ea quae dixit Gomperz *Beitr.* 3 p. 570. *ἐκπονεῖ κακῶς* coni. Methner progr. a. 1883 p. 6, *ἐκπονεῖν κακός* F. G. Schmidt *Krit. Stud.* 3 p. 33.

450

τραύματ' ἐξόπισθ' ἔχων
τῆς δειλίας σημεῖα κοὐχὶ τοῦ θράσους.

Schol. T Il. *Ν* 291: *καὶ ὁ Λυσίας τὸν Ἰφικράτην ποιεῖ* (sic Bekker, *οἴει* T) *λέγοντα 'τραύματα ἔχων οὐχ ἑτέρων ἐπ' ἐμὲ ἐρχομένων, ἀλλ' αὐτὸς ἐπιών'. ἀνδρογύνης καὶ ἔτ' ὀλίγα τραύματα ἐξόπισθεν ἔχων τῆς δειλίας σημεῖα καὶ οὐχὶ τοῦ θράσους.* poetae tragici aut comici fragmentum in extremis verbis latens agnovit Meineke Com. 4 p. 687. verba *ἀνδρογύνης καὶ ἔτ' ὀλίγα* nondum emendata, temptabam *ἀνδρογύνης καὶ τὸ λεγόμενον.* Preller Philol. 3 p. 522 coni. *Μένανδρος Ἀνδρογύνῃ ἢ Κρητί 'ὅλωλα τραύματ' ἐξόπισθ' ἔχων' κτέ.*

451

ἄνθρωπον ἦθος

Schol. A Il. *Ω* 58: *τοὺς δὲ Ἀττικοὺς καὶ Δωριέας τοῖς κυριωτέροις χρῆσθαι ἀντὶ κτητικῶν, Ἕλληνα στρατόν* (fort. Aesch. Pers. 452) *ἀντὶ τοῦ Ἑλληνικόν, καὶ ἄνθρωπον ἦθος ἀντὶ τοῦ ἀνθρώπινον, καὶ Ἑλλάδα διάλεκτον.* Eust. Il. p. 1339, 8: *Ἀττικοὶ γὰρ καὶ Δωριεῖς τοῖς κυριωτέροις χρῶνται ἀντὶ κτητικῶν, ὡς φασὶν οἱ παλαιοί, οἷον Ἕλληνα στρατόν τὸν Ἑλληνικόν, ἄνθρωπον ἦθος ἀντὶ τοῦ ἀνθρώπινον, Ἑλλάδα διάλεκτον, δοῦλον γένος* (Eur. Or. 1115), *Σκύθην οἶμον* (Aesch. Prom. 2).

452

ἥλιος,
ὅτου δι' αὐγῆς πάντα βλαστάνει βροτοῖς
φθίνει τε.

Schol. Q Od. σ 367: ἔστι δὲ ὅμοιον τῷ 'ἥλιος ὃς διὰ γῆς πάντα βλαστάνει βροτοῖς φθίνει τε'. v. 2 ὅτου restituit Heimsoeth, δι' αὐγῆς Lobeck in Soph. Ai. p. 90 ed. sec.

453

καὶ παιδὶ καὶ γέροντι προσφέρων τρόπους

Schol. Pind. Nem. 3, 127: λέγει δὲ οὐχ ὅτι γέρων ἦν τὴν ἡλικίαν οὐδὲ γὰρ (οὐδ' ἄρα malim) παῖς· ἀλλ' ὡς ὁ τραγικός 'καὶ παιδὶ — τρόπους', πάσῃ ὁμιλῆσαι ἡλικίᾳ δυνάμενος. προσφέρων vitiosum, προσφερὴς scribendum suspicor. τρόπον V.

454

σφαγὰς δὲ Δαναοῦ παρθένων Λυγκεὺς φυγὼν
Ἄβαντα φύει διάδοχον τυραννίδος.

Schol. Pind. Pyth. 8, 73: ὅτι δὲ Λυγκέως Ἄβας, ἐξ ἐκείνου δῆλον 'σφαγὰς — τυραννίδος'. locus Euripideae tragoediae prologum sapit, ut Boeckh iudicat.

455

ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά,
τὸν νοῦν ἔβλαψε πρῶτον ᾧ βουλεύεται.

Schol. Soph. Ant. 620: κλεινὸν ἔπος πέφανται τὸ 'ὅταν — βουλεύεται'. verbis 'ὅταν — πρῶτον' utitur Athenagoras Suppl. pro Christ. c. 26 p. 138, ubi δ' libri om.

456

μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος

Schol. Soph. El. 139: καὶ Αἰσχύλος 'μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ'. μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος. eadem Suidas v. πάγκοινος. verba μόνος οὐ δέχεται κτἑ. poetae sunt aut tragici aut lyrici. μόνος om. Suid. μοῦνος δ' οὐ δέχεται (ita A. Michaelis) γλυκερᾶς χάριτος μέρος vel μόνος οὐκ ἔχεται γλυκερᾶς μόρος ἐλπίδος temptat F. G. Schmidt *Krit. Stud.* 2 p. 171. Ἅιδης in fine supplet S. Mekler.

457

ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν λόγον.

Schol. Soph. El. 1437: *δι' ὠτὸς ἂν παῦρά γε· μὴ ἀνατεταμένως φθέγγεσθαι, ἀλλ' ἐλαφρῶς* (*ὡς* addit Wecklein) *ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν τὸν λόγον.* versum agnovit G. Wolff de Soph. schol. Laur. p. 24. *ἁπλῶς λέγειν δεῖ* coni. Heimsoeth, *ὀλίγον λαλεῖν δεῖ* F. G. Schmidt *Krit. Stud.* 3 p. 33.

458

ἀεὶ δ' ὁρῶντί τ' ὀξὺ καὶ τυφλὸς ἦν·
θυσίας γὰρ ἀπαρχὰς κρέας ἐπέμπομεν πατρὶ
. . περισσὸν ὦμον ἔκκριτον γέρας.
τὸ δή γε σῦν κόψαντες, οὐ μεμνημένοι,
λήσειν δοκοῦντες, ἀντὶ τοῦ κεκομμένου 5
ἐπέμψαμεν βόειον. ὃ δὲ λαβὼν χερὶ
ἔγνω ἐπαφήσας εἶπέ τ' ἐκ θυμοῦ τάδε·
τίς μοι τόδ' ἀντόμοιον μισητὸν κρέας
πέμπων; γέλωτα δή με ποιοῦνται κόροι
θύοντες ὕβρει· 'τυφλὸς οὔτι γνώσεται', 10
οὕτω λέγοντες. ὦ θεοί, μαρτύρομαι
ἐγὼ τάδ' ὑμᾶς καὶ κατεύχομαι κακὰ
αὐτοῖσιν ἀντὶ τῶνδε δὶς τόσα σχεθεῖν.
χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων χρόα
σφάξειαν ἀμφὶ κτήμασιν τυραννικοῖς. 15

Schol. Soph. Oed. C. 1375: *οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοί ποτε — ἰσχίον αὐτῷ ἔπεμψαν — καὶ ἔοικεν τὸ τῆς ἱστορίας ἥκειν ἐπὶ πολλούς, ὡς καὶ παρά τινι αὐτὰ κεκτῆσθαι* (*παρά τινι αὐτὰ ἐκτεθεῖσθαι* coni. Dindorf, *Πρατίναν αὐτὰ ἐκτίθεσθαι* Bergk, *παρὰ Τίμωνι αὐτὰ πεποιῆσθαι* Meineke, *παρά τινι μεταβεβλῆσθαι* ego malim) *πρὸς τὸ γελοιότερον διὰ τούτων 'ἀεὶ δ' — κτήμασι βασιλικοῖς'.* v. 1 *ἀεὶ δ', ὁρῶν γὰρ ὀξύ, καὶ τυφλός περ, ἦν* coni. Hermann, quod non sufficit. v. 2 *γὰρ* deleri iussit Hermann. *ἀπαρ* (supra scr. *χ*) L. *κρέας* Dindorf, *γέρας* L. v. 3 ⟨*ἀεὶ*⟩ *περισσὸν ὦμον* coni. Gomperz et Methner progr. a. 1883 p. 7. v. 4 *τὸ δή γε* verba interpolatoris videntur esse. *σῦν κόψαντες* scripsi, *συγκόψαντες* L. v. 5 *κεκομμένον* L. v. 8 *ἀντόμοιον* L, *ἀντ' ὤμοιο* Dindorf speciosius quam verius. Oedipus, ut ait Methner, non pro humero aliam hostiae partem, sed pro suilla carne bubulam acceperat. medelam vitii desidero. v. 9 *γέλωτα* Elmsley, *γέλω* L. v. 10 *φλύοντες* ego temptabam, *δολοῦντες* vel *φηλοῦντες* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 33. *οὔτι* Brunck, *οὔτοι* L. v. 13 *ἀντὶ* scripsi, *αὐτοὺς* L. *τόσσα σχέθειν* L. v. 15 *σφάξειαν* Elmsley, *σφάζοιεν* L.

κτήμασιν τυραννικοῖς Elmsley, *κτήμασι βασιλικοῖς* L. de auctore versuum docti dissentiunt. quod Dindorf contendit quinto sextove post Chr. n. saeculo hoc fragmentum deberi, vel exitu versuum refutatur. de comico poeta cogitavit Welcker Epici cycli 2 p. 337. rectius ex satyrico dramate versus desumptos esse iudicavit Elmsley in Eur. Med. p. 91.

459

⟨*ὡς*⟩ *ὁ μὴ τοὔργον δεδοικὼς οὐ δέδοικε τὸν λόγον.*

Schol. Soph. Oed. R. 296 (cf. Suid. v. *ᾧ μή ἐστι* et *τάρβη*): *ὁ μὴ τὸ ἔργον δεδοικὼς οὐδὲ τὸν λόγον.* versum agnovit Schneidewin, qui scribi voluit *ὁ μὴ δεδοικὼς τοὔργον οὐδὲ τὸν λόγον.* probabilius O. Hense Lect. Stob. p. 20, ⟨*ὡς*⟩ *ὁ μὴ τοὔργον δεδοικὼς οὐδὲ* ⟨*δέδιε*⟩ *τὸν λόγον.* pro *οὐδὲ δέδιε* praetuli *οὐ δέδοικε.*

460

καὶ τοῦτο τοὔπος ἐστὶν ἀνδρὸς ἔμφρονος,
ὅταν καλῶς πράσσῃ τις, ἐλπίζειν κακά.

Schol. Soph. Trach. 296: *γνωμολογεῖ ὁρῶσα τοὺς αἰχμαλώτους.* '*καὶ τοῦτο — κακά*'. v. 1 *εὔφρονος* L, *ἔμφρονος* Triclinius. v. 2 fortasse respicit Proclus in Hesiod. Op. 97: *ἀκυρολογοῦμεν λέγοντες* '*ἐλπίζειν κακά*'.

461

Seneca Epist. 115, 14: *nec apud Graecos tragicos desunt qui lucro innocentiam salutem opinionem bonam mutent:*

sine me vocari pessimum, ut dives vocer.
an dives omnes quaerimus, nemo an bonus.
non quare et unde, quid habeas tantum rogant.
ubique tanti quisque quantum habuit fuit.
quid habere nobis turpe sit quaeris? nihil. 5
aut dives opto vivere aut pauper mori.
bene moritur qui dum moritur lucrum facit.

v. 1 Graece servatus est (v. adesp. fr. 181, 1), ceteros ut indagarem non contigit. v. quartum sextum septimum sic reddiderim:

τοσοῦδ' ἕκαστος ὅσον ἔχει νομίζεται.
ἢ πλούσιος ζῆν ἢ πένης θανεῖν θέλω.
καλὸν τὸ θνήσκειν οἷς θανεῖν κέρδος φέρει.

cum v. 4 cf. Plut. de cupid. divit. c. 7 p. 526 C: *τοσούτου νόμιζε σεαυτὸν ἄξιον ὅσον ἂν ἔχῃς.* v. 7 haud dissimilis est Men. mon. 291: *καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν* (*οἷς τὸ ζῆν ὕβριν* Corp. Inscr. 3902 *r* vol. 3 p. 29 sive Epigr. Kaib. 426) *φέρει.* cf. Menandri et Philist. comp. 46: '*καλὸν τὸ θνήσκειν*' *ἔστιν ἐπὶ τούτῳ λέγειν.* quae

subicit Seneca, *pecunia ingens generis humani bonum,* Euripidea sunt (fr. 324).

462

δεινόν γε ταὐτὸν τοῖς μὲν ἀνδάνειν βροτῶν,
τοῖς δ' ἔχθος εἶναι.

Sextus Emp. p. 21, 4: *ἀλλὰ καὶ ἡ τραγῳδία μεστὴ τῶν τοιούτων ἐστί· λέγει γοῦν 'εἰ πᾶσι — ἔρις'* (Eur. Phoen. 499 sq.), *καὶ πάλιν 'δεινόν — εἶναι'.* Euripidi haec tribuit Valckenaer.

463

σωτῆρες εὐσέλμων νεῶν

Sextus Emp. p. 411, 1: *καὶ τούτῳ συμφωνεῖ τὸ τοὺς Διοσκούρους ἀγαθούς τινας εἶναι δαίμονας σωτῆρας εὐσέλμων νεῶν.*

464

κάλλιστα μουσῶν φθέγγεται πλουτῶν ἀνήρ.

Sextus Empir. p. 663, 30: *'κάλλιστα — ἀνήρ'.* idem versus legitur in Gnomol. cod. Vrbin. *K* 17 p. 436. *κάλλιστ' ἄμουσος* scribendum arbitror. poetae nomen Sextus non addidit, Euripidis esse versum inde coniecerunt, quod aliquot huius poetae loci praecedunt.

465

τολμῶ κατειπεῖν, μήποτ' οὐκ εἰσὶν θεοί·
κακοὶ γὰρ εὐτυχοῦντες ἐκπλήσσουσί με.

Simplicius in Epictet. p. 357: *καὶ χώραν διδόναι τῇ τραγῳδίᾳ λέγειν 'τολμῶ — με'.* eundem locum servavit Olympiod. in Plat. Gorg. *Archiv für Philol. u. Paedag.* vol. 14 p. 257. v. 1 *κατειπεῖν* Simpl., *γὰρ εἰπεῖν* Olymp. v. 2 *ἐπιπλήττουσί με* Simpl., *ἐκπλήττουσί με* Olymp., *ἐκπλήσσουσί με* Valckenaer de Aristob. Iud. p. 3, qui Euripidi locum tribuit.

466

σημεῖα γάρ τοι ταῦτα γίγνεσθαι φιλεῖ,
ὅταν τι ναοῖς ἐγκατασκήψῃ μύσος.

Socrates Hist. eccl. 7, 33 p. 375 D: *καί τις τῶν παρόντων οὐ καλὸν ἔλεγε σημαίνειν τὸν μολυσμὸν τοῦ ναοῦ, ἐπιλέγων ἀρχαίου τινὸς ποιητοῦ δύο ἰάμβους 'σημεῖα — μύσος'.* similiter Nicephorus Callistus Hist. eccl. 14, 32 vol. 2 p. 505 D. v. 1 *γὰρ τὰ τοιαῦτα* Socr., *καὶ γὰρ ταῦτα* Niceph., *γάρ τοι ταῦτα* scripsi. v. 2 *ἐν* Socr., *τι* Niceph.

467

Ἀκτίτου πέτρα

Steph. Byz. p. 64, 15: *Ἀκτή. οὕτως ἡ Ἀττικὴ ἐκαλεῖτο — τὸ ἐθνικὸν Ἀκταῖος — καὶ Ἀκτίτης, ἐξ οὗ τὸ 'Ἀκτίτου πέτρα' ἐν τῇ τραγῳδίᾳ ἀντὶ τοῦ Ἀττικοῦ. ἀκτίτ* RV, unde scripserim *'Ἀκτῖτις πέτρα' ἐν τῇ τραγῳδίᾳ ἀντὶ τοῦ Ἀττική.* cf. Soph. fr. 65.

468

Βαρκαῖον αἶπος

Steph. Byz. p. 159, 15: *Βάρκη, πόλις Λιβύης — Βαρκαῖον τὸν Λίβυν φασί. 'Βάρκαιον ἔπος'. αἶπος* restituit Meineke.

469

Φασιανὸν νάπος

Steph. Byz. p. 661, 5: *Φᾶσις, πόλις τῆς Αἴας πρὸς τῷ Φάσιδι ποταμῷ ἐν Κόλχοις — τὸ ἐθνικὸν Φασιάτης καὶ Φασιατικός καὶ Φασιανός — καὶ Φασιανή θηλυκὸν καὶ 'Φασιανὸν νάπος' οὐδετέρως.* verba *Φασιανὸν νάπος* ex Sophoclis Colchidibus petita esse coni. Meineke.

470

ἔπειτα πάσης Ἑλλάδος καὶ ξυμμάχων
βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον
θηρσίν θ' ὅμοιον. πρῶτα μὲν τὸν πάνσοφον
ἀριθμὸν ηὕρηκ' ἔξοχον σοφισμάτων.

Stob. Ecl. 1 prooem. coroll. 1 a p. 15, 12: *'ἔπειτα — σοφισμάτων'.* adhaerent haec loco Aeschyleo (Prom. 454—459). v. 3 et 4 fortasse respicit Plato Rei publ. VII p. 522 D (cuius verba repetit Theo Smyrn. Expos. rerum math. p. 4, 2): *παγγέλοιον οὖν, ἔφην, στρατηγὸν Ἀγαμέμνονα ἐν ταῖς τραγῳδίαις Παλαμήδης ἑκάστοτε ἀποφαίνει. ἢ οὐκ ἐννενόηκας ὅτι φησὶν ἀριθμὸν εὑρὼν τάς τε τάξεις τῷ στρατοπέδῳ καταστῆσαι ἐν Ἰλίῳ καὶ ἐξαριθμῆσαι ναῦς τε καὶ τἆλλα πάντα, ὡς πρὸ τοῦ ἀναριθμήτων ὄντων καὶ τοῦ Ἀγαμέμνονος, ὡς ἔοικεν, οὐδ' ὅσους πόδας εἶχεν εἰδότος, εἴπερ ἀριθμεῖν μὴ ἠπίστατο;* Platonem sequitur Aristides vol. 2 p. 340: *ὡς μὲν γὰρ ἡ τραγῳδία φησίν, οὐδὲ τῶν βοσκημάτων οὐδὲν διέφερον πρὶν ἐκείνῳ* (Palamedi) *συγγενέσθαι. οἳ δὲ τοσοῦτον ἀπεῖχον τοῦ σύμπαντας ἂν αὐτοὺς ἀριθμῆσαι ἢ τὰς ναῦς ὁπόσαι τινὲς ἦσαν ἃς ἦγον, ὥστ' οὐδ' ὁπόσοι τινὲς αὐτοῖς εἰσὶν οἱ βασιλεῖς ὅ τε Ἀγαμέμνων καὶ ὁ Μενέλαος ἔμελλον εὑρήσειν, οὐδέ γε, ὡς ἔοικεν, ἐκεῖνοι τοὺς αὑτῶν πόδας ἢ καὶ τὰς χεῖρας ἑκάτερος, μὴ ὅτι τὴν στρατιάν. ἀλλὰ ταῦτα μὲν Πλάτων τε*

ἡμῖν προσπαίζει τοὺς τραγικοὺς καὶ ἡμεῖς συνεπαίξαμεν. de verbis *οὐδὲ τῶν βοσκημάτων οὐδὲν διέφερον* inepte Schol. Aristid. p. 702: *τοῦτο ἐν Αἰσχύλῳ Προμηθεὺς λέγει περὶ τοῦ ἀνθρωπείου γένους.* recordabatur qui haec scripsit Aeschylei loci Prom. 452: *κατώρυχες δ' ἔναιον ὥστ' ἀήσυροι μύρμηκες ἄντρων ἐν μυχοῖς ἀνηλίοις.* Euripidis (cf. fr. 578) esse versus supra scriptos coni. **Hermann**, ad Aeschyli Palamedem probabilius refert C. Wachsmuth. cum v. 2 sq. cf. Eur. Suppl. 201: *βίοτον ἐκ πεφυρμένου καὶ θηριώδους — διεσταθμήσατο.* v. 4 *εὗρηκ'* libri. simillimus est Aesch. Prom. 459: *καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων ἐξηῦρον αὐτοῖς.*

471

ὁ γὰρ θεὸς μέγιστος ἀνθρώποις νόμος.

Stob. Ecl. 1, 1, 5 p. 24, 2: '*ὁ γὰρ — νόμος*'. *μόνος* P pr. fortasse scribendum *ὁ γὰρ νόμος μέγιστος ἀνθρώποις θεός.* etenim *νόμον πάντων βασιλέα* dixit Pindarus fr. 169, et *τὸ κρατοῦν πᾶν νομίζεσθαι θεόν* testatur Menander Com. 4 p. 144. cf. Dicaeog. fr. 5: *θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονῆς.* Soph. fr. 836, 2: *ἀλλ' ἡ φρόνησις ἀγαθὴ θεὸς μέγας.*

472

Ζεὺς ὁ καὶ ζωῆς καὶ θανάτου πείρατα νωμῶν

Stob. Ecl. 1, 1, 9 p. 24, 12: '*Ζεὺς — νωμῶν*'. lyrici poetae esse locum censet Meineke, qui *ζωᾶς* conicit. *ζωᾶς θανάτοιό τε πείρατα νωμῶν* O. Hense.

473

θεοῦ θέλοντος μετὰ πάντα γίγνεται.

Stob. Ecl. 1, 1, 13 a p. 27, 6: '*θεοῦ — γίγνεται*'. *εὖ τὰ πάντα γίγνεται* coni. Burges in Aesch. Suppl. p. 94, *δυνατὰ* (Philol. 4 p. 567) vel *ἀνυτὰ π. γ.* ego olim proposui, nunc *ῥᾶστα πάντα γίγνεται* malim.

474

τί δ' οὐ γένοιτ' ἂν θεοῦ ἐφιέντος τύχῃ;

Stob. Ecl. 1, 1, 13 b p. 27, 8: '*τί δ' — τύχη;*' *θεοῦ γ' ἐφιέντος* Wagner, fortasse *θεῶν ἐφιέντων* praestat. *τύχη* F, *τύχῃ* Gaisford.

475

γεννᾷ τὸ θεῖον εὐτυχῆ δωρήματα.

Stob. Ecl. 1, 1, 13 d p. 27, 12: '*γεννᾷ — δωρήματα*'. versum corruptum, cuius medelam desidero, tragici esse poetae coni. Wachsmuth.

476

Ζεὺς ἔσθ' ὁ πέμπων τὴν ἐφήμερον τροφήν.

Stob. Ecl. 1, 1, 13 e p. 27, 14: '*Ζεὺς — τροφήν*'.

477

ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ σθένει.

Stob. Ecl. 1, 1, 13 f p. 27, 16: '*ἄνευ — σθένει*'. *οὐδ' ἂν εἷς ἀνὴρ σθένοι* vel *οὐδὲν ἄνθρωπος σθένει* coni. Meineke.

478

θείᾳ προνοίᾳ πάντ' ἐγέννησεν φύσις.

Stob. Ecl. 1, 1, 13 g p. 27, 18: '*θείᾳ — φύσις*'.

479

θεὸς μόνος πέφυκεν ἐν βροτοῖς μέγας.

Stob. Ecl. 1, 1, 13 h p. 27, 20: '*θεὸς — μέγας*'.

480

πάντῃ πάρεστι πάντα τε βλέπει θεός.

Stob. Ecl. 1, 1, 16 p. 28, 5: '*πανταχοῦ πάρεστι καὶ βλέπει πάντα θεός*'. *πάντῃ πάρεστι* corr. Wachsmuth ex Men. mon. 698: *πάντῃ γάρ ἐστι πάντα τε βλέπει θεός.*

481

θνητοῖσιν ἀνθρώποισι καταφυγὴ θεοί,
[καὶ τἀμπλακήματ' ἔρχεται θεοὺς ἔπι]
ὅθεν λαβόντες αἱ κακῶς πεπραγότες
σωτηρίαν ἀπῆλθον ἐκ δυσπραξίας.

Stob. Ecl. 1, 1, 20 et 21 p. 28, 16: '*θνητοῖσιν — δυσπραξίας*'. v. 2 *θεὸς ἐπὶ* F, *θεοὺς ἔπι* Iacobs. versum mihi suspectum uncis inclusi.

482

νῦν οὐκέτι μοι δίχα θυμός,
ἀλλὰ σάφ' οἶδ' ὅτι πάντα βροτοῖς
Ζεὺς ἐπικάρσια τέμνει,
καθελὼν μὲν δοκέοντ',
ἀδόκητον δ' ἐξαείρων. 5

Stob. Ecl. 1, 1, 22 p. 29, 4: 'νῦν — ἐξαείρων'. v. 1 οὐκέτι Heeren, οὐκ ἔστι F. v. 2 σάφ' οἶδ' (vel σαφὴς λόγος ἔσθ') ὅτι Bergk Lyr. ed. tert. p. 1361, σαφὴς ὅτι F, σαφὴς ⟨φάτις ἔσθ'⟩ ὅτι Meineke. πάντα scripsi Philol. 6 p. 397 (idem postea Buecheler Mus. Rhen. 15 p. 309), καὶ τὰ F. βροτοῖς] βρότεια Meineke. v. 4 καθελὼν μὲν τὰ δοκοῦντ' Methner progr. a. 1883 p. 8. v. 5 ἀδόκητον δ' ἐπαείρων Heeren, ἀδόκιμα δ' ἐξαείρων Methner. Euripideos hos esse versus cum fr. 901 iungendos coni. Bergk.

483

ὁρῶ γὰρ χρόνῳ
δίκαν πάντ' ἄγουσαν εἰς φῶς βροτοῖς.

Stob. Ecl. 1, 3, 3 p. 53, 5: 'ὁρῶ — βροτοῖς'. temere Heeren huic incerti tragici loco lemma Εὐριπίδης Οἰδίποδι adscripsit ex ecloga 6 huius capitis desumptum. v. 2 φῶς Wagner, φάος FP.

484

φθείρει γὰρ ἡ πρόνοια τὴν ἀβουλίαν.

Stob. Ecl. 1, 3, 4 p. 53, 8: 'φθείρει — ἀβουλίαν'. εὐβουλίαν coni. C. Wachsmuth, ut edidit Wagner vol. 3 p. 224.

485

οὐχ εὕδει Διὸς
ὀφθαλμός, ἐγγὺς δ' ἐστὶ καίπερ ὢν πρόσω.

Stob. Ecl. 1, 3, 9 p. 53, 21: 'οὐχ — πόρρω'. v. 2 ἐγγὺς] ὀξὺς scribendum suspicor. πόρρω F, πόνω P, πρόσω Huschke Anal. crit. p. 265.

486

οὐ γάρ τις οὐδὲ χρημάτων ὑπεργέμων
νόμον μιαίνων ἀσφαλῶς γηράσεται,
ἀλλ' ἡμέρας ἢ νυκτὸς ἡ Δίκη ποτὲ
τῷ δυσσεβοῦντι σῖγ' ἔχουσ' ἐνήλατο.

Stob. Ecl. 1, 3, 10 p. 54, 2: 'οὐ γάρ — ἐνήλατο'. v. 1 οὔτε χρημάτων ὑπεργεγώς FP, corr. Erfurdt. tragico poetae Alexandrino locum tribuit Cobet N. L. p. 260.

487

τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς.

Stob. Ecl. 1, 3, 11 p. 54, 7: 'τὸ — θεούς'.

488

δαίμων βροτοῖσι πόλλ' ἀνευρίσκει κακά.

Stob. Ecl. 1, 3, 12 p. 54, 14: '*δαίμων — κακά*'. cf. Eur. fr. 267: *δεινὴ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά.*

489

λύπας μὲν ἀνθρώποισιν, ὦ γύναι, θεοὶ
τοῖσιν διδοῦσιν οὓς ἂν ἐχθαίρωσ', ἐπεὶ
οὔ σφιν πονηρόν ἐστιν

Stob. Ecl. 1, 3, 14 b p. 54, 22: '*αὔτας μὲν — ἐστιν*'. in libris haec cohaerent cum Eur. fr. 506. v. 1 *αὔτας* FP pr. m., *ταύτας* P m. sec., *λύπας* scripsi. v. 2 *τοῖσι* FP, *τίσεις* Grotius, fort. *πᾶσιν* leg. num veteris poetae sit locus, propter *διδοῦσιν* formam dubitat Cobet *Λογ. Ἑρμ.* 1 p. 346.

490

τιμωρίαν ἔτεισεν ὧν ἔρξεν κακῶν.

Stob. Ecl. 1, 3, 15 b p. 55, 4: '*τιμωρίαν — κακῶν*'. versus in libris cohaeret cum Eur. fr. 835, a quo separavit Wecklein *Stud. zu Eur.* p. 355 sq. *ἔτεισεν* scripsi, *ἔτισεν* FP. *ἔρξεν* Wecklein, *ἦρξε* FP.

491

ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν.

Stob. Ecl. 1, 3, 16 p. 55, 6: '*ὀξὺς — ἰδεῖν*'. idem versus extat in Men. mon. 695. *εἰς τὰ πάντ'*] *ἔσθ' ἅπαντ'* malim. *πάντ' ἰδεῖν*] *πάνθ' ὁρᾶν* Men. mon. *ὥστε πάνθ' ὁρᾶν* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 85, fortasse *ὃς τὰ πάνθ' ὁρᾷ* praeferendum coll. adesp. fr. 421.

492

ἔσθ', ὡς ἔοικεν, ἔστιν οὐχ ὁρώμενον
τοῖς ζῶσιν ἡμῖν οὐδὲ προσδοκώμενον
δαιμόνιον, ᾧ μέλει τι τοῦ θνητοῦ βίου.

Stob. Ecl. 1, 3, 17 p. 55, 8: '*ἔσθ' ὡς — βίου*'. v. 1 *ἔσθ' ὡς* P m. sec., *ἑστὼς* FP pr. v. 3 *μέλλει* FP. *τὶ* FP, *τὰ* Heeren.

493

ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην
εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ·
ἑξῆς δ' ὀπαδεῖ δόχμιον, ἄλλοθ' ὕστερον.

Stob. Ecl. 1, 3, 28 p. 57, 8: 'ὁρᾷς — ὕστερον'. eosdem versus habet Theophilus ad Autol. 2, 37 p. 178. nulla erat ratio cur Aeschylo tribuerentur (cf. quae diximus in Aesch. fr. 22). v. 1 ἄνανδον Stobaei F, ἄναβδον P pr. m., ἄναυδον P sec. m. et Theoph. ἄναυδον εἰσορμωμένην coni. Meineke *Jahrb. f. Philol.* vol. 87 p. 383. v. 2 στίχοντι καθημένῳ Theoph. v. 1 et 2 ὁρᾷ δίκη σ' ἄναυδος οὐχ ὁρωμένη εὕδοντα καὶ στείχοντα καὶ καθήμενον coni. Herwerden Exerc. crit. p. 7. v. 3 δ' om. Theoph. ὀπηδεῖ Stob., ὀπάζει Theoph., ὀπαδεῖ scripsi. δόχμιον Stob., δόγμιον Theoph. ἄλλοθ' Grotius, ἄλλο δ' Stob., ἄλλο δὲ Theoph. versus nondum emendatus. subiciunt Stobaeus et Theophilus haec: οὐδὲν καλύπτει (οὐκ ἐγκαλύπτει Theoph., οὐδὲν καλυπτὸν coni. O. Hense) τῶν (νὺξ Theoph.) κακῶς εἰργασμένων (εἰργασμένον Theoph.), ὅτι δ' (δ' om. Theoph.) ἂν ποιῇς ἀεὶ (δεινὸν Theoph.) νόμιζ' ὁρᾶν τινα (τινας Stob.), quae Menandri esse coni. Hermann. Meineke priorem versum tragico poetae tribuit, comico alterum.

494

οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος.

Stob. Ecl. 1, 3, 39 p. 59, 10: 'οὐδεὶς — ἐχέγγυος'. quod editores praefigunt lemma *Εὐριπίδου Πολυείδῳ* in FP ad eclogae 40 v. 3 adscriptum est, v. Eur. fr. 645.

495

μόνη ἐστὶν ἀπαραίτητος ἀνθρώποις Δίκη.

Stob. Ecl. 1, 3, 41 p. 60, 2: 'μόνοις — Δίκη'. μόνοις τιν ἀπαραίτητος F, μόνοις τινὰ παραίτητος P pr. m., μόνη 'στιν ἀπαραίτητος P sec. m. ἀνθρώποις] ἐν θεοῖς coni. Herwerden Exerc. crit. p. 87 sq.

496

μὴ μουσοποίει πρὸς τὸ νηπιώτερον·
πόρρω γὰρ ἑστὼς ὁ θεὸς ἐγγύθεν βλέπει.

Stob. Ecl. 1, 3, 42 p. 60, 4: 'μὴ — κλύει'. v. 1 μὴ ... σοποίει P pr. m., μηδὲν σὺ ποίει P sec. m., μήπου σὺ ποίει Heeren, μή μοι σὺ ποίει Meineke, μὴ θεοῖς ὁμοιοῦ Methner diss. p. 4. v. 2 habet Plut. adv. Coloten c. 30 p. 1124 F. πέλας γὰρ Plut., πόρρω γὰρ Stob., πρόσω γὰρ Meineke, ἑκὰς γὰρ Valckenaer Diatr. p. 33. βλέπει Plut., κλύει Stob.

497

ὅστις λέγει κάκ' εὖ φρονῶν σιγῇ στένει.

Stob. Ecl. 1, 3, 43 p. 60, 7: 'ὅστις — στένει'. κακὰν φρονῶν FP, κάκ' ἀφρονῶν Gaisford, κάκ' εὖ φρονῶν ego praetuli, nec tamen

hoc sufficit. ὅστις γ' ἔχει κάκ', εὖ φρονῶν σιγῇ στέγει proposuit F. G. Schmidt Anal. Soph. p. 75.

498

ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.

Stob. Ecl. 1, 3, 44 p. 60, 9: 'ἄγει — δίκην'. idem versus extat in Men. mon. 14 et Vit. Aesop. p. 46, 9. cf. Nilus in Boissonadii Anecd. vol. 4 p. 438: ἄγει τὸ θεῖον τοὺς πονηροὺς εἰς δίκην.

499

τὸ δὲ θεῶν κράτος μέγα κατ' ἀνθρώπους·
ἄφρονες δ' ὁπόσοι τὸ δίκαιον ἄγουσ'
ὑπὸ τᾶς ἀδίκου βιοτᾶς ἀφανές·
μέγα γὰρ ὄμμα δαιμόνων, οἷς τίνουσ'
ἀμοιβὰς κακῶν. 5

Stob. Ecl. 1, 3, 45 p. 60, 11: 'τὸ δὲ — κακῶν'. v. 2 et 3 offensioni sunt dochmiis interpositi anapaesti. unde Methner progr. a. 1883 p. 9 duo fragmenta afferri existimat, quorum unum efficiatur versibus 2 et 3, ceteris alterum. v. 3 τὰς ἀδίκου βιοτὰς FP, τᾶς ἀδίκου βιοτᾶς Heeren. v. 4 διορᾷ γὰρ coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 33, fortasse ὀξὺ γὰρ legendum.

500

Δίκας δ' ἐξέλαμψε θεῖον φάος

Stob. Ecl. 1, 3, 48 b p. 61, 6: 'Δίκας — φάος'. cohaeret hic versus in libris cum Soph. fr. 877, a quo separavit Seidler. ἐξέλαμψεν ὅσιον FP, ἐξέλαμψε θεῖον Cobet V. L. p. 9.

501

ὁσίᾳ δ' ἀνάγκη πολεμιωτάτη θεός.

Stob. Ecl. 1, 4, 2 d p. 71, 6: 'ὁσία — θεός'. ὁσία FP, ὁσίᾳ scripsi.

502

οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος.

Stob. Ecl. 1, 4, 2 e p. 71, 8: 'οὐδεὶς — νόμος'. ἀνάγκη P pr. m.

503

μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται
μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν, ἀλλ' αὐτὴ κρατεῖ.

Stob. Ecl. 1, 5, 8 p. 76, 4: 'μόνη — κρατεῖ'. v. 2 οὐδ' ἐν Grotius, οὐδὲ FP. αὐτὴ scripsi, αὐτῆς F, αὐτῆς P.

504

ὦ μοῖρα κεδνῶν καὶ κακῶν κυνηγέτι

Stob. Ecl. 1, 5, 9 p. 76, 7: 'ὦ — κυνηγέτι'.

505

ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ' ἐπισκοποῦσ' ⟨ἀεὶ⟩
καὶ νέμουσ' ἡμῶν ἑκάστῳ τὴν κατ' ἀξίαν τύχη
[μερίδα]

Stob. Ecl. 1, 6, 6 p. 85, 2: 'ἡ τὰ — μερίδα'. v. 1 ἐπισκόπ^ F, ἐπί..κοα. P, ἐπισκοποῦσα coni. cod. Vat., ἐπισκοποῦσ' ἀεὶ Iacobs. v. 3 μερίδα tanquam glossema delet Iacobs.

506

πάντων τύραννος ἡ τύχη ἐστὶ τῶν θεῶν,
τὰ δ' ἄλλ' ὀνόματα ταῦτα πρόσκειται μάτην·
μόνη διοικεῖ γοῦν ἅπανθ' ἣ βούλεται.

Stob. Ecl. 1, 6, 16 p. 87, 5: 'πάντων — βούλεται'. Aeschylo hos versus adscripsit C. Wachsmuth huc revocato lemmate αἰσχύλου (sic P, ισχύλου F), quod eclogae 12 F in margine, eclogae 13 in textu P apponit. v. 2 ἄλλα FP. ὀνόματα πάντα coni. Gomperz *Herodot. Stud.* 2 p. 557, qui nunc ὀνόματα γαῦρα praefert *Nachl.* p. 51 sq.). an ὀνόματα μοῦνα leg.? v. 3 μόνη διοικεῖν οὖν ἅπαντα βούλεται FP, γοῦν ego scripsi, cetera emendavit V. Iernstedt.

507

ὦ δέσποτ' ἄναξ ἔστι τοῖς σοφοῖς βροτῶν
χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι.

Stob. Ecl. 1, 8, 9 p. 95, 2: τοῦ αὐτοῦ (Menandri locus praecedit). 'ὦ δέσποτ' — πέρι'. non Menandri, sed tragici poetae hos esse versus recte iudicavit Meineke Com. 4 p. 292 et p. XIII (cf. quae supra diximus in Critiae fr. 2 p. 774). v. 1 ὦ δέσποτ', ἄξι' ἐστὶ coni. L. Dindorf Thes. Gr. L. 2 p. 1015, ὦ δέσποτ' ἄναξ, ἔξεστι Cobet N. L. p. 52 sq., ego ὦ δέσποτ', ἆρ' ἔξεστι olim proposui.

508

μετὰ τὴν σκιὰν τάχιστα γηράσκει χρόνος.

Stob. Ecl. 1, 8, 11 p. 95, 7: 'μετὰ — χρόνος'. mira haec est

sententia, atque in summa similitudine vehementer discrepat Men. mon. 347: *μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις.* cf. Stob. Ecl. 2, 46, 13 p. 261, 21: *Διογένης ἐρωτηθεὶς τί τάχιστα γηράσκει παρ' ἀνθρώποις, εἶπε 'χάρις'.*

509

χρόνος αὖ χρόνος ἅμα κραταιᾷ
χρημοσύνᾳ βίου
πόλλ' ἀνευρίσκει σοφὰ μαιομένοις.

Stob. Ecl. 1, 8, 18 p. 96, 11: '*χρόνος αὖ — μαιομένοις*'. quod in P adscriptum est *Σοφοκλέους* ad praegressam eclogam referendum esse docuit Wachsmuth. v. 1 *αὖ χρόνος* F, *αὖ χαρὸν* P, *ὦ Χρόν'* Wachsmuth (*Χρόν'* Vsenero auctore). ego malim *χρόνος αὖ χρόνος ἅ τε κραταιὰ χρημοσύνα.* v. 2 *χρημοσύνᾳ* Ellendt Lex. Soph. 2 p. 966, *τερμοσύνα* FP. *βίου* FP, *βιότου* Dindorf. v. 3 *ἀνευρίσκει* F, *ἂν εὑρίσκει* P, *ἀνευρίσκεις* Vsener.

510

οὐκ ἔστι πράσσοντάς τι μοχθηρὸν λαθεῖν·
ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ.

Stob. Ecl. 1, 8, 19 p. 97, 2: '*οὐκ — ὁρᾷ*'. vulgo ad hos versus referunt lemma *εὐριπδ' πινελόπ* (unde Musgrave *Μελανίππῃ* effecit) in codice P ad eclogam 20 adscriptum, ubi F in margine lemma praebet *εὐριπδ'ο* with *λ'* written above (cf. quae diximus in Eur. fr. 112). v. 1 *πράττοντάς τι* FP. v. 2 *ὀξὺς* I. Hilberg *Princip d. Silbenwägung* p. 216. *ὁ χρόνος*] *ὁ θεὸς* scribendum suspicor.

511

χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει.

Stob. Ecl. 1, 8, 26 p. 98, 4: '*χρόνος — ἄγει*'. idem versus legitur in Men. mon. 592. olim huc relatum est lemma *Φιλήμονος*, quod Stobaei F praebet scriptum ita ut et ad ecl. 28 et ad 29 pertinere possit. *εἰς φάος* Stob., *πρὸς φῶς* Men. mon., *πρὸς ⟨τὸ⟩ φῶς* Meineke. gravior videtur corruptela. ego *πάνθ' ⟨ἁπλῶς⟩ εἰς φῶς ἄγει* temptabam, *πάντ' ⟨ἀεὶ⟩ πρὸς φῶς ἄγει* coni. Kock Com. Att. fr. vol. 2 p. 530.

512

ἀλλὰ ταῦτα μὲν χρόνος
δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής.

Stob. Ecl. 1, 8, 27 p. 98, 6: '*ἀλλὰ — κριτής*'.

513

ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί·
οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.

Stob. Ecl. 2, 7, 13 p. 121, 12: *τὰς τοιαύτας φωνάς* '*ἐμοῦ θανόντος — καλῶς ἔχει*'. iidem versus cum lemmate *ἄδηλον* extant in Anthol. Pal. 7, 704. v. 1 habent Sueton. Ner. c. 38 Dio Cass. 58, 23 (Iohannes Antioch. in Muelleri Fragm. Hist. vol. 4 p. 570 Zonar. Annal. 11, 3 vol. 2 p. 443, 13 Suid. v. *Τιβέριος*) Prov. append. 2, 56 Anecd. Paris. vol. 1 p. 398, 29. cf. Cic. de fin. 3, 19, 64: *vox inhumana et scelerata ducitur eorum qui negant se recusare quominus ipsis mortuis terrarum omnium deflagratio consequatur, quod vulgari quodam versu Graeco pronuntiari solet.* Senec. de clem. 2, 2: *cui Graecus versus similis est* ⟨*eius*⟩ *qui se mortuo terram misceri ignibus iubet.* *μειχθήτω* malim. v. 2 recurrit in Iulian. Or. VIII p. 242 B: *δάκνομαι ὅτι σοι τῶν ἄλλων ἕνεκα λέγειν δυναμένῳ* '*οὐθὲν — ἔχει*', *μόνος εἰμὶ λύπης αἴτιος.* *οὐθὲν* Iulianus et Stob., *οὐδὲν* Anthol.

514

τῷ λόγῳ μὲν εὖ διέρχῃ πάντα, τῷ δ' ἔργῳ κακῶς.

Stob. Ecl. 2, 15, 18 p. 188, 12: '*τῷ λόγῳ — κακῶς*'. eclogam unus servavit L.

515

καὶ τῷδε δηλώσαιμ' ἄν, εἰ βούλοιο σύ,
τἀληθές, ὡς ἔγωγε καὐτὸς ἄχθομαι,
ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται,
τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο.

Stob. Ecl. 2, 15, 25 a p. 189, 15: '*καὶ τῷδε — παρέσχετο*'. ecloga in uno L servata cohaeret vulgo cum Eur. fr. 812, a quo disiunxit Boissonade. v. 3 et 4 sine lemmate recurrunt in Stob. Flor. cod. L (vol. 4 p. 180, 19 ed. Mein.). v. 1 *δηλώσαιμ' ἕν, εἰ βούλοιο εὖ σύ* cod., corr. Gaisford. Euripidis esse versus probabiliter coni. O. Hense.

516

μελέτη χρονισθεῖσ' εἰς φύσιν καθίσταται.

Stob. Ecl. 2, 31, 10 p. 202, 4 (eclogam habet L). *παροιμία.* '*μελέτη — καθίσταται*'. Stob. Ecl. 2, 7, 11 m p. 107, 20: *καὶ τὸ ἐν ταῖς παροιμίαις λεγόμενον τοῦτο παρεδέξαντο* '*μελέτη — καθίσταται*'. *χρονισθεῖσα* utrobique Stob.

516 a

ἀεί τι βούλου χρήσιμον προσμανθάνειν.

Stob. Ecl. 2, 31, 16 a p. 204, 22 (eclogam servavit L): '*ἀεί — προσμανθάνειν*'. versus cohaeret vulgo cum Soph. fr. 632.

517

ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς.

Stob. Flor. 3, 1, vide Aeschyli fr. 390. cum verbis *μὴ παρὼν ἀπῇς* Gomperz comparat Eur. fr. 519, 2. adde Ar. Eq. 1120.

518

οὐχ ὡς νομίζεις, τὸ φρονεῖν εἶπας κακῶς.
τό τοι κράτιστον πανταχοῦ τιμητέον.

Stob. Flor. 3, 17: '*οὐχ — τιμητέον*'. *ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει.* vide quae diximus de his versibus in Chaerem. fr. 23 p. 788. v. 1 *τό γε φρονεῖν* coni. Hermann *Zeitschr. f. d. Alt.* 1843 p. 638. v. 1 et 3 inter se cohaerere voluit Lehrs Mus. Rhen. 30 p. 100 ita scriptos: *οὐχ, ὡς νομίζεις, εὖ φρονῶν εἶπας κακῶς· ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει.* cum v. 2 cf. Tzetz. iamb. 143 p. 514 ed. Kiessl.: *οὕτω τὰ κρείττω πανταχοῦ τιμητέα.*

519

οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν.

Stob. Flor. 4, 15, quem locum attulimus in Chaerem. fr. 25. Aeschyli esse hunc versum coni. Hermann, cf. quae diximus p. 84.

520

ἔμβα, πορθμίδος ἔρμα.

Teles in Stob. Flor. 5, 67 p. 161 ed. Gaisf. (p. 127, 11 Mein.): *ὥσπερ ἐκ συμποσίου ἀπαλλάττομαι οὐθὲν δυσχεραίνων, οὕτω καὶ ἐκ τοῦ βίου, ὅταν ὥρα ᾖ· 'ἔμβα πορθμίδος ἔρυμα'.* traditum *ἔρυμα* in *ἔρμα* mutavi. tragici poetae verba agnoscere sibi visus est Gaisford, ad Timothei Niobam locum rettulit Bergk Lyr. 3 p. 621.

521

θάλλουσα λυπῇ τοὺς ἄγαν ὑπέρφρονας

Stob. Flor. 5, 127: '*θάλλουσα — ὑπέρφρονας*'. versum lemmate carentem loco Platonis subicit Trinc., om. SMA. *βλάπτουσι λῦπαι* coni. Heimsoeth, *σφάλλουσιν ἆται* vel *σφάλλουσι λῦμαι* F. G. Schmidt Sat. crit. p. 12 sive *Krit. Stud.* 3 p. 33 sq., *σφάλλουσι λῦπαι* Wecklein *Stud. zu Eur.* p. 446.

522

ὅσοι δὲ φιλοσοφοῦντες ἐκμοχθοῦσί τι,
ἐνταῦθ' ὑπάρχει τῷ βίῳ γαστρὸς κρατεῖν·
διδάσκαλος γὰρ ηὐτέλεια τῶν σοφῶν
καὶ τῶν ἀρίστων γίγνεται βουλευμάτων.

Stob. Flor. 17, 5 et 6: '*ὅσοι — βουλευμάτων*'. eclogam sine lemmate habet S, om. MA. v. 2 *τοῦ βίου* coni. F. G. Schmidt *Krit. Stud.* 3 p. 34. v. 3 et 4 a praegressis male diremit Grotius. v. 3 *γὰρ οὖσα ἡ εὐτέλεια* S, *γὰρ εὐτέλεια* Grotius. respicit Philostr. V. Apoll. Tyan. 6, 10: *εὐτέλεια γὰρ διδάσκαλος μὲν σοφίας, διδάσκαλος δὲ ἀληθείας.* v. 4 *γίνεται* S.

523

πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.

Stob. Flor. 20, 12, v. Eur. fr. 259.

524

ἐν τοῖς κακοῖσι δ' εὐγένει' ὅταν παρῇ
τραχεῖα κὠξύθυμος, ἀμαθίαν ἔχει.

Stob. Flor. 20, 40: '*ἐν τοῖς — ἔχει*'. eclogam habet S, om. MA. v. 1 *κακοῖσι δ' ηὑγένει'* O. Hense, *κακοῖσι γὰρ ἡ εὐγένεια* S. v. 2 *καὶ ὀξύθυμος* S. videntur versus esse Euripidis, cuius praecedit fr. 1039.

525

ἀφροδίσιος ⟨*γὰρ*⟩ *ὅρκος οὐκ ἐμποίνιμος.*

Stob. Flor. 28, 2 (eclogam lemmate carentem praebet LSMA, cohaeret versus cum praegr. in LM): '*ἀφροδίσιος — ἐμποίνιμος*'. *γὰρ* addidit Grotius, omittunt et Stobaeus et qui eundem versum habent Schol. Plat. p. 959 a 18 Diogenianus 3, 37 Greg. Cypr. 1, 2 Greg. Cypr. Leid. 1, 1 Macar. 2, 69 Phot. Lex. v. *ταχυβάμονας ὅρκους* p. 572, 12 Suidas v. *ἀφροδίσιον* et *ταχυβάμονας ὅρκους*. respicit hunc versum Plat. Sympos. p. 183 B (Stob. Flor. 63, 30 Cyrill. c. Iul. VI p. 187 C): *ἀφροδίσιον γὰρ ὅρκον οὔ φασιν εἶναι ἐμποίνιμον*, quo spectat Phot. Lex. p. 359, 7: *οὐκ ἐμποίνιμον· οὐ δόκιμον.* adde Cornut. Theol. Gr. comp. c. 24 p. 46, 6: *ἀκύρους δὲ καὶ οὐκ ἐμποινίμους τοὺς ἀφροδισίους ὅρκους ἔφασαν εἶναι.* Publil. Syr. Sent. 38: *amantis ius iurandum poenam non habet.* Sophoclis esse versum ex Stobaei codice L, ubi subicitur ecloga 5 lemmate et ipsa carens, probabiliter colligit O. Hense.

526

ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

Stob. Flor. 29, 27: '*ἅπανθ'* — *πόθος*'. ecloga lemmate carens cum praegressa cohaeret in SMA, separavit Gesner. *πόθος* SMA, *πόνος* Valckenaer.

527

θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

Stob. Flor. 30, 6, vide Soph. fr. 287. *δὲ* SM, *γὰρ* A. *δὲ τοῖς ἀργοῖσιν* Men. mon. 242, *δ' ἁμαρτάνουσιν* Men. mon. 252.

528

κακὸν γὰρ αἰδώς, ἔνθα τἀναιδὲς κρατεῖ.

Stob. Flor. 32, 3: *Διφίλου. οὐκ ἔστ' ἀναιδοῦς ζῷον εὐθαρσέστερον.* '*κακὴ γὰρ* — *κρατεῖ*'. eclogam cum Diphili versu coniunctam praebent LSM, om. A. duo esse fragmenta et alterum poetae tragici recte iudicat Meineke Com. 4 p. 425. *κακὸν* Herwerden Exerc. crit. p. 90, *κακὴ* libri. *τἀναιδὲς* Valckenaer in Eur. Hipp. 385, *γ' ἀναιδὲς* libri.

529

αἰσχρόν γ' ὅταν τις ἐπὶ γλώσσῃ φυεὶς
γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

Stob. Flor. 36, 12: *Μενάνδρου* (sic SMA). '*αἰσχρόν* — *λόγους*'. v. 1 *ἐπὶ γλώσσῃ φυεὶς* verba desperata. *εὐεπὴς γλώσσῃ φυεὶς* coni. Valckenaer Diatr. p. 262 (at *φυεὶς* vitiosum), *εὐεπὴς γεγὼς φύσει* Herwerden Mnem. nov. 6 p. 79, *νοῦν ἐπὶ γλώσσῃ φορῶν* ego temptabam *Mél. Gréco-Rom.* 3 p. 47 sq. *αἰσχρόν γ' ὅταν ⟨λέγειν⟩ τις εὐφυὴς γεγὼς* proponit F. G. Schmidt *Krit. Stud.* 3 p. 34 sq. non Menandri, sed tragici poetae esse locum agnovit Valckenaer, cf. Dobree Adv. 2 p. 281.

530

ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον.

Stob. Flor. 38, 2: '*ἀεὶ* — *φθόνον*'. versum vulgo Dionysio tribuunt, cuius fragmento 7 adhaesit in SMA. *κέκτηνται* A.

531

ἅπαν τὸ λίαν συνετόν ἐστ' ἐπίφθονον.

Stob. Flor. 38, 2: '*ἅπαν* — *ἐπίφθονον*'. cohaeret hic versus cum adesp. fr. 530 in SMA, separavit Grotius. *λίην* A. *τὸ λίαν σεμνὸν* coni. F. G. Schmidt *Krit. Stud.* 2 p. 308.

532

ἀδικώτατον πρᾶγμ' ἐστὶ τῶν πάντων φθόνος.

Stob. Flor. 38, 4: 'ἀδικώτατον — φθόνος'. cohaeret ecloga cum praegressa in SMA, separavit Grotius.

533

εἰσίν τινες νῦν οὓς τὸ βασκαίνειν τρέφει.

Stob. Flor. 38, 6: 'εἰσίν — τρέφει'. vide quae dixi in Dionysii fr. 8 p. 795.

534

οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς,
οὐδ' εἰ φθόνου γένοιτο δυσμενέστερος.

Stob. Flor. 38, 16: 'οὐδεὶς — δυσμενέστερος'. eclogam a praegressis versibus separavit Gesner.

535

χρὴ δ' ἢ λέγειν τι χρηστὸν ἢ λέγουσιν εὖ
μὴ δυσμεναίνειν τῷ φθόνῳ νικώμενον.

Stob. Flor. 38, 17: 'χρὴ — νικώμενον'. ecloga cum praegressis versibus cohaeret in SMA, separavit Gesner.

536

σὺ δ' ἐγγενὴς ὢν τήνδε δουλώσας ἔχεις.

Teles in Stob. Flor. 40, 8 p. 84 ed. Gaisf. (p. 68, 16 Mein.): *ἀλλὰ καὶ ὅτι μέτοικος ὀνειδίζουσι δὲ πολλοὶ* (*ὀνειδίζουσιν οἱ πολλοὶ* coni. Iacobs, *ὀνειδίζουσιν οἱ ἐν πόλει* O. Hense) *λέγοντες, μέτοικε* (sic SMA, *μέτοικε λέγοντες* L) *σὺ δ' εὐγενὴς ὢν τήνδε δουλώσας ἔχεις.* in extremis verbis senarium agnovit Valckenaer, qui *εὐγενὴς* in *ἐγγενὴς* mutavit. *μέτοικε σύ,* | *οὐδ' εὐγενὴς ὢν* coni. Iacobs Lect. Stob. p. 76, *οὐδ' ἐγγενὴς ὢν* Emperius Opusc. p. 240.

537

κρεῖττόν τ' ἀμύνειν· κατθανεῖν γὰρ εὐκλεῶς
ἢ ζῆν θέλοιμ' ἂν δυσκλεῶς γε κατθανών.

Stob. Flor. 51, 13: 'κρεῖττόν — κατθανών'. cohaerent versus in SMA cum loco Eur. Andromachae, separavit Gaisford. petita haec esse ex Euripidis Andromeda coni. O. Hense. v. 1 *κρεῖσσόν γ' ἀμύνειν* scripserim. v. 2 *δυσκλεῶς τε κἀφανῶς* probabiliter coni. R. Prinz Mus. Rhen. 29 p. 357.

538

τὸ νέον ἅπαν ὑψηλόν ἐστι καὶ θρασύ.

Stob. Flor. 52, 8: ʻτὸ νέον — θρασύʼ. eclogam praebent LSMA, lemma om. L, τοῦ αὐτοῦ S (ubi praecedit Μητροδώρου. ʻνέος φιλοδοξῶν πρώιμος πονηρίαʼ), Μητροδώρου MA.

539

γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις τροφοί.

Stob. Flor. 54, 1: ʻγνῶμαι — τροφοίʼ. fr. 539 et 540 in SMA cohaerent. versum, quem Sophocli tribuunt Trinc. et Gesner, Euripideum esse coni. O. Hense. verba τῶν ἐν ἀνθρώποις identidem ab Euripide iungi observavit Fr. Schroeder de iteratis apud trag. Gr. p. 10 et 82 (v. Eur. Hec. 805 Med. 471 fr. 403, 7 fr. 1048, 1. cf. Chaerem. fr. 21, 1 Moschion. fr. 8, 4).

540

βουλαὶ τάδʼ ἐξέπραξαν, οὐ χερῶν σθένος.

Stob. Flor. 54, 2: ʻβουλαὶ — σθένοςʼ. hunc versum ab adesp. fr. 539 separavit Gesner, Euripidi tribuit O. Hense.

541

εἰ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν
νώτισμα θηρός· εἰ δὲ πρὸς νέφη βάλοι,
κυανωπὸν ὥς τις Ἶρις ἀντηύγει σέλας.

Plut. in Stob. Flor. 64, 31: καὶ ἡ Σφὶγξ (sic A, ἡ om. SM) εἶχεν ἐπαγωγὸν τὸ ποίκιλμα τοῦ πτεροῦ καὶ ʻεἰ μὲν — σέλαςʼ. v. 3 ἀντηύγει A sec. m., ἀνταυγεῖ SMA. ex Euripidis Oedipo locum sumptum esse coni. Valckenaer Diatr. p. 194.

542

καινοῦ
δαίμονος ἄρχει, καινοῦ πότμου.

Antiphon (fr. 131) in Stob. Flor. 68, 37: φέρε δὴ προσελθέτω ὁ βίος εἰς τὸ πρόσθεν καὶ γάμων [καὶ γυναικὸς] ἐπιθυμησάτω. αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου. μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. verba supra exhibita poetae alicuius esse coni. Gaisford. δεινὸς γὰρ ἀγὼν γάμος ἀνθρώπῳ addi vult Herwerden Exerc. crit. p. 91, qui antea καὶ γυναικὸςʼ verba delevit.

543

οὐκ ἐν γυναιξὶ φύεται πιστὴ χάρις.

Stob. Flor. 73, 40a: 'οὐκ ἐν — χάρις'. versum a praegresso Menandri loco (Com. 4 p. 241) separavit et Euripidi tribuit Dobree Adv. 2 p. 282. πιστὴ Bentley, πλείστη libri.

544

τοῦ γὰρ πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει,
ἡσσημένῳ δὲ δόξα νικητήριος.

Stob. Flor. 79, 7: Ἀντιφάνους. ὅστις δ' ἐρυθριᾷ — κατεφρόνησε τῶν θεῶν. 'τοῦ γὰρ πατρὸς — νικητήριος'. extremos duos versus a praegressis separavit Grotius, tragico poetae tribuit Meineke Com. 3 p. 152. ad extremum versum lemma **Φιλήμονος** ex ecl. 79, 8 retractum est in MA.

545

τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς
κἀν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

Stob. Flor. 89, 1: Μενάνδρου. 'τοὺς — εὐφημίας'. v. 1 γεγονότας S, γεγωνότας M, γεγῶτας A. καλῶς τεθραμμένους malim, cf. Iulian. Epist. 58, 9 p. 445 A: τοῖς εὖ πεφυκόσι καὶ καλῶς τεθραμμένοις. v. 2 εὐψυχίας coni. R. Methner progr. a. 1883 p. 10, εὐρυθμίας F. G. Schmidt *Krit. Stud.* 1 p. 251. non Menandri esse locum, sed tragici poetae recte iudicat Cobet N. L. p. 49.

546

ἐγὼ γάρ, εἰ νοῦν εἶχ' ἔμ' ὁ σπείρας πατήρ,
ἠπιστάμην ἂν μουσικὴν παρεὶς πονεῖν,
ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ.
πρῶτον μέν, ἐξ ὧν πάντα γίγνεται βροτοῖς,
εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ 5
στέργειν θ' ὑδρηλοῖς ὥστε θὴρ ἀεὶ ποτοῖς,
χειμῶνί τ' ἀσκεῖν σῶμα θερμά θ' ἡλίου
τοξεύματ' αἰνεῖν μὴ σκιατραφούμενος.
νῦν δ' οὐκ ἐθισθεὶς τοῦτ' ἐπίσταμαι μὲν οὔ,
φέρειν δ' ἀνάγκη· τὸν γὰρ Ὀρφέα λαβὼν 10
αὐτῶν τε μουσῶν ἐννεάφθογγον μέλος,
οὐκ ἂν πίθοιμι γαστέρ', ἀλλὰ δεῖ βίου.

Stob. Flor. 97, 17: 'ἐγὼ γὰρ — δεῖ βίον'. praecedit Eur. fr. 285, cui hunc locum adiungunt SMA, separavit Gesner. v. 1 εἶχ' ἔμ' S, εἶχε μ' M, εἶχέ μ' A. v. 2 παρεισπονεῖν SMA, παρεὶς πονεῖν B ut Heath. v. 3 εὐτυχήσων καὶ κακῶς πράξων SMA recte, ut opinor. nulla erat ratio cur aut εὐτυχὴς ὢν aut κακῶς πράσσων corrigeretur. v. 6 στέργειν τ' ὑδρηροῖς ἀει (ἀει del. pr. m.) ὥστε θὴρ ἀεὶ ποτοῖς S. ὑδρηροῖς libri, ὑδρηλοῖς Heath. post hunc versum quaedam excidisse coni. Meineke, nisi v. 7 ἔπειτα δ' ἀσκεῖν scribendum sit. v. 8 τοξέματ' S. σκιᾶ τροφούμενος M, σκιατροφούμενος A. v. 9 μὲν οὖν S, μενοῦν M. v. 11 αὐτῶν scripsi, ἅπαν libri. μουσῶν μέλος verba expressisse videtur Ennius Annal. libro VIII: *tibia musarum pangit melos,* ubi *musarum* frustra in suspicionem vocari arbitror, *pangit* in *clangit* mutarim.

547

τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον
καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ,
οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει·
[ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος,
ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ.] 5
ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα.
[τὸ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης
μέρει φέρεσθαι μήτ' ἐν ὑψηλῷ πάλιν.]
ἣν γὰρ πέσῃ τις ἐξ ἐλάσσονος μέτρου,
εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν· 10
ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα.
πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται,
σφάλλει δ' ἐκείνους οὓς ἂν ὑψώσῃ τύχη.

Stob. Flor. 105, 51: τραγικὸν ἐπεισόδιον. 'τὰ μεγάλα — ὑψώσῃ τύχη'. v. 4 ὃ περιέτρεψεν S, ὃ περιέστρεψεν MA, ὅπερ παρέστρεψ' Meineke Com. 4 p. XII, qui postea meam coniecturam ὅπερ διέστρεψ' admisit. ἢ φθόνος τις ἢ χρόνος aptius iudicat F. G. Schmidt *Krit. Stud.* 3 p. 35. v. 5 ὅταν ἐπ' ἄκρον τις olim proposui, quod probat Cobet Mnem. nov. 2 p. 450. nunc non dubito quin v. 4 et 5 spurii sint, ac v. 4 insiticium iudicavit ante nos O. Hense Exerc. crit. p. 61 sq. v. 6 ἀσφαλεστάτη malim. v. 7 et 8 ex alio loco illatos esse coni. Meineke Stob. 4 p. LXXXI, mihi emblema videtur, quo μεσότης notio explicatur. v. 7 τύχης B ut Grotius, ψυχῆς SMA. v. 9 ἣν Meineke, κἂν SA, καὶ M. ἐλάττονος SMA. v. 10 εὐπραξίαν A. v. 12 et 13 ante v. 6 collocandos esse recte iudicat O. Hense. v. 12 λιάζεται coni. Wecklein *Stud. zu Eur.* p. 446, τιτύσκεται Blaydes

in Soph. Ai. 157 p. 313. v. 13 *τύχη* (supra *τ* scr. *ψ* pr. m.) S, *ψυχή* MA.

548

σὺ δ' ὦ τεκοῦσα
μὴ τὴν σὴν λιβάσι κατάσπενδε παρηίδα.

Teles in Stob. Flor. 108, 83: *καὶ ταύτην μὲν ἐπαινοῦσιν ἐντελλομένην 'σὺ δ' ὦ τεκοῦσα μὴ τὴν σὴν λιβάσι κατάσπενδε* (supra *αι*) *ταρηίδα* (sic S, *κατάσπενδε αἱ ταρηίδα* M, *κατάσπενδαι ἑταιρηιδα* A, *κατάσπενδε παρηίδα* Gesner)', *τὴν δὲ κατακολουθοῦσαν ὠμὴν φησὶν ἡ δόξα. σὺ δ' ὦ τεκοῦσα, μή τι σὴν* | *λιβάσι κατάσπενδ'* ⟨*ἐκπαθῶς*⟩ *παρηίδα* coni. Meineke, *κατάσπενδ'* ⟨*εὐγενῆ*⟩ *παρηίδα* (secundum Eur. Ion. 242) O. Hense.

549

γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον.

Stob. Flor. 116, 2: '*γέροντι — χρόνον*'. versus vulgo iungitur cum Eur. fr. 637.

550

μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.

Stob. Flor. 116, 2: '*μακρὸς — ἔχει*'. cf. annot. in Eur. fr. 637. versus recurrit in Men. mon. 351. simillimum est Eur fr. 575, 3: *μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους.* Philem. Com. 4 p. 35: *ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει.* versui supra scripto praemitti vult Guil. Meyer p. 437 sq. hunc quem ex Gnomol. codicis Vrbinatis *M* 1 repetit, *μὴ κρῖνε* (vel *σὺ κρῖνε*) *μηδέν' εὐτυχῆ πρὶν ἂν θάνῃ.* at quae praebet cod. Vrbinas, *μὴ δένα κρίνε εὐτυχῆ πρὶν ἢ θάνῃ*, detorta videntur esse ex Eur. Tro. 510: *μηδένα νομίζετ' εὐτυχεῖν πρὶν ἂν θάνῃ.*

551

. . *πολύς τοι μόχθος ἐν μακρῷ χρόνῳ.*

Stob. Flor. 116, 44: *Φαβωρίνου ἐκ τῶν περὶ γήρως* (sic Roeper Philol. 10 p. 570 sq., *φαβ˜* nec plura S, *φαβουρίνου ἐκ τῶν κγ* MA). '*πολύς — χρόνῳ*'. ⟨*πολὺς*⟩ *πολύς τοι μόχθος ἐν μικρῷ χρόνῳ* F. G. Schmidt *Krit. Stud.* 3 p. 35.

552

ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον.

Stob. Flor. 117, 1: '*ἐσθλοῦ — εὐπροσήγορον*'. Euripideum esse versum coni. O. Hense.

553

ἔχω· τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον
καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται.

Stob. Flor. cod. L (vol. 4 p. 180, 10 ed. Mein.): '·χω τὸ γὰρ — δυνήσεται'. eclogam om. SMA. v. 1 χω L, ἔχω Brux., ἐπέχω coni. Hense de Stob. Flor. exc. Brux. p. 37, fortasse αὐχῶ praeferendum. Euripideae Antigonae esse versus coni. Hense.

554

ἐλευθέρα γὰρ γλῶσσα τῶν ἐλευθέρων.

Stob. Flor. cod. L (vol. 4 p. 180, 24 ed. Mein.): 'ἐλευθέρα — ἐλευθέρων'. eclogam om. SMA. Sophoclis esse versum coni. Meineke Com. 3 p. 584.

555

ἐλευθερία Διὸς ὄλβιον τέκος

Stob. Flor. cod. L (vol. 4 p. 181, 1 ed. Mein.): 'ἐλευθερία — τέκος'. Sophocli locum tribuit Meineke.

556

αἰδὼς ἀπώλεσ' αὐτόν, ἐρρέτω, κακή·
πολλὴν γὰρ αὐτὴν δειλὸς ὢν ἐκτήσατο.

Stob. Flor. cod. L (vol. 4 p. 230, 4 ed. Mein.): 'αἰδὼς — ἐκτήσατο'. eclogam om. SMA. versus esse Euripidis, cuius et antecedit locus et insequitur, probabiliter coni. O. Hense.

557.

τοῖς γὰρ κακῶς πράσσουσιν οἱ σεμνοὶ λόγοι
κόσμον μὲν ἂν δοίησαν· ἡ δ' εὐπραξία
ξὺν τοῖς ἀναισχύντοισιν ὥρισται βίου.

Stob. Flor. cod. L (vol. 4 p. 230, 7 ed. Mein.): 'τοῖς γὰρ — βίου'. eclogam om. SMA, cum Eur. fr. 285, 20 coniunctam praebet L. v. 2 ἐνδοίησαν L, ἂν δοίησαν scripsi, sed ἂν διδοῖεν praetulerim. v. 3 ᾠκίσθαι φιλεῖ requiri videtur.

558

ὦ παῖ, τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα
διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ.

Stob. Flor. cod. L (vol. 4 p. 230, 10 ed. Mein.): 'ὦ παῖ — ἔφυ'. eclogam om. SMA. v. 2 διδασκαλία (supra scr. εῖον) L.

559

εἰς Φᾶσιν, ἔνθα ναυσὶν ἔσχατος δρόμος.

Strab. XI p. 497: τό τε παροιμιακῶς λεχθὲν 'εἰς Φᾶσιν — δρόμος', οὕτω δεῖ δέξασθαι οὐχ ὡς τὸν ποταμὸν λέγοντος τοῦ ποιήσαντος τὸ ἰαμβεῖον οὐδὲ δὴ ὡς τὴν ὁμώνυμον αὐτῷ πόλιν κειμένην ἐπὶ τῷ ποταμῷ, ἀλλ' ὡς τὴν Κολχίδα. versum repetiit Eust. in Dionys. Per. 687. ὅρμος ἔσχατος probabiliter corrigit F. G. Schmidt *Krit. Stud.* 3 p. 35 sq.

560

χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα.

Strab. XII p. 572 (cf. Eust. Il. p. 364, 43 et p. 365, 38): ὥσθ', ὅπερ ἔφην, ἔργον διορίσαι 'χωρὶς — ὁρίσματα'. versum afferunt Gregor. Cypr. 3, 99 (cod. Mosq. 5, 16) Macar. 8, 83 Eust. Dionys. P. 809 Schol. Lucian. p. 231 (Anecd. Bachm. 2 p. 336, 10). eodem utuntur Greg. Naz. vol. 2 p. 20 B et p. 249 D (item in Gallandii Bibl. Patr. vol. 6 p. 434 B) Cyrillus c. Iul. II p. 67 A Photius Epist. 105 p. 437. respiciunt versiculum Plut. de sanitate praec. c. 1 p. 122 C Libanius Epist. 1053 Nicephorus Greg. Hist. Byz. 8, 7 p. 322, 17 Damascius in Phot. Bibl. p. 345 a 27 (Suid. v. οὐδὲν ἧττον et v. χωρίς) Theodorus Prodr. in *Notices et Extr.* VI p. 552 VIII, 2 p. 85 Gregorius Pal. Prosop. p. 13. Gregorius Naz. hinc effinxit χωρὶς τὰ Μήδων καὶ Λυδῶν ὁρίσματα (vol. 2 p. 209 A) et χωρὶς τὰ Μεῤῥᾶς καὶ Σιλωὰμ ῥεύματα (in Gallandii Bibl. Patrum vol. 6 p. 434 B, cf. Prov. append. 5, 35 Macar. 8, 84). πόῤῥω pro χωρὶς substituerunt Niceph. Greg. et Eust. in Dionys. P. τὰ Φρυγῶν καὶ Μυσῶν Niceph. Greg. et Gregor. Cypr. de origine proverbii haec narrat Schol. Greg. Naz. in Catal. cod. Clark. 1 p. 37: Ἕλληνες ἐπὶ τὴν Τροίαν ἀναπλέοντες ἐπλανήθησαν καὶ Φρυγίαν καταλιπόντες τῇ Μυσίᾳ προσέβαλον. Τήλεφος δὲ ὁ τοῦ Ἡρακλέους παῖς τούτους διώκων ἔλεγεν 'κεχώρισται τῶν Φρυγῶν καὶ τῶν Μυσῶν τὰ ὅρια'. τοῦτον ἐν συστάδην μάχῃ τιτρώσκουσιν Ἀχιλλεὺς καὶ Αἴας· ἀλγοῦντα δὲ δεινῶς Ἡρακλέους υἱὸν αὐτὸν εἶναι μαθόντες καὶ μεταμεληθέντες οἱ τῶν Ἑλλήνων βασιλεῖς ἐπισκέπτονται καὶ λόγοις παρακαλοῦσιν ἰατροὺς οἰκείους (ἰατροῖς οἰκείοις cod.) ὡς ἐνὸν ἐπιμελούμενοι. τοῦ δὲ χρηματισθέντος μὴ ῥωσθῆναι τοῦ Ἀχιλλέως ἄνευ, πρὸς αὐτὸν ἀφικόμενος θεραπεύεται. Aeschyleum esse versum coniecit Hermann in Soph. Oed. C. 808, cf. quae dixi in Aesch. fr. 271.

561

ἦ μήποτ', ὦ παῖ Ζηνός, ἐς ταὐτὸν μόλοις

Strattis (Com. 2 p. 778) in Schol. Ar. Vesp. 1346: 'ἦ — μόλῃς', ἀλλὰ παραδοὺς τοῖς Λεσβίοις χαίρειν ἔα. prior versus sine dubio ex tragoedia repetitus est, cf. quae diximus p. 266. ἦ et ταὐτὸν Dobree, ἢ et ταὐτὸ libri. μόλοις scripsi, μόλῃς libri.

562

γλώσσαργον ἦθος

Suidas: γλώσσαργον ἦθος· ἀντὶ τοῦ ταχὺ καὶ στωμύλον. similiter Zonaras Lex. p. 442. cf. Etym. M. p. 235, 43 et Hesych. v. γλώσσαργον vol. 1 p. 436. tragico poetae verba γλώσσαργον ἦθος tribuit Elmsley in Eur. Med. p. 163.

563

Ἰνάχειον ἄστυ

Suidas: Ἰνάχειον ἄστυ· τὸ τοῦ Ἰνάχου.

564

ὀπισθόπους δίκη

Suidas: ὀπισθόπους δίκη· ἡ μεθ' ἡμέραν ἀκολουθοῦσα τοῖς ἀδικήμασιν. dicendi genus tragoediam sapit. Gregorius Naz. vol. 1 p. 302 D: οὐδ' ὀπισθόπους ἡ δίκη, τοῦτο δὴ (adde τὸ) ποιητικόν.

565

αὔρα, θεῶν ὄχημα τιμιώτατον

Tatian. Orat. ad Gr. c. 8 p. 40: Ζέφυρος αὐτὸν (sc. Ὑάκινθον) νενίκηκεν, καὶ τοῦ τραγῳδοποιοῦ λέγοντος 'αὔρα — τιμιώτατον' ὑπὸ βραχείας αὔρας νικηθεὶς ἀπώλεσε τὸν ἐρώμενον.

566

πάντας σοφὸς νοῦς ἐξ ἀμηχάνων ἄγει
καὶ πάντα κηλεῖ, κἂν ἀπώμοτός τις ᾖ.

Themist. Orat. XVI p. 207 sq. ubi poetarum testimonia profert, quibus sapientiam plurimum posse demonstret: 'μήτει τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι' (Il. Ψ 315) καὶ 'πάντα ὁ σοφὸς — ᾖ'. v. 1 πάντα ὁ libri, πᾶν τοι olim scripsi, πάντα δ' ὁ coni. Pappageorgius, πάντας F. G. Schmidt *Krit. Stud.* 3 p. 36, qui v. 2 καὶ πάντας ἕλκει proposuit.

567

ὅρκων ἐρῶσιν οὐδὲν εὐχερέστερον.

Theophyl. Simoc. Epist. 33: *σὺ δέ μοι παρῄνεις πολλά· ὅρκοις μὴ πείθου, Γαλάτεια· ὅρκων τοῖς ἐρῶσιν οὐδέν ἐστιν εὐχερέστερον* (*οὐδὲν εὐχερέστερον* Boissonadi codex A). in his latere videtur iambus supra scriptus. priora quoque verba poetae sunt, id quod apparet ex codicis A scriptura, *ὅρκοις πείθουσαν μὴ πιστεύει γαλάτειαν.* temptare possis *ὅρκων πιστώσει μὴ πιστεύσῃς, Γαλάτεια.* quae ibidem leguntur Epist. 67: *ἀβαρὲς γάρ τι χρῆμα ὁ ὅρκος εἶναι δοκεῖ, καὶ παντὸς ἄχθους ἐστὶ δυσφορώτερον*, fortasse et ipsa poetae verba referunt, cf. Kock Com. Att. fr. vol. 3 p. 439.

568

κλύδωνα σαυτῷ προσφέρεις αὐθαίρετον.

Theophyl. Sim. Epist. 57: *εἰ δὲ οὐκ ἐρᾷς, τί δακρύεις καὶ στένεις καὶ 'κλύδωνα — αὐθαίρετον;'* videtur tragici poetae versus esse.

569

Τεῦκρος δὲ τόξου χρώμενος φειδωλίᾳ
ὑπὲρ τάφρου πηδῶντας ἔστησεν Φρύγας.

Tryph. *περὶ τρόπων* in Rhet. vol. 8 p. 738 de metalepsi: '*Τεῦκρος — Φρύγας*'· *εἴρηται γὰρ φειδωλίᾳ ἀντὶ τοῦ ἀκριβείᾳ.* similiter Greg. Cor. in Rhet. vol. 8 p. 767 et Moschop. Opusc. p. 76. v. 1 affert Choerob. in Rhet. vol. 8 p. 808. respicit anonymus ibid. p. 717, 8: *Τεῦκρος δὲ τόξων φειδωλός ἐστιν.* v. 2 *ἔστησε* libri. Sophoclis Teucro hos versus parum probabiliter vindicabat Blomfield.

570

οἶνός μ' ἔπεισε δαιμόνων ὑπέρτατος.

Tryph. *περὶ τρόπων* in Rhet. vol. 8 p. 739 de metonymia: *ἀπὸ τοῦ εὑρήματος τὸν εὑρόντα, οἷον 'οἶνός μ' — ὑπέρτατος'.* similiter Georg. Choerob. in Rhet. vol. 8 p. 812 Cocondrius ib. p. 786 Moschop. Opusc. p. 77. Latine expressit poeta Festi p. 153 (Ribbeck. Com. Lat. p. 122): *persuasit animo vinum, deus qui multo est maximus.*

571

παρ' οὐδενὸς γὰρ οὐδὲν ἡρμηνεύμεθα.

Tzetz. Exeg. Il. p. 89 sq.: *ἡμεῖς αὐτομαθεῖς τινες καὶ θυμόσοφοι καὶ μὴ μέγα κομπάζοντες εἰδέναι τι ἐκ φιλοσοφίας καὶ φυσικῆς· 'παρ' οὐδενὸς — ἡρμηνεύμεθα'.* ib. p. 128, 17: *καίτοι γε μηδὲν*

περὶ μηδενὸς .... νευμένω ἢ (l. μηδὲν παρὰ μηδενὸς ἡρμηνευμένῳ, ἀλλὰ) θυμοσόφως καὶ αὐτομαθῶς ἐξ ἀναγνώσεως βιβλίων πάντων μαθόντι μοι.

572

τοῖς καιρίοις γὰρ δεῖ λέγειν τὰ καίρια.

Tzetz. Exeg. Il. p. 146, 22: ⟨ἄ⟩καιρον γὰρ ἄλλως καὶ περιττὸν τῶν ⟨ἀ⟩κροατῶν καταβαρύνειν τὰς ⟨ἀκοὰς⟩ ἐν ταῖς προοιμιώδεσι καὶ ὥσπερ ⟨ἐ⟩ξαγωνίοις τῶν ὑποθέσεων· τοῖς καιρίοις γὰρ δεῖ λέγειν τὰ ... in fine καίρια supplevit Bachmann. vide quae dixi in Aeschyli fr. 208.

573

ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται,
αὐτὸς καθ' αὑτοῦ τοῦτο λανθάνει ποιῶν.

Vita Aesopi ed. Westerm. p. 9, 5: καὶ ἐκέλευε μὲν αὐτοὺς γυμνωθέντας τύπτεσθαι καὶ πομπεύεσθαι λέγων 'ὅστις — τοῦτο λανθάνει'. Maximus Planudes V. Aesop. ed. Eberh. p. 231, 5: ὁ μὲν δεσπότης ἐκέλευσεν αὐτοὺς γυμνωθέντας μαστίζεσθαι· οἱ δ' ἐπέγνωσαν σαφῶς κατὰ τὸν εἰπόντα ὡς 'ὅστις — τοῦτο λανθάνει ποιῶν'. v. 1 μηχανορραφεῖ coni. Schneidewin Philol. 10 p. 355. v. 2 αὐτὸς καθ' αὑτοῦ (ἑαυτοῦ cod. Westerm.) τοῦτο λανθάνει ποιῶν (τοῦτο πανθάνει cod. Westerm.) Eberhardi cod. V et in margine (addito γρ.) M, αὑτῷ λέληθε τὸ κακὸν ἀρχιτεκτονῶν plerique Eberhardi libri. Euripidis esse versus coni. Schneidewin. spectat hunc locum Fab. Aesop. 18 epim.: ὅστις καθ' ἑτέρου δόλια μηχανᾶται, ἑαυτοῦ (l. ἑαυτῷ) γίνεται [τῶν] κακῶν ἀρχηγός.

574

ἅπαντα θάλλει καὶ πάλιν μαραίνεται.

Vita Aesop. ed. Westerm. p. 47, 23: πάντα γὰρ θάλλει καὶ πάλιν μαραίνεται. scripsi ἅπαντα θάλλει, Westermann θάλλει δὲ πάντα maluit.

575

ἄστυλος οἶκος

Xenarchus (Com. 3 p. 614) ap. Ath. II p. 63 F: ἄστυτος οἶκος, κοὔτε (malim κοὔτι vel cum Kockio κοὐδὲ) βυσαύχην θεᾶς Δηοῦς σύνοικος — δυνατός ἐστ' ἐπαρκέσαι. verba ἄστυτος οἶκος detorta esse ex tragici poetae dictione ἄστυλος οἶκος verissime iudicat Meineke comparans Leonidae Tarentini verba κακὸς δ' ἄστυλος ἰδέσθαι οἶκος, Anth. Pal. 7, 648. cf. Aesch. Agam. 898 et Eur. Iph. T. 57.

[illegible]

[illegible]

Zenob. [illegible]

[illegible]

[illegible]

Zenob. [illegible]

[illegible]

Zenob. [illegible]

[illegible]

[illegible]

[illegible]

Zenob. 3, [illegible] et Suid. [illegible]

[illegible]

[illegible]

Zenob. 4, [illegible] et Suid. [illegible]

[illegible]

[illegible]

Zenob. 6, 31: *φόνου πτερόν· τὸν διὰ τῶν διστῶν, πτερόεντα ἢ ταχύν. βέλτιον δὲ ἀκούειν περιφραστικῶς τὸν φόνον.* similiter Diogenianus Vind. 3, 86 Phot. Lex. p. 653, 13 Suidas. cf. Prov. append. 5, 18: *φόνου πτερὸν καὶ θανάτου πτερόν· διστός.*

582

καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.

Men. mon. 294: '*καὶ ζῶν — κολάζεται*'.

583

ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται.

Schol. Aesch. Prom. 624: *Ἐπικούρειόν ἐστι δόγμα ἀναιροῦν τὴν μαντικήν· — λέγουσι δὲ ὅτι* (*οὗτοι*?) *καὶ τὸ* '*ἃ δεῖ — γενήσεται*'.

584

ἀγένειος

Pollux 2, 88: *γένειον — ἀφ' οὗ καὶ ὁ ἀγένειος, εἰ μὴ τραγικώτερον.*

585

ἀλεκτορίς

Phryn. Ecl. p. 228: *ἀλεκτορὶς εὑρίσκεται ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ· λέγε δὲ ἀλεκτρυὼν καὶ ἐπὶ θήλεος καὶ ἐπὶ ἄρρενος, ὡς οἱ παλαιοί.* fortasse scribendum ⟨*ἀλέκτωρ καὶ*⟩ *ἀλεκτορίς*.

586

ἀμφίκαυτις

Schol. Ar. Eq. 1236: *εὔστρα ἡ ὡρίμη* (*ὀρεινὴ* ante Albertium) *κριθή. εἴρηται δὲ καὶ ἀμφίκαυτις παρὰ κωμικοῖς καὶ τραγικοῖς ἀπὸ τοῦ περικεκαῦσθαι.* Etym. M. p. 90, 32: *ἀμφίκαυστις* (*ἀμφίκαυτις* al.) *ἡ ὡρίμη* (*ὀρεινὴ* libri) *κριθή, ἣν ἡμεῖς εὔστραν καλοῦμεν. καὶ οὕτω μὲν οἱ τραγικοί, οἱ δὲ κωμικοὶ τὸ αἰδοῖον* (*τῶν αἰδοίων* cod. Flor.) *ἀμφίκαυτις ἀπὸ τοῦ περικεκαῦσθαι.* Eust. Od. p. 1446, 27: *ἡ ὡρίμη κριθὴ ἡ καὶ ἀμφίκαυστις παρὰ Αἰλίῳ Διονυσίῳ.*

587

ἀνώπια

Pollux 2, 53: *παρὰ δὲ τοῖς τραγῳδοῖς προνώπια* (Eur. Bacch. 639) *τὰ πρὸ τῶν θυρῶν καὶ ἀνώπια τὰ ἄνω.*

588

ἐριούνης

Schol. T Il. Γ 33: ἐριούνης δὲ ὁ ἐρευνητικός — οἱ δὲ τραγικοὶ τὸν καταχθόνιον. similiter Eust. Il. p 1194, 40. Naber ex tragoedia sumpta esse conicit quae tradunt Phot. Lex. p. 14, 6 et Hesych. 2 p. 190: ἐριούνιον πόρον (πάρον Phot.)· τὸν χθόνιον (τὸν ὑποχθόνιον Hesych.), ubi ἐριουνίου πόρον malebat Hemsterhuys. ego suspicabar in Aesch. Choeph. 124 legendum esse ⟨ἐριούνι'⟩ Ἑρμῆ χθόνιε, cf. Ar. Ran. 1144: οὐ δῆτ' ἐκεῖνον. ἀλλὰ τὸν ἐριούνιον Ἑρμῆν χθόνιον προσεῖπε.

589

εὐναία

Eust. Il. p. 474, 45: εὐνὴ εὐναία τραγικῶς ἡ ἄγκυρα. Hesych. 2 p. 226: εὐναῖαι· αἱ ἄγκυραι (εὔναιαι· λίαν κύρβαι cod.).

590

Ἥρυλλος

Eust. Il. p. 989, 48: ὅτι δὲ ὁ δηλωθεὶς Ἡρακλῆς καὶ Ἡρακλείδης ἐκαλεῖτο — ἔτι δὲ καὶ Ἥρυλλος ἐν τοῖς σατυρικοῖς, δηλοῦσιν οἱ κατὰ στοιχεῖον τὰ ῥητορικὰ ἐκθέμενοι, παρ' οἷς δῆλον καὶ ὡς ὑποκεκόρισται ὁ Ἥρυλλος ἐκ τοῦ Ἡρακλῆς. Hesych. 2 p. 291: Ἥρυλλον. ὑποκοριστικῶς τὸν Ἡρακλέα. Suid.: Ἥρυλλος· ὁ Ἡρακλῆς. cf. Etym. M. p. 142, 58 p. 437, 26.

591

καθηγητής

Pollux 3, 95: παρὰ δὲ Κέβητι καὶ καθηγητής, ὥσπερ καὶ παρὰ τοῖς τραγῳδοῖς.

592

μαγείαν

Phot. Lex. p. 240, 13: μάγους· τοὺς μαγγανεύοντας. καὶ μαγείαν οἱ τραγικοὶ λέγουσι.

593

μαίμακον

Phot. Lex. p. 241, 14: μαίμακον· τὸ χαλεπὸν καὶ δύσμαχον. τραγικὴ ἡ λέξις. Herod. Arcad. p. 51, 12: τὸ μαίμακος σύνθετον. debebat dici non μαίμακος sed ἀμαίμακος, sicut dicitur ἀμαιμάκετος. usus est ista forma Hesiodus Theog. 295 et 310, ubi ἀμήχανον praebent libri. Sophoclis Oed. Col. 1568 σῶμά τ' ἀμαιμάκου (pro ἀνικάτου) θηρός praeclare reddidit Meineke. similiter scribendum Ἅιδου τρίκρανον σκύλακ' ἀμαίμακον (pro ἀπρόσμαχον) τέρας Soph.

Trach. 1098, quo ipso ex loco Photii glossam derivatam arbitror. rectius igitur quod supra scripsimus *μαίμακον* erat omittendum: toleravi ideo quod emendationes a Meinekio et me propositas plerique Sophoclis editores repudiarunt.

594

οἰκοδέγμων

Pollux 6, 11: *ὁ μὲν οὖν συνιστὰς τὸ συμπόσιον ἑστιάτωρ — ὁ γὰρ οἰκοδέγμων τραγικόν.*

595

πέλλη

Pollux 10, 78: *ἰστέον δὲ ὅτι τὴν λεκάνην πέλλιν οἱ τραγῳδοὶ καλοῦσιν.* vitiosa scriptura *πέλλιν* in *πέλλην* mutanda est.

596

περίστασις

Phryn. Epit. p. 376: *περίστασις· ἀντὶ τοῦ συμφορὰ τιθέασιν οἱ στωικοὶ φιλόσοφοι· οἱ δ' ἀρχαῖοι περίστασιν λέγουσι τὴν διά τινα τάροχον παρουσίαν πλήθους, καὶ ἡ τραγῳδία καὶ ἡ κωμῳδία.*

597

πολυβέλεμνοι

Hesych. 3 p. 355: *πολυβέλεμνοι· οἱ ὑπομνηματισάμενοι τὰς πολυστίκτους, ὅτι τὸν Ὀρφέα ἀπέκτειναν πολλοῖς βέλεσιν.* tragicam esse glossam coni. M. Schmidt.

598

στολοκρατές

Hesych. 4 p. 81: *στολοκρατές· τὸ τῆς Ἰοῦς μέτωπον, διὰ τὰ κέρατα.* glossa vitiosa fortasse ex Sophoclis Inacho repetita est. *στόλοκρον κρᾶτα* vel *στολόκρου κρατός* coni. M. Schmidt.

599

ταλαπείριος

Phot. Lex. p. 567, 16: *ταλαπείριον· οἱ τραγικοὶ τὸν ταλαίπωρον λέγουσιν.* eadem fere Etym. M. p. 744, 50. fortasse in Soph. Oed. C. 540 *ταλαπείριος* pro librorum scriptura *ταλακάρδιος* reponendum est.

600

ὑπέρτερος

Schol. B Il. *Λ* 786: *τὸ ʽγενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς'*

οὐ λέγει ὅτι τῇ γεννήσει σοῦ ἐστὶν ὑπερέχων, ἵν' ᾖ πρεσβύτερος, ὥς τινες τῶν τραγικῶν ἤκουσαν· πῶς γὰρ ἂν ἐπήγαγε 'πρεσβύτερος δὲ σὺ ἐσσί'; ἀλλ' ὑπερτέραν γενεὰν λέγει οὐ τὴν χρόνῳ ὑπερέχουσαν, ἀλλὰ γένους ἀξίᾳ.

601

χορταιοβάμων

Hesych. 4 p. 294: *χορταιόβαμος· ὁ Σειληνός. χορταιοβάμων· χορταῖον τὸ ἔνδυμα τοῦ Σειληνοῦ.* glossas iungendas esse vidit Toup Emend. 2 p. 482, qui *χορτοβάμων* requirit. cf. quae attulit L. Dindorf Thes. Gr. L. vol. 8 p. 1602 B.

602

ψυχορροφεῖν

Phryn. Bekk. p. 73, 25: *ψυχορροφεῖν· ἐπὶ τοῦ* (*τὸ* cod.) *τὴν ψυχὴν ἐκροφεῖν διὰ κακῶν παρουσίαν ἢ τραγῳδία. ὁ δὲ Πλάτων* (Com. 2 p. 694) *ἰδίως ἐπὶ ὄνου* (*οἴνου* I. G. Schneider) *διὰ ψυχροῦ* (*διαψύχρου* Meineke) *πινομένου τίθησιν.* Suidas: *ψυχορροφεῖν· τὴν ψυχὴν ἐκπίνειν.* identidem *ψυχορραγεῖν* verbo usus est Euripides: *ψυχορροφεῖν* dubito num in tragoedia locum habuerit.

INDICES

INDEX POETARVM

INDEX FABVLARVM

*) Vncis quadratis inclusi titulos eos quorum auctores non novimus nisi Latinos poetas. testimonia horum titulorum praebebit O. Ribbeck in Trag. Rom. fragm.

INDEX FONTIVM

TABVLA FRAGMENTORVM

IN PRIORE EDITIONE COLLECTORVM

AESCH.

ED. I		ED. II
1	p. 3	1
2		3
5	p. 4	6
9		283
10	p. 5	10
14	p. 6	14
20	p. 7	20
21		20
23	p. 8	24
27	p. 9	28
32	p. 10	34
37	p. 11	39
39		33
40		41
43	p. 12	44
46	p. 13	47
50	p. 14	51
55	p. 15	56
57	p. 16	58
58		60
60	p. 17	62
66	p. 18	68
68	p. 19	71
70		75
73	p. 20	78
78	p. 21	83
81	p. 22	86
84	p. 23	89
90	p. 24	95
94	p. 25	100
95		284
96		101
100	p. 26	105
108	p. 27	113
113	p. 28	118
116		332

ED. I		ED. II
117	p. 29	121
122	p. 30	126
125	p. 31	129
129	p. 32	133
132	p. 33	136
136	p. 35	140
140	p. 36	144
146	p. 37	150
149	p. 38	154
150	p. 39	155
154	p. 40	159
157	p. 41	162
162	p. 42	168
164	p. 43	170
168	p. 44	174
174	p. 45	180
176	p. 46	182
179	p. 47	185
182	p. 48	188
186	p. 49	192
188	p. 50	194
191	p. 51	197
194	p. 52	431
		441
195		200
198	p. 53	203
203	p. 54	p. 69
204		208
206	p. 55	210
211	p. 56	215
217	p. 57	221
222	p. 58	226
227	p. 59	231
234	p. 60	238
238	p. 61	242
243	p. 62	247
245	p. 63	249
249	p. 64	253

ED. I		ED. II
250, 1		254
250, 2—4		255
251		256
253	p. 65	258
254		261
256	p. 66	263
260	p. 67	259
261		267
265	p. 68	271
270	p. 69	276
273	p. 70	279
276	p. 71	282
277		285
280	p. 72	288
287	p. 73	348
288		295
294	p. 74	301
296	p. 75	303
301	p. 76	308
305	p. 77	312
310	p. 78	317
313		321
315	p. 79	323
320	p. 80	328
324		333
327	p. 81	336
334	p. 82	343
339		349
340	p. 83	350
343	p. 84	353
349	p. 85	359
354	p. 86	364
361	p. 87	371
367	p. 88	35
368		377
373	p. 89	383
379	p. 90	22
380		389

ED. I		ED. II
385	p. 91	394
393	p. 92	402
397		382
398		406
400	p. 93	408
409	p. 94	417
417		2
418	p. 95	426
423		432
426	p. 96	435
432		442
433	p. 97	443
439	p. 98	449
442		454
443		*epim.* 1
444	p. 99	456
451	p. 100	463

SOPH.

ED. I		ED. II
1	p. 103	1
4	p. 104	4
11	p. 105	11
15	p. 106	15
18		877
19		872
20	p. 107	18
25	p. 108	25
30	p. 109	30
35	p. 110	35
41	p. 111	41
42		43
48	p. 112	49
49		42
50		50
55	p. 113	55
60	p. 114	60
65		68
66	p. 115	65

ED. I		ED. II	ED. I		ED. II	ED. I		ED. II	ED. I		ED. II
68		69	273	p. 154	272	441	p. 189	444	631	p. 226	636
73		67	274		274	445	p. 190	448	637	p. 227	643
75	p. 116	74	277	p. 155	277	451	p. 191	454	638		642
80	p. 117	79	281	p. 156	281	454		*epim.* 2	639		644, 2
86	p. 118	85	287	p. 157	287	455		457	640		645
88	p. 119	87	294	p. 158	294	457	p. 192	459	644	p. 228	649
94	p. 120	93	298		665	461	p. 193	463	649	p. 229	654
101	p. 121	100	299	p. 159	298	467	p. 194	469	654	p. 230	659
105	p. 122	104	303		304	470		473	658		870
111	p. 123	110	304	p. 160	305	472		472	659	p. 231	24
118	p. 124	117	308	p. 161	309	473		475	660		663
122	p. 125	122	311	p. 162	312	474	p. 195	476	662		666
127		128	316	p. 163	317	478	p. 196	480	663	p. 232	667
128	p. 126	127	322	p. 164	323	483	p. 197	485	665	p. 233	669
129		129	328	p. 165	329	489	p. 198	491	671	p. 234	675
131		121	333	p. 166	334	492	p. 199	494	679		721
132		131	337	p. 167	338	495		498	680	p. 235	683
134	p. 127	133	339	p. 168	340	496		497	683		687
139	p. 128	138	344	p. 169	345	497	p. 200	499	685	p. 236	689
142	p. 129	141	347	p. 170	348	502	p. 201	504	692	p. 237	696
147	p. 130	146	349		352	504		507	697	p. 238	701
154	p. 131	153	350		350	505		506	702	p. 239	706
157	p. 132	156	352	p. 171	353	506	p. 202	509	703		708
162	p. 133	161	357	p. 172	358	511	p. 203	514	708	p. 240	713
168	p. 134	167	362	p. 173	363	516	p. 204	519	715	p. 241	720
173	p. 135	172	366	p. 174	367	520	p. 205	523	716		*epim.* 4
179	p. 136	178	368		372	522	p. 206	525	717		722
183	p. 137	182	369		370	528	p. 207	531	721	p. 242	726
187	p. 138	186	371	p. 175	374	532	p. 208	535	727	p. 243	923
189		adesp. 2	377	p. 176	380	536	p. 209	539	728		732
190		189	378		382	540	p. 210	543	731		759
193	p. 139	192	382		381	543		547	732		735
200	p. 140	199	383		386	545	p. 211	549	733	p. 244	736
203	p. 141	202	386	p. 177	389	551	p. 212	555	734		546
206	p. 142	205	390	p. 178	393	554		559	735		834
211	p. 143	210	396	p. 179	399	557	p. 213	562	736		1019
217	p. 144	216	398	p. 180	401	562	p. 214	568	737		869
221	p. 145	220	404	p. 181	407	567		567	738	p. 245	739
222		188	408	p. 182	411	568		573	739		369
223		222	412	p. 183	422	571	p. 215	576	740		740
226	p. 146	225	413		417	577	p. 216	582	741		742
228		228	415		423	584	p. 217	590	742		738
229		227	416		420	585		589	743		743
230	p. 147	229	417		415	586		591	744	p. 246	744
236	p. 148	235	418	p. 184	416	588	p. 218	593	751	p. 247	751
240	p. 149	239	419		419	593	p. 219	598	758	p. 248	758
249	p. 150	248	420		421	595	p. 220	600	759		760
252	p. 151	251	421		424	602	p. 221	607	761	p. 249	762
256		273	422		426	607	p. 222	612	768	p. 250	769
257		255	424	p. 185	425	611		*epim.* 3	774	p. 251	775
259	p. 152	257	425		428	612	p. 223	616	780	p. 252	781
266	p. 153	264	428	p. 186	431	618	p. 224	622	787	p. 253	788
270		270	431	p. 187	434	620		625	790	p. 254	792
272		269	436	p. 188	439	625	p. 225	630	793		791

ED. I		ED. II
794		795
796	p. 255	1018
797		797
802	p. 256	802
809	p. 257	809
817	p. 258	817
823	p. 259	823
831	p. 260	831
833		adesp. 509
834		833
835		835
836		836, 1
837		836, 2
838		837
839	p. 261	838
845	p. 262	844
852	p. 263	851
857	p. 264	856
861	p. 265	860
867	p. 266	866
868		867
868a		868
869		871
870		873
872	p. 267	875
874		878
875		1017
876		879
878	p. 268	881
884		888
885		887
886		889
888	p. 269	891
898	p. 270	901
906	p. 271	909
915	p. 272	918
920		924
923		928
924	p. 273	929
934	p. 274	939
942	p. 275	947
950	p. 276	955
958	p. 277	963
963		*epim.* 5
964		969
967	p. 278	972
968		873
969		973
977	p. 279	981
985		989
986	p. 280	989
993	p. 281	996
1002	p. 282	1005
1010	p. 283	1014
1013		1020
1016	p. 284	1023
1018		*epim.* 6
1019		1025
1020	p. 285	1026
1022	p. 286	1028

EVRIP.

ED. I		ED. II
1	p. 289	1
4	p. 290	4
11	p. 291	11
14	p. 292	14
16	p. 293	16
20	p. 294	20
24	p. 295	24
29	p. 296	29
36	p. 297	36
38		112
39		38
43	p. 298	42
45	p. 299	44
51	p. 300	50
56	p. 301	55
63	p. 302	62
66	p. 304	65
71	p. 305	70
75	p. 306	74
81	p. 307	80
88	p. 308	87
93	p. 309	92
101	p. 310	100
106	p. 311	105
110	p. 312	109
113		113
114	p. 313	114
116	p. 314	116
121	p. 315	121
123	p. 316	124
125, 1 et 2		127
125, 3		123
126	p. 317	129
127		126
128		130
129		128
130		131
131		133
132	p. 318	136
133		132
134		145, 1
135	p. 319	146
139		1054
140	p. 320	138
141		143
142		141
144		139
145		144
146	p. 321	135
147		134
148		140
149		150
152	p. 322	153
153		137
154		154
157	p. 323	157
164	p. 324	164
170	p. 325	170
176	p. 326	176
179	p. 327	179
180	p. 328	180
184	p. 329	184
186	p. 330	186
188	p. 331	188
191	p. 332	191
197	p. 333	197
200		201
201	p. 334	202
206	p. 335	207
212	p. 336	213
219	p. 337	853
220		200
221	p. 338	220
227	p. 339	226
229	p. 340	846
230		228
231	p. 341	229
235	p. 342	233
242	p. 343	240
249	p. 344	247
255	p. 345	253
261	p. 346	259
266	p. 347	264
269	p. 348	267
276	p. 349	274
284	p. 350	282
285	p. 351	283
287	p. 352	285
288	p. 353	286
289	p. 354	287
292	p. 355	290
296	p. 356	294
301	p. 357	299
307	p. 358	305
312	p. 359	310
316	p. 360	314
319	p. 361	317
324	p. 362	322
327	p. 363	325
329	p. 364	327
332	p. 365	330
333		345
335	p. 366	344
336		332
337		342
339		338
341	p. 367	340
342, 1 et 2		331
342, 3—7		388
343		337
344		333
345	p. 368	336
346		341
347		334
349		347
350	p. 369	348
354	p. 370	352
361	p. 371	359
363	p. 373	361
365	p. 375	363
368		367
370	p. 376	369
374	p. 377	373
380	p. 378	379
383		996
384	p. 379	997
385		382
386		*epim.* 7
387	p. 380	383
391	p. 381	387
392		964
393		389
395	p. 382	391
400	p. 383	396
402	p. 384	398
407	p. 385	403
413	p. 386	409
418	p. 387	414
422	p. 388	418
425	p. 389	421
429	p. 390	425
431	p. 391	428
436	p. 392	433
441	p. 393	438
448	p. 394	445
452	p. 395	449
453	p. 396	455
454		450
455		458
456		454
457	p. 397	456
459		451
461		459
462	p. 398	453

ED. I		ED. II	ED. I		ED. II	ED. I		ED. II	ED. I		ED. II
463	p. 399	460	646		adesp. 494	774	p. 473	777	918		1111
468	p. 400	465	647		*epim.* 8	775		773	919	p. 518	926
474	p. 401	471	648		646	776	p. 476	772	922		930
476	p. 403	473	649	p. 444	647	777		783	924	p. 519	932
480	p. 404	477	653	p. 445	651	779	p. 477	779	925		972
483	p. 405	480	658		657	782	p. 481	785	926		1027
485	p. 406	482	660	p. 446	659	784		782	928		934
486		489	662	p. 447	661	785	p. 485	787	929	p. 520	935
487		483	663	p. 448	662	787	p. 486	789	936	p. 521	942
489	p. 407	485	664		668	794	p. 487	797	940	p. 522	946
491	p. 408	487	666		663	799	p. 488	802	947		954
493	p. 409	490	667	p. 449	664	801	p. 489	804	948	p. 523	956
495	p. 410	492	669		667	807	p. 490	810	949		145, 2
498		496	670	p. 450	666	810	p. 491	813	950		958
499	p. 411	497	671		672	813	p. 492	816	953	p. 524	961
505	p. 412	503	672		670	816	p. 493	819	956		965
509	p. 413		674		673	818	p. 494	821	958	p. 525	967
		adesp. 510	675	p. 451	674	822	p. 495	825	961		971
510		507	680	p. 452	679	830	p. 496	833	962		970
514		495, 40—43	686	p. 453	685	832, 1—4		835	963		973
515		511	689	p. 454	688	832,5		adesp. 490	964	p. 526	974
516	p. 414	512	691	p. 455	690	833	p. 497	836	969	p. 527	979
520	p. 415	516	696	p. 456	695	837	p. 499	840	973	p. 528	983
524	p. 416	520	697	p. 457	696	841	p. 500	844	981	p. 529	991
530	p. 417	526	700	p. 458	705	843		847	986		998
535	p. 418	531	701		703	846	p. 501	850	988	p. 530	1000
538	p. 419	534	702		707	849		854	995	p. 531	1007
544	p. 420	540	703		704	851		857	999		929
549	p. 421	545	704		699	852	p. 502	858	1000		1011
554	p. 422	550	705	p. 459	700	853		861	1001	p. 532	1012
559		adesp. 483	706		706	857	p. 503	865	1006	p. 533	1017
560	p. 423	556	707		708	864	p. 504	872	1012	p. 534	1023
564	p. 424	560	708		714	871	p. 505	879	1016		1029
570	p. 425	566	710	p. 460	709	872		*epim.* 9	1017	p. 535	1030
576	p. 426	572	714		717	873		881	1023	p. 536	1036
580	p. 427	576	716		721	875		1110	1029	p. 537	1042
582	p. 428	578	717	p. 461	719	876		883	1030		645
584	p. 429	580	719		701	877	p. 506	884	1031		1044
588	p. 430	584	721		722	880		888	1033	p. 538	1046
589		586	723	p. 462	713	881	p. 507	889	1038	p. 539	1051
592	p. 431	589	724		716	885	p. 508	893	1041		1055
595	p. 432	592	725		724	890	p. 509	898	1044	p. 540	1058
598	p. 433	595	726		726	891	p. 510	899	1046		1061
602	p. 434	599	727	p. 463	727	893		adesp. 99	1048		1064
607	p. 435	604	732	p. 464	732	894		902	1049	p. 541	1065
613	p. 436	610	737	p. 465	737	895	p. 511	903	1050		1113
620	p. 437	617	742	p. 466	742	896		880	1051		1066
625		623	751	p. 467	751	897		905	1054	p. 542	1069
627	p. 438	625	753	p. 468	753	900	p. 512	908	1060	p. 543	1075
631	p. 439	630	758	p. 469	758	902	p. 513	910	1066	p. 544	1081
635	p. 440	634	760	p. 470	760	904	p. 514	912	1069	p. 545	1084
638	p. 441	637	766	p. 471	766	907	p. 515	915	1073	p. 546	1088
640	p. 442	639	771	p. 472	771	911	p. 516	919	1080	p. 547	1095
643	p. 443	642	772		775	914	p. 517	922	1083		1099

ED. I	ED. II
1086	629
1087	1102
1090 p. 548	1105
1095 p. 549	1114
1096	*epim.* 10
1097	1115
1100 p. 550	1118
1104	*epim.* 11
1105	1122
1107 p. 551	1124
1108	933
1109	1125
1110	*epim.* 12
1111	1126
1113	468
1114	1128
1115 p. 552	1129
1117	1132

TRAG. MIN.

Choerilus

ED. I	ED. II
1 p. 557	1 p. 719

Phrynichus

ED. I	ED. II
1	1 p. 720
3 p. 558	3
6 p. 559	6
8	13
9	8
10 p. 560	9
14	14
15	16
16 p. 561	17
20	22

Pratinas

ED. I	ED. II
1 p. 562	1 p. 726

Aristias

ED. I	ED. II
1	1 p. 726
2 p. 563	2
7 p. 564	7

Aristarchus

ED. I	ED. II
1	1 p. 728
3 p. 565	3
6	*epim.* 13

Neophron

ED. I	ED. II
1	1 p. 730
2 p. 566	2

Ion

ED. I	ED. II
1 p. 567	1 p. 732
5 p. 568	5
12 p. 569	12
18 p. 570	18
24 p. 571	24
30 p. 572	30
36 p. 573	36
40 p. 574	40
46 p. 575	46
53 p. 576	53
58 p. 577	58
64 p. 578	64

Achaeus

ED. I	ED. II
1	1 p. 746
2 p. 579	2
6 p. 580	6
11 p. 581	11
15	16
16 p. 582	17
19	21
20 p. 583	22
26 p. 584	28
31 p. 585	33
35 p. 586	37
40 p. 587	42
47	15
48 p. 588	49
54	56

Euphorion

ED. I	ED. II
1	Aesch. 70

Philocles

ED. I	ED. II
1 p. 589	1 p. 759
2	3
3	5
4	4

Melanthius

ED. I	ED. II
1 p. 590	1 p. 760

Iophon

ED. I	ED. II
1	1 p. 761
3 p. 591	3

Nicomachus

ED. I	ED. II
1	1 p. 762

Agathon

ED. I	ED. II
1 p. 592	1 p. 763
4 p. 593	4
8 p. 594	8
13 p. 595	13
21 p. 596	21
29	30

Xenocles

ED. I	ED. II
1 p. 597	1 p. 770

Theognis

ED. I	ED. II
1	1 p. 769

Critias

ED. I	ED. II
1 p. 598	1 p. 771
2 p. 600	2
6 p. 601	6

Dicaeogenes

ED. I	ED. II
1	1 p. 775
2 p. 602	2

Diogenes Ath.

ED. I	ED. II
1	1 p. 776

Astydamantes

ED. I	ED. II
1 p. 603	1 p. 778
2 p. 604	2
6 p. 605	6

Sophocles iun.

ED. I	ED. II
1 p. 606	1 p. 781

Polyidus

Meletus

Chaeremon

ED. I	ED. II
1	1 p. 781
2 p. 607	2
4 p. 608	4
10 p. 609	10
14 p. 610	14
15 p. 611	15
20	*epim.* 14
21	*epim.* 15
22 p. 612	21
24, 1 2	adesp. 518
24, 3	23
25	24
27 p. 613	26
36 p. 614	35

Antiphon

ED. I	ED. II
1 p. 615	1 p. 792
4 p. 616	4
5	*epim.* 16

Dionysius

ED. I	ED. II
1	1 p. 793
3 p. 617	3
8 p. 618	8

Carcinus

ED. I	ED. II
1 p. 619	1 p. 798
2 p. 620	2
6 p. 621	6
7	Eur. 1043
8	7
10 p. 622	9
12	*epim.* 17

Theodectes

ED. I	ED. II
1	1 p. 801
3 p. 623	3
5 p. 624	5
7 p. 625	7
11 p. 626	11
17 p. 627	17

Diogenes Sinop.

ED. I	ED. II
1 p. 628	1 p. 808

Crates

ED. I	ED. II
1 p. 629	1 p. 809
2	3

Python

ED. I	ED. II
1 p. 630	1 p. 810

Cleaenetus

ED. I	ED. II
1 p. 631	1 p. 807
2	2

Moschion

ED. I	ED. II
1	1 p. 812
3 p. 632	3, 1
4	3, 2
5	4
7 p. 633	6
8 p. 634	7
11 p. 635	*epim.* 18
12	10

Alexander Aet.

ED. I	ED. II
p. 635	p. 817

Lycophron

ED. I	ED. II
1 p. 636	1 p. 817
4 p. 637	4

ED. I	ED. II
Philiscus	
1	Eur. 585
2	1 p.819
Sosiphanes	
1 p.638	1 p.819
Sositheus	
1 p.639	1 p.821
3 p.640	3
5 p.641	5
Ptolemaeus Philop.	
p.641	p.824
Aeschylus Alex.	
1	1 p.824
Apollonides	
1	1 p.825
2 p.642	2
Biotus	
1	1 p.825
Chares	
1	1 p.826
2 p.643	2
Demonax	
1	1 p.827
Hippothoon	
1	1 p.827
3 p.644	3
Isidorus	
1	1 p.829
Mimnermus	
1 p.645	1 p.829
Patrocles	
1	1 p.830
Pompeius	
1 p.646	1 p.831
Serapion	
1	1 p.831
Zenodotus	
1	1 p.831
Zopyrus	
1	1 p.832
Thespis	
1 p.647	1 p.832
ADESPOTA	
1 p. 651	1
2	3
4 p. 652	6
6 p. 653	8
8 p. 654	Eur. 796
9	10
11 p. 655	14
15	22
16	26
18 p. 656	32
22	Soph. 686
23	38
24 p. 657	40
27	44
31 p. 658	48
32	*epim.* 19
33	49
37	54
38 p. 659	55
40	59
42	63
44 p. 660	65
49	73
50	75
51 p. 661	*epim.* 20
52	77
57 p. 662	82
61	88
63 p. 663	90
69 p. 664	96
72	Eur. 901
73	100
74 p. 665	101
77	29
80	105
81 p. 666	107
82	109
85 p. 667	112
91 p. 668	118
95 p. 669	122
101 p. 670	128
103 p. 671	130
104	281
108 p. 672	285
111	132
113	*epim.* 21
114	136
116 p. 673	138
123 p. 674	146
124	148
125	147
126	149
127	151
128	154
129	*epim.* 22
130	156
131 p. 675	157
132	160
135	164
137 p. 676	166
138	171
142 p. 677	175
146	180
148 p. 678	183
149	*epim.* 23
150	186
153 p. 679	190
161 p. 680	*epim.* 24
162	198
167	204
168	206
169 p. 681	207
170	210
172	213
176	218
177 p. 682	219
178	221
179	223
181	226
183	229
184	232
185	234
186	236
187 p. 683	237
191	243
192	245
193	247
196 p. 684	250
197	252
198	254
199	256
205 p. 685	262
209	*epim.* 25
210	266
212	269
214 p. 686	271
217	275
220	279
221 p. 687	514
223	553
224	*epim.* 26
225	554
227	516
228	516a
229 p. 688	556
232	280
233	288
235	291
237 p. 689	293
243 p. 690	299
244	301
245	303
248	308
252 p. 691	312
260	223
261 p. 692	*epim.* 27
262	325
263	324
264	326
266	333
268 p. 693	335
272	340
275 p. 694	343
280	349
283 p. 695	352
285	Eur. 957
286	354
287	356
288	355
289	357
291 p. 696	359
297 p. 697	365
298	*epim.* 28
299	366
302	370
304	373
305 p. 698	374
309 p. 699	378
315 p. 700	Eur. 778
316	384
317	386
321 p. 701	390
327	397
328 p. 702	399
329	401
335 p. 703	407
341 p. 704	413
346 p. 705	418
347	*epim.* 29
348	419

ED. I	ED. II	ED. I	ED. II	ED. I	ED. II	ED. I	ED. II
351 p. 706	422	383 p. 711	460	427	508	468	559
352	*epim.* 30	385 p. 712	462	428	512	470 p. 726	564
353	423	391 p. 713	468	429	*epim.* 34	475 p. 727	569
358 p. 707	430	394 p. 714	471	430	513	481 p. 728	575
361	438	396	474	431 p. 719	517	482	577
362	442	401	481	432	519	483	579
363	*epim.* 31	403 p. 715	484	437 p. 720	524	486	*epim.* 35
364	443	404	Eur. 555	445 p. 721	532	487	584
366 p. 708	Phi-	405	485	450	Eur. 774	488 p. 729	586
	locl. 2	410 p. 716	491	451	537	489	*epim.* 36
367	*epim.* 32	413	5	452 p. 722	538	490	587
368	445	414	495	457	Eur. 1060	491	*epim.* 37
371 p. 709	448	416 p. 717	497	458	Eur. 1063	492	588
373	*epim.* 33	424 p. 718	Soph.	459 p. 723	544	494	591
374	450		624	462 p. 724	547	496 p. 730	593
377 p. 710	453	425	505	465 p. 725	550	499	598